Κέρας Ἀμαλθείας.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΣΤΟ ΒΑΙΟΥ ΕΚΛΟΓΑΙ ΑΠΟΦΘΕΓΜΑΤΩΝ.

Ioannis Stobęi Sententiæ ex the sauris Græcorum delectæ,

quarum autores circiter ducentos & quinquaginta citat, [redacted]nes siue lo[redacted]ommunes digestæ, nunc primum à [redacted] Doctore Medico, Tigurino, in Latinũ sermonem traductæ, sic ut Latina Græcis è regione respõdeant.

AD LECTOREM.

EN tibi candide Lector Io. Stobæi anthologiam exhibemus, planè aureum & incomparabile opus, nempe totius Græciæ ac omnis humanæ sapientiæ ueluti speculum nitidißimum, siue theatrum potius in quo uariæ personæ agunt, philosophi, poetæ, oratores, historici, recens integritati suæ restitutum, quoad eius fieri potuit, aliquot mendorũ milibus sublatis.

ADIECTA sunt & alia quædam, ut sequente pagina indicatur.

SVBNEXI sunt etiam Indices copiosissimi: primus autorum, qui in his collectaneis allegantur: alter rerum & sententiarum.



TIGVRI EXCVDEBAT CHRISTOPH. FROSCHOVERVS, ANNO M. D. XLIII.

HOC VOLVMINE CONTINENTVR.

Ioannis Stobæi sententiarum opus in locos digestum.

Cyri Theodori dialogus de exilio amicitiæ, senarijs iambicis conscriptus, Græcè & Latinè.

Opusculum Platoni ascriptum de iusto.

Aliud eidem ascriptum, An uirtus doceri possit.

Omnia per [redacted]
Tigurinum recens [redacted]

ΠΡΟΣ ΤΟΥΣ ΕΝΤΥΓΧΑΝΟΝΤΑΣ ΤΗ͂ ΤΟΥ͂ Ἰωάννου Στοβαίου γνωμολογίᾳ.

Εἴ τις θέλει συνίδειν τῶν Ἑλλάδος
Σοφῶν ἁπάντων εἰσφορῶν τι, καὶ κλύειν
Αὐτῶν λεγόντων πανσόφους λόγους, ταχὺ
Εἰς τήνδε βίβλον εἰσίτω, ὄναιτό τι.

AVTHORVM NOMINA, QVORVM APOPHTHEGMATA hoc libro continentur, hæc sunt.

Adianus.
Aeolus.
Aeschines.
Aeschylus.
Agathon.
Agesilaus.
Alcæus.
Alcmæon.
Alexis.
Amphis.
Anacreon.
Anaxandrides.
Anaxarchus.
Anaximenes.
Anaxion.
Antipater. Antyllus.
Antiphon.
Antiphanes.
Antisthenes.
Apollodorus.
Apollolycus.
Apollonides.
Apollonius.
Aratus.
Archelaus.
Archilochus.
Archytas.
Aristarchus.
Aristippus.
Ariston.
Aristonymus.
Aristophon.
Aristoteles.
Arrianus.
Astydamus.
Athenodorus.
Bacchylides.
Bias. Bion.
Caius.
Callicratides.
Callimachus.
Callinus.
Callisthenes.
Carcinus.
Cato.
Cercidas.
Chæremon.
Chærondes.
Chares. Chilo.
Chœrilus.
Chrysermes.
Chrysippus.
Cleænetes.
Cleobulus.
Clinias.
Clitophon.
Cornelianus.
Crantor.
Crates.
Cratylus.
Cresippus.
Critias. Ctesias.
Demaratus.
Demetrius.
Democritus.
Demosthenes.
Demonax.
Dicæogenes.
Didymus.
Dilotes.
Diodorus.
Diogenes.
Dion.
Dionysius.
Diotogeneus.
Diphilus. Dius.
Dorotheus.
Ecdorus.
Ecphantes.
Elianus.
Epaminundas.
Epicharmus.
Epictetas.
Epicurus.
Erasistratus.
Eratosthenes.
Euagoras.
Eubulus.
Euenus.
Euphorion.
Euphron.
Eupolis.
Euripides.
Euryphamus.
Eusebius.
Gorgias.
Heniochus.
Heraclitus.
Hermachus.
Hermes.
Hermodotus.
Hermolaus.
Herodotus.
Heros.
Hesiodus.
Hierax. Hieron.
Hierocles.
Hipparchus.
Hippocrates.
Hippodamus.
Hipponax.
Hippothoon.
Hippothous.
Homerus.
Hyperiotes.
Hypsæus.
Iamblichus.
Isæus.
Isidorus.
Isocrates.
Iulius. Iuncus.
Leonides.
Linus.
Lycophron.
Lycurgus.
Lysias.
Marcus.
Medeas.
Menander.
Menophilus.
Metopus.
Metrodorus.
Mimnermus.
Moschion.
Moschus.
Musonius.
Naumachius.
Neophron.
Neoptolemus.
Nicolaus.
Nicomachus.
Nicostratus.
Obricus.
Olympiades.
Orpheus.
Panyassides.
Parmenides.
Patrocles.
Periander.
Perictyon.
Phalaris.
Phanocles.
Phauorinus.
Pherecrates.
Philemon.
Phileas.
Philera.
Philetes.
Philippides.
Philisbus.
Philoctetes.
Philonides.
Phocion.
Phocylides.
Pindarus.
Pirithus.
Pisander.
Pittacus. Plato.
Plutarchus.
Polyænus.
Polydicus.
Polyides.
Pompeius.
Porphyrius.
Posidippus.
Prodicus.
Rhadamanthus.
Rheginus.
Rhianus.
Rufus.
Sappho. Sation.
Sclerius.
Serapio.
Serinus.
Seuerus.
Simon.
Simonides.
Simylus.
Socrates.
Solon.
Sopater.
Sophocles.
Sosiades.
Sosiphanes.
Sositheus.
Sostratus.
Sotades.
Sotarus.
Sotion.
Stasimus.
Stesichorus.
Sthenidas.
Stoici.
Susarion.
Susonius.
Taraso.
Teles. Thales.
Theages.
Themisthius.
Theobulus.
Theocritus.
Theodectes.
Theodictes.
Theodorus.
Theognis.
Theogonus.
Theophanes.
Theophrastus.
Theopompus.
Theseus.
Thrasylus.
Thrasytes.
Thucydides.
Timagoras.
Timocles.
Trophilus.
Tyrtæus.
Vtheus.
Xenophanes.
Xenophon.
Zaleucus.
Zenon.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

ΕΚΛΟΓΩΝ, ΑΠΟΦΘΕΓΜΑΤΩΝ, ΥΠΟΘΗΚΩΝ,

ΠΕΡΙ ΦΡΟΝΗΣΕΩΣ ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Εὐριπίδου Θησέως. Ἀλλ᾽ ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
Ψυχῆς δικαίας, σώφρονός τε, κἀγαθῆς.

Ἐπαμινώνδου. Πρέσβεις ἧκον παρὰ βασιλέως χρυσὸν κομίζοντες, βουλόμενοι δωροδοκῆσαι τὸν ἐπαμινώνδαν: ὁ δὲ, αὐτοὺς εἰς ἄριστον εἰσεδέξατο, ἤδει γὰρ ἐφ᾽ ὅτινι ἧκον. καὶ ἐκέλευσεν αὐτοὺς πρότερον ἀριστᾶν, εἶτα λέγειν περὶ ὅτου βούλοιντο. παρακειμένης δὲ τραπέζης φαύλης, καὶ ὄξινον ἔπινον. οἱ μὲν οὖν οὐκ εἶχον ὅ, τι καὶ ποιῶσιν. ὁ δὲ, διαμειδιάσας, ἄπιτε ἔφη, καὶ λέγετε τῷ δεσπότῃ τῷ ὑμετέρῳ οἷα ἄριστα ἀριστῶ. ὡς ἔγωγ᾽ οὐκ ἂν προδοίην, τούτοις ἀρκούμενος.

* Lego πολὺ

Δημοκρίτου. Σωφροσύνη τὰ τερπνὰ ἀέξει, καὶ ἡδονὴν * ἔτι μείζονα ποιεῖ.

Ἐκ τοῦ Νικολάου. Λειτενοὶ, τῶν ἐμψύχων οὐδὲν ἀποκτείνουσι: τὰ δὲ κεράμια τῶν χρηστηρίων, ἐν χρυσοῖς ἐλύτροις φυλάττουσι.

Δαρδανεῖς ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ λούονται μόνον, ὅταν γεννῶνται, καὶ ἐπὶ γάμοις, καὶ τελευτῶντες.

Κράτητος. Κράτης εἰς ἀγορὰν ἐμβαλὼν, καὶ ὁρῶν τοὺς μὲν πιπράσκοντας, τοὺς δὲ, ὠνουμένους: οὗτοι ἔφη, διότι ἐναντίον πρᾶγμα ἀλλήλοις ποιοῦσιν, ἑαυτοὺς μακαρίζουσιν. ἐγὼ δ᾽ ἐμαυτὸν, ὅτι ἀμφοτέρων ἀπήλλαγμαι, μήτε ὠνούμενος, μήτε πωλῶν.

Σωκράτους. Σωκράτης ἔλεγε, δεῖν τὰς ἡδονὰς, μὴ παρ᾽ ἄλλων, ἀλλὰ παρ᾽ ἡμῶν θηρᾶσθαι. προσδιετίθετο δὲ τὸ σῶμα, ὃν χρὴ τρόπον.

Πλάτωνος. Εἰ δὲ βούλοιό γε, καὶ τὴν μαντικὴν ἐῶμεν, συγχωρητέον ἐπιστήμην τοῦ μέλλοντος ἔσεσθαι, καὶ τὴν σωφροσύνην αὐτῆς ἐπιστατοῦσαν, τοὺς μὲν ἀλαζόνας ἀποτρέπειν. τοὺς δὲ ἀληθεῖς μάντεις καθιστάναι ἡμῖν προφήτας τῶν μελλόντων. κατεσκευασμένον δὴ οὕτω τὸ ἀνθρώπινον γένος, ὅτι μὲν ἐπιστημόνως ἂν πράττοι καὶ ζώη, ἕπομαι. ἡ γὰρ σωφροσύνη φυλάττουσα, οὐκ ἂν ἐῴη παρεμπίπτουσαν τὴν ἀνεπιστημοσύνην συνεργὸν ἡμῖν εἶναι.

Ἐν ταυτῷ. Ἔστι δὲ δὴ ὡς ἔοικεν, ὃ νῦν λέγεις, ὅτι ἡδοναί εἰσί τινες. αἱ μὲν, ἀγαθαί. αἱ δὲ, κακαί. ἢ γάρ; ναί. ἆρ᾽ οὖν ἀγαθαὶ μὲν αἱ ὠφέλιμοι: κακαὶ δὲ αἱ βλαβεραί; πάνυ γε. ὠφέλιμοι δὲ, αἱ ἀγαθόν τι ποιοῦσαι, κακαὶ δὲ, αἱ κακόν; φημί. ἆρ᾽ οὖν τὰς τοιάσδε λέγεις, οἷον κατὰ τὸ σῶμα, ἃς δὴ νῦν ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονὰς; εἰ ἄρα τούτων, αἱ μὲν, ὑγίειαν ποιοῦσαι ἐν τῷ σώματι, ἢ ἰσχὺν, ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί. αἱ δὲ τἀναντία τούτων, κακαί; πάνυ γε. οὐκοῦν καὶ λῦπαι ὡσαύτως, αἱ μὲν, χρησταί εἰσιν, αἱ δὲ, πονηραί; πῶς γὰρ οὔ. οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας, καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον. πάνυ γε. τὰς δὲ πονηρὰς οὔ. δῆλον δή. ἕνεκα * γάρ δή που τῶν ἀγαθῶν, ἅπαντα ἡμῖν πρακτέα ἐστί. καὶ τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ ὡς τ᾽ ἄλλα, καὶ τὰ ἡδέα πράττειν, ἀλλ᾽ οὐκ ἀγαθὰ, τῶν ἡδέων; πάνυ γε. ἆρ᾽ οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ, καὶ ποῖα κακὰ, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; τεχνικοῦ. ἀναμνησθῶμεν δὴ, ὧν αὖ ἐγὼ εἰς πῶλον καὶ γοργίαν ἐτύγχανον λέγων. ἔλεγε γὰρ αὐτὸς εἰ μνημονεύεις, ὅτι εἶεν παρασκευαί. αἱ μὲν μέχρι ἡδονῆς αὐτὸ τοῦτο παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον. αἱ δὲ γινώσκουσαι, ὅ, τι τε ἀγαθὸν, καὶ ὅ, τι κακόν. καὶ ἐτίθουν τῶν μὲν, περὶ τὰς ἡδονὰς, τὴν μαγειρικὴν ἐμπειρίαν, ἀλλ᾽ οὐ τέχνην. τὴν δὲ περὶ τὸ ἀγαθὸν, τὴν ἰατρικὴν τέχνην.

* γάρ τοι

Ἀντιφῶντος. Ὅς τις δὲ τῶν αἰσχρῶν, μήτε ἐπεθύμησε, μήτε ἥψατο, οὐκ ἔστι σώφρων. οὐ γὰρ ἔσθ᾽ ὅτου κρατήσας αὐτὸς ἑαυτὸν κόσμιον παρέχεται.

IOANNIS STOBAEI

COLLECTANEORVM APOPHTHEGMATVM, & moralium sententiarum,

SERMO PRIMVS DE PRVDENTIA.

EST quidam planè alius inter homines amor *Euripidis in*
Animi iusti, frugi atque boni. *Theseo.*

Legati uenerunt à Rege ferentes aurum, animo corrumpendi muneribus Epaminundam. Inuitati sunt igitur ad prandium ab ipso: intelligebat eñi qua gratia appulissent. Iussit uero ut à prandio causam aduentus explicarẽt. Apposita est mensa uilis, bibebãt uinum acidum, neq; habebant q̃d dicerent. Tum ille subridens, Abite, inquit, & dño uestro mea prandia narrate, quibus me contentum non facile ad proditionẽ alliciet. *Epaminundæ.*

Temperantia quæ iucunda sunt auget, & uoluptatem maiorem facit. *Democriti.*

Aritoni nihil uita fruens occidunt. Oracula testis inscripta, in aureis inuolucris seruant. *E Nicolao.*

Dardani gens Illyriæ, ter duntaxat in uita lauant, cum nascuntur, in nuptijs, & in funere.

Crates cum in forum incidisset, alios ementes, uendentes alios contemplatus, Illi, inquit, quod rem inter se contrariam agunt, se beatos iudicant: at ego me, quòd utriusq; tum emendi tum uendendi sim immunis. *Cratetis.*

Socrates aiebat, oportere uoluptates non ex alijs, sed ex nobisipsis aucupari: corpus autem ut decet præparatum & compositum esse uolebat. *Socratis.*

Concedamus quoq;, si uis, uaticinium futuri scientiam esse, & temperantiam illi præsidentem uanos ostentatores uitare: ueros autem uates ad futurorum prædictionem eligere. Ita profectò genus hominum institutũ, quod scitè ageret uiueretq;, assentior. Nam custos uitæ hominum temperantia, nunquã subrepere inscitiam & uiribus uti suis permitteret. *Platonis in Charmide.*

Est autem, ni fallor, quod nunc affers eiusmodi: uoluptatũ alias quidem bonas esse, alias uero malas. Nunquid? Proculdubio. Bonæ uero, nónne quæ utiles? malæ autẽ quæ noxiæ? Ita certe. Vtiles autem quæ boni aliquid afferunt: noxiæ uero, quæ mali nonnihil? Assentior. Num igitur tales dicis, uelut in corpore, quas modo dicebamus edendi bibendiq; uoluptates? Nunquid ex his illæ quæ ualetudinem præstant corpori, aut robur, aut aliam quandam corporis uirtutẽ, bonæ sunt: quæ contrariæ, malæ? Prorsus. Et dolores eodem pacto alij boni sunt, alij mali? Nihil prohibet. Bonas quidem uoluptates, & dolores bonos eligere oportet, & prosequi. Prorsus. Contrà uero nequaq̃. Manifestũ est. Nempe alicuius boni gratia nobis agenda sunt omnia. Quamobrem bonorũ causa oportet & alia & uoluptates sequi: non aũt bona, causa uoluptatum. Omnino. An ergo cuiusuis est eligere, quæ nam ex rebus quæ delectant bonæ sint, quæúe malæ? An potius artificiosi uiri opus est utrunq;? Artificiosi. Recordemur ergo illorum, quæ ad Polum Gorgiamq; dixi. Nam si meministi esse facultates quasdam præparatrices dicebam: alias quidem usq; ad uoluptatem duntaxat, quid melius deteriusúe sit ignorãtes: alias uero quid bonũ malumúe sit cognoscentes. Ponebã prętereà earum quę circa uoluptates uersantur, coquinariã circa corpus peritiam, sed non artem: earũ uero q̃ ad bonũ intendunt, medendi artẽ. *Platonis in Gorgia.*

Qui turpia non cupiuit, neq; attigit, is non est temperãs. Nihil enim exiſtit à quo sibi temperauerit, ut modestus & continens dici mereatur. *Antiphontis.*

Πλάτωνος. Ἐγὼ μὲν οὖν ταῦτα οὕτω τίθημι, καὶ φημὶ ταῦτα ἀληθῆ εἶναι. εἰ δὲ ἔστιν ἀληθῆ, τὸν βουλόμενον ὡς ἔοικεν εὐδαίμονα εἶναι, σωφροσύνην μὲν ἀσκητέον καὶ διωκτέον εἶναι. ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν. καὶ παρασκευαστέον ἑαυτόν, μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι· ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης, ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον, εἰ μέλλει εὐδαίμων εἶναι.

Καλλισθένης ἐν δευτέρῳ μεταμορφ. Κατὰ Κελαινὰς πόλιν τῆς Φρυγίας, διὰ μῆνιν Ἰδαίου Διός, χάσμα μεθ' ὕδατος γενόμενον, πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε. τοῦ δὲ δήμου κινδυνεύοντος, Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε συγκλεισθήσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ. τῶν δὲ Κελαινιτῶν χρυσόν τε καὶ ἄργυρον, καὶ τὸν κόσμον τῶν γυναικῶν, εἰς τὸ χάσμα ῥιψάντων, καὶ μὴ δ' οὕτω τοῦ κακοῦ λήγοντος, * αἰγιστίος ὁ υἱὸς Μίδα, λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς ἀνθρωπίνης, δοὺς περιπλοκὰς τῷ γεννήσαντι, καὶ ἀσπασάμενος τῇ γυναικὶ Τιμοθέᾳ, μεθ' ὁρμῆς ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη.

* ἄγχουρος

Ἐκ τοῦ θύσεως. Λοιμοῦ κατασχόντος τὴν Λακεδαίμονα διὰ τὴν ἀναίρεσιν τῶν κηρύκων τῶν ἀπεσταλμένων παρὰ Ξέρξου αἰτοῦντος γῆν καὶ ὕδωρ, ὥσπερ ἀπαρχὰς λείας, χρησμὸς ἐδόθη ἀπαλλαχθήσεσθαι αὐτοὺς εἴγε τινὰς ἕλοιντο Λακεδαιμονίων παρὰ τοῦ βασιλέως ἀναιρεθῆναι. τότε Βούλης καὶ Σπέρχης ἀφικόμενοι εἰς βασιλέα, ἠξίουν ἀναιρεθῆναι. ὁ δὲ θαυμάσας αὐτῶν τὴν ἀρετήν, ἐπανιέναι προσέταξε.

Δημοκρίτου. Σοφίη ἄθαμβος ἀξίη πάντων, τιμιωτάτη οὖσα.

Ξενοφῶντος. Πάλιν ἐρωτώμενος, ἡ ἀνδρεία πότερον διδακτόν, ἢ φυσικόν. οἶμαι μὲν ἔφη, ὥσπερ σῶμα σώματος ἰσχυρότερον πρὸς πόνους φύεται, οὕτω καὶ ψυχὴν ψυχῆς ἐρρωμενεστέραν εἰς τὰ δεινὰ φύσει γίνεσθαι. ὁρῶ δ' ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους, πολὺ διαφέροντας ἀλλήλων τόλμῃ. μανθάνω μέν τοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρείαν αὔξεσθαι. δῆλον μὲν γάρ, ὅτι Σκύθαι καὶ Θρᾷκες, οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες, Λακεδαιμονίοις διαμάχεσθαι. φανερὸν δὲ ὅτι Λακεδαιμόνιοι, οὔτ' ἂν Θρᾳξὶ πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις τόξοις ἐθέλοιεν διαγωνίζεσθαι.

Ἰαμβλίχου. Ψυχῆς μὲν οὖν ἂν εἴη ἀρετή, τελειότης, καὶ συμμετρία τῆς ζωῆς, λόγου τε καὶ νοῦ καὶ διανοήσεως ἀκροτάτη, καὶ καθαρωτάτη ἐνέργεια. τὰ δὲ ἔργα τῆς ἀρετῆς, ἀγαθοειδῆ, κάλλιστα, νοερά, σπουδαῖα, πλήρη μεσότητος, δικαιοσύνης μετέχοντα, προηγούμενα, τέλους ἀρίστου στοχαζόμενα, χαίροντα, ὅτι μάλιστα θεωρεῖσθαι.

Μετώπου Πυθαγορείου Μεταποντίου. Ἀρετὰ ἐντὶ ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω. ἕκαστον γὰρ τῶν ἐόντων, τέλειον καὶ ἄκρον γίνεται, κατὰ τὴν οἰκείαν τᾶς ἀρετᾶς φύσιν. ἵππω τε γὰρ ἀρετὰ ἐντί, ἃ δὴ τὸ ἄκρον ἄγεισα τὰν τῶ ἵππω φύσιν. καὶ ἐπὶ τῶν μερέων δὲ τῶν καθ' ἕκαστον, ὁ αὐτὸς λόγος. ὀμμάτων τε γὰρ ἀρετά, ὀξυδορκία. αὕτα δ' ἀκρότας ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος. καὶ οὐάτων ἀρετά, ὀξυηκοΐα. αὕτα δ' ἀκρότας ἐντὶ τᾶς οὐάτων φύσιος. καὶ ποδῶν ἀρετά, ποδωκεία. καὶ αὕτα δὲ ἀρετὰ ἐντὶ τῶν ποδῶν.

Θεαγοῦς. Ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. τὸ μὲν γάρ τι αὐτῆς ἐστὶ λογικόν. τὸ δέ, θύμωσις. τὸ δ' ἐπιθυμία. λογισμὸς μέν, ὁ κρατέων τᾶς γνώσιος. θυμὸς δέ, ὁ κρατέων τῶ μένεος. ἐπιθυμία δέ, ἁ κρατεῦσα τῶ ἡγεμονικῶ ἀδέως. ὅκα μὲν ὦν ἐς τὸ ἓν τὰ τρία ταῦτα μολῇ, μίαν ἐπιδεξάμενα συναρμογάν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμόνοια ἐν τᾷ ψυχᾷ. ὅκαν δὲ στασιάζοντα ἀπ' ἀλλάλων ἀποσπασθῇ, τόκα δὲ γίνεται κακία, καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. ἀνάγκα δ' ἀρετάν, τρία ταῦτα ἔχειν, λόγον, δύναμιν, καὶ προαίρεσιν. τῶ μὲν οὖν λογικῶ μέρεος τᾶς ψυχᾶς, ἀρετὰ ἁ φρόνησις. κριτικὰ γὰρ ἐντὶ καὶ θεωρητικὰ ἕξις. τῶ δὲ θυμοειδέος, ἀνδρεία. ἕξις γὰρ ἐντὶ ἀντιτακτικὰ, καὶ ὑποστατικὰ τῶν δεινῶν. τῶ δ' ἐπιθυμητικῶ, ἁ σωφροσύνα. μετριότης γάρ ἐντι καὶ κατοχά τις ἡδονῶν τῶν διὰ σώματος. ὅλας δὲ τᾶς ψυχᾶς ἁ δικαιοσύνα. φαῦλοι μὲν γάρ τοι ἄνθρωποι γίνονται, ἢ διὰ κακίαν, ἢ δι' ἀκρατίαν, ἢ διὰ θηριότατα. ἀδικεῦντι δ' ἀλλάλως, ἢ διὰ κέρδος, ἢ δι' ἡδονάν, ἢ διὰ φιλοτιμίαν. ἁ μὲν ὦν κακία τῶ λογιστικοῦ μέρεος τᾶς ψυχᾶς ἐντὶ οἰκειοτέρα. προσέοικε γὰρ ἁ μὲν φρόνασις τᾷ τέχνᾳ, ἁ δὲ κακία, τᾷ κακοτεχνίᾳ * ἐξεῦρ. μαχανατικὸς γάρ ποθ' ἐνεύρισκει τὸ ἀδικεῖν. ἁ δ' ἀκρασία

* Lego ἔοικε

σία

Equidē ita statuo, & uera esse assero. Quod si igit̄ uera sunt, ei qui fœlix, ut decet, futurus est exercendā sectandamq; esse temperantiam: intemperantiā uero, quantū quisq; pedibus ualet, fugiendam. Opus est em̄ ita se præparare, maxime quidē ut castigatione nihil egeat: sin indiguerit, siue ipse, siue aliquis familiarium, siue priuatus quispiam, siue ciuitas, puniri & castigari debet. *Platonis in Gorgia.*

Iuxta Celænas urbem Phrygiæ uasto terrę hiatu aquæ pleno ob Iouis iram Idæi, facto, multæ domus cū ipsis habitatoribus immersæ sunt. Itaq; populo periclitante, Midas rex oraculū accepit, coituram terrā, si uoragini, quod in humana uita preciosissimum est, iniiceretur. Celænitis autē aurum & argentū mundumq; fœminarum barathro immittētibus, malo interim minime cessante, † Aegisteus Midę filius cum secum reputasset nihil in uita preciosius haberi quàm hominis animā, patrem amplexus, & mandatis uxori Timotheæ relictis, eques cum impetu in hiatum insilijt. *Callisthenis in 2. transformat.* *† Anchurus.*

Peste Lacedæmonios occupante propter necem legatorum, quos Xerxes miserat, terram & aquam petens ceu primitias prædæ, oraculum datū est liberandos ipsos, si qui modò Lacedæmoniorū Regi sese occidendos obtulissent. Tum Bules & Sperches adierunt regem cum suæ mortis petitione. Ille hominum uirtutem admiratus, domum reuerti iussit. *Ex Theseo.*

Sapiētia nihil admirās aut stupēs, rebus omnib. digna est, ut omniū preciosissima. *Democritus.*

Iterū quæsitus, utrū doctrina fortitudinē, an natura pareret: opinor dixit, ut corpus corpore robustius nascitur, sic etiam animū animo ad graues casus fortiorē natura fieri. Quin & eisdem legibus moribusq; educatos longè alios alijs audaciores uideo. Non tamen est dubium omnem indolem disciplina & exercitatione promoueri. Hinc fit quod Scythæ & Thraces non auderēt cum scutis & hastis se Lacedæmonijs opponere: neq; Lacedæmonij cōtra Thraces cum peltis & iaculis, aut contra Scythas cum arcubus pugnam inire uellent. *Xenophontis li. 3. de dictis & factis Socratis.*

Virtus est animi perfectio, modus optimus uitæ: eadem rationis, mentis, et cogitationis summa purissimaq; actio. Virtutis aūt opera boni formā habent, pulcherrima, intelligibilia, studiosa, mediocritate plena, tempestiua, finē optimum præcedentia, destinata, deniq; gratiosa quàm maximè conspiciuntur. *Iamblichi.*

Virtus in homine, absolutio est humanæ naturæ. Absolutū etenim ac perfectum unumquodq; fit, per conuenientem naturæ uirtutem. Proinde uirtus equi est, quæ naturam eius ad summū producit. Est autem eadem ratio in singulis partibus. Oculorum uirtus, uisus acumen, quod ipsum absolutio est oculorum naturæ. Virtus aurium est, auditus acer, qui quidem auriū naturæ est perfectio. Pedum uirtus habetur uelocitas, quę maxima ipsorū uis ac laus est. *Metopi Pythagorei Metapōtij*

Anima hoc modo distributa est. Vna eius pars est ratio: altera animositas: tertia cupiditas. Ratio cognitionem obtinet: animositas iracūdiam: cupiditas, quam principalem animæ partem uocant, liberè continet. Cum igitur pariter hæc tria conuenerint, in unam harmoniam redacta, uirtus & consensus animæ fit. Vbi uero mutua discordia diuelluntur, uitium & dissensio animæ oboritur. Porrò uirtus necessariò tria hæc complectitur, rationem, potentiam, ac uoluntatem. Rationalis igitur animę partis uirtus est prudentia: est enim iudicandi & contemplandi habitus. Animosæ partis, fortitudo: utpote habitus qui resistit difficultati rerum, easq; suffert. Partis ad cupiditates pronæ, temperantia: nam mediocritas est, & continentia uoluptatū corporis. Totius autem animæ, iustitia. Praui porrò homines fiunt, malignitatis, incontinentiæ, aut immanitatis culpa. Iniuriam uero sibi mutuo inferunt lucri, uoluptatis, ambitionisúe causa. Cæterum malignitas rationalis animæ partis magis est propria. Namq; prudentia artem refert, malignitas autem artem malam: semper enim aliquem sibi dolum & machinam prætexit improbitas. Intemperantia parti cupiditati *Theagetis.*

σίας μᾶλλον τῷ ἐπιθυμητικῷ. ἐν γὰρ τῷ κρατεῖν ἁδονᾶς, ἁ ἐγκράτεια. καὶ ἐν τῷ μὴ κρατεῖν, ἁ ἀκρατία. ἁ δὲ θηριότας, * τὸ θυμοειδές. ὅκα γὰρ τῇ ἐπιθυμίᾳ τὸ κακῶς ποιῆσαι χαίρηταί τις, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς θηρίον τὸ τοιόνδε ὀνομάζεται. ἀκόλουθα δὲ καὶ τὰ ἀποτελέσματα τᾶν διαθεσίων τούτων, ὧν περ ἕνεκα πράσσονται. αἱ μὲν γὰρ πλεονεξίαι, ἀπὸ κακίας. ἁ δὲ κακία, ἀπὸ τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς. καὶ ἁ μὲν, φιλοτιμία, ἀπὸ θυμοειδέος. αὕτα δ' ἐν ὑπερβολᾷ γενομένα, γεννῇ τὰν θηριότητα. πάλιν δὲ ἁ μὲν ἁδονὰ ἐν τῷ ἐπιθυμητικῷ, σφοδρότερον δὲ μαστευομένα, γεννῇ τὰν ἀκρατίαν. ὥς τ' ἐπεὶ τὸ ἀδικεῖν γίνεται δι' αἰτίας τοσαύτας, φανερὸν ὅτι τὸ δικαιοπραγεῖν γίνεται διὰ τὰς ἴσας. φύσει γὰρ ἁ μὲν ἀρετά, ἀγαθοποιὸς καὶ ὠφελητικά. ἁ δὲ κακία κακοποιὸς, καὶ βλαπτικά. ἐπεὶ δὲ τῶν τᾶς ψυχᾶς μερέων, τὸ μὲν ἐστὶ ἁγεόμενον, τὸ δ' ἑπόμενον: αἱ δ' ἀρεταὶ, καὶ αἱ κακίαι περὶ ταῦτα καὶ ἐν τούτοις, φανερὸν ὅτι καὶ τᾶν ἀρετᾶν, ταὶ μὲν, ἐντὶ ἁγεμονικαὶ, ταὶ δ' ἑπητικαὶ, ταὶ δὲ, σύνθετοι ἐκ τούτων. ἁγεμονικαὶ μὲν, οἷον, ἁ φρόνησις. ἑπητικαὶ δὲ, οἷον ἀνδρεία καὶ σωφροσύνα. σύνθετος δ' ἐκ τούτων, οἷον ἁ δικαιοσύνα. τὰ δὲ πάθεα, τᾶς ἀρετᾶς ὕλαι. περὶ ταῦτα γὰρ καὶ ἐν τούτοις αἱ ἀρεταί. τῶν δὲ παθέων, τὸ μὲν, ἑκούσιον. τὸ δ' ἀκούσιον. καὶ ἑκούσιον μὲν, ἁδονά: ἀκούσιον δὲ, λύπα. ὁ δὲ νόος ἐπ' ἄκρας τᾶς κορυφᾶς τῶ σώματος ἱδρυμένος, καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, μαστεύει τὰν τῶν ἐόντων φρόνασιν: καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον, καὶ κτησάμενον, ἀπολαῦσαι τοῖς βελτίοσιν αὐτῶ καὶ τιμιωτέροις. ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανὼν ἐντὶ τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας, ἁ τῶν θείων καὶ τιμιωτάτων ἐπίγνωσις. καθόλου μὲν ὦν ἀρετά, συναρμογά τις ἐντὶ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, ποτὶ τὸ λόγον ἔχον. γίνεται δ' αὐτᾶς, τὸν κατὰ τὰν ἁδονὰν καὶ τὰν λύπαν ὅρον ἐπιδέξασθαι τὸν τῶ δέοντος. αὐτὸ δὲ τὸ δέον ἐντὶ, ὅπως δεῖ ἦμεν. τὸ δὲ μὴ δέον, ὅπως οὐ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεα δύο. τὸ μὲν, ὑπερβολά, τὸ δ' ἔλλειψις. καὶ ὑπερβολὰ μὲν ἐντὶ, τὸ πλέον τῶ δέοντος. ἔλλειψις δὲ, τὸ ἔλασσον τῶ δέοντος. τὸ δὲ δέον αὐτὸ ἐὸν, ὅπερ δεῖ ἦμεν, καὶ ἄκρον ἂν ὑπάρχοι καὶ μέσον. ἄκρον μὲν, ὅτι οὔτ' ἀφαιρέσιος, οὔτε προσθέσιος δεῖται. μέσον δὲ, ὅτι μεταξύ ἐντὶ τᾶς ὑπερβολᾶς, καὶ τᾶς ἐλλείψιος.

ἔχει δὲ τὸ δέον καὶ μὴ δέον εἰς ἄλληλα οὕτως: ὥσπερ τὸ ἴσον καὶ ἄνισον, καὶ τὸ τεταγμένον καὶ ἄτακτον (ταῦτα δ' ἐντὶ ἀμφότερα, τὸ πεπερασμένον καὶ τὸ ἄπειρον) καὶ διὰ τοῦτο τῶ ἀνίσου τὰ μέρεα, λέγονται ποτὶ τὸ μέσον; ἀλλ' οὐ ποτ' ἄλλαλα. ἀμβλεῖα τε γὰρ ὀνομάζεται γωνία, ἁ μείζων ὀρθᾶς, ὀξεῖα δὲ, ἁ μείων ὀρθᾶς. καὶ μείζων μὲν εὐθεῖα, ἁ ὑπερέχουσα τὰν ἐκ τῶ κέντρου. καὶ μακροτέρα μὲν ἁμέρα ἰσημερινᾶς. καὶ τε νόσοι τε γίνονται τῶ σώματος, * θερμότερον ἢ κρυμωδέστερον γίνεσθαι τὸ σῶμα. τὸ μὲν γὰρ θερμότερον ἐντὶ, τὸ πλέον τῶ μετρίου: τὸ δὲ κρυμωδέστερον, ἔλασσον τούτω. ἔχει δέ γε καὶ ἁ ψυχὰ, καὶ τὰ περὶ αὐτὰν, τὰν διάθεσιν, καὶ τὰν ἀναλογίαν ταύταν. ἁ μὲν ὦν θρασύτας ἐντὶ, ὑπερβολὰ τῶ δέοντος, ἐν ὑποστάσει δεινῶν. ἁ δὲ δειλότας, ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ὀργὰ, ἐν τῇ ὑπερβολῇ τῶ δέοντος ἐν ὁρμᾷ θυμῶ. ἁ δ' ἀναλγησία, ἔλλειψις τούτου. ὁ δ' αὐτὸς λόγος, καὶ ἐπὶ τῶν ἄλλων διαθεσίων τῶν ἀντικειμένων. δεῖ δ' ἕξιν τῶ δέοντος ὑπάρχουσαν τὰν ἀρετὰν, καὶ μεσότητα τῶν παθέων, μήτ' ἀπάθειαν, μήτ' ἐκπάθειαν ἦμεν. ἁ μὲν γὰρ ἀπάθεια, ἀπαρόρματον καὶ ἀνενθουσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν. ἁ δ' ἐκπάθεια, συντεταραγμέναν καὶ ἀνεπιλόγιστον.

δεῖ ὦν τὸ πάθος οὕτω ἐμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ, ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν γραμμὰν ἐπὶ τᾶς γραφᾶς. τὸ γὰρ ἔμψυχον καὶ τὸ ἁπαλὸν, καὶ τὸ μεμιμαμένον τὰν ἀλάθειαν σὺν τᾷ χρηστότατι τῶν χρωμάτων, μάλιστα γίνεται διὰ τούτων. ἔμψυχα δὲ ἐκ παρορμάσιος καὶ ἐνθουσιασμῶ ἀρετᾶς τὰ κατὰ φύσιν τὰ πάθεα τᾶς ψυχᾶς. γίνεται γὰρ ἐκ παθέων ἁ ἀρετά, καὶ γεννηθεῖσα, πάλιν σὺν αὐτοῖς συνίσταται. ὥσπερ τὸ καλῶς ἡρμοσμένον ἐκ τῶ ὀξέος καὶ βαρέος, καὶ τὸ εὔκρατον, ἐκ τῶ θερμοῦ καὶ ψυχροῦ. οὐκ ἀφελεῖν οὖν δεῖ τὰ πάθεα τᾶς ψυχᾶς, οὔτε γὰρ ὠφέλιμον: ἀλλὰ συναρμόσασθαι ποτὶ τὸ λόγον ἔχον τῶ δέοντος καὶ τῶ μετρίω.

Ἰσοκράτους. Ἰσοκράτης εἶπεν, ὅτι τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα, δεῖ τῶν μὲν προγεγενημένων μεμνῆσθαι, τὰ δὲ ἐνεστῶτα πράττειν, περὶ δὲ τῶν μελλόντων φυλάττεσθαι.

* τῶ θυμοειδέος.

* διὰ τὸ θερμότερον.

bus obnoxiæ finitima existit. Quoniam temperantia in moderatione uoluptatū constat: intemperantia uero, in immoderatione. Immanitas, animositatis est: qui enim suæ libidini in malis facinoribus indulget, ab humanitate ad belluinam naturam accedit. Similes sunt etiam effectus istorum habituū, à quibus quasi fontibus emanāt. Nempe auaritia, à malignitate. Malignitas à rationali animi parte: ut ab animosa, ambitio, & immanitas, si modus omnis absit. Rursus in ea animæ parte, quæ cupiditates sequitur, locum habet uoluptas, quæ supra modum expetita intemperantiam facit. Postquam igitur tot ob causas iniustum esse contingit, nimirum totidem sunt quæ nos ad iusta faciendum mouent. Natura enim uirtutis est, benefacere, iuuare: malitiæ uero, malefacere, obesse. Cæterum cum animæ partes, aliæ sint tanquam duces, aliæ posteriores, uirtutes autem & uitia quæuis circa ipsas uersentur: apparet etiam uirtutum alias esse principes, alias inferiores tanquam assecias, & tertias ex utrisq; compositas. Principes quidem, ut prudentia. Satellites autem, ut fortitudo & temperantia. Ex illis composita, ut iustitia. Affectus, materia & subiectum uirtutis sunt. Nanq; circa & in ipsis uirtutes consistunt. Affectuum uero quidam uoluntarij, quidam inuoluntarij sunt: uolentibus quidem uoluptas, dolor inuitis accidit. Porrò mens in summo corporis uertice sita, undiq; conspicua & clara fruens speculatione, rerum inquirit consyderationem. Quærenti autem ipsi & acquirenti hoc à natura propriū opus est, ut se meliora & preciosissima quæq; sequatur. Principium etenim, causa, & amussis humanæ fœlicitatis est, diuinorum præstantissimorumq; cognitio. Itaq; uirtus in uniuersum, uinculum est quoddam irrationalium animæ partium, ad eam quæ ratione utitur. Definitionem autem aliquæ uirtutum sortiuntur, quòd circa uoluptates aut dolores, ita ut decet, uersentur. Decorum uero est, sic ut fieri oportet. Indecorum, quod factu importunū est: cuius duo sunt discrimina, unum excessus, alterum defectus. Ille plus est quàm deceat: hic minus. Cum igitur decorum id ipsum sit, quod fieri oportet, tam summum quàm medium nominari potest. Summum quidem, quod nihil sibi uel addi, uel auferri postulet. Medium autem, quod inter excessum atq; defectum sit locatum. Cæterum decorum & indecorum ita se inuicem habent, ut æquale & inæquale, ordinatum & inordinatum. Partes enim alicuius inæqualis ad medium suum, non ad se inuicem referuntur. Itaq; angulum obtusum nominamus qui maior est recto: acutum uero, qui recto minor est. Item rectam lineam maiorem, quæ excedit illam quæ à centro ducitur. Sic dies longior dicitur, nimirum quàm æquinoctialis. Ita corpus morbis afficitur, aut calidiore, qui supra mediocritatem: aut frigidiore, qui infrà consistit. Eadem est ratio ac proportio in anima, & eis quæ circa ipsam consyderantur. Igitur audacia excessus est decori in grauibus rebus sustinendis. Eiusdem defectus est, timiditas. Item ira supra quàm decet animi sequitur impetum: indolentia, minus. Itidem se habet in alijs affectionibus circa sua obiecta. Decet autem ipsum decori habitum, qui uirtus dici meretur, & affectuū mediocritas, neq; nullis neq; nimijs duci affectibus. Immobilitas enim, quam Græci uocant ἀπάθειαν, animum adeo facit ignauum, ut ne ad bona quidem studiose, & quo conuenit motu feratur. Contrà, pluribus affectibus anima perturbatur, & absq; ratione agit. Quamobrem opus est affectus ita inesse uirtuti, ut umbra et linea sunt in pictura, quam uiuam quodammodo, blandam, & ad rem ipsam maxime expressam cum bonitate colorum efficiunt. Sic etiam affectus animæ secundum naturam se habentis, cum ad uirtutem diuino quodam impetu rapiuntur, uitam continere uidentur. Sane uirtus ex affectibus & nascitur, & nata rursum cum ipsis constat: Vt quod suauiter concinnum est, ex acuto & graui: quod recte temperatum, ex calido & frigido compositum est. Quapropter affectus ex anima tollendi non sunt, quod inutile foret: sed cum decori & modi ratione conciliandi.

Isocrates dixit frugi et bonum uirum debere præteritorū meminisse, agere præsentia, futura cauere. Isocratis.

Ἀριστοτέλους. Ἀριστοτέλης εἶπεν· ἐπειδὴ μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεθα, δεῖ βούλεσθαι ὡς γίνεται.

Χίλωνος. Ζημίαν αἱροῦ * μάλιστα, ἢ κέρδος αἰσχρόν. τὸ μὲν γὰρ, ἅπαξ σε λυπήσει· τὸ δὲ, διαπαντός.

* μᾶλλον

Βίαντος. Βραδέως ἐγχείρει τοῖς πραττομένοις· ἐγχειρήσας δὲ, πρᾶττε βεβαίως.

Θεοβούλου. Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου.

Πλάτωνος. Σωκράτης ἔλεγεν, ὡς ἥκιστα τοῖς δυνάσταις, ἢ ὡς ἥδιστα ὁμιλεῖν.

Μάλιστα ἐπιμελεῖσθαι χρὴ, ὅπως ἕκαστος ἡμῶν τῶν ἄλλων μαθημάτων ἀμελήσας, τούτου τοῦ μαθήματος καὶ μιμητὴς καὶ μαθητὴς ἔσται· ἐάν ποθεν οἷός τ' ᾖ μαθεῖν καὶ ἐξευρεῖν τίς αὐτὸν ποιήσει δυνατὸν καὶ ἐπιστήμονα, βίον χρηστὸν καὶ πονηρὸν διαγινώσκοντα τὰ βελτίω ἐκ τῶν δυνατῶν ἀεὶ πανταχοῦ αἱρεῖσθαι.

Ἰσαίου. Ἡγοῦμαι μεγίστην εἶναι τῶν λειτουργιῶν, τὸ καθ' ἡμέραν βίον κόσμιον καὶ σώφρονα παρέχειν.

Ἰσοκράτους πρὸς Δημόνικον. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. τῇ δὲ ὀργῇ παραπλησίως ἔχε εἰς τοὺς ἁμαρτάνοντας, ἢ περὶ σὲ τοὺς ἄλλους ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δὲ ἡδοναῖς δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἐπιβλέπῃς ἀτυχίας, καὶ σαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι. τὸ δὲ περὶ τὴν ἀρετὴν ἀεὶ πονεῖν, καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι. τοὺς μὲν θεοὺς φοβοῦ· τοὺς δὲ γονεῖς τίμα. τοὺς φίλους αἰσχύνου. τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης. τέρψις γὰρ σὺν τῷ καλῷ μὲν, ἄριστον. ἄνευ δὲ τούτου, κάκιστον.

Μουσωνίου. Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι, μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην βιῶσαι.

Δημοκρίτου. Ἀνθρώποις ἁρμόδιον, ψυχῆς μᾶλλον ἢ σώματος ποιεῖσθαι λόγον. ψυχὴ μὲν γὰρ τελεωτάτη, σκήνεος μοχθηρίαν ὀρθοῖ. σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ, ψυχὴν οὐδέν τι ἀμείνω τίθησι.

Ἐκ τοῦ Ἰαμβλίχου. Ψυχῇ ζῶντας ἡμᾶς, τῇ ταύτης ἀρετῇ ῥητέον εὖ ζῆν, ὡς ὀφθαλμοῖς ὁρῶντας, τῇ τούτων ἀρετῇ καλῶς ὁρᾶν.

Καθάπερ εἰς ἄσυλον τέμενος τὴν ἀρετὴν ὁρμητέον. ὅπως εἰς μηδεμίαν ἀγεννῆ τύχης ὕβριν ὦμεν ἔκδοτοι.

Ἀντισθένους. Οὔτε συμπόσιον χωρὶς ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.

Οὔτε ἐξ ἱεροῦ βωμόν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον.

Φωκίωνος. Πυθαγόρας ἔφη, ὅτι χρὴ βίον αἱρεῖσθαι τὸν ἄριστον. ἡδὺν γὰρ αὐτὸν ἡ συνήθεια ποιήσει. πλοῦτος ἀσθενὴς ἄγκυρα. δόξα ἔτι ἀσθενεστέρα. τὸ σῶμα ὁμοίως, αἱ ἀρχαί, αἱ τιμαί. πάντα ταῦτα ἀσθενῆ καὶ ἀδύνατα. τίνες οὖν ἄγκυραι δυναταί; φρόνησις, μεγαλοψυχία, ἀνδρεία: ταύτας οὐδεὶς χειμὼν σαλεύει. οὗτος θεοῦ νόμος, ἀρετὴν εἶναι τὸ ἰσχυρὸν μόνον: τὰ δ' ἄλλα, λῆρον.

Ἄγρυπνος ἔσο τῷ νῷ. συγγενὴς γὰρ τοῦ ἀληθινοῦ θανάτου οὗτος ὁ ὕπνος.

Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοοῦ ποιεῖν.

Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους, τοὺς κατὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμένοντας.

Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαρρεῖν, ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην.

Ἰσχὺν τῇ ψυχῇ αἱροῦ μᾶλλον ἢ τῷ σώματι.

Πείθου μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις.

Πρᾶττε μεγάλα, μὴ ὑπισχνούμενος μεγάλα.

Τύχη

Aristoteles dixit, Quoniam euentus rerum nostræ uoluntati se non accommodant, nos uoluntatem euentibus accommodare oportet. *Aristotelis.*

Multo magis damnum, quàm turpe lucrum elige. Quippe illud semel duntaxat molestum, hoc perpetuo futurum est. *Chilonis.*

Aggredere tardus agenda, agressus age constans. *Biantis.*

Obscurorum coniecturam ex euidentibus facito. *Theobuli.*

Socrates aiebat, aut quàm rarissime proceribus, aut quàm gratissime conuiuendũ. *Platonis.*

Maxima hæc esse cura debet, ut unusquisque nostrũ posthabitis aliis studiis, huius in primis imitatorem & discipulũ se faciat, sicunde discere & inuenire queat, quo pacto bonam uitam à mala discernendi potens sciensque, semper optima, quoad eius fieri licet, ubique seligat.

Officium inter diuina mihi maximum uidetur, uitam quotidie modestam & temperantem præstare. *Isei.*

A quibus animam detineri turpe est, eorum continentiam meditare, lucri, iræ, uoluptatis, doloris. Cõtinens aũt horũ euades, si primo lucrum existimes, quod gloriam, non quod pecuniam auget. Quod ad iracundiã, non aliter in peccantes affici debes, quàm alios uelles erga teipsum. In iucundis tibi temperabis, si reputes dedecus esse seruis imperare, uoluptatibus seruire. In tristibus, si aliorum intuearis infortunia, et te hominẽ esse memineris. Inprimis uero ad bene faciendum incitabere, si intellexeris inde etiam uoluptates pendere. Nam in uita socordi, et epularũ studiosa, mox dolores uoluptatibus coalescũt: uirtuti aũt uacare, & uitam sobriam instituere, gaudia syncera semper diuturnioraque reddit. Deos time. Parentes honora. Amicos reuerere. Voluptates aucupare, quę tibi gloriosę sint. Delectatio eñ iuncta honesto, optima: secus, pessima est. *Isocratis ad Demonicum.*

Nõ licet pręsentẽ diem recte uiuere, nisi quasi ultimã uicturus cogitaueris. *Musonii.*

Conuenit homines animæ magis, quàm corporis habere curam. Siquidem anima perfectissima, corporis uitia leuat. Robur autẽ corporis absque ratione, nihilo meliorem reddit animam. *Democriti.*

Cum anima uiuamus, eiusdem uirtute nos bene uiuere dicendum est. Vt cum oculis cernamus, ipsorum quoque uirtute bene cernimus. *Iamblichi.*

Tanquam in asylum templum ad uirtutem confugiendum est, ne cui turpi iniuriæ fortunæ expositi simus.

Symposiũ nullã sine cõuiuis gratiã, neque diuitię sine uirtute uoluptatẽ hñt. *Antisthenis.*

Neque aram è fano, neque misericordiam ex humana natura tollere conuenit.

Pythagoras monuit uitã eligendã esse optimã: gratã eñ ipsam consuetudo efficiet. Opes, anchora imbecillis. Gloria adhuc infirmior. Itidem corpus, magistratus, honores. Hæc omnia nihil firmũ aut ualidũ habent. Quęnam igitur fortes sunt anchoræ? Prudẽtia, magnanimitas, fortitudo. Has nulla tempestas quassat. Hæc diuina lex est, ut uirtus una sit potens: reliqua cuncta, nugæ. *Phocionis.*

Mente uigil esto. Huius etenim somnus ueræ morti finitimus est.

Quæ fieri non decet, de faciendo ne minimum quidem animum induc.

Comparandi sunt liberi, & maritus, & amici, qui ad mortem usque constantes sint.

Satius est humi cubantem uiuere & bono animo esse, quàm perturbatum in aureo lecto.

Vires animi potius quàm corporis tibi compara.

Persuasus esto tuam non esse possessionem, quam in animo non habes.

Fac magna, non magna promitte.

Τέκνα μάθη τίκτειν, οὐ τὰ γηροβοσκήσοντα τὸ σῶμα, τὴν δὲ ψυχὴν θρέψοντα τῇ ἀϊδίῳ τροφῇ.

Τὰ ἐπίπονα, τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν.

Χαλεπὸν πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν.

Ψυχῆς πᾶν πάθος εἰς σωτηρίαν αὐτῆς πολεμιώτατον.

Ὧν ἡ ψυχὴ κυρία δύναται καὶ ἀφελέσθαι, οὐ δεήσῃ οὐδενός.

Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων, καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά σοι ἀσκουμένῳ τοὺς θεοὺς παρακάλει γίνεσθαί σοι συλλήπτορας.

Ὧν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει.

Δημοκρίτου. Νόμῳ καὶ ἄρχοντι σοφωτέρῳ εἴκειν κόσμιον.

Ὅρος συμφορέων καὶ ἀσυμφορέων, τέρψις καὶ ἀτερψίη.

Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν, ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ' ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο.

Διογένους. Πυνθανομένου τινός, πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένοιτο. εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις ἔφη, καὶ ἑαυτῷ ἐπιτιμώη μάλιστα.

Πλάτωνος ἐν πολιτείᾳ πέμπτῃ. Ὅτι μάταιος, ὃς γελοῖον ἄλλο τι ἡγεῖται, ἢ τὸ κακόν. καὶ ὁ γελωτοποιεῖν ἐπιχειρῶν, εἰς ἄλλην τινὰ ὄψιν ἀποβλέπων, ὡς γελοίου ἢ τὴν τοῦ ἄφρονός τε καὶ κακοῦ. καὶ καλοῦ αὖ σπουδάζει, ὡς ἄλλον τινὰ σκοπὸν στησάμενος, ἢ τὸν τοῦ ἀγαθοῦ.

Τοῦ αὐτοῦ, ἐν ἐννάτῃ. Τῶν *μὴ ἀναγκαίων ἡδονῶν τε καὶ ἐπιθυμιῶν, δοκοῦσί τινές μοι εἶναι παράνομοι, αἳ κινδυνεύουσιν ἐγγίγνεσθαι μὲν ἐν παντί· κολαζόμεναι δὲ ὑπό τε τῶν νόμων, καὶ τῶν βελτιόνων ἐπιθυμιῶν μετὰ λόγου, ἐνίων μὲν ἀνθρώπων, ἢ παντάπασιν ἀπαλλάττεσθαι, ἢ ὀλίγαι λείπεσθαι, καὶ ἀσθενεῖς. τῶν δὲ ἰσχυρότεραι καὶ πλείους. λέγεις δὴ τίνας, ἔφη, ταύτας; τὰς περὶ τὸν ὕπνον, ἦν δ' ἐγώ, ἐγειρομένας. ὅταν τὸ μὲν ἄλλο τῆς ψυχῆς εὕδῃ, ὅσον λογικὸν καὶ ἥμερον, καὶ ἄρχον ἐκείνου. τὸ δὲ θηριῶδές τε καὶ ἄγριον, ἢ σίτου, ἢ μέθης πλησθέν, σκιρτᾷ τε καὶ ἀπωσάμενον τὸν ὕπνον, ζητεῖ ἰέναι, καὶ ἀποπιμπλάναι τὰ αὑτοῦ ἤθη, οἶσθ' ὅτι πάντα ἐν τῷ τοιούτῳ τολμᾷ ποιεῖν, ὡς ἀπὸ πάσης λελυμένον τε καὶ ἀπηλλαγμένον αἰσχύνης καὶ φρονήσεως. μητρί τε γὰρ *ἐπιθυμεῖ μίγνυσθαι, ὡς οἴεται, οὐδὲν ὀκνεῖ, ἄλλῳ τε ὁτῳοῦν ἀνθρώπων καὶ θεῶν, καὶ θηρίων, μιαιφονεῖν τε ὁτιοῦν· βρώματός τε ἀπέχεσθαι μηδενός. καὶ ἑνὶ λόγῳ, οὔτε ἀνοίας οὐδὲν ἐλλείπει, οὔτ' ἀναισχυντίας. ἀληθέστατα ἔφη λέγεις. ὅταν δέ γ' οἶμαι ὑγιεινῶς τις ἔχῃ αὐτὸς αὑτοῦ καὶ σωφρόνως, καὶ εἰς τὸν ὕπνον ἴῃ, τὸ λογιστικὸν μὲν ἐγείρας αὑτοῦ, καὶ ἑστιάσας λόγων καλῶν καὶ σκέψεων, εἰς σύννοιαν αὐτὸς *αὑτοῦ ἀφικόμενος· τὸ ἐπιθυμητικὸν δέ, μήτ' ἐνδείᾳ δούς, μήτε πλησμονῇ, ὅπως ἂν κοιμηθῇ, καὶ μὴ παρέχῃ θόρυβον τῷ βελτίστῳ χαῖρον ἢ λυπούμενον, ἀλλ' ἐᾷ αὐτὸ καθ' αὑτὸ μόνον καθαρὸν σκοπεῖν καὶ ὀρέγεσθαι του αἰσθάνεσθαι ὃ μὴ οἶδεν, ἤ τι τῶν γεγονότων, ἢ ὄντων, ἢ καὶ μελλόντων. ὡσαύτως δὲ καὶ τὸ θυμοειδὲς πραΰνας, καὶ μή τισιν εἰς ὀργὴν ἐλθών, κεκινημένῳ τῷ θυμῷ καθεύδῃ, ἀλλ' ἡσυχάσας μὲν τὼ δύο εἴδη, τὸ τρίτον δὲ κινήσας, ἐν ᾧ τὸ φρονεῖν ἐγγίγνεται, οὕτως ἀναπαύηται, οἶσθ' ὅτι τῆς ἀληθείας ἐν τῷ τοιούτῳ μάλιστα ἅπτεται, καὶ ἥκιστα παράνομοι τότε αἱ ὄψεις φαντάζονται τῶν ἐνυπνίων; παντελῶς μὲν οὖν ἔφη, οἶμαι οὕτως. ταῦτα μὲν τοίνυν ἐπὶ πλέον ἐξηνέχθημεν εἰπεῖν. ὃ δὲ βουλόμεθα γνῶναι, τόδ' ἐστίν. ὡς ἄρα δεινόν τι καὶ ἄγριον καὶ ἄνομον ἐπιθυμιῶν εἶδος ἑκάστῳ ἔνεστι, καὶ πάνυ δοκοῦσιν ἡμῶν ἐνίοις μετρίοις εἶναι. τοῦτο δὲ ἄρα ἐν τοῖς ὕπνοις γίνεται ἔνδηλον.

*μὴ
* ἐπιχειρεῖ
* αὐτῷ

Τοῦ αὐτοῦ ἐκ τοῦ Κλειτοφῶντος. Καὶ ὅταν λέγῃς, ὡς ὅτῳ τις μὴ ἐπίσταται χρῆσθαι, κρεῖττον ἐᾶν τὴν τούτου χρῆσιν. εἰ δή τις μὴ ἐπίσταται ὀφθαλμοῖς χρῆσθαι, μηδὲ ὠσί, μηδὲ ξύμπαντι τῷ σώματι, τούτῳ μήτε ἀκούειν, μήθ' ὁρᾶν, μήτε ἄλλην χρείαν μηδεμίαν χρῆσθαι, τῷ σώματι κρεῖττον, ἢ ὁπηοῦν χρῆσθαι. καὶ δὴ καὶ περὶ τέχνην ὡσαύτως. ὅστις γὰρ ἂν δὴ μὴ ἐπίσταται τῇ ἑαυτοῦ λύρᾳ χρῆσθαι, δῆλον ὡς οὐδὲ τῇ τοῦ γείτονος. οὐδὲ ὅστις μὴ τῇ τῶν ἄλλων, οὐδὲ τῇ ἑαυτοῦ, οὐδὲ τῶν ὀργάνων ἄλλῳ, οὐδὲ κτημάτων οὐδενί. καὶ τελευτᾷ δὴ καλῶς ὁ λόγος οὗτός σοι, ὡς ὅστις ψυχῇ μὴ ἐπίσταται χρῆσθαι, τούτῳ τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ, καὶ μὴ ζῆν, κρεῖττον, ἢ ζῆν πράττοντι καθ' αὑτόν. εἰ δέ τις ἀνάγκη ζῆν εἴη, δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν βίον.

Οὐκοῦν

Liberos generare disce, nō q te senē, sed qui aīam īmortalitatis cibo nutriāt

Puta plus ad uirtutem conferre laboriosa iucundis.

Difficile est multas uitæ uias simul ingredi.

Omnis animi affectus, eius incolumitati aduersissimus est.

Nulla re indigebis, quam dare aut auferre penes animam est.

Quibus à corpore solutus nō egebis, illa omnia contemne: & quibus etiam defuncto erit opus, illis tibi uacanti deos adiutores precibus aduoca.

Quorum causa uitam cupis, propter eadem quoq; mori ne dubites.

Legi ac principi sapientiori cedere par est. Democriti.

Vtilium ac inutilium termini sunt, iucundum & iniucundum.

Optimum homini uitam agere animo ut plurimum lęto, rarissimè tristato, quod fieri poterit, si uoluptates non in perituris rebus locentur.

Interrogatus quo quis modo sibijpsi præceptor foret, respondit: Si de quibus alios reprehendit, seipsum in primis increpet. Diogenis.

Vanus est homo, qui ridiculum aliud æstimat, quàm malum: Et qui risum mouere uolens, non insipientis et mali, sed cuiusdam alterius uultū intuetur. Vanus etiā est, qui cū honesto studeat, scopū sibi aliū uirū, q̄ bonū, proponit. Platonis in 5. Reipub.

Earum uoluptatum cupiditatúmque, quæ non necessariæ sunt, uidentur mihi quædam legibus repugnantes omnibus inesse quidem: legibus autem & melioribus cupiditatibus pariter cum ratione castigatæ, in quibusdam hominibus uel omnino obsolescere, uel adeo reprimi, ut raræ admodum exilesq; reddantur: in alijs autem uehementiores frequentioresq; euadere. Quas potissimum istas uocas? Quę in somnis sæpius excitantur, quoties animi pars illa quæ rationis particeps mansuetaq;, & illius domina est, dormit: ferina autem & agrestis, cum sit immoderato potu atq; pastu repleta, exultat, tentatq; excutere somnum, & solitis libidinibus indulgere. Tunc quippe nihil est quod non audeat, ueluti soluta & libera omnibus uerecundiæ prudentiæq; præceptis: ut aut cum matre corpus miscere nitatur, aut cum quouis alio homine uel deo, sæpe & belua: atq; etiam trucidare aliquem, & impie cruentari, & à nulla prorsus uoracitate abstinere: nec, ut breui complectar, ab ulla insania uel impudentia temperare. Vera nimium loqueris. At cum quis rectè moderateq; habens, quieti se tradiderit, ea parte animi in qua est ratio, excitata & recta, saturátaq; bonarum cogitationum epulis, & ad seipsam contemplando conuersa: ea uero, quæ uoluptate alitur, nec inopia pressa, nec satietati affluenti, ut quiescat maxime, neq; optimam partem illam aut gestiendo, aut mœrendo perturbet, sed sinat eam per seipsam solam ac purā consyderare, indagare atq; percipere quicquid ignotum hactenus uel præsentium, uel præteritorum, uel futurorum: illa etiam tertia parte animi, in qua irarum æstuat ardor, sedata atq; restincta, usq; adeò ut nulli infensa quiescat: atq; ita inquam, partibus quidem duabus pacatis, mente uero erecta, somno se comparet, tunc demum mens pura ueritatem attingit, neq; insomniorum uisa nefaria sese obijciūt. Sic prorsus existimo. Quid plura? Id summatim uolumus, Vnicuiq; speciem quandā inesse cupiditatum diram, agrestem, iniquam, atq; etiam in his qui inter homines maxime moderati uidētur, quod in somnis fit manifestū. Eiusdē in principio 9. de Repub.

Placet etiam quod dicis, melius esse multo usum eius rei prætermittere, qua quis rectè uti nequeat. Itaq; illi qui oculis, auribus, toto corpore, nescit uti, præstare neq; uidere, neq; audire, neq; ullo modo uti corpore, quàm uti. Similiter & in artibus. Quicunq; enim lyra propria uti nescit, patet ut ipse ais, quòd neq; alterius lyra scit uti: & qui aliena nescit uti, nescit & sua. Eademq; est de cæteris instrumentis & possessionibus ratio. Atq; eò tandem præclarè tibi sermo procedit, ut inferas, qui nescit anima uti, præstare huic ut ociū agat aīa, neq; uiuat, q̄ ut uiuat, & sui iuris in agendo ipse sit: Quē si qua necessitas cogit uiuere, melius huic esse ut seruus uitā ducat q̄ liber. Eiusdem in Clitophonte.

Τοῦ αὐτοῦ, ἐκ τοῦ Ἀλκιβιάδου δευτέρου.

Οὐκοῦν φαμὲν πάλιν τοὺς πολλοὺς διημαρτηκέναι τοῦ βελτίστου, ὡς τὰ πολλά γε οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότας; φαμὲν γάρ. λυσιτελεῖ ἄρα τοῖς πολλοῖς, μήτε εἰδέναι μηδὲν, μήτε οἴεσθαι εἰδέναι. εἴπερ γε προθυμήσονται μᾶλλον πράττειν ταῦτ' ἅττ' ἂν εἰδῶσιν, ἢ οἰηθῶσιν εἰδέναι. πράττοντες δὲ βλάπτεσθαι τὰ πλείω μᾶλλον, ἢ ὠφελεῖσθαι. ἀληθέστατα λέγεις. ὁρᾷς οὖν ὅτε γ' ἔφην; κινδυνεύειν τότε τῶν ἄλλων ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτό. ἆρ' οὐχὶ τῷ ὄντι ὀρθῶς ἐφαινόμην λέγων; καὶ εἰ μὴ τότε, ἀλλὰ νῦν μοι δοκεῖ ὦ Σώκρατες. δεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλλουσαν ὀρθῶς βιώσεσθαι, ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι ἀτεχνῶς. ὥσπερ ἀσθενοῦντα ἰατροῦ, ἤ τινος κυβερνήτου τὸν ἀσφαλῶς μέλλοντα πλεῖν.

Ξενοφῶντος ἀπομνημονευμάτων β'.

Ὅσαι δὲ ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας μαθήσει τε καὶ μελέτῃ αὐξανομένας.

Πλάτωνος.

Τούτοις δὴ τοῖς λόγοις παγκάλως λεγομένοις, ὡς διδακτὸν ἀρετὴ, καὶ πάντων ἑαυτοῦ δεῖ μάλιστα ἐπιμελεῖσθαι, σχεδὸν οὔτ' ἀντεῖπον πώποτε, οὔτ' οἶμαι μή ποτε ἕξειν ὑπὲρ ὧν ἀντείπω.

Τοῦ αὐτοῦ ἐν τρίτῃ πολιτείᾳ.

Ἀλλὰ μὴν οὐδὲ φιλογέλωτας δεῖ εἶναι. ὅταν τις σχεδὸν γὰρ ἐφιῇ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτο. δοκεῖ μοι ἔφη. οὔτε ἄρα ἀνθρώπους ἀξίους λόγου κρατουμένους ὑπὸ γέλωτος, ἄν τις ποιῇ, ἀποδεκτέον, πολὺ δὲ ἧττον ἐὰν θεούς.

Θάλλουσα λυπεῖ τοὺς ἄγαν ὑπερφρονας.)

Εὐριπί. αὐγῇ.

Ἔστι καὶ πταίσαντ' ἀρέταν ἀποδείξασθαι θανάτῳ.

Μενάνδρου.

Οὗτος κράτιστός ἐστ' ἀνὴρ ὦ Γοργία,
ὅς τις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται βροτῶν.

Εὐριπίδου ἀντιόπῃ.

Τρεῖς εἰσὶν ἀρεταὶ, ἃς χρὴ ἀσκεῖν ὦ τέκνον.
θεούς τε τιμᾶν, τούς τε θρέψαντας γονεῖς,
νόμους τε κοινοὺς Ἑλλάδος, καὶ ταῦτα δρῶν
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

Τοῦ αὐτοῦ.

Ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι
σοφὸν, ταράσσων μηδὲν ὧν πόλις νοσεῖ.

Ἔνεστι δ' οἶκτος ἀμαθίᾳ μὲν οὐδαμοῦ
σοφοῖσιν ἀνδρῶν. καὶ γὰρ οὐ δι' ἀζήμιον
γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφόν.

Θεόγνιδος.

Μή ποτ' ἐπαινέσῃς πρὶν ἂν εἰδῇς ἀνδρὸς ἀφανέως
ὀργὴν καὶ θυμὸν, καὶ τρόπον ὅν τιν' ἔχει.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες,
κρύπτουσ' ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην.

Σωπάτρου.

Τῆς τύχης σκοπεῖν δεῖ τὸ μέγιστον, ὡς ἔλαττον, καὶ τὸ μὴ παρὸν μὴ θέλειν. οὐδὲ γὰρ σὸν δεῖν. ἀμφότερα μένειν οὐκ οἶδεν. οὐ στήκει γὰρ οὐδέν. ἐὰν πλούσιος ἂν καθ' ἡμέραν σκοπῇς τὸ πλεῖον, εἰς τοσοῦτον εἶ πτωχὸς, εἰς ὅσον εἶ πλούσιος. ὡς πένης θέλεις ζῆν, καὶ πλούσιος πλεῖον ἔχειν, ἴσον ἔχουσιν αὐτῶν αἱ ψυχαὶ τὸ μεριμνᾶν.

Λύπη σε μακρὰν προφεύξεται ἀγαθὰ φρονοῦντα. μιμοῦ τὸ καλὸν, καὶ μενεῖς ἐν βροτοῖς ἄριστος. νόμος ἐστὶ θεὸς, τοῦτον ἀεὶ πάντοτε τίμα. ξένος ὀφείλεις εἶναι τῶν καλῶς φρονούντων. ὅπου καλῶς βιοῖς, παράμενε, καὶ εὐτυχεῖς τὰ πάντα. παρατάξει τὰ πάντων καλὰ, καὶ ταῦτα σὺ μιμοῦ. ῥῆσιν δ' ἀγαθὴν δεδομένην, φύλαττε σαυτῷ. σοὶ τοῦτο γενέσθω φίλον, μηδὲν ἀτακτεῖν, τὴν ἡσυχίαν κατὰ βίον ἵνα πάντοτε τηρῇς. ὑγιαίνειν εὔχου τοῖς θεοῖς ἐφ' ὅσον ἔχεις ζῆν.

Πιττακοῦ.

Παρακαταθήκην λαβὼν δικαίως ἀπόδος.

Λίνου.

Φράζεο δὴ σπουδὴν ἐντεινάμενος δ' ἀκοαῖς
μύθων ἡμετέρων, ἀτραπὸν περὶ παντὸς ἀληθῆ,

Dicemus igitur plures ab eo quod est optimũ, aberrare, utpote qui opinioni absque mente ut plurimũ consenserint? Plane dicemus. Prodest igitur multis, neq; noscere quicquam, neq; putare se noscere: siquidem promptiores erunt ad illa efficienda, quæ uel noscunt, uel cognoscere opinantur. Agentes autem, sibi nocebunt crebrius quàm conferent. Verissima loqueris. Cum ergo dicebam reliquas omnes scientias, si absit scientia optimi, obesse sæpius, quàm prodesse illas habenti, num rectè loqui tunc tibi uidebar? Etsi tunc minimè, nũc saltem ò Socrates. Oportet itaq; ciuitatem, & animã quæ rectè uictura sit, hanc proculdubio complecti scientiam: quemadmodum qui ægrotat, medicum: & qui prosperè nauigare uult, gubernatorem. *Eiusdem in Alcibiade secundo.*

Quotquot inter homines uirtutes appellantur, omnes inuenies, si consyderaueris, disciplina & exercitio augeri. *Xenophontis in secundo dictorũ & factorum Socratis.*

†Hisce uerbis pulcherrimè dictis, uirtutem addisci licere, & quod omnium maximè sui curam gerere sit opus, nec aliàs unquam ferè contradixi, neq; posthac habiturum, quod obijciam, opinor. *†Platonis.*

Sed neq; in risum nimium profusos nos esse oportet. Nam effusum risum uehemens mutatio sequitur. Ita mihi quoq; uidetur. Non igitur admittẽdum est, quando quis summæ authoritatis uiros in risum solutos inducit, & multo minus, quando deos. *Eiusdẽ in tertio Reip. non procul ab initio.*

Licet etiam illum, qui prius errauit, moriendo uirtutem repræsentare. *Euripidis in Aegeo.*

Optimus hic uir est, ò Gorgia,
Quisquis hominum plurimas iniurias ferre nouit. *Menandri.*

Tres sunt uirtutes, quas exercere te fili decet, *Euripidis in Antiope.*
Nempe deos colere, & qui te nutriuerunt parentes,
Legesq; Græciæ communes. hæc enim faciens
Pulcherrimam semper gloriosæ famæ coronam habebis.

Equidem ego & canam, & dicam aliquid *Eiusdem.*
Sapienter, nihil perturbans istorum, quibus ægra ciuitas laborat.
Miserabiles sunt non quidem imperiti uspiam,
Sed uiri sapientes. Non enim damno caret
Mentem inesse sapientibus, quæ nimium sapit.

Nunquam laudaueris, priusquam uideris, hominis ignoti *Theognidis.*
Affectum & animum, atq; mores quosnam habeat.
Multi adulterino ac furtiuo ingenio præditi,
Abscondunt id, animum in diem mutatum simulantes.
Horum cuiusq; mentem tempus prodit,
Ego quoq; frequenter meo iudicio falsus sum.

Maximam fortunam ceu minimam spectare oportet, & quod abest non desyderare: neq; enim ad te pertinet. Vtrunq; pariter manere non potest. Nihil in rebus constans est. Si opulentus sis & quotidie pluribus inhies, tam es inopiosus, quàm copiosus. Vt pauper, quæ pòssides, uis retinere: ut diues, accumulare plura: ex æquo tam hic quàm ille animum habet anxiè solicitum. *Sotadis.*

Dolor te rectè sapientem procul fugiet. Imitare honestum, & optimus inter homines manebis. Deus Lex est, hanc omnino semper cole. Hospes illorum esse debes qui bene sapiunt. Vbi uitam honestam agis, illic mane, & omnia tibi fœliciter succedent. In omnibus, quę decora sunt, obseruata imitare. Sermonem bonum, quẽ audieris, acceptũ tibi serua. Hoc tibi placeat, ne quid indecorũ aut petulans cõmittas, ut per omnem uitam tranquillitate fruaris. Sanitatem deos ora, quandiu uixeris.

Depositum apud te iustè reddito. *Pittaci.*

Prospice, animum intendens & muniens ex auditu *Lini.*
Nostri sermonis, uiam præ cunctis ueram.

κῆρας ἀπωσάμενος πολυπήμονας, αἵτε βέβηλον
ὄχλον ἀνισῶσαι, ἅτους περὶ πάντα πεδῶσι
παντοίαις, μορφῶν χαλεπῶν ἀπατήματ' ἔχουσαι.
τὰς μὲν, ἀπὸ ψυχῆς εἴργειν φυλακαῖσι νόοιο.
οὗτος γάρ σε καθαρμὸς † ὄντως δικαίως ἀπολύσει,
ἔχων ἀληθείη μισέεις ὀλοὸν γένος αὐτῶν.
ἡδὺν * μὲν πρώτιστ' αἰσχρῶν δ' ἀτεραν ἁπάντων,
ἣν ἐπιθυμία ἡνιοχεῖ μαργοισι χαλινοῖς.

† locus est corruptus.
* ἡδονὴν legerem si carmen admitteret.

Ἀδήλου. Ἐκ μὲν τῆς προμαντικῆς, πρόνοιαν ἔφασαν δεῖν ἐπιζητεῖν. ἐκ δὲ τῆς ἰατρικῆς, διά τι προνοίας, ἐπανόρθωσιν. ταῦτα γὰρ εἶναι πέρατα τῆς ἰατρικῆς ἐπιστήμης. ἐκ δὲ τῆς μουσικῆς αἴσθησιν ἀκριβῆ τε καὶ ἐπιστημονικήν. ἐκ δὲ τῶν μαθηματικῶν ὀνομαζομένων, συλλογισμόν τε καὶ ἀπόδειξιν τῶν δι' αὐτῶν νοημάτων.

Πλάτωνος ἐν φαίδωνι. Τῷ ὄντι ἄρα ἔφη ὦ σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες, ἀποθνήσκειν μελετῶσι, καὶ τεθνάναι ἥκιστα αὐτοῖς ἀνθρώπων φοβερόν.

Ἰσοκράτους νικοκλῆς ἢ κύπριος. Μὴ τὴν κακίαν οἴεσθε μᾶλλον τῆς ἀρετῆς ὠφελεῖν: τὸ δ' ὄνομα ἀτυχέστερον ἔχειν. ἀλλ' οἵων περ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι.

Ἐν ταυτῷ. Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε.

Σωκράτους. Μόνῳ τῷ λόγῳ, καθάπερ ἐπιτρόπῳ σώφρονι, παρακαταθετέον τὸν βίον καὶ τὴν νεότητα * καὶ ὑποδήματα.

* Corruptus locus uidetur.

Βίος ἁρμόζων, ἀλυπότερος.

Ξενοφῶντος. Παρὼν δέ τις ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ὢν ἰσχυρῶς αὐτοῦ, ἄλλως δ' εὐήθης, εἶπεν. ἀλλὰ τοῦτο ἔγωγε ὦ σώκρατες, χαλεπώτατα φέρω ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα. τὸν δὲ λέγεται καταψήσαντα αὐτοῦ τὴν κεφαλὴν εἰπεῖν. σὺ δὲ ὦ φίλτατε ἀπολλόδωρε μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἀποθνήσκοντα; καὶ ἅμα ἐπιγελάσαι. λέγεται δὲ καὶ ἄνυτον, παριόντα ἰδὼν, εἰπεῖν. ἀλλ' ὁ μὲν ἀνὴρ ὅδε γε κυδρὸς, ὡς μέγα τι καὶ καλὸν διαπεπραγμένος, εἰ ἀπέκτονέ με * οὕτως, καὶ τῶν μεγίστων αὐτὸν ὑπὸ τῆς πόλεως ὁρῶν ἀξιούμενον, † οὐκέτι χρῆναι τὸν υἱὸν περὶ βύρσας παιδεύειν. ὦ μοχθηρὸς οὗτος ἔφη, ὃς οὐκ ἔοικεν εἰδέναι, ὅτι ὁπότερος ἡμῶν καὶ συμφορώτερος καὶ καλλίων εἰς τὸν ἀεὶ χρόνον διαπέπλασται. χέρων δὲ οὗτος ὁ νικῶν.

* aliàs ὅτι αὐτὸν τῶν μεγίστων ἐπ' &c.
† aliàs οὐκ ἔφη

Πλάτωνος. Ἀλλὰ πᾶν πλῆθος, καὶ πᾶς πλοῦτος, ἀρετῇ ὑπείκει.

Τοῦ αὐτοῦ. Κάλλιστον γὰρ διὰ τοῦτο καὶ λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον, καλόν. τὸ δὲ βλαβερὸν, αἰσχρόν. παντάπασι μὲν οὖν.

Σωκράτους. Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν ὁ πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός: οὔτε ἀνὴρ σπουδαῖος, ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος.

Τοῦ αὐτοῦ. Τοῦ σοφοῦ στόματος ἀνοιχθέντος καθάπερ ἱεροῦ, τὰ τῆς ψυχῆς καταβλέπεται ὥσπερ ἀγάλματα.

Ἐν μὲν τῷ πλεῖν, πείθεσθαι δεῖ τῷ κυβερνήτῃ: ἐν δὲ τῷ ζῆν, τῷ λογίζεσθαι δυναμένῳ, βέλτιον.

Οὐδὲν μὲν τὴν τελειοτάτην ἐκλέγεσθαι: βίον δὲ τὸν ἀλυπότατον.

Τοῦ βίου καθάπερ ἀγάλματος πάντα τὰ μέρη καλὰ εἶναι δεῖ.

Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστὼς, ἀμετακίνητος ὀφείλει εἶναι.

Φαύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον.

Δημοκρίτου. Ἀδικούμενος, διαλλάσσου, ὑβριζόμενος, ἀμύνου.

Βίαντος. Οὕτω πειρῶ ζῆν, ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος.

Μὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι χρεὼν ἁμαρτημάτων.

Ἀριστωνύμου. Γυμναζόμενον φυλάξασθαι δεῖ τὸν κόπον. ἐν πράττοντι δὲ, τὸν φθόνον.

Noxas repelle, Sortesq; damnosas, quæ profanorum
Vulgus subuertunt, malisq; per omnia implicant
Varijs, fraudulentas sibi sumentes formas.
Has tu custodia mentis ab anima arceto,
Hæc enim expiatio reuera te iustè purgabit:
Si quidem re ipsa oderis exitiosum earum genus:
In primis uero illam malorum omnium largitricem,
Quam regit instar aurigæ cupido stolidis frenis.

E futurorum præsagijs prouidentiam iubemur inquirere: E medicandi uero simul & præsagiendi arte, restitutionem. Isti enim termini sunt scientiæ medicę. Ex Musica sensus exactus & scitus petendus est. Ex mathematicis uero scientijs discēda est ratiocinatio, & demonstratio eorū circa quæ uersantur. *Incerti authoris.*

Reuera igitur dixit, ô Simmia, qui rectè philosophantur, mori meditantur, & mors ipsis inter cæteros minime uidetur terribilis. *Platonis.*

Ne malitiam re quidem supra uirtutem prodesse putaueritis, nomen uero tantum infœlicius & peius ominatum sortitam. Quinimò ut res singulæ sua nomina habent, ita facultates earum esse quoq; iudicandum. *Isocratis in Nicocle, siue Cyprio.*

Quibus uos affecti succensetis, ea in alios ne facite. *Ibidem.*

Soli rationi tanquam sapienti tutori, ut uitam omnem, ita maxime iuuentutem credere oportet. *Socratis.*

Vita cuiusq; moribus apta, minori molestia fertur.

Aderat autem Apollodorus quidam, Socratis quidem amantissimus, sed alioqui simplex & ignarus, qui tum dixit: At istud ô Socrates ægerrimè fero, quod te iniustè damnatum uideo. Cuius capite contrectato Socrates respondisse fertur: An tu amicissime Apollodore, malles me iustè quàm iniustè damnatū? Simulq; risisse dicitur. Item cum Anytum prætereuntem uideret, Socratem his uerbis usum aiunt: Vir ille triumphat, quasi facinus magnum & præclarum egerit me ita occiso: & quod filium non amplius coriariam docendum existimet, cum tanti sibi deferantur à ciuibus honores. Sed quàm stultus & improbus est ille, dixit, quoniam ignorat uter nostrum in omne æuum utilior & melior exuterit. Deterior uero est, qui in tali genere certaminis uictor fuerit. *Xenophontis in Apologia pro Socrate.*

Omnis copia uirtuti, omnis opulentia concedit. *Platonis.*

Pulcherrimum hoc sanè dictum in præsentia simul & perpetuò prædicandum: Quod utile, idem sit honestum: Damnosum autem turpe. Ita prorsus est. *Eiusdem.*

Non equus generosus iudicatur, qui instructus apparatu magnifico fuerit, sed qui natura sit egregius. Neq; uir †bonus, qui dominus est preciosæ supellectilis, sed qui animum generosum possidet. *Socratis.* *† σπουδαῖος.*

Simul ac sapiens os suum aperuerit, uelut aperto fano animæ apparent sua tanquam simulachra. *Eiusdem.*

Nauigando gubernatori auscultandum est: Viuendo, illi qui plus ratione ualet.
Via est eligenda perfectissima: uita autem iucundissima.
Vitæ ceu simulachri cuiusdam partem unamquanq; pulchram esse decet.
Vt statua basi: ita uir bonus instituto innixus honesto nullatenus dimoueri debet.
Facinorum malorum sermones quoq; sunt cauendi.

Sic uitam institue tanquam & parum & multum uicturus temporis. *Biantis.*

Non metus, sed decori gratia, peccatis abstinendum est.

Qui exercitio utitur, caueat lassitudinem; Qui bona fortuna fruitur, inuidiam. *Aristonymi.*

Πυθαγορείω τε ἐφαντίνου. Κυβερνήτου μὲν ἔργον ἀγαθοῦ, εἰς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασθαι. ἀνδρὸς δὲ σοφοῦ, πρὸς τὰς τῆς ψυχῆς.

Τοῦ αὐτοῦ. Πᾶσα μὲν οὖν ἀρετὰ τελοῦται, καθάπερ ἐν ἀρχᾷ διώρισται, ἐκ λόγου καὶ προαιρέσιος, καὶ δυνάμεως. τοῦτο δὲ καθ' ἑαυτὸ ἕκαστον, οὐκ ἀρετᾶς μέρος ἐντὶ, ἀλλ' αἴτιον ἀρετᾶς. ὅσοι μὲν οὖν ἔχοντι τὸ νοατικὸν καὶ γνωστικὸν μέρος αὐτᾶς, δεινοί τε καὶ συνετοί, οὐ μαίνονται. ὅσοι δὲ

* Aliquid deest. τὸ ἠθικόν τε καὶ προαιρετικὸν, χρήσιμοί τε καὶ ἐπιεικέες. *

Τοῦ αὐτοῦ. Ὁπόταν δὲ ἐκ τοῦ τὰς αἰτίας ἀναρριπισθείσας εἶναι, ἀδικεῖν πέφυκεν ἄνθρωπος, αὗται δὲ τρεῖς τυγχάνοντι. φιληδονία μὲν ἐν ταῖς ἀπολαύσεσι, σαίνει διὰ σώματος. πλεονεξία δὲ, ἐν τῷ κερδαίνειν. φιλοδοξία δὲ, ἐν τῷ καθυπερέχειν τε καὶ ἴσων καὶ ὁμοίων. δεῖ τοιγαροῦν γνωρίζειν, ὅτι τούτοις ἀντιτιθέμενοι οἷόν τέ ἐστιν. ἃ μὲν φόβον παρασκευάζοντι τοῖς ἀνθρώποις. ἃ δὲ αἰσχύναν. ἃ δὲ καὶ ἐπιθυμίαν. φόβον μὲν διὰ τῶν νόμων. αἰσχύναν δὲ τῶν θεῶν. ἐπιθυμίαν δὲ τῶν λόγων. διδάσκειν οὖν δεῖ τοὺς νέους ἐξ ἀρχᾶς, τάν τε θεῶν τιμὰν, καὶ τὰν τῶν νόμων. ἐκ τῶνδε γὰρ φανερὸν ἂν εἴη, ὅτι πᾶν ἔργον ἀνθρώπινον, καὶ βίος, ὁσιότατός τε, καὶ εὐσεβείας μεθέξει ἅμ' ὀρθοπλοεῖ.

Θεαγοῦς ἐκ τοῦ περὶ ἀρετῶν. Ἀρχαὶ τᾶς συμπάσας ἀρετᾶς, τρεῖς. γνῶσις, καὶ δύναμις, καὶ προαίρεσις. καὶ ἔστιν ἁ μὲν γνῶσις, ᾇ θεωροῦμεν καὶ κρίνομεν τὰ πράγματα. ἁ δὲ δύναμις, οἷον ἀλκά τις τοῦ σκάνεος, ᾇ ὑφιστάμεθα, καὶ ἐμμένομεν τοῖς πράγμασιν. ἁ δὲ προαίρεσις, οἷον χεῖρες ψυχᾶς τινὲς, αἷς ὁρμῶμεν καὶ ἀντιλαζύμεθα τῶν πραγμάτων. ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος, οὕτως. τὸ μὲν γάρ τι αὐτᾶς ἐστι λογισμός: τὸ δὲ, θύμωσις: τὸ δ' ἐπιθυμία. λογισμὸς μὲν ὦν ὁ κρατέων τᾶς γνώσιος. θυμὸς δὲ, ὁ κρατέων τῶ μένεος. ἐπιθυμία δὲ, ἁ κρατοῦσα τοῦ ἐπιθυμητικοῦ ἀδέως. ὅκα οὖν ἐν τὸ ἓν τὰ τρία ταῦτα μολῆ, μίαν ἐπιδειξάμενα συναρμογὰν, τόκα δὲ γίνεται ἀρετὰ, καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ. ὅκα δὲ στασιάζοντα καὶ ἀπ' ἀλλήλων ἀποσπᾶσται, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. καὶ ὅκα μὲν ὁ λογισμὸς ἐπικρατῇ τῶν ἀλόγων μερῶν τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια. καρτερία μὲν, ἐν τᾷ κατοχᾷ τῶν πόνων. ἐγκράτεια δὲ, ἐν τᾷ κατοχᾷ τῶν ἁδέων. ὅκα δὲ τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ἐπικρατεῖ τοῦ λογισμοῦ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία. μαλακία μὲν ἐν τῷ φεύγειν τὼς πόνους. ἀκρατία δὲ ἐν τῷ νικᾶσθαι ὑπὸ τῶν ἁδέων. ὅκα δὲ, τὸ μὲν κρεῖσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς: τὸ δὲ χεῖρον ἄρχηται. καὶ τὸ μὲν, ἡγεῖται. τὸ δ' ἕπεται. ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλήλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία, περὶ ὅλαν τὰν ψυχάν. καὶ ὅκα μὲν τὸ ἐπιθυμητικὸν ἕπηται μέρος τῆς ψυχῆς τῷ λογιστικῷ γίνεται σωφροσύνα. ὅκα δὲ τὸ θυμοειδὲς, ἀνδρειότας. ὅκα δὲ τὰ μόρια πάντα, δικαιότας. αὕτα γάρ ἐστιν ἁ διείργουσα τάς τε κακίας πάσας τῆς ψυχῆς, καὶ τὰς ἀρετὰς ἀπ' ἀλλάλων. καὶ ἔστιν ἁ δικαιότας, σύνταγμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς, καὶ ἀρετὰ τελεία καὶ πανυπερτάτα. πάντα γὰρ ἐν ταύτᾳ. τὰ δ' ἄλλ' ἀγαθὰ τᾶς ψυχᾶς, οὐκ ἄτερθε ταύτας. διόπερ καὶ ἐν θεοῖς, μέγα κράτος ἔχει ἁ δικαιότας καὶ ἐν ἀνθρώποις. τοῦ γὰρ ὅλου καὶ τοῦ παντὸς ἅδ' ἀρετὰ συνέχει τὴν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. θέμις γε οὖν φημίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς, δίκα δὲ, παρὰ τοῖς χθονίοις, νόμος δὲ παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σαμεῖα καὶ σύμβολα, τοῦ τὰν δικαιότατα πανυπερτάταν ἀρετὰν ὑπάρχειν. ὅκα μὲν ἐν τῷ θεωρεῖν καὶ κρίνειν γίνεται ἁ ἀρετὰ, καλέεται φρόνασις. ὅκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ ἁδέα, σωφροσύνα. ὅκα δ' ἐν τῷ κέρδεος ἀποχέσθαι καὶ βλάβας τᾶς εἰς τὸν πλασίον, δικαιότας. ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις, καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντός ἐντι στοχασμὸς, καὶ τοῦ μὴ δέοντος ἐπίπλωσις. ἔστι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν. τοῦτο δὲ, οὐκ ἀφαιρέσιος, οὔτε προσθέσιος δέεται. αὐτὸ γάρ ἐστιν, ὃ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος, εἴδεα δύο. τὸ μὲν ὑπερβολὰ, τὸ δὲ ἔλλειψις. καὶ ἁ μὲν ὑπερβολὰ, τὸ πλέον τοῦ δέοντός ἐστιν. ἁ δ' ἔλλειψις, τὸ ἔλασσον. ἁ δ' ἀρετὰ, ἕξις τίς ἐντὶ τοῦ δέοντος. διόπερ καὶ ἀκρότας, καὶ μεσότας εὐθέως ἐντί. οὕτω γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες. μεσότατες μὲν, ὅτι ἐκτὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι. ἀκρότατες δὲ, ὅτι οὔτε προσθέσιος,

οὔτ'

Boni gubernatoris est se uentorum mutationibus accommodare: uiri autem sapientis, animi affectibus.

Virtus igitur omnis, ut ab initio diximus, ratione, uoluntate, & potentia perficitur. Horum autem unumquodq; nō pars uirtutis, sed causa est. Quicunq; igitur cum intellectu & prudentia agunt, graues & sapientes sunt, nunquam insaniunt. Qui uero uoluntatē moratam & placidam habent, frugi modestiq́ sunt. (Videtur adijciendum: Qui uero potentiam habent, robusti sunt & fortes.) *Pythagorici Tarentini.*

Iniustus homo fit, cum iniustitiæ causæ tanquam fomites quidam in ipso excitantur. Sunt autem tres. Voluptas, in ijs rebus, quarum usu corpus demulcetur. Auaritia, in lucrando. Ambitio, dum quis æquales sibi & similes superare studet. His malorum irritamentis resistere poterimus, metum hominibus, uerecundiam, & studium comparando, ita ut metuant leges, uereantur deos, & literis sapientiæq́ studeant. Proinde ab incunabulis institui pueros oportet ut deos & leges honore dignentur. Sic enim apparebit actionem omnem humanam, uitamq́ totam, aspirante sanctimonia, & pietate comite, secundis uentis fruituram. *Eiusdem.*

Principia uirtutis omnis tria sunt: Intellectus, potentia, & uoluntas. Intellectus est, quo contemplamur ipsas res, & iudicamus. Potentia, uis est corporis, qua res sustinemus, & duramus. Voluntas, quasi manus quædam animæ, rebus occurrit & ipsas apprehendit. Cæterum anima quoq; eodem modo distribuitur, in rationem, animositatem, & concupiscentiam. Ratio pręest cognitioni. Animositas (Latini multitudinis numero animos dicunt) fortitudinem obtinet. Concupiscentia ad concupiscibile sine mora fertur. Igitur hęc tria cū simul conuenerint, ita ut nexus fiat unus, tum uirtus, & animæ consensus oritur. At ubi intestina seditione diuelluntur, statim in anima uitium & dissensio nascitur. Quod si ratio uicerit reliquas animæ partes rationis inanes, patientia fit & temperantia. Patientia quidem in tolerandis laboribus. Temperantia uero, in moderatione suauium. Irrationales autem partes si superauerint rationem, mollem animum & intemperantem reddunt. Mollities animi, laboris est fugitans. Intemperantia uincitur à iucundis. Cum uero præstantior animæ pars imperat, inferior paret: illa dux est, hæc sequitur, & utræq; sibi mutuo conueniunt consentiuntq́, tum uirtus nascitur, & integra bonitas in uniuersa anima. Temperantia quidem, cum concupiscibilis animæ pars rationalem sequitur. Fortitudo, cum animositas rationi obtemperat. Cōsensus omnium, iustitiam parit. Ea enim est, q ę omnia animæ uitia & uirtutes discernit inuicem. Est igitur iustitia certa ratio compagis & consensus animæ partium: uirtus absoluta, & omnium suprema. Continet enim omnia. Residua uero animæ bona sine iustitia consistere nequaquam ualent. Quare simul in diuinis ac humanis magnam hæc uirtus uim obtinet. Nanq; totius & uniuersi communionem inter deos homines q́ ipsa constringit. Itaq; Themis celebratur apud superos, iustitia apud inferos, lex inter homines. Hæc quidem argumenta sunt & signa, iustitiam uirtutem esse supremam. Si uirtus in speculando & iudicando uersatur, prudentia nominatur. Si circa dulcia sustinet se, & sibi moderatur, temperantia. Cum abstinet lucro sibi acquirendo, & damno in proximum, iustitia. Cæterum eius secundum rectam rationem constitutio, & præter rectam rationem transgressio, in consequutione decori, aut eius aberratione sitæ sunt. Decorum est, quod esse oportet. Id autem nihil sibi addi, neq; demi quippiam requirit: Hoc enim ipsum est, quod oportet esse. Indecorum uero duplex est. Nam aut excessu, aut defectu laborat. Ille decori modum superat: hic infra modum committitur. Verum uirtus, habitus quidam est decori. Quapropter & summam & mediam rationem habet. Ita enim summum aliquid aut medium esse solet. Summum quidem, ubi nihil est adijciendum, nihil auferendum. Medium uero, quod inter excessum *Theagis in libro de uirtutibus.*

οὔτ᾽ ἀφαιρέσιος δέονται. αὐτὰ γάρ ἐντι ταῦτα, ἃ δεῖ αὐτὰ ἦμεν.

Ἐν ταὐτῷ. Ἐπειδὴ ἁ τοῦ ἤθεος ἀρετὰ περὶ πάθεα: τῶν δὲ παθέων ἡδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τᾶς ψυχᾶς ἁδονάν καὶ λύπαν, ἁ ἀρετὰ πέπτωκεν: ἀλλ᾽ ἐν τῷ ταῦτα συναρμόζεσθαι. οὐδὲ γὰρ ὑγίεια, εὐκρασία τις ἐοῦσα τῶν τοῦ σώματος δυνάμεων, ἐν τῷ ὑπεξελέσθαι τὸ ψυχρὸν καὶ τὸ θερμόν, καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πέπτωκεν: ἀλλ᾽ ἐν τῷ ταῦτα συγκραθῆμεν. ἐντὶ γὰρ οἷον συμμετρία τις τούτων. οὐδ᾽ ἐν τᾷ μωσικᾷ, ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρύ, τὸ σύμφωνον πέπτωκεν: ἀλλ᾽ ἐν τῷ ταῦτά πως συναρμόξασθαι συναρμογὰν τῶ ὀξέος καὶ τῶ βαρέος, τὸ μὲν σύμφωνον ἀναπολαμβάνεται, τὸ δὲ διάφωνον, ἐκλείπεται. συναρμοσμένων δέ, καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ τοῦ ὑγροῦ, καὶ ξηροῦ, ἁ μὲν ὑγίεια γίνεται, ἁ δὲ νόσος ἀπόλλυται. συναρμοσμένων δὲ καὶ τοῦ θυμοῦ καὶ τᾶς ἐπιθυμίας, αἱ μὲν κακίαι καὶ τὰ πάθεα, ἐξαιρέονται: ταὶ δ᾽ ἀρεταὶ καὶ τὰ ἤθεα, ἐγγίνονται. ἰδιαίτατον δὲ τᾶς τοῦ ἤθεος ἀρετᾶς, ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγῳ γὰρ καὶ δυνάμει συγχρῆσθαι δύνανται καὶ ἄνευ ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. τὸ γὰρ ἀξίωμα τοῦ ἤθεος ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς σημαίνει. διὸ καὶ μετὰ τᾶς βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμοῦ καὶ ἐπιθυμίας, ἐγκράτειαν καὶ καρτερίαν ἐμποιεῖ. μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶν ἀλόγων, ἀκρασίαν καὶ μαλακίαν. αἱ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς, ἡμιτελέες μὲν ἀρεταί, ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμός, ὑγιαίνει. τὰ δ᾽ ἄλογα μέρεα τᾶς ψυχᾶς, νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμός, καὶ ἁ ἐπιθυμία ὑπὸ τοῦ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρ-

* Aliquid deest. τερία, ἀρεταὶ τυγχάνοντι. καθὸ δὲ μετὰ βίας, ἀλλ᾽ οὐχ ἑκουσίως. * τὸ δὲ ἑκούσιον, οὐκ ἄνευ ἡδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος τᾶς διαιρέσιος ἐμπέσοι, καὶ παρέστω ταῦθ᾽ οὕτως ἔχειν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων, τοῦ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς. ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχεν μὴ δύνασθαι τῶν πόνων, ἐπικρατεῖν δὲ τὰν ἁδονάν, οἰκεῖον ἐντὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. ἁ δὲ προαίρεσις, ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς, καὶ τῷ ἀλόγῳ. σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος: ὧν ἁ μὲν διάνοια τοῦ λόγον ἔχοντος ἐντί, ἁ δ᾽ ὄρεξις, τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς. καὶ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

Ἐκ τοῦ Τέλητος περὶ αὐταρκείας. Δεῖ ὥσπερ τὸν ἀγαθὸν ὑποκριτήν, ὅτι ἂν ὁ ποιητὴς περιθῇ πρόσωπον, τοῦτο ἀγωνίζεσθαι καλῶς, οὕτω καὶ τὸν ἀγαθὸν ἄνδρα, ὅτι ἂν περιθῇ ἡ τύχη. καὶ γὰρ αὕτη φησὶν ὁ Βίων, ὥσπερ ποιήτρια, ὁτὲ μὲν πρωτολόγου, ὁτὲ δὲ ὑστερολόγου περιτίθησι πρόσωπον, καὶ ὁτὲ μέν, βασιλέως, ὁτὲ δὲ ἀλήτου. μὴ οὖν βούλου δευτερολόγος ὤν, τὸ πρωτολόγου πρόσωπον. εἰ δὲ μή, ἀνάρμοστόν τι ποιήσεις. σὺ μὲν ἄρχεις καλῶς: ἐγὼ δέ, ἄρχομαί φησι. καὶ σὺ μὲν πολλῶν: ἐγὼ δὲ ἑνὸς τουτουὶ παιδαγωγὸς γενόμενος. καὶ σὺ μὲν εὔπορος γενόμενος, δίδως ἐλευθερίως: ἐγὼ δὲ λαμβάνω εὐθαρσῶς παρὰ σοῦ, οὐχ ὑποπίπτων, οὐδὲ ἀγεννίζων, οὐδὲ μεμψιμοιρῶν. σὺ κέχρησαι τοῖς πολλοῖς καλῶς: ἐγὼ δὲ τοῖς ὀλίγοις. οὐ γὰρ τὰ πολυτελῆ φασι τρέφειν. οὐδὲ ἐκείνοις μὲν ἔστι μετ᾽ ὠφελείας χρῆσθαι: τοῖς δὲ ὀλίγοις, καὶ εὐτελέσι, μετὰ σωφροσύνης οὐκ ἔστι καὶ ἀτυφίας. διὸ καὶ εἰ λάβοι φησὶν ὁ Βίων φωνὴν τὰ πράγματα ὃν τρόπον καὶ ἡμεῖς, καὶ δύναιτο δικαιολογεῖσθαι, οὐκ ἂν εἴποι φησὶν ἡ πενία, ἄνθρωπε τί μοι μάχῃ, ὥσπερ οἰκέτης ὁ κατ᾽ ἐφ᾽ ἱερὸν καθίσας δικαιολογεῖται, τί μοι μάχῃ; μή τι σοι κέκλοφα; οὐκ ἂν τὸ προσταττόμενον ὑπὸ σοῦ ποιῶ; οὐ τὴν ἀποφορὰν εὐτάκτως σοι φέρω; καὶ ἡ πενία εἴποι πρὸς τὸν ἐγκαλοῦντα. τί μοι μάχῃ; μὴ καλοῦ τινος δι᾽ ἐμὲ στερίσκῃ; μὴ σωφροσύνης; μὴ δικαιοσύνης; ἀνδρείας; ἀλλὰ μὴ τῶν ἀναγκαίων ἐνδεὴς εἶ; οὐ μεσταὶ μὲν αἱ ὁδοὶ λαχάνων; πλήρεις δὲ αἱ κρῆναι ὑδάτων; οὐκ εὐνάς σοι τοσαύτας παρέχω, ὁπόση γῆ; καὶ στρωμνὰς φύλλα; ἢ εὐφραίνεσθαι μετ᾽ ἐμοῦ οὐκ ἔστιν; ἢ οὐχ ὁρᾷς γραδιαιφύρτην φαγόντα τερετίζοντα; ἢ οὐκ ὄψον ἀδάπανον καὶ ἀπρόφθορον παρασκευάζω σοι τὴν πεῖναν; ἢ οὐχ ὁ πεινῶν ἥδιστα ἐσθίει, καὶ ἥκιστα ὄψου δεῖται; καὶ ὁ διψῶν, ἥδιστα πίνει, καὶ ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένει; ἢ πεινᾷ τις πλακοῦντα, ἢ διψᾷ χιόνα; ἀλλ᾽ οὐ ταῦτα διὰ τρυφὴν ζητοῦσιν ἄνθρωποι; ἢ οἰκήσεις οὐ παρέχω σοι; πρῶτον μὲν χειμῶνι τὰ βαλανεῖα, θέρους δὲ τὰ ἱερά.

ποίαν

& defectum est positum. Ita sanè se habebunt, ut esse debent.

Quandoquidem circa affectus uersatur uirtus hominis: affectuum autem praecipui sunt uoluptas & tristitia: manifestum est uirtutem non consistere in affectuum animæ, ut uoluptatis & tristitiæ remotione, sed potius eorundem conueniente coniunctione. Nam neq; sanitas bona fuerit corporis facultatum temperies, si frigidum, calidum, humidum & siccum auferas, & non potius inter se ritè cōmisceas. Horum enim symmetria est sanitas. Neq; concentus in Musica constabit acuto & graui sonis ablatis. Siquidem ipsorum commoderatione debita symphonia quidem concluditur, arcetur uero dissonum. Sic mutua calidi, frigidi, humidi, & sicci commixtione temperata, fit sanitas, pelluntur morbi. Itidem animosa siue irascibili & concupiscibili partibus animę conspirantibus, uitia & passiones eximuntur, & uirtutes placidiq; mores innascuntur. Porrò placidi moratiq; animi peculiaris est uoluntas in rebus honestis. *Potest enim ratio uti opera potentiæ etiam sine uoluntate in rebus honestis. Itaq; ratio cum ui superat animositatem & concupiscentiam, temperantia & patientia gignũtur, ut uicissim ratione ab ipsis superata, intemperantia fit, & mollities. Sed maior est dignitas uoluntatis in rebus honestis, quæ ab animo placido & spontaneo proficiscitur. Etẽm ubi per uim agitur, tũ uirtutes semperfectæ sunt, tum uitia imperfecta. Incolumis enim est ratio, partes autem irrationales ægrę sunt. Et quatenus quidem animositas & concupiscentia ab animæ parte rationali gubernantur & ducuntur, eatenus temperantia & tolerantia, uirtutes existunt. Quatenus autem ui, nō sponte fiunt (eatenus etiam ipsæ à uirtute discedunt.) Quod uero spontaneũ, id uoluptate animiq; gratia non caret. Sed hæc ita habere sinamus, iam tria illa uirtutum principia distincturi. Cognitio qua res contemplamur & intelligimus, rationalis animæ partis est. Potentia, irrationalis. Laboribus etenim sustinendis nō esse, & uinci à uoluptate, partis est uacuæ rationis. Voluntas autem in utrisq; existit, rationali inquam & irrationali. Constat enim ex meditatione & appetitu. Ex quibus meditatio rationalis partis est: appetitus autem irrationalis. Itaq; uirtus omnis partium animæ consensu fit. Item spontaneum & uoluntarium omnino uirtuti insunt.

Ibidem.

** Græca paulo aliter habent.*

Parenthesi inclusa nō sunt in Græco: necessaria tamen ad sententiam uidentur.

Vt bonum histrionem, quamcunq; ei poeta dederit personam, eius decorum seruare decet: ita bonum uirum, quancunq; fortuna dederit. Nam & ipsa, ut Bion inquit, ueluti poetria nunc primi, nunc ultimi actoris locum nobis tribuit, aliàs regis, aliàs mendici personam. Ne igitur, si partes tibi contigerint actionis ultimæ, primas occupare uelis. Aliter indecorum te dabis. Tu honestè præes: Ego subiicior, inquit ille. Tu multorum: Ego unici istius pædagogum ago. Tu diues largiris liberaliter. Ego non dubito abs te accipere: Non præ inopia animi deiecti & degeneris sum, neq; de sorte mea cōqueror. Tu multis rectè uteris, ego paucis. Nihil ad alimentum sumptuosæ res faciunt. Neq; ex ipsis fructum facere hominibus licet: paucis autem & uilis precij rebus cum temperantia sine fastu uti non licet. Ideoq; Bion ait, si rebus oratio daretur, uelut nobis, possentq; iure nobiscum contendere, nonne paupertas dictura esset: Quid mecum homo pugnas? Quemadmodum seruus in sacro sedens, ad quod confugit, in herum suum iure contendit: Quid mihi aduersaris? Nunquid tibi furto sustuli? An non quæ præcipis exequor? An quæ tibi debeo, non satis præsto? Itidem paupertas contra incusatorem ageret: Quid est, quòd te mihi opponis? Num aliquo bono mea culpa priuaris? prudentia ne? an iustitia? aut fortitudine? At metuis ne tibi necessaria desint? Quid? nōne uiæ sunt omnes oleribus refertæ, & pleni aqua fontes? Non tibi tot lectos exhibeo, quanta est ipsa terra? Stragula autem, folia? An mecũ animo læto esse non licet? Non uides Gradiæ phyrtã cantillando cœnare? Nonne tibi obsoniũ neq; preciosum neq; delicatum comparo ipsam famem? An non suauissimus est cibus esurienti, & idem obsonio minimè indiget? Nōne sitibundus suauissimè bibit, absentemq; potũ minimè desyderat? putásne quempiã esurire placentã, aut sitire niuẽ? Nōne ista homines nimiũ delicati requirunt? Quid aũt? Domiciliáne tibi nō exhibeo? At hyeme balneorum, æstate templorũ tibi copiam facio,

Ex Telete περὶ αὐταρκείας.

πεῖον γάρ σοι τοιοῦτον οἰκητήριον φησὶν ὁ Διογένης τοῦ θέρους, οἷον ἐμοί, ὁ παρθενὼν οὗτος εὔπνους καὶ πολυτελής. εἰ ταῦτα λέγει ἡ πενία, τί ἂν ἔχεις ἀντειπεῖν; ἐγὼ μὲν γὰρ δοκῶ, ἄφωνος γενέσθαι. ἀλλ' ἡμεῖς πάντα μᾶλλον, αἰτιώμεθα, ἢ τὴν ἑαυτῶν δυστροπίαν, τὴν κακοδαιμονίαν, τὸ γῆρας, τὴν πενίαν, τὸν ἀπαντήσαντα, τὴν ἡμέραν, τὴν ὥραν, τὸν τόπον. διό φησιν ὁ Διογένης, φωνῆς ἀκηκοέναι κακίας ἑαυτὴν αἰτιωμένης.

Αἰσχύλου. Ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς.
Ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδώς, σοφός.
Η χαίρειν ἔστ' ἄνθρωπος, ἂν ἄνθρωπος ᾖ.
Ἀπάτης δικαίας, οὐκ ἀποστατεῖ θεός.
Ἁμαρτάνει τοι καὶ σοφοῦ σοφώτερος.

Μενάνδρου. Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται.
τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος
κακῶς ἐμέμφθης. καὶ γὰρ εἰ φρονεῖν ἔχω,
κρεῖσσον τὸ δ' ἐστὶ καρτεροῦ βραχίονος.
ὡς ὄψις ἐν ὀφθαλμῷ, ὁ νοῦς ἐν τῇ ψυχῇ.

Σοφοκλέους. Ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.
Ἀλλ' ἡ φρόνησις ἡ ἀγαθή, θεὸς μέγας.
Οὐ τῇ φρονήσει, τῇ τύχῃ δ' ἐπαίτιον.
οὐχ ὡς νομίζεις τὸ φρονεῖν ἅπας κακῶς.

Χαιρήμονος. Τό τοι κράτιστον πανταχοῦ τιμητέον.
ὁ γὰρ φρονῶν εὖ, πάντα συλλαβὼν ἔχει.

Εὐριπίδου. Ὀρθῶς μ' ἐπήρου, βούλομαι δέ σοι τέκνον,
φρονεῖς γὰρ ἤδη, κἀποσώσαις ἂν πατρὸς
γνώμας φράσαντος, ἂν θάνω παραινέσαι,
κειμήλι' ἐσθλά, καὶ νέοισι χρήσιμα.
Βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ.
πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών.
τῷ πλουσίῳ τε μὴ διδοὺς μεῖζον μέρος,
ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσι δίδου.
δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον
γνώμην προσάπτων, τὴν ἐναντίαν μίσει.
ἀδίκως δὲ μὴ κτῶ χρήματ', ἢν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν. τὰ δ' ἀδίκως
οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.
*alias ποτ' ἔχειν δὲ πειρῶ, τοῦτο γὰρ * τότ' εὐγενές.
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
ἀνανδρία τε, ἥτ' ἀτιμία βίου.
Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
κέκτησο. τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηρούς, κλεῖθρον εἰργέτω στέγης.
ὁμιλίας τε τὰς γεραιτέρους θέλε.
Βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην.
*alias ἐξουσία. * ἐξουσίαν δὲ μήποτ' † εὐτυχῶν τέκνον,
†alias ἐντυχών αἰσχροὺς ἔρωτας δημοτῶν διωκάθειν.
ὃ καὶ σίδηρον, ἀγχόνας τ' ἐφέλκεται,
χρηστῶν γεγώτων ἄν τις αἰσχύνῃ τέκνα.
καὶ τοὺς πονηροὺς μήποτ' αὔξανειν πόλει.
κακοὶ γὰρ ἐμπλησθέντες, ἢ νομίσματος,
ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα

Quam domum tam egregiam haberes æstate, Diogenes inquit, atq; egó hanc Palladis ædem, uentis peruiam, & magnificam? Huiusmodi paupertas si tibi diceret, quid responderes? Equidem ego ceu mutus obticerem. Sed nescio quomodo in culpa facimus omnia potius, quàm nostram morum & ingenij ineptitudinem, difficilemq; morositatem. Itaq; incusamus infortunium, senectam, inopiam, impostorem, diem, horam, & deniq; locum. Quod animaduertens Diogenes: audiuisse uocem dicebat malitiæ culpantis seipsam.

Præsens apud te necessaria meditare, ne præsens absis. *Aeschyli.*
Qui nouit utilia, non qui multa, sapit.
Est gratiosum quippiam homo, si homo sit.
A fraude iusta non alienus est Deus.
Est quando peccat uel sapientissimus aliquis.

Subijciuntur omnia sapientiæ. *Menandri.*
Tu uero corpus meum imbecillum & muliebre
Non bene reprehendisti. Modo enim sapiam,
Potius id fuerit, quàm brachium robustum.
Vt uisus est in oculo, ita mens in anima.

Boni uiri est laborantes iuuare. *Sophoclis.*
Recta prudentia magnus est Deus.
Non prudentiam, sed fortunam sequi oportet.
Non prudentiam, ut putas, conuitio affecisti.

Quod optimum est, honorari debet ubiq;. *Cheremonis.*
Nam qui recte sapit, omnia simul complectitur.

Recte à me petijsti, morem tibi fili geram. *Euripidis*
Iam enim sapis, & meminisse poteris, parens
Quæ tibi consilia dixerit, si te sub mortem admonuero
De rebus bonis, & adolescentibus commodis.
Sed age breues, fœcundas tamen dicam sententias.

Primum quidem oportet animo miti & benigno præditum esse.
Diuiti caue ne priores partes attribuas,
Sed æqualem omnibus te, pietatisq; studiosum exhibeas.

Si duo negotia proponuntur, fac alteri
Animum applicans, reliquum oderis.

Non opes iniustè tibi condas, si studes multum
Temporis inhabitare regiam. Præter ius enim
Aedes ingressæ non salutiferæ sunt.

Operam tamen dato ut possideas. Nam in hoc generositas est sita.
In paupertate uero ignobilitas est,
Et timiditas, & ignominia uitæ.

Cæterum amicos, quorum oratio tibi nihil indulgeat,
Conquire. Qui uero ad gratiam delectandi
Te causa, mali sunt, illos excludant repagula domus.

Conuersationes autem seniles ama.

Breue uoluptatis gaudium, parit tristitiam.

Nunquam uero fili in prospero tui imperij statu
Turpes amores ciuium persequere.
Ferrum enim & laqueos allicit,
Qui pauperum bonorum liberos affecerit ignominia.

Præterea homines improbos ne promoueas in ciuitate.
Nam improbi siue pecunijs aucti,
Siue ad aliquem urbis promoti magistratum,

σκιρτῶσιν ἀδίκως εὐτυχησάντων δόμων.
ἀλλ' ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατήρ,
καὶ χαῖρ', ἐπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι.
γυναικόφρων γὰρ θυμὸς, ἀνδρὸς οὐ σοφοῦ.

Τοῦ αὐτοῦ. Ὅς τις νέμει κάλλιστα τοῖς αὐτοῦ φίλοις,
οὗτος σοφὸς πέφυκεν εἰς τὸ συμφέρον.

Πυθαγόρου. Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοί
προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἂρ ἐάσῃς
εἴργεσθαι σαυτόν. ψεῦδος δ' ἢν σοί τι λέγηται
πράως εἴχ', ὃ δέ τοι ἐρέω, ὧδε πᾶσι τελείσθω.
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
πρῆξαι μηδ' εἰπεῖν ὅ,τι τοι μὴ βέλτερόν ἐστι.
πρᾶσσε δὲ ταῦτ' ἅ σε μὴ βλάψῃ, λόγισαι δὲ πρὸ ἔργου.

Εὐριπίδου. Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.

Μενάνδρου. Ὅταν ἕτερός σοι μηδὲ ἓν πλέον διδῷ,
δέξαι τὸ μέτριον. τοῦ λαβεῖν γὰρ μηδὲ ἓν
τὸ λαβεῖν ἔλαττον, πλεῖον ἔσται σοι πολύ.

Πυθαγόρου. Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις.

Ἀριστοτέλους. Νομίζειν τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι· ἀλλ' ἐν τῷ τὴν ψυχὴν εὖ διακεῖσθαι. καὶ γὰρ οὐδὲ τὸ σῶμα αὐτὸ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις εἶναι μακάριον: ἀλλὰ τὸ τὴν ὑγίειαν ἔχον, καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ. τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχὴν ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον, εὐδαίμονα προσαγορευτέον ἐστίν. οὐκ ἄν τις ἐκ τούτων ᾖ λαμπρῶς κεκοσμημένος, αὐτὸς μηδενὸς ἄξιος ὤν. οὔτε γὰρ ἵππος κἂν ψέλλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ, φαῦλος ὤν, τὸν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι. ἀλλ' ὃς ἂν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἂν γένοιτο, τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκε τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ νομίζειν. καὶ τοῦτο κατ' ἀλήθειαν οὕτως ἔχει. τίκτει γὰρ ὥσπερ φησὶν ἡ παροιμία, κόρος μὲν ὕβριν: ἀπαιδευσία δὲ μετ' ἐξουσίας ἄνοιαν. τοῖς γὰρ διακειμένοις τὰ περὶ τὴν ψυχὴν κακῶς, οὔτε πλοῦτος, οὔτε ἰσχὺς, οὔτε κάλλος τῶν ἀγαθῶν ἐστιν. ἀλλ' ὅσῳπερ ἂν αὗται μᾶλλον αἱ διαθέσεις καθ' ὑπερβολὴν ὑπάρξωσι, τοσούτῳ καὶ πλείω καὶ μείζω τὸν κεκτημένον βλάπτουσι χωρὶς φρονήσεως παραγενόμεναι.

Ἰαμβλίχου. Τὴν * ἡγεμονεύουσαν τῶν ἀρετῶν φρόνησιν καὶ χρωμένην αὐταῖς ὅλαις, καθάπερ ὄμμα νοερὸν, τάξεις τε καὶ μέτρα αὐτῶν, (καὶ τὴν εὐκαιροτάτην εὖ διακοσμοῦσαν) ὑποδείκνυσιν ὅλον ὑπαυγὲς ἐν τῷ παρόντι. αὕτη τοίνυν προηγουμένη μὲν, παραδέχεται τὴν ἀπογέννησιν ἀπὸ τοῦ καθαροῦ καὶ τελείου νοῦ. γενομένου δ' οὕτως, εἰς αὐτὸν τὸν νοῦν ἀποβλέπει, καὶ τελειοῦται ἀπ' αὐτοῦ, μέτρον καὶ παράδειγμα αὐτὸν ἔχει κάλλιστον. καὶ τῶν ἐν αὐτῇ πασῶν ἐνεργειῶν. εἰ δέ τις ἔτι καὶ πρὸς θεοὺς ἡμῖν κοινωνία, διὰ ταύτης μάλιστα τῆς ἀρετῆς αὕτη συνίσταται, καὶ κατὰ ταύτην διαφερόντως πρὸς αὐτοὺς ἀφομοιούμεθα. ἀγαθῶν τε καὶ συμφερόντων καὶ καλῶν καὶ τῶν ἐναντίων διάγνωσις ἀπὸ ταύτης ἡμῖν πάρεστιν, ἔργων τε προσηκόντων κρίσις, καὶ κατόρθωσις δι' αὐτὴν κατευθύνει). καὶ συλλήβδην φάναι, κυβερνητική τις ἐστὶ τῶν ἀνθρώπων, καὶ τῆς ὅλης ἐν αὐτοῖς διατάξεως ἀρχηγός. πόλεις τε καὶ οἴκους, καὶ τὸν ἴδιον ἑκάστου βίον, εἰς παράδειγμα τὸ θεῖον ἀναφέρουσα, διαζωγραφεῖ κατὰ τὴν ἀρίστην ὁμοιότητα. τὸ μὲν, ἐξαλείφουσα: τὸ δὲ, ἐναπομοργνυμένη: τὰ δὲ ἀμφότερα συμμέτρως ἀπεικάζουσα. εἰκότως ἄρα καὶ θεοειδεῖς ἀπεργάζεται τοὺς ἔχοντας αὐτὴν ἡ φρόνησις.

* Locus est obscurus, & parenthesi inclusa corrupta uidentur.

Φωκυλίδου. Πάντες ἴσον νέκυες, ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
ὅπλον ἑκάστῳ νεῖμε θεὸς φύσιν ἠερόφοιτον.

λαγωοῖς

Exultant in ædibus iniuria fortunatis.
Sed porrige manum fili tangendam patri,
Et uale, pudore motus non admodum amplector te.
Mollis enim animus uiri non sapientis est.

Optima suis qui largitur amicis, *Eiusdem.*
Ille sibi sapit suum in commodum.

Inter homines multi mali boniq; sermones *Pythagoræ.*
Incidunt, quibus haud absterrearis, neq; sinas
Ab instituto te dimoueri. Si quis aduersum te mentiatur,
Leniter cedes. Quod uero nunc dicam ubiq; sequi debes.
Nemo tibi neq; uerbis, neq; factis imponat
Vt facias dicásue, quod tibi non consultissimum sit.
Quin facito quæ tibi non obsint, & rationem ante factum inito.

Ne contra stimulos imperantium tibi calcitres. *Euripidis.*

Cum quis tibi non quod plus est dederit, *Menandri.*
Particulam accipe. Minus enim acceptum
Multò tibi plus erit, quàm nihil.

Robur, & murum, & arma sapienti prudentia præstat. *Pythagoræ.*

Existimandum est fœlicitatem non in magnitudine possessionis esse sitam, *Aristotelis.* sed in bono statu animæ. Etenim neq; corpus ornatũ ueste splendida beatum aliquis dixerit: sed quod sanitate fruitur, & bene se habet, licet nihil ex prædictis ei adsit. Eodem modo si anima bene sit instituta, ipsam, & hominem huiusmodi fœlicem appellabimus: Non illum, cui ornatus magnificus nitet, cũ ipse nullius sit precij. Quoniam ne equum quidem, licet phaleris aureis & reliquo apparatu precioso ornetur, magni faciemus, si natura malus sit. At illum, qui natura sit generosus, impensius laudamus. Quoniam ut ille ridiculus fuerit, qui seruis suis deterior est: ita non minus habendi sunt miseri, quorum possessio maioris est precij, quàm ingenium proprium. Hoc reuera sic habet. Parit enim, ut prouerbio dicitur, saturitas ferocitatem: imperitia autẽ potestati coniuncta, insaniam. Nam quibus malè affectus est animus, illis non diuitiæ, non robur, non forma pro bonis sunt: sed quo maius augmentum acceperint, eò pluribus maioribusq; damnis possessorem suum mulctant, cuicunq; sine prudentia accesserint.

Prudentia uirtutum princeps est, reliquis omnibus utitur, ipsarumq; ordinem, *Iamblichi.* modum, & occasionem in præsentia, tanquam oculus quidam mentis undequaq; lucidissimus, ostendit. Generatur hæc primum à syncera perfectaq; mente, genita in ipsam mentem intuetur, à qua perficitur, modumq; & exemplar inde sibi pulcherrimum omnium suarum actionum habet. Quod si quæ nobis etiam cum Deis intercedit communitas, ea maximè uirtutis huius gratia consistit, & per hanc in primis ipsis assimilamur. Huius beneficio bona & utilia, honesta & turpia discernimus, factaq; conuenientia iudicamus, ac emendamus. Denique ut paucis omnia complectar, gubernatrix est hominum, & omnis inter ipsos constitutionis princeps. Ciuitates, familias, & priuatam singulorum uitam ad exemplar diuinum referens, qua potest optima similitudine depingit, hoc delet, illud inscribit, utrobique assimilationis modo studens. Merito igitur Deo similes facit sui possessores prudentia.

Mortales sumus omnes ex æquo. Ast animis Deus imperat, *Phocylidis.*
Communis locus est omnibus, tum pauperibus, tum regibus.
Arma quibusuis animalibus Deus donauit, naturam aëream

λαγωοῖς πολλὴν ταχυτῆτ', ἀλκὴν τε λέουσι·
ταύροις δ' αὐτοχύτοις κεράεσσι, κέντρα μελίσσαις
ἔμφυτον ἄλκαρ ἔδωκε. λόγον δ' ὅς τ' ἐστὶν ἄριστος,
ἀνθρώποις νεῖμεν.

Βέλτερος ἀλκήεντος ἔφυ σοφιζόμενος ἀνήρ.

Μενάνδρου. Ἐγὼ δ' οὐδὲν πρεσβύτερον νομίζω τῆς σωφροσύνης,
ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστι.

φόβος δὲ τὰ θεῖα τοῖσι σώφροσι βροτῶν.

Μὴ πλοῦτον εἴπῃς, οὐχὶ θαυμάζω θεόν,
ὃν χ' ὁ κάκιστος ῥᾳδίως ἐκτήσατο.

Οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν, ἔπη καλά.
εἶναι ἀεί. τὸ δ' ἥδη θεῖον ἀνθρώποις κακόν,
ὅταν τις ἴδῃ τἀγαθόν, χρῆται δὲ μή.
ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνων,
Δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόου.

Εἰ μαρμένον δὲ τῶν κακῶν βουλευμάτων,
κακὰς ἀμοιβὰς ἔστι καρποῦσθαι βροτοῖς.
Πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς, κρείττονες πεφυκότες.

Θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλει.

Τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο,
τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖς.

Εὐριπίδου. Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων,
οὐ πώποθ' ὕβρισ' αὐτὸς ὀῤῥωδῶν παθεῖν.
δυοῖν λεγόντοιν θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

Πλουτάρχου. Ἀλλὰ μὴν ἡ φρόνησις, οὐ σωμάτων, ἀλλὰ πραγμάτων ὄψις ἐστὶ, πρὶν ἐν αὐτοῖς γενέσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι, παρέχουσα διασκοπεῖν τὸ μέλλον. τὸ μὲν οὖν σῶμα, πρόσω μόνον ὠμμάτωται, τοῖς δ' ὄπισθεν, τυφλόν ἐστιν ἀτεχνῶς. ἡ δὲ διάνοια, καὶ τὰ παρῳχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν. ὁ γὰρ ἐγκαθήμενος ἀεὶ καὶ οἰκουρῶν γραμματεὺς ἐν * μένῳ, ὥς φησιν ὁ Πλάτων, οὗτός ἐστι καὶ † πεφύγονας ἐν τοῦθε τῆς ψυχῆς, εἴτε μέρος εἴτε ὄργανον ὃ, τῶν πραγμάτων ἀντιλαμβάνεται φερομένων, καὶ φυλάττει, καὶ ἵστησι, καὶ κύκλον ποιεῖ τὸ παρῳχημένον ἐπιστρέφουσα, καὶ συνάπτουσα τῷ παρόντι, καὶ παραῤῥεῖν εἰς τὸ ἄπειρον οὐκ ἐῶσα, καὶ ἀνύπαρκτον, καὶ ἄγνωστον.

*† Loci uidentur corrupti.

Θεοφράστου. Χρὴ τοίνυν τὸν μέλλοντα θαυμασθήσεσθαι, περὶ τὸ θεῖον φιλοθύτην εἶναι, μὴ τῷ πολλὰ θύειν, ἀλλὰ τῷ πυκνὰ τιμᾶν τὸ θεῖον. τὸ μὲν γὰρ, εὐπορίας, τὸ δ' ὁσιότητος σημεῖον. ἔπειτα γονεῖς γηροτροφεῖν καλῶς, ταῖς τ' ἐκείνων βουλήσεσι τὸν αὑτοῦ βίον εὐπειθῆ κατασκευάζειν. ὁ γὰρ μὴ τοιοῦτος, ἀλλὰ τῶν τε τῆς φύσεως, τῶν τε τῆς πόλεως νόμων ὀλιγωρῶν, ἀμφοτέρους τοὺς τῆς δικαιοσύνης τρόπους παραβέβηκεν. καὶ μὴν καὶ γυναικὸς καὶ παίδων ἐπιμελητέον καλῶς καὶ φιλανθρώπως. οἱ μὲν γὰρ εἰς τὸ γῆρας ἀμείβονται ταῖς θεραπείαις· αἱ δ' ἐν ταῖς νόσοις καὶ ταῖς καθ' ἡμέραν οἰκονομίαις ἀνταποδώσει τὴν εὐεργεσίαν. ἐὰν δέ τινι συμβάλλειν ἀνάγκη, μετὰ τῆς βεβαίας πειρᾶσθαι πράττειν. φρονιμωτάτου γὰρ ἀνδρὸς δανείσαντα φρονίμως, ἀπολαβεῖν φιλικῶς· καὶ συναλλάξαντα φιλανθρώπως, κομίσασθαι φιλαπεχθημόνως.

Δημοκρίτου. Φρονήσιος ἔργον, μέλλουσαν ἀδικίην φυλάξασθαι· ἀναλγησίης δὲ, τὸ γενόμενον μὴ ἀμύνασθαι.

Σωκράτους. Σωκράτης ἐρωτηθεὶς, τί φρόνησις, εὐαρμοστία εἶπε ψυχῆς. ὁ αὐτὸς ἐρωτηθεὶς, τίνες φρόνιμοι, οἱ μὴ ῥᾳδίως εἶπεν ἐξαμαρτάνοντες.

Πεί-

Volucribus, leporibus uelocitatem, & robur leonibus,
Tauris sponte nascentia cornua, apibus aculeos,
Ingenitum dedit munimentum. Rationem uero, quæ omnium est optima,
Homini tribuit.

Robusto præferendus est uir prudens.

Ego nihil esse temperantia puto antiquius, *Menandri.*
Quoniam semper bonis conuersatur.

Homines frugi timent diuina.

Ne mihi diuitias nomina. Non illum magni facio deum,
Quem pessimus quisq; facile sibi comparat.

A factis inhonestis non possunt honesta proficisci uerba.

Heu mihi, sacrum est omnino malum
Bonum uidere, non uti tamen ipso.
Quid enim aliud ad uitam requiritur, nisi duo sola,
Cereris alimentum, & aquæ potus?

Sic fata ferunt, pro malis ut consilijs
Malam uicissim talionem lucrentur homines.

Varijs dij deceptionum formis
Nobis imponunt, sunt enim præstantiores.

Statim Deus causam producit mortalibus,
Cum euertere domum funditus uoluerit.

Iusti quidem de te opinionem acquire,
Interea uero cuncta perpetrantis opera lucraberis.

Calamitati aliorum, qui in fortunia passi erant *Euripidis.*
Nunquam insultauit, metuens ne quid etiam ipse pateretur.

Colloquentium duorum irato altero
Iste, qui uerbis non refragatur, prudentior est.

Porrò prudentia non corporum, sed rerum est inspectio, priusquam ipsas *Plutarchi.* homo aggrediatur, ut quàm commodissimè obuias & incidentes excipiat. Prospicit enim futura. Siquidem corpus anteriori solum parte oculatum est, posteriori omnino cæcum. Cogitatio autem præterita quoq; memoriç beneficio cõspicit. Hic est enim ille scriba qui semper intus manet & residet, ut Plato inquit: Hæc est animæ pars siue instrumentum, quod res transeuntes apprehendit, conseruat, sistit, & circulum facit, id quod præterijt reflectens, ut cum prçsenti iungatur, non permittens ut in infinitum abeat, & in natura non consistat, neq; cognitione comprehendatur.

Oportet igitur uirum, qui admiratione dignus haberi uult, sacrificandi studio- *Theophrasti.* sum esse, non q̃d sumptuose, sed quod crebrò hunc honorẽ numini tribuat. Illud eñ diuitiarum, hoc pietatis signum est. Deinde parentes honestè alere, suamq; uitam ad ipsorum uoluntatem instituere. Qui enim talis non est, sed naturæ & ciuitatis leges negligit, utrumq; iustitiç modum transgressus est. Vxoris etiam & liberorum honestè ac humaniter habenda est cura. Rependent eñ officia liberi in senectute: Vxor in morbis & quotidiana rei domesticæ administratione beneficium reddet. Quod si cum quopiam contrahendum sit, cum aliquo constante id fieri studendũ. Prudentis enim uiri est, qui mutuum prudenter dedit, id amicè recipere, non postquam humaniter contractum est, odiosè accipere.

Prudentiæ est futurã iniuriam præcauere: indolẽtiæ uero, q̃d factũ est non ulcisci. *Democriti.*

Interrogatus Socrates quid esset prudentia, animæ respondit concinnitas. Idem *Socratis.* roganti quinam prudentes essent, qui non facile delinquunt, dixit.

Περίανδρος. Περίανδρος ἐρωτηθεὶς, τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου.

Δημοκρίτου. Αἱ μεγάλαι τέρψεις, ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

Πλάτωνος ἐν Φαίδρῳ. Φθονερὸν δὲ ἀνάγκη εἶναι, καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα, καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστα ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης. μεγίστης δὲ τῆς, ὅθεν ἂν φρονιμώτατος εἴη. τοῦτο δὲ ἡ θεία φιλοσοφία τυγχάνει ὄν, ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι.

Τοῦ αὐτοῦ. Πέφυκε ξυνιέναι εἰς τὸ αὐτὸ φρόνησίς τε καὶ δύναμις μεγάλη: καὶ ταῦτα ἄλληλα ἀεὶ διώκει, καὶ ζητεῖ, καὶ συγγίνεται.

Πυθαγόρου. Ὑπομίμνησκε σεαυτὸν, ὅτι πάντες ἄνθρωποι μέγιστον ἀγαθὸν τὴν φρόνησιν εἶναι λέγουσιν. ὀλίγοι δέ εἰσιν οἱ τὸ μέγιστον ἀγαθὸν τοῦτο κτήσασθαι διατονήσαντες.

Σωκράτους. Σωκράτης ὁ φιλόσοφος, πολλὰ τῶν φίλων αὐτῷ πεμπόντων, ἐπειδὴ μηδὲν δεχόμενος, ὑπὸ τούτου παρὰ Ξανθίππης ὠνειδίζετο, ἔφη. ἂν τὰ διδόμενα πάντα ἑτοίμως λαμβάνωμεν, οὐδ᾽ αἰτοῦντες τοὺς διδόντας ἕξομεν.

Διογένους. Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι. ὁ δὲ, ἀνόητος μὲν, οὐκ εἰμὶ ἔφη, τὸν δὲ αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω.

Πωλούμενος ἐν Κορίνθῳ, ἐρομένου τοῦ κήρυκος τί ἐπίστασαι; ἀνθρώπων ἔφη ἄρχειν. καὶ ὁ κῆρυξ γελάσας, μέγα ἐπιτήδευμα πωλῶ, εἴ τις θέλει πρίασθαι κύριον.

Γαΐου. Σωφρονέστερον δὲ οἶμαι τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν, τὸ πρὶν παθεῖν φυλάξασθαι τὸ μὴ παθεῖν.

Διονυσίου. Ξένου τινὸς ἰδίαν φράσιν φάσκοντος αὐτῷ, ὅπως προφοβήσει τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν. ὁ δὲ, προσελθὼν, δός ἔφη μοι τάλαντον, ἵνα δόξῃς μεμαθηκέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων. ἔδωκεν οὖν θαυμάζων τὴν μέθοδον τοῦ ἀνθρώπου.

Χρυσίππου. Χρύσιππος ὁ στωϊκὸς ἔφη τὴν διάνοιαν εἶναι λόγου πηγήν.

Σωκράτους. Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα: οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες, καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἑτοιμάκασι παθήματα.

Ἡροδότου. Ἴσον ἐκεῖνο ὦ βασιλεῦ παρ᾽ ἐμοὶ κέκριται, φρονέειν τε εὖ, καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι.

Σὺ δὲ μαθὼν ὅσον φθονέεσθαι κρέσσόν ἐστιν ἢ οἰκτείρεσθαι, ἅμα τε ὁκοῖον ἦν τοὺς τοκέας καὶ ἦν τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι εἰς τὰ οἰκεῖα.

Πλάτωνος. Οἷον ὅτι τέτταρα ἐφήσαμεν ἀρετῆς εἴδη γεγονέναι, δῆλον ὡς ἓν ἕκαστον ἀνάγκη φάναι τεττάρων ὄντων. τί μήν; καὶ μὴν ἕν γε αὖ πάντα ταῦτα προσαγορεύομεν. ἀνδρείαν γάρ φαμεν ἀρετὴν εἶναι, καὶ τὴν φρόνησιν ἀρετήν. καὶ τὰ δύο τἆλλα; ὡς ὄντα οὐ πολλά, ἀλλ᾽ ἓν τοῦτο μόνον ἀρετήν. πάνυ μὲν οὖν. ᾗ μὲν τοίνυν διαφέρετον αὐτοῖν τούτω τὼ δύο, καὶ δύο ὀνόματα ἐλαβέτην, καὶ τὰ ἄλλα, οὐδὲν χαλεπὸν εἰπεῖν. ᾗ δὲ ἐν ἀμφοῖν ἐπωνομάζομεν ἀρετήν, καὶ τοῖς ἄλλοις, οὐκ εὐπετὲς ἔτι. πῶς λέγεις; οὐδὲν χαλεπὸν ὅ γε λέγω δηλῶσαι. διανειμώμεθα γὰρ ἀλλήλοις τὴν ἐρώτησιν καὶ ἀπόκρισιν. πῶς αὖ φράζεις; ἐρώτησόν με, τί ποτε ἓν προσαγορεύοντες ἀρετήν, ἀμφότερα, δύο πάλιν αὐτὰ προσείπομεν. τὸ μὲν, ἀνδρείαν, τὸ δὲ, φρόνησιν. ἐρῶ γάρ σοι τὴν αἰτίαν, ὅτι τὸ μὲν ἐστὶ περὶ φόβον, οὗ καὶ τὰ θηρία μετέχει τῆς ἀνδρείας, καὶ τά γε τῶν παίδων ἤθη τῶν πάνυ νέων. ἄνευ γὰρ λόγου, καὶ φύσει γίγνεται ἀνδρεία ψυχή. ἄνευ δὲ αὖ λόγου ψυχὴ φρόνιμός τε καὶ νοῦν ἔχουσα, οὔτ᾽ ἐγένετο πώποτε, οὔτ᾽ ἔστιν, οὐδ᾽ αὖθις ποτὲ γενήσεται, ὡς ὄντος ἑτέρου. ἀληθῆ λέγεις.

*** Corruptũ est.** Πῶς γὰρ ὦ φίλε δύναιτο ἄν τις ἀρχόμενος ἀπὸ δόξης ψευδοῦς * ἐπὶ τῆς ἀληθείας καὶ μικρὸν μέρος ἀφικόμενος, κτήσασθαι σχεδὸν φρόνησιν; οὐδαμῶς.

Ὥσπερ εἰς κενὸν σκάφος, τὰ ἀπὸ τῆς φρονήσεως ἔρματα δεῖ προσεμβάλλειν.

Ὁ φρόνιμος ὥσπερ ἐς ὁδὸν τὸν βίον, οὐ τὰ πολλοῦ ἄξια συντίθησιν ἐφόδια, ἀλλὰ τὰ ἀναγκαιότερα.

φρόνησις

Quærenti quid in minimo maximum esset, respondit Periander, bona mens in corpore humano. *Periandri.*

Magna gaudia ex facinorum præclarorum spectaculo nascuntur. *Democriti.*

Corporis amatorem inuidū esse necesse est, ita ut amatum cū à multis alijs studijs & conuersationibus, ijsq; utilibus arcendo, ex quibus maximè uir euaderet, ingentis ipsi causa damni fit: tum in primis ab illa disciplina prohibendo, per quam sapientissimus efficeretur, nempe diuina philosophia, à qua amator procul abducere amatum compellitur, metuens ne ab eo, si fiat sapientior, contemnatur. *Platonis in Phædro.*

Prudentia & magna uis natura coniungi solent. Semper se mutuò persequuntur, quærunt, & conueniunt. *Eiusdem.*

Recordare quod cum homines omnes maximum esse bonum in sapientia situm afferant, tam pauci interim ad possessionem eius annitantur. *Pythagoræ.*

Socrates philosophus obiurgatus ab uxore Xanthippe, q̄d multa missitantibus amicis nihil acciperet, dixit: Si omnia quæ dantur statim acciperemus, ne si peteremus quidem inposterum, ut darent, habituri essemus.

Diogenem quidam amentem uocabat, cui ille: amens quidem non sum, non tamen eandem, quam uos, mentem habeo.

Idē in Corintho uendendus, interrogante p̄cone quidnā calleret, respōdit: hoīb. imperare. Risit præco, & magnum dixit artificiū uendo, si quis sibi dñm uelit emere.

Prudentius agit, qui sibi cauet priusquam malū ingruat, quàm qui malo iam accepto ad accusandum conuertitur. *Gei.*

Cum hospes quidam peculiarem phrasin ei commemoraret ad insidiatores deterrendos, narrari eam sibi iussit. Tum ille: da mihi, inquit, talentum, ut insidiantium notas callere uidearis. Dedit igitur solertiam hominis admiratus. *Dionysij.*

Chrysippus Stoicus cogitationem dixit orationis esse fontem. *Chrysippi.*

Vt qui nauigant uentis secundis, instrumenta quoq; parata habent, quibus se contra tempestatem aduersam muniant: ita qui cum bona fortuna sapiunt, etiam ad infortunia animi affectus præparant. *Socratis.*

Idem, ô rex, meo quidem iudicio, esse uidetur, uel ingenio suo sapere, uel rectè dicenti obtemperare. *Herodoti.*

Tu uero cum iam didiceris quantum inuidere alicui quàm misereri præstet, & qualis res sit parentibus & excellentioribus succensere, domum abi.

Cum quatuor uirtutis species posuerimus, liquet singulas unum quippiam nominandas esse, quamuis sint quatuor. Quid ita? Sanè hæc omnia unū appellamus. Fortitudinem enim uirtutē esse dicimus, prudentiam uirtutem, & reliqua duo similiter, quasi reuera non multa sint, sed unum id solum, q̄d uirtus est. Omnino quidem. In quantū igitur duo hæc inter se differunt, & duo nomina acceperunt, atq; alia duo similiter, difficile dictu non est. In quantum uero in utrisq; unum posuimus, idq; uirtutem uocauimus, & in duobus reliquis similiter, non ita facile. Quomodo istud ais? Non est arduum, quod dico, explanare. Age ergo interrogandi respondendiq; munus inter nos partiamur. Quo pacto? Interroga tu me quare unū appellantes uirtutem, duo utraq; rursum diximus, alterū fortitudinem, alterum uero prudentiā. Causam equidē tibi affero, quod alterū circa timores uersatur. Vnde beluæ q̄q; fortitudinis participes sunt, & infantiū animi. Natura enim quodammodo & sine ratione animus fortis efficitur: sed absq; ratione prudens anima & mentis compos nec fuit unquam, nec est, nec erit. Aliud ergo hæc est quàm illa. Vera loqueris. *Platonis lib. 12. de legibus, folio penultimo.*

Quo modo amice posset quisquā initio à falsa opinione facto, & ne particulam quidem exiguam ueritatis adeptus, peruenire tamen prope ad prudentiam? Nullo pacto.

Prudenter facta tanquam in uas inane alia alijs superinijcere oportet.

Prudens uir ad uitam, quasi uiam quandam, non preciosius uiaticum, sed quod magis necessarium est, comparat.

Κρίτωνος ἐπὶ Λαμίππῳ εὐτυχία.

Φρόνασις καὶ εὐτυχία, ὧδε ἔχοντι ποτ' ἄλλαλα. φρόνασις μὲν, τὸ ῥατὸν καὶ λόγον ἔχον· τεταγμένον γάρ τι καὶ ὁρισμένον ἐντί. εὐτυχία δὲ, τὸ ἄρρητον καὶ τὸ ἄλογον. ἄτακτον γάρ τι καὶ ἀόριστον ἐντί. καὶ τὸ μὲν ἀρχᾷ καὶ δυνάμει πρᾶτον. τὸ δὲ ἀρχᾷ καὶ δυνάμει ὕστερον. τὸ μὲν γὰρ κυβερνῆν καὶ ὁρίζειν, πέφυκε. τὸ δὲ κυβερνᾶσθαι καὶ ὁρίζεσθαι. λαμβάνοντι μάν τοι γε συναρμογὰν ἀμφότερα, φρονάσιος καὶ εὐτυχίας εἰς ταυτὸ συνδραμοίσας. δεῖ γὰρ δεῖ, τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν, ἔχειν ὅπερ ἀνεῖται καὶ συντάξει. τὰν δὲ ἄρρητον καὶ ἄλογον, ἔχειν, ὑφ' ὧ περαωθήσεταί τε καὶ συνταχθήσεται. ἔχει γὰρ οὕτως ὁ λόγος περὶ πάντων, ὅ, τε τᾶς ἀπείρου φύσιος καὶ τᾶς περαινοίσας. τὰ μὲν γὰρ ἄπειρα, φύσιν ἔχει περαίνεσθαί τε καὶ συντετάχθαι, ὑπὸ τῶν λόγον ἐχόντων ἀεὶ καὶ φρόνασιν· ὕλας γὰρ καὶ οὐσίας ἔχοντι τάξιν. τὰ δὲ περαίνοντα, ἐξ αἰτίων συντετάχθαι τε καὶ ὡρίσθαι. τέχνας γὰρ καὶ αἰτίας ἐνεργατικᾶς ἐπέχοντι τάξιν.

Ἐν ταυτῷ.

Α δὲ συναρμογὰ ταύταν τᾶν φύσιων κατ' ἄλλα καὶ ἄλλα γινόμενα, μεγάλαν, καὶ ποικίλαν πεποίηκε τὰν διαφορὰν τῶν συναρμοσμένων. ἐντὶ γὰρ τᾷ τῶν ὅλων περιοχᾷ συναρμογὰ συναμφοτέρων τᾶν φύσιων τᾶς τε ἀεικινάτω φύσιος, καὶ τᾶς ἀειπαθέος, κόσμος ἐντί. ἄλλως γὰρ οὐκ ἐνεδέχετο σώζεσθαι, τό, τε ὅλον καὶ τὸ πᾶν, μὴ συναρμογὰν ἔχοντος τῶ γενατῶ ποτὶ τὸ θεῖον, καὶ τῶ ἀειπαθέος, ποτὶ τὸ ἀεικίνατον. ἐντὶ δὲ περὶ ἀνθρώπω ἁ συναρμογὰ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, ποτὶ τὸ λόγον ἔχον, ἀρετά. οὔτε γὰρ ἐν τούτοις ἐνδέχεται στάσιος ἐούσας ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ἀποτελεσθῆναι ἀρετάν. καὶ ἐν πόλει δὲ, τῶν μὲν ἀρχομένων ποτὶ τὼς ἄρχοντας, ἀποτελεῖ κράτος, καὶ ὁμόνοιαν. τὸ μὲν γὰρ ἄρχειν, ἴδιον τῶ κρείσσονος. τὸ δ' ἄρχεσθαι, ῥᾶον τῶ χείρονος. τὸ δὲ * κρατὲν καὶ ὁμονοὲν, κοινὸν ἀμφοτέρων. ὁ δὲ αὐτὸς τρόπος τᾶς ἐφ' ὅλω καὶ περὶ τᾶς τῶ οἴκω συναρμογᾶς συντίθεταί τε καὶ συντίθησιν ἐπαοιδὰς καὶ παιδείας, ποτὶ λόγον εὖ τὸ αὐτὸ συνδραμοίσας· καὶ λύπας δὲ, καὶ ἁδονὰς, καὶ εὐτυχίας, καὶ ἀτυχήματα. χρήζει γὰρ ὁ βίος τυγχάνειν καὶ ἀνέσιος, καὶ ἐπιτάσιος, καὶ σκυθρωπότατος, καὶ διαχύσιος· καὶ εὐτυχίας δὲ καὶ ἀτυχίας. ἁ μὲν γὰρ συνέχειν καὶ συνάγειν δυνάται τὸν νόον εὖ τὰν εὐμαχανίαν, καὶ εὖ τὰν φρόνασιν. αἱ δ' ἄμπαυσιν καὶ διάχυσιν παρεχόμεναι, καινότερον καὶ εὔψυχον αὐτὸν παρασκευάζοντι ποτὶ τὰς πράξιας. εἰ δὲ ἐν τούτων ἐνδυναστεύοι περὶ τὸν βίον, ἑτερομερής τε καὶ ἑτεροκλινὴς γίνεται ὁ βίος, ὅκα μὲν ἐπὶ τὸ σκυθρωπόν τε καὶ χαλεπὸν καταφερόμενος· ὅκα δὲ ἐπὶ τὸ ἀνειμένον καὶ κοῦφον. ἁ δὲ συναρμογὰ τούτων ἁπάντων, ὀφείλει γίγνεσθαι ποτὶ τὰν φρόνασιν. αὐτὰ γὰρ ἁ διαγινώσκουσα ἐντί, τό, τε ἄπειρον καὶ τὸ περαῖνον ἐν ταῖς πράξεσι. διόπερ καὶ τᾶν ἄλλαν ἀρετᾶν αὕτ' ἂν ἁγεμὼν ἐντὶ καὶ μάτηρ. πᾶσαι γὰρ ποτὶ τὸν λόγον καὶ νόμον τὸν ταύτας συναρμοσμέναι τε καὶ συντεταγμέναι τυγχάνοντι. περαίνεται δὲ ὁ λόγος ὥδη μοι κατ' εὐθείαν. τὸ γὰρ ἄλογον καὶ τὸ ῥατὸν ἐν πᾶσιν ἐντί. καὶ τὸ μὲν, ὁρίζει καὶ περαίνει. τὸ δ' ὁρίζεται καὶ περαίνεται. τὸ δ' ἐξ ἀμφοτέρων αὐτῶν συγκείμενον, ἅ, τε τῶ ὅλω καὶ τῶ παντὸς, συναρμογά ἐντι.

Ἀρχύτου Πυθαγορείου.

Φρόνιμος ἀνὴρ οὕτως ἂν μάλιστα γένοιτο, φύσιος πρᾶτον εὐσόχω τε καὶ μναμονικᾶς καὶ φιλοπόνω, τυχὼν, ἐν λογισμοῖς τε καὶ μαθημάτεσι, καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσαις τὰν διάνοιαν φιλοσοφίας ἁπτόμενος ὀρθᾶς. μετὰ δὲ ταύτας, θεῶν τε νόμων καὶ βίων ἀνθρωπίνων, ἐμπειρίαν λάβῃ. δύο γὰρ ἐντὶ ἐξ ὧν τῶ φρονίμω διάθεσις παραγίνεται, ὧν τὸ μὲν ἐντὶ ἕξιν μαθηματικάν τε καὶ γνωστικὰν λαβεῖν, τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθόντα μὲν καὶ αὐτὸν ἰδόντα, τὰ δὲ, καὶ δι' ἑτέρω τινὸς τρόπω κατανενοηκότα. οὔτε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθημάτεσι, καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσας τὰν διάνοιαν, ἱκανός ἐντι ποτὶ φρόνασιν· οὐδ' ὁ τούτων μὲν ἀπολειφθεὶς, ἐν ἀκροαμάτεσι δὲ πολλοῖς καὶ πραγμάτεσιν ἀναστραφθείς. ἀλλ' ὁ μὲν ἐν τῷ καθέκαστα ἐκείνων, τυφλὸς ἐγένετο τὰν διάνοιαν. ὁ δ' ἐν τῷ καθόλω θεωρεῖν ἀεί. καθάπερ γὰρ ἐπὶ τῶν λογισμῶν τὰ μέρεα συντιθεὶς τὸ ὅλον ἐξ αὐτῶν λογίζεσθαι, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων, δύναται, ὁ μὲν λόγος, τὰν καθόλω θεωρίαν ὑπογράφειν. ἁ δ' ἐμπειρία, καθ' ἕκαστα κρίνειν.

ἱκανὸν

Prudentia & fortuna ita se habent inuicem. Prudentia res est rationem habens, & uerbis effabilis, ordinata & definita. Fortuna uero neq; sermone recte comprehenditur, neq; rationem habet, inordinata omnino ac infinita. Illa prior est dignitate, & potentia: hæc utroq; posterior. Solet enim illa gubernare determinareq;: hæc uero regi & terminari. Iungũtur tamen aliquando, & simul utraq; conueniunt. Cæterum semper oportet naturam rationalem, & quæ sermone definiri potest, habere quod terminet ac disponat. Irrationalem autem & uerbis non effabilem, habere opus est alteram naturam, à qua definiatur, & ordinetur. Eadem enim ubiq; est ratio de infinita & finiente natura. Siquidem infinita, ut materiæ & substantiæ rationem habentia, terminari & disponi apta sunt ab alijs ratione & prudentia præditis: quæ cum artis, efficientisq; causæ locum habeant, ordinare ac finire cætera solent. *Critonis siue Dimippi, fortuna.*

Naturæ quas diximus aliter atq; aliter coniunctæ, magnã atq; uariam iunctorum differentiam constituunt. Nam in uniuerso utriusq; naturę coniunctio, eius inquam quæ semper mouet, & alterius quæ semper patitur, mundum efficit: aliter enim rerum uniuersitas salua manere non posset, nisi genitum & diuinum, semper agens, semperq; patiens certa ratione conuenirent. In homine partis irrationalis cum rationali consensus, uirtus fit. Nam hic quoq;, si partes utrinq; dissideant, uirtus cõstitui nequit. In ciuitate, subditorũ ad principes coniunctio, imperium & concordiam parit. Vbi nimirum præstantiores imperant, inferiores parent: ex utrisq; autem imperium & concordia consistunt. Eodem modo ut uniuersum, sic familiam unamquanque consensus & disciplina concordi ratione instituta conseruant. *Ibidem.*

Porrò in uita hominum tristitiam & uoluptatem, lætam & tristem fortunam misceri oportet. Opus enim habet uita, ut nũc remittatur, nunc intendatur, modo mœsta, modo hilaris, iam fortunata, iam infortunata sit. Nã quæ nobis aduersa sunt, animum contrahunt, ingenijq; uim continent: exoptata, quiete permulcent, & lætitia diffundunt, unde recẽtior & promptior ad actiones fit animus. Quod si alterutrum solum in uita superet, nimium in alteram partem inclinabit, aut in tristitiam & molestiam nimis uergens, aut ad negligentiam & leuitatem. Debet autem omniũ harmonia, id est, concinna coniunctio pro iudicio prudentiæ fieri. Hæc enim est quæ res definit, ac infinita disponit: ideoq; cæterarum quoq; uirtutum dux & mater est. Etenim uirtutes omnes ad præscriptũ & rationem prudentiæ constituuntur. Cæterum hæc ad instituti mei probationem satis dicta sunt, quibus efficitur rebus in omnibus naturam irrationalem & ratione præditam inesse, quarum illa determinatur & finitur: hæc autem terminat & definit: at quod ex utraq; constat, totius & uniuersi harmonia est.

Vir prudens hoc maximè pacto nascetur. Primum nactus sit oportet ingenium solers, memor, & laboriosum. Deinde statim à puero animum exerceat, ratiocinetur, circa mathemata, exactas speculationes, & rectam philosophiam uersetur. Postea de legibus diuinis, & uitis hominum experientiam indipiscatur. Duo enim sunt, quæ prudentis habitum gignunt: quorum alterum est, ut mens disciplinis & cognitione sit munita: alterum, spectacula & negotia multa, quæ partim ipsum met unumquenque spectasse oportet, partim alio modo percepisse. Nam neq; is qui mox ab incunabulis rationibus, disciplinis, ac exquisitis contemplationibus animum exercitauit, ad prudentiam sat idoneus est: neq; ille, qui iam dictorum quidem nihil consecutus, sed in multis aliàs historijs & rebus experiundo uersatus est. Prior enim ad singularia perpendenda cæcum habet animum: Alter in uniuersalium contemplatione nihil uidet. Quemadmodum enim aliquis computando partibus coniunctis totum ex ipsis resultans colligere potest: ita in rebus quoque ratio quidem speculationem uniuersalem delineat; experientia uero, singularia iudicat. *Archytæ Pythagorei.*

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ,
ἀποφθεγμάτων, ὑποθηκῶν,

ΠΕΡΙ ΑΦΡΟΣΥΝΗΣ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Σοφοκλέους. Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,
ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ.

Εὐριπίδου. Τόδ' εἰδέναι σε μηδὲν ὧν ἁμαρτάνεις,
ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.

Ἡσιόδου. Ἄφρων δ' ὅς κε θέλοι πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.

Μενάνδρου. Ἄνοια θνητοῖς δυστυχεῖ' αὐθαίρετον.

Σοφοκλέους. Ὡς δυστέλεστον ἡ ἀμαθία κακόν.
Τί σαυτὸν ἀδικῶν, τὴν ψυχὴν κατῃτιᾷ;

Μενάνδρου. Οὐδεὶς ξύνοιδεν ἐξαμαρτάνων, πόσον
ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ' ὁρᾷ.

Τοῦ αὐτοῦ. Χαλεπόν γε τοιαῦτ' ἐστὶν ἐξαμαρτάνειν,
ἃ καὶ λέγειν ὀκνοῦμεν οἱ πεπραχότες.

Εὐριπίδου. Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς
ζητοῦσ' ἀμαυροῦν, κἀπικρύπτεσθαι κακά.

Τοῦ αὐτοῦ. Ἀσύνετος, ὅστις ἐν φόβοις μὲν ἀσθενής,
λαβὼν δὲ μικρὸν τῆς ψυχῆς, φρονεῖ μέγα.

Αἰόλου. Κακῆς ἀπ' ἀρχῆς γίνεται τέλος κακόν.

Σαπφοῦς πρὸς ἀπαίδευτον γυναῖκα. Κατθανοῖσα δὲ κείσεαι. οὐδέ ποτε μναμοσύνα σέθεν ἔσσετ' οὐδέποκ' ὕστερον. οὐ γὰρ μετέχεις ῥόδων τῶν ἐκ Πιερίας, ἀλλ' ἀφανὴς κἠν Ἀΐδα δόμοις φοιτάσεις. οὐδεὶς δέ σε βλέψει πεδ' ἀμαυρῶν νεκύων ἐκπεποταμένην.

Μενάνδρου. Τυφλόν τι τἀνόητον εἶναί μοι δοκεῖ.

Χαιρήμονος. Οὐ ζῶσιν οἷς τι μὴ συνιέντες σοφόν.
πρὶν γὰρ φρονεῖν εὖ, καταφρονεῖν ἐπίστασαι.
οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν.
σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ.

Αἰσχύλου. Ἡ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων.
ἡ δὲ μωρία
μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ.

Εὐριπίδου. Δόξει τις ἀμαθεῖ σοφὰ λέγων, οὐκ εὖ λέγειν.

Τοῦ αὐτοῦ. Τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν,
εἰς συμφορὰν ἔστησε πολλὴν δὴ βροτούς.

Αἰσχύλου. Θάλασσα κλύζει πάντα τ' ἀνθρώπων κακά,
φέρεται δὲ εἰς τοὺς δεισιδαίμονας. οἱ θαλάσσῃ προσκαθαίρονται.
Πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν.

Ἡσιόδου. Κεῖνος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει,
φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω.
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων,
ἐν θυμῷ βάλληται, ὁδ' αὖτ' ἀχρήιος ἀνήρ.

Θεόγνιδος. Ὅς τις τοι δοκέει τὸν πλησίον ἔμμεναι οὐδέν,
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν.
Κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ.
ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα.
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι.

IOANNIS STOBAEI COLLECTIONVM apophthegmatum & sententiarum,

DE IMPRVDENTIA SERMO II.

QVIBVS est aduersa fortuna, non surdi solum sunt, *Sophoclis.*
Sed ne uidentes quidem res conspicuas uident.
Quod ignarus sis eorum, in quibus peccas, *Euripidis.*
Id uero magnum est tibi temeritatis & audaciæ incitamentum.
Imprudens est, quisquis præstantioribus certare uult, *Hesiodi.*
Et uictoria priuatur, & dedecore supra dolorem afficitur.
Amentia hominibus spontaneum est infortunium. *Menandri.*
Quàm intractabile malum est inscitia. *Sophoclis.*
Quid tibi es iniurius animum tuum in culpa faciens?
Nemo rem dum peccat cognoscit, sed quanta sit *Menandri.*
Peccati magnitudo postmodum uidet.
Graue est peccata huiusmodi committere, *Eiusdem.*
Qualia qui admiserunt uel nominare uerentur.
Multi mortalium per audaciam suas calamitates *Euripidis.*
Obtegere uolunt, & cælare mala.
Non sapit ille, qui in metu quidem infirmus est, *Eiusdem.*
Animo autem paululum collecto, nimium est arrogans.
De malo principio malus finis exit. *Aeoli.*

Defuncta iacebis. Nulla unquam in posterũ tui memoria erit. Non enim participas rosis è Pieria: Quin obscura ad Orcum ibis, neque te quisquam uidebit puellam euanidos reliquisse manes, aut ab inferis euolasse. *Sapphus.*

Res mihi cæca uidetur imprudentia. *Menandri.*
Non uiuunt illi, qui nihil sapiens intelligunt. *Cheremonis.*
Prius alios spernere, quàm rectè sapere didicisti.
Non decet mores nimium esse leues.
Nullus enim ubi iam uidet se lapsum, bene sibi consultasse uidetur.
Næ homo fortunatus, sed imprudens, onus est graue. *Aeschyli.*
Porrò stultitia
Maximè soror est malitiæ.
Qui cum imperito sapienter loquitur, non bene loqui uidebitur. *Euripidis.*
Hæc animi leuitas & præcipitatio *Eiusdem.*
In magnam calamitatem detrudit homines.
Mala hominum omnia pontus abluit, *Aeschyli.*
At illa pariter in superstitiosos ingruunt.
Sæpe etiam stultus fuit opportuna locutus. *Eiusdem in Phrygibus.*
Optimus ille quidem fuerit, quicunque sibi omnia consuluerit,
Animaduertens ea, quæ deinceps, ac in fine meliora sunt. *Hesiodi.*
Qui uero neque sibi sapit, neque ab alijs audita
Animo recondit, hic sane uir est inutilis.
Quicunque nihili æstimat alium, *Theognidis.*
Seque putat solum consilia uaria nosse,
Desipit, atque bonæ mentis est expers.
Omnes enim ex æquo uaria scimus.
Sed huic non libitum est astutias sequi,

περὶ δὲ δολοπλοκίαι μᾶλλον ἔτ' εἰσὶ φίλαι.

Μενάνδρου. Εὐηθία μοι φαίνεται δεδουλευμένη
τὸ νοεῖν μὲν ὅσα δεῖ, μὴ φυλάττεσθαι δ' ἃ δεῖ.
Ἐπὰν ἐν ἀγαθοῖς διανοούμενός τις ὢν
ζητεῖ τι κρεῖττον, ὧν ἔχει, ζητεῖ κακά.

Εὐριπίδου. Οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι,
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.

Τοῦ αὐτοῦ. Εὖ γὰρ τόδ' ἴσθι, * κἂν ἐς ἐλάνθανεν πάρος, *Lego κἂν σ'.
τὸ σκαιὸν εἶναι πρῶτ' ἀμουσίαν ἔχει.

Τοῦ αὐτοῦ. Ὅθεν δὲ νικᾶν χρὴ σε, δυστυχεῖς ἄναξ.
ὅθεν δέ σ' οὐ χρῆ, εὐτυχεῖς. δούλοισι γὰρ
πόσοισιν † ἥκεις, τοῖσι δ' ἐλευθέροισιν οὔ. † Lego εἴκεις

Εὐπόλιδος. Ἀλλ' ἀκούετ' ὦ θεαταὶ πολλὰ καὶ ξυνίετε
ῥήματ'. εὐθὺ γὰρ πρὸς ὑμᾶς πρῶτον ἀπολογήσομαι,
ὅτι μαθόντες τοὺς ξένους μὲν λέγετε ποιητὰς σοφούς.
ἢν δέ τις τῶν ἐνθάδ' αὐτῶν μὴ δὲ ἓν χεῖρον φρονῶν,
ἐπιθῆται τῇ ποιήσει, πάνυ δοκεῖ κακῶς φρονεῖν,
μαίνεταί τε καὶ παραρρεῖ τῶν φρενῶν περὶ σοῦ λόγου.
ἀλλ' ἐμοὶ πείθεσθε, πάντως μεταβαλόντες τοὺς τρόπους,
μὴ φθονεῖθ' ὅταν τις ὑμῶν μουσικῇ χαίρῃ νέων.

Φανοῦ. Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι πελόμεσθα
ἄνθρωποι. φέρομεν δὲ θεῶν ἑτερόρροπα δῶρα
ἀφραδέῃ κραδίῃ. βιότοιο μὲν ὅστ' ἐπιδευὴς
στρωφᾶται, μακάρεσσι δ' ἐπὶ ψόγον αἰνὸν ἰάπτει
ἀχνύμενος. σφετέρην δ' ἀρετὴν τε θυμὸν ἀτίζει.
οὐδέ τι θαρσαλέως νοέειν ἔπος, οὐδέ τι ῥέξαι
ἐρριγὼς ὅθι τ' ἄνδρες ἐχεκτέανοι παρέωσι.
καί οἱ θυμὸν ἔδουσι, κατηφείη καὶ ὀϊζύς.
ὃς δ' ἐπὶ εὐόχθησι, θεὸς δ' ἐπὶ ὄλβον ὀπάζει,
καὶ πολυκοιρανίην, ἐπιλήθεται οὕνεκα γαῖαν
ποσσὶν ἐπιστείβει, θνητοὶ δέ οἱ εἰσὶ τοκῆες.
ἀλλ' ὑπεροπλίῃ τε καὶ ἁμαρτωλῇσι νόοιο
ἶσα Διὶ βρομέει. κεφαλὴν δ' ὑπὲρ αὐχένας ἴσχει,
καί περ ἐὼν ὀλίγος. μνᾶται δ' εὔπηχυν Ἀθήνην,
ἠὲ τιν' ἀτραπιτὸν τεκμαίρεται Οὔλυμπόνδε
ὥς κε μετ' ἀθανάτοισιν ἀρίθμιος εἰλαπινάζει.
ἡ δ' Ἄτη ἁπαλοῖσι μεταστρωχῶσα πόδεσσι
ἄκρης ἐν κεφαλῇσιν, ἄνωϊστος καὶ ἄφαντος,
ἄλλοτε μὲν γραίῃσι νεωτέρη. ἄλλοτε δ' αὖτε
ὁπλοτέρῃσι γρηῦς ἐφίσταται ἀμπλακίῃσι.
Ζηνὶ θεῶν κρείοντι, δίκῃ τ' ἐπίηρα φέρουσα.

Μενάνδρου. Οὐκ ἔστ' ἀνοίας οὐδὲν ὡς ἐμοὶ δοκεῖ τολμηρότερον.

Ἡσιόδου. Σχέτλιος. ἧπου πολλὰ μεταστοναχίζετ' ὀπίσσω
τὴν ἄτην ἀχέων ἡ δ' οὐ παλινάγρετός ἐστιν.

Σοφοκλέους. Ἐνταῦθα μέν τοι πάντα τ' ἀνθρώπων νοσεῖ,
κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.

Τοῦ αὐτοῦ. Ταῦτ' ἐστὶν ἄλγισθ', ἂν παρὸν θέσθαι καλῶς,
αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ φέρων.

Μενάνδρου. Ὁ μὴ φέρων γὰρ εὖ τι τῶν ἐν τῷ βίῳ

ἀγαθῶν,

Illi uero calliditas præ cæteris est cordi.

Stultitia mihi manifesta uidetur, *Menandri.*
Intelligere quidem quæ oportet, non autem cauere ea.

Si quis in bona fortuna & hominum beneuolentia
Sortem quærit præsenti meliorem, hic mala quærit.

Non potero replere pertusum animum,
Sapientes sermones homini stulto infundens. *Euripidis.*

Hoc uelim scias, etsi te latuerit antehac,
Quod malitia magnæ signum sit imperitiæ. *Eiusdem.*

Infœlix es ô princeps, qua parte te uincere oportebat:
Qua uero non, fœlix es. Seruorum enim *Eiusdem.*
Multitudini concedis, non autem liberis.

Age spectatores pluribus audite, & intelligite
Rem, ad uos enim rectà causæ nostræ dictionem eloquar. *Eupolidis.*
Nam cum peregrinos poëtas audiuistis, statim sapientes ipsos esse asseritis.
Si quis uero nostratium nihilo illis sapientia inferior
Aggrediatur poesin, omnino desipere iudicatur,
Quin uero insanit, & mente non constat, ut uos clamatis.
Sed agite mihi audite & moribus planè immutatis,
Si quis è uestratibus Musica delectetur iuniorum, non inuidete.

Omnes profectò erramus animis
Homines, & lance deorum distributa dona ferimus *Rhiani.*
Pectore insipiente. Nam cui uictus deficere uidetur,
Hic sese uersat, grauemq; dijs culpam impingit.
Mœstus: uirtutem uero suam, animumq; negligit,
Nec dicere quicquam fortiter, neq; facere
Præ timore audet, ubi uiri locupletes adfuerint:
Sed animum eius absumunt pudor & mœror.
At qui secundam fortunam, & opes à Deo collatas habuerit,
Et regnum in multos, hic obliuiscitur, quod telluri
Pedibus insistat, & mortales ei sint parentes,
Sed arrogans, & animo peccans,
Instar Iouis tonat, & caput supra ceruicem tollit,
Quamuis paruus homo: pulchrisq; decoram cubitis Mineruam ambit.
Deniq; uiam ubiq; requirit ad Olympum,
Vt numeratus inter deos epulis iungatur eorum.
Ast Ate leuibus adcurrens pedibus
In uertice capitis insperata, nulliq; uisa,
Iam quidem uetulis ipsa iuuenili forma: Iam uero contrà
Iuuenibus senili insistit facie fraudulenter,
Ioui Deo terribili, & iustitiæ gratum faciens.

Non est quicquam audacius, quàm imperitia. *Menandri.*

Miser, nimirum ualde deplorat postmodum *Hesiodi.*
Calamitatem suam lugens, quæ non reuocabilis est.

Hac parte uidelicet omnia laborant hominum negotia,
Cum remedia malis mala statuunt. *Sophoclis.*

Hoc uero dolendum est, si cum res ferat se rectè instituat,
Sua quis culpa sibi damnum comparat. *Eiusdem.*

Qui non bene fert, quæ in uita contigere sibi *Menandri.*

ἀγαθῶν, ἀλόγιστός ἐστιν οὐ μακάριος.

Τοῦ αὐτοῦ. Μικρά γε πρόφασίς ἐστι τοῦ πρᾶξαι κακῶς.

Φιλήμονος. Ἐπὰν ὁ νοῦς ᾖ μὴ καθεστηκὼς τινί,
οὐκ ἔστ' ἀκούειν οὐθὲν αὐτῷ, οὐδ' ὁρᾶν.

Κερκίδα. Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει. πῶς ἐνίδοιμ' ἂν τὰν σοφίαν
πέλας ἑστακυῖαν ἀνέρες, ὧν τὸ κέαρ
πηλῷ σέσακται, καὶ δυσεκνίπτῳ τρυγί;

Παροιμία. Ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς.

Θεόγνιδος. Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας.
γνῶναι γὰρ χαλεπὸν παῦρον, ὅτ' ἐσθλὰ παρῇ.

Ῥηγίνου. Καθάπερ δὲ τὸ τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ ὄψει· οὕτω καὶ ἔτι μᾶλλον τὴν ἀλήθειαν, οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ διανοίᾳ.

Κορνηλιανοῦ. Ἀλλ' ὅμως τὰ μεγάλα ταῦτα καὶ δεινὰ ὁμολόγει κοίτη καθ' αὑτῆς. τοῦτο γὰρ αὐτῶν καὶ μόνον τῇ προαιρέσει πρόσεστιν ἀγαθόν· ὅπερ ἐστὶ μέγιστον τῶν κακῶν, ὅτι περὶ ὧν πράττουσι κακῶς, καὶ παρρησιάζονται.

Ἰσοκράτους. Γιγνώσκω μὲν οὖν ὅτι τοῖς πλείστοις τῶν νενουθετημένων ἔμφυτόν ἐστι μὴ πρὸς τὰς ὠφελείας ἀποβλέπειν. ἀλλὰ τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομένων, ὅσῳπερ ἄν τις αὐτῶν ἀκριβέστερον ἐξετάζῃ τὰς ἁμαρτίας.

Πλάτωνος ἐν Φαίδωνι. Ἀλλὰ πρῶτον μὲν εὐλαβηθῶμεν, τί πάθος μὴ πάθωμεν. τὸ ποῖον; ἦν δ' ἐγώ. μὴ γενώμεθα, ἦ δ' ὅς, μισόλογοι, ὥσπερ οἱ μισάνθρωποι γιγνόμενοι. ὡς οὐκ ἔστιν ἔφη ὅτι ἄν τις μεῖζον τούτου κακὸν πάθοι, ἢ λόγους μισήσας. γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου, μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται, ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί γε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν ἄνθρωπον· ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον, καὶ αὖθις ἕτερον· καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις, καὶ ὑπὸ τούτων μάλιστα, οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους καὶ ἑταιροτάτους· τελευτῶν δὴ θαμὰ προσκρούων, μισεῖ (*alias οὔπω) τε πάντας, καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι. ἢ οὐκ ᾔσθησαι * σὺ τοῦτο γιγνόμενον; πάνυ γε ἦν δ' ἐγώ. οὐκοῦν ἦ δ' ὅς, αἰσχρόν, καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπιχειρεῖ τοῖς ἀνθρώποις. εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο, ὥσπερ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς ὀλίγους εἶναι σφόδρα ἑκατέρους, τοὺς δὲ μεταξύ, τοὺς πλείστους.

Ἐν ταυτῷ. Ὡς κινδυνεύω ἔγωγε ἐν τῷ παρόντι, περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν· ἀλλ' ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως. καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμφισβητῶσιν, ὅπῃ μὲν ἔχει, περὶ ὧν ἂν ὁ λόγος ᾖ, οὐ φροντίζουσιν· ὅπως δὲ ἃ αὐτοὶ ἔθεντο, ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προθυμοῦνται.

Δημοσθένης ὁ ῥήτωρ θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα, ἔφη. ἀλλ' οὐ τὸ μέγα εὖ ἐστι· τὸ δὲ εὖ, μέγα.

Κράτης ἀπείκαζε τοὺς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις. ἄνευ γὰρ δεσμοῦ καὶ ἀνάγκης μηδὲν ἐθέλειν τῶν δεόντων ποιεῖν.

Δημοκρίτου. Ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται. ἐπήν τις τἀγαθὰ μὴ ἐπίστηται ποδηγεῖν, μηδὲ ὀχεῖν εὐπόρως.

Βίων ἔλεγε τοὺς γραμματικοὺς ζητοῦντας περὶ Ὀδυσσέως πλάνης, μὴ ἐξετάζειν τὴν ἰδίαν, μηδὲ καθορᾶν, ὅτι καὶ ἐν αὐτῷ τούτῳ πλανῶνται, πονοῦντες περὶ τὰ μηδὲν χρήσιμα.

Πλάτωνος. Καὶ ὁπόταν αὖ φῇς τοὺς ἀσκοῦντας μὲν τὰ σώματα, τῶν δὲ ψυχῶν ἠμεληκότας, ἕτερόν τι πράττειν τοιοῦτον, τοῦ μὲν ἄρξοντος ἀμελεῖν· περὶ δὲ τὸ ἀρξόμενον ἐσπουδακέναι.

Κακοὶ γίνονται ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀνθρώπων, ψυχὰς βαρβάρους ἐχόντων.

Ἰσοκράτους. Ὁ μὲν δειλός, τῆς πατρίδος· ὁ δὲ φιλόδοξος, τῆς πατρῴας οὐσίας ἐστὶ προδότης.

Οἱ δραπέται κἂν μὴ διώκωνται, φοβοῦνται· οἱ δὲ ἄφρονες, κἂν μὴ κακῶς πράττωσι, ταράττονται.

Ἐν μὲν

Bona, stolidus est, non beatus.

Nullus peccandi satis magnus est prætextus. *Eiusdem.*

Si quis mente sibi non constat, *Philemonis.*
Hic rectè quicquam nec audit, neq; uidet.

Mentis est uidere, mentis audire. Sed quomodo uiderent sapientiam, licet *Cercide.* propinquam, uiri, quorum mentem lutum repleuit, & fæx difficilis elui?

Asinus lyram, sus audiebat buccinam. *Senarius prouerbialis.*

Multos uiros satietas perdidit insipientes.
Vel parum enim intelligere difficile est, cum externa bona affluunt. *Theognidis.*

Vt solare lumen imbecillus & impotens uisus aspicere nequit: ita ueritatē, *Rhegini.* idq; multò magis, infirma mens & inualida conspectare non potest.

Magna hæc & grauia facinora de se ipsa confitebatur. Hoc enim solum in *Cornelliani.* ipsorum uoluntate boni erat, quod malum est maximum, nempe quod improbè facta ab ipsis, audacter eloquerentur.

Non sum nescius, quod magna pars eorum, qui aliqua de re monentur, *Isocratis.* non suam utilitatem spectant: sed eò molestius, quæ dicūtur, accipiunt, quantò quis diligentius errata ipsorum examinat.

In primis uero cauendū ne id nobis accidat. Quidnam inquam? Ne rationum inquit osores euadamus, quemadmodum nonnulli hominum osores fiunt. Nullum enim maius quàm hoc malū nobis posset accidere, uidelicet si rationes odio haberimus. Fit aūt eodem pacto odium & aduersus rationes, & aduersus homines. Odium quidem contra homines tunc maximè subit, quando alicui nimium credimus absq; arte, putamusq; ipsum omnino uerum & syncerum fidumq; uirū esse, deinde uero mox prauū infidumq; deprehendimus, rursusq; alium eodem pacto. Itaq; quando quis sæpius offensus ita decipitur, præsertim ab ijs, quos præcipuè familiarissimos amicissimosq; existimabat, odit tandem plurimum uniuersos, putatq; nihil omnino apud quenquam esse syncerum. An te latuit id ita accidere consueuisse? Animaduerti equidem, inquam. An nō turpiter inquit, & absq; humanarum rerum arte hic aggreditur hominibus uti? si enim ex arte uti studeret, cogitaret utiq; rem ipsam ita se, ut habet, habere, uidelicet homines uehementer bonos aut malos, perpaucos esse, medios uero plurimos. *Platonis in Phædone.*

Periclitor enim in præsentia, ne me non ut philosophum geram, sed ut contentiosum atq; pertinacem, quod quidam homines à disciplina alienissimi facere solent. Illi enim ubi aliqua de re ambigitur, non ut res ipsa, de qua agitur, se habeat, curant: sed ut, quæ posuerunt ipsi, præsentibus uideantur uera, obnixè contendunt. *Eiusdem ibidem.*

Demosthenes cum uidisset quendam demagogum, id est, beneuolentiæ popularis auidum magna uoce concionantem, dixit: Non magna res statim bona est, sed bona statim est magna.

Crates stultos homines terebris comparabat, quod nisi uinculis & aliâs coacti officium suum non faciant.

E bonis mala nascuntur hominibus, si qui bona non recta ratione regere, neq; facile ferre nouerunt. *Democriti.*

Bion Grammaticos aiebat errores Vlyssis inquirentes, non animaduertere suos, neq; uidere, q̄d eodem, ut ille, modo errent, dū labores multos inutiles exhauriunt.

Et cum inquis eos, qui corpus exercent, negligunt animam, diuersum quiddā facere: nempe principem partem neglectam sinere, subiectam uero excolere. *Platonis.*

Mali fiunt etiam oculi, & aures stultorum hominum, qui barbaros habent animos.

Timidus quidem patriam, ambitiosus uero substantiam paternam deserit. *Isocratis.* Fugitiui, etsi nullo persequente, sibi metuunt: insipientes autem, licet nihil aduersetur ipsis fortuna, perturbantur.

Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν· ἐν δὲ ταῖς ἀτυχίαις, παρανοοῦσιν οἱ ἀνόητοι.

Οὔθ' οἱ ἄμουσοι, τοῖς ὀργάνοις, οὔθ' οἱ ἀπαίδευτοι, ταῖς ἀτυχίαις δύνανται συναρμόσασθαι.

Τὸν τῶν ἀπαιδεύτων βίον, καθάπερ ὑποκριτὴν, πολλὰ τύφου μετακεδύματα περίκειται.

Τοῖς ἄφροσιν ὥσπερ τοῖς παιδίοις, μικρὰ πρόφασις εἰς τὸ κλαίειν ἱκανή.

Οἱ μὲν ξένοι, ἐν ταῖς ὁδοῖς· οἱ δὲ ἀπαίδευτοι, ἐν τοῖς πράγμασι πλανῶνται.

Ταυτόν ἐστιν ἀῤῥωστοῦντι φορτίον ἀναθεῖναι, καὶ ἀπαιδεύτοις εὐτυχίαν.

Οὔτε πλέοντας, παρὰ τόπον ὁρμεῖν ἀσφαλές· οὔτε ζῶντας, παρὰ τὸν νόμον βιοῦν, ἀκίνδυνον.

Ὁ μὲν πρωτεὺς, τῇ μορφῇ· ὁ δ' ἀπαίδευτος, τῇ ψυχῇ παρ' ἕκαστον ἀλλοιοῦται.

Πολλοὺς ὥσπερ ἀσθενοῦντας, οὕτω καὶ εὐτυχοῦντας τὸ πλῆθος τῶν παρακειμένων, λυπεῖ.

Φίλιππος τοὺς ἀθηναίους εἴκαζε τοῖς ἑρμαῖς, ὡς στόμα μόνον ἔχουσι καὶ αἰδοῖα μεγάλα.

Δημάδης τοὺς ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι.

*Logo γραμματικῷ. Θεόκριτος *γράμμα τῷ διδασκάλῳ φαύλως ἀναγινώσκοντι, προσελθὼν εἶπε. διὰ τί γεωμετρεῖν οὐ διδάσκεις; τοῦ δ' εἰπόντος, ὅτι οὐκ οἶδα. καὶ τί τοῦτ' εἶπεν, οὐδὲ γὰρ ἀναγινώσκειν.

Δημοκρίτου. Εἴδωλα αἰσθητικὰ καὶ κόσμῳ διαπρεπέα, πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.

Λήθη τῶν οἰκείων κακῶν, θρασύτητα γεννᾷ.

Ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς ψυχῆς κέρδεσιν· οἱ δὲ τῶν τοιῶνδε δαήμονες, τοῖς τῆς σοφίης.

Τὸ χρῆζον οἶδεν ὁκόσον χρήζει. ὁ δὲ χρήζων, οὐ γινώσκει.

Ἀνοήμονες τὸ ζῆν ὡς στυγέοντες ζῆν ἐθέλουσι δείματι ἀΐδεω.

Ἀνοήμονες βιοῦσιν, οὐ τερπόμενοι βιοτῇ.

Ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται· τὰ δὲ παρεόντα καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν.

Ἄνθρωποι, τὸν θάνατον φεύγοντες, διώκουσιν.

Ἀνοήμονες θάνατον δεδοικότες, γηράσκειν ἐθέλουσι.

Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος, οὐκ ἀσφαλέα κτήματα.

Διογένους. Ἐπεὶ δὲ ἐν τῇ στοᾷ ἀνάπαλιν περιπατοῦντος αὐτοῦ ἐγέλων τινὲς, εἶτ' οὐκ αἰσχύνεσθε εἶπεν, ὑμεῖς τὴν ἐν τῷ βίῳ ὁδὸν ἀνάπαλιν πορευόμενοι, ἐμοῦ τὴν ἐν τῷ περιπατεῖν κατεγνωκότες.

Σωκράτης ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον, ἰδοὺ ἔφη χρυσοῦν ἀνδράποδον.

Διογένης ἔλεγε τοὺς ἀνθρώπους τὰ μὲν πρὸς τὸ ζῆν, πορίζεσθαι. τὰ δὲ πρὸς τὸ εὖ ζῆν, οὐ πορίζεσθαι.

Ἀριστοτέλης, τοὺς τὰ ἐναργῆ πράγματα πειρωμένους δεικνύναι, ὅμοιον ἔφη ποιεῖν, τοῖς διὰ λύχνου τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

Βίων ἐρωτηθεὶς, τί ἐστιν ἄνοια, εἶπε προκοπῆς ἐμπόδιον.

Στίλπων ἐρωτηθεὶς τί ἰσχυρότερον ἀνδριάντος, ἄνθρωπος εἶπεν ἀναίσθητος.

Κλεάνθης ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

Φαβωρῖνος εἶπε τοὺς ἀνθρώπους, πῇ μὲν εἶναι γελοίους, πῇ δὲ ἐλεεινοὺς, πῇ δὲ μισητούς. γελοίους μὲν θρασύτητι μειζόνων ὀρεγομένους. μισητοὺς δὲ, ἀποτυχόντας. ἐλεεινοὺς δὲ, ἁμαρτάνοντας.

Ἐπικτήτου. Εἰς συμπόσιον μὲν οὖν παρακληθέντες, τῷ παρόντι χρώμεθα. εἰ δέ τις κελεύοι τὸν ὑποδεχόμενον ἰχθῦς αὐτῷ παρατιθέναι ἢ πλακοῦντας, ἄτοπος ἂν δόξειεν· ἐν δὲ τῷ κόσμῳ αἰτοῦμεν τοὺς θεοὺς ἃ μὴ διδόασι, καὶ ταῦτα πολλῶν ὄντων, ἅ γε ἡμῖν δεδώκασι.

Τοῦ αὐτοῦ. Χαρίεντες ἔφη εἰσὶν, οἱ μέγα φρονοῦντες ἐπὶ τοῖς οὐκ ἐφ' ἡμῖν. ἐγώ σου φησὶ κρείττων εἰμί. ἀγροὺς γὰρ ἔχω πολλούς· σὺ δὲ λιμῷ παρατείνῃ. ἄλλος λέγει· ἐγὼ ὑπατικός εἰμι. ἄλλος, ἐπίτροπος ἐγώ. ἄλλος, ἐγὼ οὔλας τρίχας ἔχω. ἵππος δ' ἵππῳ οὐ λέγει, ὅτι κρείττων εἰμί σου. πολὺν γὰρ κέκτημαι χιλὸν, καὶ κριθὰς πολλάς, καὶ χαλινοί μοι εἰσὶ χρυσοῖ, καὶ ἐφίππεια ποικίλα. ἀλλ' ὅτι ὠκύτερός σου εἰμί. καὶ πᾶν ζῶον κρεῖττόν ἐστιν ἐκ τῆς ἑαυτοῦ ἀρετῆς καὶ κακίας. ἆρ' οὖν ἀνθρώπου μόνου ἀρετὴ οὐκ ἔστιν; ἀλλὰ δεῖ ἡμᾶς εἰς τρίχας ἀφορᾶν,

καὶ

Stulti temulenti debacchantur, aduersante fortuna insaniunt.

Neq; Musices ignari instrumenta concinnare: neq; indocti infortunia sibi accommodare possunt.

Indoctorum uita, tanquam histrio, multa fastus & arrogantiæ gerit indumenta.

Stultis, sicut infantibus, utcunq; leuis occasio satis est ad luctum.

Errant peregrini in uijs, in rebus imperiti.

Idem est languenti onus imposuisse, & indocto bonam fortunam.

Neq; nauigantes præter loci commoditatem appellere tutum est; neq; uiuentes, præter legem uitam agere, periculo uacat.

Proteus quidem formam, imperitus uero animum ubiq; mutat.

Multos ut in morbis, ita etiam in successu fortunæ, conuersantium multitudo afficit molestia.

Philippus Athenienses comparabat statuis quibusdam, quæ nihil aliud quàm os habent, & magna pudenda.

Demades tibijs similes esse dicebat Athenienses, quod adempta lingua nihil residui rationis haberent.

Theocritus ad Grammaticũ quendam ludimagistrũ malè pronunciantem accedens, rogauit: Qui fit, quod Geometriam non doceas? is cũ respondisset, quoniam ignoro: quid tum? dixit: nam legere quoq; nescis.

Simulachra artificiosa, & bellè ornata, ad sui quidem spectaculũ alliciunt, sed corde carent. *Democriti.*

Malorum suorum obliuio gignit audaciam.

Stulti cum uitam oderint, uiuere tamen uolunt mortis metu.

Stulti uiuunt non delectati uita.

Stulti desyderant absentia: præsentia uero, etsi meliora præteritis, negligunt.

Homines dum fugiunt mortem, sequuntur ipsam.

Stulti mortem timentes senescere cupiunt.

Gloria & opes absq; mente, non tutæ sunt possessiones.

Cum in Stoicorũ gymnasio retrorsum incederet, ridentibus nõnullis: non uos, inquit, pudet uiuendi iter facere retrogradum, mihi uero deambulando tantum id facienti uitio dare? *Diogenis.*

Socrates adolescentulũ intuitus diuitẽ ac imperitũ: uidete, dixit, mancipiũ aureũ.

Diogenes aiebat de necessarijs quidem ad uiuendũ homines sibi prospicere: quæ uero ad bene uiuendum pertinent, non comparare.

Aristoteles illos, qui res manifestas demonstrare conantur, perinde facere dixit, ac si solem adhibita lucerna uellent ostendere.

Bion interroganti qd esset amẽtia, siue stultitia, proficiẽdi impedimentũ respõdit.

Stilpon rogatus quid statua durius esset, homo stolidus dixit.

Cleanthes dicere solebat rudes homines sola forma à brutis differre.

Phauorinus homines partim esse ridiculos, partim odiosos, partim miserabiles dixit. Ridiculos quidem, qui per audaciam ad maiora aspirant. Odiosos, qui ea consequuntur. Miserabiles uero, qui spe falluntur.

Ad conuiuium quidem inuitati præsentibus utimur: Quod si quis iuberet hospitem apponere sibi pisces aut placentas, absurdus uideretur. At nos in mundo petimus à Dijs, quæ non dant, cum multa interim sint, quæ exhibuerunt. *Epicteti.*

Egregij uero scilicet sunt, q sibi ualde placẽt in rebus externis, neq; nostri arbitrij. Vt si quispiã dicat: Ego te melior sum, possideo eñ pdia, tu fame crucians. Ali⁹ se consularẽ, alius tutorẽ iactat. Est cui crispũ suũ capillitiũ placeat. Atqui equus equo nõ dicit, melior te sum, multũ eñ pabuli habeo, & hordeũ abunde, aureumq; frenũ: sed qa te uelocior sum. Siquidem omne animal ex uirtute aut uitio sibi proprijs, melius deteriúsue iudicatur. An uero homini tantũ nulla uirtus est peculiaris, sed ad comam, *Eiusdem.*

καὶ τὰ ἱμάτια, καὶ τοὺς πάππους; περὶ μὲν ἰατρῷ μηδὲν συμβουλεύοντι, ἄχθονται οἱ κάμνοντες, καὶ ἡγοῦνται ἀπεγνῶσθαι ὑπ' αὐτοῦ. πρὸς δὲ τὸν φιλόσοφον * διότι οὐκ ἄντις οὕτω διατεθείη, ὥστε οἰηθῆναι ἀπεγνῶσθαι ὑπ' αὐτοῦ σωφρονήσειν, εἰ μηδὲν λέγοι τι πρὸς αὐτὸν τῶν χρησίμων.

*Fortè διατί.

Τοῦ αὐτοῦ. Οἱ τὸ σῶμα εὖ διακείμενοι, καὶ καύματα καὶ ψύχη ὑπομένουσιν: οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι, καὶ ὀργὴν, καὶ λύπην, καὶ περιχάρειαν, καὶ τ' ἄλλα πάθη φέρουσι.

Πλάτωνος ἐν Εὐθύφρονι. Βουλοίμην ἂν ὦ σώκρατες, ἀλλ' ὀῤῥωδῶ μὴ τοὐναντίον γένηται: ἀτεχνῶς γάρ μοι δοκεῖ ἀφ' ἑστίας ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σε. καί μοι λέγε, τί καὶ ποιοῦντά σέ φησι, διαφθείρειν τοὺς νέους; ἄτοπα ὦ θαυμάσιε, ὥς οὕτως ἀκοῦσαι. φησὶ γάρ με ποιητὴν εἶναι θεῶν, καὶ ὡς καινοὺς ποιοῦντα θεούς: τοὺς δ' ἀρχαίους οὐ νομίζοντα, ἐγράψατο.

Εν ταυτῷ. Αθηναίοις γάρ, ὥς ἐμοὶ δοκεῖ, οὐ σφόδρα μέλει ἄν τινα δεινὸν οἴωνται, μὴ μήν τοι διδασκαλικὸν τῆς αὐτοῦ σοφίας: ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, θυμοῦνται, εἴτ' οὖν φθόνῳ, ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι.

Εν ταυτῷ. Ψυχὴν ἀνόητον, αἰσχρὰν καὶ ἄμετρον θετέον.

Εν τιμαίῳ. Νόσον μὲν ψυχῆς, ἄνοιαν συγχωρητέον. δύο δὲ ἀνοίας γένη. τὸ μὲν, μανίαν. τὸ δὲ, ἀμαθίαν.

Εὐσεβίου. Ανθρωποι πολυμαθίης ἔχειν δόξαν, ἢ τοῦ ἀληθίζεσθαι, ἔρωτα πλεῦνα ἐκτέαται. πολλοὶ γοῦν, τοῖς περὶ ἑωυτῶν ἐναντίας δόξας συσκευάμενοι, τὴν γνῶσιν τοῦ ἀληθέως περὶ τῶν ἀναγκαιοτάτων, ἀφείλοντο τὴν πίστιν αὐτῶν μὴ ἐν βεβαίῳ ἑστάναι: ὑπὸ δὲ τοῦ αἰεὶ τῆς προτέρης δόξης περιέρχεσθαι, εἰς τοὐναντίον λόγον παρασκευάσαντες, ἐν τῷ ἀσταθμητοτάτῳ αἰωρέεσθαι.

Τοῦ αὐτοῦ. Πολλοὶ τῶν ἀνθρώπων ἐν ταῖς συζητήσεσι τῶν πρηγμάτων, ὁμοίως τοῖς ἀλόγοις τῶν ζώων, ὥσπερ ἐκεῖνα μαχόμενα, οὕτω καὶ αὐτοὶ μοῦνοι τοῦ νικᾶν μεταποιέονται. ὅκως δὲ (τοῦ περ χρὴ πάντα ἄνδρα προμηθέεσθαι, καὶ λέγοντα καὶ πρήσσοντα) μὴ παρὰ τὸ ξυμφέρον καὶ σφέων αὐτῶν, καὶ τῶν ἀκουόντων, καὶ ὥστε μὴ τὸ ἀληθὲς αὐτοῦ βλάψαι, οὐκέτι λόγον τούτου ποιέονται.

Ανθρώποισιν ἔοικε προσφιλέειν, καὶ τοῦ περὶ παντὸς τοῦ προτεθέντος ἀντιλέγοντας ἐθέλειν κρατέειν, ἄπλετος καὶ ἄλογος ἐπιθυμίη: ὁπότε πολλοὶ οὔτε δέονται, καὶ κατὰ τῶν σπουδαιοτάτων, καὶ τῶν οὐ χρὴ περὶ χείρονι λόγῳ νικᾶν, νικῶντες ἀξίην κεκλῆσθαι νίκην καδμείην.

Ανθρωποι, τοὺς μὴ παρὰ φύσιν, καὶ ἐν ὑστάτῳ λόγῳ ἐόντας, ἀσπάζονται, καὶ μεγάλων χρημάτων ὠνεόμενοι, ὡς ἐπὶ μεγίστῳ κτήματι χαίρουσι, καὶ μεγαλοφρονέονται. περὶ δὲ τὰ σπουδαιότατα, καὶ τὰ σμικρὰ ἄχθονται ἀναλίσκοντες.

Οἱ πλεῦνες τῶν ἀνθρώπων, περὶ πάντα τὰ λοιπὰ φειδωλοὺς σφέας παρεχόμενοι, καὶ ἐν δαπανοῖσιν ἀγάλλονται: ὑπὲρ τοῦ παρὰ τῶν δήμων κροτηθῆναι, καὶ τὰ ἐόντα σφι πάντα ἡδέως προΐενται.

Οἱ μάταιοι τῶν ἀνθρώπων, τοὺς μὲν μεγάλα χρήματα ἔχοντας, καὶ φαύλους ἐόντας, τιμῶσί τε καὶ τεθωυμάκασι. τῶν δὲ σπουδαίων, ἐπειδὰν ἀχρηματίην καταγνῶσιν, ὑπερφρονέουσιν.

Αρισωνύμου. Πολλοὶ ἀδικηθέντες ὑπὸ ῥητόρων, τοὺς νέους ῥήτορας διδάσκουσιν. οὐδεὶς δὲ ἀδικηθεὶς ὑπὸ λύκου, αὐτὸς λύκος γίνεται, καὶ ἀντιδάκνει.

Ζήνων δὲ ἔφη. γελοῖον ἑκάστους, τὴν τοῖς πράγμασιν, ὡς δεῖ ζῆν, μὴ προσέχειν, ὡς οὐκ εἰδότων, τὸν δὲ παρὰ πάντων ἔπαινον θαυμάζειν, ὡς ἐχόμενον κρείσσως.

Σωκράτους. Οἱ μὲν ἀκρατεῖς, ἐν ταῖς ἀῤῥωστίαις. οἱ δὲ, ἄφρονες, ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι.

Πυθαγόρου. Θυηπολίαι μὲν ἀφρόνων, πυρὸς τροφή. τὰ δὲ ἀναθήματα, ἱεροσύλων χορηγία.

Αρίστων ὁ χῖος τοὺς περὶ τὰ ἐγκύκλια μαθήματα πονουμένους, ἀμελοῦντας δὲ φιλοσοφίας ἔλεγεν ὁμοίους εἶναι τοῖς μνηστῆρσι τῆς πηνελόπης, οἳ ἀποτυγχάνοντες ἐκείνης, παρὰ τὰς θεραπαίνας ἐγίνοντο.

Ο αὐτὸς τοὺς πολλοὺς εἴκαζε τῷ λαέρτῃ, ὅς τις τῶν κατὰ τῶν ἀγρῶν ἐπιμελούμενος πάντων,

uestes, & auos respiciendum est? Si quidem medici nullum dent consilium, displicet ægris, & nihil sibi spei superesse putant: Erga philosophum autem nemo sic afficitur, neq; metuit illum de sapientia sua desperasse, si nullam ei utilem admonitionem protulerit.

Qui corpore sunt bene constituto, æstum & frigus tolerant. Ita quibus bonus est animi status, iram, tristitiam, gaudium, & cæteros affectus bene ferunt. *Eiusdem.*

Vellem equidem ô Socrates, sed uereor ne contrà cõtingat. Nam prorsus ab ipso statim initio mihi uidetur huic urbi nocere uelle, qui iniuria te afficere tentat. Sed mihi dicas, quid te agentem iuuentutem inficere prædicat? Absurda quædam auditu ô uir mirifice. Inquit enim confictorem me esse deorum, nouos quidem inducentem deos, priscos uero negantem. *Platonis in Euthyphrone, ab initio ferè.*

Atheniensibus nempe, ut mihi uidetur, non admodũ curæ est, si quem peritũ esse putẽt, modo ne sua perdoceat alios. Quem uero peritia propria cæteros imbuentem sentiunt, insectantur, siue id liuore quodam, ut asseris, conciti, siue alia de causa. *Eiusdem paulò post.*

Animus stultus, turpis & immoderatus habendus est. *Eiusdem*

Amentiam animæ morbum esse concedendũ: genus autem eius duplex, alterum insania, alterum inscitia. *ibidem.*

Homines multa potius scire uideri, q̃ uerum dicere desyderio tenentur. Proinde multi dum contrarias ueteribus opiniones probant, ueri cognitionem de rebus maximè necessarijs dubiam efficiunt: ita ut non amplius solidam fidem assequatur, sed tanquam ab antiqua persuasione in contrariam reuulsa instabilissimè pendeat. *Eiusdem in Timæo. Eusebij.*

Multi homines disputando de rebus, haud secus quàm animantes brutæ pugnando, solam sibi uictoriam proponunt. Vt autem nihil (quod unumquenq; in dicẽdis & faciundis pariter præmeditari decet) præter utilitatem & suam & præsentium agatur, ac ne rerum ueritas offendatur, eius rationem nullam habent. *Eiusdem.*

Gratæ sunt cõtentiones hominibus, & contradicendo quacunq; re proposita uincendi desyderium pręter omnem rationem inexplebile. Itaq; multi intempestiuè, pręter decorũ, in rebus grauissimis, in quibus deteriorem sententiam superare non conuenit, uictoriam Cadmeam, ut dici meretur, auferunt. *Eiusdem.*

Homines, eos qui præter naturam & monstrosi sunt, amplectuntur, ijsq; multa pecunia redemptis tanquam maxima possessione gaudent, & sibi placent magnopere. In rebus autem serijs & plurimo studio comparandis, quamuis exiguum sumptum facere grauantur.

Permulti sunt, qui in reliquis omnibus parsimoniam nimium sequuntur, & si quicquam insumpserint ægrè ferunt: ad plausum uero popularem eliciendum omnia sua libenter exponunt.

Homines uani, prędiuites quidem, utcunq; malos, colunt & ammirantur: Bonos uero, ut primum inopes esse intelligunt, contemptui habent.

Non pauci rhetorum iniurijs affecti, filios suos artem rhetoricam docent. Nullus autem qui iniuriam à lupo accepit, ipse lupus fit, ut remordeat. *Aristonym.*

Zenon dixit, ridiculum esse quod non unusquisq;, quo pacto uiuendũ sit, ipse met in rebus suis consyderet, tanquã omnino inscius: quorumuis autem aliorum laudem admiretur à iudicio pendens alieno.

Luxuriosi cũ ægrotant: stulti cũ fortunam sinistrã experiuntur, uix curari queunt. *Socratis.*

Sacrificia stultorum ignis solum alimenta sunt: eorundem anathemata, uictum sacrilegis suppeditant. *Pythagoræ.*

Ariston Chius eos qui cyclopediæ, & mathematicis disciplinis uacarent, neglecta philosophia, similes aiebat esse procis Penelopes, qui cum ipsa potiri non possent, ancillis miscebantur.

Idem uulgus hoim Laërti comparabat, qui cũ reliqua ruri diligenter oĩa curaret,

των, ὀλιγώρως ἔχειν ἑαυτοῦ. καὶ γὰρ τούτοις τῶν κτημάτων πλείστην ἐπιμέλειαν ποιουμένοις, περιορᾶν τὴν ψυχὴν ἑαυτῶν, πλήρη παθῶν ἀγρίων οὖσαν.

Διογένης ἔλεγε, διαπαίζοντας μὲν πολλοὺς ὁρᾶν καὶ διατρέχοντας· διὰ καλοκἀγαθιζομένους δὲ, οὔ.

Πλάτωνος ἐν Μένωνι.

Ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα, ἀγαθῶν ἐπιθυμητὴν εἶναι; μάλιστά γε. ἆρα ὡς ὄντων τινῶν, οἳ τῶν κακῶν ἐπιθυμοῦσιν, ἑτέρων δὲ, οἳ τῶν ἀγαθῶν; οὐ πάντες ὦ ἄριστε δοκοῦσί σοι τῶν ἀγαθῶν ἐπιθυμεῖν; οὐκ ἔμοιγε. ἀλλά τινες τῶν κακῶν; ναί. οἰόμενοι τὰ κακὰ ἀγαθὰ εἶναι λέγεις, ἢ καὶ γινώσκοντες ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμοῦσιν αὐτῶν; ἀμφότερα ἔμοιγε δοκεῖ. ἦ γὰρ δοκεῖ τίς σοι ὦ Μένων, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμεῖν αὐτῶν; μάλιστα. τί ἐπιθυμεῖν λέγεις, ἢ γενέσθαι αὐτῷ; γενέσθαι. τί γὰρ ἄλλο; πότερον ἡγούμενος τὰ κακὰ ὠφελεῖν ἐκεῖνον, ᾧ ἂν γένηται, ἢ γιγνώσκων τὰ κακὰ, ὅτι βλάπτει ᾧ ἂν παρῇ; εἰσὶ μὲν οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν. εἰσὶ δὲ καὶ οἱ γιγνώσκοντες ὅτι βλάπτει. ἦ καὶ δοκοῦσί σοι γινώσκειν τὰ κακὰ, ὅτι κακά ἐστιν, οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν; οὐ πάνυ μοι δοκεῖ τοῦτό γε. οὐκοῦν δῆλον ὅτι οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν οἱ ἀγνοοῦντες αὐτά· ἀλλ' ἐκείνων, ἃ ᾤοντο ἀγαθὰ εἶναι· ἔστι δὲ ταῦτά γε κακά. ὥστε οἱ ἀγνοοῦντες αὐτὰ καὶ οἰόμενοι ἀγαθὰ εἶναι, δῆλον ὅτι τῶν ἀγαθῶν ἐπιθυμοῦσιν. ἢ οὔ; κινδυνεύουσιν οὗτοί γε. τί δαί; οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες ὡς φὴς σὺ, ἡγούμενοι δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον, ᾧ ἂν γίγνηται, γιγνώσκουσι δή που ὅτι βλαβήσονται ὑπ' αὐτῶν; ἀνάγκη. ἀλλὰ τοὺς βλαπτομένους οὗτοι οὐκ οἴονται ἀθλίους εἶναι, καθόσον βλάπτονται; καὶ τοῦτο ἀνάγκη. τοὺς δὲ ἀθλίους οὐ κακοδαίμονας; οἶμαι ἔγωγε. ἔστιν οὖν ὅστις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι; οὔ μοι δοκεῖ ὦ Σώκρατες. οὐκ ἄρα βούλεται τὰ κακὰ ὦ Μένων οὐδεὶς, εἴπερ μὴ βούλεται τοιοῦτος εἶναι. τί γὰρ ἄλλό ἐστιν ἄθλιον εἶναι, ἢ ἐπιθυμεῖν τῶν κακῶν καὶ κτᾶσθαι; κινδυνεύεις ἀληθῆ λέγειν ὦ Σώκρατες, καὶ οὐδεὶς βούλεσθαι τὰ κακά.

Τοῦ αὐτοῦ.
* Locus uidetur corruptus.

* Νῦν δὲ ἤ πού τις δαίμων, ἤ τις ἀλιτήριος ἐμπεσὼν ἀνομίᾳ καὶ ἀθεότητι, καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας, ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐῤῥίζωται καὶ βλαστάνει, καὶ ὕστερον ἀποτελεῖ καρπὸν τοῖς γεννήσασι πικρότατον. αὕτη πάντα τὸ δεύτερον ἀνέτρεψέ τε καὶ ἀπώλεσεν.

Σωκράτους.

Ὁ μὲν δειλὸς καθ' ἑαυτοῦ τὰ ὅπλα ἔχει. ὁ δὲ ἀνόητος, τὰ χρήματα.

Οὔθ' ὁ αὐστηρὸς οἶνος εἰς πόσιν εὔθετος, οὔθ' ὁ ἄγροικος τρόπος εἰς ὁμιλίαν.

Πλουτάρχου ἐκ τοῦ περὶ εὐθυμίας.
*aliàs ἔστα ἐᾶν

Ἀλλ' ὥσπερ οἱ δειλοὶ καὶ ναυτιῶντες ἐν τῷ πλεῖν * ἀνομοιότερον οἰόμενοι διάξειν, ἐὰν εἰς γαῦλον ἐξ ἀκάτου, καὶ πάλιν ἐὰν εἰς τριήρη μεταβῶσιν, οὐδὲν περαίνουσι, τὴν χολὴν καὶ τὴν δειλίαν συμμεταφέροντες ἑαυτοῖς· οὕτως αἱ τῶν βίων ἀντιμεταλήψεις, οὐκ ἐξαίρουσι τῆς ψυχῆς τὰ λυποῦντα καὶ ταράττοντα· ταῦτα δέ ἐστιν, ἀπειρία πραγμάτων, ἀλογιστία, τὸ μὴ δύνασθαι, μηδὲ ἐπίστασθαι χρῆσθαι τοῖς παροῦσιν ὀρθῶς. ταῦτα καὶ πλουσίους χειμάζει καὶ πένητας, ταῦτα καὶ γεγαμηκότας ἀνιᾷ καὶ ἀγάμους. διὰ ταῦτα φεύγουσι τὴν ἀγορὰν, εἶτα τὴν ἡσυχίαν οὐ φέρουσι. διὰ ταῦτα προαγωγὰς ἐν αὐλαῖς διώκουσι, καὶ παρελθόντες εὐθὺς βαρύνονται. δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο, καὶ γὰρ ἡ γυνὴ λυπεῖ· καὶ τὸν ἰατρὸν αἰτιῶνται, καὶ δυσχεραίνουσι πρὸς τὸ κλινίδιον. φίλων δὲ, ὅ, τ' ἐλθὼν λυπηρός, ὅ τ' ἀπιὼν, βαρὺς, ὡς ὁ Ἴων φησίν. εἶτα τῆς νόσου διαλυθείσης, καὶ κράσεως ἑτέρας ἐγγινομένης, ἦλθεν ἡ ὑγεία, φίλα πάντα ποιοῦσα καὶ προσηνῆ. ὁ γὰρ χθὲς ὠὰ, καὶ [a] ἀμύγδαλα, καὶ [b] σιτάνιον ἄρτον διαπτύων, σήμερον αὐτόπυρον ἐπ' ἐλαίαις ἢ [c] κάρδαμον ἐσθίει, καὶ προθύμως. τοιαύτην ὁ λογισμὸς εὐκολίαν καὶ μεταβολὴν [d] ἐγγινόμενος ποιεῖ πρὸς τὸν βίον.

a aliàs ἀμύλια.
b aliàs σιτάνιον.
c aliàs καρδαμίδι.
d aliàs μεθ' ἑκάστης πρὸς ἕκαστον βίον.

Πλάτωνος.
* aliàs λέγουσιν

Ἆρ' οὖν τούτους φρονίμους ὑπολαμβάνεις, οἳ ἂν εἰδῶσιν ἅττα δεῖ πράττειν ἢ λέγειν; ἔγωγε. ἄφρονας δὲ ποτέρους; ἆρά γε τοὺς μὴ ἑτέρα τούτων εἰδότας; τούτους. οὐκοῦν οἵ γε μὴ εἰδότες μηδ' ἑτέρα τούτων, * δηλοῦσιν αὐτοὺς καὶ λέγοντες καὶ πράττοντες ἅττα μὴ δεῖ; φαίνονται.

Σωκράτους.

Οὔτε τὰ τῶν Ἀχιλλέων ὅπλα τῷ Θερσίτῃ, οὔτε τὰ τῆς ψυχῆς ἀγαθὰ τῷ ἄφρονι ἁρμόττει.

ſeipſum negligebat;ſic & illos ſtudioſiſſimos quidē eſſe circa poſſeſſiones, animum autem feris obrutum affectibus non excolere, aiebat.

Diogenes dicebat ſe multos quidem uidere colludentes, & diſcurſantes, non autem qui uirtuti operam darent.

Num honeſta cupientē bona cupere dicis? Omnino. Nunquid ita loqueris quaſi ſint nonnulli qui bona cupiant, quidā uero qui mala. Imò. Non omnes igitur, ô optime uir, bona tibi appetere uidentur. Mihi nequaquam. Quidam itaq; mala? Ita. An ita dicis, quaſi quæ mala ſint, bona eſſe opinentur: aut etiā noſcentes quod mala ſint, nihilominus illa cupiant? Vtrunq; aio. An cenſes aliquem cognoſcētem mala, quod mala ſint, illa tamen appetere? Arbitror. Quid autem exoptare hunc dicis? Num hæc ſibi adeſſe? Adeſſe ſanè: nam quid aliud optet? Vtrū qui mala deſyderat, mala eſſe cognoſcens, prodeſſe cum adſint exiſtimat? an unumquodq; potius ſua præſentia lędere? Sunt certe qui mala prodeſſe putent, nec deſunt qui obeſſe cognoſcant. Videntur tibi mala noſſe quod mala ſint, qui mala prodeſſe cuiquam opinantur? Haud ſanè id mihi uidetur. Ex ĳs igitur patet eos nō appetere mala, qui illa minimè nôrint: ſed illa potius, quæ bona eſſe putauerint, cum tamen mala ſint. Quapropter ignorantes illa bonaq; exiſtimantes, perſpicuum eſt bona potius exoptare. An non? Sic iſti ſe habere uidentur. At uero qui mala quidē affectant, ut ipſe inquis: eaq; cuicunq; accidunt, obeſſe cenſent, nôrunt ne quod ipſorum præſentia lædentur? Neceſſariò ſequitur. Quid uero læſos homines, nónne iſti miſeros eſſe, quatenus lęſi ſunt, opinātur? Hoc quoq; neceſſarium. Miſeros autem nónne infœlices? Reor equidem. Eſt ne aliquis, qui miſer & infœlix eſſe uelit? Non uidetur. Nemo igitur mala uult, ſi quidē talis eſſe minimè uelit. Nam quid aliud eſt eſſe miſerum, quàm cupere mala, in eaq; incurrere. Vera loqui uideris ô Socrates: nemo enim uult mala. *Platonis in Menone.*

At nunc aut genius aliquis infeſtus incidit, aut nefarium ſcelus aliquod impietati iunctum, & quod maximum eſt, audax imperitia, ex qua omnibus omnia mala tanquam radice pullulant, & amariſſimū poſtea fructum ſuis authoribus producunt. Hæc denuo omnia inuertit & perdidit. *Eiuſdem.*

Timidus quidem arma contra ſeipſum habet, ſtultus autem pecunias. *Socratis.*

Neq; uinum auſterum aptum eſt potioni, neq; mores agreſtes conuerſationi.

Quemadmodum timidi, & qui nauſeæ nauigando obnoxĳ ſunt, exiſtimantes ſe meliuſculè habituros, ſi ex acatio in gaulum, rurſumq; ſi in triremen cōmigrârint: nihil tamen proficiunt bilem timiditatemq; ſecum circumferentes: Ita aliud uitæ genus non eximit animo ea, quibus grauatur, & perturbatur, hoc eſt rerum inſcitiam, & rationis imperfectionem, ac id uitium quod non poteſt, neq; callet rectè præſentibus uti. Hæc ſunt quæ diuites grauant, & pauperes. Hæ nuptis & innuptis ſunt moleſtiæ. Hinc eſt quod multi forum fugiunt, deinde uero tranquillitatē non probant: ideo ad principum aulas cupiunt promoueri, quò cum peruenere, mox grauantur. Sic ægrotantiū animus implacidus atq; perplexus eſt: nunc mulier eſt moleſta, nunc medicum accuſant, aliâs grabato ſuccenſent: amicorum & qui uenit moleſtus eſt, & abiens grauat, ut Ion inquit. Deinde morbo ſoluto, melioris temperamenti beneficio ſanitas accedit, omniaq; grata facit & iucunda. Qui enim oua heri, & amyli placentas, panemq; ſiligineum faſtidiebat, hodie cibarium cum oliuis deuorat aut naſturtio, & id auidè. Quod igitur ægroto ſanitas prǽſtat, idem recta ratio accedens, ut in unoquoq; uitæ genere mutationem animo lubenti faciliq; feramus, efficiet. *Plutarchi de animi trāquillitate.*

Eósne ſapientes putas, qui facienda dicendaq; cognoſcūt? Hos ipſos. Quos uero ſtultos arbitraris? Nónne qui neutrum iſtorum ſciunt? Ita ſanè. Igitur qui utrunq; iſtorum ignorant, imprudentes ſeſe prodent, dicendo faciendoq; ea, quæ non conuenit. Sic uidetur. *Platonis in Alcibiade.*

Neq; † Achiuorū arma Therſiti, neq; animi bona homini ſtulto cōueniunt. *Socratis.* *Malim Achillis.*

Νοσοῦντος δίαιτα, καὶ ἄφρονος εὐτυχία, πολὺ ἔχει τὸ δυσάρεστον.

Αἱ μὲν βρονταὶ, μάλιστα τοὺς παῖδας: αἱ δ' ἀπειλαὶ τοὺς ἄφρονας καταπλήττουσιν.

Ἱέρακος ἐκ τοῦ περὶ δικαιοσύνης.

Ἢ τί τις ἂν φαίη περὶ τοῦ τοὺς προπετῶς ἐριστικοῦ, κἂν μηδενὸς πώποτε κτήματος, τῶν μηδὲν αὐτῷ προσηκόντων ἐφίεται; πῶς ἂν δίκαιόν τι πράττοι, εἰ καθ' αὑτὸν ἐνθυμοῖτο μηδενὶ συντίθεσθαι τῶν ὁμολογουμένων ἀξίων, ἀλλ' ἐρίζειν πρὸς ἅπαντας παρεσκευασμένος, μέτρον δὲ οὐδὲν, ἀλλ' οὐδὲ καιρὸν οὐδένα τιθέμενος εἰς φιλονεικίαν; οὐ γὰρ δὴ μόνον ἐν τοῖς λόγοις τὸ ὀρθῶς ἔχον, ὁ τοιοῦτος ἀναιρεῖν πειρᾶται, ἀλλὰ καὶ ἐν τῷ πράττειν τὰ πολλὰ καὶ φιλονεικεῖν, ὁδοὺς βιαίους πολλάκις καὶ διαστρόφους τὰς πράξεις ποιήσεται, ἑαυτὸν μὴ συνεροῦντα ταῖς τῶν πολλῶν δόξαις ἐπιδεικνύς. ἐκ τούτων δὲ αὐτὸς μὲν τοῖς ἄλλοις ἐπαχθὴς, τοὺς φεύγοντας δὲ αὐτὸν καὶ τὰς τοιαύτας συνουσίας μισήσει: τοὺς δ' ἐπ' ἐλευθερίας ἐλέγχοντας αὐτοῦ τὸ σκαιὸν τοῦ ἤθους, οὐδὲ ἰδεῖν ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀνέχεται. εἰ δὲ εἰς τοὺς ὁμοίους ἐμπέσοι, οὐ γὰρ δὴ πολλὴ σπάνις τῶν τοιούτων, εὐθὺς στάσεις, λοιδορίαι, καὶ πόλεμος ἄσπονδος, ἐξ ὧν ψευδεῖς διαβολαὶ καὶ πᾶν εἶδος ἐπιβουλῆς, καὶ σκέψεις, ὅπως ἂν ἀλλήλους ἐκβάλοιεν. τὰ γὰρ μεγάλα κακὰ οὐκ ἄλλως, ἢ ἐκ τῆς τυχούσης φιλονεικίας, συνίσταται.

Πλάτωνος ἐν Φαίδωνι.

Οὐκοῦν ἱκανόν σοι τεκμήριον ἔφη τοῦτο ἀνδρὸς, ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος. ὁ αὐτὸς δέ που οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος, καὶ φιλότιμος, ἤτοι τὰ ἕτερα τούτων, ἢ ἀμφότερα. πάνυ ἔχει ἔφη οὕτως ὡς λέγεις. ἆρ' οὖν ἔφη ὦ Σιμμία, οὐ καὶ ἡ ὀνομαζομένη ἀνδρεία τοῖς οὕτω διακειμένοις μάλιστα προσήκει; πάντως δή που ἔφη. οὐκοῦν καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ * ἐμπρῆσθαι, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως. ἆρ' οὐ τούτοις μόνοις προσήκει τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν; ἀνάγκη ἔφη. εἰ γὰρ ἐθέλεις, ἦδ' ὅς, ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. πῶς δὴ ὦ Σώκρατες; οἶσθα, ἦδ' ὃς ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων κακῶν εἶναι; καὶ μάλ' ἔφη. οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτὸν οἱ ἀνδρεῖοι τὸν θάνατον ὅταν ὑπομένωσιν. ἔστι ταῦτα. τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες, πλὴν οἱ φιλόσοφοι. καί τοι ἄλογόν γε δέει τινὰ καὶ δειλίᾳ ἀνδρεῖον εἶναι; πάνυ μὲν οὖν. τί δὲ οἱ κόσμιοι αὐτῶν οὐ ταυτὸν τοῦτο πεπόνθασιν ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καίτοι φαμέν γε ἀδύνατον εἶναι, ἀλλ' ὅμως αὐτοῖς συμβαίνει τούτῳ ὅμοιον τὸ πάθος, τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην. φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι, καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται, ὑπ' ἄλλων κρατούμενοι. καίτοι καλοῦσί γε ἀκολασίαν, τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι. ἀλλ' ὅμως συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν, κρατεῖν ἄλλων ἡδονῶν. τοῦτο δ' ὅμοιόν ἐστιν, ὃ νῦν δὴ ἐλέγετο, τὸ, τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. ἔοικε γάρ. ὦ μακάριε Σιμμία. μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετὴν, ἡδονὰς πρὸς ἡδονὰς, καὶ λύπας πρὸς λύπας, καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, μείζω πρὸς ἐλάττω ὥσπερ νομίσματα. ἀλλ' ᾖ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθὸν, ἀντὶ οὗ δεῖ ταῦτα πάντα καταλλάττεσθαι, φρόνησις. καὶ τούτου μὲν πάντα, καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ καὶ ἀνδρεία, καὶ σωφροσύνη, καὶ δικαιοσύνη, καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγινομένων καὶ ἀπογινομένων, καὶ ἡδονῶν, καὶ φόβων, καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων. χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τίς ᾖ ἡ τοιαύτη ἀρετὴ, καὶ τῷ ὄντι ἀνδραποδώδης τε, καὶ οὐδὲν ὑγιὲς, οὐδ' ἀληθὲς ἔχῃ. τὸ δ' ἀληθὲς τῷ ὄντι, ᾖ κάθαρσις τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη, καὶ ἡ δικαιοσύνη, καὶ ἡ ἀνδρεία καὶ αὐτὴ ἡ φρόνησις, μὴ καθαρμός τις ᾖ. ὡς κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες, οὐ φαῦλοι εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι, ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται. ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος, μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δὴ ὥς φασιν οἱ περὶ τὰς τελετὰς, ναρθηκοφόροι μὲν πολλοὶ βάκχοι δέ τε παῦροι. οὗτοι δ' εἰσὶ κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι, ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς.

* δίας ἐπτοῆσθαι

ΙΩΑΝΝΟΥ

Victus ægrotantis, & bona fortuna insipientis, multum continet molestiæ. Tonitrua pueros inprimis, & minæ stultos territant.

Quid dicat aliquis de homine moribus contentioso, etsi nihil alienum concupiscat? Quo pacto huiusmodi quicquam iusti faceret, si cogitet secum nihil fide publica dignum approbare, paratus cum omnibus contendere sine ullo modi & opportunitatis litigandi respectu? Hic sanè non ea modo, quę rectè dicuntur, euertere conatur: sed multa quoq; faciendo contentiosè, ut se non consentire aliorum opinionibus ostendat, actiones suas quasi peruersas & uiolentas semitas à regia uia discedentes exhibebit. Hinc alijs molestus erit, illos autem, qui ipsum & conuersationes eius fugiunt, prosequetur odio. At qui liberè morum eius prauitatem accusauerint, illos ne intueri quidē rectis oculis sustinebit. Quod si in sui similes incidat, non enim rari sunt huiusmodi homines, illico seditiones, conuitia, & bellum irreconciliabile nascentur: Inde calumniæ mendaces, ac omne genus insidiarum, & cōsultationes quo pacto se mutuò perdant. Ingentia quippe mala non aliter, quàm ex aliqua contentione, suboriuntur.

Ex libro Hieraeis de iustitia.

Sufficiens ergo coniectura erit, inquit, si quem uideris molestè mortem ferre, eum non esse philosophum, sed corporis amatorem, & pecuniarum honorumq; cupidum, ac talem, ut alterum horum affectet, aut utrunq;. Omnino ita est, ut ais, inquit Simmias. Proinde quæ, ô Simmia, fortitudo nominatur, an non uiris eiusmodi maximè conuenit? Maximè. Nónne & temperantia, cuius plæriq; aiunt officium esse nequaquam prosternere se libidinibus, sed paruipendere illas, modestiamq; seruare, his duntaxat conuenit, qui corpus despiciunt maxime, atq; in philosophia uiuunt? Necesse est. Si enim considerare uelis fortitudinem temperantiamq; aliorum, tibi per absurda uidebitur. Quanam ô Socrates ratione? Scis utiq; cæteros omnes mortem unum ex maximis malis existimare. Et maxime quidem. Nónne igitur maiorum metu malorum, quicunq; inter eos fortes sunt, sustinent mortem quādo sustinent? Hoc pacto. Metuendo igitur, atq; metu fortes ita sunt omnes, præter philosophos: etsi absurdum est metu, uel timiditate aliquem esse fortem. Nimium certe, inquit Simmias. Quid autem? qui inter eos moderati dicuntur, inquit, nónne simili quodam pactò affecti sunt, intemperantia uidelicet quadam temperati? quanq̃ impossibile id esse dicimus: ueruntamen illis euenit affectio quædam huic similis, in isthac eorum fatua temperantia. Timentes enim ne alijs careant uoluptatibus, easq; appetentes, à cæteris abstinent, ab alijs superati: etsi uocant intemperantiam à uoluptatibus superari: ueruntamen accidit eis, ut superati à uoluptatibus, alias superent uoluptates. Iam uero id illi simile est, quod modo dicebatur, scilicet quodammodo per intemperantiam fieri temperatos. Simile quidem, inquit Simmias. Animaduertendum est ô beate Simmia, inquit, ne hęc haudquaq̃ recta sit ad uirtutem uia, uoluptates uidelicet uoluptatibus, dolores doloribus, & metum metu, & maius minori tanq̃ nummos commutare: sed ille dūtaxat rectus fit nummus, cuius gratia hæc omnia oporteat cōmutari, atq; uenundari, scilicet sapientia, prudentiáue, pro qua, & cū qua omnia empta ac uendita reuera sint, & fortitudo, & temperātia, & iustitia, ac summatim uera uirtus cum sapientia siue prudentia, & accedentibus, & recedentibus uoluptatibus, & timoribus, cæterisq; generis eiusdem. Sin autem à sapientia segregata inuicem cōmutantur, adumbratio quædā fit eiusmodi uirtus, ac reuera seruilis, nihil sani ueriq; possidens: uirtutis aūt ueritas in horum omnium purificatione reuera consistat: & temperantia, & iustitia, & fortitudo, & sapientia ipsa sit purificatio quædam. Quamobrem hi, qui mysteria nobis constituerunt, minimè cōtemnendi uidentur, sed reuera iamdudum occultè nos admonere, quicunq; non expiatus neq; initiatus migrabit ad inferos, eum iacere in luto: quicunq; uero purgatus atq; initiatus illuc accesserit, cum dijs habitare. Sunt enim quemadmodum dicunt, thyrsigeri quidem multi, Bacchi uero pauci. Hi uero, ut equidem opinor, non alij sunt, quàm qui rectè philosophati sunt.

Platonis in Phaedone.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ, ἀποφθεγμάτων, ὑποθηκῶν,

ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Μενάνδρου. Ταμιεῖον ἐστὶν ἀρετῆς ἡ σωφροσύνη.

Σοφοκλέους ἐν αἴαντι.
Ὡς ἡμέρα κλίνει τε, κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια. τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

Τοῦ αὐτοῦ. Χαίρειν ἐπ' αἰσχροῖς ἡδοναῖς οὐ *δεῖ ποτέ. * αἰδὲ χρὴ.

Εὐριπίδου.
Οὐχ ὁ διόνυσος μὴ σωφρονεῖν ἀναγκάσει
γυναῖκας εἰς τὴν κύπριν, ἀλλ' ἐν τῇ φύσει
τὸ σωφρονεῖν ἔνεστιν εἰς τὰ πάντ' ἀεί.

Τοῦ αὐτοῦ.
Ὦ μάκαρ, οἵας ἔλαχες τιμᾶς, ἱππόλυθ' ἥρως
διὰ σωφροσύνην, οὔ ποτε θνητοῖς ἀρετῆς
ἄλλη δύναμις μείζων. ἦλθε γὰρ ἢ πρόσθ' ἢ
μετόπισθεν τῆς εὐσεβείας χάρις ἐσθλή.
ἀνθρώποισιν πᾶσιν μέτεστι γιγνώσκειν
ἑαυτοὺς καὶ σωφρονεῖν.

Ηρακλείτου. Ανὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ *ἐπαΐων ὅκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων. αὔη ψυχὴ σοφωτάτη καὶ ἀρίστη.

*lego ἐπαΐων.

Πλάτωνος ἐν συμποσίῳ. Ἔστι γὰρ ἡμῖν νόμος, ὥσπερ ἐπὶ τοῖς ἐρασταῖς ἦν, δουλεύειν ἐθέλοντας ἥντινοῦν δουλείαν παιδικοῖς, μὴ κολακείαν, μηδὲ ἐπονείδιστον εἶναι. οὕτω δὴ καὶ ἄλλη μία μόνη δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος: αὕτη δ' ἐστὶν ἡ περὶ τὴν ἀρετήν. νενόμισται γὰρ δὴ ἡμῖν, ἐάν τις τινὰ θέλῃ θεραπεύειν, ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσεσθαι, ἢ κατὰ σοφίαν τινά, ἢ κατὰ ἄλλο ὁτιοῦν μέρος ἀρετῆς, αὕτη αὖ ἡ ἐθελοδουλεία οὐκ αἰσχρὰ ἐστίν, οὐδὲ κολακεία.

Ιαμβλίχου. Τὰ αὐτὰ δὴ οὖν καὶ περὶ πασῶν τῶν δυνάμεων τῆς ψυχῆς ἀποφαίνομαι, τὴν συμμετρίαν αὐτῶν πρὸς ἀλλήλας, καὶ εὐταξίαν θυμοῦ τε, καὶ ἐπιθυμίας, καὶ λόγου, κατὰ τὴν προσήκουσαν ἑκάστῳ τάξιν, εὐκοσμία. καὶ τούτων ἡ τοῦ ἄρχειν τε καὶ ἄρχεσθαι ἐν δέοντι γενομένη διανομή, σωφροσύνη ἂν εἴη πολυειδής.

Ξενοκράτους. Χρημάτων αὐτῷ κομισθέντων ἀπ' ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίζοντας τὸν αὐτοῦ τρόπον, ἀπαγγείλατε ἔφη ἀλεξάνδρῳ: ἕως ἂν οὕτω ζῶ οὐ δέομαι ταλάντων πεντήκοντα. τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.

Πλάτωνος πολιτειῶν γʹ. Τί δαί; σωφροσύνης ἆρα οὐ δεήσει ἡμῖν τοῖς νεανίαις; πῶς δ' οὔ; σωφροσύνης δὲ ὡς πλήθει οὐ τὰ τοιάδε μέγιστα, ἀρχόντων μὲν ὑπηκόους εἶναι, αὐτοὺς δὲ ἄρχοντας τῶν περὶ πότους καὶ ἀφροδίσια, καὶ περὶ ἐδωδὰς ἡδονῶν; ἔμοιγε δοκεῖ.

Τοῦ αὐτοῦ ἐκ συμποσίου. Πᾶσα γὰρ πρᾶξις, ὧδε ἔχει. αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη, οὔτε καλή, οὔτε αἰσχρά. οἷον, ὃ νῦν ἡμεῖς ποιοῦμεν, ἢ πίνειν, ἢ ᾄδειν, ἢ διαλέγεσθαι. οὐκ ἔστι τούτων αὐτὸ καθ' αὑτὸ καλὸν οὐδέν. ἀλλ' ἐν τῇ πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη. καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς, καλὸν γίγνεται: μὴ ὀρθῶς δὲ, αἰσχρόν. οὕτω δὴ καὶ τὸ ἐρᾶν, καὶ ὁ ἔρως οὐ πᾶς ἐστι καλὸς οὐδ' ἄξιος ἐγκωμιάζεσθαι: ἀλλ' ὁ καλῶς προτρέπων ἐρᾶν.

Ἐκ τῶν νικολάου ἐθῶν συναγωγῆς. Ἰβήρων αἱ γυναῖκες κατ' ἔτος ὅ, τι ἂν ὑφαίνωσιν ἐν κοινῷ δεικνύουσιν: ἄνδρες δὲ χειροτονητοὶ κρίναντες τὴν πλεῖστα ἐργασαμένην προτιμῶσιν. ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ὃ τὴν γαστέρα περιλαβεῖν ἂν μὴ δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται.

Θουκυδίδου. Σωφρόνων δὲ ἀνδρῶν, οἵ τινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο, καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο.

Μενέδημος νεανίσκου τινὸς εἰπόντος, μέγα ἐστὶ τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ, εἶπε. πολλῷ μεῖζον ἐστὶ, τὸ μηδὲ ἐπιθυμεῖν, ὧν μὴ δεῖ.

Οὕτω

IOANNIS STOBAEI COLLECTIONVM apophthegmatum & sententiarum,

DE TEMPERANTIA SERMO III.

Genu uirtutis est temperantia. *Menandri.*
Dies inclinat, iterumque refert *Sophoclis in Aiace.*
Omnia humana. Moderatos autem
Diligunt dij, & malos oderunt.
Nunquam obscœnis gaudendum est uoluptatibus. *Eiusdem.*
Non Bacchus est, qui intemperantes esse cogit *Euripidis.*
Mulieres circa Venerem. Sed in ipsa natura
Temperantiæ uis semper inest ubique.
O fœlix heros Hippolyte, quantos nactus es honores *Eiusdem.*
Ob temperantiam. nunquam inter homines uirtute
Vis ulla maior est. Aut enim præcedit, aut
Sequitur pietatem bona gratia.
Quorumuis hominum refert nosse
Seipsos, & sibi moderari prudenter.

Vir inebriatus uacillat, & ab impubere puero ducitur animam habens humidam, ignarus quorsum eat. Est autem anima sicca sapientissima & optima. *Heracliti.*

Etenim quemadmodũ apud nos de amantibus lex illa relata est, qua dicitur, nullũ uoluntarium amatoris in amatum obsequium, adulatorium & infame putandũ: sic & alia quædam secundum legem uoluntaria seruitus restat, quæ infamiam nullam subit. Hæc autem est, quæ circa uirtutem uersatur. Nam nostris legibus est institutũ, si quis uelit aliquem colere, putans per illum uel sapientia quadam, uel in alia quauis parte uirtutis proficere, hanc rursus uoluntariam seruitutem neque dedecori seruienti fore, neque adulationem uocari debere. *Platonis in symposio.*

Idem de omnibus animę facultatibus assero, nempe mutuam earum cõmoderationem, & ordinem conuenientẽ, ut partis irascibilis, concupiscentis, & rationalis, optimum & maximè decorũ animæ statum esse. Quod si earundẽ partium siue facultatũ regnandi & obediẽdi debita fiat administratio, temperãtia modis omnib' enascetur. *Iamblichi.*

Allatis sibi pecunijs ab Alexandro, exceptisque suo more legatis, renũciari Alexandro iussit, quàm diu hoc modo uiueret nõ opus sibi quinquaginta talentis fore, tantum enim ille miserat. *Xenocratis.*

Quid aũt? Temperãtia ne nihil opus erit nobis iuuenibus? Quid ni? Est aũt, quod plebem attinet, hæc utilitas præcipua temperantiæ, ut magistratui quidẽ obediat, imperet autem uoluptatibus, quæ in cibo potuque, & uenereis consistunt. Assentior. *Platonis in tertio Reip.*

Quæuis actio sic se habet. Ipsa per sese nec honesta, neque reprehensibilis est, ut quod nos in præsentia facimus, aut bibere, aut canere, aut colloqui, nihil horum in sese laudandum est: sed modum actionis sequitur. Nam si quid bene rectèque agitur, honestum est: aliter uerò, turpe. Sic etiam amare, & amor non omnis est honestus, ac laude dignus: sed is tantum, qui ad amandum honestè impellit. *Eiusdem ex Symposio.*

Mulieres Iberorum quotannis telas suas publicè proponunt: uiri autem quæ ipsorum suffragijs plurimum elaborasse uisa fuerit, illi maximum honorem deferunt. Habent quoque certæ mensuræ zonam, qua si uenter alicuius cingi nequeat, turpe habetur. *Ex historia Nicolai de moribus gentium.*

Moderati uiri, qui cauta mente lætam fortunã, dubiam reputant & instabilem: si quid infortunij inciderit, sapientius ferre nouerunt. *Thucydidis.*

Menedemus, cũ iuuenis quidam dixisset, magna res est assequi, quæ quis desyderat, dixit: multò maior est, omnino non desyderare ea, quibus nihil indiges.

Αἰσχίνου. Οὕτω γὰρ καὶ καθαρὸν εἶναι τὸν βίον τοῦ σώφρονος ἀνδρὸς, ὥστε μηδὲ δέχεσθαι δόξαν αἰτίας πονηρᾶς.

Επικτήτου. Εν συμποσίῳ σε οὕτω δεῖ ἀναστρέφεσθαι. περιφερόμενόν τι γέγονε κατὰ σέ. ἐκτείνας τὴν χεῖρα μετρίως ἔφαψαι. παρέρχεται. μὴ κάτεχε. οὔπω ἐλήλυθε, μὴ ἐπίβαλλε πόῤῥω τὴν ὄρεξιν, ἀλλ' ἐκδέχου μέχρι σοὶ γένηται αὐτό. οὕτω πρὸς πλοῦτον, οὕτω πρὸς ἀρχάς, οὕτω πρὸς γάμον, καὶ ἔσῃ ἄξιος συμπότης τῶν θεῶν.

Μουσωνίου. Κἂν ἡδονῇ κανονίσῃ, ἢ τὰ ἄριστα, οὐδὲν τῆς σωφροσύνης ἥδιον. κἂν πόνῳ κανονίσῃ, τὰ φευκτὰ οὐδὲν ἐστὶ τῆς ἀκρασίας ἐπωδυνώτερον.

Δημοσθένους. Ηδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι χρεών.

Του αὐτοῦ. Δίκαιος ἔρως, ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν.

Ξενοφῶντος. Πρῶτον γὰρ ἂν δέξαιο σωκράτους ὑπερφυὲς δίδαγμα. πλοῦτον μετρεῖν χρήσει. οὐ γὰρ ἔφη σωκράτης εἶναι τὴν ὑπερμέτρον κτῆσιν, πλοῦτον. τὸ δ' ὅσοις πρὸς οἰκεῖ χρῆσθαι, ἔπειτα δὲ τούτων μὴ διαμαρτάνειν. τῷ γοῦν ὄντι τούτους κεκλῆσθαι εὐπόρους, τοὺς δ' ἄλλους πένητας ἀπεκάλει, καὶ ἀνιάτων αὐτοὺς ἔφασκε πενίαν πενῆσθαι. ψυχῆς γὰρ εἶναι τὸ ἀῤῥώστημα, οὐ κτήσεως.

Εν ταυτῷ. Κακὸν οὐδὲν φύεται ἐν ἀνδρὶ, θεμέλια θεμένῳ σοφίας, σωφροσύνην καὶ ἐγκράτειαν.

Σωκράτους. Δεῖ ὥσπερ σειρῆνας τὰς ἡδονὰς παρελθεῖν, τὸν σπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὥσπερ πατρίδα.

Εκ τοῦ στεφάνου. Ευριπίδης εὐδοκίμησεν ἐν θεάτρῳ εἰπών.

τί δ' αἰσχρὸν, ἂν μὴ τοῖσι χρωμένοις δοκῇ;

Διογένους ἐκ τοῦ ἐναντίου. Αἰσχρὸν τό γ' αἰσχρὸν κἂν δοκῇ, κἂν μὴ δοκῇ.

Πλάτωνος ἐν ἀπολογίᾳ σωκράτους. Οἶδε μὲν γοῦν οὐδεὶς τὸν θάνατον, οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν: δεδίασι δὲ ὡς εὖ εἰδότες, ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἂν ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι, ἃ οὐκ οἶδεν. ἐγὼ δὲ ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἂν ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν ἅδου, οὕτω καὶ οἴομαι οὐκ εἰδέναι. τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν ὧν οἶδα, ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα, εἰ καὶ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι, οὐδὲ φεύξομαι.

Εν ταυτῷ. Οὐδὲν γοῦν ἄλλο πράττων ἐγὼ περιέρχομαι, ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους, μήτε σωμάτων ἐπιμελεῖσθαι, μήτε χρημάτων πρότερον, μήτε ἄλλου τινὸς οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται: λέγων ὅτι, οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίνεται, ἀλλ' ἐξ ἀρετῆς τὰ χρήματα, καὶ τἄλλ' ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ.

Εν ταυτῷ. Αλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γάρ ἴστε, ἐάν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε, ἢ ὑμᾶς αὐτούς. ἐμὲ μὲν γὰρ, οὐδὲν ἂν βλάψειεν, οὔτε μέλιτος, οὔτε ἄνυτος. οὐδὲ γὰρ ἂν δύναιντο. οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειεν μέντ' ἂν ἴσως, ἢ ἐξελάσειεν, ἢ ἀτιμώσειεν.

Πυθαγορικά. Καὶ μὴν οὐδὲν ἐστὶν οὕτω τῆς πυθαγορικῆς φιλοσοφίας ἴδιον, ὡς τὸ συμβολικόν: οἷον, ἐν τελετῇ μεμιγμένον φωνῇ καὶ σιωπῇ διδασκαλίας γένος, ὥστε * μὴ λέγειν. ἀείσω ξυνετοῖς. θύρας δ' ἐπίθεσθε βέβηλοι. ἀλλ' αὐτόθεν ἔχειν φῶς, καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον: τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις. ὡς γὰρ ὁ ἄναξ ὁ ἐν δελφοῖς οὔτε λέγει, οὔτε κρύπτει, ἀλλὰ σημαίνει κατὰ τὸν ἡράκλειτον: οὕτω τῶν πυθαγορικῶν συμβόλων, καὶ τὸ φράζεσθαι δοκοῦν, κρυπτόμενόν ἐστι: καὶ τὸ κρύπτεσθαι, νοούμενον.

* Lego καὶ.

Εκ τῶν νικολάου ἐθῶν. Γαλακτοφάγοι σκυθικὸν ἔθνος, ἄοικοί τε εἰσίν, ὥσπερ καὶ οἱ πλεῖστοι σκυθῶν: τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον, ἐξ οὗ τυροποιοῦντες, ἐσθίουσι καὶ πίνουσι, καὶ εἰσὶ διὰ τοῦτο δυσμαχώτατοι σὺν αὐτοῖς πάντη τὴν τροφὴν ἔχοντες. οὗτοι καὶ δαρεῖον ἐτρέψαντο. εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν, πατέρας ὀνομάζειν: τοὺς δὲ νέους, παῖδας: τοὺς δ' ἥλικας, ἀδελφούς: ὧν ἦν καὶ ἀνάχαρσις, εἷς τῶν ἑπτὰ σοφῶν νομισθεὶς, ὃς ἦλθεν εἰς τὴν ἑλλάδα, ἵνα ἱστορήσῃ τὰ τῶν ἄλλων νόμιμα, τούτων καὶ ὅμηρος μέμνηται, ἐν οἷς φησι:

Μυσῶν

Tam puram oportet esse uiri temperati uitam, ut ne suspicionem quidem criminis incurrat. *Aeschinis.*

Hoc modo uersandũ est in conuiuio: circumacto disco aliquid ad tuũ locum peruenit, id manu extensa modestè attinges. Præterit. Noli retinere. Nondũ appropinquauit. Ne nimium appetitũ tuum extende: sed expecta donec iuxta te sit. Eodem animo ad diuitias, magistratus, & nuptias affici debes, eris*q; deorum conuiuio dignus. *Epicteti.*

Approbanda est uoluptas, tanquam ad rectissimam rationis regulam cõparata, cui inter pulchra & iucunda nihil quicq̃ temperantia suauius est. Sic & probandus est dolor, cui inter omnia, quæ declinari solent, nihil est intemperantia grauius. *Musonij.*

Voluptatem non quamlibet, sed ob res honestas natam, eligere decet. *Demosthenis.*

Iustus amor est, sine contumelia res pulchras appetere. *Eiusdem.*

Primum Socratis admirabilem doctrinam approbare debes, qui diuitias ex usu metiri iubebat. Non enim immensas possessiones diuitias uocabat: sed tantũ, quantum requiritur ad usum decentem. Monebat autem ne iudicio falleremur. Illos enim quos diximus, reuera diuites, reliquos pauperes appellabat, & incurabili paupertate ipsos laborare dicebat, nempe animi morbo, non possessionis. *Xenophanis.*

Nihil innasci malum potest in homine, qui sapientiæ fundamenta iecerit temperantiam & continentiam. *Ibidem.*

Voluptates opus est præterire, ueluti Sirenes, eum qui uirtutem tanquã patriam intueri desyderat. *Socratis.*

Celebratus est Euripides, quod in theatro dixerit:
Quidnam est turpe, nisi quod utentibus ita uidetur? *Ex scriptis Serui.*

Diogenes uero contrariam superiori sententiam protulit,
Est turpe semper turpe, seu uideatur, siue non. *Diogenis.*

Nemo enim scit utrum mors summũ bonorum omnium contingat homini: metuunt autẽ perinde ac si eam scirent maximũ esse malorum. Cui uero dubium esse debet, quin hæc ipsa inscitia sit maximè uituperanda, per quã aliquis se putat scire, quę nescit? Ego autem ô uiri in hoc forsan à uulgo hominũ differo: ac si qua in re sapientiorem me aliquo esse dicerem, in hac utiq; dicerem, quod cũ haud sufficienter, quæ sunt apud inferos, nôrim, similiter me non nosse cognosco. *Platonis in Apologia Socratis.*

Sed ne hoc feceritis. Scitote enim si me occideritis talem, qualem uobis modo dicebam, non me læsuros esse uos magis, quàm uos ipsos. Me quidem neq; Melitus neq; Anytus unq̃ lædet. Neq; enim posset. Siquidem nefas est, ut arbitror, meliorem uirũ à deteriore lædi. Interficere tamen possunt, uel pellere, uel cõtumelia quadã afficere. *Ibidem paulo post.*

Nihil enim aliud agens circumeo, q̃ suadens iunioribus senioribusq; uestrũ, neq; corporũ, neq; pecuniarum, neq; aliarum omnino rerũ curam prius uehementiusq;, quàm animi habendã esse, ut quàm optimus sit, docens non ex pecunijs uirtutẽ, sed ex uirtute pecunias, aliaq; bona omnia & priuatim & publicè hominibus prouenire. *Eiusdem paulo post.*

Nihil plane adeò proprium est philosophiæ Pythagoricæ, q̃ symbolicũ doctrinę genus, uoci & silẽtio permixtũ, uelut in sacra initiatione, unde hoc dicitur: Cantabo doctis, claudatur porta profanis. Sed statim q̃dlibet dictũ † prudẽtibus lucem & characterẽ sui in promptu ostendit. Cęcum aũt & obscurũ est imperitis. Quemadmodũ enim Apollo in Delphis, nõ dicit, nec abscondit, sed innuit iuxta Heraclitũ. Sic è Pythagoricis symbolis, & id q̃d dici uidetur, absconditur: & q̃d abscondi, intelligitur. *Pythagorica.* *In Græco est συνήθεσιν, id est, consuetis: lego συνετοῖς.*

Galactophagi Scythica gens, carent ædibus, ut plærinq; Scytharum, alimentum aũt solum sibi lac equinum habent, quod & potant, & coniectos inde caseos edunt. Itaq; impugnatu difficillimi sunt, cum uictum semper secum habeant. Hi Darium quoq; in fugam conuerterunt. Sunt autem iustissimi, communibus utentes tum bonis, tum uxoribus. Quare seniores quidem inter se, patres nominant: iuniores autẽ, filios: & coætaneos, fratres. Ex horum numero etiam Anacharsis fuit, existimatus unus è septem sapientibus, qui in Græciam profectus est, ut aliarum gentium leges exploraret. Meminit ipsorum & Homerus, cum ait: *Ex Nicolao de moribus gentiũ.*

Ὁμήρου. Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν,
γλακτοφάγων, ἀβίων τε δικαιοτάτων ἀνθρώπων.
παρὰ τούτοις οὐδὲ εἷς, οὔτε φθονῶν, ὥς φασιν, οὔτε μισῶν, οὔτε φοβούμενος ἱστόρηται, διὰ τὴν τοῦ βίου κοινότητα, καὶ δικαιοσύνην. μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες, ἢ οἱ ἄνδρες, καὶ συμπολεμοῦσιν αὐτοῖς ὅταν δέῃ, καὶ διὰ τοῦτο ἀμαζόνας γυναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι, μέχρι Ἀθηνῶν καὶ Κιλικίας, ὅτι τούτων παρῴκουν ἐγγὺς τῆς μαιώτιδος λίμνης.

Ἐπικτήτου. Ὁ τύχης βίος συμπεπλεγμένος, ἔοικε χειμάρρῳ ποταμῷ. καὶ γὰρ ταραχώδης, καὶ ἰλύος

Τοῦ αὐτοῦ. ἀνάμεστος, καὶ δυσέμβατος, καὶ τυραννικὸς, καὶ πολύηχος, καὶ ὀλιγοχρόνιος.

Ψυχὴ ὁμιλοῦσα ἀρετῇ, ἔοικεν ἀεννάῳ πηγῇ. καὶ γὰρ καθαρὸν, καὶ ἀτάραχον, καὶ πότιμον, καὶ νόσιμον, καὶ κοινωνικὸν, καὶ πλούσιον, καὶ ἀβλαβὲς, καὶ ἀνώλεθρον.

Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον, ὅτι κακὸς εἶ.

Βέλτιον ὀλιγάκις πλημμελεῖν, ὁμολογοῦντα σωφρονεῖν πλεονάκις, ἢ ὀλιγάκις ἁμαρτεῖν, λέγοντα πλημμελεῖν πολλάκις.

Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ.

Μὴ οὕτω τὸ ἐκ τῆς δόξης αἰσχύνου, ὡς τὸ τῆς ἀληθείας ἀπόφευγε.

Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν. μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς ποιεῖν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν.

Ἐξέταζε σεαυτὸν, πότερον πλουτεῖν θέλεις, ἢ εὐδαιμονεῖν. καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθὸν, οὔτε ἐπὶ σοὶ πάντη. εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθὸν καὶ ἐπὶ σοί. ἐπεὶ τὸ μὲν, τύχης ἐπίκαιρον δάνειον. τὸ δὲ τῆς εὐδαιμονίας, προαιρέσεως.

Καθάπερ ἔχιν, ἢ ἀσπίδα, ἢ σκορπίον, ἐν ἐλεφαντίνῃ, ἢ χρυσῇ θεώμενος κίστῃ, οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ' ὅτι λυμαντικὴ ἡ φύσις, ἐκτρέπῃ καὶ μυσάττῃ. οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης: ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας.

Ὁ πλοῦτος, οὐ τῶν ἀγαθῶν, ἡ πολυτέλεια τῶν κακῶν. ἡ σωφροσύνη, τῶν ἀγαθῶν. καλεῖ δὲ ἡ μὲν σωφροσύνη, ἐπὶ τὴν εὐτέλειαν καὶ τὴν κτῆσιν τῶν ἀγαθῶν. ὁ δὲ πλοῦτος, ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. δυσχερὲς ἄρα πλουτοῦντα σωφρονεῖν, ἢ σωφρονοῦντα πλουτεῖν.

Ὥσπερ εἰ ἐν νηῒ ἐσπαρμένος ἢ ἐτέχθης, οὐκ ἂν ἐπεπόθεις αὐτῆς κυβερνήτης ὑπάρχειν. οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέσται, οὔτε ἐνταῦθα ὁ πλοῦτος, ἀλλὰ πάντῃ ὁ λόγος. ὅπερ οὖν σοι φυσικὸν καὶ συγγενὲς ὁ λόγος, τοῦτο καὶ οἰκεῖον ἡγησάμενος, τούτου ἐπιμελοῦ.

Ἐν πέρσαις μὲν γεννηθεὶς, οὐκ ἐπεπόθεις οἰκεῖν τὴν ἑλλάδα, καὶ αὐτόθι διάγων εὐτυχεῖν: ἐν πενίᾳ δὲ γεννηθεὶς, τί ἐπιποθεῖς πλουτεῖν, ἀλλ' οὐκ αὐτόθι μᾶλλον εὐτυχεῖν;

Ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον ὑγιαίνειν ἄμεινον, ἢ ἐπὶ πλατείας κλίνης καλινδούμενον νοσεῖν: οὕτω καὶ ἐν μικρᾷ περιουσίᾳ βέλτιον συστελλόμενον εὐδαιμονεῖν, ἢ ἐν μεγάλῃ τυγχάνοντα δυστυχεῖν.

Οὐ πενία λύπην ἐργάζεται, ἀλλὰ ἐπιθυμία. οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. κτησάμενος τοιγαροῦν τὸν λογισμὸν, οὔτε πλούτου ἐπιθυμίαν, οὔτε πενίαν μέμψῃ.

Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν, οὔτε ὄρνις ἐπὶ κόσμῳ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ, ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν, ποδῶν: ὁ δὲ, πτερῶν. καὶ σὺ τοιγαροῦν, μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ, καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μεγαλύνου, ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιΐᾳ.

Τὸ καλῶς ζῆν, τοῦ πολυτελῶς διαφέρει. τὸ μὲν γὰρ, ἐκ σωφροσύνης, καὶ αὐταρκείας, καὶ

*lego εὐταξίας *εὐεξίας, καὶ κοσμιότητος, καὶ εὐτελείας παραγίνεται. τὸ δὲ, ἐξ ἀκολασίας, καὶ τρυφῆς, καὶ ἀταξίας, καὶ ἀκοσμίας. τέλος δὲ τοῦ μὲν, ἔπαινος ἀληθής. τοῦ δὲ, ψόγος. εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι.

Μέτρον ἔστω σοι παντὸς σίτου καὶ πότου, ἡ πρώτη τῆς ὀρέξεως ἔμπλησις. ὄψον δὲ, καὶ ἡδονὴ, αὐτὴ ἡ ὄρεξις: καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, ποτῷ τε τῷ παραπεσόντι ἀρκεσθήσῃ.

Mysorumq́ cominus pugnantium, & Agauorum equos mulgentium, *Iliad li. 13. ab initio.*
Et Galactophagorum, Abiorumq́, qui homines sunt iustissimi.

Apud hos nullus est qui inuidia, uel odio, uel metu moueri conspiciatur, ut ferũt, propter uitæ cõmunionẽ & iustitiã. Pugnaces uero non minus ipsorũ mulieres q̃ uiri sunt, & si op⁹ sit, in bello se pbẽr socias: Ideoq́ Amazones esse fortissimas, adeo ut olim ad usq; Athenas & Ciliciã castra mouerint. Tũ.n. ppe paludẽ Mœoti habitabãt.

Vita fortunæ coniuncta torrenti similis est. Turbulenta enim & plena cœno, ingressuq́ difficilis, uiolenta, & obstrepera est, & breue tempus edurat. *Epicteti.*

Vita cum uirtute constans similis est perenni fonti, cuius aqua limpida, imperturbata, potabilis, suauis, copiosa, absq; omni iniuria & pernicie manat. *Eiusdem.*

Si uis bonus esse, primum crede quod malus sis.

Melius est rarius delinquere fatentem temperantem esse sæpius, quàm rarius errare dicentem, sæpius delinquere.

Castiga affectus, ne tute ab ipsis castigere, pœnamq́ luas.

Non tam pudefieri ob existimationem, quàm rei ueritatem fugere debes.

Si bene uis audire, discito bene loqui: Et cum bene loqui didiceris, rectè facere conator. Hoc enim modo bonam famam acquires.

Examina teipsum utrum ditescere malis, an beari. Quod si diuitias uelis, rem neq; bonã esse scias, nec omnino in te sitam. Si uero beari, id & bonũ est, & penes te. Opes enim fortuna ad tempus cõmodato dat. Beatitudo autẽ à nostra uoluntate procedit.

Quemadmodum uiperam, aut aspidem, aut scorpium in eburneo, aureóue scrinio inspiciens, non propter materiæ precium ipsa diligis, aut magni facis, tanq̃ fœlicia animalia: sed potius propter naturæ ipsorũ exitialem uim abhorres ac detestaris. Sic etiam in diuitijs & fastu fortunæ malitiam uidens inesse, non ad materiæ splendorem obstupesce, sed morum prauitatem contemne.

Diuitiæ non sunt de numero bonorum. Nimietas sumptuum mala est: temperantia autẽ bona: Vocat enim ad frugalitatẽ, & possessionem bonorum. Diuitiæ uero ad sumptuositatem illiciunt, à temperãtia abstrahunt. Quamobrem difficile sane fuerit aut diuitem esse temperantem, aut eum qui temperans est, diuitijs affluere.

Quemadmodum si conceptus aut natus esses in naui, non ideò statim eius gubernator fieri uelles: neq; enim natura ad te nauis pertineret: sic neq; diuitiæ, sed ratio. Id igitur quod tibi naturale & cognatum est, uidelicet rationem, proprium tibi censere, & eius curam suscipere debes.

Si quidem genitus esses inter Persas, non desyderares in Græcia habitare, & illic fœlicitate frui. Cum autem in paupertate sis natus, quid studes ditescere, & non potius in ea conditione, qua primum progenitus es, fœliciter agere?

Quemadmodũ in paruo humiliq́ grabato anguste cubare hominẽ sanũ meli⁹ est, q̃ in amplo lecto cubantẽ ægrotare. Similiter & in exigua fortuna melius est sese contrahentem fœliciter agere, quàm in magna fortuna infœlicem esse.

Non paupertas molestiam facit, sed animi cupiditas. Neq; diuitiæ à metu liberant, sed ratio. Si tibi rationem igitur comparaueris, neq; diuitiarum cupiditatem, neq; paupertatem accusabis.

Nec equus ob præsepe, phaleras & tapetes, nec auis ob floccos ac nidum suum effertur, & gloriatur: sed utrunq; animal ob celeritatem, hoc quidem alarum, illud uero pennarum. Quare tu quoq; ob alimenta, uestes, & omnino ob externas opes ne superbito, sed ob probitatem & beneficentiam.

Bene & sumptuosè uiuere differunt. Alterũ eñ ex tẽperãtia, frugalitate, disciplina, honestate, & ai moderatiõe reb⁹ suis cõtenti prouenit. Alterũ uero ex intẽperantia, luxu, ac ordinis omnis atq; decori neglectu nascitur. Deniq; hoc, uituperiũ: illud, uera laus consequtur. Itaq; si rectè uiuere & bñ uolueris, noli laudẽ ex sumptuositate q̃rere.

Prima repletio appetitionis, modus sit omnis cibi potusq́. Ipsa aũt appetitio obsonij & uoluptatis loco sit. Sic enim neq; plura, q̃ opus est, ingeres, neq; instructoribus obsoniorum egebis, & potum quemuis approbabis.

Τὰς ἑστιάσεις ποιοῦ, μὴ ἀνειμένας, καὶ σκυθρωπάς: ἀλλὰ λαμπρὰς, καὶ εὐτελεῖς, ἵνα μή τι διὰ τὰ σωματικὰ αἱ ψυχαὶ ταράττωνται φιλανιζόμεναι, καὶ τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, ἔπειτα βλάπτωνται, τρυφῶντα μὲν πλεῖστον, νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα.

Forsan ὁρᾷς.

Φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ μόνον ἐπαινῇ, ἀλλ' ἡ ἐν τῇ ψυχῇ εὐφρασία. ἐπεὶ τὰ μὲν, ἀποσκυβαλίζεται, καὶ συγκρεῖ, ὡς † ὁρῶς. ἡ δὲ, κἂν ἡ ψυχὴ χωρισθῇ, διαπαντὸς ἀκήρατος μένει.

Ἐν ταῖς ἑστιάσεσι μελέτα τίσι τὰ δύο ὑποδέχῃ, σῶμα καὶ ψυχήν, καὶ ὅτι ἂν τῷ σώματι δῷς, ταχὺ εὐθὺς ἐξέχεας: ὅ, τι δὲ τῇ ψυχῇ, διαπαντὸς τηρεῖς.

Forte ἐνδεής.

Μὴ συγκεράσας ἅμα ὀργὴν πολυτελείᾳ προσένεγκαι. πολυτέλεια μὲν παιδήσασα τῷ σώματι, μετ' οὐ πολὺ οἴχεται. ἡ δὲ ὀργὴ *ἐνδεὴς ἐπὶ τὸ μήκιστον μένει. σκόπει τοιγαροῦν, ὅπως μὴ ὑπ' ὀργῆς ἐξαχθεὶς, τοὺς δαιτυμόνας πολυτελῶς ὑβρίσῃς: ἀλλὰ μᾶλλον μεθ' ἡμερότητος εὐτελῶς εὐφρανῇς.

lego τὸ κατὰ πόσιν πικρόν.
† Parenthesi inclusa de nostro addidimus.
*Malim κοινωνεῖς τοῖς θεράπουσι.

Αἰσχρὸν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τῶν * κατὰ πόσιν, τὸ τῶν θεῶν δῶρον τὸν λόγον † (μὴ προσφέρειν) τῇ κακίᾳ.

Μελέτω σοι ἐν τοῖς σιτίοις, ὅπως σοι οἱ ὑπουργοῦντες, μὴ πλουσιώτεροι τῶν ὑπουργουμένων ὑπάρχωσιν. ἄτοπον γὰρ ὀλίγαις στιβάσι πολλὰς δουλεύειν ψυχάς.

Ἄριστον μὲν εἰ καὶ ταῖς παρασκευαῖς χειρουργῶν, καὶ ταῖς τροφαῖς ἑστιώμενος *κυβερνᾶς τοῖς θεράπουσι τῶν παρόντων. εἰ δὲ τὸ τοιόνδε δυσχερὲς τῷ καιρῷ ὑπάρχει, μέμνησο, ὅτι μὴ κάμνων ὑπ' ὀκνούντων ὑπουργῇ, ἐσθίων ὑπὸ μὴ ἐσθιόντων, πίνων ὑπὸ μὴ πινόντων, λαλῶν ὑπὸ σιωπώντων, ἀνειμένος ὑπὸ συνεσταλμένων, καὶ ὅτι αὐτὸς φλεγμαίνας ἄτοπον πέσῃ, οὐδ' ἑτέρου ἀγριαίνας χαλεπὸν ἐργάσῃ.

Ἐρίζειν καὶ φιλονεικεῖν, πάντῃ μὲν ἄτοπον: μάλιστα δὲ ἐν ταῖς παρὰ πότον ὁμιλίαις ἀπρεπές. οὔτε γὰρ ἂν μεθύων νήφοντα διδάξει τις, οὔτ' ἂν μεθύων πρὸς νήφοντος πεισθείη. ἔνθα δὲ ἂν μὴ παρῇ νῆψις, τέλος εἰκῇ σε παρέχει διατείνεσθαι.

Lego ἡ δρόσος.

Οἱ τέττιγες μουσικοί, οἱ δὲ κοχλίαι, ξηροί. χαίρουσι δὲ, οἱ μὲν ὑγραινόμενοι: οἱ δὲ ἀλεαινόμενοι. ἔπειτα προκαλεῖται τοὺς μὲν, *ἡ δροῦς, καὶ ἐπὶ ταύτῃ ἐκδύουσι. τοὺς δὲ αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καὶ ἐν αὐτῷ ᾄδουσι. τοιγαροῦν εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκα μὲν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχή, τότε αὐτὴν μὴ ἔα προσεῖσαν μολύνεσθαι: ἀλλ' ἡνίκα ἂν ἐν τοῖς συνεδρίοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καὶ ᾄδειν τὰ τῆς δικαιοσύνης κέλευε λόγια.

Forte ὑπείθειν.

Τὸν προσομιλοῦντα τριχῇ διασκόπει, ἢ ὡς ἀμείνονα, ἢ ὡς ἥττονα, ἢ ὡς ἴσον. καὶ εἰ μὲν ἀμείνονα, ἀκούειν χρὴ καὶ πείθεσθαι αὐτῷ. τὸν δὲ ἥττονα, *ἀπωθεῖν. εἰ δὲ, ἴσον, συμφωνεῖν: καὶ οὔποτε ἁλώσῃ φιλονεικίας.

Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα, πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

Ζητῶν τὴν ἀλήθειαν, οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾶν: καὶ εὑρὼν τὴν ἀλήθειαν, ἕξεις τὸ μὴ νικᾶσθαι.

Ἡ ἀλήθεια παρ' αὐτῇ νικᾷ, ἡ δὲ δόξα παρὰ τοῖς ἔξω.

Ἐλευθερία καὶ δουλεία, τὸ μὲν, ἀρετῆς ὄνομα: τὸ δὲ, κακίας.

Κακὸς δεσμός, σώματος μὲν τύχη, ψυχῆς δὲ κακία. ὁ μὲν γὰρ τὸ σῶμα λελυμένος, τὴν δὲ ψυχὴν δεδεμένος, δοῦλος. ὁ δ' αὖ τὸ σῶμα δεδεμένος, τὴν δὲ ψυχὴν λελυμένος, ἐλεύθερος.

Τὸν μὲν τοῦ σώματος δεσμόν, λύει καὶ φύσις διὰ θανάτου, καὶ ἡ κακία διὰ χρημάτων. τὸν δὲ τῆς ψυχῆς, ἀρετὴ διὰ μαθήσεως, καὶ μεγαλοψυχίας καὶ ἀσκήσεως.

aliás sequitur ἐπιτακεχθρωμένος.

Εἰ βούλει ἀταράχως καὶ εὐαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντάς σοι σύμπαντας ἀγαθοὺς ἔχειν. ἕξεις δὲ ἀγαθοὺς, εἰ τοὺς μὲν ἑκόντας παιδεύοις, τοὺς δὲ ἄκοντας, *ἀπολύοις. συμφεύξεται γὰρ τοῖς φυγοῦσιν ἡ μοχθηρία ἅμα καὶ ἡ κακία. συναπολειφθήσεται δὲ τοῖς συμμένουσί σοι ἡ χρηστότης καὶ ἡ ἐλευθερία.

Cōuiuijs utitor nō cū neglectu & tristitia, sed hilariter & cū frugalitate, ut neq; per corporea animę deceptę perturbētur, neq; corporeas uoluptates cōtemnant, & dein de lædantur, diutius quidē luxuriantia, in posterū uero morbis affligenda corpora.

Operam da ut non solū uentri & intestinis gratificere, sed honestæ animi lætitiæ. In illis enim contenta excernuntur, & ut uides effluunt: Hęc uero etiam anima à corpore seiuncta, perpetuò incorrupta manet.

Inter epulandum consydera quibus rebus excipiendum sit corpus, & quibus anima: Tum quod omne in corpus collatū, statim rursus effluxurum sit: Quod autem in animam, perpetuò seruandum.

Fac ne preciosas epulas cū ira miscens assumas. Eximiæ enim epularum postq̄ breui mora corpus trāsilierint, paulò post abeunt. At si deglutiueris iram, diutissimè immorabitur. Vide sis igitur ne urgente ira in conuiuas eximiè sis iniurius, sed potius cum mansuetudine & simplicitate ipsos exhilares.

Turpe est muneribus apum potiones edulcare. Rationem autem deorum munus non adhibere ad malitiæ dulcandam amaritudinem.

Cura ne conuiuiorum ministri maioris sint precij, quàm quibus ministratur. Dedecet enim paucis toris, quibus accumbitur, multas animas inseruire.

Optimū quidem fuerit, si etiam ipse in apparatu laboraueris, & ferculis tibi propositis aliquid præsentium famulis quoq; cōmunicaueris. Si uero tempus non ita ferat, saltem memento, q̊d tibi ocioso à laborantibus inseruitur, edenti à non edentibus, bibenti à non bibentibus, loquenti à silentibus, deniq; dissoluto & animi remisso, à solicitis & accinctis. Hoc enim pacto nec tute inflammatus absurdi quicquam patieris, nec alium commotus afficies molestia.

Litigare & contendere cū ubiq; indecorū est, tum inter pocula maxime. Nam neq; ebrius aliquis docere sobrium potest, neq; sobrius ab ebrio persuaderi. Vbicunq; igitur non adfuerit sobrietas, tandem nequicquam te contendisse apparebit.

Cicadę animal sunt Musicū. Cochleæ uero siccæ, itaq; humectari gaudēt, illę uero calescere. Rursum has quidē ros elicit, eiusq; gratia prodeūt. Illas aūt solis uigor excitat, & in ipso cantillant. Quamobrē si uolueris uir esse Musicus & concinnus, cū tibi uino irrorata fuerit anima, tunc ipsam nō sines egressam inquinari. Sed cū in confessibus à ratione fuerit accensa, tum uaticinari eam, & canere iustitiæ oracula iubebis.

Hominem quî cū conuersaris, tribus modis consydera, nempe ut præstantiorem te, aut inferiorem, aut æqualem. Præstantiori quidem auscultare & obtemperare conuenit: Minorem, modestè persuadere: Aequali autem consentire. Hoc sanè modo nunquam in contentionem incides.

Melius est ueritati concedentem uincere opinionem, quàm locum opinioni dantem à ueritate superari.

Veritatem inquirens non omnibus modis uictoriam quæres. Inuenta autem ueritate, eris inuictus.

Veritas apud sese uincit, opinio autem apud exteros.

Libertas nomen est uirtutis: Seruitus uero malitiæ.

Malum uinculum est, ut corporis fortuna, sic animi malitia. Nam qui solutus est corpore, uinctus autem animo, seruus est. Contrà qui corpore quidem ligatus est, animo autem solutus, is liber est.

Malim: fortuna non tam malum uinculum est corporis, quàm animi malitia.

Vinculū quidem corporis soluit tum natura morte, tum malitia pecunijs. Animi aūt uinculum uirtus per disciplinam, magnanimitatem & studium.

Si uoles tranquillus & perturbationum immunis uiuere, conare omnes, qui tibi conuersantur, bonos habere. Habebis autem bonos, si uoluntarios quidem erudiueris: inuitos autem excluseris. Comitabitur enim fugientes improbitas simul & malitia. Relinquetur autem pariter cum illis, qui tecum manent, bonitas atq; libertas.

Βέλτιον μετὰ ἑνὸς ἐλευθέρου ζῶντα, ἄφοβον καὶ ἐλεύθερον ὑπάρχειν, ἢ μετὰ πολλῶν δουλεύειν.

ἄλλο σεαυτόν. Ὃ φεύγεις παθεῖν, τοῦτο μὴ ἐπιχείρει * διατιθέναι. φεύγεις δὲ δουλείαν, φυλάσσου δουλοῦσθαι. ὑπομένων γὰρ δουλοῦσθαι, αὐτὸς ὑπάρχων πρότερον ἔοικας δοῦλος. οὔτε γὰρ κακία ἀρετῇ κοινωνεῖ, οὔτε ἐλευθερία δουλείᾳ.

Ὥσπερ ὁ ὑγιαίνων οὐκ ἂν ὑπὸ νοσούντων βούλοιτο θεραπεύεσθαι, οὔτε τοὺς συνοικοῦντας ἑαυτῷ νοσεῖν· οὕτως οὔτε ἐλεύθερος ἀνάσχοιτ' ἂν ὑπὸ δούλων ὑπηρετεῖσθαι, ἢ τοὺς συμβιοῦντας ἑαυτῷ δουλεύειν.

Ὅστις θέλεις δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολύθητι δουλείας· ἔσῃ δ' ἐλεύθερος, ἂν ἀπολυθῇς ἐπιθυμίας. οὔτε γὰρ Ἀριστείδης, οὔτε Ἐπαμινώνδας, οὔτε Λυκοῦργος πλουτοῦντες καὶ δουλευόμενοι, ὁ μὲν δίκαιος, ὁ δὲ, θεός, ὁ δὲ, σωτὴρ προσηγορεύθησαν. ἀλλ' ὅτι πενόμενοι τὴν Ἑλλάδα δουλείας ἀπέλυον.

Εἰ θέλεις τὴν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τὸν Σπαρτιάτην Λυκοῦργον· ὃν γὰρ τρόπον οὗτος, οὐ τείχεσι τὴν πόλιν ἔφραξεν, ἀλλ' ἀρετῇ τοὺς ἐνοικοῦντας ὠχύρωσε, καὶ διὰ παντὸς ἐτήρησεν ἐλευθέραν τὴν πόλιν· οὕτω καὶ σὺ μὴ μεγάλην αὐλὴν περίβαλλε, καὶ πύργους ὑψηλοὺς ἀνίστα. ἀλλὰ τοὺς ἐνοικοῦντας εὐνοίᾳ καὶ πίστει καὶ φιλίᾳ στήριζε, καὶ οὐδὲν αὐτὴν εἰσελεύσεται βλαβερόν, οὐδ' ἂν τὸ σύμπαν τῆς κακίας παρατάξηται στίφος.

Μὴ πίναξι καὶ γραφαῖς τὴν οἰκίαν σου περίβαλλε, ἀλλὰ σωφροσύνῃ κατάγραφε. τὸ μὲν

ἐπίκουρος malim. γὰρ ἀλλότριον, καὶ τῶν ὀφθαλμῶν ἐστιν * ἐπίκουρος γοητεία· τὸ δὲ, σύμφυτος καὶ ἀνεξάλειπτος, καὶ ἀΐδιος οἰκίας κόσμος.

Ἀντὶ βοῶν ἀγέλης, πειρῶ φίλων ἀγέλας ἐναγελάζεσθαί σου τῇ οἰκίᾳ.

Ὥσπερ λύκος ὅμοιον κυνί, οὕτω καὶ κόλαξ καὶ μοιχὸς καὶ παράσιτος, ὅμοιος φίλῳ. πρόσεχε τοιγαροῦν, μὴ ἀντὶ κυνῶν φυλάκων, λάθῃς λυμεῶνας εἰσδεχόμενος λύκους.

Τὸ μὲν γύψῳ λευκανθίζουσαν σπουδάζειν θαυμάζεσθαι τὴν οἰκίαν, ἀπειροκάλου· τὸ δὲ ἤθους χρηστότητι κοινωνίας λαμπρύνειν, φιλοκάλου τε ἅμα καὶ φιλανθρώπου.

οὐκ addendum videtur. Ἐὰν θαυμάζῃς τὰ μικρὰ πρῶτον μεγάλων * ἀξιωθήσῃ· ἐὰν δὲ καταφρονήσῃς τῶν μικρῶν, μεγάλως θαυμασθήσῃ.

Οὐδὲν μικρότερον φιληδονίας, καὶ φιλοκερδίας, καὶ ἀλαζονείας· οὐδὲν κρεῖσσον μεγαλοψυχίας, καὶ πρᾳότητος, καὶ φιλανθρωπίας.

Δημητρίου Φαληρέως. Τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα.

Κλεόβουλος.

Forte μακρᾷ. Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηῒ * μικρᾷ καὶ πολυχρύσῳ πλέων βαπτίζεσθαι· οὕτω μηδὲ ἐν οἰκίᾳ ἀερῶ ὑπερμεγέθει καὶ πολυτελεῖ καθήμενος χειμάζεσθαι.

α. Τοῦ αὐτοῦ.

Aliàs φιλήκοον εἶναι μᾶλλον, ἢ φιλόλαλον. *Aliàs φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ. †Aliàs φιλοφρονεῖσθαι. *Al. τὸ μὲν ἄνοιαν: τὸ δὲ μανίαν σημαίνει. †Al. μὴ ἐπιγελᾶν τοῖς σκωπτομένοις. ἀπεχθήσεσθαι γὰρ τούτοις.

Μέτρον ἄριστον. πατέρα δεῖ αἰδεῖσθαι. εὖ τὸ σῶμα ἔχειν καὶ τὴν ψυχήν. †φιλήκοον καὶ μὴ πολυήκοον. * πολυμαθῆ, ἢ ἀμαθῆ. γλῶσσαν εὔφημον κεκτῆσθαι. ἀρετῆς οἰκεῖον, ἀδικίαν μισεῖν. εὐσέβειαν φυλάσσειν. πολίταις τὰ βέλτιστα συμβουλεύειν. γλώττης κρατεῖν. βίᾳ μηδὲν πράττειν. τέκνα παιδεύειν. ἔχθρας διαλύειν. τὸν τοῦ δήμου ἐχθρόν, πολέμιον νομίζειν. γυναικὶ μὴ μάχεσθαι, μηδὲ †ἄγαν φρονεῖν, ἀλλοτρίων παρόντων. τὸ * μὲν, γάρ ἐστι χεῖρον. τὸ δὲ, μανίαν δύναται παρέχειν. οἰκέτας μεθύοντας, μὴ κολάζειν. εἰ δὲ μή, δόξεις καὶ αὐτὸς μεθύειν. γαμεῖν ἐκ τῶν ὁμοίων. ἐὰν γὰρ ἐκ τῶν κρειττόνων, δεσπότας, οὐ συγγενεῖς κτήσῃ. μὴ †ἐπιμαίνεσθαι τοῖς σκώπτουσι. ἀπεχθὴς γὰρ ἔσῃ τοῖς σκωπτομένοις. εὐποροῦντα μὴ ὑπερήφανον εἶναι. ἀποροῦντα, μὴ ταπεινοῦσθαι.

β. Σόλων Ἐξηκεστίδου Ἀθηναῖος ἔφη.

Μηδὲν ἄγαν. κριτὴς μὴ κάθισο· εἰ δὲ μή, τῷ ληφθέντι ἐχθρὸς ἔσῃ. ἡδονὴν φεῦγε· αὕτη γὰρ λύπην τίκτει. φύλασσε τρόπου καλοκἀγαθίαν, ὅρκου πιστοτέραν. σφράγιζε τοὺς

μὲν

Melius est cũ uno libero degentem, intrepidũ & liberum esse, q̃ cũ multis seruire.

Quod pati refugis, eo fac teipsum ne afficias: fugis autẽ seruitutem, caue igitur subijci. Nam si seruitutem subieris, ipse met iam antea seruus esse uideberis. Neq; enim malitia quicquam habet cum uirtute commune, neq; seruitus cum libertate.

Quẽadmodũ sanus ab ęgris ministrari sibi, et familiares suos ęgrotare nollet. Ita neq; liber aliquis sustinuerit seruos sibi inseruire, aut eos quib' cũ agit seruitutẽ pati.

Quisquis uolueris seorsim à seruis esse, ipse te primum à seruitute absolue. Eris aũt liber, si solutus fueris à cupiditatibus. Nam neq; Aristides iustus, & Epaminundas deus, Lycurgus aũt seruator appellati sunt, diuitijs abundantes & seruitute detenti: sed quia tenui fortuna contenti Græciam à seruitute in libertatem asseruerunt.

Si domũ cupis bene habitari, Lycurgum Spartanum imitare. Sicut enim ille nõ muris urbem muniuit, sed uirtute ciues instruxit, & urbem perpetuò liberam conseruauit: ita tu quoq; non magnum uestibulum circunda, nec turres altas erige. Sed potius inhabitatores beneuolentia, fide, & amicitia confirmes, & nihil noxij domum ingredietur, ne si uniuersa quidem malitiæ turma restiterit.

Ne tabulis & picturis domum tuam circunda, sed temperantia ipsam depinge. Illud enim alienum est, & oculorum modo iucunda præstigiatio. Hoc uero, indelebilis, æternusq; domui ornatus existit.

Pro boum armentis studium tibi sit amicorum greges domi tuæ congregari.

Veluti lupus animal est cani simile: ita & adulator, & adulter, & parasitus amico similis est. Animum igitur aduorte, ne canum custodum uice perniciosos lupos nescius admittas.

Operam quidem dare, ut domus incrustata gypso albedine sua resplendens in admirationem spectantes trahat, hominis est imperiti. Ingenium uero commoda familiaritate illustrare, honestatis humanitatisq; studium testatur.

Si res paruas ammireris, indignus existimabere magnis: at si spreueris exigua, ipse in magnam admirationem uenies.

Nihil abiectius est luxuria, auaritia, arrogantia. Nihil autem præstantius magnanimitate, mansuetudine, & humanitate.

Demetrij Phalerei septem sapientum apophthegmata.

Cleobulus.

Quemadmodum nolles in longa naui & onusta auro nauigans submergi, sic etiam non desyderare debes in ampla magnificaq; domo sedens curis obrui.

Modus optimus. Genitorem oportet reuereri. Bene habere corpore simul & anima, curandum est. Libenter audire quidem oportet, non quæuis tamen temere. Præstat multa discendi studiosum esse, quàm rudem. Linguam bene ominantem non maledicam habere cõuenit. Virtutis est proprium iniustitiam odisse, pietatem custodire, ciuibus optima quæq; consulere. Linguam continere. Per uim nihil agere. Liberos erudire. Inimicitias dissoluere. Populi inimicum, hostem existimare. Cum uxore neq; lites, neq; blanditias, præsentibus alijs exercere conuenit: Hoc enim stulti uiri, illud autem insani signum est. Famulos ebrios ne castigaueris: Sin minus, ebrius etiam ipse uideberis. Vxorem duc ex æqualibus: Si enim ex superiori familia duxeris, non affines tibi, sed dominos comparabis. Ne cum subsannante alios temere rideas: Inuisus enim fies illis, quibus illuditur. In diuite fortuna ne superbias: Pauper, non animo deijciaris.

Eiusdem.

Transtulimus secundũ Laertiũ.

Solon Execestidæ filius Atheniensis, dixit.

Ne qd nimis. Nõ sedebis iudex: sin min', damnato inimicus fies. Voluptatẽ fuge: parit enĩ tristitiã. Morum ꝓbitatẽ serua uel iureiurãdo fide digniorẽ. Sermonẽ qdem

μὲν λόγους, σίγα· τῇ δὲ σιγῇ καιρῷ. μὴ ψεύδου, ἀλλ' ἀλήθευε. τὰ σπουδαῖα μελέτα. τῶν γονέων μὴ λέγε δικαιότερα. φίλους μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ μὴ ταχὺ ἀποδοκίμαζε. ἄρχεσθαι μαθὼν, ἄρχειν ἐπιστήσῃ. συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις. μὴ θρασύνου. μὴ κακοῖς ὁμίλει. χρῶ τοῖς θεοῖς. φίλους εὐσέβει. ὃ δ' ἂν ἴδῃς, μὴ λέγε. εἰδὼς σίγα. τοῖς σεαυτοῦ πρᾶος ἴσθι. τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου.

Χίλων υἱὸς †πάγητος λακεδαιμόνιος, ἔφη.

Laertius habet Δαμαγήτῳ.

Γνῶθι σεαυτόν. πίνων, μὴ πολλὰ λάλει· ἁμαρτήσει γάρ. μὴ ἀπείλει τοῖς ἐλευθέροις· οὐ γὰρ καλόν. μὴ κακολόγει τὸν πλησίον· εἰ δὲ μὴ, ἀκούσῃ, ἐφ' οἷς λυπηθήσῃ. ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου· ἐπὶ τὰς ἀτυχίας, ταχέως. γάμους εὐτελεῖς ποιοῦ. τὸν τετελευτηκότα μακάριζε. πρεσβύτερον σέβου. τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει. ζημίαν αἱροῦ μᾶλλον, ἢ κέρδος αἰσχρόν. τῷ δυστυχοῦντι, μὴ ἐπιγέλα. *τραχὺς ὢν, ἥσυχον σεαυτὸν πάρεχε, ὅπως σε αἰσχύνωνται μᾶλλον, ἢ φοβῶνται. τῆς ἰδίας οἰκίας προστάτει. ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ. θυμοῦ κράτει. μὴ ἐπιθύμει ἀδύνατα. ἐν ὁδῷ μὴ σπεῦδε προάγειν, μηδὲ τὴν χεῖρα κινεῖν· μανικὸν γάρ. νόμοις πείθου. ἀδικούμενος διαλλάσσου.

al. ἰσχυρός.

Πιττακὸς μιτυληναῖος.

Ἐγγύη, πάρα δ' ἄτη. φίλων παρόντων καὶ ἀπόντων μέμνησο. μὴ τὴν ὄψιν καλλώπιζε· ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός. μὴ πλούτει κακῶς. μή σε διαβαλλέτω λόγος, ὡς τοὺς πίστεως κεκοινωνηκότας. κολακεύειν γονεῖς μὴ ὄκνει. μὴ προσδέχου τὸ φαῦλον. οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου. χαλεπὸν τὸ εὖ γνῶναι. ἥδιστον τὸ ἐπιθυμίας τυχεῖν. ἀνιαρὸν ἀργία. κακὸν ἀκρασία. βαρὺ ἀπαιδευσία. δίδασκε καὶ μάνθανε, τὸ ἄμεινον. ἀργὸς μὴ ἴσθι. μηδ' ἂν πλουτῇς τὴν εὐτυχίαν κρύπτε. φθόνου χάριν, μὴ οἰκτείρου. μὴ πᾶσι πίστευε.

Θαλῆς ὁ μιλήσιος.

Καιρὸν γνῶθι. ὃ μέλλεις ποιεῖν, μὴ λέγε· ἀποτυχὼν γὰρ, καταγελασθήσῃ. τοῖς ἐπιτηδείοις χρῶ. ὅσα νεμεσσεῖς, τὸν πλησίον αὐτὸς μὴ ποίει. *ἀπραγοῦντα μὴ ὀνείδιζε· ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν κάθηται. ἀγάπα τὸν πλησίον. μικρὰ ἐλαττούμενος, τὸν φίλον κακῶς μὴ λέγε. δεινὸν τὸ συνιδεῖν τὸ μέλλον. πιστὸν γῆ. ἄπιστον θάλασσα. ἄπληστον κέρδος. κτῆσαι καλοκαγαθίαν. θεραπείαν ζήτει. φίλει τὴν παιδείαν, σωφροσύνην, φρόνησιν, ἀλήθειαν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρείαν, οἰκονομίαν, τέχνην, εὐσέβειαν.

Lego, ἀπραγοῦντα, vel δυστυχοῦντα, &c.

Βίας τευταμίδης πριηνεύς.

Οἱ πλεῖστοι ἄνθρωποι κακοί. χρὴ πρῶτον αὐτὸν ἐμβλέψαντα πράττειν. εἰ μὲν καλὸς φαίνῃ, καλὰ ποιεῖν· εἰ δὲ αἰσχρὸς, τὸ τῆς φύσεως ἐλλιπὲς διορθοῦσθαι. ἄσκει καλοκαγαθίαν. βραδέως ἐγχείρει· ὃ δ' ἂν ἄρξῃ, διαβεβαιοῦ. μίσει τὸ ταχὺ λαλεῖν. μὴ εὐήθης ἴσθι, μήτε κακοήθης. ἀφροσύνην μὴ προσδέχου. φρόνησιν ἀγάπα. πάντοτε λέγε, ὡς εἰσὶ θεοί. νόει τὸ πραττόμενον. ἄκουε πολλά. λάλει καίρια. πένης ὢν, πλουσίοις μὴ ἐπιτίμα, ἢν μὴ μέγα ὠφελῇς. ἀνάξιον ἄνδρα, μὴ ἐπαίνει διὰ πλοῦτον. πείσας λάβε, μὴ βιασάμενος. ὅταν ἀγαθὸν πράσσῃς, θεοὺς, μὴ δὲ σεαυτὸν αἰτιῶ. κτῆσαι ἐν μὲν νεότητι, εὐπραξίαν· ἐν δὲ τῷ γήρᾳ, σοφίαν. ἕξεις ἔργῳ μνήμην, καιρῷ εὐλάβειαν, τρόπῳ γενναιότητα, πόνῳ ἐγκράτειαν, φόβῳ εὐσέβειαν, πλούτῳ φιλίαν, λόγῳ πειθὼ, σιγῇ κόσμον, γνώμῃ δικαιοσύνην, τόλμῃ ἀνδρείαν, πράξει δυναστείαν, δόξῃ ἡγεμονίαν.

Περίανδρος κυψέλου κορίνθιος, ἔφη.

Μελέτα τὸ πᾶν. καλὸν ἡσυχία. ἐπισφαλὲς προπέτεια. κέρδος αἰσχρὸν, φύσεως κατηγορία. δημοκρατία κρεῖττον τυραννίδος. αἱ μὲν ἡδοναὶ, θνηταί· αἱ δ' ἀρεταὶ ἀθάνατοι. εὐτυχῶν μὲν, μέτριος ἴσθι· ἀτυχῶν δὲ, φρόνιμος. φειδόμενος, κρεῖττον ἀποθανεῖν, ἢ ζῶντα ἐνδεεῖσθαι. σεαυτὸν ἄξιον παρασκεύαζε τῶν γονέων. ζῶν μὲν, ἐπαινοῦ· ἀποθανὼν δὲ, μακαρίζου. φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν, ὁ αὐτὸς ἴσθι. ὃν ἂν ἑκὼν ὁμολογήσεις πονηρὸν, παράβαινε. λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ. λοιδόρει ὡς ταχὺ φίλος ἐσόμενος. τοῖς μὲν νόμοις, παλαιοῖς χρῶ· τοῖς δ' ὄψοις προσφάτοις. μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ

καὶ

obsigna silentio: Silentium autem temporis occasione. Non mentiere, sed uerum dices. Seria meditare. Parentibus iustiora dicere non conator. Amicos non cito cõparabis: quos autem comparaueris, non statim reijcies. Parere cum didiceris, imperare scies. Ciuibus non suauissima, sed optima consules. Non eris audax uel arrogans. Malis ne cõuersator. Cõsule deos. Amicos cole. Quod noueris, nõ statim dic. Sciens tace. Mãsuetus sis in tuos. De reb. ignotis ꝑ notas & euidẽtes cõiecturã fac.

Chilon filius Pagetis aut Damageti Lacedæmonius dixit.

Nosce teipsum. Inter pocula nõ multũ loquere: delinques eñ. Liberis hominib. nõ minitare: neq; enim decet. Ne sis maledicus in proximos; sin minus, audies quæ tibi molesta erunt. Ad amicorũ conuiuia tardus accedas: ad calamitates aũt citò. Nuptias frugaliter celebra. Bene ominare de homine mortuo. Natu maiorẽ reuerere. Curiosũ in alienis, oderis. Iactura turpi lucro præferenda. Calamitosum nõ irriseris. Si robustus es, tranquillus esto, ut reliqui te uereãtur potius q̃ metuant. Domum tuam guberna. Fac ne tibi lingua mentẽ præcurrat. Iracundiæ moderare. Impossibilia non desideres. In uia non acceleres pergendo, neq; manũ moueas: insanientis eñ indiciũ est. Legibus obtempera. Cum affectis iniuria reconciliare.

Pittacus Mitylenæus.

Sponde, noxa præsto est. Amicorũ tum præsentiũ, tum absentiũ memineris. Faciem reddere nitidã & speciosam nõ laborabis, sed in actionib. studijsq; tuis pulcher esto. Ne sis diues improbẽ. Ne te fama calũnietur erga eos, quibus astrictus es fide. Adulari parentibus non dubita. Malũ non admitte. Qualia tu contuleris in parentes, talia prorsus à tuis liberis expecta. Difficile bonum cognoscere. Suauissimum est desiderio potiri. Molesta res est ocium. Intemperantia malum est. Imperitia, res est intolerabilis. Doce ac disce meliora. Ociosus ne fueris. Neq; si locuples fueris, foelicitatẽ tuam cælato. Fac ne declinans inuidiã, miserabilis fias. Non omnibus crede.

Thales Milesius.

Nosce tempus. Quod facturus es ne prædixeris: frustratus enim spe irrideberis. Amicis utere. Quæ tu ægrẽ fers, ea proximo ne feceris. Infortunato ne quid exprobres: In his enim deorũ uindicta sedet. Ama proximũ. Si parũ tibi decedat, non statim amico cõuitieris. Difficile est ꝑspicere futura. Fida est terra: perfidũ mare. Inexplebile lucrũ. Honestatẽ acquire. Obsequiũ quære. Amato disciplinã, temperantiã, prudentiam, ueritatem, fidem, peritiam, dexteritatẽ, societatẽ, œconomiã, artẽ, pietatẽ.

Bias Teutamidæ filius Prienæus.

Plurimi hominũ improbi sunt. Teipso prius inspecto ad agendũ aliquid accingi oportet: Et si pulcher uidearis, pulchra facito: Sin deformis, naturę defectũ morum pulchritudine pensato. Honestatẽ exerce. Serò aggredere, quod aũt cœperis, cõstanter absolue. Celeritatẽ in loquendo oderis. Neq; simplex sis, neq; malignus. Imprudẽtiã nõ admitte. Dilige prudentiã. Deos esse nunquã nõ dicito. Cõsidera faciẽdũ. Audi multa, loq̃re tempestiua. Si pauꝑ sis diuites nõ rꝑhende, nisi magna sit utilitas. Virũ indignũ, propter opes ne laudâris: persuasione cape, nõ ui. Cũ q̃d bonũ feceris, causã nõ tibi, sed dijs ascribe. Compara in adolescẽtia quidẽ bonã fortunã, in senectute uero sapiẽtiã. Curãdũ est, ut habeas in factis memoriã, in tẽpore cautionẽ, in morib. ingenuitatẽ, in labore patiẽtiã, in metu pietatẽ, in diuitijs amicitiã, in oratiõe persuasionẽ, in silẽtio decorũ, in mente iustitiã, in audacia fortitudinẽ, in actiõe potentiã, in gloria principatũ.

Periander Cypseli filius Corinthius dixit.

Rem omnẽ considera. Bona res quies. Periculosa temeritas. Lucrũ turpe accusatio naturæ est. Imperiũ populare, melius est tyrannide. Voluptates quidem mortales sunt, uirtutes aũt immortales. In dextra quidẽ fortuna moderatus esto: sinistra aũt prudẽs. Hominẽ parcũ mori satius est, quàm uiuũ idigere. Cõpara te, ut dignus sis parẽtib. Da operã ut uiuẽs quidẽ laudabilis, defunctus aũt beatus existimeris. Amicis in læta pariter et tristi fortuna eũdẽ teipsũ exhibe. Si q̃d mali ꝓmiseris † inuitus, transgredere. Sermones arcanos ne prodideris. Ita cõuiciare, tanquã breui futurus amicus. Legib. q̃dẽ utitor ãtiquis, obsonijs aũt recentib. Nõ mõ peccãtes castiga, sed

pro ἑκὼν, forte ἄκων legendũ, uel ὅρκον.

καὶ τοὺς μέλλοντας κώλυε. δυστυχῶν, κρύπτε: ἵνα μὴ τοὺς ἐχθροὺς εὐφρανῇς.

Σωσιάδου τῶν ἑπτὰ σοφῶν ὑποθῆκαι.

Ἕπου θεῷ. νόμῳ πείθου. θεοὺς σέβου. γονεῖς αἰδοῦ. ἡττῶ ὑπὲρ δικαίου. γνῶθι μαθών. ἀκούσας νόει. σαυτὸν ἴσθι. γαμεῖν μέλλων, καιρὸν γνῶθι. φρόνει θνητά. ἑστίαν τίμα. ἄρχε σεαυτοῦ. φίλοις βοήθει. θυμοῦ κράτει. φρόνησιν ἄσκει. πρόνοιαν τίμα. ὅρκῳ μὴ χρῶ. φιλίαν ἀγάπα. παιδείας ἀντέχου. δόξαν δίωκε. σοφίαν ζήλου. καλὸν εὖ λέγε. ψέγε μηδένα. ἐπαίνει ἀρετήν. πρᾶττε δίκαια. φίλοις εὐνόει. ἐχθροὺς ἀμύνου. εὐγένειαν ἄσκει. κακίας ἀπέχου. κοινὸς γίνου. ἴδια φύλαττε. ἀλλοτρίων ἀπέχου. εὔφημος ἴσθι. ἄκουε πάντα. φίλῳ χαρίζου. χρόνου φείδου. ὅρα τὸ μέλλον. ὕβριν μίσει. ἱκέτας αἰδοῦ. υἱοὺς παίδευε. ἔχων χαρίζου. δόλον φοβοῦ. εὐλόγει πάντας. φιλόσοφος γίνου. ὅσια κρίνε. γνοὺς πρᾶττε. φόνου ἀπέχου. εὔχου δυνατά. σοφοῖς χρῶ. ἦθος δοκίμαζε. λαβὼν ἀπόδος. ὑφορῶ μηδένα. τέχνῃ χρῶ. ὃ μέλλεις, δός. εὐεργεσίας τίμα. φθόνει μηδενί. φυλακῇ πρόσεχε. ἐλπίδα αἴνει. διαβολὴν μίσει. δικαίως κτῶ. ἀγαθοὺς τίμα. αἰσχύνην σέβου. χάριν ἐκτέλει. ἔριν μίσει. ὄνειδος ἔχθαιρε. κρίνε δίκαια. ἀδωροδόκητος δοκίμαζε. αἰτιῶ παρόντα. λέγε εἰδώς. βίας μὴ ἔχου. ὁμίλει πράως. πέρας ἐπιτέλει μὴ ἀποδειλιῶν. υἱοῖς μὴ καταθάρρει. γλώττης ἄρχε. σαυτὸν εὖ ποίει. εὐπροσήγορος γίνου. ἀποκρίνου ἐν καιρῷ. πόνει μετὰ δικαίου. πρᾶττε ἀμετανοήτως. ἁμαρτάνων μετανόει. ὀφθαλμοῦ κράτει. βουλεύου χρήσιμα. ἐπιτέλει συντόμως. φιλίαν φύλαττε. εὐγνώμων γίνου. ὁμόνοιαν δίωκε. ἄρρητον μὴ λέγε. τὸ κρατοῦν φοβοῦ. τὸ συμφέρον θηρῶ. καιρὸν προσδέχου. ἔχθρας διάλυε. εὐφημίαν ἄσκει. ἀπέχθειαν φεῦγε. πλούτει δικαίως. δόξαν μὴ λεῖπε. κακίαν μίσει. μανθάνων μὴ κάμνε. κινδύνευε φρονίμως. οὓς τρέφεις, ἀγάπα. πρεσβύτερον αἰδοῦ. νεώτερον δίδασκε. πλούτῳ ἀπίστει. σαυτὸν αἰδοῦ. προγόνους στεφάνου. θνῆσκε ὑπὲρ πατρίδος. τῷ βίῳ μὴ μάχου. ἐπὶ νεκρῷ μὴ γέλα. ἀτυχοῦντι συνάχθου. χαρίζου ἀβλαβῶς. μὴ ἐπὶ παντὶ λυποῦ. ἐξ εὐγενῶν γέννα. ἐπαγγέλλου μηδενί. φθιμένους μὴ ἀδίκει. εὖ πάσχε ὡς θνητός. τύχῃ μὴ πίστευε. κόσμιος ἴσθι. ἡβῶν ἐγκρατής, μέσος δίκαιος, πρεσβύτης εὔλογος, τελευτῶν ἄλυπος.

Ἡρακλείτου. Ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκει (ἢ * γὰρ θεός, ἢ θηρίον) ὅτι σοφόν ἐστι, πάντων κεχωρισμένον.

Parenthesi inclusa abundare uidentur: aut aliquid deest.

Κρύπτειν ἀμαθίην κρέσσον, ἢ ἐς τὸ μέσον φέρειν.

Ἀνθρώποις γίνεσθαι ὁκόσα θέλουσιν, οὐκ ἄμεινον.

Νοῦσος ὑγείαν ἐποίησεν, ἡδὺ καὶ ἀγαθόν. λιμός, κόρον. κάματος ἀνάπαυσιν. σωφρονεῖν, ἀρετὴ μεγίστη: καὶ σοφίη, ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας. ξυνόν ἐστι πᾶσι τὸ φρονεῖν. ξὺν νόῳ λέγοντας, ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων. ὅκως περ νόμῳ πόλις, * καὶ πολὺ ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπινοι νόμοι, ὑπὸ ἑνὸς τοῦ θείου. κρατεῖ γὰρ τοσοῦτον, ὁκόσον ἐθέλει, καὶ ἐξαρκεῖ πᾶσι, καὶ περιγίνεται.

Locus est obscurus, & ut uidetur, corruptus.

Σωκράτους. Ψυχῆς ἐστι λόγος, ἑαυτὸν αὔξων. ἐν τῷ βίῳ, καθάπερ ἐν δράματι, χρὴ τὰ πρῶτα λέγειν, οὐ τὸν πλουσιώτατον, ἀλλὰ τὸν φρονιμώτατον.

Καλόν, ἐπὶ μὲν τῆς ἑστίας φαίνεσθαι τὸ πῦρ λαμπρόν: ἐπὶ δὲ τῆς εὐτυχίας, τὸν νοῦν.

Πλάτωνος. Πολλαὶ τέχναι ἐν ἀνθρώποις εἰσὶν ἐκ τῶν ἐμπειριῶν, ἐμπείρως εὑρημέναι. ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην. ἀπειρία δέ, κατὰ τύχην. ἑκάστων δὲ τούτων, μεταλαμβάνουσιν ἄλλοι ἄλλων ἄλλως: τῶν δὲ ἀρίστων, οἱ ἄριστοι.

Ἐν σοφιστῇ. Σὺ δὲ δὴ πρὸς θεῶν ὦ παῖ δυνατὸν ἡγῇ τοῦτο; τάχα γὰρ ὑμεῖς μὲν ὀξύτερον οἱ νέοι πρὸς αὐτὸ βλέποιτε, ἡμεῖς δὲ ἀμβλύτερον. τὸ ποῖον, καὶ πρὸς τί μάλιστα λέγεις; οὐ γάρ πω κατανοῶ τὸ νῦν ἐρωτώμενον. εἰ πάντα ἐπίστασθαί τινα ἄνθρωπόν ἐστι δυνατόν; μακάριον μὲν τ' ἂν ἡμῶν ὦ ξένε ἦν τὸ γένος.

Σωκράτους. Οὔτε ἵππῳ χωρὶς χαλινοῦ, οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι.

Ὁ βίος

peccaturos etiam prohibe. Infortunium tuum celato, ne gaudio inimicos afficias.

Sosiadis septem sapientium consilia.

Sequere deum. Pareto legi. Cole deos. Reuerere parentes. Pro iusto etiam uinci sustine. Cognosce, postq̃ didiceris. Cum audieris, intellige. Nosce teipsum. Ducturus uxorem, opportunitatem cognosce. Mortalia sapito. Focum honora. Iuramento abstine. Impera tibi ipsi. Succurre amicis. Amicitiam dilige. Disciplinæ incumbe. Gloriam sectare. Aemulare sapientiam. Quod pulchrũ est pulchrè dicito. Neminem uituperа. Lauda uirtutem. Fac quę iusta sunt. Amicis esto beneuolus. Inimicos ulciscere. Ingenuitatem exerce. Abstine malitia. Esto communis. Propria custodi: alienis abstine. Verbis bene ominare. Audi omnia. Gratificare amico. Parce tempori. Prospice futurum. Iniuriã oderis. Famulos reuerere. Filios erudito. Si quid habes, alijs gratificare. Dolum metue. Bene dic omnibus. Philosophus esto. Quod bonum & æquum est, iudica. Vbi cognoueris rem, actioni incumbe. Abstine cæde. Opta possibilia. Vtere sapientibus. Ingeniũ & mores explora. Quod accepisti, restitue. De nemine suspicare. Vtitor arte. Daturus non differes. Beneficia honorato. Inuideto nulli. Possideiure. Honora bonos. Verecundiam cole. Gratias refer. Contentionẽ oderis. Opprobrium detestare. Iudica iustè. Muneribus incorruptus res examina. Incusa pręsentia. Dic sciens. Vim nõ facias. Conuersare mansuetè. Finem cœptis intrepidus impone. Filijs non confides. Impera linguæ. Bene fac tibi ipsi. Affabilis esto. Responde in tempore. Labora cum iustitia. Ea fac, quorum te nõ pœniteat. Peccans pœnitudine afficiaris. Oculo moderare. Consule utilia. Absolue cito. Amicitiam custodi. Sis gratus. Concordiam sequere. Arcanum non profer. Potentius time. Venare utile. Occasionem expecta. Inimicitias dissolue. Benedicentiam usurpa. Simultatem fuge. Diuitias possideto iure. Gloriam non desere. Malitiã habeas odio. Discendo non defatigeris. Periclitare prudenter. Dilige eos, quos alis. Maiorem te natu reuerere. Iuniorem doce. Diuitijs non confide. Verere teipsum. Maiores tuós corona. Pro patria mortem oppetas. Non pugna aduersus uitam. De mortuo nõ riseris. Cum infœlice condoleto. Gratificare citra iacturam. Nõ quauis de causa tristeris. Ex ingenuis prolem suscipe. Nemini promitte. Ne fueris iniquus in defunctos. Suscipe beneficia, tanq̃ mortalis. Fortunæ ne credas. Modestus esto. Adolescens quidẽ sis temperans: uigente ætate, iustus: senex autem, prudens. Moriaris absq; tristitia.

Quorumcunq; sermones audiui, nullus eò usq; peruenit ut intelligat, sapientiam quiddã esse à rebus omnibus separatum. Homo solitarius, aut deus est, aut bellua. *Heraclit.*

Imperitiam cælare melius est, quàm in medium proferre.

Hominibus omnia, quæ uolunt, contingere, non bonum est.

Morbũ sanitas excipit, iucunda res & bona: famem satietas: laborẽ quies. Temperantia, maxima uirtus est: & sapientia uerũ dicere, & facere, secundũ naturam intelligentes. Sapere omnibus est cõmune. Cordatè loquẽtes re quadam omnibꝰ cõmuni cõfirmare oportet: Quemadmodũ lege ciuitas confirmatur. Fouentur enĩ oẽs humanæ leges, ab una diuina, q̃ quidẽ tñ potest, quantũ libet, & sufficit oibꝰ, ac oia uincit.

Animæ ratio auget ipsa seipsam. Oportet in uita tanquam in fabula quadam, primas dicendi partes obtinere non ditissimum, sed prudentissimum. *Socratis.*

Pulchrum est in foco quidem ignem conspici splendidũ: in fœlicitate aũt, animũ.

Multæ quidem artes insunt hominibus ex peritia peritè adinuentę. Peritia enĩ efficit, ut uita nostra per artẽ incedat: imperitia uero ut ꝑ fortunã temere circũuagetur. Illarum artium alij alias & alias aliter atq; aliter cõsequuntur, optimas uero optimi. *Platonis in Gorgia.*

Tu uerò per deos ô puer fieri hoc posse putas? Forte enim uos iuuenes acutius hoc inspicitis. Senes uero nos obtusius. Quid istud & quale? Neq; enim quod nunc quæris, intelligo. Quærebam utrum hominum quispiam scire omnia possit. Beatum profectò hospes genus nostrum esset. *Eiusdem in Sophista.*

Nec equo sine freno, neq; diuitijs sine ratione tutò quis uti poterit. *Socratis.*

Ὁ βίος ὥσπερ ὄργανον, ἀνέσει καὶ ἐπιτάσει ἁρμοττόμενος, ἡδίων γίνεται.

Τὸ λιβανωτὸν, τοῖς θεοῖς· τὸν δὲ ἔπαινον, τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

Οἱ τὸ ἀπὸ τῶν αἰσχρῶν ἔργων κέρδος εἰς καλὰς χορηγοῦντες λειτουργίας, ὅμοιόν τι ποιοῦσι, τοῖς ἀπὸ ἱεροσυλίας εὐσεβοῦσιν.

Ἀπολογεῖσθαι μὲν γὰρ χρὴ ὑπὲρ τῶν ἀδίκως περὶ τὸ ἀδικεῖν αἰτίαν ἐχόντων· ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινι διαφέροντας.

Ἐπαινεῖν χρὴ τὸ κατὰ τέχνην γινόμενον.

Πλάτωνος ἐν Ἀλκιβιάδῃ πρώτῳ. Τί δ' εἰ μὴ ἔχω; οὐκ ἂν οἴει με ἄλλως εἰδέναι περὶ τῶν δικαίων καὶ ἀδίκων; ναί, εἴ γε εὕροις. ἀλλ' οὐκ ἂν εὑρεῖν με ἡγῇ; καὶ μάλα γε, εἰ ζητήσαις. εἶτα ζητῆσαι οὐκ ἂν οἴει με; ἔγωγε, εἰ οἰηθείης γε μὴ εἰδέναι.

Ἐν ταυτῷ. Εὑρὼν μὲν ἄρα οὐκ οἶσθα τὰ δίκαια καὶ τἄδικα; οὐ πάνυ φαίνομαι. ἀλλὰ μὴν ἄρτι γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι. εἰ δὲ μήθ' εὗρες, μήτ' ἔμαθες, πῶς οἶσθα καὶ πόθεν; ἀλλ' ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπεκρίθη, τὸ φάναι εἰδέναι αὐτὸς ἐξευρών. τὸ δὲ πῶς εἶχεν; ἔμαθον οἶμαι καὶ ἐγώ, ὥσπερ καὶ οἱ ἄλλοι. πάλιν εἰς τὸν αὐτὸν ἥκομεν λόγον. παρὰ τοῦ; φράζε κἀμοί. παρὰ τῶν πολλῶν. οὐκ εἰς σπουδαίους γε διδασκάλους καταφεύγεις εἰς τοὺς πολλοὺς ἀναφέρων.

Ἐν ταυτῷ. Ἀποκρίνου δή. καὶ ἂν μὴ αὐτὸς σὺ σαυτοῦ ἀκούσῃς, ὅτι τὰ δίκαια καὶ συμφέροντά ἐστιν, ἄλλῳ γε λέγοντι μὴ πιστεύσῃς. οὔτοι. ἀλλ' ἀποκριτέον. καὶ γὰρ οὐδὲν οἶμαι βλαβήσεσθαι. μαντικὸς γὰρ εἶ. καί μοι λέγε τῶν δικαίων φῂς ἔνια μὲν συμφέρειν, ἔνια δ' οὔ. ναί. Τί δέ, τὰ μὲν, καλὰ εἶναι αὐτῶν, τὰ δ' οὔ; πῶς τοῦτο ἐρωτᾷς; εἴ τίς σοι ἤδη ἔδοξεν αἰσχρὰ μὲν, δίκαια δὲ πράττειν; οὐκ ἔμοιγε. ἀλλὰ πάντα τὰ δίκαια καὶ καλά; ναί. τί δ' αὖ τὰ καλά; πότερον πάντα ἀγαθὰ, ἢ τὰ μὲν, τὰ δ' οὔ; οἶμαι ἔγωγε ὦ σώκρατες, ἔνια τῶν καλῶν κακὰ εἶναι. ἦ καὶ αἰσχρὰ, ἀγαθά; ναί. ἆρα λέγεις τὰ τοιάδε, οἷον πολλοὶ ἐν πολέμῳ βοηθήσαντες ἑταίρῳ, ἢ οἰκείῳ τραύματά τε ἔλαβον, καὶ ἀπέθανον. οἱ δ' οὐ βοηθήσαντες, δέον, ὑγιεῖς ἀπῆλθον; πάνυ μὲν οὖν. οὐκοῦν τὴν τοιαύτην βοήθειαν, καλὴν μὲν λέγεις, κατὰ τὴν ἐπιχείρησιν τοῦ σῶσαι, οὓς ἔδει; τοῦτο δὲ ἐστὶν ἀνδρεία, ἢ οὔ; ναί. κακὴν δέ γε κατὰ τοὺς θανάτους τε, καὶ τὰ ἕλκη. ἦ γάρ; ναί. ἆρ' οὖν οὐκ ἄλλο μὲν ἡ ἀνδρεία, ἄλλο δὲ ὁ θάνατος; πάνυ γε. οὐκ ἄρα κατὰ ταυτόν γ' ἐστὶ καλὸν καὶ κακὸν, τὸ τοῖς φίλοις βοηθεῖν. οὐ φαίνεται. ὅρα τοίνυν ἢ γε καλὸν καὶ ἀγαθὸν, ὥσπερ καὶ ἐνταῦθα. κατὰ τὴν ἀνδρείαν γὰρ ὁμολογεῖς καλὸν εἶναι τὴν βοήθειαν. τοῦτ' οὖν αὐτὸ σκόπει τὴν ἀνδρείαν ἀγαθὸν ἢ κακόν; ὧδε δὲ σκόπει, σὺ πότερ' ἂν δέξαιό σοι εἶναι, ἀγαθὰ ἢ κακά. ἀγαθά. οὐκοῦν τὰ μέγιστα; μάλιστα. καὶ ἥκιστα τῶν τοιούτων δέξαι' ἂν στέρεσθαι; πῶς γὰρ οὔ; πῶς οὖν λέγεις περὶ ἀνδρείας; ἐπὶ πόσῳ ἂν αὐτοῦ δέξαιο στέρεσθαι; οὐδὲ ζῆν ἂν ἔγωγε δεξαίμην, δειλὸς ὤν. ἔσχατον ἄρα σοι δοκεῖ κακὸν εἶναι ἡ δειλία; ἔμοιγε. ἐξ ἴσου τὸ τεθνάναι, ὡς ἔοικε. φημί. οὐκοῦν θανάτῳ τε καὶ δειλίᾳ, ἐναντιώτατον ζωὴ καὶ ἀνδρεία; ναί. καὶ τὰ μὲν, μάλιστα εἶναι βούλοιό σοι, τὰ δὲ, ἥκιστα; ναί. ἆρ' ὅτι τὰ μὲν, ἄριστα ἡγῇ, τὰ δὲ, κάκιστα; πάνυ γε. (* ἐν τοῖς ἀρίστοις ἄρα σὺ ἡγῇ ἀνδρείαν εἶναι, καὶ ἐν τοῖς κακίστοις θάνατον; ἔγωγε.) τὸ ἄρα βοηθεῖν ἐν πολέμῳ τοῖς φίλοις, ᾗ μὲν καλὸν, κατὰ ἀγαθοῦ πρᾶξιν τὴν τῆς ἀνδρείας, καλὸν αὐτὸ προσεῖπας; φαίνομαί γε. κατὰ δὲ κακοῦ πρᾶξιν τὴν τοῦ θανάτου, κακόν; ναί. οὐκοῦν δίκαιον ὧδε προσαγορεύειν ἑκάστην τῶν πράξεων, εἴπερ ᾗ κακὸν ἀπεργάζεται, κακὴν καλεῖς, καὶ ᾗ ἀγαθὸν, ἀγαθὴν κλητέον; ἔμοιγε δοκεῖ. ἆρ' οὖν καὶ ᾗ ἀγαθὸν, καλόν· ᾗ δὲ κακὸν, αἰσχρόν; πάνυ γε. τὴν ἄρ' ἐν τῷ πολέμῳ τοῖς φίλοις βοήθειαν λέγων, καλὴν μὲν εἶναι, κακὴν δὲ, οὐδὲν διαφερόντως λέγεις, ἢ εἰ προσεῖπες αὐτὴν ἀγαθὴν μὲν, κακὴν δὲ *οὐδαμῶς; ἀληθῆ μοι δοκεῖς λέγειν ὦ σώκρατες. οὐδὲν ἄρα τῶν καλῶν καθόσον καλὸν κακὸν, οὐδὲ τῶν αἰσχρῶν καθόσον αἰσχρὸν, ἀγαθόν. οὐ φαίνεται. ἔτι τοίνυν καὶ ὧδε σκέψαι. ὅς τις καλῶς πράττει, οὐχὶ καὶ εὖ πράττει; ναί. οἱ δ' εὖ πράσσοντες, οὐκ εὐδαίμονες; πῶς γὰρ οὔ. οὐκοῦν ἡ εὐδαιμονία δι' ἀγαθῶν κτῆσιν; μάλιστα. κτῶνται δὲ ταῦτα τῷ εὖ καὶ καλῶς πράττειν; ναί. τὸ γοῦν *καλῶς πράττειν ἀγαθόν; πῶς δ' οὔ. οὐκοῦν καλὸν ἡ εὐπραγία; ναί. ταυτὸν ἄρα ἐφάνη ἡμῖν πάλαι αὖ καλόν τε καὶ ἀγαθόν. φαίνεται.

Parenthesi inclusa nō sunt in Frobeniano.

οὐδαμῶς non est in Frobeniano.

διὰς εὖ.

Vita, ceu musicum instrumentum, remissione & intensione disposita, suauior euadit. Thus quidem dijs, laudem uerò bonis uiris tribuere conuenit.

Qui lucrũ factus turpibus acquisitũ honestis administrationibus expendentes accõmodant, simile quiddã faciunt cũ illis, qui sacrilegia in diuinos cultus conuertunt.

Excusare quidem eos oportet, qui immeritò suspicionem & crimen iniustitiæ incurrunt: Laudibus autem illos uehere, qui re quapiam egregia alijs antecellunt.

Laudandum quod ex arte fit.

Quid si nõ habeam? nónne putas aliter me iusta atq; iniusta dignoscere posse? Imò si quidem inueneris. An non censes inuenisse me? Et maxime quidẽ, modo quæsiueris. Deinde non credis me quæsisse? Credo equidem, modo te ignorare putaueris. *Platonis in Alcibiade primo.*

Non ergo per inuentionẽ iusta & iniusta cognoscis. Non uideor. Sed paulò ante neq; per disciplinam etiam percepisse dicebas. Quod si nec inuenisti, neq; didicisti, quonam pacto & unde tenes? Fortè haud rectè respondi, cum scire me per inuentionem asserui. Id uero quo pacto habet? Didici ipse quoq;, ut arbitror, quemadmodũ cæteri. Rursus in idem relabimur: dic mihi eñ à quo didicisti? A uulgo. Non ad probatos refugis præceptores, cum ad uulgus te refers. *Ibidem paulo post.*

Responde igitur: nam nisi à teipso audieris iusta omnia utilia esse, alteri dicenti ne credas. Nõ credam: sed iam respondendũ est: nihil enim periculi esse existimo. Vates profectò es, uerum dic: iustorum alia cõferre asseris: quædam minimè. Assero. Quid autem, horũ partim esse pulchra, partim contra? Quomodo hoc interrogas? Vtrum quispiam tibi aliquando uisus sit, turpia quidem facere, sed tamen iusta? Mihi nunq̃. Omnia itaq; iusta etiam pulchra. Ita. Rursus, pulchra utrum omnia bona, an partim bona, partim mala? Arbitror equidem ô Socrates nonnulla ex pulchris mala esse Et turpia quædã bona? Certe. Nunquid tale quiddam dicis, perinde ac si nonnulli dum in prælio amico uel propinquo cuidam opem ferre uellent, uulnerati perierint: qui uero auxilium cum debuissent non tulerunt, incolumes discesserint? Et maxime quidem. Nónne auxilium huiusmodi pulchrum appellas, ubi quis seruare conatur quos oportebat? eaq; fortitudo est? Profectò. Malum uero uocas ob interitus ac uulnera, nunquid? Voco. An non est aliud fortitudo, aliud mors? Aliud. Non ergo secundum idem pulchrum ac malum est, amicis opem ferre. Non uidetur. Vide itaq; utrum qua ratione pulchrũ, etiam bonum sit: Quemadmodum in ijs. Quia enim forte, concedis pulchrum esse auxilium ferre. Ipsa autem fortitudo bonúmne, an malum? Sic uero considera: utra eligeres adesse tibi, bona, an mala? Bona. Nónne maxima bona maximè optares? Maxime. Ac minimè omniũ his priuari uelles? Quid ni? Quid de fortitudine dicis? quanto illam precio commutares? Ne uiuere quidem uellem, si timidus essem. Extremum ne malum tibi uidetur esse timiditas? Mihi uero. Aeque ac mori, ut apparet. Aequè. Morti atq; timiditati uita & fortitudo contraria sunt? Sunt. Et hæc quidem maximè optares adesse tibi, illa minime? Certe. An non ex eo quod hæc optima, illa pessima esse censes? Prorsus. Igitur auxilium ferre amicis in prælio, pulchrum quidem uocabas secundum boni, id est fortitudinis, actionem. Videor sanè. Secundum uerò actionem mali, id est mortis, malum. Mihi quidem uidetur. An non congruũ est, sic unamquanq; actionẽ denominare? si enim eam prout malum fert, malam appellas: contrà, prout fert bonum, bonam uocare decet. Videtur. Nónne etiam quà bonum, pulchrum: quà malũ, turpe? Maximè. Cum ergò dicis auxilium ferre bello, pulchrum esse, sed malum: perinde est ac si dicas, ipsum bonum quidem malum tamen. Vera mihi dicere uideris ô Socrates. Nihil igitur pulchrum quatenus pulchrum malum est, neq; turpe quicquam quatenus turpe bonum. Non uidetur. Pręterea hunc in modum contemplare: quisquis pulchrè agit, nónne bene agit? Vtiq;. Bene aũt agentes, nónne fœlices? Quidni? An non fœlices propter bonorũ possessionem? Et maximè. Acquirunt aũt hęc ex eo, q̃d pulchrè ac bene agunt? Certe. Igitur bene agere bonũ. Quid ni? Nónne pulchrũ actio bona. Certe. Idẽ itaq; rursus apparet nobis pulchrũ ac bonũ.

Ibidem.

φαίνεται. ὅ,τι ἂν ἄρα εὕρωμεν καλόν τε καὶ ἀγαθὸν εὑρήσομεν ἔκ γε τούτου τοῦ λόγου. ἀνάγκη. τί δέ, τὰ ἀγαθὰ συμφέρει, ἢ οὔ; συμφέρει. μνημονεύεις οὖν περὶ τῶν δικαίων, πῶς ὡμολογήσαμεν; οἶμαί γε σὺ τὰ δίκαια πράττοντας ἀναγκαῖον εἶναι καλὰ πράττειν. οὐκοῦν σὺ τὰ καλὰ, ἀγαθά; ναί. τὰ δ' ἀγαθὰ συμφέρει; ναί. τὰ δίκαια ἄρα ὦ Ἀλκιβιάδη, συμφέροντά ἐστιν. ἔοικε.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ, ΑΠΟΦΘΕΓΜΑΤΩΝ, ΥΠΟΘΗΚΩΝ,

ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ λόγος τέταρτος.

Ἀριστοτέλους.

al. αἰσχρά.

Ἐπαινετὰ μέν ἐστι τὰ καλά· ψεκτὰ δὲ τὰ † κακά. καὶ τῶν μὲν καλῶν, ἡγοῦνται αἱ ἀρεταί. τῶν δὲ αἰσχρῶν, αἱ κακίαι. ἐπαινετὰ δέ ἐστι καὶ τὰ αἴτια τῶν ἀρετῶν, καὶ τὰ παρεπόμενα ταῖς ἀρεταῖς, καὶ τὰ γινόμενα ὑπ' αὐτῶν, καὶ τὰ ἔργα αὐτῶν. ψεκτὰ δὲ τὰ ἐναντία. τριμεροῦς δὲ τῆς ψυχῆς λαμβανομένης κατὰ Πλάτωνα, τοῦ μὲν λογιστικοῦ ἀρετή ἐστι, φρόνησις. τοῦ δὲ θυμοειδοῦς, ἥ τε πραότης καὶ ἡ ἀνδρεία. τοῦ δὲ ἐπιθυμητικοῦ, ἥ τε σωφροσύνη καὶ ἡ ἐγκράτεια. ὅλης δὲ τῆς ψυχῆς, ἥ τε δικαιοσύνη, καὶ ἡ ἐλευθεριότης, καὶ μεγαλοψυχία. κακία δὲ τοῦ μὲν λογιστικοῦ, ἡ ἀφροσύνη. τοῦ δὲ θυμοειδοῦς, ἥ τε ὀργιλότης, καὶ ἡ δειλία. τοῦ δὲ, ἐπιθυμητικοῦ, ἥ τε ἀκολασία καὶ ἡ ἀκρασία. ὅλης δὲ τῆς ψυχῆς, ἥ τε ἀδικία, καὶ ἡ ἀνελευθερία καὶ ἡ μικροψυχία. Ἔστι δὲ φρόνησις μὲν ἀρετὴ τοῦ λογιστικοῦ παρασκευαστικὴ τῶν * πρὸς εὐδαιμονίαν † τεινόντων. Πραότης δ' ἐστὶν ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν ὑπὸ ὀργῆς γίνονται δυσκίνητοι. Ἀνδρεία δέ ἐστιν ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν δυσέκπληκτοί εἰσιν ὑπὸ φόβων τῶν περὶ θάνατον. Σωφροσύνη δέ ἐστιν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ἀνόρεκτοι γίνονται τῶν περὶ τὰς ἀπολαύσεις φαύλων ἡδονῶν. Ἐγκράτεια δέ ἐστιν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν κατέχουσι τῷ † λογισμῷ τὰς ἐπιθυμίας ὁρμώσας ἐπὶ τὰς φαύλας ἡδονάς. Δικαιοσύνη δέ ἐστιν, ἀρετὴ ψυχῆς διανεμητικὴ τῶν κατ' ἀξίαν. Ἐλευθεριότης δέ ἐστιν, ἀρετὴ τῆς ψυχῆς εὐδάπανος εἰς τὰ καλά. Μεγαλοψυχία δέ ἐστιν, ἀρετὴ ψυχῆς, καθ' ἣν δύναται φέρειν εὐτυχίαν, ἢ δυστυχίαν, καὶ τιμὴν καὶ ἀτιμίαν. Ἀφροσύνη δέ ἐστι, κακία τοῦ λογιστικοῦ, αἰτία τοῦ ζῆν κακῶς. Ὀργιλότης δέ ἐστι, κακία τοῦ θυμοειδοῦς, καθ' ἣν εὐκίνητοι γίνονται πρὸς ὀργήν. Δειλία δὲ κακία τοῦ θυμοειδοῦς, καθ' ἣν ἐκπλήττονται ὑπὸ φόβων, † τῶν περὶ θάνατον. Ἀκολασία δέ ἐστι, κακία τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ὀρεκτικοὶ γίνονται, τῶν περὶ τὰς ἀπολαύσεις φαύλων ἡδονῶν. Ἀκρασία δέ ἐστι, κακία τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν αἱροῦνται τὰς φαύλας ἡδονὰς, μὴ κωλύοντος τοῦ λόγου. Ἀδικία δέ ἐστι κακία ψυχῆς, καθ' ἣν πλεονεκτικοὶ γίνονται παρὰ τὴν ἀξίαν. Ἀνελευθερία δέ ἐστι, κακία ψυχῆς, καθ' ἣν ὀρεκτικοὶ γίνονται κέρδους αἰσχροῦ. Μικροψυχία δέ ἐστι, κακία ψυχῆς, καθ' ἣν ἀδύνατοί εἰσι φέρειν καὶ εὐτυχίαν, καὶ ἀτυχίαν, καὶ τιμὴν καὶ ἀτιμίαν. Ἔργα δὲ τῆς φρονήσεώς ἐστι, τὸ εὖ βουλεύεσθαι, τὸ κρῖναι τὰ ἀγαθὰ, καὶ τὰ κακὰ, καὶ πάντα τὰ ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτά. τὸ χρῆσθαι καλῶς πᾶσι τοῖς ὑπάρχουσιν ἀγαθοῖς. τὸ ὁμιλῆσαι ὀρθῶς. τὸ συνιδεῖν τοὺς καιρούς. τὸ ἀγχινόως χρῆσθαι καὶ λόγῳ καὶ ἔργῳ. τὸ ἐμπειρίαν ἔχειν τῶν χρησίμων πάντων. μνήμη δὲ, καὶ ἐμπειρία, καὶ ἀγχίνοια καὶ δεξιότης, καὶ εὐβουλία, ἤτοι ἀπὸ φρονήσεως ἑκάστη αὐτῶν ἐστιν, ἢ παρέπεται τῇ φρονήσει. καὶ τὰ μὲν αὐτῶν, οἷον συναίτια τῆς φρονήσεως: καθάπερ ἡ ἐμπειρία, καὶ ἡ μνήμη: τὰ δὲ, οἷον μέρη: οἷον εὐβουλία τε, καὶ ἀγχίνοια. Πραότητος δέ ἐστι, τὸ φέρειν μετρίως ἐγκλήματα, καὶ ὀλιγωρίας † μετρίας. καὶ τὸ μὴ ταχέως ὁρμᾶν ἐπὶ τὰς τιμωρίας, καὶ δυσκίνητον εἶναι πρὸς τὰς ὀργὰς, ἄπικρον δὲ τῷ ἤθει καὶ ἀφιλόνεικον ἔχοντα τὸ ἠρεμαῖον ἐν τῇ ψυχῇ, καὶ στάσιμον. Ἀνδρείας δέ ἐστι, τὸ δυσέκπληκτον εἶναι ὑπὸ φόβων τῶν πρὸς τὸν θάνατον. καὶ τὸ εὐθαρσῆ εἶναι, † καὶ εὔτολμον πρὸς τοὺς κινδύνους. καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς, ἢ αἰσχρῶς διασωθῆναι, καὶ τὸ νίκης αἴτιον εἶναι. Ἔστι δὲ ἀνδρείας, καὶ τὸ πονεῖν καὶ τὸ καρτερεῖν, καὶ αἱρεῖσθαι ἀνδραγαθίζεσθαι. παρέπεται δὲ τῇ ἀνδρείᾳ

aliâs. πρὸς.

† al. συντεινόντ.

aliâs. τοῦ λογισμοῦ.

al. additur καὶ μάλιστα.

aliâs nō legitur.

aliâs additur ἐν τοῖς δεινοῖς.

Apparet. Quicquid igitur inueniemus pulchrum esse, idem quoq; bonum existere hac ratione reperiemus. Necesse est. Bona autem conferũt, nec ne? Conferunt. Meministi quid suprà de iustis confessi simus? Reor iusta agentes necessarium esse pulchra facere. Pulchra uero agentes nónne etiã bona? Ita. Et bona prodesse. Penitus. Iusta igitur ô Alcibiades utilia sunt. Videtur.

IOANNIS STOBAEI COLLECTANEORVM apophthegmatum, sententiarum,

DE VIRTVTE ET VITIO SERMO IIII.

PVlchra laudare, turpia uituperare par est. Sed inter pulchra uirtutes, inter turpia primatũ tenent uitia. Laudandæ uero sunt & causæ, comites, fructus, & opera uirtutum: contraria reprehendi merentur. Cum autem animæ partes iuxta Platonẽ tres sint, rationalis partis uirtus est prudentia: animosæ, mansuetudo ac fortitudo: concupiscentis, sobrietas & continentia: totius autem animæ, iustitia, liberalitas, & magnanimitas. Vitium autem est rationalis, imprudentia: animosæ, iracundia ignauiaq;: cupidæ, intemperantia & incontinentia: totius animæ, iniustitia, illiberalitas, animiq; paruitas. *Aristotelis. virtutum & uitiorum diuisio.*

Prudentia uirtus est rationalis partis ad fœlicitatem spectantia præparans.

Mansuetudo uirtus est animosæ partis, qua præditi ægrè mouentur ad iram.

Fortitudo uirtus est animosæ, per quam non facile mortis metus ingruit.

Sobrietas uirtus est appetentis, per quã prauæ uoluptates ne appetũtur quidem.

Continentia partem cupidam in malas uoluptates ruentem refrenat.

Iustitia uirtus est animi, qua tribuitur, quod cuiq; par est.

Liberalitas uirtus est animi, honestorum sumptuum ministra.

Magnanimitas uirtus est, per quã utraq; fortuna, honorq; et ignominia ferũtur.

Stultitia rationis est uitium, malè uiuendi causa.

Iracundia uitiũ est animosæ ad iram præcipitans.

Ignauia uitium est animosæ, quo consternantur periculis, præsertim mortis.

Intemperantia uitium est cupidæ, prauas uoluptates amplectens.

Incontinentia uitium est appetentis, qua malæ uoluptates usurpantur, ratione non prohibente.

Iniustitia uitium est animi, quo amplius quàm par sit sibi sumunt.

Auaritia uitium est animi, quo turpe lucrum sectantur.

Pusillanimitas est animi uitium, per quod neutram fortunam, nec honorem, nec ignomiam ferre possunt.

Prudentiæ autem est, consilium agitare, discernere bona & mala, & omnia quæ sunt in uita sequenda & fugienda, honestè uti omnibus bonis, cum aliis rectè uersari, prospicere occasiones, solerter uerbis & rebus uti, experientiam habere utilium omnium. Memoria autem, peritia, & solertia, uel manant à prudentia, uel prudentiæ sunt assectæ, aut partim prudentiæ adminicula, ut experientia & memoria: partim tanquam prudentiæ partes, ut consilium & solertia.

Mansuetudinis autem est, posse ferre moderatè obiecta crimina, & contemptus, nec celeriter rapi in ultiones, nec esse de facili mobilem ad iras, esse autem moribus comem & mitem, & ingenio esse quieto & stabili.

Fortitudinis uero est, inconcussum à mortis metibus, & constantem in malis & intrepidum ad pericula esse, & malle honestè mori, quàm turpiter seruari, & uictoriæ causam præstare. Præterea autem fortitudinis est, & laborare, & in animo instituere, & posse. Accedit autem fortitudini &

ἀνδρεία, ἡ εὐτολμία καὶ ἡ εὐψυχία, καὶ τὸ θάρσος, †ἔτι τε *μεγαλοψυχία, καὶ ἡ καρτερία. Σωφροσύνης δέ ἐστι, τὸ μὴ θαυμάζειν τὰς ἀπολαύσεις τῶν σωματικῶν ἡδονῶν. τὸ εἶναι πάσης ἀπολαύσεως αἰσχρᾶς ἡδονῆς ἀνόρεκτον. καὶ τὸ φοβεῖσθαι τὴν †ἀταξίαν. καὶ τὸ τετάχθαι περὶ τὸν βίον ὁμοίως ἐν μικροῖς καὶ μεγάλοις. παρέπεται δὲ τῇ σωφροσύνῃ, εὐταξία, κοσμιότης, αἰδώς, εὐλάβεια. Ἐγκρατείας δέ ἐστι τὸ δύνασθαι κατασχεῖν τῷ λογισμῷ τὴν ἐπιθυμίαν, ὁρμῶσαν ἐπὶ φαύλας ἀπολαύσεις ἡδονῶν. καὶ τὸ καρτερεῖν, καὶ τὸ ὑπομονητικὸν εἶναι τῆς κατὰ †φύσιν ἐνδείας τε καὶ λύπης. Δικαιοσύνης δέ ἐστι, τὸ διανεμητικὸν εἶναι τοῦ κατ' ἀξίαν, τὸ σώζειν τὰ πάτρια ἔθη, καὶ τὰ νόμιμα. τὸ σώζειν τοὺς γεγραμμένους νόμους. τὸ ἀληθεύειν ἐν τῷ διαφέροντι. τὸ διαφυλάττειν τὰς ὁμολογίας. Ἔστι δὲ πρῶτα τῶν δικαίων, τὰ πρὸς δαίμονας. εἶτα πρὸς τοὺς θεούς. εἶτα πρὸς πατρίδα καὶ γονεῖς. εἶτα πρὸς τοὺς κατοιχομένους: ἐν οἷς ἐστι καὶ εὐσέβεια, ἤτοι μέρος οὖσα τῆς δικαιοσύνης, ἢ παρακολουθοῦσα. ἀκολουθεῖ δὲ τῇ δικαιοσύνῃ, καὶ ἡ ὁσιότης, καὶ ἡ ἀλήθεια, καὶ ἡ πίστις, καὶ μισοπονηρία. Ἐλευθεριότητος δέ ἐστι, τὸ προετικὸν εἶναι χρημάτων εἰς τὰ ἐπαινετά, καὶ τὸ ἐπιδαψιλεύειν ἐπὶ τῷ εἰς δέοντα ἀναλωθῆναι, καὶ τὸ βοηθητικὸν εἶναι ἐν τῷ διαφόρῳ, καὶ τὸ φιλάνθρωπον. καὶ τὸ μὴ λαβεῖν ὅθεν μὴ δεῖ. καὶ ὅθεν δεῖ λαβεῖν. Ἔστι δὲ ὁ ἐλευθέριος, καὶ περὶ ἐσθῆτα καθάριος, καὶ περὶ οἴκησιν, κατασκευαστικός τε ὢν τῶν περιττῶν καὶ καλῶν, καὶ διαγωγὴν ἐχόντων ἡδεῖαν ἄνευ τοῦ λυσιτελοῦντος: καὶ θρεπτικὸς τῶν ζώων, τῶν ἴδιόν τι ἐχόντων, ἢ θαυμαστόν. Ἀκολουθεῖ δὲ τῇ ἐλευθεριότητι, ἡ τοῦ ἤθους ὑγρότης, καὶ εὐαγωγία, καὶ φιλανθρωπία, καὶ τὸ εἶναι ἐλεητικόν, καὶ φιλόφιλον, καὶ φιλόξενον, καὶ φιλόκαλον. Μεγαλοψυχία δέ ἐστι. τὸ καλῶς ἐνεγκεῖν καὶ εὐψύχως, καὶ ἀτυχίαν, καὶ εὐτυχίαν, καὶ τιμήν, καὶ ἀτιμίαν, καὶ τὸ μὴ θαυμάζειν, μήτε τρυφήν, μήτε θεραπείαν, μήτε ἐξουσίαν, μήτε τὰς νίκας τὰς ἐναγωνίους. ἔχειν δέ τι βάθος τῆς ψυχῆς καὶ μέγεθος. Ἔστι δὲ ὁ μεγαλόψυχος, οὐδὲ τὸ ζῆν περὶ πολλοῦ ποιούμενος, οὐδὲ φιλόζωος, ἁπλοῦς δὲ τῷ ἤθει καὶ γενναῖος, καὶ ἀδικεῖσθαι δυνάμενος, καὶ οὐ τιμωρητικός. Ἀκολουθεῖ δὲ τῇ μεγαλοψυχίᾳ, ἁπλότης, καὶ γενναιότης, καὶ ἀλήθεια. Ἀφροσύνης δέ ἐστι, τὸ κρίνειν κακῶς τὰ πράγματα. τὸ βουλεύεσθαι κακῶς. τὸ ὁμιλῆσαι κακῶς. τὸ χρῆσθαι κακῶς τοῖς δὲ παροῦσιν ἀγαθοῖς. τὸ ψευδῶς δοξάζειν περὶ τῶν εἰς τὸν βίον ἀγαθῶν καὶ καλῶν. Παρακολουθεῖ δὲ τῇ ἀφροσύνῃ, ἀπειρία, ἀμαθία, ἀκρασία, ἐπαριστερότης, ἀμνημοσύνη. Ὀργιλότητος δέ ἐστιν εἴδη τρία. ἀκροχολία, πικρία, *βαρυθυμία. Ἔστι τοῦ ὀργίλου, τὸ μὴ δύνασθαι φέρειν, μήτε τὰς μικρὰς ὀλιγωρίας, μήτε τὰς ἐλαττώσεις, εἶναι δὲ κολαστικόν, καὶ †ἄγριον, καὶ εὐκίνητον πρὸς ὀργήν, καὶ ὑπὸ λόγου καὶ ἔργου τοῦ τυχόντος. Ἀκολουθεῖ δὲ τῇ ὀργιλότητι, τὸ πάροξυ τοῦ ἤθους, καὶ εὐμετάβολον, καὶ ἡ *πικρολογία, καὶ ἡ μεταμέλεια, καὶ τὸ λυπεῖσθαι, καὶ †ἥδεσθαι: καὶ ταῦτα πάσχειν ταχέως, καὶ παρὰ βραχὺν καιρόν. Δειλίας δέ ἐστι, τὸ ὑπὸ τῶν τυχόντων φόβων εὐκίνητον εἶναι, καὶ μάλιστα τῶν περὶ θάνατον, καὶ τὰς σωματικὰς πηρώσεις. καὶ τὸ ὑπολαβεῖν κρεῖττον εἶναι ὁπωσοῦν σωθῆναι ἢ τελευτῆσαι καλῶς. Ἀκολουθεῖ δὲ τῇ δειλίᾳ, μαλακία, ἀνανδρία, φιλοψυχία, καὶ ἀπονία. ὑπάρχει δέ τις καὶ εὐλάβεια, καὶ τὸ ἀφιλόνεικον τοῦ ἤθους. Ἀκολασίας δέ ἐστι, τὸ αἱρεῖσθαι τὰς ἀπολαύσεις τῶν ἡδονῶν, τῶν βλαβερῶν καὶ αἰσχρῶν, καὶ ὑπολαμβάνειν εὐδαιμονεῖν μάλιστα τοὺς ἐν ταῖς τοιαύταις ἡδοναῖς ζῶντας. καὶ φιλόγελων εἶναι, καὶ φιλόσκωπτον, καὶ φιλευτράπελον, καὶ ῥᾳδιουργὸν εἶναι ἐν τοῖς λόγοις, καὶ ἐν τοῖς ἔργοις. Ἀκολουθεῖ δὲ τῇ ἀκολασίᾳ, ἀταξία, ἀναίδεια, ἀκοσμία, τρυφή, ῥαθυμία, ἀμέλεια, ὀλιγωρία, ἔκλυσις. Ἀκρασίας δέ ἐστι τὸ κωλύοντος τοῦ λογισμοῦ τὰς ἀπολαύσεις τῶν ἡδονῶν, καὶ ὑπολαμβάνοντα κρεῖττον εἶναι μὴ μετέχειν μὲν αὐτῶν, μετέχειν δὲ μηδὲν ἧττον, καὶ τὸ οἴεσθαι μὲν δεῖν πράττειν καὶ τὰ καλά, καὶ τὰ συμφέροντα, ἀφίστασθαι δὲ αὐτῶν διὰ τὰς ἡδονάς. Ἀκολουθεῖ δὲ τῇ ἀκρασίᾳ, μαλακία, μεταμέλεια, καὶ τὰ πλεῖστα τὰ αὐτά, ἃ καὶ τῇ ἀκολασίᾳ. Ἀδικίας δέ ἐστιν εἴδη τρία, ἀσέβεια, πλεονεξία, ὕβρις. ἀσέβεια μέν, ἡ περὶ θεοὺς πλημμέλεια, καὶ περὶ δαίμονας, καὶ τοὺς κατοιχομένους, καὶ περὶ γονεῖς, καὶ πατρίδα. Πλεονεξία δέ, ἡ περὶ τὰ συμβόλαια παρὰ τὴν ἀξίαν αἱρουμένη τὸ διάφορον. Ὕβρις δέ, καθ' ἣν τὰς ἡδονὰς αὑτοῖς παρασκευάζουσιν, εἰς ὄνειδος ἄγοντες ἑτέρους. ὅθεν καὶ Εὔηνος περὶ αὐτῆς λέγει. ἥτις κερδαίνουσα οὐδέν, ὅμως ἀδικεῖ. Ἔστι δὲ ἀδικίας, τὸ παραβαίνειν τὰ πάτρια ἔθη, καὶ τὰ νόμιμα. τὸ ἀπειθεῖν τοῖς νόμοις, καὶ τοῖς ἄρχουσι. τὸ ψεύδεσθαι. τὸ ἐπιορκεῖν. τὸ παραβαίνειν τὰς ὁμιλίας, καὶ τὰς πίστεις. Ἀκολουθεῖ δὲ τῇ ἀδικίᾳ, συκοφαντία, ἀλαζονεία.

al. additur, καὶ τὸ θράσος.
* al. φιλοπονία.
† al. καὶ τὴν δικαίαν ἄδειαν.
al. φύσεως.
* ῥαθυμία.
† al. τιμωρητικόν.
* al. μικρολο.
† al. additur ἐπὶ μικροῖς.

audacia,& animi præstãtia,& fiducia,& confidentia:ad hæc,industria et tolerantia.

Temperantiæ autem est, nihil mirari corporis uoluptates,& cuiusuis fœdæ uolu ptatis & delectationis minimè appetentem esse,& timere etiam iustam licentiam,& intentum esse in uitæ rationem similiter in paruis & magnis. Affectatur autem tem perantiam,ordo,moderatio,pudor, reuerentia.

Continentiæ autem est, posse cohibere ratione cupiditatem, ferentem ad malas delectationes & uoluptates, & pati,& tolerare pro natura indigẽtiæ & ægritudinis.

Iustitiæ est,distributiuũ esse eius q̃d est secundũ cuiusq; dignitatẽ, & tueri patrias cõsuetudines & instituta:& seruare scriptas leges,& ueridicũ esse in cõtrouersĳs, & stare cõuentionibus.Est aũt prima iustitiarũ,aduersus deos:proxima in dæmonas: deinde,in patriã & parẽtes:deinde erga defũctos:in quib.est pietas,uel pars iustitiæ, uel eius comes.Sectatur aũt iustitiã & sanctitas,& ueritas,& fides & uitiorũ odium.

Liberalitatis autẽ est erogare pecunias in laudabilia,& largitio ad honestos sum-ptus faciendos, & præsto esse ad auxilium in aduersa fortuna, & non accipere unde non oportet.Est aũt liberalis,& circa indumenta nitidus,& circa habitationem: est & instructor permagnarũ rerum,et elegantium:& oblectationem habentium, nulla commodi ducta ratione: est & altor animalium,mirum quid aut suaue habentium. Comitatur aũt liberalitatem morum facilitas,& comitas,& humanitas:& esse mise-ricordem,& erga amicos beneuolum,& hospitalem,& honesti studiosum.

Magnanimitatis est,pulchrè ferre et felicitatẽ & infelicitatẽ,& honorẽ & ignomi-niã, & nõ admirari neq; delitias,neq; cliẽtelas,neq; potestates,neq; uictorias gymni cas,habere aũt quandã animi altitudinẽ,& magnitudinẽ.Est aũt magnanimus,neq; uitam magnifaciens,neq; uitæ amans:simplex porrò moribus,& generosus,iniuria potens lacessiri, & nõ uindex.Sequitur aũt magnanimitatem,simplicitas & ueritas.

Imprudentię aũt est,iudicare peruerse de rebus,deliberare perperam,uti nequire præsentib. bonis,in falsam adduci opinionẽ de ĳs quæ ad uitam sunt bona, & hone sta.Sectatur autem imprudentiam,inscitia,incontinentia,ru sticitas,obliuio.

Iracundiæ autem sunt species tres,excandescentia,sæuitia & uerecundia. Est autẽ iracundi non posse ferre fœdas contemptiones,neq; imminutiones: esse autem pla-gosum,& uindictæ cupidum,& de facili ad iram facto uerbóue quouis moueri. Affe ctatur autem iracundiam morositas, & inconstantia, & sordida illiberalitas, & de paruis angi,& ab ĳsdem derepentè affici,& per breue tempus.

Ignauiæ autem est quouis metu facile percelli,& mortis maximè,et noxarum cor poris: & arbitrari præstabilius esse quomodocunq; seruari, quàm pulchre mortem obire.Comitatur autem ignauiã mollities,effœminatio,torpor,uitę studium. Sub-est etiam quædam timiditas,& contentionis detrectatio.

Intemperantiæ autem est,sequi delectationes uoluptatũ noxiarum et turpiũ,et ar bitrari maxime felices eos esse,qui in huiusmodi uoluptatibus uersantur,et facetum esse,& dicacẽ,& urbanũ,& uersutũ,tam in uerbis quàm rebus.Sectatur aũt intempe rantiã,ordinis perturbatio,impudentia,cõfusio,incuria,negligentia,dissolutio.

Incontinentiæ autem est,prohibente ratione, delectationes uoluptatum sectari, & ducere præstabilius esse, nõ frui ipsis, frui autem nihilominus: & opinari qui-dem oportere facere & pulchra & conferentia, abhorrere tamen ab ipsis propter uoluptates.Est autem comes incontinentiæ,mollities, & pœnitentia, & plura eius-modi, quæ intemperantiam comitantur.

Iniustitiæ sũt species tres:impietas, auaritia,immanior improbitas: Impietas qui dem est aduersus deos, & dæmones,& circa defunctos,& circa parẽtes, & circa pa-triã: Auaritia aũt circa cõmercia,præter dignitatẽ eligens,præcipuũ: Immanior autẽ improbitas est,per quã uoluptates sibi cõparant,ludibrio alios habentes:unde Eue nes de ea dicit,Quæ lucrũ captans nil,tamẽ ipsa nocet.Est aũt iniustitię,patria uiola re & instituta & iura,nec parere legibus,nec magistratibus,mentiri,peierare,trans-gredi cõuentiones, & fidem fallere. Comitem autem iniustitiæ se addit calumnia,

al. φιλανθρωπία προσποίησις. νεία. * ἀφιλανθρωπία, προσποίησις, κακοήθεια, πανουργία. Ἀνελευθερίας δέ ἐστιν εἴδη τρία: αἰσχροκέρδεια, φειδωλία, κιμβικία. Ἔστι δὲ αἰσχροκέρδεια μὲν, καθ' ἣν κερδαίνειν ζητοῦσι πανταχόθεν, καὶ τὸ κέρδος αἰσχύνης περὶ πλείονος ποιοῦνται. Φειδωλία δὲ, καθ' ἣν ἀδαπάνοι γίνονται τῶν χρημάτων εἰς τὸ δέον. al. κιμβεία. *Κιμβικία δέ ἐστι, καθ' ἣν δαπανῶσι μὲν, κατὰ μικρὸν δὲ, καὶ κακῶς, καὶ πλείω βλάπτονται, τῷ μὴ κατὰ καιρὸν ποιεῖσθαι τὸ διάφορον. Ἔστι δὲ τῆς ἀνελευθερίας, τὸ περὶ πλείστου ποιεῖσθαι χρήματα. καὶ τὸ μηδὲν ὄνειδος ἡγεῖσθαι τῶν ποιούντων κέρδος. καὶ βίος θητικὸς, καὶ δουλοπρεπὴς, καὶ ῥυπαρὸς, καὶ φιλοτιμίας, καὶ ἐλευθερίας ἀλλότριος. Ἀκολουθεῖ δὲ τῇ ἀνελευθερία, μικρολογία, βαρυθυμία, μικροψυχία, ταπεινότης, ἀμετρία, ἀγέννεια, μισανθρωπία. Μικροψυχίας δέ ἐστι, τὸ μήτε τιμὴν, μήτε ἀτιμίαν, μήτε εὐτυχίαν, μήτε ἀτυχίαν δύνασθαι φέρειν: ἀλλὰ τιμώμενον μὲν, ἀναχαυνοῦσθαι, καὶ μικρὰ εὐτυ-*al. ἄτιμον καὶ ἀτυχίαν. χήσαντα ὑπεξαίρεσθαι. ἀτιμίαν δὲ μηδὲ τὴν ἐλαχίστην ἐνεγκεῖν δύνασθαι. ἀποτεύγμα δὲ ὁ * τιοῦν, ἀτυχίαν κρίνειν μεγάλην. ὀδύρεσθαι δὲ ἐπὶ πᾶσι, καὶ δυσφορεῖν. Ἔτι δὲ καὶ τοιοῦτός ἐστιν *al. non legitur ὁ μικρόψυχος, οἷος πάντα τὰ ὀλιγωρήματα καλεῖ ὕβριν καὶ ἀτιμίαν, καὶ τὰ δι' ἄγνοιαν, ἢ λήθην, ἢ *ἄνοιαν γινόμενα. Ἀκολουθεῖ δὲ τῇ μικροψυχία, μικρολογία, μεμψιμοιρία, δυσελπιστία, al. ἐμμελείαις. ταπεινότης. Καθόλου δὲ τῆς μὲν ἀρετῆς ἐστι, τὸ ποιεῖν σπουδαίαν τὴν διάθεσιν περὶ τὴν ψυχὴν *εὐθείαις καὶ τεταγμέναις κινήσεσι χρωμένην, καὶ συμφωνοῦσαν κατὰ πάντα μέρη. διὸ καὶ δοκεῖ παράδειγμα πολιτείας ἀγαθῆς εἶναι, σπουδαίας ψυχῆς διάθεσις. Ἔστι δὲ τῆς ἀρετῆς, τὸ εὐ-*al. ἵλαον. εργετεῖν τοὺς ἀξίους καὶ τὸ φιλεῖν τοὺς ἀγαθοὺς. καὶ τὸ μισεῖν τοὺς κακοὺς. καὶ τὸ μήτε κο-†al. συγγνωμονικόν. λαστικὸν εἶναι, μήτε τιμωρητικόν. ἀλλὰ † πρᾶον, καὶ εὐμενικὸν, καὶ *εὐγνωμονικόν. Ἀκολουθεῖ δὲ τῇ ἀρετῇ χρηστότης, ἐπιείκεια, εὐγνωμοσύνη, ἐλπὶς ἀγαθή. Ἔτι δὲ καὶ τὰ τοιαῦτα. φιλοοίκειον εἶναι καὶ φιλόφιλον, καὶ φιλέταιρον, καὶ φιλόξενον, καὶ φιλάνθρωπον, καὶ φιλόκαλον, ἃ δὴ πάντα τῶν ἐπαινουμένων ἐστί: τῆς δὲ κακίας εἰσὶν ὑπεναντία, καὶ παρακολουθεῖ τὰ ἐναντία αὐτῇ, πάντα δὲ τὰ τῆς κακίας, καὶ τὰ ἀκολουθοῦντα αὐτῇ, τῶν εἰρημένων εἰσί.

Πλάτωνος ἐκ νόμων ε'. Φιλονεικείτω δὲ ἡμῖν πᾶς ἐς τὴν ἀρετὴν *φθόνος. ὁ μὲν γὰρ τοιοῦτος, τὰς πόλεις αὔξει. ἁμιλλώμενος μὲν αὐτὸς, τοὺς ἄλλους δὲ οὐ κολούων διαβολαῖς. ὁ δὲ φθονερὸς, τῇ τῶν ἄλλων διαβο-al. ἀφθόνως λῇ, δεῖν οἰόμενος ὑπερέχειν, αὐτός τε ἧττον συντείνει εἰς ἀρετὴν τὴν ἀληθῆ, τούς τε ἀνθαμιλλωμένους εἰς ἀθυμίαν καθίστησι, τῷ ἀδίκως ψέγεσθαι. καὶ διὰ ταῦτα ἀγύμναστον τὴν πόλιν ὅλην εἰς ἅμιλλαν ἀρετῆς ποιῶν, σμικροτέραν αὐτὴν πρὸς εὐδοξίαν, τὸ ἑαυτοῦ μέρος ἀπεργάζεται. Θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι, πρᾶον δὲ ὅτι μάλιστα. τὰ γὰρ τῶν ἄλλων χαλεπὰ καὶ δυσίατα ἢ καὶ τοπαράπαν ἀνίατα ἀδικήματα, οὐκ ἔστιν ἄλλως ἐκφυγεῖν, ἢ μαχόμενον, καὶ ἀμυνόμενον νικῶντα, καὶ τῷ μηδὲν ἀνιέναι κολάζοντα. τοῦτο δὲ ἄνευ θυμοῦ γενναίου ψυχὴ πᾶσα ἀδύνατος δρᾶν. τὰ δ' αὐτῶν, ὅσοι ἀδικοῦσι μὲν, ἰατὰ δὲ, γινώσκειν χρή. Πρῶτον μὲν ὅτι πᾶς ὁ ἄδικος, οὐχ ἑκὼν, ἄδικος. τῶν γὰρ μεγίστων κακῶν, οὐδεὶς οὐδαμοῦ οὐδὲν ἑκὼν κέκτητο ἄν ποτε, πολὺ δὲ ἥκιστα ἐν τοῖς αὐτοῦ τιμιωτάτοις. Ψυχὴ δ' ὡς εἴπομεν, ἀληθείᾳ γ' ἐστὶ πᾶσι τιμιώτατον. ἐν οὖν τῷ τιμιωτάτῳ τὸ μέγιστον κακὸν, οὐδεὶς ἑκὼν μή ποτε λάβῃ, καὶ ζῇ διὰ βίου κεκτημένος αὐτό. Ἀλλὰ ἐλεεινὸς μὲν πάντως ὅγε ἄδικος, καὶ ὁ κακὰ ἔχων. ἐλεεῖν δὲ, τὸν μὲν ἰάσιμα ἔχοντα, ἐγχωρεῖ, καὶ ἀνείργοντα τὸν θυμὸν πραΰνειν, καὶ μὴ ἀκροχολοῦντα γυναικείως πικραινόμενον διατελεῖν. τῷ δὲ ἀκράτως καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ, ἐφιέναι δεῖ τὴν ὀργήν. διὸ δὴ θυμοειδῆ πρέπειν, καὶ πρᾶον ἑκάστοτε φαμὲν εἶναι δεῖν τὸν ἀγαθόν. Πάντων δὲ μέγιστον κακὸν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστιν, οὗ πᾶς αὑτῷ συγγνώμην ἔχων, ἀποφυγὴν οὐδεμίαν μηχανᾶται. τοῦτο δ' ἐστὶν ὃ λέγουσιν, ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι, καὶ ὀρθῶς ἔχει, τὸ δεῖν εἶναι τοιοῦτον. τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων, διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν, αἴτιον ἑκάστῳ γίνεται ἑκάστοτε. Τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν. ὥστε τὰ δίκαια, καὶ τὰ ἀγαθὰ καὶ τὰ καλὰ, κακῶς κρίνει, τὸ αὑτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος. Οὔτε γὰρ ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον, στέργειν. ἀλλὰ τὰ δίκαια, ἐάν τε παρ' αὑτῷ, ἐάν τε παρ' ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ.

iactantia, humanitatis assimulatio, malignitas, calliditas.

Auaritiæ autem species sunt tres: turpis quæstus, tenacitas, illiberalitas. Turpis quæstus quidem, per quem ditescere quærunt undecunque, & lucrum, quàm pudorē pluris faciunt: Tenacitas autē, per quam sumptui parcunt, & impensę in re honesta. Illiberalitas autē est, per quam expendunt quidē, minutatim autem et malè, & plus iacturæ facientes, nullo scilicet habito temporis delectu. Est aūt auaritiæ, plurimi facere pecunias, nec id probrū putare quod quęstuosum sit, uita mercenaria, & seruilis, & sordida, à munificentia & liberalitate aliena. Consequūntur autē illiberalitatē, sordes, ægrimonia, pusillanimitas, humilitas, immodestia, ignobilitas, hominū odium.

Pusillanimitatis est, neque honorem, neque ignominiā, neque felicitatē, neque infelicitatē, neque infortunia posse ferre, sed honoratū quidē tumescere, et leui successu prospero auctū efferri & subsultare, ignominiā autem ne minimā quidē ferre posse, & aberrationē quāuis, infortunium non diiudicare magnum: conqueri uero de omnibus, & ægro animo ferre: præterea autem talis est pusillanimus, ut omnes neglectus, cōtumeliam uocet & ignominiā, etiam per imprudentiam, uel obliuionem admissos. Comitantur autem pusillanimitatē sordes, querimonia, diffidentia, humilitas.

In uniuersum uirtutis quidem est, facere studiosum & probum affectum in animo, quietis & constitutis motibus utentē omnibus ex partibus consonantem: quapropter uidet similis bene institutæ reipububliсæ animi honestus affectus. Est porrò uirtutis, & beneficiis dignos afficere, & diligere bonos, & neque ad sumendas pœnas, neque ad uindictam, ardenti esse animo, sed clementi, placido, & misericordi. Assecla est autem uirtutis, benignitas, æquitas, animi candor, spes bona, & quæ eiusdē sunt generis, ueluti familiariū studiosum & amicorū esse, sociabilem, hospitalē, humanū, elegantē se exhibere, quæ utique omnia laudabiliū sunt: uitii autem, contraria.

Certet præterea apud nos quisque de uirtute absque inuidia. Qui enim sic agit, ciuitatem suā amplificat, cum & ipse cōtendat, et alios calumniis non detineat. Inuidus uero dum cæteris derogando putat præstare, tū ipse minus rectè ad ueram tendit uirtutem, & concertatores iniusta uituperatione tardiores efficit: ideoque uehemens acquirendæ uirtutis studiū è ciuitate tollens, ipsā pro sua parte gloriæ amplitudine priuat. Oportet prętерea unumquenque animosum esse, ac maximè mitem. Nam aliorū iniurias, quæ uel difficile, uel nullo pacto sanari possunt, non possumus aliter effugere, quàm pugna, defensione, uictoria, & nullius peccati remissione, quod absque animositate facere nemo potest. In iis aūt iniuriis, quæ tales sunt ut sanari possint, nosse in primis oportet, nullū iniustū, spōte iniustū esse. Nemo enim unquam maximorū malorū aliquid alicubi uellet habere, multoque minus in his, quę sibi præstantissima sunt. Est aūt animus, ut diximus, reuera in omnib. omniū pręstantissimus. Quapropter in eo, cū maximè sit honorandus, nemo sponte summū accipiet malū, uoletque per totā uitā id possidere. Porrò miserabilis omnino est iniustus omnis & qui mali quicquam habet. Misereri aūt decet eorū, qui sanabiles sūt, & cohibere irā, ne aduersus eos muliebri iracundię feruore animus efferat, duriusque insistat. Qui aūt ita sūt flagitiosi, ut incurabiles sint, eis ira uehementius immittenda. Propterea diximus animosū, id est generosæ iracundię nō expertē, ac simul mitē, bonū uirū semper esse debere. Omniū uero maximū quiddā malū in multorū hominū animis est innatū: cuius quidē, cū facile sibi oēs ignoscāt, remediū nullū excogitāt. Est aūt hoc quod dicere solēt, quod natura sibi quisque amicus est, rectèque est, ita id se habere. Sed reuera nimius in seipsū amor omniū peccatorū omnibus semper est causa. Occæcat quippe circa amatū, quod amat. Quapropter qui se amat, cū seipsū magis quàm ueritatē honorādū putet, quod iustū, bonū, pulchrū sit, male iudicat. Decet sanè eū, qui magnus uir futurus est, neque seipsū, neque sua diligere, sed iusta semper, siue à se ipso, seu ab alio quis gerantur. Ex hoc ipso delicto accidit omnib. ut ignorantiā suā esse sapientiā opinent. Hinc fit, ut quāuis nihil ut ita dicā sciamus, scire tamē omnia arbitremur. Cum uero nec aliis cōmittamus facultatē agendi, quę ipsi facere ignoramus, facientes ipsi errare compellimur. Quamobrē nimiū amorē sui ipsius fugere quisque debet, & meliores sequi, nullo rubore uerecundiæ impeditus.

Platonis libro quinto de Legibus.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ, ΑΠΟΦΘΕΓΜΑΤΩΝ, ΥΠΟΘΗΚΩΝ,

ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ. ΛΟΓΟΣ Ε΄.

Ξενοφῶντος ἀπομνημονευμάτων τετάρτῳ.

Ἀνδρείαν δὲ ὦ Εὐθύδημε ἆρα τῶν καλῶν νομίζεις εἶναι; Κάλλιστον μὲν οὖν ἔγωγ᾽, ἔφη. Χρήσιμον ἄρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; μὰ Δί᾽ ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. ἆρα δοκεῖ σοι πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά; ἥκιστα γὰρ ἔφη. οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα, διὰ τὸ μὴ εἰδέναι τί ἐστιν, οὐκ ἀνδρεῖοι εἰσίν; νὴ Δί᾽ ἔφη. πολλοὶ γὰρ ἂν οὕτω γε, τῶν τε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. τί δὲ, οἱ καὶ τὰ μὴ δεινὰ δεδοικότες; Ἔτι γε νὴ Δία ἧττον ἔφη. ἆρ᾽ οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας, ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακοὺς, δειλούς; Πάνυ μὲν οὖν ἔφη. ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς, ἢ τοὺς δυναμένους τούτοις καλῶς χρῆσθαι; Οὐκ ἀλλὰ τούτους, ἔφη. Κακοὺς δὲ ἆρα τοὺς οἵους τούτοις κακῶς χρῆσθαι; Τίνας γὰρ ἄλλους, ἔφη. Ἆρ᾽ οὖν ἕκαστοι χρῶνται, ὡς οἴονται δεῖν; Πῶς γὰρ ἄλλως ἔφη; Ἆρ᾽ οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι, ἴσασιν ὡς δεῖ χρῆσθαι; οὐ δήπου γε ἔφη. οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; μόνοι γ᾽ ἔφη. Τί δαὶ, οἱ μὴ διημαρτηκότες, ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; Οὐκ οἴομαι ἔφη. οἱ ἄρα κακῶς χρώμενοι, διημαρτήκασιν; εἰκός γ᾽ ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοί εἰσιν. Οἱ δὲ διαμαρτάνοντες τούτου, δειλοί; ἔμοιγε δοκοῦσιν, ἔφη.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ, ΑΠΟΦΘΕΓΜΑΤΩΝ, ΥΠΟΘΗΚΩΝ,

ΠΕΡΙ ΔΕΙΛΙΑΣ. ΛΟΓΟΣ ς΄.

Εὐριπίδου. Δοῦλοι δὲ καὶ σκοτεινὰ μηχανήματα
Χρείας ἀνάνδρου φάρμαχ᾽ εὕρηνται βροτοῖς.

Σοφοκλέους. Βοᾷ τίς; ὦ ἀκούετε. ἢ μάτην ὑλακτῶ;
Ἅπαντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

Εὐριπίδου. Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
Ἀριθμὸν ἀλλ᾽ ἄπεισιν, κἂν παρῶσ᾽ ὅμως.

Ὁμήρου. Τίπτε σὺ δ᾽ εἴδυκας πόλεμον καὶ δηϊοτῆτα;
Εἴπερ γάρ τ᾽ ἄλλοι γε περικτεινόμεθα πάντες
Νηυσὶν ἐπ᾽ Ἀργείων, σοὶ δ᾽ οὐ δέος ἔστ᾽ ἀπολέσθαι.
Οὐ γάρ τοι κραδίη μενεδήϊος, οὐδὲ μαχήμων.

Σοφοκλέους. Τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς, ὦ παῖ, φιλεῖ
Ἄρης ἐναίρειν. οἱ δὲ τῇ γλώσσῃ θρασεῖς
Φεύγοντες ἄτας, ἐκτός εἰσι τῶν κακῶν.
Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται.

Εὐριπίδου. Οὔτοι νομίζω σοφὸν, ὃς ἂν μέλλων θανεῖν
Οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλει.
Ἀνὴρ δ᾽ ὃς εἶναι φὴς, ἀνδρὸς οὐκ ἄξιον,
Δειλὸν κεκλῆσθαι, καὶ νοσεῖν αἰσχρὰν νόσον.

Μενάνδρου. Τί πολλὰ τηρεῖν πολλὰ δεῖ δεδοικότα,

Θεογνίδος. Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι
Πταίσματα τῆς γνώμης Κύρνε ταρασσομένης.

Φιλήμονος. Κακὴ μὲν ὄψις. ἐν δὲ δειλαίαι φρένες.

Σοφοκλέους. Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει.

Εὐριπίδου. Ὁ φόβος ὅταν τι σώματος μέλλει πέρι,
Λέγειν καταπεσὼν ἐπ᾽ ἀγῶν᾽ ἐναντίον,

Τί,

IOANNIS STOBAEI COLLECTANEORVM, apophthegmatum, sententiarum,

DE FORTITVDINE SERMO V.

FOrtitudinem ô Euthydeme, utrum putas esse condecens? Puto quidem. Vtile igitur non ad minima, putas esse fortitudinem? Hercle, inquit, ad maxima. Num tibi ad aspera & periculosa uidetur utile, ignorare quęnã ea sint? Minimè inquit. Quicunq; ergo non timent huiuscemodi, quia ignorent quidnam sint, hi non sunt fortes? Non, inquit. Multi enim hoc pacto insani ac formidolosi fortes essent. Quid ergò nunc, & quicunq; non aspera timet? Minus, inquit, me hercle. Quicũq; igitur ad aspera & periculosa boni sunt, fortes sunt: & qui mali, ndem & formidolosi? Maximè Bonós ne ad hæc alios tu putas esse, quã hos q his bene possint uti? Non, inquit. Sed istos malos uero, qui non possunt bene uti eis? Quos alios putem? ait. Singuli ne eis utunt, uti putãt oportere? Quid ni? Qui uero nõ possũt bene illis uti, sciũt ne bene illis uti? Minime. Qui ergo sciunt, quî illis debeãt uti, illi & possunt? Soli, inquit. Quid tũ qui nõ id peccant, malè ne illis utuntur? Nõ puto inqt. Qui ergo male utet, peccat? Verisimile isthuc. Qui ergo sciũt aspe ris & periculosis bene uti, fortes sũt: qui uero in hoc peccant, formidolosi? Mihi isthuc uidetur, inquit. *Xenophontis libro 4. de factis & dictis Socratis.*

IOANNIS STOBAEI COLLECTANEORVM, apophthegmatum, sententiarum,

DE TIMIDITATE SERMO VI.

SErui, & obscuri homines mechanici *Euripidis.*
Remedia sunt mortalibus inuenti ad eos usus, qui uiros dedecent.
  Clamat hic aliquis, heus heus, audite. Sed forsan temerè gannio. *Sophoclis.*
Homini enim timido nihil non strepit.
  Viri enim timidi nullum habent in pugna *Euripidis.*
Numerum, sed præsentes absunt.
  Quid est quod bellum metuis & pugnam? *Homeri.*
Nam quamuis cæteri omnes interfecti fuerîmus
Ad classem, tibi tamen nihil est de morte periculi.
Non enim tibi fortis est, neq; bellicosus animus.
  Generosos & fortes, ô fili solet *Sophoclis.*
Occidere Mars. Qui uero lingua sunt audaces
Cladem fugientes securi sunt à malis.
Mars namq; timidos pro nihilo reputat.
  Haud sanè sapientem esse illum iudico, qui moriturus *Euripidis in Iphigenia in Tauris.*
Misericordia metum mortis superare uult.
  Tu quidem te uirum esse dicis. Sed indignum est uiro *Eiusdem.*
Timidum uocari, & morbo laborare turpi.
  Quorsum attinet hominem multum timentem seruare multa? *Menandri.*
  Multa proferre solet oratio mortalibus hominibus *Theognidis.*
Errata ô Cyrne, cum animus perturbatus est.
  Est trepidus uultus, & latent intus præcordia timida. *Philemonis.*
  Timidos fortuna non iuuat. *Sophoclis.*
  Timiditas, ubi quid periculi est de uita *Euripidis.*

Τό, τι στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει,
Τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται,
Τῷ μὲν, γὰρ ἔνι κίνδυνος. ὁ δ' ἀθῷος μένει.
Ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν.
Ψυχὴν γὰρ ἄλλα τιθεμένην ἐμὴν ὁρῶ.

Εὐριπίδου. Ὁ δ' ἡδὺς αἰὼν, ἡ κακή τ' ἀνανδρία,
Οὔτ' οἶκον, οὔτε πόλιν ὀρθώσειεν ἄν.

Διογένους. Πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους, ἢ λυπεῖν τοὺς πειραθέντας. Ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥστε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον. οἱ μὲν ἐν ναυσὶ χειμαζόμενοι, οὐ περιμείναντες καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὑτοὺς ἀποσφάξαντες.

Ὑπερίδου. Ὑπερίδης ὁ ῥήτωρ ἔφησε τὴν ἀγωνίαν, τοῦ λέγειν πέδην εἶναι.

Θουκυδίδου. Ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὅμοιαι εἶναι.

Ἀντιφῶντος. Νόσος δειλοῖσιν ἑορτή. οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν.

Ἱεροκλέους. Ἴδωμεν γοῦν, εἰ τοὺς δειλοὺς οἷόν τε δικαίους εἶναι. Τοὺς γοῦν ἐναντίως ἔχοντας τούτοις, τοὺς θρασεῖς, ἀδίκους ὄντας εὑρίσκομεν, διὰ τὸ πρὸς βίαν τὰ πολλὰ ποιεῖν. Δειλία τοίνυν ἐστὶ, διαφθορὰ δόξης ἐννόμου, δεινῶν τε πέρι καὶ μή. ἢ ἄγνοια, δεινῶν τε καὶ οὐ δεινῶν, καὶ οὐδετέρων. Πῶς ἂν οὖν οἱ δόξαις διεφθαρμέναις, καὶ παρανόμοις συζῶντες εἶεν ἄνθρωποι δίκαιοι; Οὐ γὰρ δὴ εἰκάζοιεν ἂν περὶ ὁτουδήποτε καλῶς, μὴ συγχωροῦντος αὐτοῖς τοῦ περὶ τὴν ψυχὴν δέους, ὡς ἄντινα οὖν ζήτησιν προκύπτειν.

Δημητρίου. Αὐτίκα γὰρ εἰ τῷ πολεμοῦντι καὶ παρατεταγμένῳ παραστᾶιεν ἥτε ἀνδρεία καὶ ἡ δειλία, πόσον ἂν οἴεσθε διαφόρους εἰπεῖν λόγους. Ἆρ' οὐχ ἡ μὲν ἀνδρεία μένειν κελεύσει, καὶ τὴν τάξιν διαφυλάττειν; Ἀλλὰ βάλλουσιν. Ὑπόμενε. Ἀλλὰ τρωθήσομαι. Καρτέρει. Ἀλλ' ἀποθανοῦμαι. ἀπόθανε μᾶλλον, ἢ λίπῃς τὴν τάξιν. Ἀπηνὴς οὗτος ὁ λόγος καὶ σκληρός. Ἀλλ' ὁ τῆς δειλίας νὴ Δία φιλάνθρωπος καὶ μαλακός. Ὑπάγειν γὰρ δήπου κελεύει τὸν φοβούμενον. Ἀλλ' ἡ ἀσπὶς ἐνοχλεῖ. Ῥῖψον. Ἀλλὰ καὶ ὁ θώραξ. Παράλυσον. Πάντη δήπου πραΰτερα ταῦτ' ἐκείνων. Ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων. μὴ λάβῃς, φησὶν ἐγκράτεια, ὅθεν οὐ δεῖ. μὴ φάγῃς, μὴ πίῃς, ἀνέχου, καρτέρει, τὸ τελευταῖον ἀπόθανε πρότερον, ἢ πράξῃς ὅπερ οὐ δεῖ. Ἡ δ' ἀκρασία πείθει, ὅτι βούλει φάγε, ὅ, τι ἂν ἥδιστα φάγοιο. Ἡ τοῦ γείτονος ἀρέσκει σοι γυνή; Πείραινε. Χρημάτων ἀπορεῖς; δάνεισαι. δανεισάμενος ἀδυναμεῖς. μὴ ἀποδῷς. οὐ πιστεύουσιν ἔτι δανείζειν. Ἅρπασον. Πολύ γε κἀνταῦθα τὸ μεταξύ. Ἀλλὰ τίς οὐκ οἶδεν, ὅτι ἡ μέντοι τοιαύτη χάρις ὀλέθριος ἐστὶ τῶν προσδεξαμένων, ἡ δ' ἐκ τῶν ἐναντίων σωτήριος;

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ,

ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ ΛΟΓΟΣ Ζ´

Σοφοκλέους. Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥάδιον.
Εὐριπίδου. Κέκτησο δ' ὀρθῶς ἄνευ ψόγου,
καὶ μικρὰ σῶζε τῇ δίκῃ ξυνοῦσ' ἀεί.
Εὐριπίδου. Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν,
Καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.
Εὐριπίδου. Μήθ' ἡ βία σε μηδαμῶς νικησάτω,
ἄλ. Σοφοκλέους. Τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.
Κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς,
Ἀνδρῶν δικαίων κἀγαθῶν παρουσίαι.
Μενάνδρου. Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ.
Χρηστοῦ πρὸς ἀνδρὸς, μηδὲν ἐννόει κακόν.
Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.

Τὸ

Locum habens dicendi contrariam causam,
Et os ipsum coràm hominibus obstupefactum reddit,
Et animum ea quæ libet, dicere non permittit.
Nam qui secus fecerit, periclitatur: hic uero manet illæsus.
Atq; hoc pericli subterfugere me oportet
Præmium enim uitam meam proponi uideo.

Vita mollis, & mala timiditas
Neq; domum, neq; ciuitatem rectè gubernauerint. *Eiusdem.*

Omnia sanè mala plus terrere solēt eos q ipsa futura expectant, q̃ ubi iā acciderint molestare. Metus eñ tam improbus est, ut multi rem quā metuūt ipsimet anticipēt: Vt q in naui tēpestate piclitātᵗ, nō expectata submersione nauis, manū sibi pri⁹ inferunt. *Diogenis.*

Rhetor Hyperides timorem esse uinculum orationis aiebat. *Hyperidis.*

Vbi clades accepta est, ibi non possunt uirorum animi ad eadem pericula subeunda similiter, ut prius erant, affecti permanere. *Thucydidis.*

Morbus timidis hominū est loco festi: Aegrotātes eñ ad agēdū pdire nō cogūtᵗ. *Antiphontis.*

Age uideamus, an ut homines timidi iusti sint, fieri possit. Nam q animo ipsis contrario sunt, hoc est audaces, iniustos esse deprehendimus, eò q̃d plurima per uim faciāt. Est aūt timiditas corruptio legitimi iudicij de rebus metuendis, aut nō metuendis: Aut ignorātia terribiliū, non terribiliū, & neutrorū. Quomodo igiᵗ q corruptis & illegitimis opinionib. in uita detinentᵗ, iusti esse possent? Non eñ quasuis res rectè æstimabunt, non permittente ipsos animi timore quamlibet quęstionē aggredi. *Hieroclis.*

Fingamus exempli causa, belligeranti & in acie stanti hinc fortitudinē, illinc timiditatē assistere: quantū putas diuersas orationes habebūt? Nónne fortitudo quidē permanere iubebit, & ordinē suū conseruare? Sed ingruunt tela. Sustinendū est. At uulnerabor. Tolerato. Sed moriar. Morere potius, q̃ relinquas aciē. Hęc oratio dura uidetur, & immitis. Contra uero timiditatis humana per Iouē, atq; mollis. Nimirū eñ recedere iubet trepidantē. Sed scutū ægrè fero. Abijcias. Molestat me thorax. Ergo resolue. Cui nō hæc uerba benigniora uiderentᵗ, q illius? Similiter in alijs rebus usu uenit. Ne capias, inquit continentia, unde non decet. Ne comedas. Ne bibas. Sustine, tolera, deniq; moriare potius, q̃ quicquā indecori cōmittas. Luxuria uero sic suadet. Ede, cū libet, quodcūq; tibi suauissimū fuerit. Placét ne uicini tui uxor? Misce cū ipsa. Pecunijs eges? Accipe mutuo. Mutuatus nō potes restituere? Nihil reddito. Non credent tibi amplius ad mutuo dandū? Rapito. Viden' ut hic etiam magnum fit utrinq; discrimen. Sed quis nescit huiusmodi quidē munus perniciosum suscipientibus esse, contrarium uero salutare. *Demetrij.*

IOANNIS STOBAEI COLLECTANEORVM apophthegmatum, sententiarum,

DE IVSTITIA SERMO VII.

IVsto resistere non est facile. *Sophoclis.*

Possideto res tuas iure sine reprehensione,
Et in humili sorte maneto, semper cum iustitia coniuncta. *Euripidis.*

Boni uiri officium est iustitiæ inseruire,
Et malos ubiq; semper afficere malis. *Eiusdem in Hecuba.*

Ne te uiolentus animus ullo modo cogat
Odisse quempiam tantopere, ut iustitiam conculces. *Euripidis. al. Sophoclis.*

Potiores sunt diuitijs, & luxuria affluente auro,
Bonorum uirorum & iustorum conuersationes.

Si iustus fueris, mores habebis tanquam leges.
De probo uiro mali nihil cogites.
Iusti mores iniuriam facere nesciunt. *Menandri.*

Τὸ μηδὲν ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει.
Οὐ δεῖ γὰρ ἀδικεῖν τοὺς ἱκέτας. ἄλλως τε,
Καὶ ὅταν μετ᾽ εὐνοίας τινὸς μὴ πονηρᾶς
Πταίσωσιν. αἰσχρὸν τοῦτο γάρ ἐστι πάνυ.
Ἐν παντὶ δεῖ καιρῷ τὸ δίκαιον ἐπικρατεῖν.
Εὐριπίδου. Εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων
Κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών.
Φιλωνίδου. Οὐκ ἔστιν οὐδεὶς δοῦλος ὁ δεδοικὼς νόμον.
Πρὸς τοὺς πολεμίους δ᾽ ἐστὶν, ἀνδρείας κρίσις.
Ὑπὸ τοῦ δικαίου δ᾽ ἐστὶν ἡττᾶσθαι καλόν.
*αλ. Εὐριπίδου. *Φεῦ φεῦ. τὸ νικᾶν τὰ δίκαι᾽ ὡς καλὸν †γέρας.
† αλ. μέγα. Τὰ μὴ δίκαια δ᾽, ὡς ἁπανταχοῦ κακόν.
*αλ. γαῦρα. Καὶ γλῶσσα *φλαῦρα καὶ φθόνος τοῦ μὴ φθονεῖν
Ὅσῳ κάκιον μὴ καλῶς ἐγκωμίοις.
Ἀντιφῶντος. Ὁ μηδὲν ἀδικῶν, οὐδενὸς δεῖται νόμου.
αλ. Ἀντιφάνει. Τὸ καλῶς ἔχον που, κρεῖττόν ἐστι καὶ νόμου.
Μενάνδρου. Εἰ τοὺς ἀδικηθέντας πάντες φευξόμεθα,
Τίσιν ἂν βοηθήσαιμεν ἄλλοις ῥᾳδίως;
Τὸ μηδὲν ἀδικεῖν ἐκμαθεῖν γὰρ ὃ λάχῃ
Ἀστεῖον ἐπιτήδευμα κρίνω τοῦ βίου.
Τὸ μηδὲν ἀδικεῖν καὶ φιλανθρώπους ποιεῖ.
Φιλήμονος. Τοῦ γὰρ δικαίου κἂν βροτοῖσι καὶ θεοῖς,
Ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου.
Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ᾽ ὅστις ἀδικεῖν δυνάμενος, μὴ βούλεται.
malim ἀπέσχετο. Οὐδ᾽ ὃς τὰ μικρὰ λαμβάνειν *ἀπείχετο,
Ἀλλ᾽ ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
Ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
malim διατηρούμενος. Οὐδ᾽ ὅς γε ταῦτα πάντα †διαθηρώμενος,
Ἀλλ᾽ ὅστις ἄδολον γνησίαν τ᾽ ἔχων φύσιν,
Εἶναι δίκαιος καὶ δοκεῖν εἶναι θέλει.
Ἱππάρχου. Μνῆμα τόδ᾽ Ἱππάρχου. στεῖχε δίκαια φρονῶν.
Σόλωνος. Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα.
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
Ὄλβον μοι πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
Ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν.
Εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν.
Τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
Χρήματα δ᾽ ἱμείρω μὲν ἔχειν: ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
Πλοῦτον δ᾽ ὃν μὲν δῶσι θεοὶ, παραγίγνεται ἀνδρὶ
Ἔμπεδος ἐκ νεάτου πυθμένος εἰς κορυφήν.
Ὃν δ᾽ ἄνδρες τιμῶσιν, ὑφ᾽ ὕβριος οὐ κατὰ κόσμον
Ἔρχεται. ἀλλ᾽ ἀδίκοις ἔργμασι πειθόμενος
Οὐκ ἐθέλων ἕπεται, ταχέως δ᾽ ἀναμίσγεται ἄτῃ.
Ἀρχὴ δ᾽ ἐξ ὀλίγου γίγνεται, ὥστε πυρός.
Φλαύρη μὲν τὸ πρῶτον ἀνιηρὴ δὲ τελευτᾷ.
malim δήν. Οὐ γὰρ *δὴ θνητοῖς ὕβρεως ἔργα πέλει.

Ἀλλὰ

Nemini iniuriam facere omnes hommines decet.
Non oportet iniurium esse in * supplices, cum aliâs, — *al. famulos.*
Tum si beneuolo animo non maligno
Lapsi fuerint: Esset enim ualde indecens.
Omni tempore quod iustum est, uincere debet.
Vnus iustus infinitos non iustos — *Euripidis.*
Vincit, Deo & iustitia adiuuantibus.
Non is, qui legem metuit, dicendus est timidus. — *Philonide.*
Sed fortitudo in pugna aduersus inimicos æstimatur.
A iusto autem etiam superari pulchrum est.
Papæ, quàm ualde pulchrum est uincere iure, — *Eiusdem al. Euripidis.*
Iniustè autem, quàm ubiq; malum est.
Et lingua iactabunda, & inuidia, quàm non inuidere,
Quanto peiora sunt in hominibus indecenter elatis.
Qui nemini facit iniuriam, non indiget ulla lege. — *Antiphontis al. Antiphanis.*
Id quod rectè habet, etiam lege præstantius est.
Si affectos iniuria, ô pater, fugerîmus, — *Menandri.*
Quibusnam aliis facile feremus opem?
Iniuriam nulli facere, ô Laches, didicisse
In uita, studium esse iudicato ciuile.
Nihil iniuriari parit humanitatem.
Iustitiæ tum apud mortales, tum apud deos, — *Philemonis.*
Immortalis perpetuò gloria solius perdurat.
Vir iustus est, non qui non facit iniuriam,
Sed qui cum iniuriari possit, non uult tamen.
Nec qui à paruis capiendis abstinuit,
Sed qui magna sustinet non accipere,
Quamuis habere queat, & possidere sine periculo,
Nec qui ista facit omnia ut gloriam sibi uenetur:
Sed qui syncero, & candido præditus ingenio,
Esse iustus, non modo uideri, uult.
Sepulchrum hoc Hipparchi est. Perge iustitiam animo complectens. — *Hipparchi.*
Memoriæ & Iouis Olympii inclytæ filiæ — *Solonis.*
Musæ Pierides, audite me precantem.
Fælicitatem à diis immortalibus mihi præbete, & ab omnibus
Hominibus semper bonam habere gloriam:
Et iucundum hic amicis esse, inimicis autem acerbum,
Illis quidem uenerandum, his autem dirum aspectu.
Pecunias quidem habere desidero, iniustè uero possidere
Nolo. Prorsus enim in posterum uindicta uenit.
Diuitiæ quidem, quas contulerint dii, existunt homini
Firmæ, ab extremo fundo ad uerticem usq;:
Quas uero colunt homines ab iniuria non rite
Proueniunt, sed iniustis operibus adductæ,
Sequuntur inuitæ, & statim calamitati permiscentur.
Initium autem à paruo momẽto fit, tanquam ignis.
Primum quidem calamitas est exigua, sed ualde grauis desinit.
Non enim diu mortalibus iniuriæ facta permanent.

Ἀλλὰ ζεὺς πάντων ἐφορᾷ τέλος. ἐξαπίνης δὲ,
 Ὥς τ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
Ἠρινός. ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
 Πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
Δηώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
 Οὐρανόν. αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν.
Λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
 Καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστιν ἰδεῖν.
Τοιαύτη ζηνὸς πέλεται τίσις οὐδ' ἐφ' ἑκάστῳ,
 Ὥσπερ θνητὸς ἀνὴρ, γίγνεται ὀξύχολος.
Αἰεὶ δ' οὔτι λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
 Θυμὸν ἔχει. πάντως δ' ἐς τέλος ἐξεφάνη.
Ἀλλ' ὁ μὲν, αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον, οἱ δὲ φύγωσιν
 Αὐτοί, μὴ δὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
Ἤλυθε πάντως, αὐτίκ' ἀναίτια ἔργα τίνουσιν,
 Ἢ παῖδες τούτων ἐγγενόμενοι ὀπίσω.
Θνητοὶ δ' ὧδε νοοῦμεν ὁμῶς ἀγαθός τε κακός τε.
 Ἐνδ' ἣν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,
Πρίν τι παθεῖν, τότε δ' αὖτις ὀδύρεται, ἄχρι δὲ τούτου
 Χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα.
Χ' ὅστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ,
 Ὡς ὑγιὴς ἔσται τοῦτο κατεφράσατο.
Ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ.
 Καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων.
Εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
malim πόνος. Κτήσασθαι * πάντων χρήματα πολλὰ δοκεῖ.
Σπεύδει δ' ἄλλοθεν ἄλλος. ὁ μὲν, κατὰ πόντον ἀλᾶται
 Ἐν νηυσὶν, χρῄζων οἴκαδε κέρδος ἄγειν,
Ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι
 Φειδωλὴν ψυχῆς οὐδὲ μίαν θέμενος.
Ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
 Λατρεύει, τοῖσι * καμπύλ' ἄροτρα † μέλει.
Ἄλλος ἀθηναίης τε καὶ ἡφαίστου πολυτέχνου
 * Ἔργαλα † ἐν χειροῖν ξυλλέγεται βίοτον.
Ἄλλος ὀλυμπιάδων μουσέων πάρα δῶρα διδαχθεὶς,
 Ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
Ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος ἀπόλλων,
 Ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
Ὧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως,
 Οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερά.
Ἄλλοι παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες,
 Ἰητροί, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
Πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίνεται ἄλγος,
 * Κοὔ τις λύσαιτο ἤπια φάρμακα δούς.
Τὸν δὲ, κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
 Ἁψάμενος χειροῖν, αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει, ἠδὲ καὶ ἐσθλόν,
 Δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.

Marginal notes:
* Enallage numeri.
† malim μέλει.
* malim ἔργαλέων χερσίν.
† al. ἐν.
al. Κοὐκ ἄν, τὸ λύσαι.

Πᾶσι

Sed Iupiter finem inſpicit omnium, atq; repente,
Vt uentus nubes illico diſijcit
Vernus, qui fluctuoſi maris immenſi
Agitans fundum, & per terram frumenti feracem
Lætas ſegetes uaſtans ad deorum ſedem in altum peruenit
Cœlum, & rurſus ſerenitatem efficit,
Relucetq; uis ſolis per terram opimam
Pulchra, nubium uero nihil ſupereſt reliqui.
Talis eſt quoq; uindicta Iouis. Non fit autem ob quamlibet cauſam,
Vt mortalis homo ſolet, Iupiter iracundus.
Cæterum non ſemper latet in perpetuum, quicunq; ſceleroſum
Pectus habet. Sed omnino tandem arguitur.
Dat autem pœnas alius ſtatim, alius in poſterum. Etſi uideantur effugiſſe
Aliqui, neq; fatum ipſos deorum inuaſerit:
Omnino tamen uenit, atq; immeriti facinora luunt
Vel liberi primorum authorum in poſterum.
Nos autem mortales ita cogitamus, idem ualet bonus & malus:
Quam ſententiam unuſquiſq; tam diu retinet,
Donec aliquid patiatur, tum rurſus luget, antea uero
Oſcitantes leui ſpe fouemur.
Quod ſi quis morbis difficilibus implicetur,
Sanum ſe futurum animum inducit.
Alius cum timidus ſit, fortis ſibi eſſe uidetur,
Et pulcher ſibi uidetur homo deformis.
Alius carens pecunijs, & paupertate preſſus
Multas ſe tamen poſſidere putat opes.
Accelerat alius aliunde. hic quidem per mare uagatur
In nauibus cupiens lucra referre domum,
Per mare inquam piſcoſum uentis delatus periculoſis,
Nihil penitus uitæ ſuæ parcens.
Terram ſcindens alius arboribus conſitam in annum
Colit, cui curua ſunt aratra curæ.
Eſt qui Mineruæ, & multas callentis artes Vulcani
Inſtrumenta tenens manibus ſibi colligit uictum.
Alius Olympiadum Muſarum munera doctus,
Amabilis ſapientiæ modum aſſequitur.
Alium uenerabilis iaculator Apollo uatem efficit,
Qui malum multo antè homini imminens prænouit,
Quo cum dij conuerſati fuerint. Verum fatalia prorſus
Nec ullum ſoluet augurium, neq; ſacrificia.
Sunt qui Pæonis multa tenentis pharmaca opera exerceant
Medici. hos quoq; nullus finis conſequitur.
Sæpius enim è modico dolore morbus fit magnus,
Quem nemo ſoluerit blanda remedia præbens.
Alterum malis ægritudinibus & moleſtis agitatum
Manibus contingens quiſpiam illico ſanum reddit.
Fatum profecto mortalibus adducit mala, ſimul & bona,
Nec dona diuûm fugeris immortalium.

Πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν
al. τί. * ἣ μέλλει σχήσειν, χρήματος ἀρχομένου.
al. νοήσας. Ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος, οὐ προνοήσας,
Εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
Τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσι
Συντυχίην ἀγαθὴν, ἔκλυσιν ἀφροσύνης.
Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται,
Οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
Διπλασίως σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας;
Κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι,
al. ἄτη. * Αὕτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
Πέμψῃ τισομένην, ἄλλοτε τ' ἄλλος ἔχει.

Πλάτωνος. Μὴ γὰρ δὴ οἴου εἰ μὲν χρυσὸν ἐζητοῦμεν, οὐκ ἄν ποτε ἡμᾶς ἑκόντας εἶναι ὑποκατακλίνεσθαι ἀλλήλοις ἐν τῇ ζητήσει, καὶ διαφθείρειν τὴν εὕρεσιν αὐτοῦ. δικαιοσύνην δὲ ζητοῦντας πρᾶγμα πολλῶν χρυσίου τιμιώτερον, ἔπειθ' οὕτως ἀνοήτως ὑπείκειν ἀλλήλοις, καὶ οὐ σπουδάζειν ὅτι μάλιστα φανεῖται αὐτό.

Ἀγησιλάου. Ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος, μὴ παρούσης δικαιοσύνης, εἰ δὲ δίκαιοι πάντες γίνοιντο, μὴ δὲ ἀνδρείας δεῖσθαι.

Ἰσοκράτους. Καὶ μηδεὶς οἰέσθω με λέγειν, ὡς ἔστι δικαιοσύνη διδακτόν. ὅλως μὲν γὰρ, οὐδεμίαν ἡγοῦμαι τοιαύτην τέχνην εἶναι, ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς ἀρετὴν, δικαιοσύνην ἂν ἐμποιήσειεν.

Δημοσθένους. Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου. χρήματα μὲν γάρ ἐστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥᾴδιον πρίασθαι.

Πλάτωνος. Πᾶσά τε ἐπιστήμη, χωριζομένη δικαιοσύνης, καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, ἀλλ' οὐ σοφία φαίνεται.

Δημοκρίτου. Ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μὴ δὲ ἐθέλειν.

Μοῦνοι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικεῖν.

Πιττακὸς ἔφη. ἡδονὴ σὺν τῷ καλῷ, δίκαιος.

Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς, τί ἐστι τὸ δίκαιον; τὸ μὴ ἀλλοτρίων ἐπιθυμεῖν, ἔφη.

Πλάτωνος. Ἐγὼ μὲν γὰρ ὑπέρ γε ἐμαυτοῦ φαίην ἂν καὶ τὴν δικαιοσύνην ὅσιον εἶναι, καὶ τὴν ὁσιότητα δίκαιον. καὶ ὑπὲρ σοῦ δὲ, εἴ με ἐῴης, ταυτὰ ἂν αὐτὰ ἀποκρινοίμην, ὅτι ἤτοι ταυτόν γ' ἐστὶ δικαιότης ὁσιότητι, ἢ ὅτι ὁμοιότατον, καὶ μάλιστα πάντων, ἥτε δικαιοσύνη, οἷον ὁσιότης, καὶ ἡ ὁσιότης, οἷον δικαιοσύνη.

Πυθαγόρου. Ξένος ἀνὴρ δίκαιος, οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει.

Ἰαμβλίχου. Ἐπ' αὐτὸ δὴ τὸ τῶν ὅλων ἀρετῶν τέλος, καὶ τὴν συναγωγὴν αὐτῶν συμπασῶν, ἐν ᾗ δὴ πᾶσαι ἔνεισι συλλήβδην κατὰ τὸν πάλαι λόγον, γένοιτο ἄν τις εἰς τὴν δικαιοσύνην ἀγόμενος.

Ἐν ταὐτῷ. Ἐν δὲ τῷ ἀνθρωπίνῳ βίῳ διανομὴ τῶν κατ' ἀξίαν ἔργων τε καὶ τιμῶν, καὶ τῶν ἄλλων τῶν ἐπιβαλλόντων ἑκάστοις, ὑφίστησι τὴν εἰς τὸν ἀνθρώπινον βίον τείνουσαν δικαιοσύνην.

Ἔργα τοίνυν τῇ δικαιοσύνῃ τὰ πρόσφορα, καὶ ἐπιτηδεύματα εἴη ἂν, ὅσα κοινωνικὰ καὶ ἥμερα τυγχάνει, καὶ εὐσύμβολα, καὶ εὐσυνάλλακτα, καὶ ὠφέλιμα, τῶν βλαβερῶν κωλυτικὰ διαπράξεων· τῶν δ' ἐναντίων τὴν ὅλην κατάστασιν εὐπρεπῆ παρασκευάζοντα.

Ἐπικτήτου. Ὥσπερ ἀληθὴς ζυγὸς, οὔτε πρὸς * ἀμελοῦς ἰθύνεται ζυγοῦ, οὔθ' ὑπὸ ψευδοῦς κρίνεται.
malim ὑγιοῦς. Οὕτω καὶ ὁ δίκαιος κριτὴς, οὔθ' ὑπὸ δικαίων εὐθύνεται, οὔτε παρ' ἀδίκοις δικάζεται.

Ὥσπερ τὸ εὐθὺ εὐθέως οὐ δεῖται, οὕτως οὐδὲ τὸ δίκαιον, δικαίου.

Μὴ πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρὶν αὐτὸς παρὰ τῇ δίκῃ κριθῇς.

Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίγνωσκε, ἀλλ' αὐτὴν τὴν δίκην.

Ἥκιστα πταίσεις ἐν ταῖς κρίσεσιν, ἐὰν αὐτὸς ἐν τῷ βίῳ ἄπταιστος διατελῇς.

Ἄμεινον δικαίως κρίνοντα, πρὸς τοῦ καταδικασθέντος ἀξίως μεμφθῆναι; ἢ ἀδίκως κρί-

Ineſt autem factis omnibus periculum, neq; certò dignoſcat aliquis
Qua ſe conuertat in principio negocij.
Eſt enim qui rem aggredi quàm optimè ſibi proponit, ſed improuidus
In magnam noxam difficilem'q; cadit.
Alteri autem opera ſua † bene inſtituenti Deus in omnibus largitur
Succeſſum bonum, & liberationem ab imperitia.
Porrò diuitiarum nullus eſt inter homines conſtitutus terminus.
Nam qui nunc inter nos plurimum poſſident uictum
Bis tantum quærunt. Quiſnam ſatiauerit omnes?
Aſtuta quidem conſilia dedere dij immortalibus,
Sed emergit ex ipſis noxa, quam cum Iupiter
Miſerit ut pœnas ſumat, aliâs alius ipſam experitur in ſe.

Potius legendũ, male: ut in Græco ſit κακῶς, non καλῶς.

Ne dubita ſi aurum quidem inquirendũ proponeretur, nunq̃ alterũ alteri ſponte conceſſurum in inquiſitione, & inuentionem eius perditurum. Cum aũt inueſtiganda ſit iuſtitia res auro longè precioſior, an non abſurdũ eſt tam temerè alios alijs inuicem cedere, non autem unumquenq; id ſtudere ut ſibi in primis appareat. *Platonis.*

Fortitudinis quidem abſente iuſtitia nullus eſt uſus. At ſi omnes iuſti fierent, fortitudine nihil indigeremus. *Ageſilai.*

Nemo aũt me dicere cenſeat iuſtitiã acquiri doctrina. Prorſus em̃ nullã huiuſmodi artẽ eſſe puto, q̃ iuſtitiã in illis ingenijs parere queat, q̃ infeliciter ad ipſã nata ſunt. *Iſocratis.*

Homines illi ſanè laudari merentur, qui nullam utilitatem iuſto præferunt. Pecunias enim nõ adeò difficulter comparare licet. Bonam autem famam pecunijs redimere non facile licet. *Demoſthenis.*

Scientia quæuis à iuſtitia & reliqua uirtute ſeiuncta, calliditas, non autem ſapientia uidetur eſſe. *Platonis.*

Bonum eſt, non iniuriam non facere, ſed ne uelle quidem. *Democriti.*
Soli Deo chari ſunt, qui iniurias oderunt.
Pittacus dixit. Honeſta uoluptas, iuſta res eſt.

Ariſtides ille iuſtus interrogatus quid iuſtũ eſſet, aliena nõ cõcupiſcere reſpondit. *Platonis in Protagora.*

Equidem mea ſententia iuſtitiam eſſe ſanctam, et ſanctitatẽ iuſtam eſſe dicam. Arbitror em̃ te permiſſurũ, ut pro te illud ipſum reſpõdeam, quod uidelicet aut idem ſit iuſtitia quod ſanctitas, aut inuicem quàm ſimillima: ut maximè omnium qualis iuſtitia, talis ſanctitas: & qualis ſanctitas, talis iuſtitia ſit.

Peregrinus uir iuſtus non modò ciue, ſed etiã cognato maioris faciendus eſt. *Pythagoræ.*

Qui ad iuſtitiam perducitur, hic ad omniũ uirtutum finem, & uniuerſarũ collectionẽ, in qua cunctę comprehenſim inſunt, ut uetus eſt dictum, peruenire poterit. *Iamblichi.*

Diſtributio in humana uita ſecundũ cuiuſq; dignitatũ operũ & honorũ & aliarũ rerũ, quę ſingulis conueniunt, iuſtitiã, quę ad hominũ uitã pertinet, conſtituit. Proinde opera ſtudia'q; illa iuſtitiæ propria ſunt, quę liberaliter ac facile in conuentibus cõmercijs'q; uerſantur, & quæ familiariter, benignè, ac utiliter fiũt, deniq; actiones prohibent noxias, utilium uero totam conſtitutionem decentem moliuntur. *Ibidem.*

Sicut uera trutina, neq; à bona & concinna corrigitur: neq; per falſã examinatur. Sic etiam iuſtus iudex, neq; à iuſtis caſtigatur, neq; apud iniuſtos iudicatur. *Epicteti.*

Vt rectum non eget recto, ita neq; iuſtum iuſto.

Ne prius in alio tribunali iudicaueris, quàm ipſe coràm iuſtitia iudicatus fueris.

Si iudicia recta proferre uoles, nullum contendentium & cauſam dicentium, ſed ipſam cauſam cognoſcas.

Minimè in iudicijs delinques, ſi ipſe in uita tua delicta caueris.

Melius eſt ſententia iuſtè pronunciata reprehendi ab eo, qui merito ſuo damnatus eſt: quàm ſi iniuſtè iudicaueris iure à natura uituperari.

πάντα, παρὰ τῇ φύσει δικαίως ψέγεσθαι.

malim καὐτό.

Καθάπερ ἡ τὸν χρυσὸν δοκιμάζουσα λίθος οὐκέτι * καὐτὸ πρὸς τοῦ χρυσοῦ δοκιμάζεται· οὕτω καὶ ὁ τὸ κριτήριον ἔχων.

Αἰσχρὸν τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι.

Καθάπερ ὀρθοῦ οὐδὲν ὀρθότερον, οὕτως οὐδὲ δικαίου οὐδὲν δικαιότερον.

Διογένους.

Ἡ τοίνυν δικαιοσύνη, πολλὴν ἔχει ῥαστώνην τῇ ψυχῇ. Τὸ γὰρ μηδένα μήτε φοβούμενον, μήτε αἰσχυνόμενον ζῆν, ἡδονή τίς ἐστιν, ὡς ἱκανότης περὶ βίον. Ὁ δὲ τὴν δικαιοσύνην ἔχων ἐν τῇ ψυχῇ, οὐ μόνον τοῖς ἄλλοις ὠφέλιμός ἐστιν, ἀλλὰ πολλῷ μάλιστα αὐτὸς αὑτῷ. οὐ γὰρ πειράσεται αὑτὸν ἀδικεῖν, οὐδὲ καθ' ἓν μέρος. Οὐδὲ γὰρ λύπης αὑτῷ αἴτιός ἐστιν, οὐδὲ νόσου. Ἀλλὰ τὰ αἰσθητήρια τὰ τῆς φύσεως, θεοὺς ὑπολαμβάνων εἶναι, δικαίως χρήσεται αὐτοῖς. οὐδὲν μὲν ὑπὲρ τὴν δύναμιν πράττων, φυλάττων δὲ τὰ μάλιστα καὶ ἡδονάς, καὶ ὠφελείας λαμβάνων διὰ τούτων. καὶ γὰρ ἀπὸ ἀκοῆς, καὶ ἀπὸ ὁράσεως, καὶ ἀπὸ τῆς τροφῆς, καὶ ἀπὸ τῶν ἀφροδισίων, ἡδοναὶ ἔσονται, τῷ δικαίως ἑαυτῷ χρωμένῳ. Καὶ κίνδυνοι γίνονται περὶ τὰ πλείστου ἄξια καὶ ἀναγκαιότατα. ἢ οὐχ ἑώρακας τὴν ψυχὴν παραπτομένους καὶ νυκτὸς καὶ ἡμέρας, καὶ εἰς τὴν θάλασσαν ἑαυτοὺς ῥιπτοῦντας εἰκῇ, * καὶ εἰς ἑτέραν.

Locus uidetur corruptus.

Λυκούργου.

Ζηλωτὸν ἴσως ὁ πλοῦτος: τίμιον μέν τοι καὶ θαυμαστόν, ἡ δικαιοσύνη.

Δημοσθένους.

Ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ: οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις, ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει.

Ἐκ τῆς Νικολάου ἐθῶν συναγωγῆς.

Ἐν Παιδαλίοις ἰνδικῷ ἔθνει οὐχ ὁ θύων, ἀλλὰ συνετώτατος τῶν παρόντων κατάρχεται τῶν ἱερῶν: αἰτεῖται δ' ἀεὶ παρὰ τῶν θεῶν οὐδὲν ἄλλο, πλὴν δικαιοσύνης.

Πλάτωνος ἐν Θεαιτήτῳ.

Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδέν, ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος.

Ἐκ τοῦ Πώλου Πυθαγορείου Λευκανοῦ.

Δοκεῖ μοι τὰν ἀνθρώπων τὰν δικαιοσύναν, ματέρα τε καὶ τιθήναν τᾶν ἄλλων ἀρετᾶν προσειπεῖν. Ἄτερ γὰρ ταύτας, οὔτε σώφρονα οὔτε ἀνδρεῖον, οὔτε φρόνιμον οἷόν τε εἶναι. Ἁρμονία γάρ ἐστι καὶ εἰρήνα τᾶς ὅλας ψυχᾶς μετ' εὐρυθμίας. Δηλοφανέστερον δὲ καὶ γένοιτο τὸ ταύτας κράτος, ἐτάζουσιν ἁμῖν τὰς ἄλλας ἕξιας. μερικὰν γὰρ ἔχοντι αὗται τὰν ὠφέλειαν, καὶ ποθ' ἕνα: ἁ δὲ ποθ' ὅλα τὰ συστάματα, καὶ ἐν πλάθει. Ἐν κόσμῳ μὲν ὦν αὐτὰ τὰν ὅλαν ἀρχὰν διαστραταγοῦσα, πρόνοιά τε, καὶ ἁρμονία, καὶ δίκα γένους τινὸς θεῶν οὕτω ψαφιξαμένων. Ἐν πόλει δὲ εἰρήνα τε καὶ εὐνομία δικαίως κέκληται. Ἐν οἴκῳ δ' ἐστὶν ἀνδρὸς μὲν καὶ γυναικὸς ποτ' ἀλλάλως ὁμοφροσύνα: οἰκεταῖν δὲ ποτὶ δεσπότας εὔνοια: δεσπόταν δὲ ποτὶ θεράποντας, κηδεμονία. Ἐν σώματι δὲ (* πρᾶτα μὲν ἅπασιν ἀγαπᾶ τὸ τὰ ζῶα) ἅτε ὑγίεια καὶ ἀρτιότας. Ἐν δὲ ψυχᾷ σοφία τ' ἐκ τᾶς ἐπιστάμας τε καὶ δικαιοσύνας γενομένα παρ' ἀνθρώποις. Ἡ δ' αὐτὰ τὸ ὅλον καὶ τὰ μέρεα, οὕτω παιδαγωγεῖ τε καὶ σώζει ὁμόφρονα καὶ ποτάγορα ἀλλάλοις ἀπεργαζομένα, πῶς οὐ μάτηρ καὶ τιθήνα πασᾶν τε καὶ πάντων παμψαφεὶ λέγοιτο;

Parentheſi incluſa obſcura ſunt.

Πλάτωνος νόμων ε.

Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν: ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου. Ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. Ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ.

Ἱέρακος.

Φέρε γὰρ ἴδωμεν, τί τοῖς πολλοῖς δοκεῖ περὶ δικαιοσύνης. Οἱ μὲν οὖν, ἕξιν εἶναι φασὶ ψυχῆς ἀδωροδόκητον, καὶ τοῦ κατὰ δύναμιν ἑκάστου στοχαζομένην. Οἱ δέ, ἕξιν ἐν ψυχῇ, μήτε τῇ χείρονι τύχῃ, μήτε τῇ κρείττονι πλέον ἢ ἔλαττον ἀπονέμουσαν, τὸ δ' ἴσον πᾶσι φυλάττουσαν. Δοκοῦσι δέ μοι οἱ μὲν πρότεροι, τὸν μὴ ἀλλοτρίων ἐπιθυμοῦντα χρημάτων θαυμάζειν: τηρήσαντα δ' αὖ καὶ τὸ κατὰ δύναμιν ἑκάστῳ, εἰ κελεύειν τισὶ συγχωρηθείη. Οἱ δεύτεροι δέ, τὸν μὴ τῇ τύχῃ τὸ πλέον μετροῦντα, πάντας δὲ τῶν αὐτῶν ἀξιοῦντα. Τί οὖν εἰ τοῦτο μαθών τις ἐν τοῖς ἄλλοις ἀδικώτατος εἴη; καὶ εἰ χρημάτων μὲν ἅρπαξ, ἀλλοτρίων δὲ ἐπιθυμεῖ, ὑβριστὴς δὲ ὑπάρχοι καὶ ἀκόλαστος περὶ ἡδονάς, ἆρα τοιούτων κακῶν ἀνάπλεως, δίκαιος ἂν εἴη; Ὅταν δὲ καὶ τῶν αὐτῶν ἀξιώσῃ πάντας, πῶς μὲν οὐκ ἄφρων, πῶς δὲ οὐκ ἄδικος, εἰ ὁμοίως τιμήσει

τὸν

Quemadmodum Lydius iudicat aurum, non autẽ uicissim ab auro examinatur: Sic & homo qui iudicandi facultate pollet.

Turpe fuerit iudicem ab aliis iudicari.

Veluti recto nihil dari potest rectius, sic neq; iusto iustius.

Itaq; iustitia multam adfert animo tranquillitatẽ. Neminẽ eñ timentẽ, nec apud ullum erubescentẽ uiuere, uoluptas quędã est, et quasi sufficientia siue perfectio uitę. Cæterum q iustitiã animo cõplectit, non solũ aliis utilis est, sed etiã ipse sibi. Non eñ conabit ulla ex parte seipsũ offendere, neq; ullius sibi doloris aut morbi author erit. Sed naturæ instrumẽta sensib. destinata, deos existimãs esse, iustè ipsis utet: & ne qd supra ipsorũ uires agat maximè cauebit, uoluptatẽ utilitatẽq; ex eis capiens. Eteñ ab auditu, uisu, alimentis, & Venere contingent uoluptates ei q seipso iuste usus fuerit. *Diogenis.*

Diuitiæ fortassis magna æmulatione desiderabiles sunt. Sed iustitia, pretiosa & admirabilis res est. *Lycurgi.*

Quemadmodum domus, & nauigii, & aliorum huiusmodi, partes inferiores firmissimas oportet esse: sic & actionum initia fundamentaq; uera & iusta conuenit esse. *Demosthenis.*

In Pedaliis Indica gente non sacerdos, sed qui pręsentium prudentissimus fuerit, uictimam ferit. Petit autem semper à diis nihil aliud, quàm iustitiam. *Ex Nicolai collectione morũ.*

Deus nullo uspiam modo iniustus est, sed plane iustissimus. Nec ei similius inueniri potest quicquam, quàm qui inter nos iustissimus fuerit. *Platonis in Theæteto.*

Iustitia inter homines uidetur mihi mater & nutrix cæterarum uirtutum appellanda. Nam sine illa neq; temperantẽ, neq; fortem, neq; prudentẽ esse quenquam fieri potest. Quippe harmonia & concordia totius animæ est cũ concinnitate. Fiet autem eius utilitas euidentior, si alios habitus considerauerimus, utpote qui particularem solum sui usum, & ad unum quempiam præbeant. Iustitia uero utilitatem in multitudine, & uniuersas rerum comprehensiones præstat. Siquidem in mundo principatum omnem obtinens prouidentia uocatur, & harmonia, & constitutio generis cuiusdam Deorum, qui ipsam ita disposuerunt. In ciuitate autem pax, et æquitas merito nominatur. In domo autem hæc est uiri & uxoris concordia mutua: Item famulorum in heros beneuolentia. Dominorum autem erga famulos benigna curatio. In corpore autem, sanitas & perfectio membrorum. Cæterum in anima est sapientia, quæ per scientiam & iustitiam hominibus comparatur. Cum igitur hæc uirtus totum simul ac partes singulas ita moderetur, & in concordia conseruet, quomodo non mater & nutrix tum uirtutum tum rerum omnium commũni iudicio dici deberet? *Ex Polo Pythagorio Lucano.*

Honorandus certe est, qui nihil iniuriatur. Qui uero nec alios id facere patitur, duplici honore, imò etiam magis est honorandus. Ille enim uni, hic multis hominibus comparatur, cum principibus cæterorum iniuriam nunciet. Qui autem unà etiam cum magistratibus iniuriam, quoad potest, ulciscitur, is magnus perfectusq; in ciuitate uir præconio prædicetur. *Platonis legum quinto.*

Agedum uideamus quid plerisq; uideatur de iustitia. Sunt igitur qui ipsam habitum esse dicant animæ muneribus incorruptum, & quantũ unusquisq; possit comectantem. Alii habitum animæ definiunt, qui neq; superiori neq; inferiori fortunæ plus minúsue tribuat, sed æqualitatem omnibus seruet. Videntur autem mihi priores quidem admirari illum, qui alienas pecunias non concupiscat, & quid unusquisque possit obseruet, si quibus præficiatur. Posteriores illum magnifacere apparent, qui non maiori fortunæ plus attribuat, sed omnes eisdem rebus dignetur. Sed quid si quispiam prædicta quidem teneat, in aliis autem iniustissimus sit? Nam si pecunias rapiat, desideret aliena, iniurius & luxuriosus sit circa uoluptates: his inquam malis si plenus sit, poterit ne iustus esse? Quod si etiam omnes eisdem rebus dignos æstimet, ut si eodem honore & temperantem & luxuriosum prose- *Hieraclis.*

τόν τε σώφρονα καὶ τὸν ἀκόλαστον, καὶ τὸν ἄφρονα καὶ τὸν φρόνιμον;

Τοῦ αὐτοῦ. Ἀλλ' οὐδὲ τὸ μὴ χρημάτων ἀλλοτρίων ἐπιθυμεῖν, δικαιοσύνης ὅρος, εὐτύχημα δὲ περὶ ἕν, τι τῶν παθῶν. Ὑποκείσθω γὰρ ὑπερβολῇ πλούσιον εἶναί τινα, δυνάμενον ἄλλοις ἐπαρκεῖν πολλοῖς ἐκ τῶν ἰδίων, δόξης δὲ τοῦτον ἡττώμενον καὶ φιλοτιμίας, καὶ μηδενὸς ἐλευθεριάζοντος ἀνέχεσθαι, ἀλλὰ τοὺς μὲν ὑβρίζειν, τοὺς δὲ τύπτειν, τοῖς δὲ κελεύειν, τερπόμενον τῷ πάντας ὑπακούειν αὐτῷ. Τί οὖν ἄν τις τοῦτον εἴποι, ὅταν μηδενὸς μὲν τῶν ἀλλοτρίων ἐπιθυμῇ, βίαιος δὲ ἄλλως ᾖ καὶ τύραννος; καὶ πρώτοις μὲν τοῖς οἰκέταις, καὶ ταῖς θεραπαίνισι χρῆσθαι κακῶς; τοὺς μὲν, ὑπὲρ τὸ μέτρον κολάζοντα, ταῖς δὲ, συγγινόμενον ἀναίδην; ἔπειτα μηδὲν ἀδικεῖν ἡγεῖσθαι, ταῦτα ποιοῦντα;

Ἐν ταὐτῷ. Οἱ μὲν οὖν τοῦ περιπάτου, μεσότητα πλεονεξίας, καὶ μειονεξίας τὴν δικαιοσύνην εἰρήκασιν. Οἱ δὲ ἀπὸ τῆς στοᾶς, ἕξιν ἰσότητος ἀπονεμητικήν. Καὶ ὡς μὲν οὐ μόνον οὐ δίκαιον, ἀλλὰ καὶ ἀδικώτατον τὸ πάντας τῶν αὐτῶν ἀξιοῦν, ἐν τοῖς ἔμπροσθεν εἴρηται. Τὸ δὲ μεταξὺ πλεονεξίας καὶ μειονεξίας, ἔκβασίς ἐστι πράξεως ἀκατονόμαστος, ἀλλ' οὐκ ἀρετὴ ψυχῆς. πᾶσα δὲ πρᾶξις ἐνέργεια ψυχῆς διὰ σώματος· ἡ δ' ἐνέργεια, οὐκ ἀρετή, ἢ πᾶσα ἐνέργεια ἦν ἀρετή. τὴν δὲ δικαιοσύνην πάντες ἁπαξαπλῶς ἀρετὴν ψυχῆς ὁμολογοῦσιν, ἀλλ' οὐ πρᾶξιν, οὐδὲ πράξεως ἀποτέλεσμα. τρία γάρ ἐστι περὶ ἕκαστον· ἡ ἕξις, ἡ πρᾶξις, ἡ ἀποτέλεσμα. Ἕξις μὲν, καθ' ἣν πλεονεκτικοί τινες, ἢ μειονεκτικοί εἰσιν. Πρᾶξις δὲ, τὸ μειονεκτεῖν καὶ πλεονεκτεῖν. Ἀποτέλεσμα δὲ, ἡ μειονεξία, καὶ ἡ πλεονεξία. ὥσπερ ἕξις μὲν, ἡ ζωγραφική. πρᾶξις δὲ, ἡ ζωγραφία. ἀποτέλεσμα δὲ, ἡ γραφή. καὶ πάλιν· ἕξις μὲν, ἡ ἀγαλματοποιική. πρᾶξις δὲ, τὸ ἀγαλματοποιεῖν. ἀποτέλεσμα δὲ, τὸ ἄγαλμα. εἰ δέ τις τὴν ἕξιν ὁρίζοιτο γραφὴν καὶ ἄγαλμα, τῷ τοῦ ἀποτελέσματος ὀνόματι καλῶν, σφάλλεσθαι ἂν ὁμολογοῖτο, καὶ σύγχυσιν ποιεῖν. οὕτως ὁ πλεονεξίαν καὶ μειονεξίαν τὴν ἕξιν ὀνομάζων, τῷ τοῦ ἀποτελέσματος ὀνόματι χρῆται ἐπὶ τῆς ἐν τῇ ψυχῇ ἕξεως. καὶ ἡ μεσότης τοίνυν τῶν ἀποτελεσμάτων, ἀποτέλεσμα ἂν εἴη. τεταγμένων γὰρ ἐν τοῖς ἐκ τῶν πραγμάτων ἀποτελουμένοις πλεονεξίας καὶ μειονεξίας· καὶ ἡ τούτων μεσότης, εἴη ἂν ἀποτέλεσμα οὐχ ἕξις. Ἔστω δὲ μὴ ἔκβασις, ἀλλ' ἕξις ψυχῆς. * οὔτε πλεονεκτική. ὁ περὶ τὸ τοίην, ἤ τινι. μήτε πλεονεκτῶν, μήτε μειονεκτῶν, ἐστὶ δίκαιος. περὶ μὲν δὴ τὰ σωματικὰ ἀγαθὰ οὐκ ἂν φαῖμεν εἶναι ταύτην, οὔτε ὡς τούτων ἀκρότητα, οὔτε ὡς μεσότητα. οὐ γὰρ δὴ κτητὰ ταῦτα γίγνεται κατὰ τὴν ἡμετέραν πρόθεσίν τε καὶ σπουδήν, ἀλλὰ τὰ πολλὰ τούτων ἐστὶ φύσεως. κάλλος μὲν γάρ ἐστι φύσει, καὶ ἰσχὺς σώματος, καὶ ὑγίεια. εἰ δὲ * γηρώμεθα, τὴν μὲν ἰσχὺν ἐπιτείνειν τροφαῖς τε, καὶ γυμνασίοις· τὴν δὲ ὑγίειαν, διαίτῃ ποιᾷ τηρεῖν, καὶ ἐκπίπτουσαν ἀνακαλεῖσθαι· ἀλλ' ὅμως ὡς οὐκ ἐφ' ἡμῖν οὔσης τῆς ἀρχῆς τῆς τούτων κτήσεως, ἀπονεμητέον τῇ τοῦ σώματος φύσει. καί τοι καὶ τούτοις πλεονεκτεῖν λέγονταί τινες· ἰσχύι μὲν, εἰ τύχοι Μίλων ὁ Κροτωνιάτης, κάλλει δὲ, Λαῒς ἡ Κορινθία, καὶ εἴ τινες τούτοις παραπλήσιοι. τίς οὖν ἂν γένοιτο Μίλωνος ἀδικία; ἢ τίς Λαΐδος πλεονεξία; ἆρα εἰ μὲν Μίλων περιέλθοι τοὺς ἀσθενεστέρους τύπτων τε, καὶ τὰ τούτων χρήματα διαρπάζων, καὶ τὰς τούτων γυναῖκας; καὶ Λαῒς ὁμοίως, μισθὸν μὲν πλεῖστον εἰσπράττουσα παρὰ τῶν ἐραστῶν, ἐνίων δὲ γυναικῶν καὶ γάμους διαλύουσα, τοῦτ' ἂν εἴη τὸ πλεονεκτεῖν; περὶ ποίαν οὖν ὕλην τὴν αἵρεσίν τις ποιήσεται τοῦ μήτε ὑπερβάλλοντος, μὴ δ' αὖ ἐλλείποντος; ἢ τὸ ἀγελαῖον ἐκεῖνο καὶ κοινόν, ἀρκοῦ τοῖς αὐτοῦ καὶ μὴ διάρπαζε τὰ πλησίον, μὴ δ' αὖ προΐεσο τῶν σῶν, ὡς ἐπὶ τοῦτο μειονεκτῶν, τὸ μὲν δὴ μὴ βιάζεσθαι, δυναίμην εἴποι τις ἄν, ἐπ' ἐμοὶ γὰρ τοῦτο, τὸ δὲ μὴ πλεονεκτεῖσθαι, πῶς ἂν γένοιτο; πολλοὶ γὰρ οἱ κρείττους. ἀλλ' εἴ τις βούλοιτο δεομένοις ἐπαρκεῖν, καὶ ὀρφανὰς συνεκδιδόναι, καὶ αἰχμαλώτους λύσασθαι, ταῦτα μὲν ἴσως δυνατόν ἐστι ποιεῖν, ἀλλ' οὐ τῷ γε τιμῶντι τὴν προειρημένην μεσότητα. πλεονεκτεῖσθαι γάρ ἐστι :: μειονεκτεῖν, τὸν ταῦτα ποιεῖν ἀνεχόμενον. πῶς οὖν αὐτὴν ὁρίζεται ὁ καθ' ἡμᾶς λόγος; ἕξιν εὔλογον ψυχῆς ὀρθότητος ἐπιμελουμένην· ἢ τιμωρίας ἀπαίτησιν, παρὰ τῶν προαδικηκότων. οὐχ ὡς τοῦ ἢ συνδέσμου τὴν ἑτέραν τῶν προτάσεων. *

Quomodo hec legerimus in translatione uidebis.

forte τηρώμεθα.

*Deest aliquid.

Ξενοφῶντος ἐν δ'. ἀπομνημονευμάτων. Καὶ ὁ Σωκράτης ἔφη, οὐ δήπου ὦ Εὐθύδημε ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται, καὶ οἰκονομικοί, καὶ ἄρχειν ἱκανοί, καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις,

καὶ

quatur, & insipientem & prudentem, quo pacto non imprudens iniustusq; fuerit?

Porrò neq; pecunias alienas non concupiscere, iustitiæ diffinitio est, sed unius solum affectus fœlix constitutio. Fingamus enim aliquem prædiuitẽ esse, qui suis opibus plurimis alijs suppeditare possit, gloria aũt & ambitione uinci, & neminem libere loquẽtẽ sustinere, sed alios afficere iniuria, alios uerberare, alijs pro libidine quidlibet imperare, eò quod omnes ei obediant. Talem hominem quid esse dicemus, qui alieni quidẽ nihil cupiat, sed alioqui uiolentus & tyrannus fuerit, & famulis quidem primum & ancillis malè utatur, illos quidem immodicè castigans, cum his uero impudenter luxurians: deinde cum hæc faciat, nihil iniuriari se censeat? *Eiusdem.*

Peripatetici quidem inter pluris minorisq; assumptionem mediũ obtinere iustitiam dixerunt. Stoici uero, habitum æqualiter distribuentẽ. Quod aũt non modo iustum non sit, sed planè iniustissimũ omnes eadem æstimatione dignari, superius expositũ est. At mediũ inter pluris minorisq; assumptionẽ, effectio cuiusdam actionis est innominata, non aũt uirtus animæ. Cæterũ omnis actio operatio est animæ per corpus. Operatio aũt nõ est uirtus, aut oĩs opatio uirtus esset. At iustitiã omnes simpliciter animæ uirtutẽ esse consentiũt, non actionem, nec actionis effectũ. Tria enim circa unumquodq; considerantur, uidelicet ut aut sit habitus, aut actio, aut effectus. Habitus qdẽ secundũ quẽ maius minúsue assumimus. Actio aũt, ipsũ mai⁹ minúsue sibi sumere. Effect⁹ uero, maioris minorísue assũptio. Quẽadmodũ habit⁹ quidẽ est, ars pictoria. Actio, ipsa depictio. Effectus aũt, pictura. Rursus, habit⁹ qdẽ est ars statuaria. Actio aũt, statuæ formatio. At effectus, ipsamet statua. Si quis habitũ definiat picturã aut statuã esse, utẽdo nomine q̃d propriũ est effectui, is sanè falli uidereĩ & rem cõfundere. Sic & q maioris minorisq; assũptionẽ habitũ nominat, uocabulũ usurpat effectus de animæ habitu. Cæterũ & medietas effectus erit, nõ habitus. Nam cũ maioris minorisq; assumptio inter operũ effectus censeatur, eorundẽ quoq; medietas effectus existet, nõ aũt habitus. Sed esto nõ effectus, sed habitus animi. Itaq; uideamus num iustitia sit animi habitus neq; pluris neq; minoris, assumptiuus: item an iustus is qui neq; nimium neq; parum sibi sumit. Primum quidẽ igitur in bonis corporeis dicere nõ poterunt, iustitiã uel extremitatẽ eorũ uel medietatẽ esse: nõ enim illa comparare licet nostra uoluntate studioq;, sed ipsorũ maxima pars per naturam accedit. Pulchritudo eñ natura fit, & robur corporis, & sanitas. Nam & si conemur uires quidẽ augere alimentis ac exercitijs: item certo uictus genere sanitatẽ conseruare, & labascentẽ reuocare. Nihilominus tamẽ naturę corporis ea tribuimus, quoniã nõ statim ab initio cum libet ipsa cõparare in nobis sitũ est. Atq dicunĩ per hæc etiã aliqui maiores sibi partes sumere: ut robore quidẽ, exẽpli gratia, plus cæteris habet Milon Crotoniates: specie uero, Lais Corinthia, & his similes alij. Quæ igiĩ fuerit Milonis iniustitia? Aut quę Laidis arrogãtia? An si Milon circũierit, imbecilliores pcutiens, eorũq; pecunias & uxores diripiens? Et Lais similiter, si maximã mercedẽ ab amatorib. exegerit, & uxorũ aliquot nuptias dissoluerit, in eo uidebiĩ arrogãtiã exercere? In q̃ genere tandẽ igiĩ locauerit aliqs hanc uirtutẽ, q̃ sibi nec mai⁹ nec min⁹ eligit? An uulgari hoc & cõmuni dicto cõtineri uidebiĩ? Contentus esto reb. tuis, & proximi res ne diripito, neq; tuas deserito, utpote hoc pacto tibi derogãs. Verũ dixerit aliqs, uim qdẽ alijs nõ inferre pstare possim, est eñ in me sitũ. At q̃ min⁹ alij plus me sibi sumant, quo modo fieri posset? Multi eñ me pstãtiores sũt. Quod si uoluerit aliqs egẽtib. subuenire, & orphanas ad nuptias promouere, & liberare captiuos, id forte pstare poterit aliqs, at non ille q pdictæ medietati studeat. Hoc eñ mõ fieret ut ab alijs supareĩ, ac ipse sibi minorẽ cõditionẽ sumeret, dũ hęc facere sustinet. Quo pacto igiĩ nostra sentẽtia iustitiã definiet? Nẽpe, iustitia est animę habit⁹ rationabilis, rectitudinẽ curãs, aut exactionẽ uindictæ ab illis, qui priores iniuriã fecerũt. Non est autem hîc accipienda disiunctiua coniunctio tanquã alterã propositionẽ efficiens. *Ibidem.*

At Socrates: Nunquid igitur ô Euthydeme, inquit, uirtutem quæris, ob quam homines ciuiles, & patresfamiliâs, & principatu digni, & utiles, sibique *Xenophõtis lib. 4. de factis & dictis Socratis.*

καὶ ἑαυτοῖς; καὶ ὁ Εὐθύδημος, σφόδρα γ' ἔφη ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. νὴ Δί' ἔφη ὁ Σωκράτης, τῆς καλλίστης ἀρετῆς, καὶ μεγίστης ἐφίεσαι τέχνης. ἔστι γὰρ τῶν βασιλέων αὕτη, καὶ καλεῖται βασιλική. ἀτὰρ ἔφη κατανενόηκας, εἰ οἷόν τέ ἐστι, μὴ ὄντα δίκαιον, ἀγαθὸν ταῦτα γενέσθαι; καὶ μάλα ἔφη, οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης, ἀγαθὸν πολίτην γενέσθαι. τί οὖν ἔφη, σὺ ἤδη τοῦτο κατείργασαι; οἶμαί γε ἔφη ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. ἆρ' οὖν ἔφη τῶν δικαίων ἔστιν ἔργα, ὥσπερ τῶν τεκτόνων; ἔστι μέντοι ἔφη. ἆρ' οὖν, ἔφη ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν ἐξηγήσασθαι; μὴ οὖν ἔφη ὁ Εὐθύδημος, ἐγὼ οὐ δύναμαι τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι; καὶ νὴ Δί' ἔγωγε τὰ τῆς ἀδικίας. ἐπεὶ οὐκ ὀλίγα ἔστι καθ' ἑκάστην ἡμέραν, ὁρᾶν τε τοιαῦτα καὶ ἀκούειν. βούλει οὖν ἔφη ὁ Σωκράτης γράψωμεν, ἐνταυθοῖ μὲν δέλτα, ἐνταυθοῖ δὲ ἄλφα. εἶτα ὅ, τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ δέλτα τιθῶμεν, ὅ, τι δ' ἂν τῆς ἀδικίας πρὸς τὸ ἄλφα. εἴ τι σοι δοκεῖ ἔφη προσδεῖν τούτων ποίει ταῦτα. καὶ ὁ Σωκράτης γράψας ὥσπερ εἶπεν, οὐκοῦν ἔφη ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι; ἔστι μὲν οὖν ἔφη.

Parenthesi inclusa non sunt in Halensi.
* al. κακουργεῖν.
† al. ἦν.
* al. ἱεράν.

ποτέρωσε οὖν ἔφη θῶμεν τοῦτο; δῆλον ὅτι ἔφη πρὸς τὴν ἀδικίαν (οὐκοῦν ἔφη καὶ ἐξαπατᾶν ἐστι. καὶ μάλα ἔφη. τοῦτο οὖν ποτέρωσε θῶ. καὶ τοῦτο δῆλον ὅτι ἔφη πρὸς τὴν ἀδικίαν. τί δαὶ τὸ *βλέπειν; καὶ τοῦτο ἔφη) τί δ' ἀνδραποδίζεσθαι; καὶ τοῦτο. πρὸς δὲ τῇ δικαιοσύνῃ, οὐδὲν τούτων ἡμῖν κείσεται ὦ Εὐθύδημε; δεινὸν †δ' ἂν εἴη ἔφη. τί δαί, ἐάν τις στρατηγὸς αἱρεθείς, ἄδικόν τε καὶ *αἰσχρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; οὐ δῆτα ἔφη. δίκαια δὲ ποιεῖν οὐ φήσομεν; καὶ μάλα. τί δαί, ἂν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; δίκαιον ἔφη καὶ τοῦτο. ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; καὶ μάλα ἔφη. ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπέλαβον πρὸς τοὺς φίλους μόνους ταῦτα ἐρωτᾶν. οὐκοῦν ἔφη ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, *ταῦτα πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; ἔφη ἔοικε.

al. πάντα τά.

βούλει οὖν ἔφη ταῦτα θέντες οὕτω, διορισώμεθα πάλιν, πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους, ἄδικον, ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι; πάνυ μὲν οὖν ἔφη ὁ Εὐθύδημος. τί οὖν ἔφη ὁ Σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα, ψευσάμενος φήσει συμμάχους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ καταπαύσει τῆς ἀθυμίας τοὺς στρατιώτας, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; δοκεῖ μοι ἔφη πρὸς τὴν δικαιοσύνην.

al. σιτίον

ἐὰν δέ τις υἱὸν αὑτοῦ δεόμενον φαρμακείας, καὶ μὴ προσιέμενον φάρμακον ἐξαπατήσας ὡς *σῖτον τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος, οὕτως ὑγιῆ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; δοκεῖ μοι ἔφη καὶ ταύτην εἰς τὸ αὐτό. τί δαί, ἐάν τις ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτόν, κλέψῃ, ἢ ἁρπάσῃ ξίφος, ἢ ἄλλο τι τοιοῦτο: τοῦτο αὖ ποτέρωσε θετέον; καὶ τοῦτο νὴ Δία πρὸς τὴν δικαιοσύνην. λέγεις ἔφη σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι; μὰ Δί' οὐ δῆτα ἔφη. ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι. δεῖ γέ τοι ἔφη ὦ Σώκρατες ἐξεῖναι πολὺ μᾶλλον, ἢ μὴ ὀρθῶς τιθέναι. τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ, ἵνα μηδὲ τοῦτο παραλίπωμεν ἄσκεπτον, πότερος ἀδικώτερός ἐστιν ὁ ἑκών, ἢ ὁ ἄκων; ἀλλ' ὦ Σώκρατες, οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι. καὶ γὰρ τὰ πρόσθεν πάντα, νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην. ὅμως δὲ εἰρήσθω μοι, ἀδικώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντος. δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ τῶν γραμμάτων; ἔμοιγε. πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων; ὃς ἂν ἑκὼν ἔγωγε. δύναιτο γὰρ ὁπότε βούλοιτο καὶ ὀρθῶς αὐτὰ ποιεῖν. οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων, γραμματικὸς ἂν εἴη: ὁ δὲ ἄκων ἀγράμματος; πῶς γὰρ οὔ; τὰ δίκαια δέ, πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν, ἢ ὁ ἄκων; δηλονότι ὁ ἑκών. οὐκοῦν γραμματικώτερον μέν, τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῂς εἶναι; ναί.

al. φαίνομαι.

δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; *φαίνεται. δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν. τί δὲ δὴ ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν, μηδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτήν, τοτὲ μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτόν, τοτὲ μὲν πλείω, τοτὲ δὲ ἐλάττω ἀποφαίνηται: τί σοι δοκεῖ ὁ τοιοῦτος; δῆλος νὴ Δί' εἶναι, ὅτι ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν. οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; ἔγωγε. πότερον δι' ἀμαθίαν ἢ διὰ σοφίαν; δῆλον ὅτι δι' ἀμαθίαν. ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν

ἀμαθίαν

uisq; efficiantur. Tum Euthydemus: Vehementer quidem ô Socrates isthanc ip-
am opto uirtutem. Per Iouem, inquit Socrates, artem perquam optimam, uirtu-
temq; maximam desideras. Est enim hæc regum uirtus, regalisq; nuncupatur. Ve-
um, inquit, considerasti ne unquam an sine iustitia possis in huiuscemodi bonus fi
ri? Vehementer, inquit. Neq; enim est possibile sine iustitia bonū fieri ciuem. Quid
gitur, túne de te hoc perfecisti? Puto, inquit, ô Socrates præ aliis me nihilominus
ideri iustum. Vtrum, inquit, sunt & iustorū, uti & fabrorum, quędam opera? Sunt,
nquit. Num igitur, inquit, uti & fabri sua possunt monstrare opera, ita & iusti sua
ossunt exponere? Tunc Euthydemus: Non facile possum iustitiæ opera exponere.
t ego per Iouem, inquit Socrates, iniustitiæ. Non enim pauca istiusmodi in dies ui-
ere atq; audire licet. Si itaq; uelis, Socrates ait, scribamus hic sub D, quæ esse nobis
stitiæ opera uidebuntur: istic uero deinceps sub A, quæ iniustitiæ. Si tibi, inquit,
idetur his esse opus, facito. Tunc Socrates uti dixerat, adscripserat. Ac utrúmne, in
uit, est in hominibus mentiri? Est, inquit. Vbi igitur hoc collocabimus? Patet in-
uit, ad iniustitiam esse referendū. Quid, et malignari? Et hoc itidem. Tum & furari?
t hoc. Sub iustitia uero ô Euthydeme, harū nihil nobis ponemus? Malum, inquit,
set istud. Quid uero, si quis dux electus iniustam inimicāq; ciuitatē prędaretur, in-
stène hunc diceremus facere? Minimè, inquit. Iustène igitur cū facere asseremus?
laximè. Quod si cum eis bellū gerens eos deceperit? Et id quoq; iustum. At si ture-
r illorum ipsorum res, atq; arripiat, iustène fecerit. Maximè. Sed ego à principio
utabam quantū ad amicos solum te ista interrogare. Quæcunq; igitur, inquit, sub
stitia collocauimus, omnia & sub iniustitia erūt æquè collocanda? Vti uidetur, ait.
is idcirco hæc ita componentes, definiamus iterum hæc eadem aduersus hostes fa
a iusta esse, aduersus amicos iniusta? Sed fortassis aduersus amicos opus sit animo
rquam simplici. Valde, inquit Euthydemus. Quid uero, inquit Socrates, si quis
ux uideat exercitū perterritum, & mentitus dicat illico socios affuturos, istoq; men
cio animos commilitonum leuet, sub quonam id collocabimus? Sub iustitia, in-
uit, uti uidetur. At si quis filio pharmacum quo maximè indigeat respuenti, in ciba
locum dederit, & hoc mendacio illum liberârit, deceptionem hanc ubi collocabi
us? Et hanc, inquit, sub eodem, ut mihi uidetur. Quod si quis timens ne se amicus
tæ desperatione interimat, furetur aut arripiat siue gladium, siue quicquam aliud
mile, hunc actum rursus ubi collocabimus? Me hercle sub iustitia, inquit. Nec ergò
uersus amicos, ut tibi uidebatur, opus est cunctis in rebus animo simplici? Mini-
è, inquit, mediusfidius. Sed, si liceat, reuoco quæ antè concessi. Multo magis hoc li
t, Socrates ait, quàm non rectè concedere. Sed ne hoc etiam inuestigabile omitta-
us: Vter illorū, qui nocendi causa amicos seducūt, magis iniuriosus tibi uideatur,
i sponte, an qui inuitus decipit? Iam ô Socrates, ait, nō possum respōsionib. crede
meis: quęcunq; namq; hucusq; afferebamus, aliter nunc q̄ antea mihi uidenť: nihi
minus magis illū esse dicam iniuriosum, q sponte amicos decipiat. Videtur aūt ne
i doctrina atq; scientia esse iustitię seu literarū? Ita, inquit. Vtrum aūt illū esse magis
mmaticū iudicas, q sponte nō rectè scribat ac legat, an illū qui inuit⁹? Qui sponte,
quit: cū eñ uoluerit possit rectè quoq; eadē facere. Quicunq; igiť sponte nō rectè
ibat, grāmatic⁹ esset ꝑfectò: qui uero inuit⁹, literarū ignarus? Quid ni? Iusta uero
æ nō sunt, utrū ille scit q sponte mentiať ac decipiat, an qui inuitus? Ille q sponte,
gis itaq; grāmaticū qui literas sciat, q̄ qui nesciat esse putas? Ita. Magis etiā iustū,
i sciat quæ iusta sunt, q̄ qui nesciat? Ignoro quonam pacto ista etiam sic se mihi ap
rent habere. Quid uero, Socrates ait, quicunq; uera dicere uolens, nunq̄ eadem de
lem dicat? Sed siue uiā quandā monstrare oporteat, modo ad orientē, mō ad occi
ntē esse dicat? Siue rationē reddere de eadē re, modo maiorē, mō minorē eā osten-
, qd tibi de illo homine uideť? Patet inqt, me hercle ignarū illorū esse, q̄ scire puta
. Scis aūt q̄sdā seruiles homines appellatos? Ita, inqt. Vtrū ꝓpter sapiētiā, an prop
ignorātiā? Manifestū est q̄d propter ignorātiā. Vtrū aūt propter ignorantiā fabri

ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; οὐδῆτα. ἀλλ᾽ ἆρα διὰ τὴν τοῦ τεκταίνεσθαι; οὐδὲ διὰ ταύτην. ἀλλὰ τὴν τοῦ σκυτεύειν; οὐδὲ δι᾽ ἓν τούτων ἔφη. ἀλλὰ καὶ τοὐναντίον. οἱ γὰρ πλεῖστοι τῶν τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. ἆρ᾽ οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ τὰ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτό ἐστιν; ἔμοιγε δοκεῖ ἔφη. οὐκοῦν δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν.

Ἐν ταυτῷ. Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου, τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε παρεγένετο τῷ Σωκράτει λέγοντι πρός τινας,

al. βούλοιτο. ὡς θαυμαστὸν εἴη, τὸ εἰ μέν τις * μέλλοιτο σκυτέα διδάξασθαί τινα, ἢ τέκτονα, ἢ χαλκέα, ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι. φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι, πάντα μεστὰ εἶναι τῶν διδαξόντων. ἐὰν δέ τις βούληται, ἢ αὐτὸς μαθεῖν τὸ

al. ὅπη ἄν. δίκαιον, ἢ υἱόν, ἢ οἰκέτην διδάξασθαι, μὴ * εἰδέναι ποῖ ἂν ἐλθὼν τύχοι τούτου. καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐτόν, ἔτι γὰρ σὺ ἔφη ὦ Σώκρατες ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα. καὶ ὁ Σωκράτης, ὃ δέ γε τούτου δεινότερον ἔφη ὦ Ἱππία

al. τὰ αὐτά. οὐ μόνον ἀεὶ * ταῦτα λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. σὺ δ᾽ ἴσως διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. ἀμέλει ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. πότερον ἔφη καὶ περὶ ὧν ἐπίστασαι, οἷον περὶ γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκρά-

al. πρότερον. τους ἐστίν. ἄλλα μὲν * πρίν, ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε, δέκα γίνονται, οὐ τὰ αὐτὰ νῦν ἃ καὶ πρότερον ἀποκρίνῃ; περὶ μὲν τούτων ἔφη ὦ Σώκρατες, ὥσπερ σύ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω. περὶ μέντοι τοῦ δικαίου πάνυ

al. ἴσως. οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σύ, οὔτ᾽ ἂν ἄλλος οὐδεὶς δύναιτο εἰπεῖν. νὴ τὴν * Ἥραν ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι: παύσονται δὲ οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε, καὶ ἀντιδικοῦντες, καὶ στασιάζοντες: παύσονται δ᾽ αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μέν, οὐκ οἶδ᾽ ὅπως ἀπολειφθείην ἄν σου, πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος. ἀλλὰ μὰ Δί᾽ ἔφη, οὐκ ἀκούσῃ, πρίν γ᾽ ἂν αὐτὸς ἀποφήνῃ, ὅ, τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γὰρ ὅτι τῶν ἄλλων καταγελᾷς, ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δ᾽ οὐδενὶ ἐθέλων ὑπέχειν λόγον, οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός. τί δέ ὦ Ἱππία ἔφη, οὐκ ᾔσθησαι, ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι οὐδὲν παύομαι ἀποδεικνύμενος; καὶ ποῖος

al. ἀποδείκνυμαι. δή σοι ἔφη οὗτος ὁ λόγος ἐστίν; εἰ δὲ μὴ λόγῳ ἔφη, ἀλλ᾽ ἔργῳ * ἀποδείκνυμι, ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; πολύ γε νὴ Δί᾽ ἔφη. δίκαια μὲν γὰρ λέγοντες πολλοί, ἄδικα ποιοῦσι: δίκαια δὲ πράττων, οὐδ᾽ ἂν εἷς ἄδικος εἴη. ᾔσθησαι οὖν πώποτέ μου, ἢ ψευδομαρτυροῦντος, ἢ συκοφαντοῦντος, ἢ πόλιν, ἢ φίλους, εἰς στάσιν ἐμβαλόντος, ἢ ἄλλο τι ἄδικον πράττοντος; οὐκ ἔγωγ᾽ ἔφη. τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι, οὐ δίκαιον ἡγῇ; δῆλος εἶ ἔφη ὦ Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι γνώμην, ὅ, τι νομίζεις τὸ δίκαιον. οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ᾽ ἃ μὴ πράττουσι, ταῦτα λέγεις. ἀλλ᾽ ᾤμην ἔγωγε ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν, ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι, ἐὰν

† al. τόδε
* al. τὸ νόμιμον.
al. ἦ.

† τὸ δέ σοι μᾶλλον ἀρέσκῃ. φημὶ γὰρ ἐγὼ * τὸ νόμιμον δίκαιον εἶναι. ἆρα τὸ αὐτὸ λέγεις ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; ἔγωγε ἔφη. οὐ * γὰρ αἰσθάνομαί σου, ὁποῖον νόμιμον, ἢ ποῖον δίκαιον λέγεις. νόμους δὲ πόλεως ἔφη γινώσκεις; ἔγωγε ἔφη. καὶ τίνας τούτους νομίζεις; ἃ οἱ πολῖται ἔφη συνθέμενοι, ἅ τε δεῖ ποιεῖν, καὶ ὧν ἀπέχεσθαι ἐγράψαντο. οὐκοῦν ἔφη, νόμιμος μὲν ἂν εἴη, ὁ κατὰ ταῦτα πολιτευόμενος. ἄνομος δέ, ὁ ταῦτα παραβαίνων. πάνυ μὲν οὖν ἔφη. οὐκοῦν καὶ δίκαια μὲν ἂν πράττοι ὁ τούτοις πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν. πάνυ μὲν οὖν.

Parenthesi inclusa non sunt in Halensi.
al. νόμους.

οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων, δίκαιος: ὁ δέ, τὰ ἄδικα, ἄδικος; (πῶς γὰρ οὔ. ὁ μὲν ἄρα νόμιμος, δίκαιός ἐστιν.) ὁ δὲ ἄνομος, ἄδικος; καὶ ὁ Ἱππίας, * νόμους δ᾽ ἔφη ὦ Σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμ᾽ εἶναι, ἢ τὸ πείθεσθαι αὐτοῖς,

οὔγε

candi,aut domos ædificandi,aut coria conficiendi hoc nomine uocari meren rentur? Ob nullum, inquit, istorum: sed è conuerso potius illi ut plurimum seruiles sunt,qui huiuscemodi sciant. An igitur illis hoc conuenit nomen,qui quæ bona & honesta, quæq; iusta sunt,ignorant? Ita mihi uidetur, inquit. Oportet itaq; omnibus modis,Socrates ait,conari ne simus seruiles.

Cæterum tum ad alios,tum ad Hippiam memini eum sic de iustitia dispu- *Ibidem.* tantem. Nam cum post multa quibus abfuerat tempora, Athenas appulisset, adfuit dum Socrates ad quosdam diceret: Mirum esse profectò, si quis uelit erdonem, aut fabrum, aut equitem instruere, is certa habeat loca, quò eum mittat, ut fiat doctior. Nonnulli etiam dicunt plena esse illorum omnia, qui ut boues, aut equos bene instructos reddant. Si quis uero aut ipse institue- it uelle ediscere quidnam sit iustum,aut suos uelit liberos in ea re fieri erudi- iores, non inueniat quo id assequatur. Hæc cum audisset Hippias,quasi ir- idens: Adhuc, ait, ô Socrates eadem dictitas, quæ dudum te audiui præ- icantem? At Socrates: Et quod, ait, hoc peius est ô Hippias, ne eadem uidem semper dico: uerum & de eisdem tu fortassis, quod multa sapias, unquam eadem iteratò dicis. Nempe, inquit ille, quod semper aliquid eni- or noui dicere. Vtrum ne de his quæ certò scias, puta si quis roget quot & teræ sint literæ Socratis, alia tum primum, alia & nunc conaris dicere? Aut quis de numeris roget, bis ne quinq;, decem sint, utrum aliâs alia respon- es? De his,ait, ô Socrates eadem uti & tu, semper dico. De iusto uero ea pu- habere nunc me quæ dicam, ut possit nemo contradicere. Per Iunonem, t, magnum te bonum adinuenisse dicis, si cessabunt ipsi iudices in profe- nda sententia discrepare. Cessabunt quidem inter se ciues litigijs con- ndere, cessabunt & ciuitates armis de iusto disceptare. Ea de re non satis io quonam pacto abs te discedam, ni prius audiam de tam grandi à te in- ento bono differentem. At per Iouem, inquit, non audies, ni prius profe- s quid statuas esse iustum. Sat sit te alios omneis irridere, semper rogare, rguere, dum nolis cuiquam respondere, & nusquam sententiam tuam ex- icare. Quid nam, inquit: nónne & tu perpendisti, quæ ipse quoque sen- am iusta esse, eadem haudquaquam cesso facere? Et quid hic ais? Tum So ates: Id si non uerbis, sed opere ostendo: nũ tibi probatior ratio ea uidetur q̃ æ uerbis fit? Multo per Iouem, inquit. Multi enim dum iusta dicant, iniusta ciunt: qui uero iusta fecerit, nunquam iniustus est. Perpendisti ne tu me un- am, ait, aut falsum testimoniũ exhibentem, aut calumniantem, aut amicos, t ciuitates ad seditiones excitantẽ, aut quicquã iniusti agentem? Minime in it. Abstinere idcirco ab iniustis, ait, nõ tu putas esse quid iustũ? Vt uidere li t, & nunc eniteris effugere tuam in medium proferre sententiam, ac dicere id putes esse iustum: non enim quæ agunt iusti, sed quæ non agunt, dicis. o putabã, inquit Socrates, nolle iniuriã in quempiã afferre, satis cõstans esse iusti signũ. Id si tibi nõ uidetur, considera si hoc tibi magis accõmodatũ uidet. Illum ego dico iustũ, qui pareat legibus. Vtrũ eundẽ dicis ô Socrates esse legib. obtem rantẽ, & iustũ? Ita, inquit. Non satis teneo, ait, quem legib. obtemperantẽ, quẽue stũ esse dicas. Nónne, inqt Socrates, quę sint urbis leges nosti? Nosco, ait. Et quas s putas esse? Quas ciues, ait, conscripserunt, statuentes quid facere, & à quibus stinere oporteat. Legibus idcirco obtemperans ait Socrates, nũ is erit, qui secun eas uiuat? nõ obtemperans erit, qui eas transgredit? Vehemẽter, inqt. Quicunq; tur eis pareat, faciet iusta: qui secus, iniusta. Ita inquit, profectò. Qui igitur iusta fa , iustus: qui iniusta, iniustus est. Iniustus uero q præter leges uiuat. Tunc Hippi- Quonã pacto ô Socrates, ait, aut leges, aut eis parere quisquã magni existimaret,

al. οὐ γε. *οὔγε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται; καὶ γὰρ πόλεμον ἔφη ὁ Σωκρά-
της πολλάκις ἀράμεναι πόλεις, πάλιν εἰρήνην ποιοῦνται. καὶ μάλα ἔφη. διάφορον οὖν τι οἴει
al. πολεμίοις. ποιεῖν ἔφη τοὺς τοῖς νόμοις πειθομένους, φαυλίζων, ὅτι καταλυθεῖεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς * ἐν τοῖς
πολέμοις εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' ἂν εἰρήνη, ἢ καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρί-
σι προθύμως βοηθοῦντας μέμφῃ; μὰ Δί' οὐκ ἐγὼ ἔφη. Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον ἔφη ὁ
Σωκράτης καταμεμάθηκας, ὅτι οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν,
εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις, μάλιστα οὓς ἐνειργάσατο αὐτῇ. τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν,
al. abest. οὐκ οἶσθα (ὅτι) οἳ τινὲς ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄρι-
στοί εἰσι; καὶ πόλις ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει,
καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν. ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοκεῖ ταῖς πό-
λεσιν εἶναι, καὶ πλειστάκις ἐν αὐταῖς αἱ γερουσίαι, καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πο-
λίταις ὁμονοεῖν. καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται, τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ
πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι, οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς
κρίνωσιν οἱ πολῖται οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ' ὅπως τοὺς αὐτοὺς ποιη-
τὰς αἱρῶνται, οὐδ' ἵνα, τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολιτῶν
ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε, καὶ εὐδαιμονέσταται γίγνονται. ἄνευ δ' ὁμονοίας, οὔτ' ἂν πό-
λις εὖ πολιτευθείη, οὔτ' οἶκος καλῶς οἰκηθείη. ἰδίᾳ δὲ, πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημι-
al. πῶς, additur. Inclusa parenthesi nõ sunt in Halēsi æditione sed optime huc quadrant. οῖτο (* πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο. πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις
ἡττῷτο, ἢ πῶς ἂν μᾶλλον, νικῴη; τίνι δ' ἄν τις μᾶλλον πιστεύσειεν, ἢ χρήματα, ἢ θυγατέρας, ἢ υἱούς;
τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου; παρὰ τίνος δ' ἂν μᾶλλον τῶν δικαί-
ων τύχοιεν, ἢ γονεῖς, ἢ οἰκεῖοι, ἢ οἰκέται, ἢ φίλοι, ἢ πολῖται, ἢ ξένοι. τίνι δ' ἂν μᾶλλον ἢ τῷ νομίμῳ
σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τίνι δ' ἂν μᾶλλον ἢ σύμμαχοι πιστεύσειαν ἡγεμονίαν, ἢ φρουραρ-
χίαν, ἢ πόλεις. τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι κομιεῖσθαι χάριν μᾶλλον, ἢ τὸν νόμιμον) ἢ τί-
να μᾶλλον ἄν τις εὐεργετήσειεν, ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει; τῷ δ' ἄν τις βούλοιτο
μᾶλλον φίλος εἶναι, ἢ τῷ τοιούτῳ, ἢ τῷ ἧττον ἐχθρός; τῷ δ' ἄν τις ἧττον πολεμήσειεν, ἢ ᾧ μά-
λιστα μὲν εἶναι φίλος βούλοιτο, ἥκιστα δ' ἐχθρός; τῷ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιν-
το εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι; ἐγὼ μὲν οὖν ὦ Ἱππία τὸ αὐτὸ ἀποδείκνυμαι, νόμιμόν τε
καὶ δίκαιον εἶναι. σὺ δ' εἰ τἀναντία ἃ γινώσκεις, δίδασκε. καὶ ὁ Ἱππίας, ἀλλὰ μὰ τὸν Δί' ἔφη
ὦ Σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου. ἀγράφους δέ
τινας οἶσθα, ἔφη, ὦ Ἱππία νόμους; τούς γε ἐν πάσῃ χώρᾳ ἔφη κατὰ ταυτὰ νομιζομένους. ἔχοις ἂν
οὖν εἰπεῖν ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; καὶ πῶς ἂν ἔφη, οἵγε οὔτε συνελθεῖν ἅπαντες
δυνηθεῖεν, οὔτε ὁμόφωνοί εἰσι; τίνας οὖν ἔφη νομίζεις τοὺς νόμους τεθεικέναι τούτους; ἐγὼ μὲν,
ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι. καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶ-
al. σέβειν. τον νομίζεται θεοὺς * εὐσεβεῖν. οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; καὶ τοῦτο ἔφη.
οὐκοῦν καὶ μήτε γονεῖς παισὶ μίγνυσθαι, μήτε παῖδας γονεῦσιν; οὐκ ἔτι μοι δοκεῖ ἔφη ὦ Σώκρατες
οὗτος θεοῦ νόμος εἶναι. τί δή ἔφη; ὅτι ἔφη αἰσθάνομαί τινας παραβαίνοντας αὐτόν. καὶ γὰρ ἄλλα
πολλὰ ἔφη παρανομοῦσιν. ἀλλὰ δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κει-
μένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν. ὥσπερ τοὺς ὑπ' ἀνθρώπων κει-
μένους νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι, οἱ μὲν λανθάνοντες, οἱ δὲ βια-
ζόμενοι. καὶ ποίαν ἔφη δίκην ὦ Σώκρατες οὐ δύνανται διαφεύγειν, γονεῖς τε παισί, καὶ παῖ-
δες γονεῦσι μιγνύμενοι; τὴν μεγίστην νὴ Δία ἔφη. τί γὰρ ἂν μεῖζον πάθοιεν, ἄνθρωποι τεκνοποι-
al. ἢ τὸ οὐμενοι, τοῦ κακῶς τεκνοποιεῖσθαι; πῶς οὖν ἔφη κακῶς οὗτοι τεκνοποιοῦνται, * ὅτι οὐδὲν κωλύ-
ει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν τεκνοποιεῖσθαι; ὅτι νὴ Δί' ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ
ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν. ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρ-
ματα εἶναι τὰ τῶν ἀκμαζόντων, ἢ τῶν παρηκμακότων; ἀλλὰ μὰ Δί' ἔφη, οὐκ εἰκὸς ὅμοια εἶναι. πότε-
ρα οὖν ἔφη βελτίω; δῆλον ὅτι τὰ τῶν ἀκμαζόντων τῶν μὴ ἀκμαζόντων. ἆρα οὐ σπουδαῖα; οὐκ
εἰκὸς μὰ Δί' ἔφη. οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι; οὐ γὰρ οὖν ἔφη. οὐκοῦν οἵγε οὕτω παιδο-
ποιούμενοι, ὡς οὐ δεῖ παιδοποιοῦνται; ἔμοιγε δοκεῖ ἔφη. τίνες οὖν ἔφη ἄλλοι κακῶς ἂν παιδο-
ποιοῖντο,

um ipſimet legumlatores pluries eas improbantes mutent? Etenim, Socrates ait, iuitates bellum ſuſcipientes, rurſus pacem ſuſcipiunt. Maximè. Putáſne intereſſe, ſi quis eũ uituperet qui legibus obtemperet, quod ſæpius mutentur? An eũ, qui bello ortiter pugnet, quod ſæpius fiat pax? An & hos qui in bello promptè patriã iuuẽt, ituperas? Non hercle. Lycurgum aũt Lacedęmoniũ ſenſiſtíne unquã, nulla re alia ecíſſe Spartã ab alijs ciuitatibus differre, quàm quod inſtituerit ſuos ciues rectè pa-ere legibus? In ciuitatibus quoq;, nõ meminiſti eos primates fore optimos, qui po-ulo cauſa ſint ut pareant legibus? Tũ ciuitas, in qua maximè ciues legibus pareant, in pace beata, & bello inuicta eſt. Nec nõ ẽ concordia maximũ eſſe ciuitatibus bo-ũ uidetur, plurieſq; & ſenatus, & uiri optimi ad eã ipſam hortantur, totaq; in Græ a lex poſita eſt, ut ciues ad cõcordiã iureiurando cõueniant, atq; ubiq; id inter ſe ræſtãt. Hæc ni fallor, faciunt, nõ ut ſemper eoſdẽ ſaltatores, nec ut eoſdẽ tibicines, ec ut eoſdẽ poëtas habeant, nec ut eiſdẽ delectentur, ſed ut legibus pareant. Nam cũ ene cum legibus ciues conuenerint, fœliciores ac multò erunt ciuitates potentio-es. Sine concordia neque ciuitas bene gubernabitur, neque domus bene habita-itur. Priuatim uerò quomodo aut minus à ciuitate condemnabitur, aut magis onorabitur, aut magis litigijs uincet, aut minus uincatur, quàm ſi legibus parue-it? Apud quem magis quiſpiam aut pecuniam, aut filios, aut filias ſuas depo-at? aut quem ciuitas digniorem putet magis, quàm qui legibus pareat? Tum à uo magis parentes, propinqui, familiares, noti, ciues, aduenæ aſſequentur uæ officij ſunt? Cui hoſtes magis credent, aut inducijs, aut pace componendis? Cui magis, quàm legibus parenti fieri ſocij mallent? aut cui ſocij magis cre-ant aut principatum, aut ciuitatis cuſtodiam? Aut cui quiſquam cum bene aciat, putet ſibi gratias reddi maiores, quàm ab hoc qui legibus pareat? Quis e magis cuiquam bene fecerit, quàm huic à quo non dubitet ſe gratias receptu-um? Cui aut uelit magis eſſe amicus: aut minus, quàm huic eſſe inimicus? Cui bellum quiſpiam minus inferat, quàm huic cui maximè uelit quiſpiam ſe micum eſſe, & minimè inimicum? Cui plures eſſe amici atque ſocij uolent, ma íſue pauciſſimi inimici & hoſtes? Itaq; ego ô Hippias, idem dico eſſe iuſtum tque legibus obtemperare. Quod ſi tu aliter ſentias, profer. At Hippias: Re-ë: neque mihi ſecus de iuſto eſt, ut ſentiam. Non ſcriptas autem quaſdam ô Hippias, cognoſti eſſe leges? Has, inquit, quæ quidem ubiuis locorum ſimili-r habentur. Habes igitur eas tu dicere eſſe ab hominibus latas? At id quo-am pacto, inquit, cum neque in unum omnes conuenire poſſint, neque unius ſint nguæ? Quos igitur tu putas leges iſtas tuliſſe? Ego quidem deos putem iſtas ominibus leges dediſſe. Nam lex quidem in primis apud omnes homines una eſt, t deos colas: & ut parentes item honores, ubiq; iubet lex, ait. Et hoc, inquit, eque parentibus licere miſceri cum liberis, neque liberis cum parentibus. Non ihi iſta uidetur ô Socrates, eſſe diuina lex. Quid ita? Quoniam ſentio in-uit eſſe quoſdam tranſgredientes. Enimuero cætera permulta, inquit, tranſgre iuntur: ſed ſupplicijs afficiuntur, qui à dijs impoſitas leges transgrediuntur, quæ uidem nullo modo eſt homini poſſibile effugere: ueluti qui ab hominibus poſi-s quidem transgredientes, tum quod lateant pœnam effugiunt, tum quod ui fu-erent. Et quam pœnam, inquit, ô Socrates tandem non poſſunt effugere, ſi el parentes liberis, aut liberi parentibus miſceantur? Maximam, inquit, er Iouem. Quid enim malorum maius in procreando filios homines pati-ntur, quàm ſi male procreent? Quo igitur, ait, pacto male illi procrearent, uos nihil prohibet, cum boni ſint ex bonis prolem procreare? Quoniam, quit, me hercle, non ſolum bonos eſſe oportet, qui prolem procreant, uerum ætate firma & ualida. An tibi uidetur ſimilia ſemina eſſe illorum, qui uirili tate, aut qui decliui, aut qui immatura ſunt? At per Ioue, inquit, nõ ſit mihi uериſ ile. Vtra, inqt, igitur melior? Patet, ait, quæ uirilis. Nũ ætatis immaturæ nõ bona nt ſemina? Minime. Iſto igitũ modo prolẽ nõ oportet procreare? Minime. Quicun

ποιοῖντο, ἔγωγε μὴ οὐθεοῦ. ὁμογνωμονῶ σοι ἔφη καὶ τοῦτο. τί δὲ τοὺς εὖ ποιοῦντας, ἀντευεργετεῖν, οὐ πανταχοῦ νόμιμόν ἐστι; νόμιμον ἔφη. παραβαίνεται δὲ καὶ τοῦτο. οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες, δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γινόμενοι: τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσίν; οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν: διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι; νὴ τὸν Δί' ὦ Σώκρατες ἔφη, θεοῖς πάντα ταῦτ' ἔοικε. τὸ γὰρ τοὺς νόμους αὐτοῖς τοῖς παραβαίνουσι, τὰς τιμωρίας ἔχειν, βελτίονος, ἢ κατ' ἄνθρωπον, νομοθέτου δοκεῖ μοι εἶναι. πότερον οὖν ὦ ἱππία τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; οὐκ ἄλλα μὰ Δί' ἔφη. χολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ θεός. καὶ τοῖς θεοῖς ἄρα ὦ ἱππία τὸ αὐτὸ, δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει.

Πλάτωνος. πολιτειῶν α'. Τοῦτο ἦν δ' ἐγὼ ἤδη στερεώτερον ὦ ἑταῖρε, καὶ οὐκ ἔτι ῥᾴδιον ἔχειν, ὅ, τι τίς εἴπῃ. εἰ γὰρ λυσιτελεῖν μὲν τὴν ἀδικίαν ἐτίθεσο, κακίαν μέν τοι, ἢ αἰσχρὸν αὐτὸ ὡμολόγεις εἶναι, ὥσπερ ἄλλοι

αλ. ἄν τι. τινὲς, εἴχομεν * ἀντιλέγειν, κατὰ τὰ νομιζόμενα λέγοντες. νῦν δὲ δῆλος εἶ, ὅτι φήσεις αὐτὸ καὶ

αλ. ἰσχυρόν. καλὸν καὶ † αἰσχρὸν εἶναι, καὶ τ' ἄλλα αὐτῷ πάντα προσθήσεις, ἃ ἡμεῖς τῷ δικαίῳ προσετίθεμεν, ἐπειδήγε καὶ ἐν ἀρετῇ αὐτὸ καὶ σοφίᾳ ἐτόλμησας θεῖναι. ἀληθέστατα ἔφη μαντεύῃ. Ἀλλὰ τόδε μοι πειρῶ ἀποκρίνασθαι. ὁ δίκαιος τοῦ δικαίου δοκεῖ τι σοι ἂν ἐθέλειν πλέον ἔχειν; οὐδαμῶς ἔφη. οὐ γὰρ ἂν ἦν ἀστεῖος, ὥσπερ νῦν, καὶ εὐήθης. τί δαί, τῆς δικαίας πράξεως; οὐδὲ τῆς δικαίας, ἔφη. τοῦ δὲ ἀδίκου πότερον ἀξιοῖ ἂν πλέον ἔχειν, καὶ ἡγοῖτο δίκαιον εἶναι, ἢ οὐκ ἂν ἡγοῖτο δίκαιον; ἡγοῖτ' ἂν ἦ δ' ὃς καὶ ἀξιοῖ. ἀλλ' οὐκ ἂν δύναιτο. ἀλλ' οὐ τοῦτο ἦν δ' ἐγὼ, ἐρωτῶ: ἀλλὰ εἰ τοῦ μὲν δικαίου μὴ ἀξιοῖ πλέον ἔχειν, μηδὲ βούλεται ὁ δίκαιος: τοῦ δὲ ἀδίκου; ἀλλ' οὕτως, ἔφη ἔχει. τί δαὶ δὴ ὁ ἄδικος, ἆρα ἀξιοῖ τοῦ δικαίου πλεονεκτεῖν, καὶ τῆς δικαίας πράξεως; πῶς γὰρ οὐκ ἔφη, ὅς γε πάντων πλέον ἔχειν ἀξιοῖ; οὐκ οὖν καὶ ἀδίκου γε ἀνθρώπου τε καὶ πράξεως ὁ ἄδικος πλεονεκτήσει τε καὶ ἁμιλλήσεται, ὡς ἁπάντων πλεῖστον αὐτὸς λάβῃ. ἔστι ταῦτα. ὧδε δὴ λέγομεν, ἔφη, ὁ δίκαιος τοῦ μὲν ὁμοίου, οὐ πλεονεκτεῖ: τοῦ δὲ ἀνομοίου. ὁ δὲ ἄδικος, τοῦ τε ὁμοίου, καὶ τοῦ ἀνομοίου. ἄριστα ἔφη εἴρηκας. ἔστι δέ γε, ἔφην, φρόνιμός τε, καὶ ἀγαθὸς ὁ ἄδικος, ὁ δὲ δίκαιος, οὐδέτερα; καὶ τοῦτ' ἔφη εὖ. οὐκοῦν, ἦ δ' ἐγὼ, καὶ ἔοικε τῷ φρονίμῳ, καὶ ἀγαθῷ ὁ ἄδικος, ὁ δὲ δίκαιος οὐκ ἔοικε. πῶς γὰρ οὐ; μέλλει ἔφη τοιοῦτος ὢν, καὶ ἐοικέναι τοῖς τοιούτοις. ὁ δὲ, μὴ ἐοικέναι. Καλῶς. τοιοῦτος ἄρα ἐστὶν ἑκάτερος αὐτῶν, οἷσπερ ἔοικεν. ἀλλὰ τί μέλλει; ἔφη. εἶεν ὦ Θρασύμαχε. μουσικὸν δέ τινα λέγεις, ἕτερον δὲ ἄμουσον; ἔγωγε. πότερον φρόνιμον, καὶ πότερον ἄφρονα; τὸν μὲν μουσικὸν δή που φρόνιμον: τὸν δὲ ἄμουσον, ἄφρονα. οὐκοῦν ἅπερ φρόνιμον, ἀγαθὸν, ἃ δὲ ἄφρονα κακόν; ναί. τί δαί, ἰατρικὸν οὐχ οὕτως; οὕτως. ἆρ' οὖν τίς σοι ὦ ἄριστε δοκεῖ μουσικὸς ἀνὴρ, ἁρμοττόμενος λύραν, ἐθέλειν μουσικοῦ ἀνδρὸς ἐν τῇ ἐπιτάσει καὶ ἀνέσει τῶν χορδῶν πλεονεκτεῖν, ἢ ἀξιοῦν πλέον ἔχειν; οὐκ ἔμοιγε. τί δαί, ἀμούσου; ἀνάγκη ἔφη. τί δὲ ἰατρικός, ἐν τῇ ἐδωδῇ ἢ πόσει ἐθέλειν ἀντὶ ἰατρικοῦ πλεονεκτεῖν, ἢ ἀνδρὸς, ἢ πράγματος; οὐ δῆτα. μὴ ἰατρικοῦ δέ; ναί. περὶ πάσης δὴ ὅρα ἐπιστήμης τε καὶ ἀνεπιστημοσύνης, εἴ τις σοι δοκεῖ ἐπιστήμων ὅστις οὖν ἐθέλειν πλείω ἂν αἱρεῖσθαι, ἢ ὅσα ἄλλος ἐπιστήμων, ἢ πράττειν, ἢ λέγειν; καὶ οὐ ταυτὰ τῷ ὁμοίῳ ἑαυτῷ εἰς τὴν αὐτὴν πρᾶξιν. ἀλλ' ἴσως ἔφη ἀνάγκη, τοῦτό γε οὕτως ἔχειν. τί δαί, ὁ ἀνεπιστήμων οὐχ ὁμοίως μὲν ἐπιστήμονος πλεονεκτήσειεν, ἀνομοίως δὲ ἀνεπιστήμονος ἴσως. ὁ δὲ ἐπιστήμων σοφός; ναί. ὁ δὲ σοφὸς ἀγαθός; φημί. ὁ ἄρα ἀγαθός τε καὶ σοφὸς, τοῦ μὲν ὁμοίου, οὐκ ἐθελήσει πλεονεκτεῖν, τοῦ δ' ἀνομοίου τε καὶ ἐναντίου; ἔοικεν, ἔφη. ὁ δὲ κακός τε καὶ ἀμαθὴς, τοῦ τε ὁμοίου καὶ τοῦ ἐναντίου; φαίνεται. οὐκοῦν ὦ Θρασύμαχε, ἦν δ' ἐγὼ, ὁ ἄδικος ἡμῖν τοῦ ἀνομοίου τε καὶ ὁμοίου πλεονεκτεῖ. ἢ οὐχ οὕτως ἔλεγες; ἔγωγε ἔφη. ὁ δὲ δίκαιος, τοῦ μὲν ὁμοίου οὐ πλεονεκτήσει, τοῦ δὲ ἀνομοίου. ναί. ἔοικεν ἄρα, ἦν δ' ἐγὼ, ὁ μὲν δίκαιος, τῷ σοφῷ τε καὶ ἀγαθῷ: ὁ δὲ ἄδικος, τῷ κακῷ τε καὶ ἀμαθεῖ. κινδυνεύει. ἀλλὰ μὴν ὡμολογοῦμεν, ᾧ γε ὅμοιος ἑκάτερος εἴη, τοιοῦτον καὶ ἑκάτερον εἶναι. ὡμολογοῦμεν γάρ. ὁ μὲν ἄρα δίκαιος ἡμῖν ἀνα-

Τοῦ αὐτοῦ, πολιτ. α'. πέφανται ὢν ἀγαθός τε καὶ σοφός. ὁ δὲ ἄδικος ἀμαθής τε καὶ κακός. Ἐπειδὴ δ' οὖν διωμολογη-

σάμεθα

que igitur prolē procreant istorū, prolem nō ut oportet procreant? Vti uidetur, ait. Qui igitur, ait, male procreent, nisi isti? Fateor. Sed quid? benefactores nónne uicissim afficere beneficijs ubiq; legibus sancitū est? Est, inquit. Verū & id homines interdū transgrediuntur. Et hi igit, qui hoc transgrediuntur, pœnas luunt. Nā bonis amicis priuati, alios, qbus sunt odio, quæritant. Quicunq; enim benè suis fecerit necessarijs, huic boni fient amici: qcunq; uerò nō affecerit huiusmodi homines beneficijs, propter ingratitudinē ab his odio habebitur. Cū aūt adeò ijs maximè códucat ati, hos maximè quæritant. Per Iouē, inquit, ô Socrates, deorū eæ esse leges uidētur. Nā quod qui transgrediūtur, dant pœnas, eò mihi melioris esse conditoris uidētur, quā hominis. Vtrum ô Hippias deos putes quæ iusta sint legibus mandare, an alia? Non hercle. Minimè enim alius iusta legibus mandaret. Dijs quoq; ô Hippias, idem iustum esse atq; legibus obtemperare placet.

Ex Platone de Rep. uel de iusto.

Durius hoc iā, ô amice, neq; amplius inuentu facilè quod quis dicat. Si enim conducere qdē iniustitiā posuisses, uitiū tamē uel turpe quoddā esse ipsam cōfessus esses, quemadmodū alij quidā, aliquid ad hæc secundū ea quæ existimantur dicere possemus. Nunc aūt perspicuū est dicturū esse te, & pulchrū & robustū quiddā iniustitiā esse, cæteraq; illi daturū omnia, quæ nos iustitiæ tribuimus: quandoquidē & in uirtute, & in sapiētia ponere eam nō dubitasti. Verissima profectò uaticinaris.

Eiusdem.

Sed hoc qq; mihi respōde: An iust⁹ uideat tibi pl⁹ iusto habere uelle. Nullo pacto. Nō em̄ urbanus esset ut nūc & simplex. Quid aūt? plúsne iusta actione? Neq; iusta etiā actione. Iniusto aūt utrū dignū putaret plus habere, idq; iustū existimaret, uel cōtra? Existimaret utiq;, dignumq; putaret, sed nō posset. Atqui ego istuc nō interrogo, sed utrū iusto quidē plus habere, neq; dignū putet, neq; uelit iustus: iniusto autē cōtra. Sic est profectò. Quid autē iniustus? An æquū censet plus habere & iusto & actiōe iusta? Quid ni? cū omnibus plus habere se dignū existimet. Nū igit & iniusto homine iniustaq; actione, iniustus plus habebit, & certabit ut in habendo omnes exuperet? Vera hæc sunt. Sic itaq; dicimus. Iustū quidē simili nō plus habere uelle, plus aūt dissimili: Iniustū uerò utroq; plus accipere uelle. Rectè dixisti. Atqui prudēs & bonus, iniustus ipse est: iustus aūt, neutrū. Rectè & illud. Ergo prudenti & bono similis est iniustus, iustus aūt minime. Quid obstat, inquit, quominus qui talis, talibus quoq; similis sit: qui uerò nō talis, similis nō sit? Ais belle. Talis igitur est uterq; ipsorū, quales hi qbus similis est. Et quid aliud? Sit ita sanè. Sed dicas Thrasymache utrū musicū aliquem uoces, aliquem uerò nō musicū. Equidē. Vtrū istorū prudentem, utrū imprudentē? Musicū sanè prudentē, expertē musicæ imprudentē. Nónne in quibus prudentē, in eisdem & bonū: in quibus imprudentē, & malum? Nempe. Eodemq; pacto de medico dicemus? Eodē. Videtur tibi uir optime, cū musicus uir lyram temperat, uelle in intensione & remissione chordarū musicū uirū exuperare, uel dignū putare, ut eo plus assequatur? Minimè. Expertē uerò musicæ superare cōcēdit? Necesse est. Quid medicus? in cibo aut potu dicésne plus assequi, quā aut medicus alter, aut res ipsa cupit? Nequaquā. Plus autē quā medicinæ artis imperitus? Procul dubio. Vniuersas deniq; scientias & inscitias contemplare, si quis tibi uidetur, qui quidē scientiā habeat, plus sumere uelle, uel dicendo, uel faciendo, quàm alter sciens, nō aūt eadē ad actionē eandem quæ et ille qui ipsi similis est. Fortè sic se res habeat necesse est. Quid aūt indoctus? nōne plus docto sibi assumere uellet, atq; etiā indocto? Fortasse. Sed doctus nónne sapiens? Concedo. Sapiēs aūt nónne bonus? Et isthuc etiā. Bonus ergo & sapiēs nō uolet plus sibi quā sui similis uendicare: plus tamē quàm dissimilis & contrarius, uolet. Videtur. Malus aūt & indoctus tam simili quàm dissimili sibi plus arrogabit. Apparet. Nónne iniustus Thrasymache, plus usurpare contendit quàm uel similis uel dissimilis? An nō ita dicebas? Dicebam equidē. Iustus aūt simili quidē nō plus uolet, sed dissimili. Fateor. Est itaq; similis, iustus quidē sapienti & bono, iniust⁹ aūt malo, & inscio. Apparet. Atqui concessimus, talē utrunq; esse qualis sit is cui similis est uterq;. Concessimus planè. Iustus itaq; nobis bonus sapiensq; esse apparuit: iniustus aūt indoctus & malus.

σάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν, τὴν δ' ἀδικίαν κακίαν τε καὶ ἀμαθίαν. εἶεν, ἦν δ' ἐγώ. τοῦτο μὲν ἡμῖν, οὕτω κείσθω. ἔφαμεν δὲ δὴ καὶ ἰσχυρότερον εἶναι τὴν ἀδικίαν.

Τοῦ αὐτοῦ.

Ἀλλὰ τῇ δέ πῃ σκέψασθαι χρή. πόλιν φαίης ἂν ἄδικον εἶναι, καὶ ἄλλας πόλεις ἐπιχειρεῖν δουλοῦσθαι ἀδίκως, καὶ καταδεδουλῶσθαι, πολλὰς δὲ καὶ ὑφ' ἑαυτῇ ἔχειν δουλωσαμένην. πῶς γὰρ οὔκ; ἔφη. καὶ τοῦτό γε ἡ ἀρίστη μάλιστα ποιήσει, καὶ τελεώτατα οὖσα ἄδικος. μανθάνω, ἔφην, ὅτι σὸς οὗτος ἦν ὁ λόγος. ἀλλὰ τόδε περὶ αὐτοῦ σκοπῶ. πότερον ἡ κρείττων γιγνομένη πόλις πόλεως, ἄνευ δικαιοσύνης τὴν δύναμιν ταύτην ἕξει, ἢ ἀνάγκη αὐτῇ μετὰ δικαιοσύνης. εἰ μὲν, ἔφη, ὡς σὺ ἄρτι ἔλεγες ἔχει, ἡ δικαιοσύνη σοφία, μετὰ δικαιοσύνης, εἰ δ' ὡς ἐγώ, μετ' ἀδικίας. πάνυ γε ἄγαμαι, ἦν δ' ἐγώ, ὦ Θρασύμαχε, ὅτι οὐκ ἐπινεύεις μόνον, καὶ ἀνανεύεις, ἀλλὰ καὶ ἀποκρίνῃ πάνυ καλῶς. σοὶ γάρ, ἔφη, χαρίζομαι. εὖ γε σὺ ποιῶν. ἀλλὰ δὴ καὶ τόδε μοι χάρισαι, καὶ λέγε. δοκεῖς ἂν ἢ πόλιν, ἢ στρατόπεδον, ἢ λῃστάς, ἢ κλέπτας, ἢ ἄλλο τι ἔθνος, ὅσα κοινῇ ἐπί τι ἔρχεται, ἀδίκως πρᾶξαι ἄν τι δύνασθαι, εἰ ἀδικοῖεν ἀλλήλους; οὐ δῆτα, ἦ δ' ὅς. τί δ', εἰ μὴ ἀδικοῖεν; οὐ μᾶλλον; πάνυ γε. στάσεις γάρ που ὦ Θρασύμαχε ἥ γε ἀδικία, καὶ μίση, καὶ μάχας ἐν ἀλλήλοις παρέχει. ἡ δὲ δικαιοσύνη, ὁμόνοιαν, καὶ φιλίαν. ἦ γάρ; ἔστω, ἦ δ' ὅς, ἵνα σοι μὴ διαφέρωμαι. ἀλλ' εὖ γε σὺ ποιῶν ὦ ἄριστε, τόδε δέ μοι λέγε. ἆρα εἰ τοῦτο ἔργον ἀδικίας, μῖσος ἐμποιεῖν ὅπου ἂν ἐνῇ, οὐ καὶ ἐλευθέροις τε καὶ δούλοις ἐγγινομένη μισεῖν ποιήσει ἀλλήλους καὶ στασιάζειν, καὶ ἀδυνάτους εἶναι κοινῇ μετ' ἀλλήλων πράττειν; πάνυ γε. Τί δέ, ἂν ἐν δυοῖν ἐγγένηται, οὐ διοίσονται καὶ μισήσουσι καὶ ἐχθροὶ ἔσονται ἀλλήλοις τε καὶ τοῖς δικαίοις; Ἔσονται, ἔφη. Ἐὰν δὲ δή, ὦ θαυμάσιε, ἐν ἑνὶ ἐγγένηται ἀδικία, μῶν μὴ ἀπολεῖ τὴν αὑτῆς δύναμιν; ἢ οὐδὲν ἧττον ἕξει; Μηδὲν ἧττον ἐχέτω, ἔφη. Οὐκοῦν τοιάνδε τινὰ φαίνεται ἔχουσα τὴν δύναμιν, οἵαν, ᾧ ἂν ἐγγένηται, εἴτε πόλει τινί, εἴτε γένει, εἴτε στρατοπέδῳ, εἴτε ἄλλῳ ὁτῳοῦν, πρῶτον μὲν ἀδύνατον αὐτὸ ποιεῖ, πράττειν μεθ' αὑτοῦ, διὰ τὸ στασιάζειν καὶ διαφέρεσθαι. ἔτι δ' ἐχθρὸν εἶναι ἑαυτῷ τε καὶ τῷ ἐναντίῳ παντί, καὶ τῷ δικαίῳ. οὐχ οὕτως; Πάνυ γε. καὶ ἐν ἑνὶ δή, οἶμαι, ἐνοῦσα ταῦτα πάντα ποιήσει ἅπερ πέφυκεν ἐργάζεσθαι. πρῶτον μὲν ἀδύνατον αὐτὸν ποιήσει πράττειν στασιάζοντα, καὶ οὐχ ὁμονοοῦντα αὐτὸν ἑαυτῷ. ἔπειτα ἐχθρὸν καὶ ἑαυτῷ καὶ τοῖς δικαίοις. ἦ γάρ; ναί. δίκαιοι δέ γ' εἰσίν ὦ φίλε καὶ οἱ θεοί; ἔστωσαν, ἔφη. καὶ θεοῖς ἄρα ἐχθρὸς ἔσται ὦ Θρασύμαχε ὁ ἄδικος· ὁ δὲ δίκαιος, φίλος. Εὐωχοῦ τοῦ λόγου, ἔφη, θαρρῶν. οὐ γὰρ ἔγωγέ σοι ἐναντιώσομαι, ἵνα μὴ τοῖσδε ἀπέχθωμαι. ἴθι δή, ἦν δ' ἐγώ, καὶ τὰ λοιπά μοι τῆς ἑστιάσεως ἀποπλήρωσον ἀποκρινόμενος ὥσπερ καὶ νῦν. ὅτι μὲν γὰρ καὶ σοφώτεροι, καὶ ἀμείνους, καὶ δυνατώτεροι πράττειν οἱ δίκαιοι φαίνονται· οἱ δὲ ἄδικοι, οὐδὲν πράττειν μετ' ἀλλήλων οἷοί τε, ἀλλὰ δὴ καὶ οὕς φαμεν ἐρρωμένως πώποτέ τι μετ' ἀλλήλων κοινῇ πρᾶξαι ἀδίκους ὄντας, τοῦτο οὐ παντάπασιν ἀληθὲς λέγομεν, οὐ γὰρ ἂν ἀπείχοντο ἀλλήλων κομιδῇ ὄντες ἄδικοι. ἀλλὰ δῆλον ὅτι ἐνῆν τις αὐτοῖς δικαιοσύνη, ἣ αὐτοὺς ἐποίει, μή τι καὶ ἀλλήλους γε καὶ ἐφ' οὓς ᾖεσαν ἀδικεῖν ἅμα, δι' ἣν ἔπραξαν ἃ ἔπραξαν. ὥρμησαν δὲ ἐπὶ τὰ ἄδικα, ἀδικίᾳ, ἡμιμόχθηροι ὄντες. ἐπεὶ οἵ γε παμπόνηροι, καὶ τελέως ἄδικοι, τελέως εἰσὶ καὶ πράττειν ἀδύνατοι. Ταῦτα μὲν οὖν ὅτι οὕτως ἔχει, μανθάνω, ἀλλ' οὐχ ὡς σὺ τὸ πρῶτον ἐτίθεσο. εἰ δὲ καὶ ἄμεινον ζῶσιν οἱ δίκαιοι τῶν ἀδίκων, καὶ εὐδαιμονέστεροι εἰσίν (ὅπερ τὸ ὕστερον προὐθέμεθα σκέψασθαι) σκεπτέον. φαίνονται μὲν οὖν καὶ νῦν ὥς γέ μοι δοκεῖ, ἐξ ὧν εἰρήκαμεν. ὅμως δ' ἔτι βέλτιον σκεπτέον. οὐ γὰρ περὶ τοῦ ἐπιτυχόντος ὁ λόγος, ἀλλὰ περὶ τοῦ, ὅν τινα τρόπον χρὴ ζῆν. Σκόπει δή, ἔφη. Σκοπῶ, ἦν δ' ἐγώ. καί μοι λέγε. δοκεῖ τί σοι εἶναι ἵππου ἔργον; ἔμοιγε. ἆρ' οὖν τοῦτο ἂν θείης καὶ ἵππου καὶ ἄλλου ὁτουοῦν ἔργον, ὃ ἂν ἢ μόνῳ ἐκείνῳ ποιῇ τις, ἢ ἄριστα. οὐ μανθάνω, ἔφη. Ἀλλ' ὧδε. ἔσθ' ὅτῳ ἂν ἄλλῳ ἴδοις, ἢ ὀφθαλμοῖς; οὐ δῆτα. τί δαί; ἀκούσαις ἄλλῳ ἢ ὠσίν; οὐδαμῶς. οὐκοῦν δικαίως ἂν ταῦτα τούτων φαμὲν ἔργα εἶναι; πάνυ γε. τί δαί; μαχαίρᾳ ἀμπέλου κλῆμα ἀποτέμοις, καὶ σμίλῃ, καὶ ἄλλοις πολλοῖς; πῶς γὰρ οὔ. ἀλλ' οὐδενί γ' ἂν οἶμαι οὕτω καλῶς, ὡς δρεπάνῳ τῷ ἐπὶ τούτῳ ἐργασθέντι. ἀληθῆ. ἆρ' οὖν οὐ τοῦτο τούτου ἔργον θήσομεν; θήσομεν μὲν οὖν. Νῦν δὴ οἶμαι ἄμεινον ἂν μάθοις, ὃ ἄρτι ἠρώτων πυνθανόμενος, εἰ οὐ τοῦτο ἑκάστου εἴη ἔργον, ὃ ἂν ἢ μόνον τι, ἢ κάλλιστα τῶν ἄλλων ἀπεργάζηται. Ἀλλ', ἔφη, μανθάνω τε, καί μοι δοκεῖ τοῦτο ἑ-

ἑκάστου

Cū igit̄ constitisset, iustitiā et uirtutē esse & sapiētiā, iniustitiā uitiū & inscitiā: Maneat, inquā, hoc ita nobis. Dicebamus aūt ualidū ac potēs quiddā iniustitiā esse. *Plato de Rep. uel de iusto.*

Verū non ita simpliciter agere cupio, sed hac uia considerare. Ciuitatē ne aliquam affirmares iniustam esse? & alias ciuitates uelle iniustè in seruitutem redigere, seruasq́ sub se multas habere? Cur nō? Imò uerò hoc summopere faciet illa, quæ præstantissima erit, & quæ ad extremā peruenerit iniustitiā. Intelligo equidē quod tua hæc erat oratio. Sed hoc circa ista cōsidero, utrū hæc quæ præstantior sit ciuitas ciuitate, absq; iustitia hanc sit potestatē habitura, uel necesse sit ut habeat cū iustitia. Siquidē ut tu paulo ante dicebas, iustitia ipsa sapientia est, necesse est cū iustitia. Sin aūt ut ego, sine iustitia. Respōsionib⁹ tuis, ô Thrasymache, ualde delector, q̄niā non modo annuis & abnuis, sed & p̄clarè respōdes. Vt tibi gratū faciā. Facis tu qdē benè. Sed in hoc q̄q; gratificare mihi, & dicito. An cēses ciuitatē aliquā uel exercitū, seu latrones, siue fures, uel aliū quēuis cœtū hominū iniustè aliqd unà aggredientiū, per ficere posse quicquā, si iniuria inuicē se affecerint? Nequaquā. Quid aūt si ab iniuria abstinuerint? Nōne magis? Prorsus. Seditiones nāq; Thrasymache, iniustitia, inimicitias, contētionesq́ parit: Iustitia uerò, concordiā & amicitiā. Nōne? Esto, ne tecū dissentiamus. Bene agis uir optime. Sed mihi & hoc dicito. Si hoc iniustitiæ op⁹ est, ubicunq; insit odiū gignere, nōne inter liberos & seruos si fuerit, efficiet ut inuicē odia atq; cōtentiones exerceant? nulloq́ pacto possint aliqd ex cōmuni concordia facere? Omnino. Quid aūt? Si inter duos hæc insint, nōne dissentiēt inter se, inseuenturq́ odijs, & inimici erunt & sibi & iustis? Erunt sanè. Sin aūt in uno insit, ô mirificè uir, iniustitia, nōne ipsius potentiā dissipabit? uel nihil minus habebit? Nihil minus habeat. Nōne talē aliquā uim habere uidet, ut cuicunq; insit, siue ciuitati, siue genti, siue exercitui, siue alteri cuilibet, primo qdē impotens reddat id cui inest aliqd secū agendi, propter dissentionē atq; discordiā, deinde inimicū efficiat ipsum & sibi, & cōtrario cuilibet, atq; iusto? Nōne ita? Ita. Atq & in uno si fuerit, hæc eadē faciet omnia quæ ad naturā suā sequuntur. Primū qdē impotentē eū agendi reddet, si secū ipse dissentiat, neq; sibimet constet. Deinde & sibi & iustis faciet inimicū. An nō? Certè. Iusti aūt, ô amice, sunt & Dei. Sint. Ergo deis inimic⁹ erit Thrasymache, uir iniustus: iustus aūt, amicus. Explere Socrates pro libidine, orationis epulo. Non enī tibi aduersabor, ne istos mihi infensos reddam. Age itaq; reliqua cōuiuij adhibe, quēadmodū paulo ante respondens. Constat profectò sapiētiores, meliores, potentioresq́ ad agendū, iustos esse: iniustos aūt ne inuicē qdē tractare quicquā posse. Verū qd dicimus ualidissimè in cōmune simul aliqd cōficere illos posse, q omnino iniusti sunt, haud omnino uerū est. Nō enī abstinerēt inuicē ab iniuria, si prorsus iniusti essēt. Sed liquet in ipsis esse iustitiā quādā, quę ipsos ita afficiat, ut se inuicē lædere nolint, simul atq; alios, p quā agūt quæcūq; agūt. Impulsi aūt sunt ad iniuste agēdū, iniustitia, cū semimali essent. Nā qui ad summū nequitię & iniustitiæ puenerūt, pficere omnino nihil possunt. Hæc qdē qd ita se habeant, nō aūt ut tu suprà ponebas, intelligo. Vtrū aūt & melius uiuant iusti quā iniusti, & feliciores sint: quod qdē postea cōsiderare proposueramus, considerandū est. Et ut mihi quidem uidetur, hoc ex his quæ diximus, sequitur. Sed tamen melius considerandum. Non enī de re quadam uili spernendaq́, sed quonam modo uiuendū sit, habetur oratio. Considera iam. Ecce considero. Dic igitur opus ne equi tibi aliquid esse uidetur? Mihi quidem. Nū hoc quidem diceres & equi & alterius cuiuslibet opus, quod uel solo illo uel maximè quis expleret? Haud intelligo. Attende, sic fortè intelliges. Aliáne re quàm oculis uides? Minime. Quid uerò? aliáne re audires quàm auribus? Nequaquam. Ergo hæc horum opera rectè diceremus. Rectè. Posséne gladio & scalpello & multis alijs, uitis palmites amputare? Quid ni? Veruntamen nō ita commode ut falce ad usum hunc fabricata. Est ut dicis. Ergo nónne hoc illius opus esse dicemus? Dicemus profectò. Existimo melius te nunc tenere, quæ paulo ante dicebam, cum interrogarem an id cuiusque opus esset, quod uel solo illo uel melius quàm cæteris efficitur. Intelligo iam. Idq́ mihi

κάστου πράγματος ἔργον εἶναι. Εἶεν, ἦν δ' ἐγὼ, οὐκοῦν καὶ ἀρετὴ δοκεῖ σοι εἶναι ἑκάστῳ, ᾧπερ καὶ ἔργον τι προστέτακται. ἴωμεν δὲ ἐπὶ τὰ αὐτὰ πάλιν. ὀφθαλμῶν φαμὲν ἔστι τι ἔργον; ἔστιν. ἆρ' οὖν καὶ ἀρετὴ ὀφθαλμῶν ἔστι; καὶ ἀρετή. τί δὲ, ὤτων ἦν τι ἔργον; ναί. οὐκοῦν καὶ ἀρετή; καὶ ἀρετή. τί δαὶ γὰρ περὶ τῶν ἄλλων οὐχ οὕτως; οὕτως ἔχει δή.

ἄρ' ἄν ποτε ὄμματα τὸ αὑτῶν ἔργον καλῶς ἀπεργάσαιντο, μὴ ἔχοντα τὴν αὑτῶν οἰκείαν ἀρετὴν, ἀλλ' ἀντὶ τῆς ἀρετῆς κακίαν; καὶ πῶς ἂν ἔφη; τυφλότητα ἴσως γὰρ λέγεις, ἀντὶ τῆς ὄψεως. ἥτις ἦν δ' ἐγὼ αὐτῶν ἡ ἀρετή. οὐ γάρ πω τοῦτο ἐρωτῶ, ἀλλὰ εἰ τῇ μὲν οἰκείᾳ ἀρετῇ τὸ αὑτῶν ἔργον εὖ ἐργάσεται τὰ ἐργαζόμενα. κακίᾳ δὲ, κακῶς. ἀληθὲς ἔφη τοῦτο γε λέγεις. οὐκοῦν καὶ ὦτα στερόμενα τῆς αὑτῶν ἀρετῆς, κακῶς τὸ αὑτῶν ἔργον ἀπεργάσεται; πάνυ γε. τίθεμεν οὖν καὶ τὰ ἄλλα πάντα εἰς τὸν αὐτὸν τοῦτον λόγον; ἔμοιγε δοκεῖ. ἴθι δὴ μετὰ ταῦτα τόδε σκέψαι. ψυχῆς ἔστι τι ἔργον, ὃ ἄλλῳ τῶν ὄντων οὐδ' ἂν ἑνὶ πράξαις;
αλ. ἐπιμελεῖσθαι. οἷον τὸ τοιόνδε, τὸ * ἐμμελεῖσθαι καὶ ἄρχειν, καὶ τὸ βουλεύεσθαι, καὶ τὰ τοιαῦτα πάντα, ἔστιν ὅτῳ ἄλλῳ ἢ ψυχῇ δικαίως ἂν αὐτὰ ἀποδοῖμεν. καὶ φαῖμεν ἴδια ἐκείνου εἶναι; οὐδενὶ ἄλλῳ. τί δ' αὖ τὸ ζῆν, οὐ ψυχῆς ἔργον φήσομεν εἶναι; μάλιστ' ἂν ἔφη. οὐκοῦν καὶ ἀρετήν φαμέν τινα ψυχῆς εἶναι; φαμέν. ἆρ' οὖν ποτε ὦ θρασύμαχε, ψυχὴ τὰ αὑτῆς ἔργα εὖ ἀπεργάσεται, στερομένη τῆς οἰκείας ἀρετῆς, ἢ ἀδύνατον; ἀδύνατον. ἀνάγκη ἄρα κακῇ ψυχῇ κακῶς ἄρχειν καὶ ἐπιμελεῖσθαι: τῇ δὲ ἀγαθῇ πάντα ταῦτα εὖ πράττειν. ἀνάγκη. οὐκοῦν ἀρετὴν μὲν ξυνεχωρήσαμεν ψυχῆς εἶναι δικαιοσύνην, κακίαν δὲ ἀδικίαν. ξυνεχωρήσαμεν γάρ. ἡ μὲν ἄρα δικαία ψυχὴ, καὶ ὁ δίκαιος ἀνὴρ, εὖ βιώσεται: κακῶς δὲ, ὁ ἄδικος; φαίνεται ἔφη κατὰ τὸν σὸν λόγον. ἀλλὰ μὴν ὅγε εὖ ζῶν, μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μὴ τἀναντία; πῶς γὰρ οὔ; ὁ μὲν δίκαιος ἄρα εὐδαίμων: ὁ δ' ἄδικος, ἄθλιος; ἔστω ἔφη. ἀλλὰ μὴν ἄθλιόν γε οὐ λυσιτελεῖ εἶναι, εὐδαίμονα δέ. πῶς γὰρ οὔ; οὐδέποτε ἄρα ὦ θρασύμαχε λυσιτελέστερον ἀδικία δικαιοσύνης.

Πλάτωνος πολιτειῶν δ'. Ταῦτα μὲν ἄρα, ἦν δ' ἐγὼ, μόγις διανενεύκαμεν, καὶ ἡμῖν ἐπιεικῶς ὁμολόγηται, ταὐτὰ μὲν ἐν πόλει, ταὐτὰ δὲ, ἐν ἑνὶ ἑκάστου τῇ ψυχῇ γένη ἐνεῖναι, καὶ ἴσα τὸν ἀριθμόν. ἔστι ταῦτα. οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον ὡς πόλις ἦν σοφὴ, καὶ ᾧ, οὕτω καὶ τὸν ἰδιώτην, καὶ τούτῳ σοφὸν εἶναι. τί μήν. καὶ ᾧ δὴ ἀνδρεῖος ἰδιώτης, καὶ ὡς τούτῳ καὶ πόλιν ἀνδρείαν, καὶ οὕτω: καὶ τἆλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. ἀνάγκη. καὶ δίκαιον δὴ ὦ γλαύκων οἶμαι φήσομεν ἄνδρα εἶναι τῷ αὐτῷ τρόπῳ ὧπερ καὶ πόλις ἦν δικαία; καὶ τοῦτο πᾶσα ἀνάγκη. ἀλλ' οὔπω μὴν τοῦτό γε ἐπιλελήσμεθα, ὅτι ἐκείνη γε, τῷ, τὸ ἑαυτοῦ ἕκαστον ἐν αὐτῇ πράττειν, τριῶν ὄντων γενῶν, δικαία ἦν. οὔμοι δοκοῦμεν ἔφη ἐπιλελῆσθαι. μνημονευτέον ἄρα ἡμῖν, ὅτι καὶ ἡμῶν ἕκαστος ὅταν τὰ αὑτοῦ ἐν αὐτῷ πράττῃ, οὕτω δικαιότερός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. καὶ μάλα ἦν δ' ὃς μνημονευτέον. οὐκοῦν τῷ μὲν λογικῷ ἄρχειν προσήκει σοφῷ ὄντι, καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης ψυχῆς προμήθειαν; τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι καὶ ξυμμάχῳ τούτου. πάνυ γε. ἆρ' οὖν οὐχ ὥσπερ ἐλέγομεν μουσικῆς καὶ γυμναστικῆς κρᾶσις σύμφωνα αὐτὰ ποιήσει, τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα, λόγοις τε καλοῖς καὶ μαθήμασι: τὸ δ' ἀνιεῖσα καὶ παραμυθουμένη καὶ ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ; κομιδῆ γε, ἦν δ' ὅς. καὶ τούτω δὴ οὕτω τραφέντε, καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ
αλ. πλεῖστον. παιδευθέντε, προστήσετον τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ * κρεῖττον τῆς ψυχῆς ἐν ἑκάστῳ ἐστὶ, καὶ χρημάτων φύσει ἀπληστότατον, ὃ τηρήσετον, μὴ τῷ πίμπλασθαι τῶν περὶ τὸ σῶμα καλουμένων ἡδονῶν, πολὺ καὶ ἰσχυρὸν γενόμενον, οὐ τὰ αὑτοῦ πράττῃ, ἀλλὰ καταδουλώσασθαι καὶ ἄρχειν
αλ. ἐπιχειρήσει. * ἐθέλει, ὧν οὐ προσῆκον αὐτῷ γένει, καὶ ξύμπαντα τὸν βίον πάντων ἀνατρέψει. πάνυ μὲν οὖν ἔφη. ἆρ' οὖν ἦν δ' ἐγὼ, καὶ τοὺς ἔξωθεν πολεμίους τούτω ἂν κάλλιστα φυλάττοι,
* αλ. τώ. * τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ σώματος, τὸ μὲν, † κελευόμενον, τὸ δὲ προσπο-
† αλ. βουλευόμενον λεμοῦν, ἑπόμενον δὲ τῷ ἄρχοντι, καὶ τῇ ἀνδρείᾳ ἐπιτελοῦν τὰ βουλευθέντα. ἔστι ταῦτα. καὶ ἀνδρεῖον δὴ οἶμαι τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασώζῃ, διά τε λυπῶν καὶ ἡδονῶν, τὸ ὑπὸ τοῦ λόγου παραγγελθὲν δεινόν τε καὶ μή. ὀρθῶς γε
αλ. τῷ ἧ. ἔφη. σοφὸν δέ γε ἐκείνῳ τῷ σμικρῷ μέρει, * πῶς ἦρχέ τε ἐν αὐτῷ, καὶ ταῦτα παρήγγελλεν.

ἔχον

uiusque opus esse uidetur. Nónne & uirtus tibi esse cuique uidetur, cui aliquod opus adscribitur? Reuertamur igitur ad priora. Oculorum dicimus esse opus aliquod? Certè. Ergo nónne & uirtus oculorum est? Et uirtus. Et aurium opus? Et aurium. Est ergo & uirtus. Est. Nónne de reliquis omnibus eodem modo dicendum? Eodem. Nunquid oculi opus suum pulchre aliquando exercerent, uirtutem propriam non habentes, sed pro uirtute uitium? At quomodo? Cæcitatem nanq; fortasse pro uisu dicis. Quæcunq; illorum sit uirtus: nam ad præsens non id quæro, sed utrum propria uirtute rectè suum opus exerceant, uitio uerò nō rectè. Vera loqueris. Nónne & aures sua priuatæ uirtute male suum opus exercebunt? Male. Idémne sentimus de reliquis omnibus? Idem. Age & hæc præterea contemplare. Est ne animæ aliquod opus, quod nulla re alia faceres, ueluti curare, imperare, consulere, & alia generis eiusdem? Nunquid hæc alteri rei quàm animæ iure tribuere possemus, diceremusq; ipsius propria esse? Nulli alteri. Quid autem ipsum uiuere? An non animæ opus esse dicemus? Maxime. An non & uirtutem quandam animæ esse dicimus? Dicimus. Nunquid anima quandoq;, ô Thrasymache, propria uirtute priuata opera sua bene explebit? Vel nullo modo poterit? Non poterit. Necesse est igitur malam animam male imperare atq; curare, bonam uero hæc omnia bene facere. Necesse. Concessimúsne uirtutem animæ iustitiam esse, iniustitiam uitium? Concessimus. Iusta ergo anima iustusq; uir bene uiuet, iniustus autem male. Ita secundum rationem tuam apparet. Qui autem bene uiuit, beatus est & felix: qui male, contra. Quidni? Igitur iustus felix est, iniustus miser. Sint. At miserum esse non prodest. Prodest autem esse felicem. Proculdubio. Nunquam igitur ô beate Thrasymache, conducibilius erit iniustitia quàm iustitia.

In his itaq; uix tandem consensimus, satisq; inter nos constitit, eadem in ciuitate, eadem & in cuiusq; anima genera esse ac numero paria. Sic certe. Quin & hoc necessarium est, quemadmodum & quo sapiens erat ciuitas, ita & eodem sapientem esse priuatum? Plane. Item quo fortis est priuatus aliquis & quomodo, eodem & ea fortem esse ciuitatem, & in cæteris omnibus ad uirtutem utraq; similiter se habere. Necesse est. Atqui & iustum ô Glauco, uirum dicemus eadem ratione, qua dicimus ciuitatem. Necessarium id omnino. At nondum illud obliti sumus, quod ciuitas ex eo iusta uisa est, quia cum tria in ea sint hominū genera, suum quisq; explet officium. Haud certe mihi obliti uidemur. Meminisse ergo oportet quod quisq; nostrum, cuius singulæ animæ partes quod suum est agunt, & iustus erit & sua peragens. Meminisse prorsus. Nónne rationali potentiæ conuenit imperare, cum sapiens sit, geratq; totius animæ prouidentiam? Irascendi uerò naturæ obsequi rationi, perq; illam pugnare? Penitus. Nónne ut supra tractauimus, musicæ & gymnasticæ mixtio atq; temperantia ut concordia ista sint, efficit? Vnum quidem horum intendens augensq; & nutriens præclaris sermonibus & disciplinis: alterum uero remittens, sedans, mansuefaciens per harmoniam atq; rythmum? Maxime. Cūq; nutrita hæc fuerint, & quæ sua sunt reuera didicerint, & optime fuerint erudita, ardori cōcupiscētiæ præsidebunt: quæ pars animæ in quocunq; est plurima, neq; quā pecuniarū possessione repletur: cauebuntq; ne corporaliū uoluptatū expletione adaucta grādior robustiorq; euadat, nolitq; suo dūtaxat officio fūgi, sed subijcere sibi illa contendat, quibus imperare natura nō debet, atq; ita uniuersam omniū uitā puertat. Sic prorsus. Quin etiā ab externis hostibus hæc animā omnē corpusq; custodit, dum illud quidem prouide consulit, hoc autem propugnat, obtemperat principi, fortitudine quæ consulta sunt peragit. Vera hæc sunt. Fortem profecto hac ex parte uirum quenq; uocamus, quando in ipso iracundiæ uigor ita institutus est, ut in medijs uoluptatibus & doloribus, in sententia sua persistat, non aliter esse de terribili & non terribili iudicandum quàm ratio ipsa dictauerit. Pro- . Sapientem uero breui illa ex parte quæ & imperauit in ipso, & ista dictauit, ha-

Ex Platone de Rep. uel de iusto.

ἔχον αὖ κἀκεῖνο ἐπιστήμην ἐν αὐτῷ τὴν τοῦ ξυμφέροντος ἑκάστῳ τε, καὶ ὅλῳ τῷ κοινῷ
al. σώφρονα ἐ. σφῶν αὐτῶν τριῶν ὄντων. πάνυ μὲν οὖν. τί δὲ * σώφρον' οὐ τῇ φιλίᾳ, καὶ τῇ ξυμφω-
νίᾳ τῇ αὐτῶν τούτων, ὅταν τό τε ἄρχον καὶ τὼ ἀρχομένω ὁμοδοξῶσι ὡς δεῖν ἄρχειν τὸ λο-
γιστικὸν καὶ μὴ στασιάζωσιν αὐτῷ; σωφροσύνη γοῦν ἦν δ' ὅς, οὐκ ἄλλο τί ἐστιν, ἢ τοῦ-
το, πόλεώς τε καὶ ἰδιώτου, ἀλλὰ μὲν δὴ δίκαιός γε ὡς πολλάκις λέγομεν, τούτῳ καὶ οὕ-
τως ἔσται. πολλὴ ἀνάγκη. τί οὖν εἶπον ἐγώ; μήπῃ ἡμῖν ἀπαμβλύνεται ἄλλο τι δι-
al. δεῖ. καιοσύνη * δοκεῖν εἶναι, ἢ ὅπερ ἐν τῇ πόλει ἐφάνη; οὐκ ἔμοιγε ἔφη δοκεῖ. ὧδε γὰρ ἦν
al. abest. δ' ἐγώ, * πάντα παντάπασιν ἂν βεβαιωσαίμεθα, εἴ τι ἡμῶν ἔτι ἐν τῇ ψυχῇ ἀμφισβητεῖ
τὰ φορτικὰ αὐτῷ προσφέροντες; ποῖα δή; οἷον εἰ δέοι ἡμᾶς ἀνομολογεῖσθαι, περί τε ἐκεί-
al. ἃ δοκεῖ. νης τῆς πόλεως, καὶ τοῦ ἐκείνῃ ὁμοίως πεφυκότος τε καὶ τεθραμμένου ἀνδρὸς * ἐδόκει ἂν παρα-
καταθήκην χρυσίου ἢ ἀργυρίου δεξάμενος, ὁ τοιοῦτος ἀποστερῆσαι. τίνα ἂν οἴει οἰηθῆναι τοῦτο αὐ-
τὸν δρᾶσαι μᾶλλον, ἢ ὅσοι μὴ τοιοῦτοι; οὐδένα ἂν ἔφη. οὐκοῦν καὶ ἱεροσυλιῶν, καὶ κλοπῶν, καὶ
al. ἰδίᾳ ἑταίρων. προδοσιῶν, ἢ * ἰδίᾳ ἑταίρων, ἢ δημοσίᾳ πόλεων ἐκτὸς ἂν οὗτος εἴη; ἐκτός. καὶ μὴν οὐδ' ὁπωστιοῦν γε
ἄπιστος, ἢ κατὰ τοὺς ὅρκους, ἢ κατὰ τὰς ἄλλας ὁμολογίας. πῶς γὰρ ἄν; μοιχεῖαι γε μὴν, καὶ γο-
νέων ἀμέλειαι, καὶ θεῶν ἀθεραπευσίαι παντὶ ἄλλῳ μᾶλλον, ἢ τῷ τοιούτῳ προσήκουσι. παν-
τὶ μέν τοι ἔφη. οὐκοῦν τούτων πάντων αἴτιον, ὅτι αὐτοῦ τῶν ἐν αὐτῷ ἕκαστον τὰ αὑτοῦ πράτ-
τει, ἀρχῆς τε πέρι, καὶ τοῦ ἄρχεσθαι; τοῦτο μὲν δὴ οὖν, καὶ οὐδὲν ἄλλο τι. τί οὖν ἕτερον ζητεῖς δι-
καιοσύνην εἶναι, ἢ ταύτην τὴν δύναμιν, ἣ τοὺς τοιούτους ἄνδρας τε παρέχεται καὶ πόλεις;
μὰ Δί' ἦ δ' ὅς, οὐκ ἔγωγε. τέλεον ἄρα ἡμῖν τὸ ἐνύπνιον ἀποτετέλεσται, ὃ ἔφαμεν ὑποπτεῦσαι,
ὡς εὐθὺς ἀρχόμενοι τῆς πόλεως οἰκίζειν, κατὰ θεόν τινα εἰς ἀρχήν τε καὶ τύπον τινὰ τῆς
δικαιοσύνης κινδυνεύομεν ἐμβεβηκέναι. παντάπασι μὲν οὖν. τὸ δέ γε ἦν ἄρα ὦ
Γλαύκων, δι' ὃ καὶ ὠφελεῖ εἴδωλόν τι τῆς δικαιοσύνης. τὸ, τὸν μὲν σκυτοτομικὸν φύσει ὀρ-
θῶς ἔχειν σκυτοτομεῖν, καὶ ἄλλο μηδὲν πράττειν. τὸν δὲ τεκτονικὸν τεκταίνεσθαι, καὶ τὰ
ἄλλα δὴ οὕτω φαίνεται. τὸ δέ γε ἀληθὲς, τοιοῦτόν τι ἦν ὡς ἔοικεν ἡ δικαιοσύνη. ἀλλ' οὐ
περὶ τὴν ἔξω πρᾶξιν τῶν αὐτοῦ, ἀλλὰ περὶ τὴν ἐντὸς ὡς ἀληθῶς περὶ ἑαυτὸν, καὶ τὰ αὑ-
τοῦ, μὴ ἐάσαντα τὰ ἀλλότρια πράττειν ἕκαστον ἐν ἑαυτῷ, μηδὲ πολυπραγμονεῖν πρὸς ἄλλη-
al. εὖ θέμενον. λα τὰ ἐν τῇ ψυχῇ γένη. ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα * ἐνθυμούμενον, καὶ ἄρξαντα αὐτὸν αὑ-
τοῦ, καὶ κοσμήσαντα, καὶ φίλον γενόμενον ἑαυτῷ, καὶ συναρμόσαντα τρία ὄντα ὥσπερ
ὅρους τρεῖς ἁρμονίας ἀτεχνῶς, νεάτης τε καὶ ὑπάτης καὶ μέσης, καὶ εἰ ἄλλ' ἄττα μεταξὺ τυγ-
χάνει ὄντα, πάντα ταῦτα ξυνδήσαντα, καὶ παντάπασιν ἕνα γενόμενον, καὶ ἐκ πολλῶν
σώφρονα καὶ ἡρμοσμένον. οὕτω δὴ πράττειν ἤδη, ἐάν τι πράττῃ, ἢ περὶ χρημάτων κτῆσιν,
ἢ περὶ σώματος θεραπείαν, ἢ καὶ περὶ πολιτικόν τι, ἢ περὶ τὰ ἴδια ξυμβόλαια. ἐν πᾶ-
σι τούτοις ἡγούμενον καὶ ὀνομάζοντα, δικαίαν μὲν καὶ καλὴν πρᾶξιν, ἣ ἂν ταύτην τὴν ἕξιν
σώζῃ τε, καὶ συναπεργάζηται. σοφίαν δὲ τὴν ἐπιστατοῦσαν ταύτῃ τῇ πράξει ἐπιστήμην. ἄ-
δικον δὲ πρᾶξιν, ἣ ἂν ἀεὶ ταύτην λύῃ ἀμαθίαν τε, ὡς τὴν ταύτῃ αὖ ἐπιστατοῦσαν δόξαν.
παντάπασιν ἦ δ' ὅς, ὦ Σώκρατες ἀληθῆ λέγεις. εἶεν ἦν δ' ἐγώ. τὸν μὲν δίκαιον καὶ ἄνδρα καὶ
πόλιν καὶ δικαιοσύνην, ὃ τυγχάνει ἐν αὐτοῖς ὄν, εἰ φαῖμεν εὑρηκέναι, οὐκ ἂν πάνυ τι οἶμαι δό-
ξαιμεν ψεύδεσθαι. μὰ Δί' οὐ μέν τοι ἔφη. φῶμεν ἄρα; φῶμεν. ἔστω δὴ ἦν δ' ἐγώ. μετὰ γὰρ τοῦ-
το σκεπτέον οἶμαι ἀδικίαν. δῆλον. οὐκοῦν στάσιν τινὰ αὖ τριῶν ὄντων τούτων, δεῖ αὐτὴν εἶναι, καὶ
πολυπραγμοσύνην ἀλλοτριοπραγμοσύνην καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς, ἵ-
να ἄρχῃ ἐν αὐτῇ, οὐ προσῆκον. ἀλλὰ τοιούτου ὄντος φύσει, οἵου πρέπειν αὐτῷ δουλεύειν, τοῦ τοῦ ἀρχι-
κοῦ γένους ὄντι. τοιαῦτ' ἄττα οἶμαι φήσομεν καὶ τὴν τούτων ταραχὴν καὶ πλάνην εἶναι, τήν τε ἀδικίαν
καὶ ἀκολασίαν, καὶ δειλίαν, καὶ ἀμαθίαν, καὶ ξυλλήβδην πᾶσαν κακίαν. ταῦτα μὲν οὖν ταῦτα
ἔφη. οὐκοῦν ἦν δ' ἐγώ, καὶ τὸ ἄδικα πράττειν καὶ τὸ ἀδικεῖν, καὶ αὖ τὸ δίκαια ποι-
εῖν, πάντα ταῦτα τυγχάνει ὄντα κατάδηλα ἤδη σαφῶς, εἴπερ καὶ ἡ ἀδικία καὶ δι-
καιοσύνη; πῶς δή; ὅτι, ἦν δ' ἐγώ, τυγχάνει οὐδὲν διαφέροντα τῶν ὑγιεινῶν
τε καὶ νοσωδῶν, ὡς ἐκεῖνα ἐν σώματι, ταῦτα ἐν τῇ ψυχῇ. πῇ ἔφη; τὰ μέν που ὑγιει-
νὰ, ὑγίειαν ἐμποιεῖ, τὰ δὲ νοσώδη, νόσον. ναί. οὐκοῦν καὶ τὸ μὲν δίκαια πράττειν, δι-
καιοσύνην ἐμποιεῖ; τὸ δὲ ἄδικα ἀδικίαν. ἀνάγκη. ἔστι δὲ, τὸ μὲν ὑγίειαν
ποιεῖν

bens in seipsa scientiã, qua discernit quid potissimũ ex usu sit tã singulis quã uniuerso ex his tribus cœtui cõstituto. Certè. Temperantẽ rursus aliquẽ appellamus horũ ipsorũ amicitia atq; concordia, quando & quod præsidet, & quod subest, in sententiã eandẽ conueniunt, rationẽ scilicet imperare decere, neq; ab illa desciscendũ esse. Temperantia profectò nihil est aliud & priuatim & publicè. Iustus deniq; ex eo atq; ita erit quisq;, ex quo sæpe iam diximus, & quemadmodũ exposuimus. Necesse est, inquit, prorsus. Quid porro? inquam. Est ne aliquid quod hanc nostram usq; adeò sententiã interturbet, ut aliud uideatur esse nobis iustitia, quã quod in ciuitate constituit? Mihi quidẽ non uidetur. Quinimo, si quid adhuc inter nos in cõtrouersia sit, sic iterũ superiora penitus cõfirmabimus, absurda illa huic obijcientes. Qualia? Veluti si in hoc deliberare nos oportuerit de ciuitate illa, deq; homine eodem cũ illa pacto nato atq; nutrito, nunquid uir talis cum depositum auri uel argenti acceperit, uideatur quandoque fraudem excogitaturus. Censes aliquem iudicaturum eiusce modi uirum fraudem committere potius quàm secus affectos homines? Neminem prorsus. An non à sacrilegijs hic, furtis, proditionibus tam priuatim aduersus sodales, quàm publicè aduersus rempub. innocens erit? Innocens. Atqui neque perfidus uel iureiurando uel quibuscunq; commertijs. Nullo pacto. Adulteria quidem, parentum contemptus, impietas in deos, cuilibet alteri potius quàm huic conueniunt. Ita prorsus. Nónne horum omnium causa hæc est, quia quicquid in ipso est, suum opus exequitur, siue imperando, siue exequendo? Nulla certè alia. Quid? Quæris aliud esse iustitiam quàm hanc ipsam uim, quæ tales uiros, & tales efficit ciuitates? Ego quidem minimè. Tandem nobis absolutum somnium illud est, quod nos coniecisse diximus: nempe quod mox incipientes condere ciuitatem, deo quodam fauente, in aliquod principiũ imaginemq; iustitiæ ingressi uidemur. Omnino quidem. Hoc autẽ erat, ô Glauco, propter quod confert quoddam iustitiæ simulacrũ. Nempe debere qui natura coriarius est, artem hanc exequi, aliud nihil aggressum: qui uerò faber, fabricare. Similiterq; in cæteris. Apparet. Reuera quidem talis iustitia est, sed non circa actionem exteriorem, imò circa interiorem suarum partium actionem uerè ad ipsummet animũ, & ad sua: dũ nihil permittit ex suis aliena tentare, neq; finit animæ genera opera inuicem confundentia per plura uagari: sed reuera propria rectè digerit, suiq; est dominus, sese exornat, amicus sibi ipse effectus, in se tria ipsa cõtemperans tanquã tres terminos harmoniæ, neates, hypates, & mediæ, hoc est, octauæ uocis, & grauis, & quintæ, seu quæuis alia media fuerit. Itaq; hæc omnia nectens, ipseq; undiq; unus effectus ex multis tẽperans atq; concinens, ita demũ agit si quid agit, ut circa pecunias acquirendas, uel corporis cultũ, uel etiã circa ciuilia, aut priuata cõmercia, in his omnibus actionẽ illam iustã, & præclarã existimans, quæ habitũ hunc peragit atq; seruat. Sapientiã uerò operationi huic præsidentẽ scientiã: iniustã aũt operationẽ quæ hanc dissoluit, insipientiã: deniq; operationis huius ducẽ opinionẽ. Vera prorsus, ô Socrates, loqueris. Si ergo nos inuenisse iustũ uirum, & ciuitatẽ iustam, quidue in utrisq; iustitia sit, haud forte multũ, ut arbitror, mentiri uidebimur. Nõ per Iouẽ. Asserendum igitur? Proculdubio. Esto itaq;. Enimuero deinceps de iniustitia cõsiderandũ uidet. Planè. Seditionẽ quãdã horũ triũ iniustitiã appellare decet, curiosamq; & uariã alieni operis usurpationẽ, & insolẽtẽ partis cuiusdã preuaricationẽ aduersus totã animã rebellãtis, insurgẽtisq; ad imperãdũ regio animi generi, cui seruire eã natura iubet. Talia quædã, ut arbitror, atq; horũ turbationẽ erroremq;, iniustitiã esse dicemus, & intẽperãtiã, ignauiã, insipientiã, et uniuersam deniq; prauitatẽ. Hęc prorsus ita se habẽt. Nõne satis iã pspicuè patet, quid est iniusta facere & iniuriari, ac rursus qd agere iusta, quãdoqdẽ iustitia & iniustitia patẽt? Quonã pacto? Quia nihilo à salubribus & insalubrib⁹ differũt. Nẽpe ut hęc circa corp⁹, sic circa animũ se habẽt & illa. Qua ratione? Salubria qdẽ sanitatẽ inducũt, insalubria morbũ. Planè. Similiter q̃q; iusta agere, iniustitiã gignit in animo: iniusta facere, iniustitiã. Necesse est. Est aũt sanitatem

ποιεῖν, τὰ ἐν τῷ σώματι κατὰ φύσιν καθιστάναι κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ᾽ ἀλλήλων. τὸ δὲ νόσον, παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ᾽ ἄλλου; ἔστι γάρ. οὐκοῦν αὖ ἔφην, τὸ δικαιοσύνην ἐμποιεῖν, τὰ ἐν τῇ ψυχῇ κατὰ φύσιν καθιστάναι, κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ᾽ ἀλλήλων. τὸ δὲ ἀδικίαν παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ᾽ ἄλλου. κομιδῇ ἔφη. ἀρετὴ μὲν ἄρα ὡς ἔοικεν, ὑγίειά τέ τις ἂν εἴη, καὶ κάλλος καὶ εὐεξία ψυχῆς. κακία δὲ νόσος τε καὶ αἶσχος καὶ ἀσθένεια. ἔστιν οὕτω. ἆρ᾽ οὖν οὐ καὶ τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει, τὰ δὲ αἰσχρά, εἰς κακίας; ἀνάγκη. τὸ δὴ λοιπὸν ἤδη ὡς ἔοικεν ἡμῖν ἐστι σκέψασθαι, πότερον αὖ λυσιτελεῖ, δίκαιά τε πράττειν, καὶ καλὰ ἐπιτηδεύειν, καὶ εἶναι δίκαιον, ἐάν τε λανθάνῃ ἐάν τε μή, τοιοῦτος ὤν. ἢ ἀδικεῖν τε καὶ ἄδικον εἶναι, ἐάνπερ μὴ διδῷ δίκην, μηδὲ βελτίων γίγνηται κολαζόμενος. ἀλλ᾽ ἔφη ὦ σώκρατες, γελοῖον ἔμοιγε φαίνεται τὸ σκέμμα γίγνεσθαι ἤδη. εἰ τοῦ μὲν σώματος τῆς φύσεως διαφθειρομένης δοκεῖ οὐ βιωτὸν εἶναι, οὐδὲ μετὰ πάντων σιτίων τε καὶ ποτῶν, καὶ παντὸς πλούτου καὶ πάσης ἀρχῆς. τῆς δὲ αὐτοῦ τούτου ᾧ ζῶμεν φύσεως ταραττομένης τε καὶ διαφθειρομένης, βιωτὸν ἄρα ἔσται; ἄνπερ τις ποιῇ, ὃ ἂν βουληθῇ ἄλλο, πλὴν τοῦτο, ὁπόθεν κακίας μὲν καὶ ἀδικίας ἀπαλλαγήσεται: δικαιοσύνην δὲ καὶ ἀρετὴν κτήσεται, ἐπειδήγε ἐφάνη γε ὄντα ἑκάτερα. οἷα ἡμεῖς διεληλύθαμεν. γελοῖον γάρ, ἦν δ᾽ ἐγώ. ἀλλ᾽ ὅμως ἐπείπερ ἐνταῦθα ἐληλύθαμεν ὅσον οἷόν τε σαφέστατα κατιδεῖν, ὅτι ταῦτα οὕτως ἔχει, οὐ χρὴ ἀποκάμνειν. ἥκιστα νὴ τὸν δί᾽ ἔφη πάντων ἀποκνητέον.

Πλάτων ἐν πολιτείᾳ θ. Εἶεν δὴ εἶπον. ἐπειδὴ ἐνταῦθα λόγου γεγόναμεν, ἀναλάβωμεν τὰ πρῶτα λεχθέντα, δι᾽ ἃ δεῦρ᾽ ἥκομεν, ἦν δέ που λεγόμενον λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ, δοξαζομένῳ δὲ δικαίῳ, ἢ οὐχ οὕτως ἐλέχθη; οὕτω μὲν οὖν. νῦν δὴ ἔφην αὐτῷ διαλεγώμεθα, ἐπειδὴ διωμολογησάμεθα, τό, τε ἀδικεῖν, καὶ τὸ δίκαια πράττειν, ἣν ἑκάτερον ἔχει δύναμιν. πῶς ἔφη; εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων, οἷα ἔλεγε. ποίαν τινὰ ἦ δ᾽ ὅς; τῶν τοιούτων τινὰ ἦν δ᾽ ἐγώ, οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥτε χιμαίρας, καὶ ἡ σκύλλης, καὶ κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. λέγονται γὰρ ἔφη. πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. δεινοῦ πλάστου ἔφη τὸ ἔργον. ὅμως δ᾽ ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάσθω. μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δ᾽ ἀνθρώπου. πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον, καὶ δεύτερον, τὸ δεύτερον. ταῦτα ἔφη, ῥᾴω καὶ πέπλασται. σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα, ὥστε πῃ ξυμπεφυκέναι ἀλλήλοις. συνῆπται ἔφη. περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα τὴν τοῦ ἀνθρώπου, ὥστε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾶν, ἀλλὰ τῷ ἔξω μόνον ἔλυτρον ὁρῶντι ἓν ζῷον φαίνεσθαι ἄνθρωπον. περιπέπλασται ἔφη. λέγωμεν δὴ τῷ λέγοντι, ὡς λυσιτελεῖ τοῦτο ἀδικεῖν τῷ ἀνθρώπῳ: δίκαια δὲ πράττειν οὐ ξυμφέρει. ὅτι οὐδὲν ἄλλο φησίν, ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι, ποιεῖν ἰσχυρόν, καὶ τὸν λέοντα, καὶ τὰ περὶ τὸν λέοντα. τὸν δὲ ἄνθρωπον, λιμοκτονεῖν, καὶ ποιεῖν ἀσθενῆ, ὥστε ἕλκεσθαι, ὅπῃ ἂν ἐκείνων ὁπότερον ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν, μηδὲ φίλον ποιεῖν, ἀλλ᾽ ἐᾶν αὐτὰ ἐν αὑτοῖς δάκνεσθαί τε, καὶ μαχόμενα ἐσθίειν ἄλληλα. παντάπασι γὰρ ἔφη ταῦτα λέγει, ὁ τὸ ἀδικεῖν ἐπαινῶν. οὐκοῦν αὖ ὁ τὰ δίκαια λέγων, λυσιτελεῖν φαίη ἂν δεῖν ταῦτα, καὶ ταῦτα λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος, καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται, ὥσπερ γεωργὸς τὰ μὲν ἥμερα τρέφων καὶ τιθασεύων, τὰ δ᾽ ἄγρια ἀποκωλύων φύεσθαι, ξύμμαχον ποιησάμενος τὴν τοῦ λέοντος φύσιν, καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὑτῷ, οὕτω θρέψει. κομιδῇ γὰρ αὖ λέγει ταῦτα ὁ τὸ δίκαιον ἐπαινῶν. κατὰ πάντα δὴ τρόπον, ὁ μὲν τὸ δίκαιον ἐγκωμιάζων, ἀληθῆ ἂν λέγοι: ὁ δὲ τἄδικα, ψεύδοιτο. πρός τε γὰρ ἡδονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφέλειαν σκοπουμένῳ, ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει: ὁ δὲ ψέκτης, οὐδὲν ὑγιὲς οὐδὲ εἰδὼς ψέγει, ὃ, τι ψέγοι. οὔ μοι δοκεῖ ἦ δ᾽ ὅς, οὐδαμῇ γε. πείθωμεν τοίνυν αὐτὸν πρᾴως. οὐ γὰρ ἑκὼν ἁμαρτάνει. ἐρωτῶντες ὦ μακάριε, οὐ καὶ τὰ καλὰ καὶ τὰ αἰσχρὰ νόμιμα διὰ τὰ τοιαῦτ᾽ φαμὲν γεγονέναι

τὰ μὲν

inferre, ita quæ in corpore sunt disponere, ut secundum naturæ ipsius ordinem inuicem superentur & superent. Morbum autem inducere, usq; adeò corporis partes inficere, ut contra naturæ legem dominentur inter se subijcianturq;. Est ita. Eadem ratione iustitiam præstare cuiquam, nihil est aliud quàm animi partes in ordinem suum digerere, ut ad naturæ normam pareant atque imperent. Iniustitiam uerò, ut contra naturam exuperent inuicem ac succumbant. Prorsus. Virtus igitur ut apparet sanitas quædam est, & pulchritudo, & robustus animi uigor. Prauitas contra morbus, turpitudo & imbecillitas. Est ut dicis. Nonne igitur exercitationes honestæ ad uirtutem acquirendam conducunt, turpes ad prauitatem deducunt? Necesse est. Restat ut uidetur, discutiendum, nunquid prosit agere iusta, honesta colere, esse iustũ, siue occultũ id cuiq; sit, siue non: An iniuriari & iniustum esse, si modo non det pœnas, neq; fiat castigatione melior. Mihi quidem ô Socrates ridicula disceptatio ista fore uidetur. Si quidem corporis natura corrupta, uidetur non esse uiuendum, neq; etiã in summa epularum & poculorũ omniũ affluẽtia, cunctis diuitijs, & totius orbis imperio. Natura uerò eius quo uiuimus polluta, atq; corrupta, num uiuendum erit? si quis quodcunq; lubet aliud agat quàm hoc unum, unde ab improbitate iniquitateq; liberetur, iustitiã uerò & probitatẽ adipiscatur, postquã talia hæc utraq;, qualia narrauimus, apparuerunt. Ridicula profectò. Verũ posteaquã eo deuenimus, ut quàm certissimè fieri potest, quod hæc ita se habent, perspiciamus, minimè desistendum. Per Iouem minimè omnium.

At eñ postquã huc disputãdo deuenimus, repetamus quæ à principio dicta sunt, ex quibus ad ista delati sumus. Dictũ quãdoq; fuit, iniustè agere illi prodesse, qui cũ omnino iniustus sit, iustus tamẽ existimatur: annõ ita dictũ? ita. Ad hæc igitur ita in præsentia disseramus, postquã unà cõuenimus, quã uim & iusta & iniusta habeat operatio. Quo pacto? Imaginẽ animæ figuremus, ut qui illa dixit, qualia dixerit, recognoscat. Qualẽ? Talẽ aliquã, quales quondã memorantur fuisse naturæ Chimeræ ipsius, Scyllæ & Cerberi, & aliæ multæ, in quibus feruntur uariæ in eodẽ formæ cõgenitæ. Feruntur quidẽ. Finge itaq; figurã unã bestiæ uariæ admodũ, & capita circũ multa habentis, capita inquã partim bestiarũ domesticarũ, partim agrestiũ, quæ & permutare & producere ex se hæc omnia possit. Noui pictoris artificiũ narras, tamẽ cũ ad fingendũ sermo quã cera facilior sit, fingatur. Vnam præterea his adiunge supernè leonis formã: huic unã insup hominis. Et amplissimũ qdẽ primũ sit, angustius uerò secundũ atq; tertiũ. Facilia qdẽ ista, quare & formata sint. Coniunge igit hęc tria, ut ad unũ conficiendũ inuicẽ cohærescãt. Iũcta sunt. Circumpone extrinsecus ipsis hominis unius imaginẽ, ut ille qui nequeat interiora inspicere, sed exterius dũtaxat cernat operimẽtũ, unũ animal, homo scilicet uideat. Circũdedi. Dicamus itaq; illi q asserit prodesse homini huic iniustè agere, iustè uerò uiuere nequaquã prodesse eũ nihil aliud asserere, nisi prodesse illi ut bestiã illã multiplicẽ pascat & leonẽ, & fortiorẽ illam leonemq; efficiat, hominẽ uerò perire fame permittat atq; eneruet, usq; adeò ut propter imbecillitatẽ trahatur quocunq; cætera illa rapiunt, neq; alterũ cũ altero mansuefaciat, inuicémue conciliet, imò sinat singula se inuicem morsibus lacerare, ac pugnantia se mutuò deuorare. Omnino hæc diceret, quisquis laudaret iniuriam. Ergo si quis dicat officia iusta prodesse, hæc agenda dicendaq; monebit, ex quibus homo ille huiusmodi animalis interior, summã potentiam consequatur, feræq; illius pluribus capitibus redimitæ, tanquã colonus curam habeat, domestica quidẽ capita fouẽs, irrigãs ac nutriẽs, agrestia protinus amputans, dũ leonis naturã ad hoc adiutricẽ accipit, cõmuniterq; curat omnia, & inuicem mutua beneuolentia sibiq; conciliat. Profectò hæc ait, qui iustum laudat. Omni itaq; ratione qui iusta laudat, uera loquitur: Qui uerò iniusta, mentitur. Nam & quo ad uoluptatem, & quoad decus, & quo ad emolumentũ, iusti laudator, uera pronunciat. Vituperator aũt neq; ueri quicquã affert, neq; nouit quod improbat. Nullo modo ut mihi qdẽ uidet. Mitibus itaq; uerbis illi persuadeamus, neq; eñ spõte delinquit: sic interrogãtes, O beate uir, nõne & honesta uitę instituta et turpia, ob taliã quædã esse dicimus?

Ex Platone de Rep. uel de iusto.

τὰ μὴ καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δ' ἴσως τὰ ὑπὸ τῷ θείῳ, τὰ θηριώδη ποιοῦντα τῆς φύσεως. αἰσχρὰ δὲ τὰ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα. συμφήσει, ἢ πῶς. ἐάν ἐμοί ἔφη πίθηται. ἔστιν οὖν εἶπον ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδίκως, εἴπερ τοιόνδε τι γίγνεται, λαμβάνων τὸ χρυσίον, ἅμα καταδουλοῦται τὸ βέλτιστον αὑτοῦ τῷ μοχθηροτάτῳ; ἢ εἰ μὲν λαβὼν χρυσὸν, υἱὸν ἢ θυγατέρα ἐδουλοῦτο, καὶ ταῦτ' εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει, οὐδ' ἂν πάμπολυ ἐπὶ τούτῳ λαμβάνοι. εἰ δὲ τὸ αὑτοῦ θειότατον, ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται, καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι, καὶ πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ, ἢ ἐριφύλη ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη; πολὺ μέντοι ἦ δ' ὃς ὁ Γλαύκων, ἐγὼ γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι. οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ τὰ τοιαῦτα * πάντα ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ, τὸ δεινὸν τὸ μέγα ἐκεῖνο, καὶ πολυειδὲς θρέμμα † πέρα τοῦ δέοντος; δῆλον ἔφη. ἡ δ' αὐθάδεια καὶ δυσκολία ψέγεται, οὐχ ὅταν τὸ λεοντῶδές, καὶ ὀφιῶδες αὔξηται, καὶ * συγγίνηται ἀναρμόστως; πάνυ μὲν οὖν. τρυφὴ μὲν οὖν καὶ μαλθακία, οὐκ ἐπὶ τῇ αὐτοῦ τούτου χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ δειλίαν ἐμποιῇ; τί μήν; κολακεία δὲ καὶ ἀνελευθερία, οὐχ ὅταν τίς τὸ αὐτὸ τοῦτο τὸ θυμοειδὲς ὑπὸ τῷ ὀχλώδει θηρίῳ ποιῇ καὶ ἕνεκα χρημάτων, καὶ τῆς ἐκείνου ἀπληστίας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος πίθηκον γίγνεσθαι; καὶ μάλα ἔφη. βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί οἴει ὄνειδος φέρει; ἢ δι' ἄλλο τι φήσομεν, ἢ ὅταν τίς ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίστου εἶδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὑτῷ θρεμμάτων, ἀλλὰ θεραπεύειν ἐκεῖνα, καὶ τὰ θωπεύματα αὐτῶν μόνον δύνηται μανθάνειν; ἔοικεν ἔφη. οὐκοῦν ἵνα καὶ ὁ τοιοῦτος ὑφ' ὁμοίου ἄρχηται οἵουπερ ὁ βέλτιστος, δοῦλον αὐτόν φαμεν δεῖν εἶναι, ἐκείνου τοῦ βελτίστου, καὶ ἔχοντος ἐν αὑτῷ τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ βλάβῃ τῇ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν, ὥσπερ Θρασύμαχος ᾤετο τοὺς ἀρχομένους. ἀλλ' ὡς ἄμεινον παντὶ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι, μάλιστα μὲν οἰκεῖον ἔχοντος ἐν ἑαυτῷ· εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, ἵνα εἰς δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι, τῷ αὐτῷ κυβερνώμενοι. καὶ ὀρθῶς γ' ἔφη. δηλοῖ δέ γε ἦν δ' ἐγὼ καὶ ὁ νόμος, ὅτι τοιοῦτον * βούλεται πᾶσι τοῖς ἐν τῇ πόλει ξύμμαχος ὤν, καὶ ἡ τῶν παίδων ἀρχή, τὸ μὴ ἐᾶν ἐλευθέρους εἶναι, ἕως ἂν ἐν αὐτοῖς, ὥσπερ ἐν πόλει πολιτείαν καταστήσωμεν, καὶ τὸ βέλτιστον θεραπεύσαντες τῷ παρ' ἡμῖν τοιούτῳ ἀντικαταστήσωμεν φύλακας ὅμοιον καὶ ἄρχοντα ἐν αὐτῷ, καὶ τότε δὴ * ἐλευθερίαν ἀφίεμεν. δηλοῖ γὰρ ἦ δ' ὅς.

* aliàs πάλαι
† al. additur εἰς ἐλευθερίαν.
* al. συντείνεται.
aliàs βουλόνται.
aliàs ἐλευθέρους.

Οὐκοῦν ἦν δ' ἐγώ, πῇ τε ἄλλα ἀπελυσάμεθα ἐν τῷ λόγῳ; καὶ οὐ τοὺς μισθούς, οὐδὲ τὰς δόξας δικαιοσύνης ἀπηνέγκαμεν, ὥσπερ Ἡσίοδόν τε καὶ Ὅμηρον ὑμεῖς ἔφατε. ἀλλ' * αὐτὴν δικαιοσύνην αὐτῇ τῇ ψυχῇ ἄριστον εὕρομεν, καὶ ποιητέον εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ' ἔχῃ τὸν Γύγου δακτύλιον, ἐάν τε μή, καὶ πρὸς τοιούτῳ δακτυλίῳ τὴν Ἄϊδος κυνῆν. ἀληθέστατα ἔφη λέγεις. ἆρ' οὖν ἦν δ' ἐγώ, ὦ Γλαύκων νῦν ἤδη ἀνεπίφθονόν ἐστι πρὸς ἐκείνοις, καὶ τοὺς μισθοὺς τῇ δικαιοσύνῃ, καὶ τῇ ἄλλῃ ἀρετῇ ἀποδοῦναι, ὅσους καὶ οἵους τῇ ψυχῇ παρέχει παρ' ἀνθρώπων τε καὶ θεῶν, ζῶντός τε ἔτι τοῦ ἀνθρώπου, καὶ ἐπειδὰν τελευτήσῃ; παντάπασι μὲν οὖν ἦ δ' ὅς. ἆρ' οὖν ἀποδώσετέ μοι ἃ ἐδανείσασθε ἐν τῷ λόγῳ; τί μάλιστα; ἔδωκα ὑμῖν τὸν δίκαιον δοκεῖν ἄδικον εἶναι, καὶ τὸν ἄδικον δίκαιον. ὑμεῖς γὰρ ἡγεῖσθε, κἂν εἰ μὴ δυνατὸν εἴη ταῦτα λανθάνειν, καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως δοτέον εἶναι τοῦ λόγου ἕνεκα, ἵν' ἡ αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν κριθείη, ἢ οὐ μνημονεύεις; ἀδικοίην μέντ' ἂν ἔφη, εἰ μή. ἐπειδὴ τοίνυν ἦν δ' ἐγὼ κεκριμέναι εἰσίν, ἐγὼ πάλιν ἀπαιτῶ ὑπὲρ δικαιοσύνης, ὥσπερ ἔχει δόξης καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων, καὶ ἡμᾶς ὁμολογεῖν περὶ αὐτῆς δοκεῖσθαι οὕτως, ἵνα καὶ τὰ νικητήρια κομίσηται, ἃ ἀπὸ τοῦ δοκεῖν κτωμένη, δίδωσι τοῖς ἔχουσιν αὐτήν. ἐπειδὴ καὶ τὰ ἀπὸ τοῦ εἶναι ἀγαθά, διδοῦσα ἐφάνη. καὶ οὐκ ἐξαπατῶσα τοὺς τῷ ὄντι λαμβάνοντας αὐτήν. δίκαια ἔφη αἰτῇ. οὐκοῦν ἦν δ' ἐγώ, πρῶτον μὲν τοῦτο ἀποδώσετε, ὅτι θεούς γε οὐ λανθάνει ἑκάτερος αὐτῶν, οἷός ἐστιν. ἀποδώσομεν ἔφη. εἰ δὲ μὴ λανθάνετον. ὁ μὲν, θεοφιλὴς ἂν εἴη, ὁ δέ, θεομισής, ὥσπερ καὶ

Πλάτωνος πολιτείας ι.
aliàs αὐτὴν δι- καιοσύνην

καταρ-

Honesta quidem, quæ partem naturæ ferinam homini, imò fortassis diuino subijciunt? turpia uerò, quæ agresti domino mancipant mansueta. Consentiet, nec ne? Consentiet, si mihi crediderit. Est ne aliquis cui prosit ex hac ratione iniustè aurum usurpare, si quidem accidit, ut dum accipit aurum, præstantissimam sui partem ignobilissimæ seruire compellat? Etenim si accipiens aurum, filium suum, uel filiam mancipium efficeret agrestium & improborum hominum, haudquaquã accepisse prodesset, neq; etiam si multum caperet: sin autem partem sui diuinissimam, parti prophanissimæ scelestissimæq; seruire cogit, neq; misericordia tangitur, nónne erit miser? ac multo cum grauiori sui pernicie, auri muneribus est corruptus, quàm Eriphyle, quæ ut perderet uiri sui uitã monile illud accepit? Valde quidem, ut ego tibi pro illo respondeam. Nónne & intemperantiã olim appellatam tali quadã de causa putas. Quoniã in ea, dira illa ingensq; & multiplex fera ultra quàm dece at uagatur? Patet. Contumatia uero & insolentia improbatur, quando leoninum & & serpentinum illud genus ita superat, ut præter omnẽ modestiam inualescat? Prorsus. Delicata uero mollities in huius ipsius libera nimium relaxatione, quando in ipso timiditatem & ignauiã procreat, reprehenditur? Quid ni? Assentatio insuper illiberalitasq;, cum aliquis hunc ipsum animositatis uigorem turbulentæ multiplicisq; bestiæ submittit, ac propter quæstum, eiusq; inexplebilem cupiditatem deijcit atq; ita à primis annis assuefacit, ut ex leone in simiam uertatur. Magnopere. Mechanicus uero mercenariusq; affectus cur infamis habetur? Tunc certe hæc in nobis infamia sunt, quando quis partis optimæ speciem natura sortitus est imbecillem, adeò ut bestijs quæ in eo sunt dominari non possit: colere uero tantum & possit & studeat, & earum blanditias solum nosse. Videtur. Nónne ut huiusmodi uir à tali quodam duce regatur, à quali & optimus quisq; regitur, seruum ipsum esse debere dicimus optimi uiri, diuinumq; in seipso imperatorem habentis: neq; ad subiecti iacturam, parere illum debere superiori censemus, quemadmodum de subditis omnibus Thrasymachus existimabat, sed quia præstat cuiq;, diuino sapientiq; principi subijci, maxime quidem si talem in seipso principem habeat, si non habeat, principi huic saltem exteriori: ut omnes simus, quoad fieri potest, consimiles & amici, eidem principi subiecti? Recte nimium. Perspicuum quidem ex lege fit, quod tale qddã ipsius est consiliũ, cũ omnibus ciuibus æque prospiciat: tũ illud etiã in pueros imperiũ idẽ ostendit, quo prohibentur sui iuris esse tantisper dũ & in ipsis quemadmodũ in ciuitate Remp. cõstituamus, optimamq; ipsorũ partẽ colẽtes, ex optima nostri parte exterioris huius principis loco similẽ quendã in ipsis custodem sibi ipsi imperantem creemus, ac tunc demũ liberos esse permittamus. Constat planè.

Nónne cętera qdẽ in hac disputatione exposuimus? præmia uero ipsius & honores nequaquã attulimus, queadmodũ Homerũ uos & Hesiodũ adduxisse dicebatis: sed iustitiã ipsam ipsi animæ optimũ pręmiũ esse cõperimus, iusteq; agendũ esse mõstrauim⁹, siue Gygis habeat annulũ, siue etiã Plutonis galeã? Vera loqueris. Cęterũ nũc q̃q; præter hæc nulla inuidia prohibet, quo min⁹ iustitiæ & uniuersæ uirtuti ea pręmia tribuamus, quæ ipsa animę tam apud homines quàm apud deos comparat, tam uiuenti quàm defuncto. Magnopere. Nunquid ergo restituitis mihi, quæ in sermone mutuati estis? Quid maximè? Dedi equidem uobis, iustum uirum uideri iniustum, iniustumq; iustum. Vos enim petieratis, licet enim fieri non posset, ut ista homines deosq; laterent, tamen concedi hoc disputationis gratia placuit, ut iustitia ipsa iniustitiam ipsam comparata iudicaretur: Non recordaris? Quid ni recorder? Postquã iudiciũ peractũ est iã iterũ postulo ut exponatis, quã iustitia mercedẽ à dijs & hominib⁹ referat, ut & palmã ab opinione & manifesta existimatione reportet, qua cultores suos, ipsa q̃q; decorat, postquã apte uisa est etiã ipsa sui p̃sentia beneficia nobis cõferre, neq; eos decipere, q uere possident. Debita postulas. Primũ qdẽ hoc mihi reddetis, q̃d qualis uterq; eorũ sit, & iust⁹ & iniust⁹, deos nõ latet. Reddemus. Si deos id non latet, hic quidem à Deo amabitur, ille odio habebitur, id quod

Ex Platone de Rep. uel de iusto.

κατ' ἀρχὰς ὡμολογοῦμεν. Ἔστι ταῦτα. Τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσομεν, ὅσα γε ἀπὸ θεῶν γίγνεται πάντα γίγνεσθαι, ὡς οἷόν τε ἄριστα, εἰ μή τι ἀναγκαῖον αὐτῷ κακὸν ἐκ προτέρας ἁμαρτίας ὑπῆρχεν. Πάνυ μὲν οὖν. Οὕτως ἄρα ὑποληπτέον περὶ τοῦ δικαίου ἀνδρός, ἐάν τ' ἐν πενίᾳ γίγνηται, ἐάν τ' ἐν νόσοις, ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, ὡς τούτῳ ταῦτα εἰς ἀγαθόν τι τελευτήσει ζῶντι, ἢ καὶ ἀποθανόντι, οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτε ἀμελεῖται, ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι, καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ. Εἰκός γ' ἔφη τὸν τοιοῦτον μὴ ἀμελεῖσθαι ὑπὸ τοῦ ὁμοίου. Οὐκοῦν περὶ τοῦ ἀδίκου τἀναντία τούτων δεῖ διανοεῖσθαι. Σφόδρα γε. Τὰ μὲν δὴ παρὰ θεῶν τοιαῦτ' ἄττ' ἂν εἴη νικητήρια τῷ δικαίῳ. Κατὰ γοῦν ἐμὴν δόξαν ἔφη. Τί δ' ἦν δ' ἐγώ, παρ' ἀνθρώπων. ἆρα οὐχ ὧδε ἔχει, εἰ δεῖ τὸ ὂν τιθέναι; οὐχ οἱ μὲν δεινοί τε καὶ ἄδικοι δρῶσιν, ὅπερ οἱ δρομεῖς ὅσοι ἂν θέωσιν εὖ ἀπὸ τῶν κάτω, ἀπὸ δὲ τῶν ἄνω μή. τὸ μὲν πρῶτον ὀξέως ἀποπηδῶσι, τελευτῶντες δὲ καταγέλαστοι γίγνονται τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες, καὶ ἀστεφάνωτοι ἀποτρέχοντες, οἱ δὲ τῇ ἀληθείᾳ δρομικοί, εἰς τέλος ἐλθόντες, τά τε ἆθλα λαμβάνουσι καὶ στεφανοῦνται. Οὐχ οὕτω καὶ περὶ τῶν δικαίων τὸ πολὺ ξυμβαίνει, πρὸς τὸ τέλος ἑκάστης πράξεως καὶ ὁμιλίας, καὶ τοῦ βίου, εὐδοκιμοῦσί τε καὶ τὰ ἆθλα παρὰ τῶν ἀνθρώπων φέρονται; Καὶ μάλα. Ἀνέξῃ ἄρα λέγοντος ἐμοῦ περὶ τούτων, ἅπερ αὐτὸς ἔλεγες περὶ τῶν ἀδίκων; ἐρῶ γὰρ δή, ὅτι οἱ μὲν δίκαιοι, ἐπειδὰν πρεσβύτεροι γένωνται ἐν τῇ αὑτῶν πόλει, ἄρχουσί τε ἃς ἂν βούλωνται ἀρχάς, γαμοῦσί τε, ὁπόθεν ἂν βούλωνται, ἐκδιδόασί τε εἰς οὓς ἂν ἐθέλωσι. καὶ πάντα ἃ σὺ περὶ ἐκείνων, ἐγὼ νῦν λέγω περὶ τῶνδε. καὶ αὖ καὶ περὶ τῶν ἀδίκων; ὅτι οἱ πολλοὶ αὐτῶν, καὶ ἐὰν νέοι ὄντες λάθωσιν, ἐπὶ τέλους τοῦ δρόμου αἱρεθέντες, καταγέλαστοί εἰσι, καὶ γέροντες γιγνόμενοι, ἄθλιοι, προπηλακίζονται, ὑπὸ ξένων τε καὶ ἀστῶν μαστιγούμενοι. καὶ ἃ ἄγροικα ἔφησθα σὺ εἶναι ἀληθῆ λέγων, εἶτα στρεβλώσονται, καὶ ἐκκαυθήσονται. πάντα ἐκεῖνα οἴου καὶ ἐμοῦ ἀκηκοέναι ὡς πάσχουσιν. ἀλλ' ὃ λέγω, ὅρα εἰ ἀνέξῃ. Καὶ πάνυ ἔφη. δίκαια γὰρ λέγεις. Ἃ μὲν τοίνυν ἦν δ' ἐγώ, ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλά τε καὶ μισθοί, καὶ δῶρα γίγνονται πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς, οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη, τοιαῦτ' ἂν εἴη. Καὶ μάλα ἔφη, καλά τε καὶ βέβαια. Ταῦτα τοίνυν ἦν δ' ἐγώ, οὐδέν ἐστι πλήθει, οὐδὲ μεγέθει πρὸς ἐκεῖνα, ἃ τελευτήσαντα ἑκάτερον περιμένει.

Πλάτωνος. Τί τοὐντεῦθεν; πῶς ἄρχεσθαι δεῖν φαμὲν δικαιοσύνης πέρι μαθήσεως; Ὥσπερ ἂν εἴ τις ἡμᾶς προὔτρεπε τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι, μηδὲν προνοοῦντας ὁρῶν καθάπερ παῖδας, ὡς ἔστι τις γυμναστική, καὶ ἰατρική, κἄπειτα ὠνείδιζε λέγων, ὡς αἰσχρὸν πυρῶν μὲν καὶ κριθῶν καὶ ἀμπέλων ἐπιμέλειαν πᾶσαν ποιεῖσθαι. καὶ ὅσα τοῦ σώματος ἕνεκα διαπονούμεθά τε καὶ κτώμεθα, τούτου δ' αὐτοῦ μηδεμίαν τέχνην, μηδὲ μηχανήν, ὅπως ὡς βέλτιστον ἔσται τὸ σῶμα ἐξευρίσκειν, καὶ ταῦτα οὖσαν. εἰ δ' ἐπανηρόμεθα τὸν ταῦθ' ἡμᾶς προτρέποντα, λέγεις δὲ εἶναι τίνας ταύτας τὰς τέχνας; εἶπεν ἂν ἴσως ὅτι γυμναστική, καὶ ἰατρική. καὶ νῦν δὴ τίνα φαμὲν εἶναι τὴν ἐπὶ τῇ τῆς ψυχῆς ἀρετῇ τέχνην, λεγέσθω. Ὁ δὴ δοκῶν αὐτῶν ἐρρωμενέστατος εἶναι, πρὸς ταῦτα ἀποκρινόμενος εἶπε ταύτην τὴν τέχνην εἶναι, ἥνπερ ἀκούεις * συλλέγοντος ἔφη Σωκράτους, οὐκ ἄλλην ἢ δικαιοσύνην. εἰπόντος δέ μου, μή μοι τὸ ὄνομα εἴπῃς μόνον, ἀλλὰ ὧδε. ἰατρική πού τις λέγεται τέχνη. ταύτης δὲ διττὰ τὰ ἀποτελούμενα. τὸ μὲν ἰατροὺς ἀεὶ πρὸς τοῖς οὖσιν ἑτέρους ἐξεργάζεσθαι. τὸ δὲ, ὑγίειαν. ἔστι δὲ τούτων θάτερον, οὐκέτι τέχνη. τῆς τέχνης δὲ τῆς διδασκούσης τε καὶ διδασκομένης ἔργον, ὃ δὴ λέγομεν ὑγίειαν. καὶ τεκτονικῆς δὲ κατὰ ταὐτά, οἰκία τε, καὶ τεκτονική· τὸ μέν, ἔργον, τὸ δέ, δίδαγμα. τῆς δὴ δικαιοσύνης ὡσαύτως· τὸ μέν, δικαίους ἔστω ποιεῖν, καθάπερ * ἐκεῖ τοὺς τεχνίτας ἑκάστους. τὸ δ' ἕτερον ὃ δύναται ποιεῖν ἡμῖν ἔργον ὁ δίκαιος, τί τοῦτο φαμέν; εἰπέ. Οὗτος μέν, ὡς οἶμαι, τὸ συμφέρον ἀπεκρίνατο. ἄλλος δὲ τὸ δέον. ἕτερος δέ, τὸ ὠφέλιμον. ὁ δέ, τὸ λυσιτελοῦν. ἐπανῄειν δὴ ἐγὼ λέγων, ὅτι * ἐκεῖ τά γε ὀνόματα † ταῦτ' ἐστὶν ἐν ἑκάστῃ τῶν τεχνῶν, ὀρθῶς πράττειν λυσιτελοῦντα, ὠφέλιμα, καὶ τὰ τοιαῦτα. ἀλλὰ πρὸς ὅ, τι ταῦτα πάντα τείνει, ἐρεῖ τὸ ἴδιον ἑκάστη τέχνη, οἷον ἡ τεκτονική, τὸ εὖ, τὸ καλῶς, τὸ δεόντως, ὥστε τὰ ξύλινα φησὶ σκεύη γίγνεσθαι, ἃ δὴ οὐκ ἔστι τέχνη. λεγέσθω δὴ καὶ τὸ τῆς δικαιοσύνης ὡσαύτως.

ἄλ. σὺ λέγοντος.

ἄλ. ἰατρούς.

* ἄλ. κἀκεῖ.
† ἄλ. ταῦτ'.

τελευ-

principio confessi sumus. Est ita. Deorum autem amico omnia quoad fieri potest à dijs optima tribuuntur, nisi quid mali ex priori delicto, ei necessitate quadam im mineat. Omnino. Sic itaq; de iusto uiro existimandum, siue paupertati, seu morbis, siue quibusuis alijs eorum quæ mala uidentur, obnoxius sit, huic demum uel uiuenti uel mortuo ad bonum aliquod ista conducere. Neq; enim à dijs unquam negligitur, quicunq; iustus euadere uirtutisq; officijs, quoad homini licet, Deo similis fieri conabitur. Decens est talem uirum à simili non contemni. De iniusto autem contra omnino est sentiendum. Vehementer. Apud deos igitur iusto uiro hæc dabitur palma. Sic arbitror. Apud homines autem nónne sic euenit, si uera fateri debemus? Callidi quidem homines & iniqui perinde faciunt ac cursores illi, qui ab inferioribus currunt bene, à superioribus minime. Nam primo celeriter exiliunt: tandem uero risum reportant, auribus demissis, & sine corona discedentes. Veri autem cursores ad finem perueniunt, adeptiq; præmium coronantur. Viris iustis similiter idem, ut plurimum, accidit. Nempe in fine cuiusq; actionis consuetudinisq; & uitæ, probantur, muneraq; ab hominibus referunt. Magnopere. Sustinebísne ut ego de his, quæ tu de iniustis, adducam? Dicam equidem. Iusti enim cum ad maturam ætatem peruenerint, ciuitatis muneribus pro arbitrio funguntur: matrimonia quibus cum uoluerint, & dando & accipiendo uicissim ineunt: ac summatim quæcunq; de illis tu, ego nunc de his affirmo: rursusq; de iniustis hominibus assero: Plerìq; enim ipsorum quamuis ad tempus sua uitia celent: tandem in curriculi calce, quales sint deprehenduntur: ridiculi prorsus euadunt: & in senio miseri à peregrinis & ciuibus obiurgantur, uerberantur, omnia patiuntur quæ tu aspera esse reuera dicebas. Torquebuntur enim & inurent. Porrò quæcunque ipse commemorabas, audire iterum ex me putato. Sed ut dicebam, uide an sis hæc toleraturus. Perferam equidem: dicis enim quæ decent. Hæc itaq; sunt præmia, mercedes, & munera, quæ iusto uiro præter ea bona quæ ipsa in se iustitia con tinet, à dijs & hominibus tribuuntur. Egregia ualde hæc sunt & certa. At enim hæc & numero & magnitudine nihil sunt, si ad ea comparentur, quæ utrunque defunctum manent.

Quid posthac? unde iustitiæ studium incipiemus? Si quis nos ad curandum corpus hortans, tanquā pueros, qui nequaquā aduertunt curam eius gymnasticam atq; medicinam esse, obiurget quod de tritico, & hordeo, & uitibus semper cogitemus, deq; omnibus quæ corporis gratia quærimus, artem uero & industriam qua bonus corporis habitus fiat, nullam inquiramus, cum tamen sit aliqua, forte illum rogaremus quas artes circa cultū corporis esse dicat, atq; ille ut arbitror responderet medicinam atq; gymnasticam: Eodem pacto nunc quam artem circa animæ uirtutē uersari censeamus, respondeat quisquis peritissimus horum sibi uidetur. Respondet ergo ad hęc, artem hanc quam ex Socrate audiuisti, nullam aliam nisi iustitiam esse scias. Tunc ego, non solum inquam mihi nomen adducas, sed ulterius sic exponas. Medicina porrò ars quædam dicitur, ab hac duo fiunt: nam & medici ex medicis efficiuntur, & sanitas reparatur. Alterum horum haud amplius ars aliqua est: artis autē docentis perceptæq; opus, quā dicimus sanitatē. Ab architectura similiter duo fiūt, ædificiū uidelicet & architectura, illud quidē opus, hæc autē doctrina. Iustitiæ quin etiā est o iustos alios facere, quēadmodū supiores artifices. Sed op⁹ alterū q̃d nobis uir iust⁹ efficere potest, qd esse dicemus? declara. Respōdit qdā, cōferēs: alius, decēs: alius, conducibile: alius, utile. At ego respondēs obieci in singulis artib⁹ eadē hęc nomina esse: atq; recte qd fit, utilia, cōducibiliaq; et alia huius generis illic fieri dicíq;. Illud uero artis cuiusq; ꝓpriū, ad q̃d hęc respiciūt. Quēadmodū in arte fabrili q̃d bene, pulchre, decēter, se habere dicit, illuc tēdit ut ex lignea natura apte supellectilia fiāt, quę qdē ars minime sunt, sed artis op⁹. Dicat similiter et iustitię ipsius op⁹.

Platonis in Clitophonte.

τελευτῶν ἀπεκρίνατό τις ὦ Σώκρατές μοι τῶν σῶν ἑταίρων, ὃς δὴ κομψότατα ἔδοξεν εἰπεῖν, ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον, ὃ τῶν ἄλλων οὐδεμιᾶς, φιλίαν ἐν ταῖς πόλεσι ποιεῖν. οὗτος δ' αὖ ἐρωτώμενος τὴν φιλίαν, ἀγαθόν τι ἔφη εἶναι, καὶ οὐδέποτε κακόν. τὰς δὲ τῶν παίδων φιλίας, καὶ τὰς τῶν θηρίων, ἃς ἡμεῖς τοῦτο τοὔνομα ἐπονομάζομεν, οὐκ ἀπεδέχετο εἶναι φιλίας ἐπανερωτώμενος. συνέβαινε γὰρ αὐτῷ, τὰ πλείω τὰς τοιαύτας βλαβερὰς, ἢ ἀγαθὰς εἶναι. φεύγων δὴ τὸ τοιοῦτον, οὐδὲ φιλίας ἔφη τὰς τοιαύτας εἶναι; ψευδῶς δὲ ὀνομάζειν αὐτὰς, τοὺς οὕτως ὀνομάζοντας. τὴν δὲ ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν. τὴν δὲ ὁμόνοιαν ἐρωτώμενος, εἰ ὁμοδοξίαν εἶναι λέγοι, ἢ ἐπιστήμην; τὴν μὲν ὁμοδοξίαν ἠτίμαζεν. ἠναγκάζοντο γὰρ πολλαὶ καὶ βλαβεραὶ γίγνεσθαι ὁμοδοξίαι ἀνθρώπων. τὴν δὲ φιλίαν, ἀγαθὸν ὡμολογήκει πάντως εἶναι, καὶ δικαιοσύνης ἔργον. ὥστε ταὐτὸ ἔφησεν εἶναι ὁμόνοιαν καὶ ἐπιστήμην οὖσαν, ἀλλὰ οὐ δόξαν. ὅτε δὴ ἐνταῦθα ἦμεν τοῦ λόγου, ἀκροαταὶ οἱ παρόντες, ἱκανοὶ ἦσαν ἐπιπλήττειν τε αὐτῷ καὶ λέγειν, ὅτι περιδεδράμηκεν εἰς ταὐτὸν ὁ λόγος τοῖς πρώτοις. καὶ ἔλεγον ὅτι καὶ ἡ ἰατρικὴ, ὁμόνοιά τις ἐστὶ καὶ ἅπασαι αἱ τέχναι, καὶ περὶ ὅτου εἰσὶν ἔχουσι λέγειν. (al. ἐπιτείνουσι,) τὴν δὲ ὑπὸ σοῦ λεγομένην δικαιοσύνην ἢ ὁμόνοιαν, * ὅπου τινός ἐστι διαπέφευγε, καὶ ἄδηλον αὐτῆς ὅ τι ποτέ ἐστι τὸ ἔργον. ταῦτα ὦ Σώκρατες ἐγὼ τελευτῶν, καὶ σαυτὸν ἠρώτων· καὶ εἶπάς μοι δικαιοσύνης εἶναι, τοὺς μὲν ἐχθροὺς βλάπτειν, τοὺς δὲ φίλους εὖ ποιεῖν. ὕστερον δὲ ἐφάνη βλάπτειν γε οὐδέποτε ὁ δίκαιος οὐδένα. ἅπαντα γὰρ ἐπ' ὠφελείᾳ πάντας δρᾶν.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΑΔΙΚΙΑΣ, ΚΑΙ ΦΙΛΑΡΓΥΡΙΑΣ ΚΑΙ ΠΛΕΟΝΕΞΙΑΣ.

ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

Εὐριπίδου. Πάλαι ποτ' ἐστὶ τοῦτό μοι δεδογμένον,
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ.
ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
φίλοις τ' ἄχρηστος, καὶ συναλλάξαι βαρύς.

Σαραπίωνος. Οὐ τῆς ἐμῆς ἕκατι καρδίας φορὰς
λόγους προσινεῖς, τοῦ δὲ σοῦ κέρδους χάριν.

Μενάνδρου. Πλεονεξία, μέγιστον ἀνθρώποις κακόν.
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
ἀποτυγχάνουσι πολλάκις νικώμενοι.
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Διφίλου. Ἆρ' ἐστὶν ἀνοητότατον αἰσχροκέρδεια;
πρὸς τῷ λαβεῖν γὰρ ὢν ὁ νοῦς, τἄλλ' οὐχ ὁρᾷ.

Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν.

Φιλαργυρία τοῦτ' ἐστὶν, ὅταν ἀφεὶς σκοπεῖν
τὰ δίκαια, τοῦ κέρδους διαπαντὸς δοῦλος ᾖς.

Μενάνδρου. Λέγεις, ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις.

Εὐριπίδου. Ὅστις γὰρ αἰεὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνὴρ,
οὐδὲν φρονεῖ δίκαιον, οὐδὲ βούλεται.
φίλοις τ' ἄμικτός ἐστι, καὶ πάσῃ πόλει.

Ὦ καλλιφεγγὲς λαμπάδ' ἡλίου στῶν φλογὸς
ἦλθε ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας.
οὐδείς τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν

Hic quidam ex tuis familiaribus Socrates respondit, & bellissime quidem loqui uisus est. Opus iustitiæ proprium, inquit, quod nullius alterius facultatis, est amicitiam in ciuitatibus parere. Ille rursus interrogatus amicitiam esse bonum quoddam asseruit, malum uero nunquam. Cum uero interrogaretur de puerorum brutorumq; beneuolentijs, quas amicitias communiter appellamus, amicitias esse eas negauit, quippe cum sæpius obsint, quàm prosint: dixitq; illas falso amicitias nuncupari: ueram autem amicitiam esse procul dubio consensionem. Cum autem quæreretur, utrum assensionem illam uocaret opinionis an scientiæ concursum, opinionem quidem contempsit, quia concursus opinionum multi inter homines ac noxij sunt: amicitiam uero bonam omnino, opusq; iustitiæ esse concesserat. Quare idem dixit esse consensionem & scientiam, non opinionem. Cum uero huc loquendo delati essemus, ambigui auditores aduersus illum protinus inclamarunt, quod eodem sermo reuolueretur: quoniã & medicina sit consensio quædam, & artes reliquę, & circa quid uersantur, declarare queant. At uero tua hæc iustitia uel cõsensio, quo tendit ignorat, quódue opus eius sit, latet. Eadem abs te tandem quæsiui Socrates. Tu uero statim iustitiæ opus esse dixisti prodesse amicis, inimicos lædere. Deinde uero uisus est tibi uir iustus nunquam lędere quenquã sed prodesse in omnibus unicuiq;.

IOANNIS STOBAEI DE INIVstitia, & Auaritia, & quauis in re plus habendi cupiditate.

SERMO OCTAVVS.

EQuidem hanc sententiam iam olim approbaui, *Euripidis.*
Quod uir iustus natus sit in proximi commodum:
Contra, cuius animus inclinatus est in lucrum,
Et amicis inutilis est, & difficilis in commertijs.
Non ut animo meo gratificere, profers *Serapionis.*
Tam blanda uerba; sed tui causa lucri.
Auaritia mortalibus est maximum malum. *Menandri.*
Nam qui suis aliena quoq; uolunt adijcere,
Hi sæpius uicti sua spe frustrantur,
Adduntq; alienis, quæ prius erant propria.
An non stultissima res est turpilucrium? *Diphili.*
Nam dũ quærit animus occasiones arripiendi ꝗppiã, hallucinatur ad alia.
Accipere si non esset, nullus foret malus.
Istud est auaritia, cum neglecta consyderatione
Iusti, quauis in re, lucro seruieris.
Dicis, sed quicquid dicis, accipiendi causa dicis. *Menandri.*
Quisquis ambitiosum & auarum ingenium habet, *Euripidis.*
Nihil ille iustum sapit, neq; cupit,
Difficilisq; est amicis, & toti ciuitati.
O qui pulchrè splendentem lampada uersas flammeam *Theodectis.*
Sol, omnibus mortalibus sydus optatum,
Vidistin unquam alium in adeo magnum

ἐλθόντ' ἀγῶνα, καὶ δυσέκφευκτον κρίσιν;
ὅπου κατηγορεῖ μὲν ἐν λόγοισί μου
γυνή. πρὸς ὃν δ' εἴρηκε τυγχάνει πόσις,
κρατοῦσι δ' οἴπερ καὶ κατηγοροῦσί με.

Ἀριστοφάνης. Οἱ δημόσια γὰρ μισθοφοροῦντες χρήματα
ἴδια σκοπεῖθ' ἕκαστος, ὅ, τι τίς κερδανεῖ,
τὸ δὲ κοινὸν, ὥσπερ σιμὸς κυλίνδεται.

Ἡσιόδου. Χρήματα δ' οὐχ ἁρπακτὰ, θεόσδοτα πολλὸν ἀμείνω.

Νήπιοι, οὐδ' ἴσασιν ὅσον πλέον ἥμισυ παντὸς,
οὐδ' ὅσον ἐν μαλάχῃ τε, καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

Μὴ κακὰ κερδαίνειν, κακὰ κέρδεα ἶσ' ἄτῃσι.

Ἐπιχάρμου. Α δὲ χεὶρ, τὰν χεῖρα νίζει.

Βακχυλίδου. Ὡς δ' ἅπαξ εἰπεῖν φρένα καὶ πυκινὰν κέρδος ἀνθρώπων βιᾶται.

Πινδάρου. Ἀλλὰ κέρδει καὶ σοφία δέδεται.

Ἡσιόδου. Δὼς ἀγαθὴ, ἅρπαξ δὲ κακὴ, θανάτοιο δότειρα.
ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅ, τι κἂν μέγα δώῃ,
χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν.
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
καί τε σμικρὸν ἐὸν τόγ' ἐπάχνωσε φίλον ἦτορ.

Εὐριπίδου. Ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη.
ὅστις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν
κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ:
πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων,
τὸν τῶν λεγόντων ῥᾷον ἂν φέροι ψόγον.

Σοφοκλέους. Κρείσσων γὰρ οὐδεὶς χρημάτων πέφυκ' ἀνήρ:
πλὴν εἴ τις, ὅστις οὗτός ἐστιν, οὐχ ὁρῶ.

Ὑφεὶς μάγον τοιόνδε, μηχανορράφον,
δόλιον, ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσι
μόνον δέδορκε: τὴν τέχνην δ' ἔφυ τυφλός.

Μενάνδρου λακωνίας. Ὅστις ὑπέχει χρυσίῳ τὴν χεῖρα, κἂν μὴ φῇ,
πονηρὰ βούλεται.

Οὐδεὶς ἐπλούτησε ταχέως δίκαιος ὤν.
ὁ μὲν γὰρ αὑτῷ συλλέγει, καὶ φείδεται.
ὁ δὲ, τὸν πάλαι τηροῦντ' ἐνεδρεύσας, πάντ' ἔχει.

Ἀντιφῶντα. Τὰ πονηρὰ κέρδη, τὰς μὲν ἡδονὰς ἔχει
μικράς: ἔπειτα δ' ὕστερον λύπας μακράς.

Εὐριπίδου. Βίᾳ νυν ἕλκετ' ὦ κακοὶ τιμὰς βροτοὶ,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι.
σύμμικτα, μὴ δίκαια, καὶ δίκαι' ὁμοῦ.
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

Μενάνδρου ἀδελφοῖς. Ἔργον εὑρεῖν συγγενῆ πένητός ἐστιν.
οὐδεὶς γὰρ ὁμολογεῖ αὑτῷ προσήκειν
τὸν βοηθείας τινὸς δεόμενον,
αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ.

Σοφοκλέους. Φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος.

Εὐριπίδου. Κακοῖς τὸ κέρδος, τῆς δίκης ὑπέρτερον.

Πλάτωνος ἐν τῷ Κρίτωνι. Ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ φαμὲν, ἢ οὔ; φαμέν. οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν; οὐ δῆτα. οὐδὲ ἀδικούμενον

Suæ causæ periculum, & ineuitabile iudicium incidisse?
Hic enim ecce uerbis accusat me
Mulier, agitq́; causam apud maritum.
Superant autem me ijdem, qui & incusant.

Vos qui accipitis stipendia publica *Aristophanis.*
Singuli priuatim incumbitis suo quisq́; lucro.
Vtilitas uero reipublicæ ceu Sisyphi lapis uersatur.

Pecuniæ non raptæ, sed datæ diuinitus, multo sunt potiores. *Hesiodi.*

Dimidium ignorant stulti magis utile toto, *Eiusdem.*
Maluaq́; quos uius, quos hastula regia præbet.

Turpia lucra fuge, nam sunt æqualia damnis. *Eiusdem.*

Manus manum fricat. *Epicharmi.*

Vt paucis dicã, quantũuis sapientẽ animũ hominis, lucrũ ui superat. *Bacchylidis.*

Victa est etiam sapientia lucro. *Pindari.*

Bonum est donum, sed rapina mala mortisq́; causa. *Hesiodi.*
Si quis enim sponte quantumuis magnum donauerit,
Dato gaudet munere, animoq́; suo delectatur.
At si quis ipsemet impudentia fretus acceperit,
Hoc etsi paruum charam mentem contristat.

Ingenita quidem est malitia cunctis mortalium. *Euripidis.*
Is uero qui accepta mercede maxima
Malus fuerit, uenia quidem indignus est:
Sed cum magnam mercedem audaciæ magnæ ferat,
Facilius sustinebit reprehensionem incusantium ipsum.

Nullus est quem non uincant pecuniæ. *Sophoclis.*
Nisi forte quispiam, quem ego quis nam sit, haud uideo,
Subornans magum huiusmodi, ueteratorem,
Dolosum, erronem, & qui in lucro
Solummodo cernit, arte uero cæcus est.

Quicunq́; manum auro supponit, ille quamuis inficietur, *Menandri in La-*
Mala consilia molitur. *casia.*

Nullus continuo iustè uiuens ditatus est.
Iustus enim paulatim sibi colligit parsimonia.
At ille insidiatus alicui dudum opes asseruanti, occupat omnia continuo.

Lucra male quæsita uoluptates quidem pariunt *Antiphontis.*
Breues: longam uero deinde tristitiam.

Ite nunc ò mali homines, parate uobis honorem per uim, *Euripidis.*
Et contrahite diuitias undecunq́; uenantes
Per fas simul atq́; nefas,
Deinde messem ipsarum infœlicem metite.

Difficile fuerit inuenisse pauperi cognatum. *Menãdri in A-*
Nullus enim fatetur ad se pertinere *delphis.*
Illum, auxilio qui egeat aliquo.
Nimirum statim aliquid à se postulandum metuens.

Auarum est omne genus barbarorum. *Sophoclis.*

Improbi lucrum iustitiæ præferunt. *Euripidis.*

Attamẽ iniuriã facere, omnino malũ turpeq́; esse fatemur illi q facit, an nõ? Fatemur. Certe. Quãobrẽ nullo modo iniuriãdũ est. Nullo qdẽ. Neq; si iniuriã passus *Platonis in Critone.*

ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν; οὐ φαίνεται. τί δαὶ δή, κακουργεῖν δεῖ ὦ Κρίτων, ἢ οὔ; οὐ δεῖ δήπου ὦ Σώκρατες. τί δὲ ἀντικακουργεῖν κακῶς πάσχοντα ὡς οἱ πολλοί φασι δίκαιον, ἢ οὐ δίκαιον; οὐδαμῶς. τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. ἀληθῆ λέγεις. οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. καὶ ὅρα ὦ Κρίτων ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς. οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. οἷς δ' οὕτω δέδοκται, καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα.

Εὐσεβίου. Φιλοχρηματίη, τοῦ κτήσασθαι εὑρεῖν ἀρκέοντα οὖρον, οὐκ οἶδε.

Φιλοχρηματίην ἐφ' ἡμέρῃ ἑκάστῃ ὑπερρέων πλοῦτος οὐχ ἵστησιν· ὥσπερ οὐδὲ πυρκαϊὴν ὕλη ἐπιβαλλομένη. ἐπιγιγνόμενος δ' αἰεὶ ὁ πλοῦτος τὴν ἐπιθυμίαν ἐξάπτει μεζόνως. νόος δὲ μοῦνος ἀτρεκές, καὶ τοῦτο οἶδεν ἀκέεσθαι.

Φιλοχρηματίην ἄλογον, τὰ κτώμενα ἐκβαλλόμενα μᾶλλον ἀνύσειν, ἢ ὁ ἐφ' ἑκάστῃ ἡμέρῃ πλοῦτος, ἄπληστος ἐπιγιγνόμενος.

Τὸ οἰκονομέειν τὰ παρεόντα, ἀνδρὸς προνοοῦ· τὸ δὲ μηδ' ὅλως ἐθέλειν, δεῖ τῶν δεόντων χρέεσθαι.

Οἱ πλεῦνες τῶν ἀνθρώπων παρὰ λόγον φειδόμενοι ἀξιοῦσι πολυχρήματοι πιστευόμενοι, ἠλίθιοι καὶ σκαιοὶ νομίζεσθαι· ἢ πρὸς τὰ δεῖ ἀναλίσκοντες δεξιοὶ κεκλῆσθαι.

Προδίκου. Δός τι καὶ λάβοις τι.

Ἡροδότου. Ἐγὼ μὲν ὦ βασιλεῦ οἷα ἄνθρωπος, ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα ὑπὸ ἡσσόνων, οὐκ ἐῶ σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν.

Εὐσεβίου. Πλούσιον χρὴ νομίζειν, τὸν ἡγεόμενον ἔχειν τὰ ἀρκέοντα· τὸν δὲ αἰεὶ ἐπιθυμέοντα προσκτήσασθαι, καὶ πληθώρην μηδέποτε τοῦ τοιούτου λαμβάνοντα, καὶ εἰ μύρια πλουτέοι μᾶλλον, πένητα καλέω καὶ ἶρον, * ἣν ἐκεῖνος ἐξ ἀνάγκης ἔχει ψυχὴν κεκτῆσθαι.
* lego, ἱ.

Δημοκρίτου. Πλοῦτος ἀπὸ κακῆς ἐργασίης προσγιγνόμενος, ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.

Βίων ὁ σοφιστὴς τὴν φιλαργυρίαν, μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι.

Σιμωνίδης παρακαλοῦντός τινος ἐγκώμιον ποιῆσαι, καὶ χάριν ἕξειν λέγοντος, ἀργύριον δὲ μὴ διδόντος, δύο εἶπεν οὗτος ἔχω κιβωτούς. τὴν μέν, χαρίτων, τὴν δέ, ἀργυρίου. καὶ πρὸς τὰς χρείας, τὴν μὲν τῶν χαρίτων κενὴν εὑρίσκω ὅταν ἀνοίξω· τὴν δὲ χρησίμην μόνην.

Ἀντιφῶντος. Οἱ δὲ ἐργαζόμενοι μὲν καὶ φειδόμενοι, καὶ ταλαιπωροῦντες καὶ προστιθέντες, ἥδονται, οἷα δ' ἄν τις εἰκάσειεν ἥδεσθαι· ἀφαιροῦντες δὲ καὶ χρώμενοι, ἀλγοῦσιν, ὥσπερ ἀπὸ τῶν σαρκῶν ἀφαιρούμενοι.

Ἡροδότου. Ὡς κακὸν εἴη διδάσκειν τὴν ψυχὴν πλέον τι δίζεσθαι, καὶ ἔχειν τοῦ παρεόντος.

Ἀντισθένους. Φιλάργυρος οὐδεὶς ἀγαθός, οὔτε βασιλεύς, οὔτε ἐλεύθερος.

* addo Δημοκρίτου. * Χρυσοῦ τὸν οἰόμενον νόον ἔχειν ὁ νουθετέων, τί ματαιοπονίει;

Δημοκρίτου. al. Δημονίκου. Χρημάτων ὄρεξις, ἣν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη. μέζονες γὰρ ὀρέξεις, μέζονας ἐνδείας ποιοῦσι.

Κακὰ κέρδεα, ζημίαν ἀρετῆς φέρει.

Διογένους. Ὁμοίους τοὺς φιλαργύρους τοῖς ὑδρωπικοῖς. ἐκείνους μὲν γὰρ πλήρεις ὄντας, ἀργυρίου ἐπιθυμεῖν πλείονος· τούτους δ' ὕδατος· ἀμφοτέρους δέ, πρὸς κακόν. ἐπιτείνεσθαι γοῦν μᾶλλον τὰ πάθη, ὅσῳ τὰ ἐπιθυμούμενα πορίζεται.

Σωκράτης ἐρωτηθείς, τίνες φιλοχρήματοι, οἱ τὰ αἰσχρὰ κέρδη θηρώμενοι εἶπε, καὶ τοὺς ἀναγκαίους τῶν φίλων ὑπερορῶντες.

Πιττακοῦ. Ἄπληστον τὸ διαπαντὸς κέρδος.

Περιάνδρου. Κέρδος αἰσχρόν, βαρὺ κειμήλιον.

Ἐκ τοῦ Ἀριστωνύμου. al. Ἀρίστωνος. Ἀριστοτέλης φησίν, ὅτι ὀκτώ τινες κοινῇ λῃστεύοντες, ἐστασίασαν πρὸς ἀλλήλους

περὶ

fueris, ulciscendum ut uulgus putat. Siquidem nullo modo iniuriandum. Ita uidetur. Quid uero? mala alicui facere decet ô Crito, an non? Non certe, ô Socrates. Quid autem qui mala pati, num mala uicissim referre illi debet qui intulit, ut uulgo uidetur? Iustum ne id esset an iniustum? Iniustum. Nempe mala inferre hominibus non discrepat ab iniuria. Vere loqueris. Neque igitur ulcisci decet, neq; malefacere cuiquam hominum, quodcunq; ab aliis ipse passus fueris. Et uide, ô Crito, ne quid dum hæc concedis, præter sententiam tuam nobis assentiare. Perpaucis enim, scio quid loquar, sic uel apparet uel apparebit. At uero quibus sic apparet, & quibus aliter, his non est communis deliberatio, sed necesse est eos cũ ultro citroq; consilia sua respiciunt, inuicem se despicere.

Auaritia opes conquirendi sufficientem terminum nescit inuenire. *Eusebij.*

Auaritiam quotidie confluentes diuitiæ non sistunt: ut neq; struem ardentē iniecta materia. Quin accedentes semper opes ad maiorũ cupiditatē animũ magis accendunt. Sola uero mens si præsens fuerit, huic quoq; uitio mederi potest.

Irrationabilem auaritiam citius consument abiectæ res partæ, quàm crescentes quotidie immensæ opes.

Præsentibus rite uti, uiri est prouidi: prorsus autem id facere non uelle, est rebus necessariis indigere.

Plures homines diuitiis præter rationem addicti malunt dum pro diuitibus habeant stulti & rudes existimari, quã suo loco sumptus facientes cõmodi nominari.

Da aliquid, & aliquid accipito. *Prodici.*

Ego quidem ô rex, utpote homo, cum sæpe iam uiderim res multas atq; magnas à minoribus euersas esse, non permitto te ætati tuæ in omnibus indulgere, gnarus quàm malum sit multa concupiscere. *Herodoti.*

Ille diues existimandus est, qui se satis possidere sibi persuasit. Eum uero qui partis semper adiicere properat, acquirendiq; saturitate nulla capitur, etsi Mida fuerit opulentior, pauperem ac Irum appello, quo scilicet omnino non minus est pauper in animo. *Eusebij.*

Diuitiæ malis acquisitæ facinoribus opprobrium eõ habent insignius. *Democriti.*

Bion sophista auaritiam esse dicebat omnis improbitatis metropolim.

Simonides rogante quodam ut sibi conscriberet encomium, & gratiam se relaturum inquiente, argentum autem non dante, duas respondit arcas habeo, unam gratiarum, alteram argenti. Et cum necessitas exigit gratiarum quidem arcam aperiens, inanem ipsam reperio: alteram uero solum mihi commodam.

Homines auari labore, parcitate, ærumnisq; & auctione præsentium gaudent, quo scilicet auari possunt gaudio. Auferentes uero aliquid de rebus suis, & in usum conuertentes, tam dolent quàm si de corpore suo ipsis adimeretur. *Antiphontis.*

Malum est animũ ita instituere ut plus conquirere & possidere uelit pręsentibus. *Herodotus.*

Auarus nemo bonus, neq; rex, neq; liber esse potest. *Antisthenis.*

Diuitem qui sapientiæ sibi opinionem induit, admonens, quid frustra laborat?

Pecuniarũ cupiditas nisi terminetur aliqua satietate, longè deterior est extrema paupertate. Maiores enim cupiditates, indigentias quoq; maiores faciunt. *Democriti.*

Improba lucra damnum uirtutis inferunt.

Diogenes auaros hydropicis comparabat. Illos enim argento plenos, hos autem refertos aqua, amplius desyderare: idq; utrosq; in sui perniciem. Affectiones enim ipsis eo magis intenduntur, quò largius desyderata consequuntur.

Socrates interrogatus auari quinam essent, qui turpia lucra uenantur, dixit, & necessarios amicorum negligunt.

Quæsitum ubiq; lucrum, inexplebile. *Pittaci.*

Quæstus turpis, grauis est thesaurus. *Periandri.*

Tradit Aristoteles octo latrones socios de spoliis inter *Ex Aristonymi scriptis.*

περὶ τὴν σκύλλαν, καὶ τέσσαρες αὐτῶν κατελείφθησαν. πάλιν οὗτοι πρὸς ἀλλήλους διενέχθησαν, καὶ δύο κατελείφθησαν, εἶτα εἷς. καὶ τί ὑπόλοιπον, εἰ στασιάσει τὰ δεξιὰ πρὸς τὰ εὐώνυμα;

Ἐκ τοῦ αὐτοῦ. Τοῦ πύῤῥου ὀνειροπολοῦντος αἱρεῖν σικελίαν, καὶ μετὰ ταῦτα καρχηδόνα, καὶ πολλὴν γῆν, ὁ γέρων αἱρεῖν κινέας ἔφη, εἶτα μετὰ τοῦτο τί; τοῦ δὲ, εἰπόντος, ὅτι ζησόμεθα λοιπόν. ὁ δὲ, ἔφη. τί οὖν κωλύει ἀπὸ τοῦ νῦν ζῆν, πρὶν πολλὰς πόλεις ἀπολέσαι;

Ἔοικεν οὖν ὁ τοῦ φιλαργύρου βίος, νεκροῦ δείπνῳ. πάντα γὰρ ἔχων, τὸν εὐφρανθησόμενον οὐκ ἔχει.

Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν. ὅστις χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον, ὅσα βούλεται λαβεῖν. δαρεῖος δὲ διελὼν, χρήματα μὲν οὐχ εὗρε, γράμμασι δ' ἑτέροις ἐνέτυχε τάδε φράζουσιν. εἰ μὴ κακὸς ἦς ἀνὴρ, καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.

Τίμων ὁ μισάνθρωπος στοιχεῖα ἔφη τῶν κακῶν εἶναι, ἀπληστίαν καὶ φιλοδοξίαν.

Ἰσοκράτους. Ὑποστάθμη δὲ οἴνου μὲν, τρύξ. φιλαργυρίας δὲ, ἀνελευθερία.

Τοῦ αὐτοῦ. Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν.

Ξενοφῶντος. Τί νομίζεις δῆμον εἶναι; τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. καὶ τοὺς πένητας ἄρα οἶσθα; πῶς γὰρ οὔ; ἆρ' οὖν καὶ τοὺς πλουσίους οἶσθα; οὐδέν γε ἧττον, ἢ καὶ τοὺς πένητας. ποίους δὲ πένητας, καὶ ποίους πλουσίους καλεῖς; τοὺς μὲν, οἶμαι μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ τελεῖν πένητας: τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους. καταμεμάθηκας οὖν ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν, οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν: ἐνίοις δὲ πάνυ πολλὰ, οὐχ ἱκανά ἐστι. καὶ νὴ δί' ἔφη ὁ εὐθύδημος, ὀρθῶς γάρ με ἀναμιμνήσκεις: οἶδα καὶ τυράννους τινὰς, οἳ δι' ἔνδειαν, ὥσπερ οἱ ἀπορώτατοι, ἀναγκάζονται ἀδικεῖν. οὐκοῦν ἔφη ὁ σωκράτης, εἴγε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους, εἰς τὸν δῆμον θήσομεν: τοὺς δὲ ὀλίγα κεκτημένους ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους.

Δημοσθένους. Ἐλπὶς κακοῦ κέρδους, ἀρχὴ ζημίης.

Διογένους. Οἱ φιλάργυροι καθάπερ μαχαίρᾳ τῷ βίῳ χρῶνται, πάντα ποιοῦντες κατὰ τὴν λαβήν.

Πλάτων πρὸς τὸν ἀεὶ ζητοῦντα χρηματίζεσθαι: ὦ πονηρὲ ἔστι, μὴ πειρῶ τὴν κτῆσιν αὔξειν, ἀλλὰ τὴν ἐπιθυμίαν μειῶσαι.

Διογένης ὁ κύων θεασάμενός τινα πλουσίας γραίας προσποιούμενον ἐρᾶν, ἔφη, ταύτης οὐ τὸν ὀφθαλμὸν, ἀλλὰ τὸν ὀδόντα ἀποβέβληκε.

Σιμωνίδης ἐρωτηθεὶς διατί ἐσχάτου γήρως ὢν φιλάργυρος εἴη; ὅτι ἔστι βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων, κατεγνωκὼς τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον.

Διογένης, τοὺς μεγάλα καὶ ἀθρόα λαμβάνοντας, μεγαλοπτώχους ἐκάλει.

Ἀπολλώνιος εὐφράτῃ. Οὐκ ἐπιλογιζομένη ἡ ψυχὴ τὸ τοῦ σώματος αὔταρκες, οὐ δύναται ἑαυτὴν αὐτάρκη ποιῆσαι.

Ἡ τέκνοις ἄγαν χρημάτων συναγωγὴ, πρόφασίς ἐστι φιλαργυρίας τρόπον ἴδιον ἐλέγχουσα.

Ἐκ τῶν ἀριστοξένου τοῦ πυθαγορείου. Ὧν τὸ σκῆνος χρῄζει, πᾶσι πάρεστιν εὐμαρέως, ἄτερ μόχθου καὶ ταλαιπωρίης: ὁκόσων δὲ μόχθου καὶ ταλαιπωρίης χρῄζει, καὶ βίον ἀλγύνει, τούτων οὐκ ἱμείρεται τὸ σκῆνος, ἀλλ' ἡ τῆς γνώμης * κακοθηγίη.

* lego κακοθίη.

Ἐκ τῶν ἀποφθεγμάτων αὐτοῦ. Περὶ δὲ ἐπιθυμίας, τάδε ἔλεγεν. εἶναι τὸ πάθος τοῦτο ποικίλον, καὶ πολύπονον, καὶ πολυειδέστατον. εἶναι δὲ τῶν ἐπιθυμιῶν τὰς μὲν, ἐπικτήτους τε καὶ παρασκευαστάς. τὰς δὲ, συμφύτους. αὐτὴν μέντοι τὴν ἐπιθυμίαν, ἐπιφοράν τινα τῆς ψυχῆς καὶ ὁρμὴν, καὶ ὄρεξιν εἶναι πληρώσεως, ἢ παρουσίας αἰσθήσεως, ἢ κενώσεως καὶ ἀπουσίας, καὶ τοῦ μὴ αἰσθάνεσθαι. ἐπιθυμίας δὲ ἡμαρτημένης τε καὶ φαύλης, τρία εἶναι εἴδη, τὰ γνω-

se certasse, & quatuor eorū interfectos esse. Deinde cæteri quatuor rursum inter se cōtenderunt, & reliqui facti sunt duo, tandē unus solū superstes mansit. Quod si dextera quoq; sinistris pugnabunt, quid nam residui futurum est?

Cū Pyrrhus sibi somniaret Siciliā, deinde Carthaginē, & amplā terrā, Gygon Ceneas ad ipsum dixit: Quid uero deinde fiet? Respondit Pyrrhus: Viuemus postea. Tū Gygon: Quid igit nos prohibet, inquit, quin statim ab hoc tempore in præsentia uiuamus, antequā multas urbes perdiderimus? *Ex eisdem.*

Hominis auari uita silicernio, hoc est funebri conuiuio, similis est. Cum enim habeat omnia cætera, exhilaraturum non habet.

Cōstructo sibi monumēto, inscripsit: Quicūq; rex pecunijs indiguerit, apto sepulchro, quantū opus est, capiat. Darius aūt cū apuisset, pecunias qdē nō inuenit, sed in huiusmodi scripta incidit. Nisi uir malus esses, & pecuniarū inexplebili desyderio flagrares, haud sanè mortuorū loculos cōmouisses. *Semiramis.*

Timon ille cognomine Misanthropos, id est, hominū exosor, elementa malorum esse dixit insatiabilitatem & ambitionem.

Sedimentum est, uini quidem fæx: auari autem illiberalitas. *Isocratis.*

Neq; mortui colloquium, neq; auari beneficium quærendum est. *Eiusdem.*

Quidnā arbitraris esse populū? Illos ciuiū, qui pauperes sunt. Scis ergo quinā paupes sint? Quid ni? Nū etiā diuites cognoscis? Nō minus quā paupes. Quos igit paupes, & quos diuites uocas? Illos qui nō satis habēt, ubi sumpt⁹ facere oportet, paupes: q uero ultra quā satis habent, diuites appello. Sed an cogitasti unquā, quosdā cū ualde pauca possideant, nō solū satis habere, sed plus etiam inde acquirere? Contra nonnullis ne ualde quidem multa sufficere. Per Iouem inquit Euthydemus: nā recte mihi in memoriā reduxisti. Tyrannos quosdam noui qui propter indigentiam, tanquā pauperrimi, iniuriā inferre alijs coguntur. Si igitur hæc sic se habent, Socrates ait, tyrannos quidem cum populo: qui uero pauca habent, dummodo boni dispensatores sint, cum diuitibus collocabimus. *Xenophōtis li. 4. à factis & dictis Socratis.*

Spes mali lucri, initium est iacturæ. *Demosthenis.*

Auari uita sua tanquā gladio utuntur omnia facientes secundū ansam. *Diogenis.*

Plato ad quempiā accumulandæ pecuniæ semper incumbentē: ô improbe dixit, ne possessioni augendæ studeas, sed minuendæ cupiditati.

Diogenes Cynicus cū uidisset quendam opulentas anus amare simulantem, dixit: hac ratione non oculum, sed dentem amisit.

Simonides interrogatus cur in extrema senectute auarus esset. Quoniā, respondit, malim defunctus opes inimicis relinquere, quàm uiuus amicis egere. His ille uerbis plurimorum amicitiæ inconstantiam damnauit.

Diogenes magna & multa simul accipiētes Insignimendicos appellabat.

Animus qui non reputat secum quid corpori sufficere possit, non potest seipsum rebus suis contentum præstare. *Apollonius ad Euphratem.*

Nimia pecuniarum collectio pro liberis, ut multi loquuntur: prætextus est auaritiæ proprium ingenium arguens.

Quorum corpus indiget, ea facile omnibus obueniunt citra laborem ac ærumnam; quibus uero comparandis labore ac ærumna opus est, ea nō corpus, sed peruersitas opinionis desyderat. *Ex Aristoxeni Pythagorei scriptis.*

De concupiscentia autem hæc dicebat. Affectionem hanc uariam esse, laboriosam, & multiformem maxime. Cupiditatum autem alias accessorias & ascititias esse: alias uero connatas. At ipsam cupiditatem definiebat esse impetum quendam animæ, & motum, & appetitionem repletionis, aut inanitionis, uel sensilis alicuius præsentiæ absentiæue, uel ipsius sensus priuationis. Porrò deprauatæ & malæ cupiditatis tria genera præcipua faciebat; Indecorum, *Ex eiusdem apophthegmatib.*

τὰ γνωριμώτατα. ἀσχημοσύνην, ἀσυμμετρίαν, ἀκαιρίαν. ἡ γὰρ αὐτόθεν ἔστι τὴν ἐπιθυμίαν αἰσχήμονά τε καὶ φορτικὴν καὶ ἀνελεύθερον. ἡ τοῦτο μὲν οὔ, σφοδρότερον δὲ καὶ χρονιώτερον τοῦ προσήκοντος. ἡ τρίτον πρὸς ταῦτα, ὅτε οὐ δεῖ, καὶ πρὸς ἃ οὐ δεῖ.

Πλάτωνος. Πενίαν ἡγητέον εἶναι, μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὸ τῆς ἀπληστίας πλέω.

Δημοκρίτου. Τοῦ πλέονος ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι. τῇ * δυσωπίῃ κυνὶ ἰκέλη γιγνομένη.

** lego αἰσωπείη.*

Ἐκ τῶν τοῦ νικολάου ἐθῶν συναγωγῆς. Ὀμβρικοὶ ὅταν πρὸς ἀλλήλους ἔχωσιν ἀμφισβήτησιν, καθοπλισθέντες, ὡς ἐν πολέμῳ μάχονται, καὶ δοκοῦσι δικαιότερα λέγειν, οἱ τοὺς ἐναντίους ἀποσφάξαντες.

Κλειτοφῶντος Βρέννος ὁ τῶν γαλατῶν βασιλεὺς λεηλατῶν τὴν ἀσίαν, εἰς ἔφεσον ἦλθε. καὶ στρατοπεδευσάμενος, προθέμενος τοῦ πολέμου τὴν προθεσμίαν. παρθένος δέ τις τῶν ἐπισήμων τοὔνομα δημονίκη, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ βαρβάρου, προδώσειν αὐτῷ τὴν ἔφεσον ὑπέσχετο, ἐὰν μισθὸν λάβῃ τὰ ψέλλια καὶ τοὺς ὅρμους. ὁ δὲ Βρέννος δεξάμενος αὐτὴν εἰς τόπον ὡρισμένον, ἤγαγε τοὺς ὑποτεταγμένους, καὶ προσέταξεν αὐτοῖς, τὸν χρυσόν, ὅσον ἔχουσι, κόσμου χάριν, βάλλειν εἰς τὸν τῆς φιλαργύρου κόλπον. ποιησάντων δὲ αὐτῶν τὸ παραγγελθέν, ἡ δημονίκη ὑπὸ τῆς δαψιλείας τοῦ βαλλομένου χρυσίου ζῶσα κατεχώσθη.

Πλάτωνος. Ἐσχάτη γὰρ ἀδικία, δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα.

Τοῦ αὐτοῦ. Ἢ οὐκ οἶσθα ὅ, τι φιλάργυρόν τε, καὶ φιλότιμον εἶναι, ὄνειδος λέγεταί τε καὶ ἐστίν.

Ἐπειδὴ οὖν διωμολογησάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν. τὴν δὲ ἀδικίαν, κακίαν τε καὶ ἀμαθίαν. εἶεν (ἦν δ᾽ ἐγώ) τοῦτο μὲν ἡμῖν οὕτω κείσθω.

Κλοπὴ μὲν χρημάτων, ἀνελεύθερον. ἁρπαγὴ δέ, ἀναίσχυντον.

Ἐάν τις τι κλέπτῃ δημόσιον μέγα ἢ καὶ σμικρόν, τῆς αὐτῆς δίκης δεῖ. σμικρόν τε γὰρ ὁ κλέπτων, ἔρωτι μὲν ταὐτῷ, δυνάμει δὲ ἐλάττονι κέκλοφε.

Ἱεράκος ἐκ τοῦ περὶ δικαιοσύνης. Ἐπειδὴ δ᾽ ὁ κατάρχων αὐτός, πρὸ τοῦ ἀδικεῖσθαι μελλόντων ἑαυτὸν ἀδικῶν ἀγνοεῖ, ἴσως ὡς διπλῆς οὔσης τῆς ἀδικίας, αὐτὸς ἀπολαύει πρότερος, ἔπειτα καὶ τὸ ἀδικούμενον ὑπ᾽ αὐτοῦ μέρος (μὴ γὰρ οὕτως ἀναισθητεῖν, εἰ ἦν μηδενὶ τῶν ἀνεκτῶν. εἰ δυνατὸν δέ, μηδὲ τῶν πονηρῶν.) ὑπὲρ γὰρ ὑγείας ψυχῆς ἡ εὐχή, ὡς δι᾽ ἀναισθησίαν νομίζειν τοὺς ἀδικουμένους μᾶλλον τῶν ἀδικούντων βλάπτεσθαι. ἓν μὲν γὰρ μόνον ἐστὶ τὸ ἀδικούμενον ἐκ παντὸς ἡ ψυχή. τὸ δὲ ἀδικοῦν καὶ ἐπιβουλεῦον, ἡ κακία, καὶ ἐν ᾧ ἀδικοῦντι, καὶ κατὰ τοῦ ἀδικουμένου. ἀλλὰ τὸν μέν, ἔλαττον, τὸν δέ, πλεῖστον. ἔλαττον μέν, τὸν ἀδικεῖσθαι μέλλοντα: πλεῖστον δέ, τὸν ἀδικεῖν διανοούμενον. ἐπεὶ καὶ ἀπ᾽ αὐτοῦ τὴν κίνησιν λαμβάνει καὶ τὴν ἔπαρσιν. ἐγειρομένη τοίνυν, τὸν τεκόντα πρῶτον ἀνάπτει: καὶ πρὶν τεκεῖν ἐν ταῖς ὠδῖσι, φλέγει. ἡ δ᾽ εἰῶσα, λυμαίνεται, καὶ τῷ ἀπ᾽ αὐτῆς ἰῷ, χρώζει δυσοποιῷ τῇ βαφῇ. οὔτε γὰρ τῷ πυρὶ τῆς τεκούσης ὕλην διελθεῖν δυνατὸν ἐπὶ τὴν τῶν ἄλλων λύμην, πρὶν παντελῶς αὐτὴν ἀναλῶσαι. οὔτε τῇ μυραίνῃ τοὺς ἐνύδρους ὄφεις εἰς ἄλλων ὄλεθρον ἀκμάζειν, πρὶν τὴν κυήσασαν γαστέρα καταφαγεῖν, ὡς νίκανδρος ὁ κολοφώνιος καὶ ἀρχέλαος ὁ φυσικός, γράφουσιν. οὕτω καὶ πᾶς ἄδικος, αὐτὸς τῆς κακίας πρῶτος γεύεται, πρὶν εἰς ἄλλους ἀφεῖναι. πολλοὶ γὰρ ἀνεγείροντες τὴν ἐν αὐτοῖς χολήν, ἐκ τῆς πρὸς ἀλλήλους ὀργῆς, αὐτοὶ προαπέθανον, πρὶν τοὺς ἐχθροὺς τιμωρήσασθαι. τοῦτο τοίνυν ἀγνοήσαντες πολλοί, ταῖς κατὰ τῶν ἀσθενεστέρων ἀδικίαις, ἀναίδην ἐχρήσαντο, μηδὲν εἶναι πρὸς αὐτοὺς οἰηθέντες τὸ λυπηρόν. τούτου δὲ ὁμολογουμένου, δεῖ καθάπερ παραιτεῖσθαι τὸ ἀδικεῖν. *

Quod deest in translatione suppleuimus.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΑΛΗΘΕΙΑΣ.

ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ.

Μενάνδρου. Αληθέα δὲ πρέσβα.

Σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.

Ολυμπιάδος. Ἀλάθεια θεῶν ὁμόπολις, μόνη θεοῖς συνδιαιτωμένη.

Πινδάρου. Ἀρχὰς μεγάλας ἀρετᾶς, ὦνασσ᾽ ἀλάθεια, μὴ πταίσῃς ἐμὰν συνθεσιν τραχεῖ ποτὶ ψεύδει.

immoderatum, intempestiuum. Aut enim per se statim indecentem esse cupiditatẽ, odiosam, & illiberalẽ. Aut nõ quidẽ simpliciter culpandam, sed uehementiorẽ diuturnioremq́; iusto esse. Aut quo tempore & ad quæ non conuenit.

Paupras habẽda est nõ possessionis decremẽtũ, sed insatiabilitatis augmentum. *Platonis legũ 5.*

Cupiditas pluriũ amittit præsentia, sicut olim Aesopicus ille canis. *Democriti.*

Vmbrici cũ cõtrouersias inter se habẽt, pugnãt armati sicut in bello, & qui suos aduersarios interemerint iustiorem causam habuisse uidentur. *Ex libro de moribus gentiũ, Nicolai.*

Brennus Gallorũ rex uastans Asiã in Ephesum peruenit ubi castrametatus præfinitũ pugnæ diem expectabat. Interea plebeia quædam uirgo nomine Demonice amore Barbari capta, proditurã se ipsi Ephesum promisit, si torques & monilia pro mercede darentur. Ad hanc Brennus in certo loco susceptã subditos duxit, & quicquid haberent auri in gremium auaræ conijcerent, imperauit. Qui cũ imperiũ exequerentur, Demonice præ auri in se coniecti multitudine uiuens est obruta. *Clitophontis.*

Summa est iniustitia iustum sibi uideri illum qui non est. *Platonis lib. 2. de Rep.*

An hoc ignoras q̃d auarũ & ambitiosum esse, dedecus & nominat, & est re ipsa.

Quoniam igitur cõuenimus iustitiam uirtutem ac sapientiam esse: iniustitiã uero malitiam & inscitiam. Sic esto, inquiebam, & ita nobis statuatur. *Eiusdem. In lib. 1. de Rep.*

Furtum quidem pecuniarum, res illiberalis est. Rapina uero, impudens.

Si quis publicum aliquid furetur siue magnum, siue paruum, eadem pœna constituatur. Nam & qui exiguum aliquid furatur, eodem quidem studio, potentia uero minori furatus est.

Quandoquidem author iniuriæ ignorat seipsum lædi pro alijs quibus nocere studet, intelligat quòd duplex est iniustitia, à qua primum ipsemet læditur, deinde illa pars quæ iniuria afficitur. Quod si non tot passionibus, & si fieri posset, nullis malis obrueretur anima, haud tantum in iudicando hallucinaretur. Quare optandum est ne propter stupiditatem eos qui iniuriam patiuntur magis quàm ipsos authores lædi existimet. Vna sanè pars est nostri quæ semper ab omnibus sic affectis iniuriam accipit, nempe ipsa anima. Id autem quod iniuriam facit, insidiasq́; molitur, est malitia, quæ ab authore incipiens in illum qui afficitur redundat. Sed ipsum authorẽ iniuriæ illatæ, aut inferre cogitantẽ plurimũ lædit: minus eum qui iniuriã accipit. Ab authore enim principium fit motus & excitatio. Intus uero concitata semel iniuria parturientem primum incendit, ac antequam pepererit inflammat parturigine, transiensq́; lædit, & ueneno suo pertinaci tinctura imbuit. Quemadmodum enim ignis non potest præterita sine damno materia, in qua primum conceptus est, priusquam prorsus ipsam consumat, ad aliorum noxam conuerti: Neque muræna prius aquaticos angues in alienam perniciem parere prodest, quàm proprium eius uentrem, in quo concepti fuerant, erroserint, ut Nicander Colophonius & Archelaus Physicus testantur. Ita quiuis iniustus malitiam suam primus experitur, antequam in alios emittat. Vnde multi connatam sibi bilim excitantes, ex iracundia mutua prius obiere, quàm hostes suos ulti sint. Hæc ignorantes plurimi imbecillioribus iniurias impudẽter intulerũt, nihil opinantes incõmodi in seipsos redundare. Proinde si hoc cõcedatur, nõ minus iniuriã inferre, quã pati cauendũ est. *Hieraclis, in opere de iustitia.*

IOANNIS STOBAEI DE VERITATE, SERMO NONVS.

ADSIT autem ueritas *Menandri.*
Tibi ac mihi, res omnium iustissima.

Veritas cœli ciuis est, & sola fruitur conuictu deorum. *Olympiadis.*

Veritas principia magnæ uirtutis promouet. Ne pactum meum aspero mendacio labefactes. *Pindari.*

Ομήρου. Οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ᾽ ἀπατηλόν,
Οὐδ᾽ ἀτελεύτητον, ὅ,ττι κεν κεφαλῇ κατανεύσω.

Βακχυλίδου ἐπιγραμμάτων. Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν: ἀνδρῶν δ᾽ ἀρετὰν, σοφία τε παγκρατὴς τε λέγει ἀλάθεια.

Αἰσχύλου. Απλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη.

Σοφοκλέους. Δράσω. τὸ γὰρ δίκαιον, οὐκ ἔχει λόγον,
δυοῖν ἐρίζειν. ἀλλ᾽ ἐπισπεύδει τὸ δρᾶν.

Μενάνδρου. Ερχεται, τἀληθὲς εἰς φῶς ἐνίοτ᾽ οὐ ζητούμενον.
Αεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν,
ἐν παντὶ καιρῷ τοῦτ᾽ ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.

Εὐριπίδου. Απλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.
κοὐ ποικίλων δεῖ τἄνδιχ᾽ ἑρμηνευμάτων.
ἔχει γὰρ αὐτὰ καιρόν, ὁ δ᾽ ἄδικος λόγος
νοσῶν ἐν αὐτῷ φαρμάκων δεῖται σοφῶν.

Ιαμβλίχου. Αλήθεια μὲν, ὥσπερ καὶ τοὔνομα δηλοῖ, περὶ θεοὺς ποιεῖ τὴν ἀναστροφὴν, καὶ τὴν θείαν τὴν ἀκήρατον ἐνέργειαν. ἡ δὲ δοξομιμητικὴ αὕτη εἰδωλοποιία, ὥς φησι Πλάτων, περὶ τὸ ἄθεον καὶ σκοτεινὸν πλανᾶται. καὶ ἡ μὲν, τοῖς νοητικοῖς εἴδεσι καὶ θείοις καὶ τοῖς ὄντως οὖσι, καὶ κατὰ τὰ αὐτὰ ἀεὶ ἔχουσι, τελειοῦται. ἡ δὲ τὸ ἀνείδεον καὶ μὴ ὂν καὶ ἄλλοτε ἄλλως ἔχον ἀποβλέπει καὶ περὶ αὐτὸ ἀμβλυώττει. καὶ ἡ μὲν, αὐτὸ ὅ ἐστι θεωρεῖ. ἡ δ᾽ οἷον φαίνεται τοῖς πολλοῖς, τοιοῦτον ἀποδέχεται πρόσχημα. διόπερ δὴ, ἡ μὲν, πρὸς νοῦν ὁμιλεῖ, καὶ τὸ ἐν ἡμῖν νοερὸν αὔξει, ἡ δὲ, τῷ ἀεὶ δοκοῦντι θηρεύεται τὴν ἄνοιαν καὶ ἀπατᾷ.

Εκ τῶν στοβαίου ἀπομνημονευμάτων. Πλάτων μὲν ἥδιστον εἶναι τῶν ἀκουσμάτων, τὴν ἀλήθειαν ἔλεγε. Πολέμων δὲ, πολὺ ἥδιον εἶναι τοῦ ἀκούειν, τὸ λέγειν τἀληθῆ.

Αἰσχίνου κατὰ Τιμάρχου. Υμεῖς δ᾽ ἐκβάλλετε αὐτὸν ὑπολαμβάνοντες. ἴσμεν ὦ τύραννοι, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον. ἀλλ᾽ οὕτως ἰσχυρὸν ἐστὶν ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖν τῶν ἀνθρωπίνων λογισμῶν.

Γαΐου. Τότ᾽ οὖν ἀπολαβὼν ἤδη θεράπαιναν, ἠρώτα πῶς ἔχοι τὰ περὶ τὴν γυναῖκα. ἡ δὲ, οὐδὲ μελλήσασα, εὐθὺς εἶπεν. οὕτω τὸ ἀληθὲς ἀμελέτητόν ἐστιν.

Πλάτωνος νόμων ε΄. Αλήθεια δὴ, πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δ᾽ ἀνθρώποις. ἧς, ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων, ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὅτι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. πιστὸς γάρ. ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον. ὅτῳ δ᾽ ἀκούσιον, ἄνους, ὧν οὐδέτερον ζηλωτόν. ἄφιλος γὰρ δὴ πᾶς, ὅ γε ἄπιστος καὶ ἀμαθής.

Τοῦ αὐτοῦ. Ηγεμόνος δὲ τῆς ἀληθείας, οὐκ ἄν ποτε οἶμαι φαμὲν αὐτῇ χορὸν κακῶν ἀκολουθῆσαι.

Απολλώνιος. Ψεύδεσθαι ἀνελεύθερον: ἀλήθεια γενναῖον.

Εὐσεβίου. Αληθείην νόος ἀσπάζεται, καὶ αἰεὶ αὐτῇ συνοικέει. ἐὼν δὲ ἐν τοῖς ἑωυτοῦ ἀψευδέστατος, ὅμως ἐστὶν ὅτε καὶ ψεῦδος ἀγαθὸν ἐργάζεται, παρέχεται ἐπ᾽ ὠφελείῃ ἀνθρώπων τῶν τούτου χρηζόντων, καὶ ἔνθα χρησῶν τῶν σφετέρων παραλογισθησομένων πρὸς αὐτοῦ. τότε γὰρ δὴ μοῦνον, καὶ οὔκοτε ἄλλοτε
al. τὸ νοῦν. νόος, καὶ ἐν καιρῷ τῶν αὐτὸς οἶδε, πάντα τἄλλα ψεύδεα ἀπαρνεύμενος, ψεῦδος * τοῖον ἐσφέρεται, ἀπὸ τῆς τῶν λοιπῶν ἁπάντων ψευδέων φύσιος ἐς ἄλλο εἶδος * μεταλαφθὲν χρησιμώτατον,
al. μεταμορφωθ. τέχνῃ καὶ σοφίῃ αὐτοῦ τοῦ νόου, τοῦ φαύλου πρήγματος [illegible] μετακοσμήσαντος.

Τοῦ αὐτοῦ. Ψεύδεσθαι ἐν πόλει, μὴ δὲ ἐς νόμος ξυγχωρεέτω * μηδέν, πλὴν τοῦ φιλαληθέος, καὶ
* lego μηδενί. νοήμονος, ἐπιστάμενος τε ὁκότε καὶ ὅκως οἱ φιλέει † ψεύδεος. τῆς δὲ ἀπὸ τούτου γεγενημένης χρείης ἀναγκαίης, * καὶ τοῦτο ποιέειν.
† Aliquid deest.
* addo ἵνα.

Ερμοῦ ἐκ τῶν πρὸς Τάτ. Περὶ ἀληθείας ὦ Τάτ. οὐκ ἔστι δυνατὸν ἄνθρωπον ὄντα ζῶον ἀτελὲς ἐξ ἀτελῶν συγκείμενον μελῶν, καὶ ἐξ ἀλλοτρίων σωμάτων καὶ πολλῶν τὸ σκῆνος συνεστὸς, τολμήσαντα εἰπεῖν. ὅσον ἐστὶ δυνατὸν ἢ δίκαιον, τοῦτό φημι ἀλήθειαν εἶναι, ἐν μόνοις τοῖς ἀιδίοις σώμασιν, ὧν καὶ τὰ σώματα αὐτὰ ἀληθῆ ἐστί. πῦρ αὐτὸ πῦρ μόνον, καὶ οὐδὲν ἄλλο. γῆ αὐ-

Verbum meum non reuocari, neq; fallere potest, *Homeri.*
Neq; suum effectum non adipisci, quodcunq; nutu capitis confirmauero.

Lapis Lydius aurum indicat. Hominum uero uirtus, & omnipotens sapientia ueritas est. *Bacchylidis.*

Sunt ueritatis uerba simplicissima. *Aeschyli.*

Faciam. Iustum non ultro citroq; rationibus *Sophoclis.*
Mutuis contendere solet. Sed factum accelerat.

Venit ueritas in lucem interdum non quæsita. *Menandri.*
Semper est optimum uera loqui,
Quouis tempore. hanc ego moneo
Ad tutò uiuendum præcipuam esse partem.

Simplex est oratio ueritatis, *Euripidis in phoenissis.*
Nec uarijs eget interpretationibus bifariam,
Est enim opportuna per se. Contra sermo iniustus
Cum æger in seipso sit pharmacis indiget astutis.

Veritas quidē, ut Græcū eius etymon indicat, circa deos & incorruptam deorum actionē uersatur. Ista uero quæ sequit opiniones idolopœia, ut inquit Plato, hoc est imaginaria quædam persuasio, circa res profanas & obscuras oberrat. Et illa quidē formis intelligibilibus, diuinis & reuera entibus, perficit. Hæc uero ad informe non ens, & aliàs aliter se habens respicit, ac hallucinatur circa ipsa. Itē illa, id ipsum quod est contēplatur. Hæc uero, qualis uulgo hominū uidetur, talem subit † apparentiā. Ideo illa menti conuersatur, & quod intellectus in nobis est particeps, auget. Hæc uero sua opinione stultitiam uenatur, & fallit. *Iamblichi.* *† πρόσχημα, id est uelamentum & uelut umbrā ueritatis.*

Plato suauissimam narrationum ueritatē esse dicebat. Polemon uero multo suauius esse uera dicere, quàm audire. *Ex Serini memorabilibus dictis.*

Vos autē suspicionibus moti ipsum eiecistis. Scimus ò Pyrandre contrà hæc nō ridendū. Sed adeo ualida res est ueritas, ut omnes humanas cogitationes superet. *Aeschinis cōtra Timarchum.*

Tūc igitur ancillā receptā, quomodo se res uxoris haberet, interrogabat. Cui illa nihil cunctata statim respondit. Adeo nullam præmeditationem ueritas requirit. *Caij.*

Veritas sane tum dijs tum hominibus ad omnia bona dux est. Hac quilibet, qui fœlix & beatus futurus est, ab initio statim particeps sit oportet, ut quàm plurimum temporis uerax in uita degat. Sic enim fide dignus erit: indignus autem, qui mendaciū sponte eligit: demens, qui inuitus: ex quibus neutrum optandum est. Amicis enim destituitur, quisquis fide indignus ac imperitus fuerit. *Platonis lib. 5. legum.*

Veritate autem duce proculdubio nunquam malorū dicemus chorū consequi. *Eiusdem.*

Mendacium, illiberale est: ueritas generosa. *Apolloniut.*

Mens ueritatem amplectitur, & semper cum ipsa uersatur. Sed quamuis in rebus suis alienissima sit à mendacio, interdum tamē cōmiscens bono mendaciū ad hominum hoc indigentiū utilitatem profert, qui quidem suæ ipsorū commoditatis causa decipiendi sunt ab eo. Tunc enim solum, nec unquam aliàs, quo nouit opportunū esse tempore mens, abhorrens interim ab omnibus alijs mendacijs, tale quoddam mendacium introducit in diuersam & utilissimam speciem immutatum, arte sapientiaq; mentis rem malam commode usurpantis. *Eusebij.*

In ciuitate mentiri nulla lex usquam concedere cuiquam debet, nisi ueritatis studioso, & prudenti uiro, qui quo tempore quoq; modo natura mendacij non soleat obesse intelligat, & necessariæ commoditatis causa mendacium sequuturæ id faciat. *Eiusdem.*

De ueritate ò Tati non fieri potest ut audacter loquatur homo, qui animal imperfectum est, membris imperfectis constans, & ex multis diuersisq; corporibus constitutum corpus gerens. Sed quatenus possum & fas est, ueritatem dico in solis æternis corporibus esse, quorum & ipsamet corpora uera sunt. Videlicet ignis nihil aliud quàm ignis est, sed ipsignis, ut ita dicam. *Ex Mercurij scriptis ad Tatium.*

γῆ αὐτογῆ καὶ οὐδὲν ἄλλο. ἀὴρ αὐτοαήρ. τὰ δὲ ἡμέτερα σώματα, ἐκ πάντων τούτων
συνέστηκεν. ἔχει μὲν γὰρ πυρός· ἔχει δὲ καὶ γῆς, ἔχει καὶ ὕδατος καὶ ἀέρος. καὶ οὔτε
πῦρ ἐστίν, οὔτε γῆ, οὔτε ὕδωρ, οὔτε ἀὴρ, οὔτε οὐδὲν ἀληθές. εἰ δὲ μὴ τὴν ἀρχὴν ἡ σύ-
* lego ἐννοῆσαι μόνον, ἐὰν ὁ θεὸς θέλῃ. στασις ἡμῶν ἔσχε τὴν ἀλήθειαν, πῶς ἂν δύναιντο ἀλήθειαν ἢ ἰδεῖν ἢ εἰπεῖν, * νοῆσαι δὲ μό-
νον, ἐὰν ὁ θεὸς θέλῃ. πάντα οὖν ὦ τάτ. τὰ ἐπὶ γῆς, ἀλήθεια μὲν οὐκ ἔστι. τῆς δὲ ἀ-
ληθείας μιμήματα, καὶ οὐ πάντα, ὀλίγα δὲ ταῦτα, ἄλλα δὲ ψεῦδος καὶ πλάνος ὦ τάτ.
καὶ δόξαι φαντασίας καθάπερ εἰκόνες συνεστῶτα. ὅταν δ᾽ ἄνωθεν τὴν ἐπίρροιαν ἔχῃ ἡ
φαντασία, τῆς ἀληθείας γίγνεται μίμησις. χωρὶς δὲ τῆς ἄνωθεν ἐνεργείας, ψεῦδος κατα-
λείπεται, καθάπερ καὶ ἡ εἰκὼν τὸ μὲν σῶμα τῆς γραφῆς, δείκνυσιν· αὐτὴ δὲ οὐκ ἔστι σῶμα κατὰ
τὴν φαντασίαν τοῦ ὁρωμένου. καὶ ὀφθαλμοὺς μὲν ὁρᾶται ἔχουσα· βλέπει δὲ οὐδέν.
† addo ὦτα, † ἀκούει δὲ οὐδὲν ὅλως, καὶ τὰ ἄλλα πάντα ἔχει ἡ γραφή· ψευδῆ δέ ἐστι τὰς τῶν
ὁρώντων ὄψεις ἐξαπατῶντα, τῶν μὲν δοκούντων ἀλήθειαν ὁρᾶν, τῶν δὲ, ὡς ἀληθῶς ὄντων
ψευδῶν. ὅσοι μὲν οὖν οὐ ψεῦδος ὁρῶσιν, ἀλήθειαν ὁρῶσιν. ἐὰν οὖν ἕκαστον τούτων
οὕτω νοῶμεν, ἢ ὁρῶμεν, ὡς ἔστιν, ἀληθῆ καὶ νοοῦμεν καὶ ὁρῶμεν. ἐὰν δὲ παρὰ τὸ ὄν, οὐδὲν
ἀληθὲς οὔτε νοήσομεν, οὔτ᾽ εἰσόμεθα. ἔστιν οὖν πάτερ ἀλήθεια καὶ ἐν τῇ γῇ, καὶ οὐκ ἀσ-
κόπως σφάλλῃ ὦ τέκνον. ἀλήθεια μὲν οὐδαμῶς ἐστὶν ἐν τῇ γῇ ὦ τάτ. οὔτε γὰρ γενέσθαι δύ-
ναται. περὶ δὲ ἀληθείας νοῆσαι ἐνίους τῶν ἀνθρώπων, οἷς ἐὰν ὁ θεὸς τὴν θεοπτικὴν δωρήση-
addo δυνάμιν. ται δύναμιν * γενέσθαι, οὕτως ἀληθὲς οὐδέν ἐστιν ἐν τῇ γῇ νόῳ καὶ λόγῳ. φαντασίαι εἰσὶ καὶ
† forte ἀληθῆ. δόξαι πάντα, † ἀληθῆ νόῳ καὶ λόγῳ. οὐκοῦν τό, τι ἀληθῆ νοεῖν καὶ λέγειν, οὐκ ἀλήθειαν
* addo τί οὖν. δεῖ καλεῖν. τί δ᾽ αἰ. τὰ ὄντα δεῖ νοεῖν καὶ λέγειν; ἔστι δὲ οὐδὲν ἀληθὲς ἐπὶ τῆς γῆς. * τοῦτο ἀληθὲς
ἐστὶ τὸ μὴ εἰδέναι μηδὲν ἀληθές; ἐνθάδε πῶς ἂν καὶ δύναιτο γενέσθαι ὦ τέκνον. ἡ γὰρ ἀλήθεια
τελειοτάτη ἀρετή ἐστιν, αὐτὸ τὸ ἀκρότατον ἀγαθόν, τὸ μὴ ὑπὸ ὕλης θολούμενον, μήτε ὑπὸ
σώματος περιβαλλόμενον, γυμνόν, φανόν, ἄτρεπτον, σεμνόν, ἀναλλοίωτον ἀγαθόν. τὰ δὲ ἐνθά-
δε ὦ τέκνον, οἷά ἐστιν ὁρᾷς, ὅτι κατὰ τοῦδε τοῦ ἀγαθοῦ, φθαρτά, παθητά, διαλυτά, τρεπτά, ἀεὶ ἐν-
αλλοιούμενα, ἄλλα ἐξ ἄλλων γινόμενα. ἃ οὖν μήτε πρὸς ἑαυτὰ ἀληθῆ ἐστι, πῶς δύναιτο ἀληθῆ
Quid si μόνον legas? εἶναι; πᾶν γὰρ τὸ ἀλλοιούμενον, ψεῦδός ἐστι· μὴ † μόνον ἐν ᾧ ἐστι· φαντασίας δὲ μεταπιπτόμε-
νον, ἄλλας καὶ ἄλλας ἀποδείκνυσιν ἡμῖν. οὐδὲ ἄνθρωπος ἀληθής ἐστιν ὦ πάτερ; καθότι ἄνθρω-
πος οὐκ ἔστιν ἀληθὴς ὦ τέκνον. τὸ γὰρ ἀληθές ἐστι τὸ ἐξ αὐτοῦ μόνου τὴν σύστασιν ἔχον, καὶ μένον
καθ᾽ αὐτό, οἷόν ἐστιν. ὁ ἄνθρωπος δὲ ἐκ πολλῶν συνέστηκε, καὶ οὐ μένει καθ᾽ αὐτόν· τρέπεται δὲ
καὶ μεταβάλλεται, ἡλικίαν ἐξ ἡλικίας, καὶ ἰδέαν ἐξ ἰδέας, καὶ ταῦτα ἔτι ὢν ἐν τῷ σκήνει.
καὶ πολλοὶ τέκνα οὐκ ἐγνώρισαν, χρόνου ὀλίγου μεταξὺ γενομένου, καὶ πάλιν τέκνα γονεῖς
ὁμοίως. τὸ οὖν οὕτως μεταβαλλόμενον ὥστε ἀγνοεῖσθαι δύναται ἀληθὲς εἶναι, ὦ τάτ, οὐ τοὐ-
ναντίον ψεῦδός ἐστιν ἐν ποικίλαις γινόμενον φαντασίαις τῶν μεταβολῶν; σὺ δὲ νόει ἀλη-
lego μένον. θές τι εἶναι, τὸ † μόνον καὶ δίκαιον. ὁ δὲ, ἄνθρωπος, οὐκ ἔστιν ἀεί. ἄρα οὐδὲ ἀληθής ἐστι. φαν-
τασία δέ ἐστί τις ἄνθρωπος. ἡ δὲ φαντασία, ψεῦδος ἂν εἴη ἀκρότατον. οὐδὲ ταῦτα οὖν ὦ
πάτερ τὰ ἀΐδια σώματα, ἐπεὶ μεταβάλλεται, ἀληθῆ ἐστί. πᾶν μὲν οὖν τὸ γεννητὸν καὶ με-
ταβλητόν, οὐκ ἀληθές, ὑπὸ δὲ τοῦ προπάτορος γενόμενα, τὴν ὕλην δύναται ἀληθῆ ἐσχηκέ-
ναι. ἔχει δέ τι καὶ ταῦτα ψεῦδος ἐν τῇ μεταβολῇ. οὐδὲν γὰρ μὴ μένον ἐφ᾽ αὑτὸ ἀληθές ἐστιν.
ἀληθὲς ὦ πάτερ. τί οὖν ἂν εἴποι τις μόνον τὸν ἥλιον παρὰ τὰ ἄλλα πάντα μὴ μεταβαλλόμενον,
μένοντα δὲ ἐφ᾽ ἑαυτῷ, ἀλήθειαν. διὸ καὶ τὴν ἐν τῷ κόσμῳ πάντων δημιουργίαν, αὐτὸς μόνος πε-
πίστευται, ἄρχων πάντων, καὶ ποιῶν πάντα, ὃν καὶ σέβομαι, καὶ προσκυνῶ αὐτοῦ τὴν ἀλή-
addo λέγω. θειαν, καὶ μετὰ τὸν ἕνα καὶ πρῶτον, τοῦτον δημιουργὸν γνωρίζω. τί οὖν ἂν εἶναι † τὴν πρώτην
ἀλήθειαν ὦ πάτερ. ἕνα καὶ μόνον ὦ τάτ, τὸν μὴ ἐξ ὕλης, τὸν μὴ ἐν σώματι, τὸν ἀχρώματον,
τὸν ἀσχημάτιστον, τὸν ἄτρεπτον, τὸν μὴ ἀλλοιούμενον, τὸν ἀεὶ ὄντα. τὸ δὲ ψεῦδος ὦ τέκνον φθεί-
ρεται. ταῦτα δὲ τὰ ἐπὶ γῆς, φθορὰ κατέλαβε καὶ ἐμπεριέχει, καὶ ἐμπεριέξει ἡ τοῦ ἀληθοῦς πρόνοια.
χωρὶς γὰρ φθορᾶς, οὐδὲ γένεσις δύναται συστῆναι. πάσῃ δὲ γενέσει, φθορὰ ἕπεται, ἵνα πάλιν γένηται.
τὰ γὰρ γιγνόμενα, ἐκ τῶν φθειρομένων ἀνάγκη γίγνεσθαι, φθείρεσθαι δὲ τὰ γινόμενα ἀνάγκη,
ἵνα

Terra nihil aliud quàm mera terra est. Aer, uerus aer. Nostra uero corpora his pariter omnibus constant: habent em̃ partes ignis, habẽt etiã terræ, & aeris & aquæ partes. At neq; sunt ignis, neq; terra, nec aer, nec aqua, nec aliud quicquã ueri. Itaq; si cõstitutio nostra ne principio qdẽ ueritatẽ est nacta, quo pacto liceret nobis ueritatẽ intueri, aut eloqui, aut cogitare solũ, nisi Deus id uelit? Vniuersa igitur ô Tati supra terram, nõ ipsa ueritas sunt, sed ueritatis imitationes & umbræ: & ne hoc quidẽ omnia, sed ppauca: Cætera planè ô Tati ipsum mendaciũ & error sunt, & phantasiæ uelut simulachra quædã. Cũ aũt supne influxus phantasiæ contingit, ueritatis imitatio fit: Contra sine supiori efficacia, mendaciũ remanet. Quẽadmodũ imago corpus quidẽ picturæ ostendit, ipsa uero nõ est corpus, ut imaginatio picturæ putat: Et oculos quidẽ ac aures uidetur habere, uerũ nec uidet, nec audit quicquã. Itẽ & reliqua omnia præ se fert pictura, sed falsa sunt, & uidentiũ oculos fallunt, qui sibi res ueras uidere uidentur, cũ reuera falsa sint. Porrò quicunq; mendaciũ nõ uident, ueritatẽ uident. Quòd si rẽ quamlibet ita æstimemus, aut uideamus, ut existit, æstimamus & uidemus uera. Si uero præter ens, nihil ueri uel cogitabimus uel sciemus. Est igitur pater ueritas etiã in terra. Non sine occasione falleris fili. Verũ ueritas ô Tati nequaquã est in terra. Neq; enim fieri potest. Vt tamen aliqui homines, qbus diuina cõtemplandi facultatẽ largitus est Deus, de ueritate cogitent fieri potest. Alioqui nihil ad mentem & rationẽ uerũ est in terra, sed ueræ menti ac rationi omnia sunt opiniones, ac imaginationes. Cæterũ nónne uera cogitare & loqui, id quoq; ueritatẽ oportet nominare? Quid tũ postea? Entiáne cogitare ac loqui oportet? Oportet. At nihil in terra uere ens est. Quo pacto igitur ueritas esse potest nullius ueri cognitio? Et quomodo hic in terra fieri posset ô fili tanta res? Quippe ueritas absolutissima uirtus est, ipsumq; summũ bonũ, quod nec à materia turbatur, neq; corpore circũdatur, nudũ, conspicuũ, augustum, mutationis & alterationis expers bonũ. Contrà quæ hic sunt haud est uidere tanto bono prædita, utpote corruptibilia, passibilia, dissolubilia, cõuerti & alterari, & alia ex aliis fieri solita. Quæ igitur ne secũ quidẽ ipsa sunt uera, quo pacto simpliciter esse uera possent? Nam omne q̃d alteratur, mendaciũ est, non in illo solũ cui inest, sed phantasias immutatione sua nobis alias atque alias exhibens. An uero ne homo quidẽ uerus est ô pater? Quatenus quidẽ homo nõ uerus est fili. Verũ em̃ est quod ex se solo essentiã suã habet, & per se manet quale est. At homo ex multis constat, & nõ manet in se, sed ex ætate in ætatẽ, ex una forma in alterã uertitur atq; mutatur adhuc in corpore degẽs. Hinc multi liberos suos post breue tẽporis interuallũ nõ agnouerunt, itemq; liberi parentes. Quod igitur ita mutatur, ut nõ cognoscatur amplius, potéstne uerũ esse? aut an cõtra potiꝰ mendaciũ est, dũ in uariis propter mutationes phantasiis uersatur? Quin tu uerũ esse cogita id quod permanens ac iustum est. Homo autem non semper est, quare ne uerus quidem est, sed imaginatio potius, quę mendacium summũ est. Ergo ne æterna quidem illa corpora pater, quoniam mutantur, uera sunt. Omne profectò genitum & mutabile, uerum non est. Sed æterna illa corpora à primo parente facta materiam quidem accepisse ueram possunt. Continent tamen & ipsa nonnihil mutatione sua mendacii. Nihil em̃ in seipso non permanens uerũ est. Verum inquis ô pater. Itaq; solem qui præter omnia cætera nõ mutatur, sed in seipso permanet, solum quis recte ueritatem nominauerit. Quare omnium rerũ in mundo opificiũ ei soli concreditũ est, ut qui imperet omnibus, ac faciat omnia. Hunc ego colo, & ueritatẽ eius adoro, ipsumq; opificẽ agnosco post primũ illũ & unũ. Quam tu igitur primã esse ueritatẽ ais ô pater? Vnũ & solũ illũ, qui nõ est ex materia, qui corpore nõ continetur, sine colore, sine figura, mutationi & alterationi nulli obnoxiũ, semp existentem. Mendacium uero fili perit. Porrò quæ terrena sunt, corruptione occupauit, & inuoluit & inuolutura est ipsius ueri prouidentia. Nam absq; corruptione nõ existere potest generatio. Omnẽ uero generationẽ corruptio sequit, ut iterũ aliqd gignatur. Quæ generantur em̃ ex corruptis produci necessariũ est: & rursus genita corrrumpi oportet,

ἵνα μὴ στῇ ἡ γένεσις τῶν ὄντων. πρῶτον οὖν τὸν δημιουργὸν γνώριζε εἰς τὴν γένεσιν τῶν ὄντων. τὰ οὖν ἐκ φθορᾶς γινόμενα, ψευδῆ ἂν εἴη, ὡς ποτὲ μὲν ἄλλα, ποτὲ δὲ ἄλλα γινόμενα, τὰ

† malim ἀδυνά- γὰρ αὐτὰ γίνεσθαι † δυνατόν. τὸ δὲ μὴ αὐτό, πῶς ἂν ἀληθὲς εἴη; φαντασίας οὖν καλεῖν δεῖ

τον. ταῦτα ὦ τέκνον, εἴγε ὀρθῶς προσαγορεύομεν τὸν ἄνθρωπον, ἀνθρωπότητος φαντασίαν. τὸ δὲ παιδίον, παιδίου φαντασίαν. τὸν δὲ νεανίσκον, νεανίσκου φαντασίαν. τὸν δὲ ἄνδρα, ἀνδρὸς φαντασίαν. τὸν δὲ γέροντα, γέροντος φαντασίαν. οὔτε γὰρ ὁ ἄνθρωπος, ἄνθρωπος. οὔτε τὸ παιδίον, παιδίον. οὔτε ὁ νεανίσκος, νεανίσκος. οὔτε ὁ γέρων, γέρων. οὔτε ὁ ἀνήρ, ἀνήρ. μεταβαλλόμενα δέ, ψεύδεται, καὶ τὰ προόντα, καὶ τὰ ὄντα. ταῦτα δέ τοι οὕτω νόει ὦ τέκνον, ὡς καὶ τῶν ψευδῶν τούτων ἐνεργειῶν ἄνωθεν ἠρτημένων ἀπ' αὐτῆς τῆς ἀληθείας. τούτου δὲ οὕτως ἔχοντος, τὸ ψεῦδος φημὶ τῆς ἀληθείας ἐνέργημα εἶναι.

Ἐκ τῶν Ὁμήρου. Ὅτι ἡ ἀλήθεια κάλλιστον, ὡς καὶ ἐν θεοῖς ὑπάρχειν μέγιστον δηλοῖ † διὰ τῶν ἐπῶν τούτων.

† addo καὶ Ὅμηρος. τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλόν,
οὐδ' ἀτελεύτητον, ὅτι κεν κεφαλῇ κατανεύσω.

Τριῶν γὰρ αἰτιῶν οὐσῶν, δι' ἃς ἄνθρωποι παραβαίνουσι τὰς ὑποσχέσεις, καὶ ψεύδονται. ἢ γὰρ εὐθὺς ἐξαπατῶν τις ἔφησεν, ἢ φήσας ὕστερον μετενόησεν, ἢ βουλόμενος ἐξησθένησε. τούτων δὲ τὸ μὲν ἐστὶ φαύλης προαιρέσεως. τὸ δέ, ἀσθενοῦς κρίσεως. τὸ δὲ ἐνδεοῦς δυνάμεως. πάντα δὲ ὁ θεὸς ἐκπέφευγε. διὰ φιλαγαθίαν, τὸ ἀπατηλόν. καὶ διὰ βεβαιότητα, τὸ παλινάγρετον. καὶ διὰ τε-

lego ἀτελεύτητον. λεσιουργίαν, τὸ † ἀτέλεστον.

Πυθαγόρας ἐρωτηθείς, τί ποιοῦσιν ἄνθρωποι θεῷ ὅμοιον, ἔφη, ἐὰν ἀληθεύωσιν. οἱ δὲ μάγοι ἀποφαίνονται τὸν μέγιστον τῶν θεῶν, ὃν ὠρομάσδην καλοῦσιν: ἐοικέναι, τὸ μὲν σῶμα, φωτί· τὴν δὲ ψυχήν, ἀληθείᾳ.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΨΕΥΔΟΥΣ.

ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ.

Εὐριπίδου. Δύστηνος ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων,
οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν.

Σοφοκλέους. Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.

† malim κἄν. Κακὸν τὸ κεύθειν, † καὶ πρὸς ἀνδρὸς εὐγενοῦς.

Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν,
ὅτῳ δ' ὄλεθρον δεινὸν ἡ ἀλήθει' ἄγει,
συγγνωστὸν εἰπεῖν ἐστὶ καὶ τὸ μὴ καλόν.

Μενάνδρου. Κρεῖττον δ' ἑλέσθαι ψεῦδος, ἢ ἀληθὲς κακόν.

Πισάνδρου. Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

Ὁμήρου. Ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί.

Μενάνδρου. Τὸ πιθανὸν ἰσχὺν τῆς ἀληθείας ἔχει
ἐνίοτε μείζω, καὶ πιθανώτερον ὄχλου.

Εὐριπίδου. Ἤπου χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν.

Τοῦ αὐτοῦ. Ἐγώγε φημὶ καὶ νόμον γε μὴ σέβειν
ἐν τοῖσι δεινοῖς, τῶν ἀναγκαίων πλέον.

Διφίλου. Καιρῷ τεθέμενον κέρδος, ὡς καρπὸν φέρει.

Δημοκρίτου. Ἀληθομυθεύειν χρεών, ὅπου λώϊον.

Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς πόσον
ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, ὅσον ἔφη
ὀφθαλμοὶ ὤτων.

Χαιρήμονος. Ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν.

Θεόγνιδος. Ἀρχὴ ἐπεὶ ψεύδους μικρὰ χάρις. εἰς δὲ τελευτὴν

αἰσχρὸν

ne rerũ generatio cessset. Efficitur itaq; ut falsa & mendacia sint, quæ à corruptione procreantur, quippe quæ alia fiant atq; alia. Eadẽ em̃ fieri nõ possunt, quod uero nõ unũ ac idem est quonã id modo uerũ esset? Imaginationes igitur hæc appellare fili oportet, si recte nominaturi sumus, nempe hominẽ humanæ essentiæ phantasiã, puerũ pueri, iuuenẽ iuuenis, uirũ uiri, senẽ senis imaginationẽ aut phantasiã. Homo em̃ nõ uerus homo est: nec puer, puer: nec iuuenis, iuuenis: neq; uir est uir: neq; senex, reuera senex. Sed immutata decipiunt nos & quæ prius erant, & quæ nunc sunt. Cæterũ hæc ita intelligẽda sunt ò fili, ut etiã falsos istos effectus superne ab ipsa ueritate pendere meminerís: quod cum ita se habeat, mendacium ueritatis opus esse dico.

Quod autem ueritas res pulcherrima sit, ac inter deos quoq; maximi fiat, Homerus hisce uersibus indicat. *Ex Homero.*

Hoc enim à me inter immortales est maximum
Testimonium. Quoniam irreuocabile est, ac minime mendax,
Neq; ad finem non perueniens, ad quodcunq; annuero capite.

Siquidem inter homines quidẽ tres extant causæ, propter quas pollicita uíolant & mẽtiunt. Aut em̃ statim à principio qspiã aliqd p fraudẽ dicit, aut eius q̃d dixit postea ipsum pœnitet, aut ad perficiendum inualidus est factus. Ex his primũ prauæ uoluntatis est, alterũ imbecilli iudicij, tertiũ infirmæ facultatis. Hæc omnia Deus declinat, bonitatis studio, fraudẽ: cõstãtia, reuocationẽ eius, cius ipsum pœnitere posset: postremo agẽdi efficacia, finis impedimẽtũ.

Pythagoras interrogatus qd Deo simile facerent homines, cũ ueritatẽ respõdit exercẽt. Cæterũ Magi maximũ deorũ, quẽ Oromagdẽ ipsi uocãt, corpore quidem asserunt esse luci similem, anima uero ueritati.

IOANNIS STOBAEI DE MENDACIO, SERMO DECIMVS.

INFOELIX est qui mendacia, etsi bona ei uideantur, *Euripidis.*
Potius usurpat, quàm quæ mala esse iudicat, uera.
Nullum mendacium procedit ad senectutem æui. *Sophoclis.*
Malum est facta cælare, nec uirum decet ingenuum.
Haud quidem honestum est mendacia loqui,
Cui tamen diram perniciem ueritas affert,
Huic uenia danda licet inhonesta loquenti.
Satius est eligere mendacium, quàm uerum malum. *Menandri.*
Non reprehendendus est, qui mendacium pro uita sua dixerit. *Pisandri.*
Mendacium autem non dicet: est enim ualde prudens. *Homeri.*
Probabilis oratio uim, quam ueritas, habet *Menandri.*
Aliquando maiorem, & persuadendo uulgo aptiorem.
Profectò res est intolerabilis, mendacia loqui. *Euripidis.*
Equidem aio legem quoq; non colendam esse *Eiusdem.*
In periculis, plus quàm necessitatem.
Mendacium positum in tempore lucrũ ceu fructum affert. *Diphili.*
Vera sunt dicenda, ubi id præstat. *Democriti.*
Thales Milesi⁹ rogat⁹ quãtũ à uero distaret mẽdaciũ, quãtũ oculi dixit, ab aurib⁹
Bonos falsa dicere non conuenit. *Chæremonis.*
Principium mendacij exiguum habet gratiæ. Circa finem uero *Theognidis.*

αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον,
γίνεται. οὐδέ τι καλὸν ὅταν ψεῦδος προσομαρτῇ
ἀνδρί, καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Θεοφράστου. Ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ' ὀλίγον ἰσχύσαν ἀπεμαράνθη.

Τοῦ αὐτοῦ. Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Χῖος γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὴν τρίχα πολιὰν οὖσαν, ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν, εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ Ἀρχίδαμος· τί ἂν ἔφη οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;

Ψεύδεσθαι προχειρότατον, τοῖς πολλάκις ἁμαρτάνουσιν.

Θεμιστίου ἐκ τοῦ μετεωροπαθοῦς ἢ Φιλοτέχνου. Οὐδεμία γὰρ μοχθηρία μᾶλλον δυσκοινώνητος ἀφ' ἑστίας. ἀλλ' αὕτη ἐστὶν ἡ κακία πρὸς ἣν μόνην καὶ φυλακῆς ἐξαποροῦμεν. καὶ γὰρ δὴ ὃ μόνον ἐποιησάμεθα φυλακτήριον τὸν ὅρκον λέγω, τούτῳ αὐτῷ μάλιστα καταχρῆται, ὅταν δέῃ τι ἄπιστον ἄνδρα κακῶς δράσαντα ἐξαρνήσασθαι. ἔστι δὲ δή τι καὶ ἕτερον ψεῦδος, ὃ τοὺς μὲν ἄλλους, οὐ πάνυ δή τι λυμαίνεται, αἶσχος δὲ ἐστὶ τοῦ χρωμένου, γίνεται γὰρ οὐκ ἐν τῷ καθ' ἑτέρου τί λέγειν ἢ πράττειν, ἀλλ' ἐν τῷ περὶ αὐτοῦ τε, καὶ τοῦ ἑαυτοῦ. διπλοῦν δὲ τοῦτο καὶ διχηδές, ἢ γὰρ ἐν τῷ μεῖζόν τε, καὶ σεμνότερον. † καλεῖται δὲ τὸ μὲν ἐνδεέστερον, εἰρωνεία: τὸ δὲ πλέον, ἀλαζονεία. τὸ μὲν δὴ ἐλλεῖπον τοῦ ἀληθοῦς, κομψόν τί ἐστι, καὶ αἱμύλον, καὶ ἐνίοτε οὐκ ἄχρηστον τῷ φιλοσόφῳ. καὶ διὰ τοῦτο αὐτὸ καὶ Σωκράτης παρελάμβανεν ἐν τοῖς λόγοις, ὁπότε ἐδεῖτο ὑποσκῶψαί τινα σοφιστὴν τύφου μεστόν, καὶ γέμοντα περιφροσύνης, μᾶλλον γάρ τι αἰσθάνονται τῆς ἑαυτῶν οὐδενείας, ὅταν ἀμαθέστεροι ἐξελέγχωνται, τοῦ μηδὲν εἰδέναι προσποιουμένου. τὸ δὲ ἕτερον τὸ ὑπερβάλλον, βαρύ τε καὶ ἐπαχθές, καὶ οὐδὲν οὕτως ἄκουσμα φορτικόν, ὡς ὁ καθ' αὑτοῦ ἔπαινος. καὶ ταῦτα ἐπὶ παιδείᾳ (ἔφη) καὶ ἄλλων ἐπαινούντων, ἐρυθριᾶν χρεὼν τοὺς ἀληθινῶς αὐτῆς ἐπηβόλους. οὐκοῦν καὶ πρὸς ἀλήθειαν, ταύτην τοῦτο † ἀνάπηρον ψυχὴν θήσομεν, ἣ ἂν τὸ μὲν ἑκούσιον ψεῦδος μισῇ, καὶ χαλεπῶς φέρῃ, αὐτή τε καὶ ἑτέρων ψευδομένων ὑπεραγανακτῇ: τὸ δὲ ἀκούσιον εὐκόλως προσδέχηται, καὶ ἀμαθαίνουσά που ἁλισκομένη μὴ ἀγανακτῇ, ἀλλ' εὐχερῶς ὥσπερ θηρίον ὕειον ἐν ἀμαθίᾳ μολύνηται.

† ἢ καθ' αὑτόν: ἢ τῷ ἐλλείπειν γίνεται.
† malim [illegible].

Ηροδότου. Ἔνθα γάρ τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω.

Πλάτωνος. Ὁρᾷς γοῦν ὅτι καὶ νῦν διὰ τῆς † ἐπαλλάξεως ταύτης ὁ πολυκέφαλος σοφιστὴς ἠνάγκακεν ἡμᾶς, τὸ μὴ ὂν οὐχ ἑκόντας ὁμολογεῖν εἶναί πως. ὁρῶ, καὶ μάλα. τί δαὶ δὴ τὴν τέχνην αὐτοῦ τίνα ἀφορίζοντες ἡμῖν αὐτοῖς συμφωνεῖν οἷοί τε ἐσόμεθα; πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις; ὅταν περὶ τὸ φάντασμα αὐτὸν ἀπατᾶν φῶμεν. καὶ τὴν τέχνην εἶναί τινα ἀπατητικὴν αὐτοῦ, τότε πότερον ψευδῆ δοξάζειν τὴν ψυχὴν ἡμῶν φήσομεν ὑπὸ τῆς ἐκείνου τέχνης, ἢ τί ποτ' ἐροῦμεν; τοῦτο. τί γὰρ ἂν ἄλλο εἴποιμεν; ψευδὴς δ' αὖ δόξα ἔσται, τἀναντία τοῖς οὖσι δοξάζουσα; ἢ πῶς; τἀναντία. λέγεις ἄρα τὰ μὴ ὄντα δοξάζειν τὴν ψευδῆ δόξαν; ἀνάγκη. πότερον μὴ εἶναι τὰ μὴ ὄντα δοξάζουσαν, ἢ πῶς † λέγεις εἶναι τὰ μηδαμῶς ὄντα; εἶναί πως τὰ μὴ ὄντα δεῖ γε, εἴπερ ψεύσεταί ποτέ τίς τι, καὶ κατὰ βραχύ. τί δ' οὐ καὶ μηδαμῶς εἶναι τὰ πάντως ὄντα δοξάζεται; ναί. καὶ τοῦτο δὴ ψεῦδος; καὶ τοῦτο. καὶ λόγος οἶμαι ψευδὴς, οὕτω κατὰ ταὐτὰ ταῦτα νομισθήσεται, τά τε ὄντα λέγων μὴ εἶναι καὶ τὰ μὴ ὄντα εἶναι. πῶς γὰρ ἂν ἄλλως τοιοῦτος γένοιτο.

† ἐπαλλάξεως.
† al. non habet.

Ἐν ταυτῷ. Τὸ μὲν δὴ μὴ ὂν ἡμῖν, ἕν τι τῶν ἄλλων γένος ὂν ἀνεφάνη, κατὰ πάντα τὰ ὄντα διεσπαρμένον. οὕτως. οὐκοῦν τὸ μετὰ τοῦτο σκεπτέον, εἰ δόξῃ τε καὶ λόγῳ μίγνυται. τί δή; μὴ μιγνυμένου μὲν αὐτοῦ τούτοις, ἀναγκαῖον ἀληθῆ πάντ' εἶναι. μιγνυμένου δέ, δόξα τε ψευδὴς γίνεται καὶ λόγος. τὸ γὰρ τὰ μὴ ὄντα δοξάζειν, ἢ λέγειν, τοῦτ' ἐστί που τὸ ψεῦδος, ἐν διανοίᾳ τε καὶ λόγοις γιγνόμενον. οὕτως. ὄντος δέ γε ψεύδους, ἔστιν ἀπάτη. ναί. καὶ μὴν ἀπάτης οὔσης, εἰδώλων τε, καὶ εἰκόνων, ἤδη καὶ φαντασίας ἅπαντα ἀνάγκη μεστὰ εἶναι. πῶς γὰρ οὔ;

Πλάτωνος. Φέρε δή, πότερον ἡγῇ δίκαιον εἶναι ψεύδεσθαι, ἢ ἀληθῆ λέγειν; ἀληθῆ ἔγωγε.

ψεύδεσθαι

Lucrum turpe malumq́ pariter
Nascitur. Est autem plane inhonestum, si cui mendacium adhæreat
Viro, & ab ore primum egrediatur.

Ex calumnia & inuidia mendaciũ pauco tempore durans paulatim extinguitur. *Theophrasti.*

Vir quidam Chius iam senex in Lacedæmonem peruenit, qui quidem alioquin erat arrogans, sed senectutis suæ ipsum pudebat. Quare canos tinctura obliterare conabatur. Progressus autem in publicum de rebus orationem habuit, quarum gratia uenerat. Tum surgens Archidamus dixit, quid ille tandem rectum diceret, qui mendacium non in anima solum, sed capite quoq; circumfert. *Eiusdem.*

Sæpe delinquentibus promptissimum est mentiri.

Nulla enim malitia alienior est à domestica familiaritate. Sed hæc est illa improbitas, aduersus quam solum nulla datur custodia. Nam quod unicum habebamus confugium, nempe iusiurandum, hoc ipso maxime abutitur uir perfidus, quod cõmisit malum facinus, inficiando. Est & aliud quoddam genus mendacij, quod cæteros quidem non admodum lædit, sed dedecus ipsius utentis est. Committitur enim non dicendo faciendóue quicquam in alterum: sed de seipso & rebus suis. Et hoc duplex est: aut enim fit in re maiori digniorícq;, quam in ipso sita sit, aut inferiori. Hoc quod fit circa minus, dissimulatio dicitur: illud uero quod circa maius, arrogantia. Id autem quod inferius est, quàm uerum sit, lautum & elegans est, ac interdum philosopho non inutile. Quamobrem etiam à Socrate usurpatur in dicendo, cum opus erat illudere superciliosum aliquem sophistam, sibiq́; plurimum de sua doctrina placentem. Tum enim uanitatem suam magis sentiunt, cum indoctiores deprehenduntur illo, qui se nihil scire simulat. Supra modum uero se suaq́; iactare, auditu graue ac molestũ est, nec ulla narratio tam odiosa, quàm sui ipsius laus. Decet enim præsertim in laude doctrinæ nostræ etsi ab alijs prædicetur, ingenuo pudore suffundi reuera doctos. Quinetiam ad ueritatem † affectum animi similiter moderatum instituemus, quo gubernata uoluntarium quidem mendacium oderit, ac ægre ferat, & tum sibi tum alijs mentientibus ualde succenseat: Inuoluntarium uero facile accipiat: & si imperitia eius deprehendatur, non indignetur, sed instar suis prompte possit per inscitiæ lutum uolutari. *Themistij ex libro de mediocritate affectuum, aut amore liberum.* *† Græca sunt obscura.*

Sicubi mendacium dici opus est, dicatur. *Herodoti.*

Cernis quàm argute multiceps iste Sophista nunc rursus tergiuersando nos inuitos non ens quodam modo esse fateri coegerit? Quis non uiderit? Qua igitur ratione eius artem definiemus ita ut nobis constemus? Quid maxime ueritus ita loqueris? Quia enim Sophistã circa phantasmata deceptorẽ quendã asserimus, eamq́; artẽ decipiendi astutiam nominamus, utrũ ne animã nostrã falsa opinari captiunculis eius irretitã, an aliud quiddã dicemus? Non aliud certe. Falsa opinio est, eorũ quę sunt opinari contraria? Contraria. Ais igitur falsam opinionem, quæ non sunt opinari? Aio. Vtrum non esse quæ non sunt putat? an quodam modo esse quæ nullo modo sunt? Si quis unquam quoquo modo opinando mentitur, necesse est ut quę non sunt, esse quodam modo iudicet. Nónne etiam quæ omnino sunt, nullo modo esse putabit? Id quoq;. Et hoc falsum similiter? Et hoc. Quin etiam sermo mendax eadem ratione censebitur, qui uidelicet quæ non sunt esse, & contra quæ sunt non esse pronunciat? Haud aliter mendax effici potest. *Ex Platone de Sophista uel de ente.*

Non ens constitit unũ quoddã reliquorũ generũ existens, per omnia quæ sunt, diffusum. Constitit. Considerandũ ergo deinceps utrũ opinioni atq; orationi immisceatur. Cur? Quoniam si nullo modo his immiscetur, uera esse omnia necesse est: sin autẽ miscetur, falsa opinio, oratioq́; falsa exoriuntur. Dicere enim & opinari nõ entia, hoc ipsum falsum est, orationi & cogitationi contingens. Sic est. Cum uero sit falsitas, deceptio sequitur. Statim. Orta deceptione, necesse est simulacris & imaginibus phantasiaq́; cuncta repleri. Nihil repugnat. *Plato de Sophista uel de ente.*

Dic age mihi, utrũ tu putas iustũ esse, mentirine, aut uerum dicere? Verũ dicere. *Platonis de iusto*

ψεύδεσθαι ἄρα ἄδικον; ναί. πότερον δὲ καὶ ἐξαπατᾶν ἡγῇ δίκαιον; ἢ μὴ ἐξαπατᾶν; μὴ ἐξαπατᾶν δήπου. ἐξαπατᾶν ἄρα ἄδικον; ναί. τί δαὶ, βλάπτειν δίκαιον, ἢ ὠφελεῖν; ὠφελεῖν. βλάπτειν ἄρα ἄδικον; ναί. ἔστιν ἄρα ἀληθῆ μὲν λέγειν, καὶ μὴ ἐξαπατᾶν, καὶ ὠφελεῖν δίκαιον: ψεύδεσθαι δὲ καὶ βλάπτειν καὶ ἐξαπατᾶν ἄδικον; ναί μὰ Δία σφόδρα γε. ἦ καὶ τοὺς πολεμίους; οὐδαμῶς. ἀλλὰ βλάπτειν δίκαιον τοὺς πολεμίους, ὠφελεῖν δὲ ἄδικον; ναί. οὐκοῦν καὶ ἐξαπατῶντας δίκαιον βλάπτειν τοὺς πολεμίους; πῶς γὰρ οὔ; τί δὲ ψεύδεσθαι ἵνα ἐξαπατῶμεν καὶ βλάπτωμεν αὐτοὺς οὐ δίκαιον; ναί. τί δαὶ, τοὺς φίλους οὐκ ὠφελεῖν δίκαιον εἶναι φῂς; ἔγωγε. πότερον μὴ ἐξαπατῶντας, ἢ ἐξαπατῶντας ἐπ' ὠφελείᾳ τῇ ἐκείνων; καὶ ἐξαπατῶντας νὴ Δία. ἀλλ' ἐξαπατῶντας μὲν, δίκαιον ἄρα ὠφελεῖν: οὐ μέν τοι ψευδομένους γε, ἢ καὶ ψευδομένους; καὶ ψευδομένους δίκαιον. ἔστιν ἄρα ὡς ἔοικε, ψεύδεσθαί τε, καὶ ἀληθῆ λέγειν, δίκαιον καὶ ἄδικον; ναί. καὶ μὴ ἐξαπατᾶν, καὶ ἐξαπατᾶν δίκαιον καὶ ἄδικον; ἔοικε. καὶ βλάπτειν καὶ ὠφελεῖν δίκαιον καὶ ἄδικον; ναί. ταῦτα δὴ ὡς ἔοικε πάντα τὰ τοιαῦτα ὄντα, καὶ δίκαια καὶ ἄδικα ἐστίν; ἔμοιγε φαίνεται. ἄκουε δή. ὀφθαλμὸν ἐγὼ ἔχω δεξιὸν, καὶ ἀριστερὸν, ὥσπερ καὶ οἱ ἄλλοι ἄνθρωποι; ναί. καὶ μυκτῆρα δεξιὸν καὶ ἀριστερὸν, καὶ χεῖρα δεξιὰν καὶ ἀριστεράν; ναί. οὐκοῦν ἐπειδὴ ταυτὰ ὀνομάζων, τὰ μὲν δεξιὰ φῂς εἶναι, τὰ δὲ ἀριστερὰ τῶν ἐμῶν, εἴ σε ἐγὼ ἐροίμην, ὁπότερα * ἂν ἔχεις εἰπεῖν ὅτι τὰ μὲν πρὸς † τῷδε, δεξιά ἐστι: τὰ δὲ πρὸς σοῦ, ἀριστερά. ναί. ἴθι δὴ καὶ ἐκεῖ. ἐπειδὴ ταυτὰ ὀνομάζων, τὰ μὲν δίκαια φῂς εἶναι, τὰ δὲ, ἄδικα, ἔχεις εἰπεῖν, ὁπότερα τὰ δίκαια, καὶ ὁπότερα τὰ ἄδικα; ἐμοὶ μὲν τοίνυν δοκεῖ, ἐν μὲν τῷ δέοντι καιρῷ ἕκαστα τούτων γιγνόμενα, δίκαια εἶναι. ἐν δὲ τῷ μὴ δέοντι, ἄδικα. καλῶς γίνοι δοκοῦ. ὁ μὲν ἄρα ἐν τῷ δέοντι ἕκαστα τούτων ποιῶν δίκαια ποιεῖ, ὁ δὲ μὴ ἐν τῷ δέοντι ἄδικα; ναί. οὐκοῦν ὁ μὲν τὰ δίκαια ποιῶν, δίκαιος; ὁ δὲ τὰ ἄδικα, ἄδικος; ἔστι ταῦτα. τίς οὖν ὁ ἐν τῷ δέοντι καιρῷ οἷός τε τέμνειν, καὶ καίειν, καὶ ἰσχναίνειν; ὁ ἰατρός. ὅτι ἐπίσταται, ἢ δι' ἄλλο τι; ὅτι ἐπίσταται. τίς δὲ ἐν τῷ δέοντι σκάπτειν καὶ ἀροῦν καὶ φυτεύειν οἷός τε; ὁ γεωργός. ὅτι ἐπίσταται, ἢ ὅτι οὔ; ὅτι ἐπίσταται. οὐκοῦν καὶ τὰ ἄλλα οὕτως ὁ μὲν ἐπιστάμενος, οἷός τε τὰ δέοντα ποιεῖν ἐστι, καὶ ἐν τῷ δέοντι καὶ ἐν τῷ καιρῷ. ὁ δὲ μὴ ἐπιστάμενος, οὔ. οὕτως. καὶ ψεύδεσθαι ἄρα καὶ ἐξαπατᾶν καὶ ὠφελεῖν, ὁ μὲν ἐπιστάμενος, οἷός τε ποιεῖν ἕκαστα τούτων ἐν τῷ δέοντι καιρῷ. ὁ δὲ μὴ ἐπιστάμενος, οὔ. ἀληθῆ λέγεις.

* al. ἂν interponitur.
† al. τῷ

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΠΑΡΡΗΣΙΑΣ, ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Εὐριπίδου. Πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω,
ἢ σκληρ' ἀληθῆ φράζω. σὴ γὰρ ἡ κρίσις.
οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα. καὶ ποῦ τοῦτο φυλάξεσθαι δοκεῖς.
πέφευγα. τἀληθὲς γὰρ ἰσχυρὸν τρέφω.

Σοφοκλέους. Οὐ δ' ἂν τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικα ᾖ, δάκνει.

Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.
ξὺν τῷ δικαίῳ γὰρ, μέγ' ἔξεστι φρονεῖν.

Εὐριπίδου. Θάρσει λέγων τἀληθὲς, οὐ σφάλλῃ ποτέ.

Σοφοκλέους. Καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.

Εὐριπίδου. Ἐμοὶ γένοιτο πτωχὸς, εἰ δὲ βούλεται,
πτωχοῦ κακίων, ὅστις ἂν εὔνους ἐμοὶ
φόβον παρελθὼν τ' ἀπὸ καρδίας ἐρεῖ.

Τοῦ αὐτοῦ. Καλόν γ' ἀληθὴς καὶ ἀτενὴς παῤῥησία.

Σοφοκλέους. Αἰδὼς γὰρ ἐν κακοῖσιν, οὐδὲν ὠφελεῖ.

ἡ γὰρ

igitur mentiri fuerit iniustum? Næ. Sed an decipere iustum reris, aut non decipere. Nimirum non decipere. Ergo decipere iniustum est? Sic est. Lædere uero iustúmne est, an iuuare? Iuuare. Iniustum ergo lædere? Planè. Igitur uerum dicere, non decipere, iuuare, iusta sunt: contrà mentiri, lædere, & decipere iniusta? Sanè per Iouem. An uero etiam hostes? Haudquaquam. Ergo ne hostes lædere iustum, iuuare autem iniustum est? Mea quidem sententia. Nónne per fraudem quoque hostes offendere iustum est? Quid ni? At si quis mentiatur ut decipiat & lædat ipsos, iustúmne fuerit? Fuerit. Cæterum amicos an non inquis adiuuari iustum esse? Inquam. Vtrum non per fraudem, an id quoque dum modo fiat in ipsorum commodum. Per fraudem quoque me Hercle. Sed an decipiendo quidē ipsis prodesse iustum fuerit, nō autem mentiendo, an ita quoque? Sanè & mentiendo iustū fuerit. Efficitur itaque sicut apparet, ut & mentiri & uera loqui iustū simul iniustumque sit. Profectò. Item decipere uel non decipere iustum ac iniustum fuerit. Videtur. Et offendere & iuuare iustum pariter ac iniustum erit. Planè. Hæc igitur, quantū apparet, omnia cum huiusmodi sint, tum iusta, tū iniusta sunt? Mihi quidē uidetur. Ausculta mihi. Viden oculum esse mihi dextrum ac sinistrū, ut reliquis hominibus? Video. Narem quoque dextram & sinistram. Euidens est. Et manū dextram & læuam. Planè. Quandoquidem igitur eisdem partibus nominatis has quidē dextras, illas uero sinistras esse dicis: si te interrogarem utri parti hoc uel illud nomen conueniret, dicere posses quod pars ad illum hominem spectans dextra sit: quæ uero ad te, sinistra? Facile. Hic ergo similiter, quoniam easdem res nominans has dicis esse iustas, illas iniustas, potésne dicere utræ sint iustæ, & utræ iniustæ? Mihi sanè uidentur horum singula si decenter opportunéque fiant, esse iusta: secus, iniusta. Placet mihi tua sententia. Quisquis igitur illorum singula facit, ut decet, iustè facit: qui indecenter, iniustè? Næ. Nónne, qui iusta facit, iustus est: qui iniusta, iniustus? Sic est. Quisnam est ille, qui potest opportunè secare, urere, attenuare? Medicus. An quia scit, an aliam ob causam? Quia scit. Sed quis est qui tēpestiuè fodere, arare, & plantare potest? Agricola. An quia nouit, uel quia nescit? Quia nouit. Sequitur ut alijs in rebus quoque similiter se habeat. Sciens igitur, opportuna facere potest decenter & opportune: nesciens uero, nequit. Ita. Ergo is qui mentiri, decipere, iuuaréque scit, horū singula decenter ac tempestiue potest administrare: qui nescit, nequaquā. Vera dicis.

IOANNIS STOBAEI DE FIDVCIA DICENDI, SERMO XI.

VTRVM mauis, tibi blanda mendacia dicam, *Euripidis.*
Aut duram ueritatem eloquar? Tua enim est optio,
Qui hæc tanta impudentia euomuisti
Dicta, quod impune tibi facere uideris.
Fugio: ueritatis enim uim aspicio.
Non talem linguam hominis calamitosi probo. *Sophoclis.*
Dura siquidem uerba, iustissima licet, mordent.
Lingua tua animi concitati indicium habet. *Eiusdem.*
Licitum est animosum esse, modo iure fiat.
Bono sis animo, uera dicendo nunquam erraueris. *Euripidis.*
Nam iusta lingua maximam uim possidet. *Sophoclis.*
Mihi uel mendicus contingat, aut etiam forte aliquis *Euripidis.*
Mendico inferior, qui modo beneuolus mihi
Seposito metu ex corde loquatur liberè.
Quàm elegans est uera & stabilis dicendi fiducia. *Eiusdem.*
Verecundia nihil ad calamitates proficit. *Sophoclis.*

ἡ γὰρ σιωπὴ, τοῦ λαλοῦντι σύμμαχος.

Εὐριπίδου. Ἀγάμεμνον. οὐδ᾽ εἰ πέλεκυν ἐν χεροῖν ἔχων,
μέλλει τις εἰς τράχηλον ἐμβαλεῖν ἐμὸν,
σιγήσομαι, δίκαιά γ᾽ ἀντειπεῖν ἔχων.
Φεῦ φεῦ. βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα,
χρηστῶν ἀφορμὰς ἐνδίδωσ᾽ ἀεὶ λόγων.
Θάρσει, τό τοι δίκαιον ἰσχύει μέγα.

Μοσχίωνος. Ὅμως τό γε ὀρθὸν καὶ δίκαιον οὔ ποτε
σιγῇ παρήσω. τὴν γὰρ ἐντεθραμμένην
ἀστοῖς Ἀθήνας, τῇ τε Θησέως πόλει
καλὸν φυλάξαι γνησίαν παρρησίαν.

Εὐριπίδου. Ἀτὰρ σιωπᾶν τάγε δίκαι᾽, οὐ χρή ποτε.

Φιλόξενος παραδοθεὶς ὑπὸ Διονυσίου ποτὲ εἰς τὰς λατομίας, διὰ τὸ φαυλίζειν τὰ ποιήματα αὐτοῦ, καὶ ἀνακληθεὶς, ἔπειτα πάλιν ἐπὶ τὴν ἀκρόασιν αὐτῶν ἐκλήθη, μέχρι τινὸς ὑπομείνας ἀνέστη. πυθομένου δὲ τοῦ Διονυσίου, ποῖ δὴ σὺ, εἰς τὰς λατομίας εἶπεν.

Δημοσθένους. Οὐδὲν ἂν εἴη τοῖς ἐλευθέροις μεῖζον ἀτύχημα, τοῦ στέρεσθαι τῆς παρρησίας.

Ἐκ τῆς Διογένους διατριβῶν. Ὥσπερ οὖν τοῦ ποντικοῦ μέλιτος γεύσασθαι ἐπιχειροῦσιν οἱ ἄπειροι. γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν δυσχεράναντες, ὅτι πικρόν ἐστι καὶ ἀηδὲς, οὕτω καὶ * τὰς Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην: ἐλεγχόμενοι δὲ, ἀπεστρέφοντο καὶ ἔφευγον. καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων, αὐτοὶ δ᾽ ἐφοβοῦντο καὶ ἀνεχώρουν. καὶ εἰ μὲν ἔσκωπτε καὶ ἔπαιζεν ὥσπερ εἰώθει ἐνίοτε, ὑπερφυῶς ἔχαιρον: ἀνατεινομένου δὲ καὶ σπουδάζοντος, οὐχ ὑπέμεναν τὴν παρρησίαν.

* lego τί, uel τινές.

Ἐν ταὐτῷ. Ἐπ᾽ αὐτόν γε τὸν Ἀντισθένην παραβάλλων, πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον. καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα † λοιδόρων. αὐτοῦ γὰρ οὐκ ἀκούειν φθεγγομένου μέγιστον. καὶ Ἀντισθένης ἀμυνόμενος, ἀντὶ τῆς σάλπιγγος σφηκὶ ὅμοιον αὐτὸν εἶπε. καὶ γὰρ τῶν σφηκῶν τὸν μὲν ψόφον τῶν πτερῶν, εἶναι μικρὸν. τὸ δὲ κέντρον, δριμύτατον, ἔχαιρεν οὖν τῇ παρρησίᾳ τοῦ Διογένους.

† lego κωδωνίων.

Σόλωνος. Συμβούλευε μὴ τὰ ἥδιστα: ἀλλὰ τὰ ἄριστα.

Πυθαγόρου. Συγγνώμη καὶ ἄρχοντι πλὴν ἐλευθερίας πάντα εἰκαῖα.

Ἐκ τῶν ἀρίστωνύμου. Ὅμοιον ἀψινθίῳ τὸ δριμὺ τοῦ λόγου παρρησίαν ἐκκόψαι.

Ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι.

Ἐκ τοῦ Δίωνος χρειῶν. Τὴν παρρησίαν ὁ Διογένης, ἀλλότριον ἀγαθὸν ἔλεγεν εἶναι.

Διογένης, Ἀττικοῦ τινὸς ἐγκαλοῦντος αὐτῷ διότι Λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ᾽ ἐκείνοις οὐ διατρίβει. οὐδὲ γὰρ ἰατρὸς εἶπεν ὑγείας ὢν ποιητικὸς, ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται.

Δημοκρίτου. Κρέσσον τὰ οἰκήϊα ἢ ἁμαρτήματα ἐλέγχειν, ἢ τὰ ὀθνεῖα.

Ὁ Διογένης ἔλεγεν ὅτι οἱ μὲν κύνες, τοὺς ἐχθροὺς δάκνουσιν. ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.

Ἐκ τοῦ Σερίνου. Ἀντιπάτρῳ, ἀγροῖκος ἄνθρωπος ἐπεδίδου βιβλίον ἔντυχίαν ἔχον. ὁ δὲ, οὐ σχολάζω ἔφη. καὶ μὴ βασίλευε εἶπεν ἐκεῖνος, εἰ μὴ σχολὴν ἄγεις.

Ἐν ταὐτῷ. Πρεσβῦτις δικαζομένη ἐπὶ Φιλίππου, ὡς οὐ   ζοντα ἐπὶ τὰ μέλλοντα ἀσφαλίσασθαι, ἐδεῖτο συγχωρῆσαι αὐτῇ ἐφεῖναι. ὁ δὲ, ἐπὶ τίνα εἶπεν. ἐπὶ Φίλιππον ἐγρηγορότα. ἐπὶ φαιτῶντα ἀπεκρίνατο ἐγρηγορότα.

Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον, ἄθλιε εἶπε. τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ᾽ οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες.

Ἱπποκράτην ἐπειδή τις πρὸς ἑορτὴν ἀπαίρειν, χρυσὸν εἶναι φάσκων βασιλέα. ὁ δὲ, οὐ δέομαι ἔφη χρυσοῦ δεσπότου.

Alterius enim silentium, pro altero loquente stat.

Agamemnon. Haud etiam securim si manibus tenens *Euripidis.*
Aliquis, ceruici esset incussurus meæ,
Conticerem, iure si contradicere possem.

Papæ. Quàm quæ ipsis rebus insita bonitas est, semper *Eiusdem in Hecuba.*
Bene dicendi occasionem mortalibus gignit.

Esto bono animo. Maximum quid iustitia ualet.

Haud unquam tamen quod rectum & iustum est *Moschionis.*
Silens præteribo. Quippe nutritam
Palladis inter ciues, in urbeq; Thesei
Seruare candidam decet loquendi libertatem.

Quæ iusta sunt tacere, nunquam conuenit. *Euripidis.*

Philoxenus Dionysij carminibus spretis, lapidicinis hãc ob causam ab ipso adiudicatus est. Deinde reuocatus, iterũ ad eius carminũ recitationẽ admissus, non multũ immoratus, surrexit. Quærenti autem Dionysio, quonam abiret, ad lapidicinas respondit.

Nihil accidere potest infœlicius, ingenuis quidem hominibus, quàm si dicendi libertatem amittant. *Demosthenes.*

Vt ignari nonnulli mel Ponticũ gustare uolunt, gustatũ ceu minimè dulci amaroq; succensentes, illico respuunt. Sic aliqui curiosi Diogenis periculũ facere uolebant, à quo redarguti, statim tergo dato fugiebant: Conuicijs quidẽ in alios iactis delectati, sibi solũ metuentes retrocedebant. Nam si dicterijs & ridiculis pro more luderet, perquàm gaudebant: seriò autem agente, libertatem hominis sustinere nequibant. *Ex Diogenis diatribis.*

Diogenes aliquando in Antisthenem incidens reprehendit ipsum, ut in dicendo remissiorem se multò, & qui uix, etiam altum clamans exaudiretur: Seipsum uero tubam conuiciorum appellabat. Cui, uerbis se ulciscens Antisthenes, pro tuba se similem esse respondit uespis, quæ sonũ quidem alis haud magnũ ædant, centrũ tamẽ habeant acerrimũ, plurimum uero libera Diogenis linguæ promptitudine delectabatur. *Ibidem.*

Optima quæq;, non iucundissima, consulito. *Solonis.*

Græca hic obscura sunt. *Pythagoræ.*

Idem facit qui absinthij amaritudinem, & qui orationis libertatem tollit. *Aristonymi.*

Vt mel exulcerata mordicat, secundũ naturã autẽ affectis suaue est: ita quoq; philosophicæ orationes.

Reprehensionem Diogenes alienum bonum esse dicebat. *Ex sententijs Dionis.*

Cũ Atheniensis quidã Diogeni obijceret, cur non inter Lacedæmonios ageret, quos amplius laudaret: Medicos etiam dixit, licet sanitati studerent, non inter sanos uersari.

Melius est domestica uitia culpare, quàm aliena. *Democriti.*

Diogenes aiebat. Canes quidem inimicos mordent: ego uero amicos, ut incolumes seruem.

Antipater cuidam rustico librum de fœlicitate exhibenti, non ocium sibi esse dixit. Cui ille: ne regnato quidem igitur, si non frueris ocio. *Serini.*

Græca non sunt integra. *Ibidem.*

Democrates cũ furem ab undecim uiris abduci uideret: Vah miser dixit, cur tantula furatus es, & nõ potius magna, ut tute etiam abduxisses alios.

Hippocrati quidã persuadere conabatur ad Xerxen proficisci, bonũ dominum appellans. At ille: Ne bono quidem domino mihi opus est.

Δημοσθένης πρὸς Ἀλέξανδρον εἰπόντα οὐκ ᾔδειν ὅτι σὺ εἶ, ὅτι δὲ ἔφη σὺ οὐκ εἶ ᾔδειν.

Πυθαγόρου. Τὰ ἁμαρτήματά σου παρὰ μὴ λόγοις ἐπικαλύπτειν, ἀλλὰ θεραπεύειν ἐλέγχοις.

Οὐχ οὕτω χαλεπὸν ἁμαρτάνειν, ὡς τὸ ἁμαρτάνοντα μὴ ἐξελέγχειν.

Ὥσπερ σωματικὸν πάθος οὐ κρυπτόμενον, οὐδὲ ἐπαινούμενον ὑγιάζεται, οὕτως οὐδὲ ψυχὴ κακῶς φερομένη καὶ συναγορευομένη θεραπεύεται.

Πλάτωνος. Διονύσιος ὁ τύραννος ἀτιμάζων αὐτὸν διὰ τὴν πρὸς Δίωνα φιλίαν, κατέκλινεν αὐτὸν ἐν τῇ ἐσχάτῃ χώρᾳ. καὶ μυκτηρίζων † εἶπον ὁ πλάτων φιλοσόφῳ ἀπελθὼν, πολὺν ἐν ἀκαδημίᾳ λόγον καθ' ἡμῶν διαθήσεις. ὁ δὲ, μὴ λόγων ἔφη γένοιτο τοσαύτη ἀπορία, ὥστε περὶ σοῦ διαλέγεσθαι.

† malim ἄπιον.

Διογένης εἶρετο πλάτωνα, εἰ νόμους γράφει. ὁ δὲ, ἔφη. τί δαὶ πολιτείαν ἔγραψας; πάνυ μὲν οὖν. τί οὖν ἡ πολιτεία νόμους οὐκ ἔχει; ἔχει. τί οὖν ἔδει σε πάλιν νόμους γράφειν;

Αἰλιανοῦ. Τιμόθεος ὁ κόνωνος πρὸς ἀριστοφῶντα τὸν ἀζηνιέα, πάντων ἄριστα ἔχοντα λόγον, εἶπεν. ἐπεὶ γὰρ ἄσωτος ἦν ὁ ἀριστοφῶν, πικρότατα αὐτοῦ καθικόμενος ὁ τιμόθεος εἶπεν, ᾧ ἱκανὸν οὐδὲν, τούτῳ γε αἰσχρὸν οὐδέν.

Ἐκ τῶν ἀριστωνύμου ὁμοιωμάτων. Φιλάνθρωπος τινος λίαν μοι ἐπικόπτεις, ἔφη. καὶ γὰρ τοῖς ἀσθενικοῖς, τὰ μὲν δριμέα καὶ πικρὰ ὠφέλιμα. τὰ δὲ γλυκέα, βλαβερά.

† Οἰμήϊον ἐλευθερίας, παῤῥησία. κίνδυνος δὲ, ἡ τοῦ καιροῦ διάγνωσις.

† lego Σημεῖον.

Δημοκρίτου. Ἀλλὰ δικαίου πολίτου κρίνω, τὴν τῶν πραγμάτων συντηρίαν αἰεὶ τὴν ἐν τοῖς λόγοις χάριτος αἱρεῖσθαι.

Δημοσθένης. Ἡ λάκαινα πωλουμένη, πρὸς τὸν ἐρόμενον τί ἐπίσταται, ἐλευθέρα ἔφη εἶναι.

Ἐκ τοῦ στρέους. Εἰ μὲν οὖν ὀρθῶς ἦν πλάτωνος ἀπειλή, τί δὲ ὄφελος ἡμῖν ἀνδρὸς, ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν, οὐδένα λελύπηκεν, ἕτεροι κρίνουσιν. ἴσως γὰρ ὡς τὸ μὲν δεῖ καὶ τὸν λόγον τοῦ φιλοσόφου τὸ γλυκὺ δηκτικὸν ἔχειν τῶν ἑλκουμένων.

Θεμιστίου ἐκ τοῦ περὶ ψυχῆς.

Εὐσεβίου. Παῤῥησία ἀπὸ γνώμης ἐλευθέρας καὶ ἀλήθειαν ἀσπαζομένης προέρχεται, παρέξεται δὲ αὐτὴν ἀμώμητον, οὐ τὸ πᾶσι καὶ ὡς ἔτυχεν ἐπιτιμᾶν καὶ λοιδορεῖσθαι νομίζων τοῦτο εἶναι τὴν παῤῥησίαν. ἀλλ' εἰ πρὸς οὓς δεῖ, καὶ ὑπὲρ τίνων χρημάτων. καὶ ἐν ᾧ χρὴ μετὰ τοῦ χρησίμου τῶν παριστημένων ξὺν νόῳ προσδιαλέγοιο.

Ἐχθρὸς τἀληθὲς εἰπὼν τοῦ προσποιουμένου φίλου πρὸς χάριν εἰπόντος πάντως ἀμείνων τύχοι.

Σωκράτους. Τῆς παῤῥησίας ὥσπερ ὥρας ἐν καιρῷ ἡ χάρις ἰδίως.

Οὔτε μάχαιραν ἀμβλεῖαν, οὔτε παῤῥησίαν ἄπρακτον ἔχειν δεῖ.

Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον, οὔτε ἐκ τῆς παιδείας αἰρέον τὴν παῤῥησίαν.

Ἔστιν ὥσπερ τρίβωνα ῥυπαρὸν ἀμπεχόμενον εὐυκτεῖν, οὕτωσι καὶ βίον ἔχοντα πονηρὸν παῤῥησιάζεσθαι.

Ἑρμοῦ. Ἔλεγχος γὰρ ἐπιγνωσθεὶς ὦ μέγιστε βασιλεῦ εἰς ἐπιθυμίαν φέρει τὸν ἐλεγχθέντα, ὧν πρότερον οὐκ ᾔδει.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΚΟΛΑΚΕΙΑΣ.

ΛΟΓΟΣ ΔΩΔΕΚΑΤΟΣ.

Ποσειδίππου. Τὴν χλανίδα πάντες, ὡς ἔοικεν, οὐκ ἐμὲ,
προσηγόρευον. οὐδὲ εἷς νῦν μοι λαλεῖ.

Κριτίου. Ὅς τις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν
πράσσων ὁμιλεῖ, τὴν παραυτίχ' ἡδονὴν,
ἔχθραν καθίστησ' εἰς τὸν ὕστερον χρόνον.

Εὐριπίδου. Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις,
ἐκτησο. τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηρὸς, κλεῖθρον εἴργετω στέγης.

Ἔλεγχοι

Demosthenes ad furem inquientem nesciebam quod tuum esset, at tuũ non esse sciebas, dixit.

Vitia tua ne uerbis cælare coneris, sed emendare reprehensionibus. *Pythagoræ.*

Non tam difficile est ipsum peccare, quàm peccantem alium non redarguere.

Vt corporis morbus si abscondatur laudetúrue, non sanatur. Ita animi uitium, cui uel patrocinaris, uel abscondis, non emendatur.

Platonẽ Dionysius tyrannus, ob eius cũ Dione amicitiã contemptũ, discumbere ultima sede iussit, pariter subsannans: Nimirũ ubi hinc abierit Plato multa aduersus nos in Academia dicenda habebit. Tum ille, absit, inquit, tanta me dicendi penuria laborare, ut tui mentionem facere oporteat.

Diogenes interrogabat Platonẽ, nũ leges scriberet: Annuebat ille. Nõne Remp. quoq; descripsisti? Scripsi. Ea uero Resp. leges non habebat? Habebat. Quorsum igitur te denuo leges scribere attinebat?

Timotheus Cononis filius Aristophontem Azeniensem, eloquentẽ quidem illũ sed luxuriosum hominem, acerbissimè increpauit hisce uerbis: Cui satis esse nihil potest, ei ne turpe quidem uidetur esse quicquam. *Ex Aeliano.*

Dicente quopiam plus satis ab ipso illudi sibi. At etiam lienosis, inquit, acria & amara salubria, dulcia uero nocua sunt. *Ex Aristonymi similibus.*

Libertas in dicẽdo, ingenuitatis signũ est. Sed occasionis diuersitas, piculũ habet. *Democriti.*

Ego uero boni ciuis esse iudico, pluris rerum incolumitatem, quàm uerborum suauitatem facere. *Demosthenis.*

Mulier quædã Lacæna uenalis ad interrogantẽ qdnã calleret, libera esse respõdit. *Serini.*

Penes alios iudicium esto, an recte de Platone Diogenes his uerbis usus sit. Quæ tandem utilitas nobis esse potest eius uiri, qui diu iam philosophatus, nemini molestus fuit. Sensit nimirum etiam philosophicam orationem tali esse dulcedine temperatam debere, quæ mordeat exulceratos. *Themistij.*

Oratio libera ex animo ingenuo & ueritatis studioso procedit. Vteris autem ipsa citra culpam, non existimando ipsam esse reprehensionem, & conuicium in quemuis absq; delectu: sed quorum refert; quibusq; de rebus, idq; suo tempore & loco, non sine astantium utilitate alloquendo. *Eusebij.*

Inimicus qui uera loquitur, cuiuis amicitiæ simulatori ad gratiam loquenti, præferendus est longè.

Linguæ liberæ, ut tempori, opportuna occasio, maiorem gratiam conciliat. *Socratis.*

Neq; gladius retusus, neq; eloquendi libertas infructuosa sit.

Vt minime solem è mundo, ita neq; dicendi fiduciam à recta institutione tollere conuenit.

Sicut pallium sordidum nõ obstat corpori quo minus sanum & quadratum sit, ita paupertas nihil orationis liberam fiduciam prohibet.

Cognitum uitium, ò maxime rex, desyderium reprehenso parit rerũ, quas prius ignorabat. *Mercurij.*

DE ADVLATIONE, SERMO XII.

ANTE hac omnes pallium, ut conijcio, non me, *Posidippus.*
Salutabant. Iam enim ne unus quidem mecum loquitur.

Quicunq; omnia in gratiam amicis *Critiæ.*
Agens conuersatur, præsens gaudium
Odio commutat in posterum.

Amicos qui nihil tibi uerbis indulgeant *Euripidis.*
Comparato. Qui uero ut complaceant, & delectent te
Verba faciunt, eos tanquam malos præ foribus excludito.

Ζήνωνος. Ἔλεγχε σαυτὸν ὅστις εἶ, μὴ πρὸς χάριν
ἄκου', ἀφαιρῶν δὲ κολάκων παρρησίαν.

Εὐριπίδου. Αἰνούμενοι γὰρ οἱ 'γαθοί, τρόπον τινὰ
μισοῦσι τοὺς αἰνοῦντας ἐὰν αἰνῶσ' ἄγαν.
Βάρος τι καὶ τὸ δι' ὄψιν, αἰνεῖσθαι λίαν.

Νικολάου. Τὸ τῶν παρασίτων ἀνδρὸς ἐξεῦρεν γένος,
δὶς εὐφυής, ὥς λέγουσι, Τάνταλος,
οὐ δυνάμενος δὲ τῇ τέχνῃ χρῆσθαι καλῶς,
ἀκόλαστον ἔσχε γλῶσσαν, εἶτ' ἀκουσίως
δίφρου πολυτελοῦς δυναμένου λιμὸν ποιεῖν,
εἰ τῆς τραπέζης ἐξαπίνης ἀπεστράφη.
ἄφνω δὲ πηγεὶς εἰς μέσην τὴν γαστέρα
ἔδοξεν αὐτὸς γεγονέναι τἄνω κάτω.
σίπυλόν τι ἔχειν ἀνατετράφθαι τὸν τρόπον,
καὶ μάλα δικαίως. φεύξ γὰρ ἄν, οὐχ ἱκανὸς ἦν
τὴν τοῦ τρέφοντος εὖ φέρειν παρρησίαν.
διὸ δὴ τοιαύτης παντελῶς κακεξίας
ἐν τοῖς βίοις παρὰ πᾶσιν ἐζηλωμένης,
πικρῶς ἐκπλῆξαι βούλομαι (αὐτὴ γὰρ νὴ Δία
παρρησίαν μοι δώσει) τοὺς ἀσυμβόλους,
τἀλλότρια δειπνεῖν ἑλομένους ἄνευ πόνου.
τί γὰρ μαθὼν ἄνθρωπε πρὸς τῶν δαιμόνων
βούλει παρασιτεῖν; ἢ τί τῶν ἐν τῷ βίῳ
ξυνῆκας; εἰπόν, ἄξιον γὰρ εἰδέναι.
τίνος μαθητὴς γέγονας; αἵρεσιν τίνα
κλύεις; ἀπὸ τίνων δογμάτων ὁρμώμενος,
τολμᾷς παρασιτεῖν; ἃ μόλις ἡμεῖς τὸν βίον
πάντα κατατρίψαντες, οὐδὲ νῦν ἔτι
ἀνεῳγμένην δυνάμεθα τὴν θύραν ἰδεῖν,
διὰ τοὺς ἄνω, διὰ τ' ἀλλότρια μαστωμένους.
οὐ παντὸς ἀνδρὸς ἐστὶ τράπεζαν ἔσθ' ὁ πλοῦς.
lego καὶ st. * πολυβορὰν ἔχειν πρῶτον τοιοῦτον δεῖ.
πρόσωπον ἰταμόν, χρῶμα δαμασμένον, γνάθον
ἀκάματον, οὐδὲ δυναμένην πληγὰς φέρειν.
στοιχεῖα μὲν ταῦτ' ἐστὶ τῆς ὅλης τέχνης.
ἔπειτα δεῖ σκωπτόμενον ἐφ' ἑαυτῷ γελᾶν.
αἰσχρὸν γὰρ οἶμαι δοῦλον εἶναι σκώμματος.
ἀπὸ τῶν ἐτῶν κλέπτει τις, ἢ καὶ βλέπεται
θέλων καλὸς εἶναι, καὶ παρ' ἡλικίαν νοσεῖ.
ἴσω γανυμήδης οὗτος ἀρθώμενος.
πρὸς χάριν ὁμιλεῖ τοῦ τρέφοντος ἐπ' ὀλέθρῳ.
παράσιτός τις, καὶ ποιεῖ πάντας νεκρὸς
δείπνῳ. σιωπῇ τοῦτον ὑπομυκτηρίσας
εἰς τὴν τράπεζαν, καὶ σὺ τὴν χολὴν ἄφες.
οἶμαι δ' ἐμαυτὸν εὔθετον τοῖς πράγμασι
παῖδες γεγονέναι. πάντα γὰρ πρόσεστί μοι,
ὅσα περ ἔχειν τ' ἀλλότρια τὸν δειπνοῦντα δεῖ.
λιμός, ἀπόνοια, τόλμα, γαστήρ, ἀργία.

καὶ

Argue teipsum, quisquis es, nihil ad gratiam Zenonis.
Audito, neq; assentatores libertate loquendi priua.
Boni cum laudantur, quodammodo Euripidis.
Odio laudantes habent, si præter modum id fecerint.
Etiam laus nimia, onus est.
Parasitorum genus ò uiri inuenit Nicolai.
Ioue prognatus, ut aiunt, Tantalus.
Cum autem arte non rectè uti sciret
Intemperantem linguam habuit, deinde ingratam
Compulsus in sedem, quæ fame ipsum cruciaret,
A pristina mensa subito reiectus est.
Repente autem ictus in medium uentrem
Omnia sursum & deorsum confundi putauit.
Siphylum quoq; fama est hoc modo pessum iuisse,
Idq; bono iure. Phryx enim cum esset, non poterat
Nutrientis ipsum dicendi libertatem rectè ferre.
Propter tale uitium igitur, quod modis omnibus
Omnes in uita æmulantur, & cupiunt,
Acerbe uolo reprehendere (si modo per Iouem
Liberè mihi loqui per uos liceat) homines qui sine symbolo commessantur,
Et qui sine labore aliena deglutire proponunt.
Quid nam bone uir obsecro te didicisti,
Quod parasitum agere uelis? Aut quid rei in uita humana
Calles? Dicito, dignum est enim scitu.
Cuius fuisti discipulus? quam sectam
Profiteris? A quibus placitis incipiens
Audes parasitus esse? At ægrè nos qui uitam
Omnem contriuimus, ne nunc quidem adhuc
Apertas possumus intueri fores,
Propter eos qui supra sunt, qui deuorant aliena.
Non cuilibet ad mensam nauigare licet.
Oportet enim ut illi primum habeant
Faciem impudentem, colorem stabilem, maxillam
Indefessam, quæ continuò possit alapas sustinere.
Hæc quidem elementa sunt totius artis.
Deinde si illudatur, de seipso rideat opus est.
Turpe autem puto seruire dicterijs.
Minorem natu fingit esse, aut offenditur,
Dum studet elegans haberi, & præter ætatem ægrotat.
Ille Ganymedes esto inter deos relatus.
Ad complacendum conuersatur in alentis perniciem.
Si quis turbetur, statim omnes exanimat
In conuiuio. Alterum tacitè subsannans
In mensa, & tu inquit bilem dimitte.
Opinor autem me idoneum ad hæc negocia
O pueri natum esse. Adsunt enim mihi omnia,
Quæcunq; habere oportet aliena commessantem:
Nempe fames, uecordia, audacia, uenter, ocium.

καὶ νῦν με λυδῶν τῶν πολυχρύσων ἄναξ
συνδειπνον αὐτοῦ κέκληκεν ἐν φίλον.

Δημοκρίτου. Εὐλογεῖν ἐπὶ καλοῖς ἔργμασι, καλόν. τὸ γὰρ ἐπὶ φλαύροισι, κίβδηλον καὶ ἀπατεῶνος ἔργον.

Ἐκ τῶν Ἀρίστωνος. Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα, ὑπ' αὐτοῦ καταναλίσκεται: ὁ δὲ πλοῦτος ἐκτρέφων κόλακας, ὑπ' αὐτῶν τούτων διαφθείρεται.

Ἐκ τῶν Σωτίωνος. Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι: πρὸς δὲ τὸ ξηρὸν, οὐκ ἐξοκέλλουσιν. οὕτως οἱ κόλακες ἐν εὐδίᾳ παραμένουσιν, ὡς καὶ οἱ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες, μέχρι τῆς λείας συμπαρακολουθοῦσιν, ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν.

Φαβωρίνου. Ἐστι δὲ οὐκ ἀξιόπιστος ἔπαινος, ὃν ἐπαινεῖ τις ἕτερον, διὰ τὸ ἑαυτοῦ συμφέρον.

Ὥσπερ ὁ Ἀκταίων ὑπὸ τῶν τρεφομένων ὑπ' αὐτοῦ κυνῶν ἀπέθανεν: οὕτως οἱ κόλακες τοὺς τρέφοντας καταλύουσιν.

Θεοδώρου. **† lego ἀρ.** Εἴσοδος δὲ ἦν παρ' αὐτὴν οὐκ ὀλίγη. τῶν μὲν, τοῦ ἤθους τὴν † ἀφέλειαν ἀποδεχομένων: τῶν δέ τι καὶ δεομένων ἴσως: τῶν δὲ πολλῶν συνήθως νοσούντων, καὶ οἰκείᾳ φύσει χρωμένων, οἳ τοὺς πλουτοῦντας ὥσπερ τι κρεῖττον θαυμάζοντες, φθείρεσθαι πρὸς τὰς τούτων θύρας εἰώθασιν, κἂν μηδ' ὁτιοῦν τῆς εὐπορίας μεθέξειν μέλλωσιν.

Διογένους. Ἐπὶ τῆς κολακείας, ὥσπερ ἐπὶ μνήματος, αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται.

Ἰσοκράτους. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας. ἀμφότεροι γὰρ πιστευθέντες, τοὺς πιστεύσαντας ἀδικοῦσι.

Κράτης τοὺς κόλακάς φησι συγκατανεύσιφάγους.

Ἀντισθένης αἱρετώτερόν φησιν εἰς κόρακας ἐμπεσεῖν, ἢ εἰς κόλακας. οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα: οἱ δὲ, ζῶντος τὴν ψυχὴν λυμαίνονται.

Πυθαγόρου. Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον, ἢ τοῖς κολακεύουσιν, ὡς δ' ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας.

Ἀντισθένης ἔλεγεν, ὥσπερ τὰς ἑταίρας τἀγαθὰ πάντα εὔχεσθαι τοῖς ἐρασταῖς παρεῖναι, πλὴν νοῦ καὶ φρονήσεως: οὕτω καὶ τοὺς κόλακας οἷς σύνεισι.

Κράτης πρὸς νέον πλούσιον πολλοὺς κόλακας ἐπισυρόμενον: νεανίσκε, εἶπεν, ἐλεῶ σε τὴν ἐρημίαν.

Σωκράτους. Ἡ τῶν κολάκων εὔνοια, καθάπερ ἐκ τροπῆς φεύγει τὰς ἀτυχίας.

Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοί: τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί.

Οἱ μὲν λύκοι, τοῖς κυσίν: οἱ δὲ κόλακες, τοῖς φίλοις ὄντες ὅμοιοι, ἀνομοίαν ἐπιθυμοῦσιν.

Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ, διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχεται.

Πλάτωνος. Ἑώρων γὰρ καὶ τότε, καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας, καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν, καὶ τῶν μονάρχων σχεδὸν ὅσῳ περ ἂν μείζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης τοὺς ὁμιλοῦντας τρεφούσας, οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε, καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις.

Ὅταν δέ τις ἐν τούτοις ἀγωνίζηται, ὥσπερ καὶ ἐπαινεῖ, οὐδὲν μέγα δοκεῖ εὖ λέγειν.

ΠΕΡΙ ΑΣΩΤΕΙΑΣ

ΛΟΓΟΣ ΙΓ′.

Μενάνδρου. **† lego τὸ.**

ΤΟΥΣ τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον,
† τοῦ καλῶς ἀκούειν ταχὺ ποιεῖ πᾶσι κακῶς.
ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον,
πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά;

ἔργον

Et nunc me rex Lydorum abundantium auro
Amicum esse conuiuam sibi decreuit.

Rectè facta collaudare, honestum est: mala uero laudibus uehere, adulterini animi ac impostoris est. *Democriti.*

Ligna dum augent ignem, ab ipso consumuntur. Opes dum alunt adulatores, ab eis ipsis pereunt. *Aristonymi.*

Delphini quousque unda subest comitantẽ natãtes. In littus uero nunquã egrediuntẽ. Sic adulatores in sereno rerũ statu manẽt: Sicut q amicos ad peregrinationẽ euntes, dũ uia plana est, deducunt: cũ aspior incipit, recedunt. *Sotionis.*

Non fidem meretur ea laus, qua quis aliũ, sui cõmodi gratia, prosequitur. *Phauorini.*

Quemadmodum Actæon ab alumnis suis canibus interijt, sic parasiti eos à quibus aluntur, pessundant.

Ingressus ad ipsam frequẽs erat. Alijs morũ simplicitatẽ probãtibus. Alijs aliqua re indigẽtibus. Plurimis uero pro more & ingenio uulgo hominũ peculiari affectis, qui homines diuites ceu spectaculũ quoddã eximiũ, mirati, ad ipsorum ianuas tempus terunt, & si nihil inde laturi sint commodi. *Theodori.*

In assentatione, ueluti sepulchro quopiã, solũ amicitiæ nomẽ inscriptũ est. *Diogenis.*

Adulatores ut impostores odio habeto. Creditores enim utrique in re quauis sibi credita fallunt. *Isocratis.*

Crates parasitos συγκατανευσιφάγους appellabat (quasi quis Latinè cõnuepulones dixerit, quod omnium facile dictis inter epulas annuant.)

Antisthenes satius esse ait in coruos quàm parasitos incidere. Hi enim uiuentis animum corrumpunt: Illi solum mortui corpus.

Gaudendum potius redarguentibus, quàm assentantibus, quos etiam hostibus deteriores existimare, & refugere oportet. *Pythagoræ.*

Antisthenes aiebat, ut meretrices bona omnia præter mentem & prudentiã suis amatoribus imprecantur: eodẽ modo adulatores ijs quibus cũ agunt.

Crates ad opulentum adolescentem quem parasitorum comitabatur turba: Adolescens, dixit, miseret me tuæ solitudinis.

Adulatorum beneuolentia tanquã tergo hostibus dato, fugit infortunia. *Socratis.*

Lepores quidem canibus uenatores capiunt: multi autem stolidos laudibus irretiunt.

Lupi cum sint canibus similes, assentatores amicis, diuersa tamen studia sequuntur.

Similis est adulatio panopliæ pictæ, ideoque delectationem quidem, sed usum nullum præstat.

Videbam id tẽporis, & adhuc uideo, magnas & immensas opes, tũ priuatorũ hominũ, tum monarcharum, ferè quo fuerint abundantiores, eo plures maioresque calumniatores alere, & uoluptatem turpi damno confusam machinantes, quo nihil deterius diuitiæ, aliæque potentiæ generant. *Platonis.*

Si quis huic rei fuerit studiose deditus, nihil mirum, si cuius laudes recenset, ei bene dicendi doctus esse uideatur.

DE PRODIGALITATE SERMO XIII.

Si qui suas opes temere dilapidant *Menandri.*
Laudibus uehantur, id multis obesse potest.
Nam qui suam male gubernat uitam,
Dic quæso quomodo seruabit is alienam?

Εὔφρονος. Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ.
ἐν ἡμέρᾳ δὲ μιᾷ διαφορῆσαι ῥᾴδιον.

Διφίλου. Λαμπρῶς ἔνιοι σπάζειν, οἷς χαλεπώτερον
τοῦ πόρια ποιήσασθαί τι τὸ φυλάξαι βίον.

Μενάνδρου. Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων,
σκεπτόμεθα τὰ ἀναγκαῖα ἑκάστης ἡμέρας.
ἂν ᾖ δὲ φείσασθαί τι τοῦ γήρως χάριν,
οὐ φεισόμεθ' ἐφόδια προσποιούμενοι.

Θεόγνιδος. Ὥσπερ ἐγὼ, μέσσην ὁδὸν ἔρχεο ποσσὶν,
μηδ' ἑτέροισι δίδου Κύρνε τὰ τῶν ἑτέρων.

Πυθαγόρου. Μὴ δαπανᾶν παρὰ καιρὸν, † ἀπειροκάλως ἐνὶ ἡμῶν.
† αἰ. ὁποῖα καλῶν ἀδαήμων, μηδ' ἀνελεύθερος ἴσθι. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Σωκράτης ἰδών τινα προχείρως πᾶσι χαριζόμενον, καὶ ἀνεξετάστως ὑπηρετούμενον· κακῶς εἶπεν ἀπόλοιο, ὅτι τὰς χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας.

Διογένης ἄσωτον ᾔτει μνᾶν· τοῦ δὲ εἰπόντος, διατί τοὺς ἄλλους τριώβολα, ἐμὲ δὲ μνᾶν ζητεῖς; ἔφη. παρὰ μὲν τῶν ἄλλων, ἐλπίζω πάλιν· παρὰ δὲ σοῦ, οὐκέτι.

Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα, ταῖς ἐπὶ κρημνῶν συκαῖς εἴκαζεν, ἀφ' ὧν ἄνθρωπον μηδὲν λαμβάνειν· κόρακας δὲ καὶ ἰκτίνους· ὥσπερ παρὰ τούτων, ἑταίρας ἢ κόλακας.

Δημοσθένους. Τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι, κτῶνται μὲν τἀγαθὰ, διὰ τὸ καλῶς βουλεύεσθαι, καὶ μηδενὸς καταφρονεῖν· φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις.

Ζήνων πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτείας, καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν. ἦπου καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν.

Ξενοφῶντος. Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπὸν, ὡς τὸ λαβόντα στερηθῆναι.

ΠΕΡΙ ΦΕΙΔΩΛΕΙΑΣ.
ΛΟΓΟΣ ΙΔ.

Φιλήμονος. ΕΑΝ οἷς ἔχωμεν, τοῖς γε μηδὲ χρώμεθα,
ἃ δ' οὐκ ἔχομεν ζητοῦμεν, ὧν μὲν διὰ τύχην·
ὧν δὲ δι' ἑαυτοὺς ἐσόμεθα ἐστερημένοι.

Ἀπολλοδώρου. Μισῶ τύχην συνοῦσαν ἀτυχεῖ σώματι,
ὅστις γὰρ εὐπορῶν παρὸν ζῆν ἡδέως,
† lego ἄνε τῇ τύχῃ κακῶς διάγει, τί ἄντις † ἀλλ' ἢ τῇ τύχῃ
μέμφοιτο; διότι δυστυχεῖ σὺν τῇ τύχῃ.

Ἐγὼ γὰρ οὐ τὸν πλοῦτον ἴσδιμι ὅσος ἐστὶν,
ἀλλ' ὅστις αὐτὸν κτῆται, εἰ ὑπέρτερός ἐστιν ὧν ἔχει.

Εὐριπίδου. Εἰ δ' εὐτυχῶν τις, καὶ βίον κεκτημένος,
μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,
ἐγὼ μὲν οὔ ποτ' αὐτὸν ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσι δάκρυ
στάζειν. κακὸν δὲ χρημάτων ὄντων ἅλις,
φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν.

Ὅστις δόμους μὲν ἥδεται πληρουμένους,
γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνος κακοῖ,
τοῦτον νομίζω καὶ θεῶν συλᾶν βρέτη,

Haud facile cumulus accruatur etiam longo tempore, *Euphronis.*
Vno uero die facile dissipabitur.
Multi sic affecti sunt, ut ægrè queant *Diphili.*
Parcere quicquam ulterius, quàm pro uita præsenti.
Si nauigatio fortè quadridui instituatur, *Menandri.*
Prospicimus quæ necessaria sunt in dies.
At si quid parcendum in senectam sit,
Cur non uiaticum parsimonia reponemus?
Sicut ego, mediam uiam ingredere pedibus, *Theognidis.*
Neq; alijs Cyrne largitor aliena.
Ne sumptus temere & importunè feceris, *Pythagoræ.*
Sed neq; illiberalis esto. Modus in omni re optimus.

Socrates cũ facile quendã omnibus gratificari, nulloq; delectu suppeditare animaduertisset: male pereas, imprecatus est, quoniam gratias uirgines, ut scorta prostituisti.

Diogenes à quodam prodigo minam petijt: quo mirante, quod ab ipso minam, ab alijs tres obolos tantum rogaret. Iterum me ab alijs, respondit Diogenes, accepturum spero, abs te autem nunquam posthac amplius.

Crates diuitum & prodigorum pecunias ficubus, quæ in præcipitijs nascuntur comparabat, quibus homines non fruuntur, sed corui tantum & milui: ut prodigorum opibus scorta & parasiti.

Plurimi quidem hominum diuitias bene consulendo, & nihil contemnendo acquirunt, non tamen ijsdem artibus ipsas conseruare possunt. *Demosthenis.*

Non tam graue est bona non accipere, quàm acceptis priuari. *Xenophontis.*

Zenon ad prodigalitatem suam excusantes, quod ex multis superfluis sumptus facerent, dicebat: Igitur & coquis ueniam dabitis, si salsa obsonia se fecisse dixerint, quod copia salis adfuerit.

DE PARCITATE, SERMO XIIII.

SI præsentibus non utimur, *Philemonis.*
Absentia quærimus: his quidem nostra culpa,
Illis uero per fortunam priuabimur.
Odi fortunam iunctam infortunato corpori, *Apollodori.*
Si quis enim per diuitias suauiter agere potest,
Misere tamen uiuit: quid aliud quàm fortunam
Accuses, quod se homini infortunato sociauerit?
Ego non opes quantæ sint aspexerim: Sed num qui ipsas
Possidet, superior, ut dominus, sit possessis.
Si quis fortunatus & opulentus *Euripidis.*
Nihil egregium domi instituat,
Hunc ego nequaquam beatum nominauerim,
Sed potius fœlicem diuitiarum custodem.
Inhumana est imperitia, in statu ne miserabili quidem lachrymas
Fundere. Hæc uero est malitia, cum opes affatim suppetant
Neminem mortalium beneficijs demereri, parcitate uictum improba.
Quisquis domi rem gaudet abundare,
Et uentrem interea defraudans corpus miser macerat,
Is mihi sacrilego melior non esse uidetur,

τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι.

Μενάνδρου. Οὔπω ποτ᾽ ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον ἀπολαύοντα μηδὲν ὧν ἔχει.

Μὴ πανταχόθεν κέρδαινε. αἰσχύνας δέ μοι
τὸ μὴ δικαίως εὐτυχεῖν. ἔχει φόβον
ὁ τρισκακοδαίμων, ὅστις ἐκ φειδωλίας
κατέθετο μῖσος διπλάσιον τῆς οὐσίας.

Θεοκρίτου. Κάλλιον ὦ πιμελητὰ φιλάργυρε τὸν φακὸν ἕψειν,
μὴ πιτάμῃς τὰν χεῖρα διαπρίων τὸ κύμινον.

Μενάνδρου. Ἀνοργίαν ἔχει τινὰ ὁ σκληρὸς βίος.

Ἀπολλοδώρου. Ἀλλὰ σχεδόν τι τὸ κεφάλαιον τῶν κακῶν
εἴρηκας, ἐν φιλαργυρίᾳ γὰρ πάντ᾽ ἔνι.

Ἀντιφάντος. Ὦ δυστυχεῖς, ὅσοισι τοῖς κέρδους χάριν
ἐπίπροσθε τἀισχρὰ φαίνετ᾽ εἶναι τῶν καλῶν,
ἐπισκοτεῖ γὰρ τοῦ φρονεῖν τὸ λαμβάνειν.

Μενάνδρου. Περὶ χρημάτων λαλεῖς ἀβεβαίου πράγματος;
εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι
πάντα τὸν χρόνον, φύλαττε, μηδενὶ ἄλλῳ
μεταδιδούς, αὐτὸς ὢν δὲ κύριος.

lego ἀλλ᾽ ἐπ᾽ ἑαυ. † εἰ δὲ μὴ δι᾽ ἑαυτόν, τῆς τύχης δὲ πάντ᾽ ἔχεις,
τί ἂν φθονοίης ὦ πάτερ τούτων τινί;
αὕτη γὰρ ἄλλῳ τυχὸν ἀναξίῳ τινὶ
παρελομένη σοῦ πάντα προσθήσει πάλιν.
διόπερ ἐγώ σε φημὶ δεῖν ὅσον χρόνον
εἶ κύριος, χρῆσθαί σε γενναίως πάτερ.
αὐτὸν ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποιεῖν,

addo εἶναι. ὡς ἂν δύνῃ πλείστους διὰ σαυτοῦ †
τοῦτο γὰρ ἀθάνατόν κἄν ποτε πταίσας τύχῃς,
ἐκεῖθεν ἔσται ταὐτὸ τοῦτό σοι πάλιν.

Πολλῷ δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος,
ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις.

Εὐσεβίου. Ἀνὴρ μεγάλα ἔχων χρήματα ἀποτεθησαυρισμένα, ἔπειτα γνώμῃ μὴ τῇ ἑαυτοῦ οὐ μηδὲν τῶν δεόντων οἷός τε ἐὼν αὐτοῖς χρέεσθαι, ἔοικε τοῦ τὰ ἐν τοῖς δημοσίοις ἀποκείμενα πεπιστευκότι ἑωυτοῦ εἶναι. δόξῃ μὲν γὰρ ὁμοίῃ πλουτέουσι. τόπερ δὲ τοῦ κεκτῆσθαί ἐστιν οἰκήϊον, τοῦ αὐτοῖς χρέεσθαι, ἀπεστέρηνται ὁμοίως ἀμφότεροι.

Θεοπόμπου. Εἴ τις πλεῖστα τῶν ἀγαθῶν κεκτημένος, μετὰ τοῦ λυπεῖσθαι διάγοι τὸν βίον, ἁπάντων ἂν εἴη καὶ τῶν ὄντων, καὶ τῶν ἐσομένων, ἀθλιώτατος.

Δημοκρίτου. Οἱ φειδωλοὶ τὸν τῆς μελίσσης † σίτον ἔχουσιν, ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι.

† lego τρόπον. Οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀρέοντες, ἢν ἑνὸς μόνου μὴ τύχωσι, καταφερόμενοι ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται. χαλεπὸν δὲ τυχεῖν ἑνός. τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν. οὕτω δὲ καὶ οὗτοι ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύπου τοῦ ἐπιμελέος, καὶ φειδωλοῦ, φιλέουσι διαφθείρεσθαι.

Φειδώ τοι καὶ λιμός, χρηστή, ἐν καιρῷ δὲ καὶ δαπάνη, γινώσκειν δὲ ἀγαθοῦ.

Ἀντιφῶντος. Εἰσί τινες, οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν: ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα. καὶ ἐν τούτῳ παραλειπόμενος ὁ χρόνος οἴχεται.

Μητροδώρου. Ἑτοιμάζονταί τινες διὰ βίου τὰ πρὸς τὸν βίον, βιωσόμενοι μετὰ τὸ λεγόμενον ζῆν, οὐ συνορῶντες, ὡς πᾶσιν ἡμῖν θανάσιμον ἐγκέχυται τὸ τῆς γενέσεως φάρμακον.

Βίος

Nec parricida, aut sanguine iunctis inimico.

Nunquam prædiuitem fœlicem existimaui *Menandri.*
Hominem, bonis non uteretur qui suis.

Ne lucrum undecunque captes. Sed pudor adsit
Quo minus per nefas conquiras opes. Semper sibi timet
Ter miser ille, qui præ parcitate
Odium sibi peperit, partis opibus duplo maius.

Decoque lenticulam, satius tibi pastor auare, *Theocriti.*
Quàm læsisse manus, resecas dum falce cyminum.

Inhumana res est duritas uitæ. *Menandri.*

Propemodum caput malorum nominasti, *Apollodori.*
Auaritiæ etenim insunt omnia.

O infœlices illos, quibus lucri ergo *Antiphontis.*
Turpia uidentur honestis præferenda.

Quippe prudentia accipiendo obnubilatur.

Diuitias, rem instabilem, commemoras. *Menandri.*
Eas si tibi mansuras censes
Perpetuò, custodi, nulli alij
Hominum communicans, solus ipsarum tibi dominus.
Si uero ne te ipsum quidem, licet omnia fortunæ bona habeas,
Quid est ò pater quod istorum inuideas alicui?
Fortuna enim alij fortassis alicui indigno
Omnia quæ tute nunc habes, te spoliato, donabit.
Quapropter sentio oportere te, quàm diu
Dominus es, ipsis liberaliter uti pater,
Omnibus opem ferre, dites efficere
Per te quàm plurimos ut possis amicos.
Hæc enim uirtus immortalis est, atque si forte exutus omnibus fortunis fueris,
Iterum ab illis, quos antea beasti, capies.

Longe præstantior est aperta uiri amicitia,
Quàm opertæ auri diuitiæ, quales tu defodijsti.

Vir cui magnæ sunt opes reconditę, qbus pro suo arbitrio ad res necessarias uti nõ audeat, similis est ærario quęstori publicũ thesaurũ suũ esse psuaso. Quantũ etenim ad opinionẽ, ex æquo uterque diues est. Vsum uero diuitiarũ, qui proprius est possidenti, non hic magis quàm ille habet. *Eusebij.*

Si dominus amplissimæ fortunæ tristẽ uitã transigat, næ ille mihi omniũ qui sunt, quique futuri sunt hominum, est miserrimus. *Theopompi.*

Qui parci præter modũ sunt, instar apicularũ operant, tanquã ppetuò uicturi. *Democriti.*

Stolidi parcorũ filij ubi quid à patria consuetudine exquisita illa & tenaci deciderint, perire solent: Nõ secus quã q inter gladios saltant, si uel semel aberrauerint in unico gladio, ubi pedibus niti debebant, intereũt. Est uero difficillimũ ne in uno quidem aberrare, cũ sola pedum angusta uestigia relinquantur.

Parsimonia & esuries, bona: suo autem tempore, sumptus etiam. Porrò uir bonus discernet.

Non desunt qui præsentem uitam non uiuunt, sed magno studio se parant, ceu uitam quandam aliam uicturi. Interea tempus ipsos deserit. *Antiphontis.*

Aliqui in uita præparant quæ ad uitam pertinent, uicturi post id quod uiuere dicimus, non aduertentes, letale nobis omnibus ipsum generationis effusum esse pharmacum. *Metrodori.*

Δημοκρίτου. Βίος ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος.

Πλουτάρχου. Οὐ μὴν ἀλλὰ καὶ μικρολογία, καὶ γλισχρότης ἐνίους ἀναγκάζει † πιεζομένους οἴκοι τὰς ἐπιθυμίας, καὶ κατισχναίνοντας, ἐμπιπλᾶσθαι παρ' ἑτέρων τῶν πολυτελῶν, καὶ ἀφειδεῖν, καθάπερ ἐκ πολεμίας ἀφειδῶς ἐπισιτιζομένους. εἶτα κακῶς διατεθέντες ἀπίασιν εἰς τὴν ὑστεραίαν ἐφόδιον τῆς ἀπληστίας, τὴν ἀπεψίαν ἔχοντες.

† al. πιεζοῦντας.

Θεόκριτος τοὺς πολλοὺς τῶν πλουσίων ἔλεγεν, ἐοικέναι πένησιν εἶναι, ἀλλὰ μὴ δεσπότας τῶν χρημάτων.

Εὐσεβίου. Ἄνδρα χρήματα μεγάλα ἔχοντα ἀποθησαυρισμένα, καὶ τοῦ θησαυρίζειν αὐτὰ τούτου εἵνεκα ἐπιθυμέοντα, καὶ ὅκως αὔξεται τοῖς παρεοῦσι προσθέειν, χρήματα μὲν ἔχοντα, μήτε δὲ ἐς ἑωυτὸν, μήτε ἐς ἄλλο τι τῶν χρησίμων ἀναλίσκοντα, μήκοτε πλουτέειν ἀποφαίνειν. φύλακα δὲ καὶ ποριστὴν εἶναι ἀλλοτρίων χρημάτων, καὶ πόνους ἔχειν αἱρέεσθαι πολλάκις, καὶ τοῖς ἑωυτοῦ μηδὲν προσήκουσιν ἐπιθυμέοντα.

Ξενοφῶντος. Ὅπως δὲ καὶ τοῦτο εἰδέναις ὦ Κροῖσε. ἐγὼ γὰρ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάττοντας πλεῖστα, εὐδαιμονεστάτους ἡγοῦμαι. οἱ γὰρ τὰ τείχη φυλάττοντες, οὕτως ἂν εὐδαιμονέστατοι εἶησαν. πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν. ἀλλ' ὃς ἂν πλεῖστα κτᾶσθαί τε δύνηται σὺν τῷ δικαίῳ, καὶ χρῆσθαι πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω χρήματα.

Σωκράτους. Ὁ τοῦ φιλαργύρου πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

Ἐπικούρου. Γεγόναμεν ἅπαξ. δὶς οὐκ ἔστι γενέσθαι. δεῖ δὲ τὸν αἰῶνα μηκέτ' εἶναι. σὺ δὲ τῆς αὔριον οὐκ ὢν κύριος, ἀναβάλλῃ τὸν καιρόν. ὁ δὲ πάντων βίος, μελλησμῷ παραπόλλυται. καὶ διὰ τοῦτο ἕκαστος ἡμῶν, ἀσχολούμενος ἀποθνήσκει.

Ἀντιφῶντος. Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ, ἐδεῖτο οἱ δανεῖσαι ἐπὶ τόκῳ: ὁ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν τε καὶ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετό που δή. καί τις καταμαθὼν τοῦτο ποιοῦντα, ὑφείλετο. ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν, οὐχ εὑρίσκει τὰ χρήματα ὁ καταθέμενος. περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα, καὶ ὅτι οὐκ ἔχρησε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῶον ἦν, καὶ ἕτερον προσέφερεν. ἀπαντήσας δὲ τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ, ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε. καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι. ὡς πάντως οἱ ἀπολλόμενον τὸ ἀργύριον. ὁ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὐτὸ ἔχειν καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον. πάντως γὰρ οὐδ' ὅτε ἦν σοι, ἐχρῶ αὐτῷ. ὅθεν μηδὲ νῦν νόμιζε στέρεσθαι μηδενός. ὅτῳ γάρ τις μὴ ἐχρήσατο, μηδὲ χρήσεται ὄντος, ἢ μὴ ὄντος αὐτῷ, οὐδὲν οὔτε πλέον οὔτε ἔλασσον βλάπτεται. ὅταν γὰρ ὁ θεὸς μὴ παντελῶς βούληται ἀγαθὰ διδόναι ἀνδρὶ, χρημάτων πλοῦτον παρασχὼν, τοῦ φρονεῖν καλῶς πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος, ἑκατέρων ἀπεστέρησεν.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΕΓΚΡΑΤΕΙΑΣ, ΛΟΓΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ.

Σοφοκλέους. ΗΝ αἰσχρὸν αἰσχρῶς, τοῖς καλῶς πεφυκόσιν.
Οὐ γὰρ δίκαιον ἄνδρα γυναικῶν φρένας
τέρπειν, ὅπου μὴ καὶ δίκαια τέρψεται.

Χάρητος. Γαστρὸς δὲ παρὰ πᾶσιν ἀνίαν κρατεῖν,
μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν.
ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον.
ὅστις δὲ μὴ γαστρὸς κρατεῖν ἐπίσταται,
οὐκ πλείω † τῶν κακῶν ἔχει κακά.

† addo οὗτος.

Σοφοκλέους. Ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μὴ δὲ δρᾶν καλά.

Vita fine festiuitatibus, longa est uia fine diuersorijs. *Democriti.*

Veruntamen auaritia & tenacitas cogit aliquos repressis domi cupiditatibus, apud alios ingurgitari sumptuosis alimonijs, ijsq; frui ceu bello partis strenue commessando. Deinde male affecti discedunt, postridianam cruditatem pro mercede ingurgitationis habentes. *Plutarchi.*

Theocritus multos diuites non dominos rerum suarum, sed tutores esse dicebat.

Virum qui magnas opes reconditas habuerit, nec aliam ob causam quàm ut reponat conquirentem, quo semper aliquid præsentibus addat, etsi locupletem, nihil tamen neq; sui, neq; alterius utilitatis gratia insumentem, haudquaquam diuitem esse dixerim: sed custodem & alienis pecunijs comparandis natum, qui sæpenumero sibi labores creet, & res nihil ad se pertinentes augeat. *Eusebij.*

Vt autem & istud scias ô Crœse. Ego enim non illos qui plurima habent, & custodiunt plurima, fœlicissimos existimo: Nam hoc pacto qui mœnia tuentur fœlicissimi forent, ut qui omnia in ciuitatibus custodiant. Sed eum, qui tum plurima iure possederit, tum plurimis honeste fuerit usus, quod pecunias attinet fœlicissimum esse statuo. *Xenophontis.*

Hominis auari diuitiæ, quemadmodum sol post occasum, neminem uiuentium exhilarant. *Socratis.*

Semel nati sumus: bis nasci non licet: sed necessarium est ætatem finiri. Tu uero qui ne crastinum diem quidem in tua potestate habes, tempus differs. Omniũ uero uita cunctando perit: & hinc est quod unusquisq; nostrum inter negocia morit. *Epicuri.*

Fama est, quod cum uidisset quidam alterum argenti multum ferre, rogauerit eum, ut sibi mutuo daret cum fœnore reddendum. Ille uero noluit, ut qui diffideret omnibus, & neminem iuuaret. Itaq; quodam in loco argentum recondit. Et cum animaduertisset quidam, quid egisset, suffuratus est. Reuersus igitur ille postea, qui pecuniam absconderat, nihil inuenit: unde magno dolore motus est ob calamitatem tum aliàs, tum quia roganti non mutuo dederat pecuniam, quæ quidem & salua ei mansisset, & insuper attulisset fœnus: cumq; incidisset in uirũ cui mutuare prius noluerat, infortunium suum deplorauit, utpote qui peccasset: & pœnitere se dixit, quod ei non obsequutus, sed ingratus fuisset: Et prorsus ei omne argentum interijsse. Ille autem bono animo ipsum esse iussit, atque existimare lapidem eodem in loco à se depositum fuisse. Omnino enim ne cum habebas quidem argentum eo utebaris. Quamobrem etiam nunc ne putaueris te ulla re priuari. Illud etenim quo quis nec usus, nec usurus est, nihil siue præsens siue absens magis minúsue lædit. Nam cum Deus alicui non perfecte bona largiri instituit, exhibita pecuniarum copia, bonæ mentis inopem facit, atque ita ablato altero utrisq; priuat. *Antiphontis.*

DE CONTINENTIA ET SOBRIETATE, SERMO XV.

TVRPE est honesto loco natis, turpiter uiuere. *Sophoclis.*
Quippe non decet animi generosi uirum
Gaudijs non licitis delectarier.

Ventrem modis omnibus refrenare conaberis, *Charetis.*
Quandoquidem solus beneficijs acceptis ingratus est,
Semperq; plura sibi iusto postulat.
Quicunq; uero modum imperare uentri nescit,
Hic plura mala malis coaceruat.

Inhonesta factu, ne dictu quidem honesta sunt. *Sophoclis.*

ὅσοι δὲ φιλοσοφοῦντες ἐκμοχθοῦσί τι,
ἐν τοῦθ' ὑπάρχει τοῦ βίου γαστρὸς κρατεῖν.
διδάσκαλος γὰρ οὖσα ἡ εὐτέλεια σοφῶν,
καὶ τῶν ἀρίστων γίνεται βουλευμάτων.

Εὐριπίδου. * Ἐξουσία δὲ μήποτ' ἐντυχὼν τέκνον
(* Ἐξουσίαν δὲ μήποτ' ἐντυχών.) αἰσχροὺς ἔρωτας δημοτῶν διωκάθειν.
ὃ καὶ σίδηρον, ἀγχόνας τ' ἐφέλκεται,
χρησῶν πρηνήτων ἄν τις αἰσχύνῃ τέκνα.

Πυθαγόρου. Παντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ' ἐγκράτειαν.

Τί δαὶ, τοῖς ἀνθρώποις χρωμένοις ἐμμελῆ, καὶ εὐάρμοστον ἕξιν, πρός τε τοὺς διαφέροντας τρόπους εὐκοινώνητον, ἄρχειν τε καὶ ἄρχεσθαι δυναμένην, ἐν μέρει τοῦ προσήκοντι. τούτοις δ' ἕπεται τὰ ἔθη καὶ τὰ ἐπιτηδεύματα, περί τε ἐγκράτειαν ἡδονῶν, καὶ περὶ τὴν ἀρχὴν τῶν ἐπιθυμιῶν. ἀλλὰ δεῖ δὴ τῶν ἡδονῶν τὸ ἀκόλαστον ἐκ παντὸς τρόπου καὶ ἄμετρον ἐξορίζειν.

Φωκίων ὁ παῖς πλείω τῶν εἰωθότων ὄψων ἐπρίατο. ὁ δὲ, οἰμώξει ἔφη, ἐὰν τοῦ φαγεῖν πλείω ἐπιφαγεῖν παρασκευάζῃς.

Ἐκ τοῦ Σίμωνος. Μέμνησο μέντοι λιμοῦ καὶ δίψης. ταῦτα γὰρ δύναται μεγάλα τοῖς σωφροσύνην διώκουσι.

Πυθαγόρου. Ῥώμην μεγίστην καὶ πλοῦτον, τὴν ἐγκράτειαν κτῆσαι.

Πυθαγόρας παρηγγύα, μὴ πυκνὰ τὸν ἄνθρωπον ἀπὸ τοῦ ἀνθρώπου, μὴ δεῖν συνεχῶς ἀφροδισιάζειν ἀνιπτόμενος.

Ἀπολλώνιος εἰδομένη. Ἐζηλώσαμεν τὴν αὐτάρκειαν, οὐχ ὅπως τοῖς εὐτελέσι καὶ λιτοῖς † πάντων χρώμεθα, ἀλλ' ὅπως θαῤῥῶμεν πρὸς αὐτά.

† lego πάντα. Μηδέν με δόξῃς ῥᾳδίως ἄλλοις παραινεῖν. αὐτὸς γὰρ ἤδη τῆς μάζης, καὶ τῆς ἄλλης τῆς ἀκολούθου ταύτῃ διαίτης ὤν, τοιαῦτα ὑμῖν παρεγγυῶ.

Ὁ Διογένης καθαρὸν λαβὼν ἄρτον, ἐξέβαλε τὸ πέρας τὸν αὐτόπυρον, εἰπών. ὦ ξένε τυράννοις ἐκ ποδῶν μεθίστασο.

Σωκράτους. Ἑορτῆς οὔσης παρὰ τοῖς Ἀθηναίοις, ἐφιλοτιμήσατο ὁ Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι τῷ Σωκράτει. τῆς οὖν Ξανθίππης καταπλαγείσης, καὶ τὸν Σωκράτην λαβεῖν αὐτὰ ἀξιούσης, ἔφη. ἀλλὰ καὶ ἡμεῖς τῇ τοῦ Ἀλκιβιάδου φιλοτιμίᾳ παραταξόμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοι.

Ἀριστίππου. Κρατεῖ ἡδονῆς, οὐχ ὁ ἀπεχόμενος: ἀλλ' ὁ χρώμενος μὲν, μὴ προεκφερόμενος δὲ, ὥσπερ καὶ νεὼς καὶ ἵππου, οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται.

Περικλῆς Σοφοκλέους εὐπρεπῆ παῖδα δεικνύντος αὐτῷ: ὦ Σοφόκλεις εἶπε, τὸν σώφρονα στρατηγὸν, οὐ μόνον τὰς χεῖρας, ἀλλὰ καὶ τὴν ὄψιν ἔχειν παρ' ἑαυτῷ δεῖ.

Ἐκ τῶν Ἐπικτήτου. Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων φαντασιῶν φυλάσσου, μὴ συναρπάζου ταχέως. ἀλλὰ ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ μικρὰν ἀναβολὴν αὐτὸς παρὰ σαυτοῦ λάβε. εἶτα ἐπισκοπήσας τὴν φαντασίαν, καθ' οὓς ἔχεις κανόνας, μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὃν ἀπολαύσας μὲν τῆς ἡδονῆς ἡττώμενος μετανοήσεις, καὶ λοιδορήσεις σεαυτῷ. ἀπεχόμενος δὲ χαίρεις, καὶ ἐπαινεῖς αὐτὸς ἑαυτόν. ἐὰν δὲ σοι καιρὸν φαίνηται ἅψασθαι τοῦ πράγματος, μέμνησο ἵνα σου μὴ κρατήσῃ τὸ προσηνὲς αὐτοῦ καὶ ἀγωγόν: ἀλλὰ πειρῶ κρατεῖν τῶν ἡνιῶν.

Δημοσθένους. Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

Σωκράτης ἐρωτηθεὶς, τίνι τῶν ἄλλων ἀνθρώπων διαφέρει, εἶπε, καθόσον οἱ μὲν λοιποὶ ζῶσιν, ἵν' ἐσθίωσιν: αὐτὸς δὲ ἐσθίει, ἵνα ζῇ.

Ἐπικούρου. Χάρις τῇ μακαρίᾳ φύσει, ὅτι τὰ ἀναγκαῖα ἐποίησεν εὐπόριστα: τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα.

Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρημάτων προστίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει.

Quicunq; philosophicis se dedunt laboribus,
Addiscunt per uitam compescere uentrem.
Videlicet frugalitas est magistra
Sapientium optimorumq; consiliorum.

Nunquam fili potestatem nactus *Euripidis.*
Turpes amores popularium persequitor,
Quia ferrum, uariasq; uindictas sibi parat,
Quisquis bonorum etsi pauperum dedecore liberos notauerit.

Nihil egregiū comparatur quod non continentiæ labor præcesserit. *Pythagoræ.*

Homines quorū concinnus est & cōpositus animi habitus, facile cū diuersis ingenijs cōuersans, impare ac parere uicissim nō impigtus, mores & studia sequuntur à uoluptatibus abstinendi, imperandiq; cupiditatibus. Quod omnino enitendum est, ut quicquid infrene ac immoderatum uoluptates nobis iniecerint, omnibus modis exterminetur.

Phocioni filius plura solito obsonia coēmerat, itaq; cōminatus est si plura quàm secūdū naturā soleret p incontinentiā ingurgitaret, ipsum pœnas luiturum.

Famis atq; sitis non obliuisci oportet. Multum enim potest apud sobrietatis ac prudentiæ studiosos. *Simonis.*

Continentiam tibi ut robur ingens opesq;, parato. *Pythagoræ.*

Pythagoras admonebat, ne sæpe homo ab homine: hoc ænigmate frequēte uenereorum usu interdicens.

Commendamus frugalitatē, nō quod tanti res uiles ac minime sumptuosas faciamus, sed ut hoc pacto animi magnitudinem augeamus. *Apollonij.*

Ne me facile alios monere putaueris; ego enim maza utens, alioq; consimili uictu ista uobis consulo.

Diogenes panem album nactus, è pera cibarium eiecit, hunc uersum proloquens: Hospes tyrannis è uia decedito.

In festo quodā Athenis, ostentandi causa, Alcibiades, multa dona Socrati transmisit. Admirata Xanthippe magnificentiam, maritū ut acciperet rogauit. Ad quam ille: Imò detrectando munera cū ambitiosa uiri ostentatione certabimus. *Socratis.*

Moderatur uoluptati, nō q penitus abstinet, sed q hoc modo utitur, ut nō abripiatur cū ipsa. Vt naui & equo moderatur, haud qui nō utit, sed q, quo libuerit, ducit. *Aristippi.*

Pericles Sophocle formosum puerū sibi ostendente: ô Sophocles dixit, oportet frugi imperatorē, nō manus modo, sed oculos quoq; continere secum.

Cum aliqua uoluptatis animū phantasia subierit, obseruandū est id q̄d in omnibus, ne statim abreptū te præcipitem des. Negociū te expectet, tuq; tecū aliquantulum immoratus, cogitationē tuam diligenter inspectam secundum præscripta tibi præcepta examinato. Veniat autē tibi in mentem utrunq; tempus, & hoc quo uoluptati uictus, postquā ei satisfeceris, nihil tibi reliqui quā pœnitentiam, & tua aduersus te conuicia habebis: & illud, quo cū abstinueris, gaudebis atq; temet laudabis. Quod si tamē uoluptati locū dare opportunum tibi uideatur, fac ne in transuersum eius suauitate ac lenocinijs agaris, quin habenis semper fortiter utere. *Epicteti.*

Perpetuū hoc esse debet sapiētis institutū, ut rationē cupiditatū dominā cōstituat. *Demosthenis.*

Socrates rogatus quo nam à cæteris hominibus differret, respondit: Alij quidem uiuunt, ut edant: ego edo, ut uiuam.

Gratia est habenda naturæ beatæ, quæ necessaria parabilia fecerit: difficilia autem paratu, non necessaria. *Epicuri.*

Si quē uolueris diuitē efficere, nō est quod augeas opes sed minuas cupiditates.

Παροιμία. Ξενοκράτης, εἴ ποτε στάμνον οἴνου ἀνοίξειεν, ἔφθανεν ὁ οἶνος τρεπόμενος πρὶν ἀναλωθῆναι. καὶ τὰ ὄψα δὲ πολλάκις ἕωλα ἐξερρίπτει. ὅθεν καὶ ἡ παροιμία, τὸ Ξενοκράτους τυρείον, ἐπὶ τῶν ἐπὶ πολὺ παραμενόντων, καὶ μὴ τάχιστα ἀναλισκομένων.

Δημοκρίτου. Εὐγνώμων, ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει: ἀλλ' ὁ χαίρων ἐφ' οἷσιν ἔχει. τεθνάναι πολλῷ κρεῖττον, ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι.

Πυθαγόρου. Σωκράτης ἐγκράτειαν, τὸ κρατεῖν τῆς ἐν τῷ σώματι ἡδονῆς, ἔφη.

Χρύσιππος ὁ σολεύς, ἐποιεῖτο τὸν βίον ἐκ πάνυ ὀλίγων: κλεάνθης δὲ, καὶ ἀπὸ ἐλαττόνων.

Ἐπίκουρος ὁ γαργήττιος ἐκέκραγε λέγων. ᾧ ὀλίγον οὐχ ἱκανὸν, τούτῳ γε οὐδὲν ἱκανόν. ἔλεγε δὲ ἑτοίμως ἔχειν, καὶ τῷ Διὶ ὑπὲρ εὐδαιμονίας δεῖ ἀγωνίζεσθαι, μάζαν ἔχων καὶ ὕδωρ.

Σωκράτης ἐρωτηθεὶς, πῶς ἂν γένοιτό τις πλούσιος, εἰ τῶν ἐπιθυμιῶν ἔφη εἴη πένης.

Ξενοφῶντος. Εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε, κἀγαθὸν ἀνδρὶ κτῆμά ἐστιν, ἐπισκεψώμεθα, εἴ † τι προὐβίβαζε λέγων εἰς ταύτην τοιάδε. ὦ ἄνδρες, εἰ πολέμου ἡμῖν γενομένου βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ' οὗ μάλιστα αὐτοὶ μὲν σῳζοίμεθα: τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ' ὅν τινα ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς, ἢ οἴνου, ἢ ἀφροδισίων, ἢ πόνου, ἢ ὕπνου, τοῦτον αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν τὸν τοιοῦτον, ἢ ἡμᾶς σῶσαι, ἢ τοὺς πολεμίους κρατῆσαι; εἰ δὲ ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι, βουλοίμεθά τῳ ἐπιτρέψαι, ἢ παῖδας ἄρρενας παιδεῦσαι, ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς ταῦτα ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν, ἢ βοσκήματα, ἢ ταμιεῖα, ἢ ἔργων ἐπιστασίαν; διάκονον δὲ καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν; ἀλλὰ μὴν εἴγε μὴ δὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἂν, πῶς οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι τοιοῦτον γενέσθαι; καὶ γὰρ οὐχ ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα, ἑαυτοὺς δοκοῦσι πλουτίζειν: οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερὸς, αὑτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος. εἴγε κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. ἐν συνουσίᾳ δὲ, τίς ἂν ἡσθείη τῷ τοιούτῳ, ὃν εἰδείη τῷ ὄψῳ, καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις; καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον, ἢ τοὺς ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρώτην ἐν τῇ ψυχῇ κατασκευάζεσθαι; τίς γὰρ ἄνευ ταύτης, ἢ μάθοι τι ἀγαθὸν, ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων, αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; ἐμοὶ μὲν δοκεῖ νὴ τὴν Ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιούτου. δουλεύοντι δὲ ταῖς τοιαύταις ἡδοναῖς, ἱκετευτέον τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν. οὕτω γὰρ ἂν μόνως ὁ τοιοῦτος σωθείη.

† al. π.

Ἐκ τοῦ αὐτοῦ. Οὐκ οἶσθ' ὅτι, ὁ μὲν ἥδιστα ἐσθίων, ἥκιστα ὄψου δεῖται: ὁ δὲ ἥδιστα πίνων, ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ; τά γε μὴν ἱμάτια οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι, ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται: καὶ ὑποδήματα ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι. ἤδη οὖν ποτε ᾔσθου ἐμὲ, ἢ διὰ ψύχος μᾶλλον του ἔνδον μένοντα, ἢ διὰ θάλπος μαχόμενόν τῳ περὶ σκιᾶς: ἢ διὰ τὸ ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα ὅποι ἂν βούλωμαι; οὐκ οἶσθ' ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι μελετήσαντες, τῶν ἰσχυροτάτων ἀμελησάντων, κρείττους τε γίνονται πρὸς ἃ ἂν μελετήσωσι, καὶ ῥᾷον αὐτὰ φέρουσιν; † ἐὰν δὲ δὴ φίλοις, ἢ πόλει ὠφελεῖν δέῃ, ποτέρῳ πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ ὡς ἐγὼ νῦν, ἢ τῷ ὡς σὺ μακαρίζεις διαιτωμένῳ; στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν, ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ, πότερος ἂν θᾶττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥᾴστοις ῥᾴστως ἐντυγχάνειν ἀρκούντως χρώμενος; ἔοικας ὦ Ἀντιφῶν τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν, καὶ πολυτέλειαν εἶναι. ἐγὼ δὲ νομίζω, τὸ μὲν μηδενὸς δεῖσθαι, θεῖον εἶναι. τὸ δὲ, ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου. καὶ τὸ μὲν θεῖον, κράτιστον. τὸ δ' ἐγγυτάτω τοῦ θείου, ἐγγυτάτω τοῦ κρατίστου.

† Hic circiter 15 uersus interiacent in Halensi.

Ἐπικούρου. Βρυάζω τῷ κατὰ τὸ σωμάτιον ἡδεῖ, ὕδατι καὶ ἄρτῳ χρώμενος. καὶ προσπτύω ταῖς ἐκ πολυτελείας ἡδοναῖς. οὐ δι' αὐτὰς, ἀλλὰ διὰ τὰ ἐξακολουθοῦντα αὐταῖς δυσχερῆ.

Τότε

Xenocrates si quando uini cadum releuisset, in uappā cōuertebatur, antequā consumeretur: Sæpe & obsonia pridiana iam corrupta eiecit. Hinc natum est diuerbiū, Xenocratis caleolus, de rebus diu durantibus, quæ non facile absumuntur. *Prouerbium.*

Sapit qui neq; de rebus absentibus tristatur, neq; præsentibus lætatur. *Democriti.*

Satius est mori, quàm per incontinentiam animum obnubilare. *Pythagoræ.*

Socrates continentiam à corporis illecebris temperantiam uocabat.

Chrysippus Solensis admodum paucis uiuebat: Cleanthes etiam paucioribus.

Epicurus Gargettius exclamabat: Cui parū nō satis est, nihil sufficere potest: idē aiebat, cū quolibet se de fœlicitate certaturū, modo mazam & aquam haberet.

Socrates interrogatus, quo quis pacto opulentus euaderet, si cupiditatum fuerit inops, respondit.

Quod si bonū ac honestū hominibus continentia est, consideremus utrū introduxerit ad eam talia dicēs: O uiri si bello nobis indicto eligere hominē uelimus, per quē nostram salutē, ac aduersariorū conflictū consequuturi sumus: nū illum eligemus qui gulæ, Veneri, uino, & somno seruit, qui laborē perferre nō possit? At quo pacto cū talis ille sit, aut nos saluos facere, aut hostes nostros uincere possit? Si autē ab hac uita migraturi, uelimus testamento cuiquā filios educandos, aut filias uirgines conseruandas, aut custodiendā pecuniā relinquere, nū hominē incontinentem arbitrabimur aptū ad hæc esse? Seruo uero nō continenti cōmendabimus pecudes, ærariū, aut cuiusquā operis curā? Ministrū autē talem, aut emptorē, gratis etiā nobis datū, accipiemus? Quod si nec seruū incontinentē habere prodest, multo magis de nobis ipsis ne tales fiamus conabimur. Non enī ut iniusti, cū aliorū pecuniam arripiant, sibi ipsis diuitias accumulant: sic incontinēs, cæteris nocet, sibiipsi prodest: uerū cæteris etiā, sibi ipsi multo plus nocet. Siquidē perniciosissimū est, non modo suam domū destruere, sed nō minus corpus ac animā propriam. In conuersatione uero, quis uolet cū ipso conuersari, q cibo ac potu, ac meretricibus potius, quā amicis affectus sit? Nónne quemuis oportet, cū continentiā sciat uirtutis fundamentū esse, hāc primā in animā deponere? Quis nanq; sine ista aut quicquā disceret bonū, aut exercitatione perciperet? Aut quis uoluptuarius, nō omni turpitudine corpus animamq; suā polluet? Mihi enī uidetur optabile esse libero uiro, nec seruū talē habere. Quod si ipsemet huiusmodi seruiat uoluptatibus, deprecari deos oportet, ut bonos dominos consequi possit. Hoc enī modo dūtaxat talis homo seruari potest. *Xenophon lib. 1. de factis & dictis Socratis.*

An ignoras edentem auide minime epulis indigere: quiq; cum auiditate bibat, minime potū exquisitū absentem desyderare. At uestibus quicunq; diuersis utuntur, frigoris & æstus causa mutant, calceisq; pedes induūt, ne propter ea quæ pedes offendunt, ambulare impediantur. Dic igitur quæso, quando me comprehendisti aut frigoris causa plus cæteris domi manentem, aut æstus gratia pro umbra cū aliquo contendentē, aut propter pedū dolorē nō prodire quocunq; uellem? Nónne certo tenes, natura corporis imbecilles exercitatione fortiores ad ea, quæ meditantur, effici, ac facilius sustinere, quā illos, q corpore fortissimi, inexercitati tamē sunt? Cur igitur & me nō opinaris per exercitationē omnia posse sufferre facilius, te non exercitato? Propterea si quid amicis aut ciuitati prodesse oporteat, utri plus ocij ad hæc procuranda erit? an illi, qui ut ego affectus sum: an illi qui, ut tibi beatum uidetur, sic uiuat? Ad rem autē militarē, utrū qui sine sumptuoso uictu uiuere nō possit: an ille, cui satis est omne quod contigit, aptior iudicabitur? Aut utrū ille citius expugnabitur, qui raris & sumptuosis indigeat: an qui mediocriter utatur etiam communibus? Videris ò Antipho, fœlicitatem delicijs & diuitijs applicare. Ego autem, nullis indigere rebus, dijs appropriatum esse duco: minimis illorum qui quàm proximi superis sint: & deos quidem optimos omnibus: qui uero dijs appropinquant, proximos optimo existere. *Ibidē, paulo post*

Turget mihi pre uoluptate corpusculum. Aqua & pane utor, ad sumptuosas uoluptates expuo, nō tam ipsarū causa, quàm sequentiū ipsas incommodorum. *Epicurus.*

Τοῦ αὐτοῦ. Τότε χρείαν ἔχομεν τῆς ἡδονῆς, ὅταν ἐκ τοῦ μὴ παρεῖναι αὐτὴν ἀλγῶμεν. ὅταν δὲ τοῦτο μὴ πάσχωμεν, ἐν αἰσθήσει καθεστῶτες, τότε οὐδεμία χρεία τῆς ἡδονῆς. οὐ γὰρ ἡ τῆς φύσεως ἡδονὴ τὴν ἀδικίαν ποιεῖ ἔξωθεν, ἀλλ' ἡ περὶ τὰς κενὰς δόξας ὄρεξις.

Πλάτων πολλάκις διψῶν, ἐκ τοῦ φρέατος ἀνιμᾶτο ὕδωρ καὶ ἐξέχει, κολάζων τὴν ἐπιθυμίαν.

Ἐπίκουρος ἐρωτηθεὶς, πῶς ἄν τις πλουτήσειεν. οὐ τοῖς οὖσι προστιθεὶς, ἔφη, τῆς δὲ χρείας τὰ πολλὰ περιτέμνων.

Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα, μάλιστα τέρπει.

Δημοκρίτου. Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα, ἀτερπέστατα ἂν γίγνοιτο.

Ἀνδρεῖος, οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων.

Εὐσεβίου. Γνώμης ἀνδρὸς ἀρίστου ἀπόδειξις ἥδε. μὴ ἐπὶ τῷ σιτέεσθαι ἑωυτὸν νομίζειν γεγονέναι, μηδὲ ἐν τούτῳ τὴν ζωὴν ἡγέεσθαι: μούνου δὲ αὐτοῦ τοῦ ζώειν εἵνεκα ἀνθρώποις τροφὴν νομίζειν εὑρῆσθαι.

Ἐγκράτεια, καὶ σώματι ἀγαθόν. πρὸς γὰρ ὑγείην αὐτῷ ξυμμάχεται, καὶ σωφροσύνην ἐν ψυχῇ τίκτει. σωφροσύνη δὲ ἀστασίαστον, καὶ εὔδιον, καὶ βίον εἰρηναῖον ψυχῇ παρασκευάζει.

Μουσωνίου ἐκ τοῦ περὶ τροφῆς. Περὶ δὲ τροφῆς, εἰώθει μὲν πολλάκις λέγειν, καὶ πάνυ ἐντεταμένως, ὡς οὐ περὶ μικροῦ πράγματος, οὐδ' εἰς μικρὰ διαφέροντος. ᾤετο γὰρ ἀρχὴν καὶ ὑποβολὴν τοῦ σωφρονεῖν εἶναι, τὴν ἐν σιτίοις καὶ ποτοῖς ἐγκράτειαν. ἅπαξ δέ ποτε τῶν ἄλλων ἀφέμενος λόγων, οὓς ἑκάστοτε διεξῄει, τοιάδε τινὰ εἶπεν: ὡς χρὴ καθάπερ τὴν εὐτελῆ τῆς πολυτελοῦς τροφὴν προτιμᾶν, καὶ τὴν εὐπόριστον τῆς δυσποριστοῦ: οὕτω καὶ τὴν σύμφυλον ἀνθρώπῳ. τοιαύτην δὲ εἶναι σύμφυλον ἡμῖν, τὴν ἐκ τῶν φυομένων ἐκ γῆς, ὅσα τε σιτώδη ὄντα, καὶ ὅσα μὴ τοιαῦτα ὄντα δύναται τρέφειν καλῶς τὸν ἄνθρωπον. καὶ τῶν ἀπὸ τῶν ζώων οὐκ ἀναιρουμένων, ἄλλως δὲ χρησιμευόντων. τούτων δὲ τῶν βρωμάτων ἐπιτηδειότατα μὲν, οἷς αὐτόθεν χρῆσθαι ὑπάρχοι, δίχα πυρός: ἐπεὶ καὶ ἑτοιμότατα, οἷα δή τά τε ὡραῖα, καὶ τῶν λαχάνων ἔνια καὶ γάλα, καὶ τυρὸν, καὶ κηρία. καὶ ὅσα μέντοι δεῖται πυρὸς, ἢ σιτώδη, ἢ λαχανώδη ὄντα, καὶ ταῦτ' οὐκ ἀνεπιτήδεια, ἀλλὰ σύμφυλα ἀνθρώποις πάντα. τὴν μέντοι κρεώδη τροφὴν, θηριωδεστέραν ἀπέφαινε, καὶ τοῖς ἀγρίοις ζώοις προσφορωτέραν. εἶναι δὲ ταύτην ἔλεγε καὶ βαρυτέραν, καὶ τῷ νοεῖν τι καὶ φρονεῖν ἐμπόδιον. τὴν γὰρ ἀναθυμίασιν τὴν ἀπ' αὐτῆς θολωδεστέραν οὖσαν, ἐπισκοτεῖν τῇ ψυχῇ. παρὸ καὶ βραδυτέρους φαίνεσθαι τὴν διάνοιαν τοὺς πλείονι ταύτῃ χρωμένους. δεῖν δὲ τὸν ἄνθρωπον, ὥσπερ συγγενέστατον θεοῖς τῶν ἐπιγείων ἐστὶν, οὕτω καὶ ὁμοιότατα τρέφεσθαι τοῖς θεοῖς. ἐκείνοις μὲν οὖν ἀρκεῖν τοὺς ἀπὸ γῆς καὶ ὕδατος ἀναφερομένους ἀτμοὺς, ἡμᾶς δὲ ὁμοιοτάτην ταύτῃ προσφέρεσθαι τροφὴν ἂν εἴη, τὴν κουφοτάτην καὶ καθαρωτάτην. [ἄλλο λαμβάνοντες] † οὕτω δ' ἂν καὶ τὴν ψυχὴν ἡμῶν ὑπάρχειν καθαράν τε, καὶ ξηρὰν, ὁποία οὖσα ἀρίστη καὶ σοφωτάτη, εἰς πᾶν, (καθάπερ Ἡρακλείτῳ δοκεῖ λέγοντι, οὕτως αὖ γῆ ξηρὴ, ψυχὴ σοφωτάτη καὶ ἀρίστη.) νῦν δὲ ἔφη πολὺ χεῖρον ἡμεῖς τῶν ἀλόγων ζώων τρεφόμεθα. τὰ μὲν γὰρ, εἰ καὶ σφόδρα τῇ ἐπιθυμίᾳ ὥσπερ μάστιγί τινι ἐλαυνόμενα φέρεται πρὸς τὴν τροφὴν, ὅμως τοῦ γε πανουργεῖν περὶ τὰ βρώματα καὶ τοῦ τεχνιτεύειν ἀπήλλακται, ἀρκούμενα τοῖς παρατυχοῦσι, καὶ πλησμονὴν θηρώμενα μόνον, περαιτέρω δ' οὐδέν. ἡμεῖς δὲ τέχνας καὶ μηχανὰς ποικίλας ἐπινοοῦμεν, ὥστε τὴν ἡδονὴν τῆς τροφῆς ἐφηδύνειν, καὶ τὴν κατάποσιν κολακεύειν μειζόνως. εἰς τοῦτο δὲ προεληλύθαμεν λιχνείας, καὶ ὀψοφαγίας, ὥστε καθάπερ μουσικὰ καὶ ἰατρικὰ, οὕτω καὶ μαγειρικὰ πεποίηνται τινὲς συγγράμματα, ἃ τὴν μὲν ἡδονὴν, καὶ πάνυ αὔξει τὴν ἐν τῷ φάρυγγι, τὴν δ' ὑγίειαν διαφθείρει. πολὺ γοῦν κάκιον διακειμένους ὁρᾶν ἐστὶ τὰ σώματα, τοὺς περὶ τὰ βρώματα τρυφῶντας: ὧν εἰσὶν ἔνιοι παραπλήσιοι ταῖς κιττώσαις γυναιξί. καὶ γὰρ οὗτοι καθάπερ ἐκεῖναι, τὰ συνηθέστατα τῶν βρωμάτων δυσχεραίνουσι, καὶ τοὺς στομάχους διεφθαρμένους ἔχουσιν: ὅθεν ὥσπερ ὁ ἀχρεῖος σίδηρος συνεχῶς δεῖται στομώσεως: οὕτω καὶ οἱ ἐκείνων στόμαχοι ἐν τῷ ἐσθίειν, συνεχὲς στομοῦσθαι θέλουσιν, ἢ ὑπὸ ἀκράτου, ἢ ὑπὸ ὄξους, ἢ ὑπὸ βρώματός τινος στρυφνοῦ. ἀλλ' οὐχὶ ὁ Λάκων τοιοῦτος, ὃς ἰδών τινα,

Tum egemus uoluptate, cum eam abesse dolemus. Cum uero non ita afficimur, in tranquillo compositoq; sensu constituti, nihil nobis uoluptate opus est. Porrò non naturalis uoluptas aliquid damni extrinsecus nobis accersit, sed quæ intra nos est uanæ opinionis appetitio, ea uero lædit. *Idem.*

Plato sæpius siti laborans è puteo hauriebat aquam, iterumq; effundebat, ut ita cupiditatem castigaret.

Epicurus cũ quæreretur, qua quis arte ditesceret. Non si præsentibus adiecerit, respondit, sed usum ac necessitatem sibi persuasam circumciderit.

Dulcium quæ rarissima sunt, maxime delectant. *Democriti.*

Si quis modum excesserit, iucundissima quæq; iniucundissima fient.

Fortis est, non tantum hostium, sed & uoluptatum uictor.

Optime constituti animi hoc argumentũ est, non ad epulandũ se natũ existimare, neq; in eo uitã reponere: sed uiuendi tantũ gratia nobis alimenta dari iudicare. *Eusebij.*

Continentia & corporis bonum est, ad secundam ualetudinem ipsum promouens: & in anima temperantiam parit, quæ quidem uirtus tranquillam, serenam, & compositam animæ uitam adornat.

De uictu frequenter solebat diligenti ac seria oratione disputare, ut de non paruo negocio, neque parui momenti. Sentiebat etenim continentiam circa cibum & potum, initium & tanquam fundamentum ad recte sapiendum existere. Cum igitur aliquando alia dicendi argumenta, in quibus plærumq; uersabatur, omisisset, ita loqui incœpit: Omnino præferendum esse ut uilis precij uictum sumptuoso, ita parabilem exquisito, & homini familiarem, ei qui talis non esset, ut ferino. Familiaria autem nobis esse, quæ terra fundit, siue frumentacei generis, siue alia ad rectè nutriendum idonea: item quæ ab animalibus non occidendis, sed aliter iuuantibus, sumuntur. Rursus horũ maximè apta, quibus in promptu citra ignem uti liceat, hæc enim paratu facilima esse, ut plantarum fructus, quædam olera, lac, caseus, faui: non reijcienda tamen quædam, quamuis ignem requirant, ut frumentacea & oleracea nonnulla, cuncta enim ista homini familiaria esse. Ex carnibus autem alimentum, ferinum asserebat, & bestijs conuenientius. Hoc quoque grauius esse dicebat, cogitandi sapiendiq; impedimentum, impuros uapores parere, qui animam obnubilent: quamobrem ingenio tardiores fieri, qui huiusmodi uictu affatim utantur. Hominem uero decere, qui mortalium omnium dijs præcipuè cognatus sit, simillimo quoque ipsis modo ali. Dijs sufficere exhalationes à terris & aquis elatas, cui nos simillimum alimentum sumemus, si quod purissimum leuissimumq; fuerit elegerimus, ita fore ut anima nostra pura & sicca euadat, qualis uidelicet optima sapientissimaq; in omnibus habetur. Quemadmodum Heraclito uidetur, dicenti: Vt terra arida, sic anima sapientissima optimaq;. Istud sanè miserum est quod etiam brutis animalibus deteriores circa uictum simus. Siquidem bestiæ, etiamsi uehementi cupidine ceu flagello ictæ ad pabula ferantur, non tamen artificia improba præter naturam excogitata in uictu affectant, quin obuijs quibusq; contentæ, solam repletionem, nihil ulterius quærunt. At nos artes uarias, inuentaq; noua meditamur, quibus ciborum potuumq; uoluptatem gulæ blandiendo edulcemus. Vsq; adeo delicatum est & ingluuiei deditum nostrum seculum, ut sicut Musicæ & medicinalis artis, ita etiam culinariæ extent commentarij, qui gulam delicijs titillare docent, sanitati nocent. Hinc fit, ut qui ferculis delicientur, longe minus salubri ualetudine fruantur. Sunt aliqui dedicatuli picam expertis mulieribus non dissimiles: nam & ipsi ueluti illæ familiarissimos cibos fastidiunt, ore uentriculi corrupto. Itaque ut ferrum inutile acie noua semper eget, similiter & illorum stomachi inter edendum acui nunquã non postulant, siue mero, siue aceto, siue acerbo aliquo condimento. Quantum ab istis differebat Lacon ille, qui cum conspexisset quendam *Musonij in libro de alimentis.*

παρακειμένου αὐτῷ ὀρνιθίου τῶν πλειόνων καὶ πολυτελῶν, ὑπὸ τρυφῆς ἀναινόμενον φαγεῖν αὐτό, καὶ φάσκοντα μὴ δύνασθαι· ἀλλ' ἐγὼ ἔφη καὶ γυπὸς δύναμαι καὶ τράγου. Ζήνων δέ γε ὁ Κιτιεύς, οὐδὲ νοσῶν ᾤετο δεῖν τροφὴν προσφέρεσθαι τρυφερωτέραν, ἀλλ' ἐπεὶ ὁ θεραπεύων ἰατρὸς ἐκέλευεν αὐτὸν φαγεῖν νεοττὸν περιστερᾶς, οὐκ ἀνασχόμενος, ὡς μάνην, ἔφη, με θεράπευε. ἠξίου γάρ οἶμαι, μηδὲν μαλακώτερον ἐν τῇ θεραπείᾳ γίνεσθαι αὐτῷ, ἢ τῶν δούλων τινὶ νοσοῦντι, καὶ γὰρ ἐκεῖνοι θεραπεύεσθαι δύνανται, δίχα τοῦ τροφὴν λαμβάνειν πολυτελεστέραν, δύνασθαι ἂν καὶ ἡμᾶς. δεῖ δὲ μηδαμῶς τὸν ἀγαθὸν ἄνδρα, δούλου μηδενὸς εἶναι μαλακώτερον. διόπερ ὁ Ζήνων εἰκότως ἠξίου εὐλαβεῖσθαι τὴν πολυτέλειαν ἐν τῇ τροφῇ, καὶ μηδ' ἐπ' ὀλίγον ἐνδιδόναι πρὸς τὸ τοιοῦτον· ἐπείπερ ὁ ἐνδοὺς ἅπαξ, προέλθοι ἂν ἐπιπλεῖστον, ἅτε τῆς ἡδονῆς πολλὴν ἐχούσης αὔξησιν ἔν τε πόμασι, καὶ βρώμασι. ταῦτα μὲν τότε καινότερα ἔδοξεν ἡμῖν εἰπεῖν περὶ τροφῆς, ὧν εἰώθει λέγειν ἑκάστοτε.

Ξενοφῶντος ἐν πρώτῃ ἀπομνημονευμάτων.

Διαίτῃ δὲ, τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαρραλέως καὶ ἀσφαλῶς διάγοι, καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ' οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε. καὶ ἐπὶ τούτῳ οὕτω παρεσκευασμένος ᾔει, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου, ὄψον αὐτῷ εἶναι. ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη. εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐλθεῖν ἐπὶ δεῖπνον, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν, συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα μὴ πεινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν. καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας καὶ κεφαλάς, καὶ ψυχάς, ταῦτα ἔφη εἶναι. οἴεσθαι δ', ἔφη ἐπισκώπτων, καὶ τὴν Κίρκην ὗς ποιεῖν τοιούτοις πολλοῖς δειπνίζουσαν. τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ τε ὑποθυμοσύνῃ, καὶ αὐτὸν ἐγκρατῆ ὄντα, καὶ ἀπεχόμενον τὸ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐ γενέσθαι ὗν. τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν, ἅμα σπουδάζων. ἀφροδισίων δὲ παρῄνει τῶν καλῶν, ἰσχυρῶς ἀπέχεσθαι, οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον σωφρονεῖν.

Ἐν τετάρτῳ ἀπομνημονευμάτων.

Εἰπέ μοι ἔφη ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι, καὶ ἀνδρὶ καὶ πόλει κτῆμα, ἐλευθερίαν; ὡς οἷόν τέ γε μάλιστα ἔφη. ὅστις οὖν ἄρχεται ὑπὸ τῶν τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα νομίζεις τοῦτον ἐλεύθερον εἶναι, ἥκιστα ἔφη. ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα. εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὸ ταῦτα ποιεῖν ἀνελεύθερον νομίζεις; παντάπασιν ἔφη. παντάπασιν ἄρα σοι δοκοῦσιν, οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; νὴ τὸν Δί' εἰκότως. πότερα δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; οὐδὲν ἧττον ἔμοιγ' ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζεσθαι, ἢ ἐκεῖνα κωλύεσθαι. ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; ὡς δυνατὸν νὴ Δί' ἔφη κακίστους. δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; ἐγὼ μὲν ἔφη, τὴν παρὰ κακίστοις δεσπόταις. τὴν κακίστην ἄρα δουλείαν, οἱ ἀκρατεῖς δουλεύουσιν; ἔμοιγε δοκεῖ ἔφη. σοφίαν δὲ τὸ μέγιστον ἀγαθόν, οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία, εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι, καὶ καταμανθάνειν αὐτὰ κωλύειν, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε, καὶ τῶν κακῶν, ἐκπλήξασα ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι. γίνεται τοῦτο ἔφη. σωφροσύνην δὲ ὦ Εὐθύδημε, τίνι ἂν φαῖμεν ἧττον, ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία, σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. ὁμολογῶ καὶ τοῦτο ἔφη. τοῦ δ' ἐπιμελεῖσθαι ὧν προσήκει, οἴει τι † κωλυτικώτερον ἀκρασίας εἶναι; οὔκουν ἔγωγε ἔφη. τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; οὐδὲν ἔφη. οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων, ἢ τὴν ἀκρασίαν, εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν καὶ τὸ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον εἶναι.

ἄλ. κωλυτικώτερον.

εἰκὸς

preciosam auiculam sibi appositam præ fastidio renuere: at mihi dixit etiam uultur & hircus sapiunt. Ita enim Zeno Citiensis ne per morbum quidem cibo magis delicioso fruendum opinatus est. Igitur medico columbinum pullum consulente, ipse consilij impatiens, non secus quàm Manem, si ægrotaret, curari se iussit. Nimirum uolebat, nō se mollius tractandum, quàm ægrum aliquem seruum: Si enim absq; sumptuosis alimentis recuperare sanitatem serui possunt, quid idem nobis futurum prohiberet? Sanè indignum est uirum bonum, ullo se seruo molliorem præstare. Quamobrem merito Zenon lautelas magno redemptas caueri consuluit, & ne parum quidem ipsis indulgere, loco enim semel dato cupiditati, in inmensum crescit: & hoc sibi peculiare habet ciborum atq; potuum luxuria, ut semel cœpta magis magisq; augeatur. Hæc tum ille de uictus frugalitate, præter sermonum suorum cōsuetudinem, ueluti noua dicere nobis est uisus.

Xenophontis in primo libro de factis & dictis Socratis.

Tali autem modo uiuendi corpus ac animam castigauit, quo quispiam usus, nisi quid diuinum impediat, facilime atq; secure degat, tantoq; sumptu non careat. Tam enim paucis utebatur, ut nescio quis tam modicum laboraret, qui non posset lucrari, quæ Socrati satis essent. Cibo nanq; tam parcè utebatur, ut iucunde comederet: atq; ad illum ita ibat paratus, ut pro obsonio sibi esset cupiditas comedendi. Potus uerò omnis erat ei gratus, propterea quod nunquam bibebat nisi sitiret. Si quando uero in conuiuium conuocatus uoluisset ire, à quo difficillimum plurimis cauere est, præterquam deceat saturari, facilimè ipse ab illo cauebat. Qui uero hoc facere non poterant, his consulebat abstinere ab illis, quæ persuadent non famescendo comedere, neq; sitiendo bibere. Hæc enim esse aiebat, quæ uentribus, capitibus, atque animis noceant. Arbitrari autem, iocando dicebat, idcirco sues homines effectos à Circe, quoniam multis talibus ipsos nutriuerit: Vlyssem autem partim Mercurij consilio, partim abstinentia sua, suem factum non fuisse: huiuscemodi de his serio simul ac ioco dicebat. De rebus uero Venereis superandis, admonebat à pulchris abstinere uehementer. Non enim esse facile aiebat, cum tales homo tangat modestum esse.

Eiusdem lib. 4. de factis & dictis Socratis.

Dic mihi, inquit, ô Euthydeme, putas ne bonam magnamq; possessionem homini atq; ciuitati libertatem esse? Maximam, inquit. Quicunq; igitur corporeis seruit libidinibus, & ob eas nequit, quæ sint optima, exequi, putásne tu hunc esse liberū? Minime inquit. Fortassis homine libero dignū uidetur tibi, posse agere quæcunq; bona sint: deinde habere, qui interpellant huiusmodi facere, seruile quippiam deputas? Omnino, inquit, puto. Omnino igitur tibi uidentur incontinentes etiā non liberi esse. Per Iouem, ait, & meritò. Vtrum incontinentes uidentur tibi prohiberi ea facere quæ honesta sunt, an & cogi ea facere, quæ turpia? Non minus hæc mihi uidentur cogi agere, quàm & illa prohiberi. Quales tu dominos putas, qui bona prohibēt, & turpia cogunt? Hercle quā pessimos. Seruitutē quā tu putas esse pessimā? Ego, inquit ille, hanc quæ apud pessimos dominos feratur. Pessimam igitur seruitutē incontinentes seruiunt? Mihi ait uidetur. Sapientiam uero maximū bonū, nōne tibi uidetur ab hominibus auferendo, contrariam in partem eos concitare incontinentia? Nanq; prohibens attendere, & ea discere quæ profutura sint, eos attrahit ad uoluptates: & cum pluries bona malaq; discernant, illa absterriti peiora pro melioribus eligunt. Fit quidem, inquit. Castitatem atq; moderantiam cuinam dicemus minus conuenire, quàm incontinenti? Ipsa enim moderantia, atq; incontinentia opera contraria sunt. Fateor, inquit. Putas ne, inquit, earum rerum studia, quibus uacare in primis oportebat, aliunde magis quàm ab incontinentia impediri? Minime uero. At quod pro utilibus quæ lædant efficit ut eligas: quodq; ut in horum studio perseueres, illa negligas suadeat, cogatq; ea facere quæ immodesta sint, putásne homini hoc dari peius posse? Nihil. Continentiam igitur contrariorum uerisimile est causam hominibus esse, quàm incontinentiam? Vehementer, inquit. Causam, inquit, contrariorū uerisimile est optimam esse?

εἰκὸς γὰρ ἔφη. ἔοικεν ἄρα ἔφη ὦ εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἐγκράτειαν εἶναι; εἰκότως γὰρ ἔφη ὦ σώκρατες. ἐκεῖνο δ᾽ ἔφη ὦ εὐθύδημε ἤδη πώποτε ἐνεθυμήθης; ποῖον ἔφη; ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ᾽ ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν, οὐ δύναται ἄγειν, ἡ δ᾽ ἐγκράτεια πάντων μάλιστα, ἥδεσθαι ποιεῖ. πῶς ἔφη; ὥσπερ ἡ μὲν ἀκρασία οὐκ ἐῶσα καρτερεῖν, οὔτε λιμὸν,, οὔτε δίψος, οὔτ᾽ ἀφροδισίων ἐπιθυμίαν, οὔτε ἀγρυπνίαν, δι᾽ ὧν μόνον ἔστιν, ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν, καὶ ἀφροδισιάσαι: ἡδέως δ᾽ ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι καὶ περιμείναντας καὶ ἀνασχομένους, ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται, κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι. ἡ δ᾽ ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης, ἐπὶ τοῖς εἰρημένοις. παντάπασιν ἔφη ἀληθῆ λέγεις. ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι, καὶ τῶν τοιούτων τινὸς, δι᾽ ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθροὺς κρατήσειεν, ἀφ᾽ ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται. οἱ μὲν γὰρ ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτά. οἱ δὲ ἀκρατεῖς, οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς; καὶ ὁ εὐθύδημος, δοκεῖς μοι ἔφη ὦ σώκρατες λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν, πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. τί γὰρ διαφέρει ὦ εὐθύδημε ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ † ἀκρατεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ᾽ ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων. ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας, καὶ τὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι. καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι, ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα.

ἀλ. ἀμαθεστάτῳ.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΑΚΡΑΣΙΑΣ.

ΛΟΓΟΣ Ις´

Σοφοκλέους.

Τι ταῦτ᾽ ἐπαινεῖς; πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
ἥσσων μὲν ὀργῆς ἐστί, τοῦ δὲ νοῦ κενός.
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην,
ἄκων ἀκούειν, οὓς ἑκὼν εἴπῃ κακῶς.

Σελλεία.

Ὡς οὐκ ἀνεκτὸς, ὅστις ἦ πάροινος ὢν
ἢ καὶ μεμηνὼς, εἰς μὲν αὐτὸν ἀσφαλὴς,
ἀεὶ ποτ᾽ οὐδὲν, εἰς δὲ τοὺς πέλας νοσεῖ.

Ἐρατοσθένους.

Οἶνός τε πυρὶ ἴσον ἔχει μένος, εὖτ᾽ ἂν ἐς ἄνδρα
ἔλθῃ, κυμαίνει δ᾽ οἷα λίβυσσαν ἅλα
Βορρῆς ἠὲ νότος. τὰ δὲ, καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ᾽ ἀνδρῶν πάντ᾽ ἐτίναξε νόον.

Μενάνδρου.

Ὁ πολὺς ἄκρατος, ὀλίγ᾽ ἀναγκάζει φρονεῖν.
Οὐ γὰρ τὸ πλῆθος ἂν σκοπῇ τις τοῦ ποτοῦ
ποιεῖ παροινεῖν, τοῦ πιόντος δ᾽ ἡ φύσις.

Φιλήμονος.

Τί δεῖ ζῆν ὄφελος ᾧ μή ᾽στι τὸ ζῆν εἰδέναι;
Ἀλλ᾽ οἶνος ἦν. οὐδεὶς δὲ μεθύων ἂν σκοπῇς,
ὃς οὐχὶ δοῦλός ἐστι τοῦ πεπωκέναι.
ὅσα μ᾽ οὗτος ἠνάγκαζεν, ἐποίουν ταῦτ᾽ ἐγώ.
ὁ πονηρὸς οἶνος οὗτος οὐδὲ νικοφῶν.
Ἅπας πονηρὸς οἶνος ὁ πολὺς ἔστ᾽ ἀεί.
ἐμέθυον. ἱκανὴ πρόφασις εἰς τὸ ἁμαρτάνειν.

Θεόγνιδος.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη

ἄνδρας

Est quidem,inquit. Videtur igitur ô Euthydeme,ait,optimum omnium esse continentia. Meritò,ô Socrates. Illud autem ô Euthydeme, consyderasti ne unquam? Quidnam,inquit. Quoniam,ait,& ad uoluptates,ad quas sola homines uidetur ducere incontinentia,ipsa quidem non potest perducere,continentia uero maiores efficit uoluptates. Quid ita? inquit. Quemadmodũ,inquit,incõtinentia nõ famẽ, non sitim aduentare permittens,neq; Veneris desyderium,neq; uigilias,per quæ sola uoluptuose edere,bibere,Venere uti,quiescere, atq; dormire possit, prohibet necessarijs & continuis uoluptatibus perfrui: sic contrà, cum sola continentia desyderari ista faciat, sola etiam perfrui rectè uoluptatibus facit. Vera profectò narras,inquit. Atqui,ait,dicere quæ honesta & bona sunt, inq; studijs rerum earum uersari, per quæ suum quisq; corpus bene regat, & propriam domum bene gubernet,amicisq; atq; patriæ fiat utilis, & inimicos superet, à quibus non solum utilitates, sed & uoluptates quoq; maximè capiantur,his omnibus continentes perfruuntur,cum quæ diximus faciant: incontinentes uero in nullo participant. Cui nanq; minus hæc dicemus conuenire,quàm illi cui minime licet hæc agere,dum propinquis tenetur uoluptatibus? Atqui Euthydemus: Videris mihi ô Socrates dicere,homini uoluptatibus seruienti,nullam unquam uirtutem conuenire. Quid enim interest,ait,ô Euthydeme,inter hominem incontinentem,& belluam? Nam quicunq; ea, quæ optima non sint,cogitat,uoluptuosa uero omnibus quærit modis exequi, quid à pecudibus differt? Solis igitur continentibus licet ea cogitare,quæ optima sunt,& dicere,ac facere,ac rerum quidem discrimina secundum genera disgregare, bona eligere,mala secludere,quo optimi atq; fœlicissimi reddantur, & bonorum docti ratiocinatores. Nam & aiebat rectè differere dici, quod in unum consultantes conueniant, rerum genera discernentes,seligentesq;.

DE INCONTINENTIA, SERMO XVI.

QVID ista laudas? Omnis profectò ebrius *Sophoclis.*
Ira facile uincitur,& uacuus est mente.
Itaq; solet ei usu uenire,ut postquã linguam temere exonerauerit,
Vicissim illos etiã nolens audiat,quibus ipse uolens male dixerat.
Quàm non ferendus est,qui uel ex temulentia, *Scleria.*
Vel insania,sibi quidem innocuus
Semper, conuersantium autem damno mente laborat.
Vinum igni æqualem habet uim: Vbi hominem *Eratosthenis.*
Subierit,quem conturbat,ut Libycum mare
Aquilo,uel auster. Itaq; prodit latentia
In mentis recessu,animumq; uniuersum concutit.
Merum copiosum parum cogit sapere. *Menandri.*
Non ipsa potus copia, si quis consyderet,
Debacchari cogit,sed potantis ingenium.
Quid illum uiuere iuuat,qui uitam suam nescit. *Philemonis.*
Vinum in causa est. Nullum enim bene potum, si quæras,
Inueneris,qui non à potu,tanquam seruus,sit domitus.
Quicquid me uinum coëgit,id admisi.
Malum uinum est,ô Nicophôn.
Nimium uinum omne semper est malum.
Ebrius eram. Scilicet prætextus hic ad peccandum satis est.
Turpe est ebriosum uiris sobrijs conuersari, *Theognidis.*

ἄνδρας, ὅσοι μοίρης πλεῖον ἐθέλουσιν ἔχειν.

† al. ἐλεγεῖον, in utroq; uersu. * al. νήφοντ'.

† Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσιν * νήφουσ' εἶναι.
αἰσχρὸν δ' εἰ νήφων παρ μεθύουσι μένει.
οἶνος πινόμενος πολὺς, κακός. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ' ἀγαθός.

Αἰσχύλου.
Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

Θεόγνιδος.
Ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς, οὐδὲ νόου.
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσιν γίνετ' αἰσχρὰ,
αἰδεῖται δ' ἔρδων οὐδὲν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γιγνώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην.
ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο, μή σε βιάσθω
γαστὴρ, ὥστε κακὸν λάτριν ἐφημέριον.
ἄφρον ὁ ἀνδρὸς ἄγαν, καὶ σώφρονος οἶνος, ὅταν δὴ
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Τοῦ αὐτοῦ.
Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ. κακότητα δὲ πᾶσαν ἐλέγχει,
ὥστε καταισχύνειν, καὶ τὸν ἐόντα σοφόν.
οἰνοβαρέω κεφαλὴν ὀνομάκριτε, καί με βιᾶται
οἶνος. ἀτὰρ γνώμης, οὐκέτ' ἐγὼ ταμίης
ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει, ἀλλ' ἄγ' ἀναστὰς
πειρήσω, μήπως καὶ πόδας οἶνος ἔχει,
καὶ νόον ἐν στήθεσι, δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθεὶς, καὶ μέγ' ὄνειδος ἔχω.

Ὁμήρου.
Οἶνος δὲ πολύφρονά περ μάλ' ἀεῖσαι,
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε.
καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.

Μενάνδρου.
Χαλεπὸν ὅταν τίς ὢν πίνῃ πλέον λαλῇ,
μηδὲν κατειδὼς, ἀλλὰ προσποιούμενος.

Εὐριπίδου.
Νῦν δ' οἶνος ἐξέστησέ μ', ὁμολογῶ δέ σε
ἀδικεῖν, τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον.

Φιλιππίδου.
Οὐκ ἔστιν, ἐμεθύσθην πάτερ, λέγοντα νῦν ἡμαρτον, ὥστε πρὸς σέ με συγγνώμης τυχεῖν.
ὁ γὰρ εἰς τὸν ἀσθενῆ βίᾳ τί πάμφιλε ποιῶν, ὑβρίζειν, οὐχ ἁμαρτάνειν δοκεῖ.

Γαννασίδου, al. Πανύασιδος.
Ξεῖν' ἄγε δὴ καὶ πῖν', ἀρετή τίς ἐστι καὶ αὕτη.
ὅς κ' ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ
εὖ καὶ ἐπισταμένως, ἅμα τ' ἄλλον φῶτα κελεύῃ.
ἶσον δ' ὅστ' ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ
ὑσμίνας διέπων ταλαπενθέας, ἔνθα τε παῦροι
θαρσαλέοι τελέθουσι, μένουσί τε θοῦρον ἄρηα.
τοῦ μὲν ἐγὼ θείμην ἶσον κλέος, ὅς τ' ἐνὶ δαιτὶ
τέρπηται παρεὼν, ἅμα τ' ἄλλον λαὸν ἀνώγῃ.
οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς, οὐδὲ βιῶναι
ἀνθρώποιο βίον ταλασίφρονος, ὅς τις ἀπ' οἴνου
θυμὸν ἐρητύσας πίνει ποτὸν ἄλλο νεόφρων.
οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ,
ἐσθλὸν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς,

Viros, qui plus sua sorte habere uolunt.

Turpe est uirum ebrium apud sobrios esse.
Turpe item si sobrius cum ebrijs fuerit.
Vinum, si bibas multum, noxium est: at si quis ipsum
Bibat prudenter, iam non malum, sed bonum est.

Aes formæ speculum est, uinum mentis. *Aeschyli.*

Quisquis bibendo modum superauerit, is non amplius *Theognidis.*
Suæ linguæ compos est, neque mentis.
Verba effatur balba, quæ sobrijs dedecus fiunt.
Nullo enim quodlibet agendi pudore ducitur, quamdiu fuerit ebrius.
Qui prius sapiebat, tum stultus efficitur. Hæc tu
Animaduertens, uinum ne supra modum ingurgitaueris.
Sed prius surge quàm inebrieris, ne te sibi subijciat
Venter tanquã mediastinũ improbũ quotidianis laboribus inseruientem.

Tam stolidi quàm sapientis, uinum
Immoderatè potum, leuissimum reddit animum.

Igne aurum argentumque uiri periti
Dignoscunt: at uino humanus animus arguitur,
Licet admodum sapiens: uitium omne detegitur,
Ita ut uerecundia prudentes quoque afficiantur.
Doleo caput Onomacrite, uim mihi facit
Vinum, animique non sum amplius compos
Mei: ædes rotantur. Quin age surgens
Experiar, an & pedes uinum inuaserit,
Et animum intra pectus. Sed metuo ne quid temere
Committam inebriatus, unde mihi magnum probrum pariam.

Vinum quamuis sapientissimum cantare, *Homeri.*
Molliter ridere, & tripudiare impulit.
Hoc etiam protulit uerba, quæ satius tacita fuissent.

Molestum est si quis præ uino nimis loquatur, *Menandri.*
Ea quæ nescit callere simulans.

Nunc uinum me mente priuauit, & fateor tibi *Euripidis.*
Iniurium me fuisse, sed inscium & inuitum. *Filius loquitur.*

Non ita res est, ut tu nunc ais: ebrius fui pater, peccaui, proinde mihi ueniam dare debes. Qui enim Pamphile quidpiam per uim aduersus imbecilliorem egerit, is non peccare simpliciter, sed iniuriari uidetur. *Pater loquitur.*

Age dum hospes, quin bibis: Hoc etiam uirtutis est, *Panyaßidis.*
Si quis in uirorum conuiuio plurimos calyces exiccauerit
Rectè sciteque, aliumque simul prouocauerit.
Tam inter epulas fortis uir esse potest, quàm qui in bello
Pugnas sequitur luctuosas, in quibus pauci
Animosi sunt, ac Martem impetuosum excipiunt.
Huic ego illum æquali laude contulerim, qui epulis
Assidens gaudet, aliumque pariter cœtum incitat.
Non enim uiuere illum mortalem iudico, neque agere
Vitam hominum ærumnosorum, quicunque à uino
Animum abstinens, potionem aliam stultus hauserit.
Etenim uini non minor quàm ignis est mortalibus utilitas
Bona, malorum amuletum, omnis cantilenæ comes,
Inest uino sacra pars Thaliæ & Aglaiæ Gratiarum,

ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος, ἀγλαΐης τε,
ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος.
(ἐν δ' αὖτε μὲν ὕβρης, καὶ δυσφροσύνης ἀλεγεινῆς.)
τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ,
πίνειν. μηδὲ βορῇ κεκορημένον ἠΰτε γῦπα,
ἧσθαι πλημμύροντα λελασμένον εὐφροσυνάων.

Πυθαγόρας ἔλεγε τὴν μέθην, μανίας εἶναι μελέτην.

Ἀνάχαρσις ἔφη. κιρναμένου κρατῆρος ἐφεστίου, τὸν μὲν πρῶτον ὑγείας πίνεσθαι. τὸν δὲ δεύτερον, ἡδονῆς, τὸν δὲ τρίτον, ὕβρεως. τὸν δὲ τελευταῖον μανίας.

Ἀντισθένης. Τὰς μὴ κατὰ θύρας φησὶν ὁ Ἀντισθένης εἰσιούσας ἀπολαύσεις, δεῖσθαι ἢ χαλασθῆναι, ἢ ἐκβοηθῆναι, ἢ πάντως λιμαγχονηθῆναι, κακὰς ἀμοιβὰς ἐκτείνοντα τῆς προγεγενημένης ἀπληστίας, ἕνεκα μικρᾶς καὶ ὀλιγοχρονίου ἡδονῆς.

Πλουτάρχου ἐκ τοῦ ὅτι καὶ γυναῖκα παιδευτέον. Τῷ Διονύσῳ νάρθηκα καὶ λήθην συγκαθιδρύουσιν, ὡς μὴ δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων, ἀλλὰ νουθεσίας παιδικῆς δεομένων, ᾧ συνᾴδει, καὶ τὸ μισῶ μνήμονα συμπόταν. ὁ δ' Εὐριπίδης, τὴν ἀτόπων τὴν λήθην σοφὴν εἴρηκε.

Πλάτωνος. Μεθύων κυβερνήτης, καὶ πᾶς παντὸς ἄρχων, ἀνατρέπει πάντα, εἴτε πλοῖον, εἴτε ἅρμα, εἴτε στρατόπεδον, εἴτε ὅτι ποτὲ ἂν ᾖ τὸ κυβερνώμενον ὑπ' αὐτοῦ.

Οὐ μόνον ὡς ἔοικεν ὁ γέρων δὶς παῖς γίνοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

Δημοκρίτου. αλ. Δημοφίλου. Ὑγείην εὐχαῖς παρὰ θεῶν αἰτέονται ἄνθρωποι: τὴν δὲ ταύτης δύναμιν παρ' ἑαυτοῖς ἔχοντες, οὐκ ἴσασιν. ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες, αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσι γίγνονται.

Πλουτάρχου. Ἀμαθίην, ὥς φησιν Ἡράκλειτος, καὶ ἄλλως κρύπτειν ἔργον ἐστίν: ἐν οἴνῳ δὲ χαλεπώτερον. καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίνεσθαι.

Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε. καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ φησιν, ἀλλ' οὐκ εἰδώς γε.

Πυθαγόρας ἐρωτηθείς, πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο: εἰ συνεχῶς ἔφη θεωροίη τὰ ὑπ' αὐτοῦ πρασσόμενα.

Ἀνάχαρσις ἔφη ἐρωτηθεὶς πῶς ἄν τις μὴ μεθύσκοιτο: εἰ ὁρῴη τοὺς μεθύοντας οἷα ποιοῦσιν.

Δημοκρίτου. Ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται, ὑπερβεβληκότες τὸν καιρόν, ἐπὶ βρώσεσιν, ἢ πόσεσιν, ἢ ἀφροδισίοις, ἐν τοῖσι πᾶσιν αἱ μὲν ἡδοναί, βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν, ἢ πίνωσιν: αἱ δὲ λῦπαι πολλαί. τοῦτο μὲν γὰρ τὸ ἐπιθυμεῖν, ἀεὶ τῶν αὐτῶν πάρεστι, καὶ ὁκόταν γένηται, ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστιν, ἀλλ' ἢ τέρψις βραχεῖα, καὶ αὖθις τῶν αὐτῶν δεῖ.

Πλάτωνος ἀλκιβ. α. Ὅστις σῶμα θεραπεύει τὸ ἑαυτοῦ, οὐχ ἑαυτὸν θεραπεύει. ὅστις δὲ χρήματα, οὔθ' ἑαυτόν, οὔτε τὰ ἑαυτοῦ: ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ.

Μουσωνίου ἐκ τοῦ περὶ τροφῆς. Αἴσχιστον ἔφη γαστριμαργία καὶ ὀψοφαγία εἶναι, οὐκ ἀντερεῖ οὐδείς. σκοποῦντας δὲ ὅπως διαφεύξονται ταῦτα, πάνυ ὀλίγους ᾔσθημαι ἐγώ: τοὺς δὲ πολλοὺς ὁρῶ καὶ ἀπόντων ὀρεγομένους τῶν τοιούτων βρωμάτων, καὶ παρόντων ἀπέχεσθαι μὴ δυναμένους, καὶ χρωμένους αὐτοῖς, ὅταν χρῶνται, ἀφειδῶς, ὡς καὶ πρὸς βλάβην χρῆσθαι τὴν τοῦ σώματος. καίτοι γαστριμαργία τί ἂν εἴη ἄλλο, ἢ ἀκρασία περὶ τροφήν, δι' ἣν ἄνθρωποι τὸ ἡδὺ τὸ ἐν σίτῳ, τοῦ ὠφελίμου προτιμῶσι; καὶ ὀψοφαγία δέ, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀμετρία περὶ χρῆσιν ὄψου. πανταχοῦ δὲ κακὸν οὖσα ἡ ἀμετρία, ἐν τούτοις μάλιστα τῇδε τὴν ἑαυτῆς ἐπιδείκνυται φύσιν, παρεχομένη τοὺς ὀψοφάγους ἀντὶ ἀνθρώπων, ὑσὶν ἢ κυσὶν ὁμοιουμένους τὴν λαβρότητα, καὶ εὐσχημονεῖν μὴ δυναμένους, οὐ ταῖς χερσίν, οὐ τοῖς ὄμμασιν, οὐ τῇ καταπόσει: οὕτως ἄρα αὐτοὺς ἐξίστησιν ἡ ἐπιθυμία τῆς ἐν ὄψῳ ἡδονῆς. ὅτι μὲν δὴ οὕτως ἔχειν πρὸς τροφὴν αἴσχιστόν ἐστι, γνώριμον, ἐν ᾧ γε ζῴοις ἄφροσι μᾶλλον, ἢ ἀνθρώποις φρονίμοις, ὁμοιούμεθα. αἰσχίστου δὲ τούτου ὄντος, κάλλιστον ἂν εἴη τοὐναντίον,

τάξαι

Insunt saltatio, & optatus amor,
(Sed etiam uenatio, tristisq; maleuolentia)
Quapropter decet te inter pocula læto animo merum acceptantem
Potare, non cibo male affectum instar uulturis
Sedere pleno uentre, oblitum gaudia.

Parenthesi inclusa non bene, huc quadrare uidentur.

Pythagoras ebrietatem, insaniæ meditationem uocitabat.

Anacharsis primũ quidem poculũ sanitatis esse dixit, alterum uoluptatis, tertium contumeliæ, ultimum insaniæ.

Fruitiones & uoluptates, quæ nõ per ianuas ingrediuntur, ex Antisthenis sententia, opus habent aut sectione, aut helleborismo, aut fame macerari, ut malas pœnas luat illa ingurgitatio, quam breuissimæ uoluptatis gratia admisimus.

Libero patri ferulam & obliuionem consecrant, insinuantes non reuocanda in memoriam esse, quæ inter pocula sint admissa, sed puerilem commonitionem eis sufficere. Huc & istud facit: Odi memorem compotorem. Et Euripides absurdarum rerum obliuionem sapientem esse dixit. *Plutarchi in libro de mulieribus etiam instituendis.*

Gubernator ebriosus, & quiuis cuicunq; rei præfectus, omnia subuertit, siue nauigium, siue currũ, siue exercitũ, siue quamcunq; rem fidei suæ commissam. *Platonis.*

Manifestum est non modo senem bis puerum fieri, sed inebriatum quoq;.

Pro sanitate uota cœlitibus homines offerunt, inscij penes se ipsam esse: contraria autẽ ei per luxuriam facientes, suis libidinibus ipsam perditum eunt. *Democriti.*

Ruditatem, ut ait Heraclitus, cũ aliàs celasse non est facile, tum in uino multo maxime. Testatur & Plato animi mores in uino apparere. *Plutarchi.*

Sophocles uitio uertebat Aeschylo, quod ebrius scriberet. Nam & si bene scribit, inquiebat, nesciens tamen id facit.

Pythagoras consultus, quinam uinosus ebrietatem desereret, respondit: si quæ per temulentiam facit, frequens animo uoluat.

Anacharsis, quo quis modo temulentiam fugeret, interrogatus: si qualia ebrij faciunt, inspiciat, dixit.

Qui uentris uoluptates sequuntur, edendo, potando, Veneris illecebris tempus fallentes, breue omnino delectationis tempus habent, interim duntaxat, dum edunt ac bibunt. Curæ uero & tristitiæ multæ sequuntur. Semper etenim earundem rerum desyderio torquentur: & cum quæ appetunt, nacti fuerint, uoluptas confestim transit, cum nihil in se boni, quàm momentaneam titillationem habeat: itaq; mox rursus ijsdem indigent. *Democriti.*

Quisquis suum corpus curat, nõ seipsum colit. Qui uero pecunias, neq; seipsum, neq; sua, sed remotiora suis curat.

Turpissima res est proculdubio uoracitas, & liguritio. Equidem paucissimos noui qui deliberarent de uitijs huiuscemodi fugiendis: plurimos autem, qui tales epulas absentes requirunt, præsentibus abstinere nequeunt. Quin adeo intemperanter eis cum inciderint utuntur, ut ualetudini non parum officiant. Voracitas autem nihil aliud fuerit, quàm incontinentia in uictu, qua impulsi homines, dulce præferunt utilitati. Liguritio, quam Græci ὀψοφαγίαν, immoderatio circa usum obsoniorum est. Porrò cum modi excessus nullus non in re uitiosus sit, hac parte profecto maxime suam naturam prodit, liguritores & heluones ex hominibus in sues aut canes, quod ad ingluuiem, transformans, omnis honestatis in gestibus, uisu, esuq; oblitos. Tantam ipsis insaniam cupediarum amor gignit. Quid autem turpius, quàm ita se præstare circa uictum, ut bruti potius animalis, quàm prudentis hominis imago sit? Hoc igitur cum turpissimum sit, nimirum eius contrarium pulcherrimum erit, *Musonij de uictu.*

τάξει καὶ κοσμίως ἐσθίειν, καὶ τὴν σωφροσύνην ἐνταῦθα ὑποβάλλεσθαι πρῶτον, οὐκ ὂν ῥᾴδιον, ἀλλὰ δεόμενον πολλῆς ἐπιμελείας καὶ ἀσκήσεως, καθόλου μὲν ἴσως τὸ σωφρονεῖν.

addo ἢ ἕκαστα ἢ περὶ τὴν τροφήν.

† διὰ τί δὲ δή; ὅτι πολλῶν ἡδονῶν οὐσῶν, αἳ τὸν ἄνθρωπον ἀναπείθουσιν ἁμαρτάνειν, καὶ ἐνδιδόναι αὐταῖς βιάζονται παρὰ τὸ συμφέρον, δυσμαχωτάτη εἶναι κινδυνεύει πασῶν, ἡ περὶ τροφὴν ἡδονή. ταῖς μὲν γὰρ ἄλλαις ἡδοναῖς σπανιώτερον ὁμιλοῦμεν, καὶ ἐνίων γε μῆνας καὶ ἐνιαυτοὺς ὅλους ἀπέχεσθαι δυνάμεθα· ταύτης δὲ ἀνὰ πᾶσαν ἡμέραν πάντως πειρᾶσθαι ἀνάγκη, καὶ τάγε πολλά, δὶς ἑκάστης ἡμέρας· οὐ γὰρ ἔνι ζῆν ἄλλως τὸν ἄνθρωπον. ὥσθ' ὅσῳ πλεονάκις τῆς ἐν βρώσει ἡδονῆς πειρώμεθα, τοσούτῳ πλείους οἱ ἐνταῦθα κίνδυνοι. καὶ μὴν καθ' ἑκάστην προσφορὰν τροφῆς, οὐχ εἷς κίνδυνος ἁμαρτήματος, ἀλλὰ πλείονες.

lego ἢ δεῖ.

καὶ γὰρ ὁ παραπλείω † ἤδη ἐσθίων, ἁμαρτάνει, καὶ ὁ κατασπεύδων ἐν τῷ ἐσθίειν, οὐδὲν ἧττον, καὶ ὁ μολυνόμενος ὑπὸ τοῦ ὄψου μᾶλλον ἢ χρή, καὶ ὁ τὰ ἡδίω τῶν ὑγιεινοτέρων βρώματα προτιμῶν, καὶ ὁ μὴ νέμων τὰ ἴσα τοῖς συνεσθίουσιν. ἔστι δὲ καὶ ἄλλη τις ἁμαρτία περὶ τροφήν, ὅταν παρὰ καιρὸν προσφερώμεθα αὐτήν, καὶ δέον ἄλλο τι πράττειν, ἀφέμενοι τούτου, ἐσθίωμεν. τοσούτων δὴ καὶ ἔτι ἄλλων ἁμαρτιῶν οὐσῶν περὶ τροφήν, δεῖ μὲν ἁπασῶν καθαρεύειν αὐτῶν, καὶ μηδεμιᾷ ἔνοχον εἶναι τὸν μέλλοντα σωφρονήσειν. καθαρεύοι δ' ἄν τις καὶ ἀναμάρτητος εἴη, ἀσκῶν καὶ ἐθίζων αὑτὸν αἱρεῖσθαι σῖτον, οὐχ ἵνα ἥδηται, ἀλλ' ἵνα τρέφηται, οὐδ' ἵνα λεαίνηται τὴν κατάποσιν, ἀλλ' ἵνα ῥωννύηται τὸ σῶμα. καὶ γὰρ γέγονεν ἡ μὲν κατάποσις, δίοδος εἶναι τροφῆς, οὐχ ἡδονῆς ὄργανον. ἡ δὲ γαστήρ, τοῦ αὐτοῦ χάριν, οὗπερ ἕνεκα καὶ φυτῷ παντὶ ῥίζα γέγονε, καθάπερ γὰρ ἐκεῖ τρέφει τὸ φυτὸν ἡ ῥίζα, ἀπὸ τῶν ἐκτὸς τὴν τροφὴν λαμβάνουσα· οὕτω τρέφει τὸ ζῷον ἡ γαστὴρ ἀπὸ τῶν εἰσφερομένων σίτων καὶ ποτῶν. ὥσπερ τε αὖ τούτοις διαμονῆς ἕνεκα συμβαίνει τρέφεσθαι, καὶ

addo ζωῆς καὶ διαμονῆς.

οὐχ ἡδονῆς, παραπλησίως καὶ ἡμῖν, † φάρμακον ἡ τροφὴ τοῦ ἀνθρώπου ἐστί. διὸ καὶ προσήκει ἐσθίειν ἡμῖν ἵνα ζῶμεν, οὐχ ἵνα ἡδώμεθα, εἴγε μέλλομεν συστοιχεῖν ἀρίστῳ ὄντι τῷ λόγῳ Σωκράτους, ὃς ἔφη τοὺς μὲν πολλοὺς ἀνθρώπους ζῆν, ἵνα ἐσθίωσιν· αὐτὸς δὲ ἐσθίειν, ἵνα ζῇ. οὐ γὰρ δὴ ἐπιεικής τις βουλόμενος εἶναι ἄνθρωπος, ἀξιώσει παραπλήσιός τις εἶναι τοῖς πολλοῖς, καὶ ζῆν τοῦ ἐσθίειν· ὥσπερ ἐκεῖνοι θηρώμενοι ἐξ ἅπαντος τὴν ἀπὸ τῆς τροφῆς ἡδονήν. ὅτι δὲ καὶ θεὸς ὁ ποιήσας τὸν ἄνθρωπον, τοῦ σώζεσθαι χάριν, οὐχὶ τοῦ ἥδεσθαι σῖτα, καὶ ποτὰ παρεσκεύασεν αὐτοῖς, μάθοι τις ἂν ἐκεῖθεν μάλιστα. ἡ γὰρ δὴ τροφὴ ὅτε ἐργάζεται μάλιστα τὸ ἑαυτῆς ἔργον, τότε οὐδαμῶς ἥδει τὸν ἄνθρωπον κατὰ τὴν πέψιν καὶ τὴν ἀνάδοσιν, ἀλλὰ τρεφόμεθα μὲν τότε ὑπ' αὐτῆς καὶ ῥωννύμεθα, ἡδόμεθα δὲ τότε οὐδεμίαν ἡδονήν, καίτοι πλείων ὁ χρόνος οὗτός ἐστιν, ἢ ἐν ᾧ ἐσθίομεν. ἔδει δέ γε εἴπερ ὁ θεὸς ἡδονῆς χάριν τὴν τροφὴν ἐμηχανήσατο ἡμῖν, τὸν πλείω τοῦτον χρόνον ἥδεσθαι ἡμᾶς ὑπ' αὐτῆς, καὶ οὐ τὸν ἐλάχιστον ἐκεῖνον ἐν ᾧ καταπίνομεν. ἀλλ' ὅμως, τὸ χαίρειν ἐκείνου τοῦ ἐλαχίστου χρόνου, ὃν ἡδόμεθα, παρασκευαὶ μὲν ὄψων γίνονται μυρίαι, πλεῖται δ' ἡ θάλαττα μέχρι περάτων· μάγειροι δὲ γεωργῶν περισπουδαστότεροί εἰσι. δεῖπνα δὲ παρατίθενταί τινες, ἀγρῶν ἀναλίσκοντες τιμάς, καὶ ταῦτ' οὐδαμῶς ὠφελουμένων τῶν σωμάτων, ἐκ τῆς πολυτελείας τῶν βρωμάτων. πᾶν γὰρ τοὐναντίον, οἱ ταῖς εὐτελεστάτοις χρώμενοι τροφαῖς, ἰσχυρότατοί εἰσι. τοὺς γοῦν οἰκέτας τῶν δεσποτῶν, καὶ τοὺς χωρίτας τῶν

lego πλεῖστον.

ἀστικῶν, καὶ τοὺς πένητας τῶν πλουσίων, ἴδοις ἂν ὡς ἐπὶ τὸ † πλῆθος, ῥωμαλεωτέρους ὄντας, καὶ μᾶλλον μὲν πονεῖν δυναμένους, ἧττον δὲ κάμνοντας ἐν τοῖς ἔργοις, νοσοῦντας δὲ σπανιώτερον, ἀνεχομένους δὲ εὐκολώτερον κρύος, θάλπος, ἀγρυπνίαν, πᾶν εἴ τι τοιοῦτο. καίτοι κἂν ἐπίσου ἦτε πολυτελὴς, καὶ ἡ λυσιτελὴς τροφὴ ῥωννύῃ τὸ σῶμα, ὅμως αἱρετέον δεῖ τὴν εὐτελῆ, ὅτι αὕτη σωφρονεστέρα, καὶ πρέπει ἀνδρὶ ἀγαθῷ μᾶλλον, ὡς καὶ τὸ εὐπόριστον τοῦ δυσποριστοῦ, καὶ τὸ ἀπραγμάτευτον τοῦ μετὰ πραγμάτων, καὶ τὸ ἕτοιμον τοῦ ἀνετοίμου, πρὸς τροφὴν πρεπωδέστερον τοῖς ἐπιεικέσιν. ἵνα δὲ συνελὼν εἴπω, περὶ τροφῆς τὸ πᾶν, φημὶ δεῖν, σκοπὸν μὲν αὐτῆς ποιεῖσθαι ὑγίειάν τε καὶ ἰσχύν, ὡς τούτων μόνων ἕνεκα βρωτέον, ἃ δὴ δεῖται πολυτελείας οὐδὲ μιᾶς· ἐσθίοντα δ' ἐπιμελεῖσθαι κόσμου τε καὶ μέτρου τοῦ προσήκοντος, καὶ τοῦ διαφέρειν πλεῖστον, τοῦ τε ἀμολύντου καὶ τοῦ σχολαίου.

ΙΩΑΝ-

ordinate modesteq; cibo frui, & hoc omnium primum temperantiæ specimen ædere. Cum enim in uniuersum temperantia difficilis habeatur, multi studij ac exercitationis egens, maxime circa uictum id contingit. Quamobrem istud? Quia cum innumeræ sint uoluptates, peccandi incitamenta, quæ per uim morem sibi geri cogunt præter omnem utilitatem, ea quæ uictum attinet luxuria difficillima, periculosissimaq; uidetur. Quippe cæteræ uoluptates rarius incidunt, nonnullis etiam integros menses annosq; carere possumus: quæ uero in alimentis consistit, eam experiri quotidie necessitas cogit, & plerumq; bis in die, cum aliter uitam fouere non sit. Quo sæpius igitur edendi suauitatem usurpamus, eo plus inde periculorum nobis imminet. Præterea quoties cibum sumimus, multis peccandi modis occasio datur. Nam & qui nimium edit, peccat: & qui festinantius, nihilo minus: & qui obsonio ultra decorum se inquinat: & qui suauiora salubrioribus anteponit: & qui sodalibus non æquam partem relinquit. Item qui non suo tempore comedit, is quoque peccat, cum alijs anteuortundis relictis ad epulas se conuerterit. Cum ergo tot tantiq; errores iam enumerati, & quidam alij, ab epulantibus committi possint, studendum est temperanti futuro, ut se ab omnibus purum & integrum exhibeat. Ita uero se tutum aliquis ab ipsis præstiterit, si multo exercitio consuescat alimentis uti, ad alendi, non delectandi corpus, finem. Non ut lenem ac lubricam reddat gulam, sed corpus ut roboret. Gula enim condita est, ut ciborum meatus esset, non uoluptatis instrumentum. Venter in animali eadem gratia, qua radix in omnibus plantis, factus est. Etenim ut plantam radix alit, forinsecus nutrimentum attrahens: sic uenter animal nutrit cibis & potionibus in ipsum deriuatis. Rursus ut plantæ aluntur perdurationis, haud uoluptatis causa: non secus hominibus, uitæ sustentandæ remedium, uictus est concessus. Quas ob causas edendum ut uiuamus, non ut uoluptuemur, siquidem ad optimam Socratis sententiam nos accommodare uoluerimus, qui bonam hominum partem uiuere dixit ut edant: se autem edere, ut uiuat. Enimuero quisquis probitatis studiosus fuerit, haudquaquam uulgo hominum similis erit uiuendo ut edat, sicut illi præ cunctis ciborum illecebras captantes. Porrò quod Deus hominum conditor cibum atq; potum pro incolumitate non delicijs largitus sit, hinc intelligi licet: Quippe alimentum dum maxime munere suo fungitur in concoctione digestioneq;, nullo suauitatis lenocinio nos afficit, sed nutrit duntaxat & uires reficit, quamuis multo longius tempus interim eat, quàm dum edimus. Oportuisset autē si Deus delectationis gratia cibum nobis machinatus esset, longiori illo tempore uoluptatem sentiri, non breuissimo tantum inter degluttiendum. Sed licet tam momentanea sit ista glutientium suauitas, infinita tamen obsonia excogitauit. Maria nauigantur ad ultima usq; littora. Maius studium coquis quàm agricolis impenditur. Aliqui tota prædia in conuiuiorum apparatu consumunt. An nō hoc miserrimum est? præsertim cum nihil utilitatis corpori accedat, ex tam sumptuosa dapium structura. Omnino enim contraria ratione, qui communissimis cibis utūtur, robustissimi sunt. Itaq; seruos dominis, agrestes urbanis, pauperes diuitibus ualidiores, ut plurimum, uideas, laboribus aptiores, tardius fatigari operando, rarius ægrotare, facilius ferre frigus, æstum, uigilias, & quicquid eiusmodi est. Etiamsi autem ex æquo tum preciosus, tum uulgaris uictus corporis robur augerent, nihilominus uulgarem præferre conueniret, ut qui magis sobrius sit, magisq; bonum uirum deceat: sicut & parabilis difficili paratu, & simplex elaborato, & exquisito qui in promptu est, ingenuis probisq; uiris eligibilior est. Sed ut cuncta quæ diætam attinent, paucis complectar, opus esse dico scopum eius constituere sanitatem, ac uires: horum enim solum causa cibus assumendus, quem sumptuosum esse nulla necessitas est. Is autem qui cibum ingerit, ut ordine, modo, mensura, puritateq; decenter & absq; festinatione obseruans plurimum à reliquis differat, omni cura & studio eniti debet.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΑΝΕΞΙΚΑΚΙΑΣ, ΛΟΓΟΣ ΙΖ.

Εὐριπίδου. ΣΜΙΚΡΑΣ ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
γλῶσσ' ἐκπορίζει, τοῦτο δ' οἱ σοφοὶ βροτῶν
ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.

Φιλήμονος. Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερον
ἔστ', ἢ δύνασθαι λοιδορούμενον φέρειν,
ὁ λοιδορῶν γὰρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Εὐριπίδου. Δυοῖν λεγόντοιν θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις, σοφώτερος.

Δημοσθένης λοιδορουμένου τινὸς αὐτὸν, οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων.

Πλάτων λοιδορούμενος ὑπό τινος, λέγε ἔφη κακῶς, ἐπεὶ καλῶς οὐ μεμάθηκας.

ἄλ. αὐτοῦ. Ἀρίστιππος, λοιδοροῦντος † αὐτὸν τινὸς, ἔφη. τοῦ μὲν λέγειν κακῶς, σὺ κύριος εἶ, τοῦ δὲ δικαίως ἀκούειν ἐγώ.

Πλουτάρχου. Λόγου δὲ κουφοτάτου πράγματος, βαρυτάτη ζημία κατὰ τὸν θεῖον Πλάτωνα, καὶ παρὰ θεῶν ἕπεται καὶ παρ' ἀνθρώπων. ἡ δὲ σιγὴ, πανταχοῦ μὲν ἀνυπεύθυνον, (οὐ μόνον ἄδιψον ὥς φησιν Ἱπποκράτης) ἐν δὲ λοιδορίαις, σεμνὸν καὶ σωκρατικὸν, μᾶλλον δὲ, ἡράκλειον.

Πυθαγόρου. Οὐδ' ὅσον μυίας στυγερῶν ἐμπάζετο μύθων.

Μεγάλην παιδείαν νόμιζε, δι' ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν.

Εὐσεβίου. Ὀργῆς κρατεῖν ἄριστον ἐθίζειν ἑαυτὸν, μάλιστα μὲν καὶ πρὸς τὸ μὴ ἐξαπιναίως πρὸς αὐτῆς ξυγκινεῖσθαι. εἰ δὲ μὴ, ἀλλ' ὥστε γε πάντως μὴ τὸ καταναγκαζόμενον ὑπ' αὐτῆς αὐτίκα τι καὶ ἐν τῷ ἀλογίστῳ ἀποπιμπλάναι.

Νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πολύ.

Σοφοκλέους. Οὐ δύναμαί σοι θυμὲ † πρέχειν ἄρμενα πάντα,
† lego παρέχειν. τέτλαθι. τῶν δὲ καλῶν οὐχὶ σὺ μοῦνος ἐρᾷς.

Θεοφράστου. Οὐ μὴν οὐδὲ μετ' ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδέν. ἀλόγιστος γὰρ θυμὸς, καὶ μετὰ προνοίας οὐδὲν ἄν ποτε ποιήσειεν· ἀλλὰ μεθύων ταῖς φιλονεικίαις, ὡς ἔτυχε χρῆται ταῖς ὁρμαῖς. ὥστε δεῖ μήτε ἐξ ὑπογύου τῶν ἁμαρτημάτων τὰς τιμωρίας, μήτε παρὰ τῶν οἰκετῶν, μήτε παρὰ τῶν ἄλλων λαμβάνειν, ἵνα τῷ λογισμῷ κράτιστον, μὴ τὸ τῷ θυμῷ φίλον ἀεὶ πράττῃς, καὶ † δίκην παρὰ τῶν ἐχθρῶν λαμβάνῃς, ἐξ ἧς μέλλεις σαυτὸν, μὴ αὐτοὺς ἐκείνους βλάπτειν. (ἄλλο μή.) τὸ γὰρ τιμωρεῖσθαί τινα κακῶς ἑαυτὸν ποιοῦντα, δίκην διδόναι οὐχ ἧττον, ἢ λαμβάνειν ἐστίν. ὥστε δεῖ σχολῇ μᾶλλον ἀμύνεσθαι ζητεῖν, ἢ ταχέως ἀλυσιτελῶς κολάσαι τὸν ἐχθρόν.

Ῥούφου. Τὸ δὲ Λυκούργου τοῦ Λακεδαιμονίου, τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν ὀφθαλμὸν τὸν ἕτερον, καὶ παραλαβὼν τὸν νεανίσκον παρὰ τοῦ δήμου ἵνα τιμωρήσαιτο ὅπως αὐτὸν βούληται, τούτου μὲν ἀπέσχετο, παιδεύσας δὲ αὐτὸν καὶ ἀποφήνας ἄνδρα ἀγαθὸν, παρήγαγεν εἰς τὸ θέατρον. θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων· τοῦτον μέν τοι λαβὼν ἔφη παρ' ὑμῶν ὑβριστὴν, καὶ βίαιον, ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν.

Πιττακὸς ἀδικηθεὶς ὑπό τινος, καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν εἰπὼν, συγγνώμη τιμωρίας ἀμείνων. τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι· τὸ δὲ θηριώδους.

Ἐκ τῶν Ἐπικτήτου. Ἄρξαι οὖν ἀπὸ τῶν μικρῶν, ἐκχεῖται τὸ ἔλαιον. κλέπτεται τὸ οἰνάριον λέγε. ὅτι τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία. προῖκα οὐδὲν γίνεται. ὅταν δὲ καλῇς τὸν παῖδα

προσ-

IOANNIS STOBAEI DE PATIENTIA SERMO XVII.

A paruo initio lites magnas, hominis *Euripidis.*
Lingua producit. Hoc uero sapientes mortalium
Cauent, ne quid inter amicos contentionis excitent.

Nihil est iucundius & docto uiro dignius *Philemonis.*
Quàm ferre posse conuiciantem.
Quoniam si ille cui conuicium fit
Dissimulauerit, in ipsum autorem redundat.

Altero duorum colloquentium indignante, *Euripidis.*
Is qui se non opponit, plus sapit.

Demosthenes à quodã conuicijs lacessitus: Nolim tecũ in hoc genus certaminis descendere, dixit, in quo qui uincitur, ipso uictore est melior.

Plato quodã ei maledicente: Perge, inquit, maledicere, ut qui bene nunquam didiceris.

Aristippus contumelijs à quodam petitus, dixit: Penes te est maledicere, penes me autem recte audire.

Verborũ, rei leuissimæ grauissima pœna, iuxta diuũ Platonem, & apud Deũ, & apud homines comes esse solet. Silentiũ uero cũ ubiq; culpa uacet, tũ maximè in aliorum conuicijs, nescio quid egregium, Socraticum, aut potius Herculeum præ se fert. *Plutarchi de loquacitate.*

Non quantum muscam odiosa uerba curabat. *Pythagoræ.*

Magnam peritiam existimato, qua ferre potes aliorum imperitiam.

Optimũ est quidem ita assuescere domare iracundiam, ne facile ad ipsam accendaris. Sin minus, saltem ne quod ipsa imperat, statim irrationalis animæ pars ad finem perducat. *Eusebij.*

Multò pluris uirtutem hominis, quàm inimicitiam facio.

Non possum tibi anime mi suppeditare cuncta quæ desyderas. *Sophoclis.*
Fer igitur patienter: pulchra non solus appetis.

Quin etiã nihil agunto uiri prudentes irati. Concitata enim illa pars animi irrationalis est, & nihil unquam prouidenter agere nouit: sed litigandi studio quasi ebria, temere quouis rapitur. Itaq; oportet non citò peccatorum pœnas, neq; à seruis, neq; ab alijs exposcere, ut nõ quod animositati gratum, sed quod rationi consultissimum uidetur, id semper agas: non autẽ ita inimicos ulciscaris, ut tibi magis, quã illis obsis. Qui enim inimicũ suo cũ malo uindicat, dat potius pœnam, quã ab illo sumat. Igitur paulatim occasio sese ulciscendi magis inueniunda est, quàm illico inutiliter præcipitanda. *Theophrasti.*

Lycurgi autem Lacedæmonij factũ, quis uestrum non admiratur? Nam à ciue quopiam iuuene altero oculorum orbatus, illum à populo accepit, ut quo liberet modo puniret: Quod minime fecit, sed optime institutũ, boniq; uiri moribus præditum, in theatrum produxit. Lacedæmonijs autem admiratis, dixit; Istum antehac iniurium & uiolentũ, qualem à uobis accepi, iam frugi ac popularem restituo. *Rufi.*

Pittacus potestatem habens puniendi quempiam, qui contumeliosus in ipsum extiterat, dimisit, inquiens: Venia ultione melior est. Illa nanq; mitis est ingenij, hæc autem ferini.

Ab exiguis incipe: effunditʳ oleũ, furto uinũ auferṫ. Cogita tãti redimi patientiã, tanti emi inperturbationem: nihil gratis fit. Cum seruũ accersiueris, *Ex Epicteti scriptis.*

προσεπινόει, ὅτι δύναται καὶ μὴ ὑπακοῦσαι, καὶ μηδὲν ποιῆσαι ὧν θέλεις. ἀλλ' οὐχ οὕ-
lego αὐτῷ. τως ἐστὶν † αὐτῶν, ἵνα ἐν ἐκείνῳ ᾖ τὸ ἐμὲ ταραχθῆναι.

Μουσωνίου. Ὕβρεως δὲ γραφὴν, οὔτ' ἂν αὐτὸς ἔφη γράψασθαί τινά ποτε, οὔτ' ἂν ἑτέρῳ συμβουλεῦσαι οὐδενὶ τῶν φιλοσοφεῖν ἀξιούντων. ἃ γὰρ πάσχοντές τινες ὑβρίζεσθαι δοκοῦσιν, τούτων οὐδὲν εἶναι ὕβριν, ἢ αἰσχύνην τοῖς πάσχουσιν: οἷον λοιδορηθῆναι, ἢ πληγῆναι, ἐμπτυσθῆναι ὧν τὸ χαλεπώτατον πληγή. ὡς δὲ οὔτε αἰσχρὸν, οὔτε ὑβριστικὸν ἔχουσιν οὐδὲν, δηλοῦν λακεδαιμονίων παῖδας δημοσίᾳ μαστιγουμένους, καὶ ἐπ' αὐτῶν τούτῳ ἀγαλλομένους. ὁ δὲ φιλόσοφος εἰ μὴ δύναιτο καταφρονεῖν πληγῶν, ἢ λοιδορίας, τί ἂν ὄφελος αὐτοῦ εἴη, ὅν γε
lego δεῖ, μὴ τῷ. φαίνεσθαι δεῖ καὶ θανάτου καταφρονοῦντα; νὴ διὰ τοῦ δρῶντος αὐτὰ † δ' εἶ, ἢ τὸ ἐπιγγελῶντα ὑβρίζειν νομίζοντα ῥαπίσαι, ἢ λοιδορῆσαι, ἤ τι τοιοῦτο ποιῆσαι. δημοσθένης γοῦν καὶ τῷ βλέμματι ὑβρίζειν τινὰς, καὶ ἀφόρητα εἶναι τὰ τοιαῦτα, καὶ ἐξίστασθαι τοὺς ἀνθρώπους ὑπ' αὐτῶν. ταῦτα δὲ οἱ μὲν τὸ καλὸν καὶ τὸ αἰσχρὸν ὅ,τι τῇ ἀληθείᾳ ἐστὶν ἀγνοοῦντες, καὶ πρὸς τὴν δόξαν κεχηνότες, ταύτῃ ἢ ἐκείνῃ οἴεται, καὶ αὐτοὶ ὑβρίζεσθαι νομίζουσιν, εἴ τις ἢ προσβλέποι αὐτοὺς πικρότερον, ἢ καταγελῴη αὐτῶν, ἢ πλήξοι, ἢ λοιδοροίη.
Hæc in codice Venetiis impresso corrupte leguntur. ἀνὴρ δὲ εὖ φρονῶν καὶ νοῦν ἔχων, οἷον εἶναι δεῖ τὸν φιλόσοφον, ὑπὸ οὐδενὸς τούτων ταράττεται, οὐδ' οἴεται τὸ πάσχειν αὐτὰ αἰσχρὸν, ἀλλὰ τὸ ποιεῖν μᾶλλον † ἐπειδὴ ὁ μὲν ἁμαρτάνων, εὐθὺς καὶ ἐν αἰσχύνῃ ἐστίν. ὁ δὲ πάσχων ὅσον οὐχ ἁμαρτάνει καθόσον πάσχει, οὕτως οὐδὲ ἐν αἰσχρῷ οὐδενὶ γίνεται, ὅθεν οὐδὲ ἐπὶ δίκας, οὐδὲ ἐπ' ἐγκλήματα εἰσέλθοι ἂν ὁ νοῦν ἔχων, ἐπείπερ οὐδὲ ὑβρίσθαι ἂν δόξειεν. καὶ γὰρ μικρόψυχον τὸ ἀγανακτεῖν, ἢ ὑπερτείνεσθαι περὶ τῶν τοιούτων. πράως δὲ καὶ ἡσύχως οἴσει τὸ συμβὰν, ἐπεὶ καὶ πρέπον τοῦτο τῷ βουλομένῳ εἶναι μεγαλόφρονι. σωκράτης γοῦν οὕτω διακείμενος φανερὸς ἦν, ὃς δημοσίᾳ λοιδορηθεὶς ὑπ' ἀριστοφάνους, οὐχ ὅπως ἠγανάκτησεν, ἀλλὰ καὶ ἐντυχὼν ἠξίου αὐτὸν, εἰ καὶ πρὸς ἄλλο τι τοιοῦτον βούλοιτο χρῆσθαι αὐτῷ. οὐ ταχὺ γ' ἂν ἐκεῖνος ἐν ὀλίγοις λοιδορούμενος ἐχαλέπαινεν, ὃς οὐδὲ ἐν θεάτρῳ λοιδορηθεὶς ἠγανάκτει.

Videtur cohærere superioribus. Φωκίων δὲ ὁ χρηστὸς, τῆς γυναικὸς αὐτοῦ προπηλακισθείσης πρός τινος, τοσοῦτον ἐδέησεν
† ἵνα δόξας. ἐγκαλεῖν τῷ προπηλακίσαντι, ὥστε † ἀποδείσας ἐκεῖνος, προσελθών τε καὶ συγγνώμην ἔχειν ἀξιοῦν τὸν φωκίωνα φάσκων ἠγνοηκέναι, ὅτι ἦν ἐκείνου γυνὴ, εἰς ἣν ἐπλημμέλει. ἀλλ' ἥγε ἐμὴ γυνὴ οὐδὲν ἔφη, ὑπὸ σοῦ πέπονθεν, ἑτέρα δέ τις ἴσως: ὥστε οὐδὲ χρὴ ἐμοί γε ἀπολογεῖσθαι. καὶ ἄλλους δὲ παλαιοὺς ἄνδρας ἔχοιμ' ἂν λέγειν πειρασθέντας ὕβρεως, τοὺς μὲν ἔκ τινων γλώσσῃ πλημμελησάντας, οὔτε ἄλλον τρόπον ἐπελθόντας, ἀλλὰ πάνυ πράως ἐνεγκόντας τὴν ἀδικίαν αὐτῶν. καὶ γὰρ δὴ τὸ μὲν σκοπεῖν, ὅπως ἀντιδήξεταί τις τὸν δάκνοντα, καὶ ἀντιποιήσει κακῶς τὸν ὑπάρξαντα, θηρίου τινὸς οὐκ ἀνθρώπου ἐστὶν, ὃς οὐδὲ τοῦτο λογίζεσθαι δύναται, ὅτι τὰ πολλὰ τῶν ἁμαρτανομένων, ὑπ' ἀγνοίας τε καὶ ἀμαθίας τοῖς ἀνθρώποις ἁμαρτάνεται, ἀφ' ὧν ὁ μεταδιδαχθεὶς, εὐθὺς παύεται. τὸ δὲ δέχεσθαι τὰς ἁμαρτίας, μὴ ἀγρίως, μηδὲ ἀνήμερον εἶναι τοῖς πλημμελήσασιν, ἀλλὰ τὸ μὲν εἶναι αὐτοῖς ἐλπίδος χρηστῆς, ἡμέρου τρόπου καὶ φιλανθρώπου ἐστί. πόσῳ δὲ κρεῖττον οὕτως ἔχοντα φαίνεσθαι τὸν φιλόσοφον, ὥστε συγγνώμης ἀξιοῦν, εἴ τις πλημμελήσειεν εἰς αὐτὸν, ἢ δοκεῖν μὲν ἀμύνειν ἑαυτῷ δικαζόμενον καὶ ἐγκαλοῦντα, τῇ δὲ ἀληθείᾳ ἀσχημονεῖν, ἀνακόλουθα τοῖς ἑαυτοῦ λόγοις πράττοντα, εἴ γε λέγει μὲν, ὡς οὐκ ἂν ἀδικηθείη ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ὑπὸ κακοῦ ἀνδρός: ἐγκαλεῖ δ' ὡς ἀδικούμενος ὑπὸ ἀνθρώπων πονηρῶν, ἀξιῶν ἀγαθὸς εἶναι.

Δίωνι τῷ ἀκαδημιακῷ ἀπὸ συμποσίου ἀναστρέφοντι ἑπόμενός κακῶς τις ἔλεγε, καὶ βλασφημίας οὐδὲν ἀπελίμπανεν: ὁ δ' ἡσύχως εἶχεν. ὡς δὲ καὶ ἐπὶ τὴν οἰκίαν ἦλθε, μέλλοντι αὐτῷ εἰσιέναι ὁ λοιδορῶν, τί δαὶ ἔφη πρὸς ὃν εἶπεν ὁ δίων, οὐδὲ γρῦ.

Ξενοφῶντος ἐκ τοῦ συμποσίου. Ὁ δ' αὖ σωκράτης εἶπεν: ἀλλὰ πίνειν μὲν ὦδε κἀμοὶ πάνυ δοκεῖ. τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς, τὰς μὲν λύπας ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζει: τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον φλόγα ἐγείρει. δοκεῖ γε μέντοι μοι, καὶ τὰ τῶν ἀνδρῶν συμπόσια ταῦτα πάσχειν, ἅπερ καὶ τὰ τῶν ἐν τῇ γῇ φυομένων. καὶ γὰρ ἐκεῖνα, ὅταν μὲν αὐτὰ ὁ θεὸς ἀθρόως ποτίζῃ, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι:

ὅταν

præmeditare: forte non pariturus tibi, forte nihil eorum quæ cupio facturus est. At non tanti est tamen, ut eius causa perturbari debeam, aut possim.

Actionem iniuriarũ neque contra alium se acturum aiebat, neque id ulli philosophiæ uacantium consulturum. Siquidem quæ multi iniurias interpretantur, eorũ nihil iniuriam esse, neque contumeliam in affectos eis: ut maledici, conspui, uerberari, quod postremum indignissimum uidetur. Quod uero nihil graue aut iniuriosum contineant, argumento sunt Lacedæmoniorum pueri, qui publicitus flagellis cæduntur, & id ipsum gaudent. Philosophi autem, si uerbera aut contumelias contemnere nequeat, quisnam usus erit, qui & mortem palàm spernere deberet? Opus est per Iouem, re ipsa se talem præstare, non irridentem iniuriari iudicatum uerberibus: aut uerbis contumeliæ plenis, alióue modo ulcisci uelle. Demosthenes etiã oculis quosdam iniurios esse putabat, eamque rem intolerabilem esse, & homines inde plurimum affici. Ita qui quid honestum, quid reuera turpe sit ignorant, iniuriã se pati censent, si quis aut toruum ipsos intueatur, aut irrideat, aut percutiat, aut conuicia iactet. At uir sapiens & cordatus, qualis philosophus esse debet, nullo horum perturbatur, non tam ipsa pati, quàm inferre, turpe ducens. Nam qui peccat, is turpitudini obnoxius est: qui uero patitur, quatenus ipse peccatum non admittit, eatenus neque turpis alicuius indignitatis particeps dicendus est. Quapropter non ad forum & actiones ullus mente præditus conuertetur, utpote qui nullam sibi uideatur iniuriam accepisse: Pusillanimitas enim est has ob res indignari, & commoueri intensius: sed leniter & tranquille tolerabit, quicquid acciderit. Hoc decorum est eius, qui se magnanimum profitetur. Ita palàm Socrates erat animatus, qui publica conuicia ab Aristophane passus, non modo non ægrè tulit, sed obuium etiam interrogauit, num se rursus ad similem rem aliam opus haberet. Quàm facile putas priuata maledicta sustinuisset ille, quem ne publice quidem in frequenti theatro iactata commouere potuerunt? *Musonij.*

Cæterum bonus ille Phocion iniuria uxori suæ facta, tantum ab authoris accusatione abfuit, ut cum ille sponte metu perculsus Phocionem accederet, & ueniam postularet, inquiens ignorasse quod eius uxor fuisset, in quam iniuriosus fuerat: hoc sermone sit usus: Mea quidẽ uxor nihil abs te affecta est, sed fortassis alia quæpiam: proinde non est cur excusationem apud me dicas. Haberem alios multos ueterum proponendos, qui contumeliose tractati, siue uerbis cõuiciosis, siue aliis modis, nullo pacto re ultionem exequuti sunt, sed oratione fortassis admonuerunt, aliter autem æquo lenique animo improbitatem hominum tulere. Sanè animo cogitare, qua uia in eum qui momordit, morsum retorqueas, & retalies iniuriam authori, ferarũ, quã hominum, magis propriũ existimo. Reputandũ est homini multa crimina per ignorantiã ac imperitiã cõmitti, à quibus cognitis postea, mox desistitur. Mitia & humana ingenia, nõ efferata sunt & dura in eos qui peccarunt, ut quæ melius sperent. Quanto satius igitur fuerit ita se præstantem uideri philosophum, ut uenia dignetur eos, qui aliquid aduersus ipsum admiserunt: quã causas agendo & accusando, ita quidẽ se ulcisci putare, re ipsa autẽ præter omne decorũ sibi uerbisque suis pugnare? Siquidem docet bonũ uiro ab improbo haudquaquam iniuria posse affici: ipse interim malos accusat tanquã iniuriarũ sibi authores, cũ ipse bonus haberi studeat.

Dionẽ Academicũ è conuiuio redeuntẽ, quidam maledicus insectabatur nullas nõ blasphemias eructans. Tacebat Dion. Ingressuro autẽ iam domũ cõuiciator ille dicebat: Nihil autem respondes? Cui Dion: Ne γρῦ quidem.

Tum rursus Socrates. Ita bibendum etiam mihi sane uidetur. Reuera enim uinũ animos irrigans, ut hominis corpus Mandragoras, sopit: Iucunditatem & beneuolentias, non aliter quàm oleum ignis, excitat atque fouet. Porrò uidetur mihi idem in hominũ conuiuiis quod plantis usu uenire. Nam sicut hæ si nimium cœlitus madescant, erigi nequeũt, neque ab auris perspirari; *Xenophontis in symposio.*

ὅταν δὲ, ὅσῳ ἥδεται, τοσοῦτον πίνῃ, καὶ μάλα ὀρθὰ τὰ αὔξεται, καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν. οὕτω δὲ καὶ ἡμεῖς, ἂν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῶν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι † σφάλλονται, καὶ οὐδὲ ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα. ἂν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψεκάζωσιν, ἵνα καὶ ἐγὼ ἐν γοργείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι μεθύειν ὑπὸ τοῦ οἴνου, ἀλλ᾽ ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα.

al. σφαλοῦνται.

Ξεῖνε σπαρτιάτα. ὀνείδεα κατιόντα ἀνθρώπῳ, φιλέει ἐπανάγειν τὸν θυμόν. σὺ μέντοι ἀπεδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ, οὔ με ἔπεισας ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι.

Videtur Herodoti esse.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΟΡΓΗΣ,

ΛΟΓΟΣ ΙΗ΄.

Θεόγνιδος. ΟΥΔΕΝ κύρν᾽ ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

Εὐήνου. Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον μανίας, πολὺ χερειότερον.

Μενάνδρου. Ὀργὴ παραλογισμός ποτ᾽ οὐδεὶς φύεται,
αὕτη κρατεῖ νῦν, ἂν δὲ μικρὸν παρακμάσῃ,
κατόψεταί τι μᾶλλον εἰς τὸ συμφέρον,

Φιλήμονος. Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα.
lego τὴν ὀργὴν. τὸ γὰρ κατασχεῖν ἐστὶ † τῆς ὀργῆς πόνος.

Μενάνδρου. Ἅπανθ᾽ ὅσ᾽ ὀργιζόμενος ἄνθρωπος ποιεῖ,
ταῦθ᾽ ὕστερον λάβοις ἂν ἡμαρτημένα.
Ἐπίσχες ὀργιζόμενος, ἀλλὰ βούλομαι.
οὐδεὶς γὰρ ὀργῆς χάριν ἀπείληφεν πάτερ.

Εὐριπίδου. Ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται,
κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.

Ἐπιχάρμου. Μὴ ἐπὶ μικροῖς αὐτὸς αὑτὸν ὀξύθυμον δείκνυε.
Ἐπιπολάζειν οὔτι χρὴ τὸν θυμόν, ἀλλὰ τὸν νόμον.

Εὐριπίδου. Οὐδεὶς μετ᾽ ὀργῆς οὐδὲν εὖ βουλεύεται.
πολλοὺς δ᾽ ὁ θυμὸς ὁ μέγας ὤλεσε βροτῶν,
ἥτ᾽ ἀσυνεσία, δύο κακὼ τοῖς χρωμένοις.
Ὀργὴ δὲ φαύλη, πόλλ᾽ ἔνεστ᾽ ἀσχήμονα.
ἔξω γὰρ ὀργῆς, πᾶς ἀνὴρ σοφώτατος.
πόλλ᾽ ἔστιν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.

Αἰσχύλου. Ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι.

Σοφοκλέους. Αὐθάδειά τοι σκαιότητ᾽ ὀφλισκάνει.
Ὡς οἶδ᾽ ἐν ὀργῇ πάντα γίνεσθαι κακά.

Χαιρήμονος. Ὀργὴ δὲ πολλοὺς δρᾶν ἀναγκάζει κακά.

Εὐριπίδου. Ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ᾽ ἡμῶν ἔφυ,
οὕτω προσήκει, μὴ δὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

Σωσιφάνους. Νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω γέρον.
νικᾶν δεῖ ὀργὴν ἡνίκ᾽ ἔνδικον λαβεῖν.

Μενάνδρου. Ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.
Οὐκ ἔστιν ὀργῆς ὡς ἔοικε φάρμακον,
ἀλλ᾽ ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου.
Εἰ καὶ σφόδρ᾽ ἀλγεῖς, μηδὲν ἠριθισμένος

Cum uero tantum imbiberint humoris, quanto egebant, tum & in rectum augentur admodum, & floridæ ad fructuum maturationem perueniunt. Ita scilicet quoq; nos, si potum sine modo hauserimus, mox & corpore & animo laboramus, ne respirare quidem amplius recte, nedum ad loquendum idonei. At si pocillatores nobis paruis calycibus frequenter instillauerint, ut Gorgiæ uerbis utar, eo modo non à uino coacti ad ebrietatem, sed tanquam paulatim persuasi ad maiorem cum iocis hilaritatem perueniemus.

Spartane hospes, opprobria in animum deiecta cōcitatum ipsum efferre solent. Cæterum licet tu contumeliosam orationem habueris, non tamen mihi persuasisti, ut neglecto decoro, paria referre uelim.

DE IRA, SERMO XVIII.

NIHIL ô Cyrne tam iniustum est, quàm ira, quæ dominum *Theognidis.*
Suum lædit, ut animo commoto miserè, gratum faciat.
Sæpe mentem hominum detexit ira *Eueni.*
Latentem, ira quæ peior quandoq; est insania.
Ira non potest unquam falli. *Menandri.*
Ea nunc imperat: ubi uero modicum deferbuerit,
Multò acutius quod ex usu est uidebit.
Insanimus omnes cum irascimur. *Philemonis.*
Ira enim difficillime refrenatur.
Omnia quæ iratus agit, *Menandri.*
Errata postmodum intelliges.
Iræ moderator. RESPON. Id quidem uolo,
Est enim ira, pater, ingratissima res.
Quisquis iræ præceps indulget *Euripidis.*
In malum finem exit, plurimum enim hominibus incommodat.
Ne tute teipsum ob rem leuem iracundum exhibeas. *Epicharmi.*
Superare non iram conuenit, sed legem.
Nemo iratus quicquam recte deliberat. *Euripidis.*
Multos iracundia magna perdidit mortalium,
Et imperitia, quæ gemina mala sunt utentibus se.
Iræ malæ multa insunt indecora.
Extra iram enim unusquisq; multo sapientior est.
Ex ira imperita multum generatur malorum.
Iræ uanæ causa sunt uerba. *Aeschyli.*
Morositas obnoxia est imperitiæ. *Sophoclis.*
Ex ira scio cuncta prodire mala.
Ira permultos agere cogit mala. *Chæremonis.*
Cæterum ut mortale nostrum est corpus, *Euripidis.*
Ita conuenit iram quoq; non retinere
Immortalem, quicunq; sapientiam intelligit.
Nunc in facie tibi iracundia efflorescat ò senex, *Sosiphanis.*
Nunc irasci conuenit iustitiæ gratia.
O quàm cohibendi magnus est iram labor. *Menandri.*
Non esse uidetur aliud iræ pharmacum,
Oratio nisi grauis amici uiri.
Etsi doles uehementer, haud quicquam tamen irritatus

πράξεις προπετεῖς, ὀργῆς γὰρ ἀλογίστου κρατεῖν
ἐν ταῖς ταραχαῖς, μάλιστα τὸν φρονοῦντα δεῖ.

Τὸ δ' ὀξύθυμον τοῦτο, καὶ λίαν πικρόν,
δείγματ' ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας.

Θεοκρίτου. Οὐ θέμις ὦ ποιμὰν τὸ μεσαμβρινὸν οὐ θέμις ἄμμιν
συρίσδειν. τὸν Πᾶνα δεδοίκαμες. ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται, ἔστι δὲ πικρός,
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.

Ὁμήρου. Μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι Πίμπλαντο.

Εὐριπίδου. Τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν
Ιego ταυτὶ. εἰς ταὐτὸν ἐλθόν, τοῦ λίαν παρείλετο.

Ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο
δειναί, πλάνος τι καρδίᾳ προσίσταται.

Σοφοκλέους. Ὦ μωρέ. θυμὸς ἐν κακοῖς οὐ σύμφορος.

Ἀρχιλόχου. Θυμὲ θύμ' ἀμηχάνοισι κήδεσι κυκώμενε,
ἀνάδευ. δυσμενῶν δ' ἀλέξευ προσβαλὼν
ἐναντίον στέρνον, ἐν δοκοῖς ἐχθρῶν πλησίον,
κατασταθεὶς ἀσφαλέως,
καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μὴ δὲ νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο,
ἀλλὰ χαρτοῖσί τε χαῖρε, καὶ κακοῖσιν
ἀσχάλλε μὴ λίην. γίγνωσκε δ' οἷος
ῥυσμὸς ἀνθρώπους ἔχει.

Σοφοκλέους. Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.

Ἀνὴρ ἐκεῖνος, αἱ δὲ, ἀνοῦσθαι ἔτι
ἐκεῖνον ἠμύναντο καρτερόν.

Ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν,
μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,
ἰατρός ἐστιν οὐκ ἐπιστήμων κακῶν.

Νεόφρονος. Εἶεν. τί δράσεις θυμέ; βούλευσαι καλῶς,
πρὶν ἢ ἐξαμαρτεῖν, καὶ τὰ προσφιλέστατα
ἔχθιστα θέσθαι. ποῖ ποτ' ἐξῇξας τάλας;
κάτισχε λῆμα καὶ σθένος θεοστυγές.
καὶ πρὸς τί ταῦτ' ὀδύρομαι, ψυχὴν ἐμὴν
ὁρῶσ' ἔρημον, καὶ παρημελημένην,
πρὸς ὧν ἐχρῆν ἥκιστα; μαλθακοὶ δὲ δὴ
τοιαῦτα γιγνόμεσθα πάσχοντες κακά.
οὐ μὴ προδώσεις θυμὲ σαυτὸν ἐν κακοῖς.
οἴμοι δέδοκται, παῖδες ἐκτὸς ὀμμάτων,
ἀπέλθετ'. ἤδη γάρ με φοινία μέγαν
δέδυκε λύσσα θυμόν, ὦ χέρες χέρες
πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα; φεῦ,
τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ
διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ.

Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον φέρειν.

Εὐριπίδου. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει.
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

Ages temere: nam iram rationis inſciam refrenare
In perturbationibus imprimis ſapientem oportet.
Ingenium tam irritabile, & amarulentum adeo,
Indicium ſtatim eſt omnibus puſillanimitatis.
Non fas ò paſtor in meridie, non fas eſt nobis *Theocriti.*
Fiſtula canere. Metuendus Pan eſt: etenim à uenatione
Hoc tempore feſſus quieſcit,
Et acris ei bilis perpetuo naribus aſſidet.
At illi animus ater iracundia replebatur. *Homeri.*
Mores uiolenti & agreſtes cum lenibus *Euripidis.*
Vnà coniuncti, utrumq; temperant exceſſum.
Nam iræ mortalibus ob calamitatem
Graues, & dubius error animo oboritur.
O ſtulte, inutilis eſt ira in malis. *Sophoclis.*
Anime mi grauiſſimis curis turbate *Archilochi.*
Fac patienter feras, & defendas te hoſtibus obijciens
Aduerſum pectus inter haſtas inimicorum cominus
Pede conſiſtens tuto.
Et neq; uictor palàm exultes,
Neq; ſi uictus fueris domi proſtratus lugeas.
Quin rebus lætis gaude, ſiniſtris
Contriſtare, ita ut ne quid nimis: Sed agnoſce qualis
Sors homines detineat.
Multa uidet animus obrutus iacens malis. *Sophoclis.*
Amens quidem ipſe, ſed magis iſtæ inſaniebant,
Quæ uirum illum fortem ulciſcebantur.
Quiſquis hominum rebus iratus aduerſis
Vehementius ipſo morbo remedium adhibet,
Is medicus eſt non peritus naturæ malorum.
Age uero. Quid facies anime? conſulta bene, *Neophronis.*
Priuſquam pecces, & chariſſima tibi
Reddas infenſiſſima. Quo tandem exis miſer?
Reprime uoluntatem, & uim impiam.
Sed quid hæc lugeo cum animam meam
Videam deſeri, atq; negligi,
A quibus id minime oportebat? Molles ſcilicet,
Et timidi ſunt huiuſmodi qui mala tolerant.
Ne teipſum anime relinquas in malis.
Hei mihi, ſtat ſententia: O pueri ab oculis
Diſcedite. Iam mihi cruenta magnum
Subijt rabies animum. O manus manus,
Ad quale facinus armamur. Heu
Quid tantum infœlix audebo, quæ breui diuturnum laborem
Perditura meum pergo tempore?
Non primum nunc uideo, ſed ſæpius antehac,
Aſperam iram quantæ ſit molis ferre.
Grauis eſt, & incurabilis ira, *Euripidis.*
Cum inter amicos naſcitur contentio.

Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.

Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

Ὁ θυμὸς ἀλγῶν, ἀσφάλειαν οὐκ ἔχει.

Ἐν τοῖς κακοῖσι συγγενεῖ ὅταν παρῇ,
τραχεῖα καὶ ὀξύθυμος, ἀμαθίαν ἔχει.

Ὁμήρου. Ἀλλ' Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τι σε χρὴ
νηλεὲς ἦτορ ἔχειν. στρεπτοὶ δέ γε καὶ θεοὶ αὐτοί.

Οὕτω γὰρ δή τοι γαιήοχε κυανοχαῖτα
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε, κρατερόν τε;
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.

Πλάτων ὀργισθείς ποτε τινὶ τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἐκέλευεν ὅτι ὀργίζεται. κολασθῆναι γὰρ ἂν πάντως εἰ μὴ ὀργίζετο.

Ἀντιφῶντος. Οὐκ ἔστιν ὅ, τι ἂν ὀργιζόμενος ἄνθρωπος εὖ γνοίη. αὐτὸ γὰρ ὃ βούλεται, τὴν γνώμην διαφθείρει τοῦ ἀνθρώπου.

Ἡροδότου. Ὡς ἐν τοῖσιν ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός, χρηστὰ μὲν ἀκούσας, τέρψιος ἐμπίμπλησι τὸ σῶμα, ὑπεναντία δὲ τουτέοισιν ἀκούσας, ἀνοιδαίνει.

Ἀριστοτέλους. Ἢ οὐχ ὁρᾷς, ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμὸς ἀποδημεῖ φεύγων τὸν θυμόν, ὡς πικρὸν τύραννον.

Ἀρριανοῦ. Μεγαλόθυμοι πρᾴως εἰσί τινες, ἡσυχῇ καὶ οἷον ἀοργήτως πράττοντες, ὅσα καὶ οἱ σφόδρα ὑπὸ θυμοῦ φερόμενοι. φυλακτέον οὖν καὶ τὸ τούτων ἀβλέπτημα, ὡς πολὺ χεῖρον ὂν τοῦ διατεινόμενον ὀργίζεσθαι. οὗτοι μὲν γάρ, ταχὺ κόρον τῆς τιμωρίας λαμβάνουσιν· οἱ δέ, εἰς μακρὸν παρατείνουσιν, ὡς οἱ λεπτῶς πυρέττοντες.

Ἀπολλωνίου μακεδόνος. Τῆς ὀξυθυμίας τὸ ἄνθος, μανία.

Τὸ τῆς ὀργῆς πάθος μὴ καθομιλούμενον, μηδὲ θεραπευόμενον, φυσικὴ νόσος γίνεται.

Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος, οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον, καὶ πότε μεῖζον ἠδίκησεν.

Διονυσίου ἁλικαρνασέως. Ὅτι μεγάλου καὶ δοκοῦντος εἶναι, καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς, ἡ πρόνοια καὶ φυλακὴ τοῦ μὴ περιπεσεῖν, μείζων.

Σωτίωνος. Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς, Ἡρακλείτου μὲν δάκρυα, Δημοκρίτου δὲ γέλως ἐπῄει.

Ὥσπερ δὲ πλοῖα οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ, ἀλλ' ὅσα πρὸς χειμῶνα ἀντέχει, καὶ σώζεται, οὕτω καὶ ἄνθρωποι ὀργῇ καὶ κινήσει ἀντέχοντες, μεγάλοι καὶ ἀνδρεῖοι. ὑποκριταῖς μὲν οὖν τοῖς μὴ ὀργιζομένοις ὑποκειμένοις ὀργὴν συγκεχώρηκεν· οἱ δὲ σπουδαῖοι ἄνδρες, οὐδ' ἐὰν ὡς ἀληθῶς ὀργίζωνται, οὕτω χρῶνται τῷ σχήματι.

Ἀριστοτέλους. Ὥσπερ ὁ καπνὸς ὑποδιάκνων τὰς ὄψεις οὐκ ἐᾷ βλέπειν τὸ κείμενον ἐν τοῖς ποσίν· οὕτως ὁ θυμὸς ἐπαιρόμενος, τῷ λογισμῷ ἐπισκοτεῖ, καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἐᾷ [illegible] τῇ διανοίᾳ προσλαβεῖν.

Δημοκρίτου. Θυμῷ μάχεσθαι μέν, χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατεῖν εὐλογίστου.

Πλάτων ὀργιζόμενος ποτὲ τῷ οἰκέτῃ ἐπιστάντος Ξενοκράτους, λαβὼν ἔφη τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι.

Πλουτάρχου. Ἀριστοτέλης φησὶ Σατύρου τοῦ σαμίου τοὺς φίλους φράξαι τὰ ὦτα κηρῷ δίκην ἔχοντος, ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμὸν ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος.

Οἱ νεώνητοι δοῦλοι, οὐκ εἰ δεισιδαίμων, ἢ φθονερὸς πυνθάνονται ὁ δεσπότης, ἀλλ' εἰ ὀργίλος.

Ῥούφου ἐκ τῶν ἐπικτήτου περὶ φιλίας. Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον, συνδῆσαι, καὶ συναρμόσαι τὴν ὁρμὴν τῇ τοῦ προσήκοντος καὶ ὠφελίμου φαντασίας.

Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτους τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν καὶ ἀνοήτων ἀνθρώπων. φαμὲν γὰρ τὸν εὐκαταφρόνητον, νοεῖσθαι μὲν καὶ κατὰ τὸ ἀδύνατον εἶναι βλάψαι· ἀλλὰ πολὺ μᾶλλον νοεῖται κατὰ

τὸ ἀδυνα-

Tempus requirit animum ut ira superiorem habeas.

Consilia mea uincit iracundia,
Quæ mala maxima gignit hominibus.

Animus commotus atq; dolens nihil habet tuti.

Si cognati adfuerint malè fortunato
Asperi & irati, imprudenter faciunt.

Reprime tuam iracundiam Achilles, haud te decet *Homeri Iliadis 9*
Animi crudelis esse. Mutabiles sunt etiam superi.

Siccine tuo nomine, ô qui terram cingis cœrule comam, *Eiusdem Iliadis 15.*
Hæc uerba Ioui nunciabo, tam sæua duraq́;?
An placet mutare? mutatur sanè bonorum quoq; animus.

Plato quondã iratus cuipiã è famulis, gratiã cũ dijs habere iussit quod succensèret: alioquin em̃ non euasurũ fuisse sine castigatione, si non succensuisset.

Nihil quicquam homo iratus rectè potest cognoscere: Vlciscendi enim auiditas iudicium eius corrumpit. *Antiphontis.*

Hominum animus in auribus habitare uidetur: bonis enim auditis corpus gaudio repletur: contrarijs autem, ira inflatur. *Herodoti.*

Nónne uides quod ab omnibus quæ per iram committuntur ratio recedit, fugiens iracundiam, tanquam acerbum tyrannum? *Aristotelis.*

Sunt quidam leniter magnanimi, tranquille facientes absq; iracundiæ motu æque magna, ac alij uehementer impetuosi & iracundi. Sed cauendum est à remisso illorum ingenio, ut quod sit deterius, quàm magno iracundiæ nixu intensum. Hoc enim statim ultione saturatur: illud uero in multum temporis extenditur, quẽadmodum exilis febricula. *Arrhiani.*

Insania flos est iracundiæ. *Apollonij Macedonis.*

Affectus iræ nisi curentur & castigentur, in naturalem morbum abeunt.

Qui propter leues errores uehementissime succenset, nõ sinit autorem peccati discernere quando minus, & quando maius admiserit crimen.

Quamuis iram uincere tum magna res uideatur, tum reuera sit: maius tamen est cauere & prouidere ne in ipsam incidamus. *Dionysij Halicarnassei.*

Sapientibus iræ loco, Heraclito q̃dẽ lachrymæ, Democrito aũt risus oboriebãt. *Sotionis.*

Quemadmodum nauigia, non quæ in tranquillitate nauigant, sed quæ tempestatibus obsistunt, & euadunt: sic & homines qui iræ & perturbationibus resistere ualent, magni fortesq́; habentur. Histriones quidem, licet solum simulent, hominis irati faciem repræsentant: Viri autem uirtutis studiosi, etsi reuera irascantur, uultu tamen & gestibus irati abstinent.

Vt fumus mordicans oculos non uidere sinit, quæ pedibus adiacent: sic iracundia oboriens rationem offuscat, & quod bonum habitura mens fuerat à ratione, eo non sinit ipsam iracundia sine labore ac molestia potiri. *Aristotelis.*

Iracundiam impugnare quidem est difficile: sed uiri præditi ratione bona est ipsam uincere. *Democriti.*

Plato iratus olim in famulum, assistente Xenocrate: accipe dixit, & hunc flagris affice: ego enim irascor.

Aristoteles inquit, Satyri Samij aures amicos eius cera obstruxisse in causa agenda, ne omnia per iracundiam confunderet auditis aduersariorum conuicijs. *Plutarchi.*

Serui nuper empti non quærunt an superstitiosus aut inuidus sit dominus, sed an iracundus.

Hoc inprimis est opus naturæ, ut cohibeat & moderetur imaginationis impetũ, ad decorũ & utilitatis regulam. *Rufi ex Epicteti historia de amicitia.*

Ignobilis est & imprudentis hominis, ideo se facile contemptũ iri à cæteris existimare, q̃d primos hostes nõ modis omnib⁹ offenderit. Asserimus em̃ aliquẽ extra cõtemptũ esse quidem, eo quod nocere queat; sed multo magis non contemni illum,

τὸ δυνατὸν εἶναι ὠφελεῖν.

Δημοκρίτου. Φιλονεικίη πᾶσα ἀνόητος, τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωροῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει.

Ἀρίστιππος κυρηναῖος φιλόσοφος θεασάμενός τινα ὀργιζόμενον, καὶ διὰ τῶν λόγων χαλεπαίνοντα, ἔφη· μὴ τοὺς λόγους δι᾽ ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων καταπαύωμεν.

Ναυκράτης ὁ σοφὸς, τοὺς ὀξυθύμους ἔφη παραπλήσιον τοῖς λύχνοις πάσχειν, καὶ γὰρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

Ἀριστοτέλους. Ὁ θυμός ἐστι πάθος θηριῶδες μὲν ἐν τῇ διαθέσει συνεχὲς δὲ τῇ λύπῃ, σκληρὸν καὶ βίαιον τῇ δυνάμει, φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν καὶ ἀτιμίας, χρημάτων ἀπώλεια, ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν.

Ἀντιφῶντος. Ὅς τις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων, δεδιμαίνει μὴ ἃ θέλει ποιῆσαι ἁμαρτὼν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος, ἀπέστρεψε τὸν νόον τῶν θελημάτων. καὶ ἐν μὲν γὰρ γεγενῆσθαι, οὐκ ἔνεστιν· ἐν δὲ τῷ μέλλειν, ἐνδέχεται γενέσθαι. ὅσ τις δὲ δράσειν μὲν οἴεται

lego δὲ μὴ. τοὺς πέλας κακῶς, πείσεσθαι † δ᾽ ἃ οὐ σωφρονεῖ. ἐλπίδες δ᾽ οὐ πανταχοῦ ἀγαθόν. πολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφορὰς, ἃ δ᾽ ἐδόκουν τοῖς πέλας ποιήσειν, παθόντες ταῦτα, ἀνεφάνησαν αὐτοί. σωφροσύνην δὲ ἀνδρὸς, οὐκ ἂν ἄλ-

ἀντιφράσει malim λος ὀρθότερόν τις κρίνειεν, ἢ ὅστις τοῦ θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς † ἐμφράσσει αὐτὸς ἑαυτὸν, κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν. ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ, παραχρῆμα θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων.

Ἐπικτήτου. Ὅταν μετὰ ἀναστάσεως καὶ ἀπειλῆς ἐπιχειρῇς, μέμνησο προλέγειν, ὅτι ἥμερος εἶ, καὶ οὐδὲν ἄγριον δράσας ἀμετανόητος, καὶ ἀνεύθυνος διαγενήσῃ.

Κάτωνος πρεσβυτέρου. Τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.

Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα, ὥστε ἡ μήτηρ οὐκ ἀστεία.

Ἀρίστωνος. Ὅσα δὲ ὀργῇ χρώμενοι πράττουσιν ἄνθρωποι, ταῦτα ἀνάγκη τυφλὰ εἶναι, καὶ ἀνόητα,

Πλουτάρχου. καὶ τοῦ παντὸς ἁμαρτάνειν, οὐ γὰρ οἷόν τε ὀργῇ χρώμενον, λογισμῷ χρῆσθαι. τὸ δὲ ἀνυλογισμοῦ ποιούμενον, πᾶν ἄτεχνόν τε, καὶ διεστραμμένον. λόγον οὖν ἡγεμόνα χρὴ ποιησάμενον, οὕτως ἐπιχειρεῖν τοῖς κατὰ τὸν βίον ἔργοις, τὰς ἑκάστοτε προσπιπτούσας ὀργὰς διορθούμενον, καὶ διανεύοντα, ὥσπερ οἱ κυβερνῆται τὰ κύματα προσφερόμενα. ἔστι γοῦν οὐκ ἔλαττον τὸ δεινὸς ὀργῆς ἀντιπρῴρου κυλινδουμένης, αὐτόν τε καὶ σύμπαν οἶκον ἄρδην ἀπολέσαι, καὶ ἀναστρέψαι μὴ διαπλεύσαντα δεξιῶς. οὐ μὴν ἀλλ᾽ ἐπιμελείας εἰς αὐτὰ δεῖ καὶ μελέτης, ἣ καὶ μάλιστα ἁλίσκονται κατάκρας οἱ παραδεξάμενοι τὸν θυμὸν ὡς σύμμαχον ἀρετῆς, ἀπολαύοντες ὅσον αὐτοῦ χρήσιμόν ἐστιν, ἔν τε πολέμοις, καὶ νὴ δία ἐν πολιτείαις. τὸ πολὺ δὲ αὐτοῦ καὶ τὸ ἐπιπόλαιον ἐκκρίνειν καὶ ἐκβάλλειν τῆς ψυχῆς, ὅπερ ὀργή τε καὶ πικρία δι᾽ ὀξυθυμίαν λέγεται, νομίσματα ἥκιστα ταῖς ἀνδρείαις ψυχαῖς πρέποντα. τίς οὖν ἐν τῇ ἡλικίᾳ τούτων γίγνεται μελέτη; ἐμοὶ μὲν δοκεῖ μάλιστ᾽ ἂν ὧδε γίγνεσθαι, πόρρωθεν ἡμῶν προμελετώντων, καὶ προαπλούντων πλεῖστον. οἷον, ἐν οἰκέτους τε καὶ πρὸς γυναῖκας τὰς γαμετάς, ὁ γὰρ οἴκοι πρᾶος, καὶ δημοσίᾳ πρᾶος, πολὺ μᾶλλον ἔσται τοιοῦτος ἐνδοθεν, καὶ ὑπὸ τοῦ οἴκοι πεποιημένος αὐτῷ τῆς αὐτοῦ ψυχῆς εἶναι ἀγαθός.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΤΟΥ ΓΝΩΘΙ ΣΑΥΤΟΝ, ΛΟΓΟΣ ΙΘ.

Φιλήμονος. Ἄνθρωπος ὢν, τοῦτ᾽ ἴσθι, καὶ μέμνησ᾽ ἀεί.

Μενάνδρου. Τὸ γνῶθι σαυτὸν ἐστὶν, ἂν τὰ πράγματα
ἴδῃς τὰ σαυτοῦ, καὶ τί σοι ποιητέον.

Διφίλου. Ἂν γνῷς τί ἐστ᾽ ἄνθρωπος, ἥδιον ἔσῃ.

Ἀντιφῶντος. Εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.

Κατὰ

qui beneficijs iuuare potest.

Imprudens est omnis contentio: dum enim hostẽ quo pacto lædat respicit, propriam utilitatem negligit. *Democriti.*

Aristippus Cyrenensis philosophus cũ succensere quendã uidisset, ac uerbis indignari, dixit: Ne uerba per iram proferamus, sed uerbis iram compescamus.

Naucrates sapiens iracundis simile quid accidere dixit, quod lucernis, quæ copioso oleo magis inflammantur.

Iracundia est perturbatio immanis affectione, dura & uiolenta potentia, cædium causa, calamitatis socia, iacturam concilians & dedecus, pecuniarum pernicies, ad hæc perditionis origo. *Aristotelis.*

Quisquis accedens aliquem animo lædendi, sibi metuit ne non assequutus quæ facere uult, ea quæ non uult referat, is sanè plus sapit. Dum enim sibi timet cunctatur, interea autem non rarò tempus intercedens mutat institutum. Non dico quod metuendo sapiat, sed dum moratur sapere potest. Contrà qui alijs quidem se nociturum putat, se uero nihil passurum, minimè sapit. Spes enim haud semper est bona, sed sæpe talis concepta spes in maximas calamitates præcipitat: & multi quæ in alios se facturos sibi persuaserant, ea ipsimet palàm sunt passi. Cæterum sapientem uirum non rectius alium iudicaueris, quàm illum qui sese contra momentaneam iræ titillationem muniuerit, & potuerit ipse frenare ac uincere seipsum. Contrà qui iræ uoluerit indulgere, huic sanè deteriora præ melioribus placent. *Antiphontis.*

Si quem cum minis & impetu uolueris aggredi, memento præmeditari humanum esse tibi mansuetumq́ ingenium, & quod pœnitudo damnumq́ te sequutura sint, si quicquam immane commiseris. *Epicteti.*

Iratum ab insano tempore tantum distare puta. *Catonis maioris*

Apparet iram parere maledicentiam: itaq; mater est inciuilis. *Aristonis.*

Quæcunq; ira commoti faciunt homines, ea necessum est cæca sint, & imprudentia, & omnino errata. Non enim fieri potest ut concitatus ira ratione utatur. Omne autem quod sine ratione fit, inartificiosum, ac peruersum est. Proinde rationem oportet agendorum ducem constituere, ac ita demum actiones uitæ aggredi, iram interea contingentem semper castigando, ac euitando, ut naucleri fluctus aduoluendos. Est enim sanè non minor metus ne ira nimium aduersa, ceu proræ fluctus, & sui autorem, & familiam funditus perdat euertatq́, nisi quis per industriam præternauiget. Cæterum ad iram rectè moderandam diligentia & studium requiruntur: usus enim ipsius moderatus ad uirtutem incitandam utilis, & fortitudini socius existit, tum in bello, tum per Iouem in administranda republica. Quod uero nimium est exundansq́, id exterminare & procul ab anima reijcere oportet, nempe quod iram, amarulentiam, & excandescentiam uocant, nomismata & insignia fortibus animis indecora. Sed quo pacto in uita iræ moderamini studebimus? Hoc fiet inprimis, mea quidem sententia, si multo ante rem præmeditemur, & longissimè abnauigemus ab ipsa. Exercebimus igitur nos domi inter famulos, & uxores. Qui enim domi lenis esse didicit, idem multo magis publicè talis erit, præstabitq́ foris, quod intus cum familia exercuit, uidelicet ut mitis ac bonus sit. *Plutarchi.*

IANNIS STOBAEI DE COGNOSCENDO SEIPSVM, SERMO XIX.

HOMO cum sis, id fac semper intelligas, & memineris. *Philemonis.*

Nosces teipsum, si negotia *Menandri.*
Inspexeris tua, & quid faciundum tibi.

Iucundius uiues, si noueris quid homo sit. *Diphili.*

Si mortalis es uir optime, mortalia sapito. *Antiphontis.*

Μενάνδρου.

Κατὰ πολλ' ἄν ἐστιν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτόν, χρησιμώτερον γὰρ ἦν
τὸ γνῶθι τοὺς ἄλλους.

Ἐκ τῆς Αἰλιανοῦ ἱστορίας.

Ἐν χαιρωνείᾳ τοὺς ἀθηναίους ἡνίκα ἐνίκησεν ὁ Φίλιππος, ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμῷ ἐκράτησε, καὶ οὐχ ὕβρισε, καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν, ὅτι ἄνθρωπός ἐστιν.

Ἐκ τῶν Ἀρίστωνος.

Ἡράκλειτος νέος ὤν, πάντων γέγονε σοφώτερος, ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδότα.

Δημῶναξ ἐρωτηθεὶς πότε ἤρξατο φιλοσοφεῖν: ὅτε καταγιγνώσκειν ἔφη ἐμαυτοῦ ἠρξάμην.

Σωκράτης ἐρωτηθεὶς, διὰ τί οὐ συγγράφει, ὅτι ἔφη ὁρῶ τὰ χαρτία πολὺ τῶν γραφομένων τιμιώτερα.

Θεόκριτος ἐρωτηθεὶς, διατί οὐ συγγράφει, ὅτι ἔφη ὡς μὲν βούλομαι οὐ δύναμαι, ὡς δὲ δύναμαι οὐ βούλομαι.

Βίαντος.

Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.

Παροιμία.

Γνῶθι σαυτὸν, ὡς παροιμία λαμβάνεται, μαρτυρεῖ Θεόφραστος ἐν τῷ περὶ παροιμιῶν, οἱ πολλοὶ δὲ Χίλωνος εἶναι τὸ ἀπόφθεγμα. Κλέαρχος δὲ, ὑπὸ τοῦ θεοῦ λεχθῆναι Χίλωνι.

Χίλων ἐρωτηθεὶς τί χαλεπώτατον, τὸ γινώσκειν ἑαυτὸν ἔφη. πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

Ἀλέξανδρος νοσήσας μακρὰν νόσον, ὡς ἀνέρρωσεν, οὐδὲν ἔφη διατεθῆναι χεῖρον. ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν, ὡς θνητοὺς ὄντας.

Πλουτάρχου.

Καὶ μὴν οἶνοί τε, καὶ σαρκῶν ἐμφορήσεις, σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ. καὶ χρημάτων ἐπιμέλεια μὲν συνεχὴς καὶ τήρησις, αὔξει πλοῦτον: ἀντιπεροψία δὲ καὶ σωφροσύνη, μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὥστε οὐ πάντα πάντων ἐστὶν, ἀλλὰ δεῖ τῷ πυθικῷ γράμματι πειθόμενον, αὑτὸν καταμαθεῖν, εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν, καὶ παραβιάζεσθαι τὴν φύσιν.

Ἐκ τῶν Ἐπικτήτου.

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος ὅτι καλός εἰμι, ἀνεκτὸν ἦν. σὺ δ' ὅταν λέγῃς, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐφ' ἵππου ἀγαθῷ μέγα φρονεῖς. τί οὖν ἐστὶ σόν; χρῆσις φαντασιῶν, ὥστε ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι. τότε γὰρ ἐπὶ τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ.

Δημοσθένους.

Καὶ τὰ ἀγαθὰ μὴ προσδοκᾶν, καὶ τοῖς θεοῖς εὔχεσθαι διδόναι: πάντα δ' ἀνθρώπινα ἡγεῖσθαι.

Ἀλλ' οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον, καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίγνονται, διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις, καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι.

Πλάτωνος ἐκ τῶν Ἀντεραστῶν.

Τί δ' ἐπειδὰν ἄνθρωπος ὤν τις ἀγνοεῖ τοὺς χρηστοὺς καὶ τοὺς μοχθηροὺς ἀνθρώπους, ἆρ' οὐχ ἑαυτὸν ἀγνοεῖ πότερον χρηστός ἐστιν, ἢ μοχθηρός; ἐπειδή καὶ αὐτὸς ἄνθρωπός ἐστι. συνεχώρει. τὸ δὲ αὑτὸν ἀγνοεῖν, σωφρονεῖν, ἢ οὐ σωφρονεῖν ἐστιν; οὐ σωφρονεῖν. τὸ ἑαυτὸν ἄρα γινώσκειν, ἐστὶ σωφρονεῖν; φημὶ ἔφη. τοῦτ' ἄρα ὡς ἔοικε καὶ τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην. ἔοικε. τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; φημί. οὐκοῦν, ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστὶν ᾗ δὲ διαγιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη; ἔοικεν, ἔφη. ταὐτὸν ἄρα ἐστὶ δικαιοσύνη σωφροσύνη; φαίνεται. καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν. ἀληθῆ λέγεις.

Ξενοφῶντος.

Καὶ ὁ Σωκράτης, εἰπέ μοι ἔφη ὦ Εὐθύδημε, εἰς Δελφοὺς ἤδη πώποτε ἀφίκου; καὶ δίς γε νὴ Δία ἔφη. κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον τὸ γνῶθι σαυτόν; ἔγωγε. πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε, καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν, ὅστις εἴης; μὰ Δί' οὐ δῆτα ἔφη: καὶ γὰρ δὴ τοῦτο πάνυ ᾤμην εἰδέναι. σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴγε μὴ δ' ἐμαυτὸν ἐγίνωσκον. πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν, ὅστις τοὔνομα μόνον τὸ ἑαυτοῦ οἶδεν, ἢ ὅστις ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι

Multis sane modis non bene dictum est, *Menandri.*
Cognosce teipsum: foret enim utilius si diceretur,
Cognosce alios homines.

Cum in Chæronea Philippus Athenienses uicisset, animum elatum ratione cõpescuit, ne quid per contumeliã & fastum cõmitteret. Ideoq; sibi consuluit, ut quotidie in aurora ab aliquo puerorum se hominem esse commoneretur. *Ex Aeliani historia.*

Heraclitus adhuc iuuenis omnium erat sapientissimus, seipsum enim nihil nosse cognoscebat. *Ex Aristonis scriptis.*

Demonax interrogatus quando cœpisset philosophari, tum dixit, cum cognoscere meipsum incœpi.

Socrates roganti cur nihil scriptum æderet, respondit: quia uideo chartam multo preciosiorem, quàm scribenda forent.

Theocritus quærenti quare non scriberet, dixit: quoniam ut libet, non possum: ut uero possum, non libet.

Contemplare uelut in speculo tuas actiones, ut honestas quidem magis ornes, turpes uero abscondas. *Biantis.*

Nosce teipsum, Theophrasto teste in libro de parœmijs, prouerbialiter usurpatur. Multi Chilonis hanc sententiam faciunt: Clearchus autẽ diuinitus ipsam Chiloni dictatam scribit. *Prouerbium.*

Chilo quid difficillimum interrogatus, seipsum agnoscere, respondit: Vnumquenq; enim multa ex cæco sui amore sibi attribuere.

Alexander postquã ex diuturno morbo cõualuit, nihilo se deterius affectũ dixit: admonuit eñ nos ægritudo ne altum saperemus, utpote mortales.

Potatio quidẽ uini, & ingestio carniũ, ualidũ corpus efficiunt ac robustum, sed animũ imbecillũ. Item assiduũ pecuniæ studiũ, & conseruatio, auget quidẽ opes: sed animi moderatio & temperantia, magnũ sunt ad philosophiam uiaticũ. Itaq; non quiduis unicuiq; conuenit, sed oportet sententię Apollineæ morigerum seipsum agnoscere, deinde unũ aliquod aptum ingenio suo studium sequi, non aliud aliàs, uitæ genus æmulando distrahere naturam, eiq; uim facere. *Plutarchi.*

Nulla debes aliena præstantia gloriari. Equus qdẽ elatus si de seipso iactabundus diceret, quã sum egregius, foret utiq; tolerabile. At si tute dicas, næ equũ egregiũ possideo: nihil aliud quã de bono equo superbis. Tuum autẽ quid est? Nempe solus opinionũ usus, quem si secundum naturam habueris, tum gloriare, ita demum enim de propria excellentia gloriaberis. *Ex Epicteti historia.*

Oportet expectare bona, deosq; rogare ut ea nobis conferant: omnia autem humana existimare. *Demosthenis.*

Equidem rerum euentus omnibus hominibus sunt obscuri, & momenta occasionum parua ad res maximas causæ existunt: ideo in secunda fortuna moderatos nos præstare, futurisq; prouidos oportet.

Nunc uero cũ homo quispiã existens ignoret bonos homines & malos, nõne sui ipsius etiã ignarus erit, bonus ne sit an malus? Adnuit. Seipsum ignorare, sapere an desipere est? Desipere. Seipsum itaq; nosse, sape est? Est inqt. Hoc igiť, ut uidetur, & inscriptio quæ in Delphis est, præcipit, prudentiã scilicet & iustitiã colere. Apparet. Hac eadẽ & rectè cohibere scimus. Adnuit. Qua ergo recte cohibere scimus, ea utiq; iustitia est. Qua uero & nos ipsos, & alios dignoscere possumus, prudẽtia. Videtur. Eadem igitur est iustitia atq; prudentia. Apparet. Quinetiã ciuitates tunc optime gubernantur, cum iniusti dant pœnas. Vera narras. *Platonis in amatoribus.*

Tũ Socrates: Dic mihi ô Euthydeme, ait, fuisti ne unquã apud Delphos? Et bis, inquit, me hercle. Considerasti itaq;, ait, in templo scriptam illam diuinam sententiam, COGNOSCE TEIPSVM? Ita, inquit. Vtrum ait nihili illam fecisti, an conatus fuisti teipsum qualisnam sis, considerare? Non, inquit, me hercle. Putabam enim bene hoc scire. Nam si meipsum ignorarem, quid aliud scirem? Vtrum autem seipsum ille cognoscere tibi uidetur qui nomen *Xenophontis libro 4. de factis & dictis Socratis.*

ὠνούμενοι, οὐ πρότερον οἴονται γιγνώσκειν, ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον εὐπειθής ἐστιν, ἢ δυσπειθής, καὶ πότερον ἰσχυρὸς, ἢ ἀσθενὴς, καὶ πότερον ταχὺς, ἢ βραδὺς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια, ὅπως ἔχει: οὕτως ἑαυτὸν ἐπισκεψάμενος, ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν ἑαυτοῦ δύναμιν; οὕτως ἔμοιγε δοκεῖ ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν. ἐκεῖνο δὲ οὐ φανερὸν ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς, πλεῖστα ἀγαθὰ † ἔχουσιν ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα κακά. οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς, τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ διαγιγνώσκουσιν, ἅτε δύνανται, καὶ ἃ μή. καὶ ἃ μὲν ἐπίστανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν. ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται, καὶ διαφεύγουσι τὸ κακῶς πράττειν. διὰ τὸ αὐτὸ δὲ καὶ τοὺς ἄλλους δυνάμενοι δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας, τά τε ἀγαθὰ πορίζονται καὶ τὰ κακὰ φυλάττονται. οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς αὐτῶν δυνάμεως, πρός τε τοὺς ἄλλους ἀνθρώπους, καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ, τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κακοῖς περιπίπτουσι. καὶ οἱ μὲν εἰδότες ὅ, τι ποιοῦσιν ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται: καὶ οἵτε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵτε ἀποτυγχάνοντες τῶν πραγμάτων, ἐπιθυμοῦσι τούτους ὑπὲρ αὐτῶν βουλεύεσθαι, καὶ προΐστασθαί τε ἑαυτῶν τούτους, καὶ ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες τί ποιοῦσι, κακῶς τε αἱρούμενοι, καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταγέλαστοι γίγνονται. καὶ καταφρονούμενοι, καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων, ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ δὲ, ἀνάστατοι γίγνονται, αἱ δὲ, ἐξ ἐλευθέρων δοῦλαι; καὶ ὁ εὐθύδημος, ὡς πάνυ μοι δοκεῖς ὦ σώκρατες ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι, τὸ ἑαυτὸν γιγνώσκειν. † οὕτως ἴσθι. ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτὸν, τοῦτο πρὸς σὲ ἀποβλέπω, εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. οὐκοῦν ἔφη ὁ σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι, πάντως που γιγνώσκεις; νὴ δί᾽ ἔφη. εἰ γὰρ μὴ δὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. ἴθι δὴ ἔφη καὶ ἐμοὶ ἐξήγησαι ταῦτα. ἀλλ᾽ οὐ χαλεπὸν ἔφη. πρῶτον μὲν γὰρ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν, καὶ ποτὰ, καὶ βρωτὰ, καὶ ἐπιτηδεύματα: τὰ μὲν, πρὸς τὸ ὑγιαίνειν φέροντα, ἀγαθά: τὰ δὲ πρὸς τὸ νοσεῖν, κακά. οὐκοῦν ἔφη καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη: ὅταν δὲ κακοῦ, κακά. πότε δ᾽ ἂν ἔφη τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν, ἀγαθοῦ; ὅταν νὴ δί᾽ ἔφη στρατιᾶς τε αἰσχρᾶς, καὶ ναυτιλίας βλαβερᾶς, καὶ ἄλλων πολλῶν τοιούτων, οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ, δι᾽ ἀσθένειαν ἀπολειφθέντες σώζωνται. ἀληθῆ λέγεις. ἀλλ᾽ ὁρᾷς ἔφη ὅτι καὶ τῶν ὠφελίμων, οἱ μὲν, διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι᾽ ἀσθένειαν ἀπολείπονται. ταῦτα οὖν ἔφη ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν. οὐδὲν μὰ δία φαίνεται κατά γε τοῦτον τὸν λόγον. ἀλλ᾽ ἥγε τοι σοφία ὦ σώκρατες ἀναμφισβητήτως ἀγαθόν ἐστι. ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὢν, ἢ ἀμαθής; τί δαὶ, τὸν δαίδαλον ἔφη οὐκ ἀκήκοας, ὅτι ληφθεὶς ὑπὸ μίνω διὰ τὴν σοφίαν ἀναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ, τόν τε παῖδα ἀπώλεσε, καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ᾽ ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευε; λέγεται νὴ δί᾽ ἔφη ταῦτα. τὰ δὲ παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ ὀδυσσέως ἀπόλλυται; λέγεται καὶ ταῦτα ἔφη. ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν † ἀναρπάστους πρὸς βασιλέα γεγονέναι, καὶ ἐκεῖ δουλεύειν; κινδυνεύει ἔφη ὦ σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. εἴγε μή τις αὐτὸ ἔφη ὦ εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. τί δ᾽ ἂν ἔφη τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; οὐδὲν ἔφη εἴγε μὴ προσθήσομεν

αὐτῷ

ἄλ. πάσχουσιν.

ἄλ. ἄπασιν.

ἄλ. ἀνηρπάσθαι.

suum solum nouit? an ille qui seipsum considerat, qualis nempe sit, quantumq; in rebus humanis ac usu earũ ualeat? Quemadmodum illi qui equos emunt nõ antea putant se cognoscere equũ quem nosse cupiunt, quã animaduertant, utrũ bene domitus an effrenis, fortis an debilis, citus an tardus sit, ac in alijs quonam modo se habeat, in quibus equũ ualere oportet. Sic mihi uidetur, inquit, ut tibi. Qui nanq; se, quantũ ualeat, nesciat, seipsum ignorat. At Socrates: Hoc quoq; manifestũ est, inqt, quod propter sui scientiã homines multorũ bonorũ, sicut propter ignorantiã multorum malorũ causa fiunt. Qui nanq; se cognoscunt, quæ sibi conueniant, sciunt, ac discernunt quænã efficere possint, quæ minus: proinde quæ sciunt agentes, comparant ea sibi, qbus indigent, & fœliciter uiuunt: Rursus abstinẽtes ab ignoratis, nec in aliquo peccant, nec male agunt. Quinetiam cum possint alios quoque iudicare, per ipsorum commoditatem sibi consulunt, & à malis cauent. Qui uero se quantũ ualeant ignorant, ineptè se habent & aduersus cæteros homines, & ad res humanas nec quibus indigeant sciunt, neq; quid agant, neq; quibus utantur: sed his omnibus frustrati, bonis priuantur, atq; in mala incidunt: & illi quidem, qui sciunt quid agant, cum res quas uelint, obtineant, honoribus afficiuntur. Itaq; tum illi qui eis similes sunt, libenter eis utuntur: tũ illi qui rebus propositis frustrantur, cupiunt eos consulere, ac sibi eos præficiunt, spemq; totam suam in eis collocant, maximeq; eos propterea diligunt. Qui uero ignorant quid agant, frustrati à re proposita, non solum damnum & iacturam patiuntur, sed etiam in ignominiam incidunt atq; derisum, neglectiq; uiuunt, atq; contempti. Vides autem etiam ciuitates quæcunq; suę conditionis ignaræ fortioribus inferunt bellum, alias depopulari, alias amissa libertate ad seruitutem redigi? Tunc Euthydemus: Velim, inquit, ò Socrates, scias, ualde mihi uideri magni faciundum esse, seipsum cognoscere. Sed unde nam incipere deceat hominem seipsum considerare, hoc mihi exponas. Illa quidem, Socrates ait, quæ bona, quæue mala sunt, utiq; scis. Ita, inquit, me hercle. Si enim nec ista cognoscerem, mancipijs etiam profecto deterior essem. Age igitur, ait, mihi quoq; ea exponas. Non difficilem rem quæris, inquit. Primũ nanq; ipsum sanũ esse, bonum: ægrũ autem, malum puto. Deinde causas utriusq; eorum, ut cibum, potum, exercitia, & reliqua quæ ad sanitatem conducunt, bona: quæ uero ad ægritudinẽ, mala. Ipsum quoq; igitur, ait, sanum & ægrum esse, cum cuiusdam boni causa fiunt, bona: cũ uero mali, mala sint necesse est. Et quando, Euthydemus inquit, aut sanitas esse causa mali, aut ægritudo boni potest? Cum inquit, me hercle turpis exercitus, aut nauigationis noxiæ, cæterorumq; multorum similium, hi quidem participes facti ob bonam ualetudinem corporis pereunt: alij uero abstinendo ab eis propter infirmitatem salui manent. Ita dicis, inquit, ut res est. Sed uides quod etiam utilium rerum, hi quidem ob ualetudinem corporis participes sunt, hi uero non, propter infirmitatem. Hæc itaq;, ait, cum modo prosint, modo obsint, non magis bona, quàm mala sunt. Non, inquit Euthydemus, me hercle. Sed sapientia tamen, ò Socrates, absq; dubio bonum est. Quid nanq; non melius agat sapiens, quàm indoctus. Quid uero? ait. Non audisti Dædalum à Minoë propter sapientiam captum, coactum fuisse illi seruire, patria simul atq; libertate priuatum? conatumq; unà cum filio aufugere, illum quidem amisisse, se uero ipsum non liberasse? Nam ad quosdam barbaros aberrauit, ac eis ipsis seruiebat. Dicuntur hæc, inquit, me hercle. Calamitates autem Palamedis ignoras? Hunc enim propter sapientiam prædicant omnes inuidia Vlyssis interemptum fuisse. Et hoc, inquit, dici audio. Quot uero alios arbitraris propter sapientiam ad regem Persarum ui ductos ibi seruire? Apparet igitur ò Socrates, ait, fœlicitatem bonum procul dubio esse. Si quis ait, ò Euthydeme, non illam ex dubijs bonis componat. Et quid eorum, inquit, quæ ad fœlicitatem conducunt, dubium esset? Nil ait: dum non addamus

αὐτῷ κάλλος, ἢ ἰσχύν, ἢ πλοῦτον, ἢ δόξαν, ἢ καί τι ἄλλο τῶν τοιούτων. ἀλλὰ νὴ Δία προσθήσομεν ἔφη. πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη; νὴ Δί' ἔφη προσθήσομεν ἄρα ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις. πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινημένων διαφθείρονται. πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες, οὐ μικροῖς κακοῖς περιπίπτουσι. πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι, ἀπόλλυνται. πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν, μεγάλα κακὰ πεπόνθασιν. ἀλλὰ μὴν ἔφη, εἴγε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδὲ ὅτι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ εἰδέναι. ἀλλὰ ταῦτα μὲν ἔφη ὁ Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι, † οὐ διέσκεψαι.

ἄλ. οὐδ' ἔσκεψαι.

Πλάτωνος ἐκ τοῦ Φιλήβου.

Τῆς δ' αὖ πάσης πονηρίας ἐστὶ τοὐναντίον πάθος ἔχον, ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἐν Δελφοῖς γραμμάτων. τὸ γνῶναι σαυτὸν λέγεις ὦ Σώκρατες; ἔγωγε. τοὐναντίον μὴν ἐκείνῳ δῆλον ὅτι, τὸ μηδαμῇ γινώσκειν αὑτόν, λεγόμενον ὑπὸ τοῦ γράμματος ἂν εἴη. τί μήν; ὦ Πρώταρχε. πειρῶ δὴ αὐτὸ τοῦτο τριχῇ τέμνειν. πῇ φῄς; οὐ γὰρ μὴ δυνατὸς ὦ. λέγεις δὴ δεῖν ἐμὲ τοῦτο διελέσθαι τὰ νῦν. λέγω καὶ δέομαί γε πρὸς τῷ λέγειν. ἆρ' οὖν οὐ τῶν ἀγνοούντων αὑτοὺς κατὰ τρία ἀνάγκη τοῦτο τὸ πάθος πάσχειν ἕκαστον; πῶς; πρῶτον μὲν κατὰ χρήματα δοξάζειν εἶναι πλουσιώτερον, ἢ κατὰ τὴν αὑτῶν οὐσίαν. πολλοὶ γοῦν εἰσὶ τοῦτο τὸ πάθος ἔχοντες. πλείους δ' ἔτι γε ἢ μείζους, καὶ καλλίους αὑτοὺς δοξάζουσι, καὶ πάντα ὅσα κατὰ τὸ σῶμα εἶναι διαφερόντως τῆς οὔσης αὐτοῖς ἀληθείας. πάνυ γε. πολὺ δὲ πλεῖστοί γε οἶμαι, περὶ τὸ τρίτον εἶδος τοῦτο ἐν ταῖς ψυχαῖς διημαρτήκασιν ἀρετῇ δοξάζοντες βελτίους ἑαυτοὺς οὐκ ὄντες. σφόδρα μὲν οὖν. τῶν ἀρετῶν δ' ἆρ', οὐ σοφίας πέρι τὸ πλῆθος πᾶν ἀντεχόμενον, μεστὸν ἐρίδων, καὶ δοξοσοφίας ἐστὶ † ψευδοῦς; πῶς δ' οὔ; κακὸν μὲν δὴ πᾶν ἄν τις τὸ τοιοῦτον εἰπών, ὀρθῶς ἂν εἴποι πάθος. σφόδρα γε.

ἄλ. ἢ ψευδοῦς.

Πλάτωνος ἀλκιβιάδου, α'.

Φέρε δὴ τί ἐστι τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι; μὴ πολλάκις λάθωμεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι, οἰόμενοι δέ. καὶ πότε ἄρα αὐτὸ ποιεῖ ἄνθρωπος, ἆρ' ὅταν τῶν ἑαυτοῦ ἐπιμελῆται, τότε καὶ αὑτοῦ; ἐμοὶ γ' οὖν δοκεῖ. τί δαί; ποδῶν ἄνθρωπος πότε ἐπιμελεῖται, ἆρ' ὅταν ἐκείνων ἐπιμελῆται ἅ ἐστι τῶν ποδῶν; οὐ μανθάνω. καλεῖς δέ τι χειρός; οἷον δακτύλιον, ἔστιν ὅτου ἂν ἄλλου τῶν τοῦ ἀνθρώπου φαίης, ἢ δακτύλου; οὐ δῆτα. οὐκοῦν καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον; ναί. † (καὶ ἱμάτια καὶ στρώματα τοῦ ἄλλου σώματος ὁμοίως; ναί.) ἆρ' οὖν ὅταν ὑποδημάτων ἐπιμελώμεθα, τότε ποδῶν ἐπιμελούμεθα; οὐ πάνυ μανθάνω ὦ Σώκρατες. τί δαί ὦ Ἀλκιβιάδη. ὀρθῶς ἐπιμελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος; ἔγωγε. ἆρ' οὖν ὅταν τίς βέλτιον ποιῇ, τότε ὀρθὴν λέγεις ἐπιμέλειαν; ναί. τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ; σκυτική. σκυτικῇ ἄρα ὑποδημάτων ἐπιμελούμεθα; ναί. ἦ καὶ ποδὸς σκυτικῇ, ἢ ἐκείνῃ, ᾗ πόδας βελτίους ποιοῦμεν; ἐκείνῃ. βελτίους δὲ πόδας οὐχ ᾗπερ καὶ τὸ ἄλλο σῶμα; ἔμοιγε δοκεῖ. αὕτη δ' οὐ γυμναστική; μάλιστα. γυμναστικῇ μὲν ἄρα ποδὸς ἐπιμελούμεθα, σκυτικῇ δὲ τῶν τοῦ ποδός. πάνυ γε. καὶ γυμναστικῇ μὲν χειρῶν, δακτυλιογλυφίᾳ δὲ τῶν τῆς χειρός. ναί. καὶ γυμναστικῇ μέν, σώματος: ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις, τῶν τοῦ σώματος. παντάπασιν. ἄλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκάστου ἐπιμελούμεθα, ἄλλῃ δὲ τῶν ἑαυτοῦ. φαίνεται. οὐκ ἄρα ὅταν τῶν ἑαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελῇ. οὐδαμῶς. οὐ γὰρ ἡ αὐτὴ τέχνη ὡς ἔοικεν, ᾗ τις ἂν αὑτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὑτοῦ. οὐ φαίνεται. φέρε δή, ποίᾳ ποτ' ἂν ἡμῶν αὐτῶν ἐπιμεληθεῖμεν; οὐκ ἔχω λέγειν. ἀλλὰ τοσόνδε γε ὡμολόγηται, ὅτι οὐχ ᾗ ἂν τῶν ἡμετέρων καὶ ὁτιοῦν βέλτιον ποιῶμεν, ἀλλ' ᾗ ἡμᾶς αὐτούς. ἀληθῆ λέγεις. ἦ οὖν ἔγνωμεν ἄν ποτε τίς τέχνη ὑπόδημα βέλτιον ποιεῖ μὴ εἰδότες ὑπόδημα; ἀδύνατον. οὐδέ γε τίς τέχνη δακτυλίους βελτίους ποιεῖ ἀγνοοῦντες δακτύλιον. ἀληθῆ. τί δέ, τίς γε τέχνη βελτίω ποιεῖ αὐτὸν ἆρ' ἄν ποτε γνοίημεν, ἀγνοοῦντες τί ποτ' ἐσμὲν αὐτοί; ἀδύνατον. πότερον οὖν ἂν ῥᾴδιον τυγχάνει τὸ γνῶναι ἑαυτόν, καί τις ἦν φαῦλος ὁ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν Πυθοῖ νεών, ἢ χαλεπόν τι, καὶ οὐχὶ παντός; ἐμοὶ μὲν ὦ Σώκρατες πολλάκις μὲν ἔδοξε, παντὸς εἶναι; πολλάκις δέ, παγχάλεπον.

Non est in Frobeniano quod includitur parenthesi.

ἀλλ'

ei pulchritudinem, potentiam, diuitias, honores, aut aliud simile. Sed me hercle addemus, inquit: quonā enim pacto sine his fœlix quisquā esse possit? Illa addemus itaq;, Socrates ait, è quibus multa hominibus atq; periculosa euenient? Multi nanq; propter pulchritudinē ab illis perduntur, qui pulchros uenantur: multi confisi potentia, maiora quā possint facere conati, in multa incidunt pericula. Multi propter diuitias molles effecti & pigri, in sidijs pereunt. Nonnulli propter honores ac ciuilem potentiā multa passi sunt. Tum Euthydemus: Si neq; cū fœlicitatē laudo rectè existimo, fateor nec id scire, quid à dijs petendū sit. At hæc nimirū Socrates inquit, propterea quod prorsus tibi cognita putabas, non considerasti.

Est utiq; summatim deprauatio quædam habitus alicuius cognomento dicta, improbitatis uero uniuersæ genus quoddam est, contra prorsus habens, quàm Delphica præcepta docent. Præceptum hoc inquis ò Socrates, Nosce teipsum? Aio. Oppositum huic esset, si forte præciperetur, Nullo modo teipsum nosce? Esset. O Protarche conare nunc id trifariam distribuere. Dic tu: ego enim nequeo. Ais ergo me nunc istud diuidere oportere. Aio equidem, & quod maius est, obsecro. Nōne quisq; ex ijs qui seipsos ignorant, secundum tria id necessario patitur? Quomodo? Primo enim secundum pecunias, opulentiorem quippe quàm sit aliquando se ipsum existimat. Multi quidem ita decipiuntur. Plures etiam, qui maiores formosioresq; se putant, & quæcunq; corpus attinent, supra quàm reuera sunt. Plures profectò. Plurimi deniq;, qui animi dotes maiores quàm habeant, habere se putant. Maximè. Quantum uero ad uirtutes animi, nónne uulgus sapientiam prorsus sibi uendicans, plenum est contentionibus, falsaq; scientiæ ipsius opinione? Quid ni? Si quis ergo affectionem illam omnem malum quiddam uocarit, rectè nimirum appellabit. Maximè. *Ex Philebo Platonis, quid ignorantia.*

Age quid est seipsum curare, ne sæpe nos ipsos fallamus, non curantes nosmetipsos, cum bellè curare putemus. Et quando id homo facit, num quotiens suorum, totiens & sui curam habet? Mihi uidetur. Quid? Num pedes tum quis curat, cum ea, quę pedum sunt, curat? Nō intelligo. Dicis ne esse aliquid ipsius manus, quemadmodum annulus est? Dico. Num alterius membri quā digiti annulum esse censes? Minimè. Et pedis calceum eodem modo? Ita. Cum calceorum curam gerimus, num & pedum cura est? Haud satis te teneo ò Socrates. Quid uero ò Alcibiades, uocásne aliquid rectam alicuius curationem? Voco. An non cum quid melius fit, tunc rectè curatum dicis? Dico. Quæ ars calceos meliores efficit? Cerdonica. Cerdonica igitur calceorum curam habemus? Hac ipsa. Nunquid & pedes etiam cerdonica? uel ipsa potius, qua pedes reddimus meliores. Illa. Pedes autē meliores nónne qua & reliquum corpus? Videtur. Hæc nónne gymnastica. Maximè. Ergo gymnastica pedes curamus, cerdonica uero illa quæ pedum sunt. Prorsus. Et gymnastica quoque manus, annularia uero illa quæ sunt manuum. Sic est. Et gymnastica corpus, textoria autem & alijs facultatibus, ea quæ corporis sunt. Omnino. Alia igitur arte unumquodq;, alia quæ illius sunt, curamus. Videtur. Non ergo cum sua quis, tunc etiam se curat. Nullo pacto. Non enim eadem ars, ut uidetur, quæ nos, & quæ nostra curat. Non apparet. Age itaque quanam arte nosipsos curare possumus? Non habeo quid dicam. At hoc inter nos cōuenit, quod non qua nostrorum aliquid melius efficimus nos curamus: uerum qua nos ipsos ad meliorem frugem corrigimus. Vera narras. Nosse ne unquam licet quæ ars meliorem faciat calceum, nisi calceum ipsum nouerimus? Fieri nequit. Neque etiam quæ annulum efficit meliorem, ignorantes annulum. Verum. Sciemúsne unquam qua arte meliores euadamus, quamdiu nos ipsos ignoramus? Nunquam. Vtrum facile quiddam sit seipsum cognoscere, ac ridiculus fuerit, qui templo Apollinis id inscripsit, an potius arduum quippiam nec cuiusuis hominis est? Mihi quidem ò Socrates aliquando uisum est facile & cuiusuis esse, nonnunquam uero omnium difficillimum. *Platonis in primo Alcibiade.*

ἀλλ᾽ ὦ ἀλκιβιάδη, εἴτε ῥᾴδιον, εἴτε μή ἐστιν, ὅμως γε ἡμῖν ὧδ᾽ ἔχει. γνόντες μὲν αὐτὸ, τάχ᾽ ἂν γνοίημεν τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν: ἀγνοοῦντες δὲ, οὐκ ἄν ποτέ. ἔστι ταῦτα. φέρε δὴ τίν᾽ ἂν τρόπον εὑρεθείη αὐτὸ † ταὐτό. οὕτω μὲν γὰρ ἂν τάχ᾽ εὕροιμεν, τί ποτ᾽ ἐσμὲν αὐτοί. τούτου δ᾽ ἔτι ὄντος ἐν ἀγνοίᾳ, ἀδύνατόν που. ὀρθῶς λέγεις. ἔχε οὖν πρὸς διὸς, τῷ διαλέγῃ σὺ, νῦν ἄλλῳ τῳ, ἢ ἐμοί; ναί. οὐκοῦν καὶ ἐγὼ, σοί; ναί. σωκράτης ἄρ᾽ ἐστὶν ὁ διαλεγόμενος; πάνυ γε. ἀλκιβιάδης δ᾽ ὁ ἀκούων; ναί. οὐκοῦν λόγῳ διαλέγεται ὁ σωκράτης; τί μήν; τὸ δὲ διαλέγεσθαι καὶ τὸ λόγῳ χρῆσθαι, ταυτόν που καλεῖς; πάνυ γε. ὁ δὲ χρώμενος καὶ ᾧ χρῆται, οὐκ ἄλλο; πῶς λέγεις; ὥσπερ σκυτοτόμος τέμνει που τομεῖ καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις. ναί. οὐκοῦν ἄλλο μὲν ὁ τέμνων, καὶ χρώμενος, ἄλλα δὲ οἷς ὁ τέμνων χρῆται; πῶς γὰρ οὔ; ἆρ᾽ οὖν οὕτως καὶ οἷς ὁ κιθαριστὴς κιθαρίζει, καὶ αὐτὸς ὁ κιθαριστὴς ἄλλο ἂν εἴη; ναί. τοῦτο τοίνυν ἀρτίως ἠρώτων, εἰ ὁ χρώμενός τε καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι. δοκεῖ. τί † οὖν φῶμεν τὸν σκυτοτόμον τέμνειν ὀργάνοις μόνον, ἢ καὶ χερσί; καὶ χερσί. χρῆται ἄρα καὶ ταύταις. ναί. ἦ καὶ τοῖς ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ; ναί. τὸν δὲ χρώμενον, καὶ οἷς χρῆται, ἕτερα ὁμολογοῦμεν. ναί. ἕτερον ἄρα σκυτοτόμος, καὶ κιθαριστὴς χειρῶν καὶ ὀφθαλμῶν οἷς ἐργάζονται. φαίνεται. οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἄνθρωπος; πάνυ γε. ἕτερον † δ᾽ ἦν τό τε χρώμενον, καὶ ᾧ χρῆται; ναί. ἕτερον ἄρ᾽ ὁ ἄνθρωπός ἐστι τοῦ ἑαυτοῦ σώματος. ἔοικε. τί ποτ᾽ οὖν ἐστιν ἄνθρωπος; οὐκ ἔχω λέγειν. ἔχεις μὲν οὖν, ὅτι γε τῷ σώματι χρώμενον; ναί. ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ, ἢ ψυχή; οὐκ ἄλλο. οὐκοῦν ἄρχουσα; ναί. καὶ μὴν τό δέ γ᾽ οἶμαι οὐδένα ἂν ἄλλως οἰηθῆναι. τὸ ποῖον; μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον. τίνων; ψυχὴν, ἢ σῶμα, ἢ συναμφότερον τὸ ὅλον τοῦτο. τί μήν; ἀλλὰ μὴν αὐτό γε τὸ τοῦ σώματος ἄρχον ὡμολογήσαμεν ἄνθρωπον εἶναι; ὡμολογήσαμεν. τίς οὖν ὁ ἄνθρωπος; ἆρ᾽ οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρχει; οὐδαμῶς. ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν. ναί. οὐκ ἂν δὴ τοῦτό γε εἴη τὸ ζητούμενον. οὐκ ἔοικεν. ἀλλὰ ἄρα τὸ συναμφότερον τοῦ σώματος ἄρχει, καὶ ἔστι δὴ τοῦτο ὁ ἄνθρωπος; ἴσως δῆτα. πάντων γε ἥκιστα. μὴ γὰρ † συνάρχοντος τοῦ ἑτέρου, οὐδεμία που μηχανὴ τὸ συναμφότερον ἄρχειν. ὀρθῶς. ἐπειδὴ δὲ οὔτε τὸ σῶμα, οὔτε τὸ συναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται οἶμαι, ἢ μηδὲν αὐτὸ εἶναι, ἢ εἴπερ τί ἐστι, μηδὲν ἄλλο τὸν ἄνθρωπον συμβαίνειν, ἢ ψυχήν. κομιδῇ μὲν οὖν. ἔτι οὖν σαφέστερον δεῖ ἀποδειχθῆναί σοι, ὅτι ἡ ψυχή ἐστιν ἄνθρωπος; μὰ δί᾽, ἀλλ᾽ ἱκανῶς μοι δοκεῖ ἔχειν. εἰ δέ γε μὴ ἀκριβῶς, ἀλλὰ καὶ μετρίως, ἐξαρκεῖ ἡμῖν. ἀκριβῶς μὲν γὰρ εἰσόμεθα τότε, ὅταν εὕρωμεν, ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως. τί τοῦτο; ὃ ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον σκεπτέον εἴη αὐτὸ τὸ αὐτό, νῦν δ᾽ ἀντὶ τοῦ αὐτοῦ, αὐτὸν ἕκαστον ἐσκέμμεθα ὅ, τι ἐστίν. καὶ ἴσως ἐξαρκέσει. οὐ γάρ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν, ἢ τὴν ψυχήν. οὐ δῆτα. οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις τοῖς λόγοις χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν. πάνυ μὲν οὖν. τοῦτο δ᾽ ἄρα ἦν, ὃ καὶ ὀλίγῳ ἔμπροσθεν εἴπομεν, ὅτι σωκράτης ἀλκιβιάδῃ διαλέγεται λόγῳ χρώμενος, οὐ πρὸς τὸ σὸν πρόσωπον ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν ἀλκιβιάδην ποιούμενος τοὺς λόγους. τοῦτο δ᾽ ἐστὶν ἡ ψυχή. ἔμοι γ᾽ οὖν δοκεῖ. ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίζειν, ὁ ἐπιτάττων γνῶναι ἑαυτόν. ἔοικεν. ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὐτοῦ, ἀλλ᾽ οὐχ ἑαυτὸν ἔγνωκεν. οὕτως. οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει καθόσον ἰατρός: οὐδὲ τῶν παιδοτριβῶν, καθ᾽ ὅσον παιδοτρίβης. οὐκ ἔοικε. πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς: οὔτε γὰρ τὰ ἑαυτῶν οὗτοί γε ὡς ἔοικε, γιγνώσκουσιν, ἀλλ᾽ ἔτι πορρωτέρω τῶν ἑαυτῶν, κατά γε τὰς τέχνας ἃς ἔχουσι. τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. ἀληθῆ λέγεις. εἰ ἄρα σωφροσύνη ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. οὔ μοι δοκεῖ. διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι, καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα. πάνυ μὲν οὖν. οὐκοῦν πάλιν ὅστις αὖ σῶμα θεραπεύει, τὸ ἑαυτοῦ, ἀλλ᾽ οὐχ ἑαυτὸν θεραπεύει; κινδυνεύει. ὅστις δέ γε τὰ χρήματα οὔτε ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ, ἀλλ᾽ ἔτι πορρωτέρω τῶν ἑαυτοῦ; ἔμοι γε δοκεῖ. οὐ τὰ αὑτοῦ ἄρα ἔτι πράττει ὁ χρηματιστής. ὀρθῶς. εἰ δ᾽ ἄρα τίς γέγονεν ἐραστὴς τοῦ ἀλκιβιάδου σώματος, οὐκ

ἀλκι

al. τ' αὐτό.
al. δή.
al. δή.
al. οὖν ἄρχοντος.

Sed siue facile hoc fit ò Alcibiades, siue difficile, nobis sanè sic se habet, ut hoc intelligentes, etiã qua ratione curandi sumus, intelligamus: ignorantes uero, contrà. Est, ut dicis. Age quomodo illud ipsum inueniemus: sic enim fortassis quid simus ipsi inuenire poterimus. At hoc ignorantes nunquã. Rectè loqueris. Attende ergo per Deum, cũ alio ne quàm mecũ tu disputas? Tecum. Et ego nónne tecũ? Et tu mecũ. Socrates igitur est qui disputat. Est. Alcibiades uero qui audit. Ita est. Nónne ratione Socrates disputat? Quid ni? Disputare autem & ratione uti idem quodammodo uocas? Idem. Vtens autem, & quo utitur, nónne aliud? Quomodo dicis? Quẽadmodum cerdo incidit quidem circulari & semicirculari organo, atq; alijs instrumẽtis. Est ut dicis. Nónne aliud quiddam est qui diuidit, & quo diuiditur quicquã? Quid ni? Item aliud Citharœdus, aliud quod citharã pulsat? Aliud. Hoc paulò ante interrogabam, an utens, & quo utitur, semper aliud esse uideatur? Videtur. Cerdonem incidere dicimus instrumentis tantum, an etiam manibus? Et manibus. Et ijs ergo utitur. Vtitur. An non & oculis utens coria incidit? Prorsus. Vtentem uero aliud quiddam ab ijs, quibus utitur, esse concessimus. Concessimus. Cerdo igitur & citharœdus aliud quiddam sunt, quàm oculi & manus quibus utuntur. Apparet. Nõne toto corpore homo utitur? Penitus. Aliud utiq; utens, & quo utitur. Sic. Homo ergo à suo corpore aliud est. Videtur. Quid est igitur homo? Ignoro. Scis esse quod corpore utitur. Scio. Aliud ne utitur ipso quàm anima? Nil aliud. An non imperans? Imperans. Quinetiam neminem hoc aliter æstimaturum puto. Quidnam? Quin ex tribus unum aliquid homo sit. Ex quibus. Aut animam uidelicet, aut corpus, aut totum ipsum ex utrisq; compositum. Quidni? Veruntamen id quod imperat corpori, hominem esse confessi sumus. Confessi sumus. Quid igitur homo? Num sibijpsi corpus imperat? Nullo modo. Subijci enim illud diximus. Certe. Non est igitur hoc quod quærimus. Non ut uidetur. At utrunq; simul forsitan corpori dominatur, atq; id homo est. Forte. Imò minimè omnium: nam altero illorum non dominante, nulla coniectura est, ut simul utrunq; dominetur. Rectè loqueris. Cum uero nec corpus, nec simul utrunq; sit homo, restat, ut arbitror, aut nihil omnino hominem esse, aut si quid est, nihil aliud quàm animam esse. Prorsus. Adhuc ne liquidius monstrari tibi oportet animam esse hominem? Non per Iouem, hęc enim sufficere mihi uidentur. Etsi non in integrum hæc discussa sunt, mediocriter tamen inducta in præsentia sufficiunt. Nam tunc demum penitus comprehendemus, cum inuenerimus quod nunc, quia ampliorem indagationem requirebat, prætermisimus. Quid istud? Paulò ante sic est dictum, quod prius consyderandum sit ipsum idem, nunc uero pro eo quod quidem est ipsum idem, consyderauimus ipsum unumquodq; quid est, idq; forte sufficiet. Nihil enim in nobis ipsis esse maius quàm animam dicere possemus. Non certe. Nónne sic putandum est, me scilicet ac te † conspirare inuicem anima ad animam sermone utentes? Et maxime quidem. Hoc itaq; erat, quod paulò ante dicebamus, quod Socrates cum Alcibiade disputat oratione utens non ad personam tuam ut apparet, sed ad Alcibiadem uerba dirigens: hoc autem anima est. Mihi sane uidetur. Animam igitur nosse iubet, qui præcipit, Nosce teipsum. Videtur. Quicunq; igitur corpus cognoscit, sua quidem, non seipsum nouit. Sic est. Atq; ideo nullus medicus, ut est medicus, neq; gymnasticus ut gymnasticus sese nouit. Non ut uidetur. Multo minus agricolæ, alijq; opifices se cognoscunt: neq; enim se, neque sua, sed remotiora quædam artibus suis expendunt: ijs enim intenti sunt, quibus corpus curatur. Vera narras. Quare si prudentia est seipsum nosse, nullus istorum secundum suam artem est prudens. Nõ, ut uidetur. Ob hoc mechanicæ artes istæ, non autem boni uiri disciplinæ uidentur. Prorsus. Nónne rursus quicunq; corporis curam habet, sua quidem, non seipsum curat? Apparet. At uero cui pecuniæ curæ sunt, nec se, nec sua sed quæ procul à suis sunt, curat. Videtur. Non ergo suis indulget, qui pecunias cumulat. Rectè. Quisquis etiam corpus Alcibiadis amauit unquam, non Alci-

† διαλέγεσθαι id est, conuersari.

ἀλκιβιάδου ἄρα ἠράσθη, ἀλλά τινος τῶν ἀλκιβιάδου. ἀληθῆ λέγεις. ὅστις δέ σου, τῆς ψυχῆς ἐρᾷ ἀνάγκη. φαίνεται ἐκ τοῦ λόγου. οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται; φαίνεται. ὁ δὲ τῆς ψυχῆς ἐρῶν, οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλ-

αλ. παραμένων. τιον ἴῃ. εἰκός γε. οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιὼν, ἀλλὰ † περιμένων, λήγοντος τοῦ σώματος, τῶν ἄλλων ἀπεληλυθότων.

Ἐν ταυτῷ. Εὖ μοι δοκεῖς λέγειν ὦ σώκρατες, ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅντινα τρόπον ἐπιμεληθείημεν ἡμῶν αὐτῶν. οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθεν πεπέρανται; ὃ γὰρ ἐσμὲν, ἐπιεικῶς ὡμολόγηται. ἐφοβούμεθα δὲ μὴ τούτου σφαλέντες λάθωμεν, ἑτέρου τινὸς ἐπιμελόμενοι, ἀλλ' οὐχ ἡμῶν. ἔστι ταῦτα. καὶ μετὰ τοῦτο δὴ ὅτι ψυχῆς ἐπιμελητέον, καὶ εἰς τοῦτο βλεπτέον. δῆλον. σωμάτων δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον. τί μήν; τίν' οὖν ἂν τρόπον γνοίημεν αὐτὸ ἐναργέστατα. ἐπειδὴ τοῦτο γνόντες ὡς ἔοικεν, καὶ ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντος, οὗ δὴ νῦν ἐμνήσθημεν, τοῦ δελφικοῦ γράμματος οὐ ξυνίεμεν; τὸ ποῖον; τί διανοούμενος λέγεις ὦ σώκρατες; ἐγώ σοι φράσω, ὅ γε ὑποπτεύω λέγειν, καὶ συμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα. κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον. πῶς τοῦτο λέγεις; σκόπει καὶ σύ, εἰ ἡμῶν τῷ ὄμματι ὥσπερ ἀνθρώπῳ συμβουλεῦον, εἶπεν, ἰδὲ ἑαυτὸν, πῶς ἂν ὑπελάβομεν τί παραινεῖν; ἆρ' οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὀφθαλμὸς ἔμελλεν αὐτὸν ἰδεῖν; δῆλον. ἐννοῶμεν δή, εἰς τί βλέποντες τῶν ὄντων, ἐκεῖνό τε ὁρῷμεν ἅμα ἂν, καὶ ἡμᾶς αὐτούς. δῆλον δὴ ὦ σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα. ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ, ᾧ ὁρῶμεν ἔνεστί τι τῶν τοιούτων; πάνυ γε. ἐννενόηκας οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ

αλ. κόρην. καταντικρὺ ὄψει, ὥσπερ ἐν κατόπτρῳ; ὃ δὴ καὶ † κόρην καλοῦμεν, εἴδωλον ὂν τοῦ ἐμβλέποντος. ἀληθῆ λέγεις. ὀφθαλμὸς ἄρ' ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τοῦτο, ὅπερ βέλτιστον αὐτοῦ, καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὑτὸν ἴδοι. φαίνεται. εἰ δέ γ' εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι, ἤ τι τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο, ᾧ τοῦτο τυγχάνει ὅμοιον, οὐχὶ ὄψεται ἑαυτόν. ἀληθῆ λέγεις. ὀφθαλμὸς ἄρα, εἰ μέλλει ἰδεῖν αὑτὸν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον. καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τυγχάνει ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη. ἔστι δὲ τοῦτό που ὄψις. οὕτως. ἆρ' οὖν ὦ φίλε ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὑτὴν, εἰς ψυχὴν αὐτῇ βλεπτέον· καὶ μάλιστα εἰς τοῦτον αὐτῆς τὸν τόπον, ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς ἀρετὴ, σοφία, καὶ εἰς ἄλλο, ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν; ἔμοιγε δοκεῖ ὦ σώκρατες. ἔχομεν οὖν εἰπεῖν, ὅ, τι ἐστὶ τῆς ψυχῆς θειότερον, ἢ τοῦτο περὶ ὃ τὸ εἰδέναι καὶ φρονεῖν ἐστίν; οὐκ ἔχομεν. τῷ θείῳ ἄρα τοῦτ' ἔοικεν αὐτῆς· καί τις εἰς τοῦτο βλέπων, καὶ πᾶν τὸ θεῖον γνούς, θεόν τε, καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη μάλιστα. φαί-

Τὸ αὐτό. νεται. τὸ δὲ γιγνώσκειν αὑτὸν, ὁμολογοῦμεν σωφροσύνην εἶναι; πάνυ γε. † ἆρ' ὥσπερ κάτοπτρα σαφέστερά ἐστι τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου, καθαρώτερόν τε, καὶ λαμπρότερον τυγχάνει ὄν; ἔοικέ γε ὦ σώκρατες. εἰς τὸν θεὸν ἄρα βλέποντες ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρῴμεθ' ἂν, καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν. καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς.

Τὸ αὐτό. ναί. † τὸ δὲ γιγνώσκειν αὑτὸν ὁμολογοῦμεν σωφροσύνην εἶναι; πάνυ γε. ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς, μηδὲ σώφρονες ὄντες, δυναίμεθ' ἂν εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά; καὶ πῶς ἂν τοῦτο γένοιτο ὦ σώκρατες; ἀδύνατον γάρ ἴσως σοι φαίνεται μὴ γιγνώσκοντα ἀλκιβιάδην, τὰ ἀλκιβιάδου γιγνώσκειν, ὅτι ἀλκιβιάδου ἐστίν. ἀδύνατον μέντοι νὴ δία. οὐδ' ἄρα τὰ ἡμέτερα, ὅτι ἡμέτερα, εἰ μὴ δι' ἡμᾶς αὐτούς; πῶς γάρ; εἰ δ' ἄρα μηδὲ τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων; οὐ φαίνεται. οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν

αλ. ἀπ᾽ ἐμ. ὁμολογοῦντες ἄρτι εἶναι τινὰς, οἳ ἑαυτοὺς μὲν, οὐ γινώσκουσι· τὰ δὲ αὐτῶν· † ἄλλοι δὲ τὰ τῶν ἑαυτῶν. ἔοικε γὰρ πάντα ταῦτ' εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης, ἑαυτὸν, τὰ αὑτοῦ, τὰ τῶν ἑαυτοῦ. κινδυνεύει. ὅστις δὲ τὰ αὑτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ἀγνοεῖ κατὰ ταῦτα. τί μήν; οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει; ἀνάγκη. οὐκ ἄρα ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός; οὐ δῆτα. οὐ μὴν οὐδὲ οἰκονομικός γε; οὐ δῆτα. οὐδέ γ' εἴσεται ὅ, τι πράττει; οὐ γὰρ οὖν. ὁ δὲ μὴ εἰδὼς τί πράττει οὐχ

ἁμαρτα-

biadem ipsum, sed quæ Alcibiadis essent, amauit. Vera loqueris. Qui uero te amat, amat animũ. Necessario sequi ex ratione tua uidetur. Nõne tui corporis amator, cũ primũ species deflorescit, abiens deserit? Apparet. At uero q animũ tuũ diligit, nunquã deserit donec ad meliorẽ frugẽ peruenias. Consentaneũ. Hãc ego ob causam te minime desero, uerũ in amicitia perseuero reliquis senescente corpore abeuntibus.

Bene mihi dicere uideris Socrates: Verum conare iam nobis exponere, qua ratione nosmetipsos curemus. Nónne satis iam à nobis in superioribus definitũ est? Quid enim simus communi consensu definiuimus. Nam timebamus ne in hoc decepti nos ipsos forsan falleremus, alicuius alterius non nostri curam habentes. Est ut dicis. Deinde concessum est animæ curam habendam, semperq; ad ipsam respiciendum. Manifestum est. Corporũ uero pecuniarumq; curam aliis relinquendam. Quid ni? Quonam igitur pacto ista perspicue nosceremus, siquidem hoc intellecto nos quoq; ipsos intelligimus? An forte per deos Delphicã illam inscriptionẽ recte monentem, cuius supra mentionem fecimus, nondum intelleximus? Quidnam sic ais ô Socrates? Dicam tibi quid suspicer hanc inscriptionem nobis consulere: neq; uero passim eius exemplar, sed in uisu solum inueniri posse uidetur. Quomodo id ais? Contemplare tu quoq;, si oculo nostro quemadmodum homini consuluisset: Vide teipsum, quomodo id admonuisse putemus? nónne ut in illud inspiceret oculus, ex cuius intuitu seipsum uisurus esset? Constat. Consyderemus itaq; in quid potissimum intuentes, illud simul ac nosipsos uideremus. In specula, & alia huiusmodi. Rectè loqueris: sed oculo quo uidemus, an non inest huiusmodi quiddam? Valde. Num animaduertisti quod facies hominis in oculum intuẽtis in oppositi uisu relucet, uelut in speculo, quam summam uocamus pupillam, simulachrum inspicientis existens? Aduerti. Oculus igitur ita demum seipsum cernit, cum in oculum inspicit, in idq; preterea intendit, quod oculi optimum est, & quo oculus ipse uidet. Apparet. Si autẽ in aliud quoddam hominis membrũ respexerit, uel in quoduis aliud, præterquã in id, cuius hoc est simile, haudquaquã seipsum percipiet. Verum. Oculus ergo cum seipsum uisurus est, in oculum respicere debet, atq; in eum oculi locum, in quo uirtus est oculi: Is autem uisus, atq; pupillæ acies est. Sic est. Eodem pacto & anima, ô amice Alcibiades, si seipsam noscere uult, in animam intueatur, in eumq; præcipue locũ animæ, in quo inest uirtus animæ, sapientia, & in aliud, cuius hoc est simile. Mihi quidem uidetur ô Socrates. Num reperire possumus quippiã in anima diuinius illo, circa quod intelligentia, sapientiaq; uersatur? Nequaquã. Id igitur animæ diuino simile est, in quod sanè quis intuens, & omne diuinũ, Deum scilicet & sapientiam cernens, ita & seipsum agnoscet. Apparet. Seipsum uero cognoscere, prudentiam esse concedimus. Prorsus. *Ibidẽ paulo post*

Nõne sicut specula euidentiora sunt, quã oculi pupilla, & puriora, & splendidiora: sic quoq; Deus optima animę nostræ parte purius quippiã, ac splendidius est? Videtur ô Socrates. Deum itaq; conspicientes, pulcherrimo speculo utemur ipso, deinde inter humana animæ uirtutẽ intuentes: atq; hoc pacto maximè ad inspectionem nostri cognitionemq; peruenire licebit. Reuera. *Eiusdem.*

Seipsum uero cognoscere, prudentiam esse concedimus. Prorsus. Si autem nec nos ipsos cognosceremus, nec prudentes essemus, possemúsne nostra seu mala seu bona nosse? Quomodo posset fieri ô Socrates? Impossibile tibi forte uidetur quenquã, qui non norit Alcibiadem, tamen quæ Alcibiadis sunt, quod sint Alcibiadis nosse? Impossibile per Iouẽ. Nec nostra quod nostra sint, nisi prius nosipsos? Nullo modo. Si nostra ignoremus, nec ea quæ nostrorum sunt intelligimus? Non, ut uidet. Non igitur rectè omnino consensimus, cũ supra quosdã esse assereremus, qui se ignorantes, sua tamẽ dignoscerent: atq nec ea etiã, quę suorũ: hæc em̃ cuncta dignoscere unius atq; eiusdẽ artis officiũ esse uidet, seipsum scilicet, & quæ sua sunt, & quæ suorũ sunt nosse. Videtur. At qui sua ignorat, ignorat & aliena. Quid ita? Nũ igitur si aliena, etiã quę reip. ignorabit. Necesse est. Nunquã ergo hic uir ciuilis fit. Nõ certè. Nec œconomic⁹ etiã. Neq; hoc. Nec q̃d agit, intelliget. Minimè. Ignorãs aũt, nõ- *Eiusdem in primo Alcibiade.*

ἁμαρτήσεται. πάνυ γε. οἱ ἐξαμαρτάνοντες δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ. πῶς δ' οὔ; κακῶς δὲ πράττων, οὐκ ἄθλιος; σφόδρα γε. τίς δ' οἱ οὕτως πράττει, καὶ οὗτοι. οὐκ ἄρα οἷόν τε ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ εὐδαίμονα εἶναι. οὐχ οἷόν τε. οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι. σφόδρα γε. οὐκ ἄρα οὐδὲ ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεται γε. ἀλλ' ὁ σωφρονήσας; φαίνεται.

Πλάτωνος ἐκ τοῦ χαρμίδου. Καὶ οὐκ ἂν αἰσχυνθείην, ὅτι μὴ οὐχὶ ὀρθῶς φάναι εἰρηκέναι μᾶλλον ἤ ποτε συγχωρήσαιμ' ἂν ἀγνοοῦντα ἄνθρωπον αὐτὸν ἑαυτὸν σωφρονεῖν. σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν ἑαυτὸν, καὶ συμφέρομαι τῷ ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα. καὶ γὰρ τοῦτο οὕτω μοι δοκεῖ τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις οὖσα τοῦ θεοῦ τῶν εἰσιόντων, ἀντὶ τοῦ χαῖρε: ὡς τούτου μὲν οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος, τὸ χαίρειν, οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλους, ἀλλὰ σωφρονεῖν. οὕτω μὲν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ ἱερὸν, διαφέρον τι ἢ οἱ ἄνθρωποι, ὡς διανοούμενος ἀνέθηκεν, ὁ ἀναθεὶς ὡς ἐμοὶ δοκεῖ. καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα, οὐκ ἄλλο τι, ἢ σωφρόνει φησιν, αἰνιγματωδέστερον δὲ δὴ, ὡς μάντις λέγει. τὸ γὰρ γνῶθι σαυτὸν, καὶ τὸ σωφρόνει, ἔστι μὲν ταυτὸν, ὡς τὰ γράμματά φησι, καὶ ἐγώ. τάχα δ' ἄν τις οἰηθείη ἄλλο εἶναι: ὃ δή μοι δοκοῦσι παθεῖν, καὶ οἱ τὰ ὕστερα γράμματα ἀναθέντες, τό, τε μηδὲν ἄγαν. καὶ τὸ, ἐγγύα πάρα δ' ἄτα. καὶ γὰρ οὗτοι συμβουλὴν ᾠήθησαν εἶναι τὸ γνῶθι σαυτὸν, ἀλλ' οὐ τῶν εἰσιόντων ἕνεκεν

ἀλ. ὀρθῶ. ὑπὸ τοῦ θεοῦ πρόσρησιν. εἶθ' ἵνα δὴ καὶ † αὐτοὶ μηδὲν ἧττον χρησίμους συμβουλὰς ἀναθεῖεν, ταῦτα γράψαντες, ἀνέθεσαν.

Πορφυρίου. Τί ποτε ἦν ἄρα, καὶ τίνος τὸ ἱερὸν πρόσταγμα τὸ ἐν Πυθοῖ; ὃ γνῶναι ἑαυτὸν τοῖς τοῦ θεοῦ δεησομένοις προσαγορεύει. μήτε γὰρ τιμῆσαι θεὸν τὰ προσήκοντα, μήτε δ' αὖ τυχεῖν τοῦ θεοῦ δεηθέντα, τὸν ἀγνοίᾳ τῇ ἑαυτοῦ ἐνισχόμενον παραγγέλλειν ἔοικεν. ἀλλ' εἴτε Φημονόη ἤδη πάντα λυσιτελοῦν τὰ ἀνθρώπινα τοῦτο ἐθέσπισεν, δι' ἧς πρώτης ὁ Πύθιος λέγεται τὰς εἰς ἀνθρώπους διαδοῦναι χάριτας. εἴτε Φανοθέα ἡ Δελφοῦ: εἴτε καὶ Βίαντος, ἢ Θαλοῦ, ἢ Χίλωνος ἦν ἀνάθημα ὁρμηθὲν ἀπό τινος θείας ἐπιπνοίας: εἴτε Κλεάρχῳ προσεκτέον μᾶλλον τοῦ μὲν Πυθίου φράζοντι εἶναι παράγγελμα, χρησθῆναι δὲ Χίλωνι τὸ ἄριστον ἀνθρώποις μαθεῖν πυνθανομένῳ: εἴτε καὶ πρὸ Χίλωνος ἦν ἤδη ἀνάγραπτον ἐν τῷ ἱδρυθέντι νεῷ μετὰ τὸν πέτρινόν τε, καὶ χαλκοῦν, καθάπερ Ἀριστοτέλης ἐν τοῖς περὶ φιλοσοφίας εἴρηκε. τὸ μὲν, ὅτου ἂν εἴη, Ἰάμβλιχε, ἀμφισβητήσιμον ἔστω, πάντως

malim ἀναμφήριστον. ἢ ὅτι ὑπὸ θεοῦ, ἢ οὐκ ἄνευ θεοῦ ἐρρήθη, ἐξ αὐτοῦ φαίνοιτ' ἂν τοῦ ἐν τοῖς Πυθίοις αὐτὸ κεῖσθαι, † ἀμφήριστον. τί ποτε δ' οὖν ὁ φράζει, καὶ πρός γε τὴν πολυέραντον περιτελεῖσθαι τῷ θεῷ ἐπιτάττει, ἀναγκαῖον ἂν εἴη γνῶναι.

Ἐν ταυτῷ. Ἀλλὰ μή ποτε σωφρόνει ἐνεστιν ἀκοῦσαι λέγοντος, ἀντὶ τοῦ σῶζε τὴν φρόνησιν, καὶ γὰρ σωφροσύνη σαοφροσύνη τις. οὕτω δὲ πρὸς τὸ φρονοῦν καὶ τὸ φρονεῖν, αἴτιον διαλέγοντ' ἂν, σώζειν ἑαυτὸν παρακελευόμενος: τοῦτο δ' ἂν εἴη ὁ νοῦς. ἀλλ' εἰ τοῦτο, δεῖ πάλιν γνῶναι τὴν οὐσίαν ἡμῶν ἥτις ἐστίν. ἄλλοι γε μὴν μικρὸν διάκοσμον καλῶς εἰρῆσθαι φάμενοι τὸν ἄνθρωπον, παρακελεύεσθαι μέν φασι τὸ γράμμα γνῶναι τὸν ἄνθρωπον: ὄντος δὲ μικροῦ διακόσμου τοῦ ἀνθρώπου, οὐδὲν, ἄλλο κελεύειν, ἢ φιλοσοφεῖν. ἐπεὶ περ οὖν ἀπταίστως φιλοσοφεῖν σπουδάζομεν, προθυμώμεθα γνῶναι ἑαυτοὺς, καὶ ἔσται ἡμῖν τεῦξις ὀρθῆς φιλοσοφίας, ἐκ τῆς ἡμετέρας κατανοήσεως ἀναβαίνουσα ἤδη τὴν τοῦ παντὸς θεωρίαν. ἀλλ' ὅτι μὲν ἀπὸ τῶν ἐν ἡμῖν, συλλογιζόμεθα καὶ περὶ τῶν ἐν τῷ ὅλῳ: καὶ ἡμᾶς ἐτάζοντες, καὶ εὑρήσοντες, ῥᾷον μεταβαίνομεν ἤδη τὴν τοῦ παντὸς θεωρίαν, λέγεται ὀρθῶς. μή ποτε δὲ τὴν ἑαυτοῦ θεωρίαν οὐ φιλοσοφίας ἕνεκα θεὸς ποιεῖσθαι παρακελεύεται, ἀλλὰ τινὸς μείζονος ἕνεκα, δι' ὃ καὶ φιλοσοφία παρείληφεν; φιλοσοφία μὲν γὰρ ἐπιτηδεύεται ἐκ παρασκευῆς ἡμῶν τῆς πρὸς τὸ σοφὸν καὶ τῆς πρὸς τὴν θεωρητικὴν σοφίαν ἀγαπήσεως: ἡ δὲ σπουδὴ ἡ τῆς πρὸς τὸ γνῶναι ἑαυτὸν παρακελεύσεως, εἰς τεῦξιν τῆς ἀληθινῆς εὐδαιμονίας ἀρτᾶται, ἥτις συνίσταται ἐκ τῆς περὶ σοφίαν διαθέσεως, καὶ τῆς περὶ κτῆσιν τῆς σοφίας θεωρίας τοῦ ἀγαθοῦ, καὶ τῶν ὄντως ὄντων γνώσεως. θεωρεῖν οὖν καὶ μανθάνειν παρακελεύεται αὐτοὺς ὄντως ἑαυτοὺς, οὐχ ἵνα φιλοσοφήσωμεν, ἀλλ' ἵνα σοφοὶ γενόμενοι, εὐδαιμονήσωμεν. ἡ γὰρ τεῦξις τῆς ὄντως οὔσης οὐσίας ἡμῶν, καὶ ἡ ταύτης ἀληθὴς γνῶσις, σοφίας ἦν τεῦξις. εἴ γε σοφίας ἴδιον, ἡ περὶ ὄντως οὐσίας τῶν πραγμάτων ἀληθὴς ἐπιστήμη, διὰ σοφίας δὲ ἡ περὶ τελείας εὐδαιμονίας γίνεται κτῆσις.

Ἐπεὶ

se errabit? Maxime. Qui aberrat, an nõ male aget & priuatim, & publice? Quid ni? Male agẽs nõne miser? Et maxime qdẽ. An uero & ij, qbus cũ hęc agit? Et hi quoq;. Nemo itaq; fœlix esse potest, nisi sapiẽs bonusq; sit. Nemo. Sequit ut mali homines miseri sint. Apprime. Nõ ergo q diues sit, sed q prudens, miseriã uitat. Videtur.

Neq; me pudebit fateri aliquid aliud non recte dixisse, potius quã consentire, ut q seipsum ignorat, sit temperatus. Fermè nanq; hoc ipsum temperantiã esse arbitror, seipsum cognoscere, illiq; assentior, qui præceptũ hoc tẽplo Apollinis ipsius inscripsit. Atqui uidetur hæc inscriptio, tanquã Dei salutatio quædam ad homines, qui templum ingrediuntur, eius loco quæ gaudere iubet: quasi nõ probè dicatur gaude, neq; iubere nos inuicẽ deceat, sed temperate potius uiuere. Ita homines templũ ingredientes singulari sententia Deus alloquitur, aliterq; quã homines nos salutat, ut sensit ille, meo iudicio, qui inscripsit: Et ingredienti nihil præcipit aliud quã uiue re temperatè. Verum obscuris hoc præceptũ uerbis tanquã uates interserit. Quippe cognosce teipsum, idem est quod temperatè uiue, ut literæ testantur, egoq; interpretor. Forte uero aliud esse putabit quispiam: quod quidẽ contigisse illis, qui sequẽtia imposuerunt, existimo: hoc est, Nihil nimis, & sponsioni nõ deesse iacturam. Nam illi quidem Cognosce teipsum, consilium quoddam esse putarunt, nõ Dei ipsius ad eos, qui ingrediuntur, appellationem. Deinde ut & ipsi nihilo deteriora consulerẽt, reliqua insuper adiecerunt. *Eiusdẽ in Charmide.*

Quale nã fuit & à quo profectũ sacrũ illud Pythicũ præceptũ, q̊d Deo supplices futuros cognoscere sese iubet? neq; eñ Deũ, ut par est, culturũ, neq; uoti compotẽ fore eũ q ignorantia sui laboret, significare uidetur. Sed siue Phemonoe hoc ad omnes res humanas utilissimũ oraculũ deprompserit, siue Phanothea Delphi filia: siue Biantis, aut Thaletis, aut Chilonis hoc uelut anathema sit inspiratione diuina natũ: siue Clearcho potius credendũ est, qui hanc sententiã ab ipso Pythio responsam ait Chiloni roganti qd hominibus optimũ esset edoceri: siue ante Chilonis ætatẽ fuerit inscriptũ fundato tẽplo post lapideã & æreã, ut Aristoteles de philosophia scribens meminit. Sed cuiuscunq; tandẽ hæc, inquam, sentẽtia sit authoris, etsi id in cõtrouersia sit: proculdubio tñ aut à Deo, aut nõ sine Deo natã esse, inde constat q̊d Pythico tẽplo cõsecrata est. At quidnam sibi uelit, & qd ante lustrationẽ per aspergillum ex aquiminario faciendum præcipiat, necessariũ fuerit cognoscere. *Porphyrij.*

Sed fortè hęc Apollinis sententia accipienda fuerit tanquã dicẽtis σωφρόνει, id est tẽperãs esto, uel secundũ Græcã etymologiã, σῶζε τὴν φρόνησιν, id est, prudentiã serua. Σωφροσύνη eñ. i. tẽperantia nomẽ apud Gręcos habet quasi σαοφροσύνη diceretur, hoc est integritas prudentiæ. Ita uero nimirũ ad animal prudẽtiæ capax de præcipua causa, qua prudẽtes efficiuntur, sermocinaretur, seruare seipsum admonẽs. Quod si hic sensus sit, rursum cognoscere oportet, quæ sit essentia nostra. Cæterũ alij approbantes sententiã, qua homo paruus mundus esse fertur, hoc dicto admoneri uolunt cognoscendũ qdẽ esse hominẽ: sed cũ homo paruus quidã mundus sit, nihil aliud quã philosophiæ incumbendum significari. Quod si igitur inoffense philosophari libet, studeamus cognitioni nostri ipsorũ, & uerã philosophiã assequemur ab agnitione nostri ad uniuersi speculationẽ ascendendo. Sed q̊d à nobis orsi de cæteris quæ in uniuerso cõtinẽtur ratiocinemur: & q̊d inuestigata inuentaq; nostra natura facilius ad uniuersi contemplationẽ nos cõuertamus, rectè dicitur. Verũ uidetur nõ tã philosophiæ causa Deus ut cognoscamus nos ipsos præcipe, quã alicuius maioris gratia, propter q̊d ipsam quoq; philosophiã assumimus. Incũbimus eñ philosophiæ propter sapiẽtiæ desyderiũ, & sapiẽtis speculationis amorẽ. Porrò studiũ admonitionis cognoscendi seipsum ad ueræ beatitudinis consequutionẽ ptinet, quę quidẽ ex affectu circa sapientiã consistit, & ex speculatione boni circa sapiẽtię cõparationẽ, & uerè entiũ cognitione. Speculari igit & cognoscere iubet Apollo unũquenq; suã uerè essentiã, nõ ut philosophemur, sed ut sapiẽtes effecti beatitate fruamur. Nanq; consequutio essentiæ nostrę reuera entis, eiusq; uera cognitio, sapiẽtiæ cõsequutio est. Siqdẽ sapiẽtiæ propriũ est ueræ essentię rerũ uera scientia, p sapientiã aũt pfectæ beatitudinis possessio comparatur. *Ibidem.*

Τοῦ αὐτοῦ ἐκ τοῦ τετάρτου. Ἐπεὶ δὲ ἦν τις κατάβασις ἡμῖν εἰς τὰ τῇδε, καὶ τὸν ἐκτὸς περικειμένοις ἄνθρωπον, καὶ ἀπατημένοις τε ὅτι τοῦτό ἐστι μὲν τὸ ὁρώμενον, παραίνεσις οἰκεία εἰς τὴν γνῶσιν τῆς ἑαυτοῦ δυνάμεως. ὁ γὰρ δὴ Πλάτων ἐν τῷ Φιλήβῳ μνησθεὶς τοῦ γνῶθι σαυτόν, τριχῇ διαιρεῖται τὴν ἄγνοιαν. πανταχοῦ τοίνυν ἡ ἑαυτοῦ ἄγνοια πονηρόν, ἄντε κατὰ τὸ εἴσω τὸ μέγεθος τῆς ἀξίας ἀγνοήσας τις ταπεινώσῃ τὸ θεῖον, ἄντε κατὰ τὸ ἔξω ἀγνοήσας τὸ φύσει ποσὸν αὐτοῦ ταπεινόν, ἐπαίρηται ἐπ᾽ αὐτῷ. ἢ οὐ πᾶν γε τὸ θνητὸν ἄντικρυς,

ἄλλο ποιητ. ὡς ὅτε τις ψάμαθον † παῖς ἄγχι θαλάσσης,
ὅστ᾽ ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπίε τοισιν
ἂψ αὖθις συνέχευε ποσὶ καὶ χερσὶν ἀθύρων.

Πᾶς οὖν ἀγνοίᾳ ἑαυτοῦ τὰ καθ᾽ αὐτὸν ἐπαίρων, ἁλίσκεται ὑπὲρ τῆς δημιουργησάσης αὐτὸν φύσεως πλεῖον, ἢ ἐκείνη βεβούληται, τὰ αὐτῆς ὡς σεμνὰ θαυμάζων παίγνια. ἡ δέ, τηρεῖν ἔοικεν ἐν πᾶσι τῆς ἀξίας τὸ πρέπον, οὐδὲν τοῖς ἐπαίρουσι συνεξαπατωμένη. τὸ γνῶθι οὖν σαυτὸν διήκει εἰς πᾶσαν ὑπόληψιν τῆς προσούσης δυνάμεως παραγγέλλον γιγνώσκειν τὰ μέτρα ἤδη πάντων. τὸ μὲν οὖν γιγνώσκειν ἑαυτὸν τὴν ἀναφορὰν ἔοικεν ἔχειν ἤδη τὸ γιγνώσκειν δεῖν τὴν ψυχὴν καὶ τὸν νοῦν, ὡς ἐν τούτῳ ἡμῶν οὐσιωμένων: τὸ δὲ πάντῃ γιγνώσκειν ἑαυτόν, συμπεριλαμβάνειν ἔοικεν ἡμᾶς καὶ τὰ ἡμέτερα καὶ τὰ τῶν ἡμετέρων. τοιαύτη μὲν καὶ ἡ ἐν τούτοις τοῦ Πλάτωνος ἀκρίβεια φιλοτιμηθέντος ἐκτὸς τῶν ἄλλων, καὶ δίχα τῶν περὶ ἡμᾶς ἁπάντων γνῶναι ἑαυτόν, καὶ πάλιν πάντῃ γνῶναι ἑαυτόν, ἵνα καὶ ὁ ἐντὸς ἀθάνατος γνωσθῇ ἄνθρωπος, καὶ ὁ ἐκτὸς εἰκονικὸς μὴ ἀγνοηθῇ, καὶ τὰ τούτοις διαφέροντα γνώριμα γένηται. διαφέρει μὲν γὰρ τῶν ἐντός, παντέλειος νοῦς, ἐν ᾧ αὐτὸς ἄνθρωπος, οὐ εἰκών, ἕκαστος ἡμῶν: διαφέρει δὲ τῶν ἐκτὸς εἴδωλα τὰ περὶ τὸ σῶμα καὶ τὰς κτήσεις, ὧν δεῖ καὶ τὰς δυνάμεις γιγνώσκειν, καὶ τὸ ἄχρι τινὸς τούτων φροντιστέον: ἵνα μήτε τὴν τοῦ ἀθανάτου ἀξίαν περιτιθέντες τῶν φθαρτῶν καὶ γηΐνων, καταγέλαστον αὐτὸ ποιῶμεν, καὶ πάλιν ἄξιον δακρύων ἐν τῇ κωμῳδοτραγῳδίᾳ τῇ τῶν ἀνοήτων βίων ἐνεχόμενον: μήτε τὴν τοῦ θνητοῦ ταπεινότητα τῷ ἀθανάτῳ προσάπτοντες, ἐλεεινοὶ ὦμεν καὶ διὰ πάντων ἄδικοι τῇ τοῦ κατ᾽ ἀξίαν ἀγνοίᾳ.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΥΠΕΡΟΨΙΑΣ
ΛΟΓΟΣ Κ΄.

Εὐριπίδου. ΒΑΡΥ τὸ φρόνημ᾽ οἴησις ἀνθρώπου κακοῦ.
Ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ᾽ ἀνήρ,
φίλοις τ᾽ ἄμικτός ἐστι, καὶ πάσῃ πόλει.

Σωσιφάνους. Ὦ δυστυχεῖς μὲν πολλά, παῦρα δ᾽ ὄλβιοι
βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις,
ἃς ἕν τ᾽ ἔδωκε φέγγος, ἕν τ᾽ ἀφείλετο;
ἂν δ᾽ εὐτυχῆτε μηδὲν ὄντος, εὐθέως
ἴσ᾽ οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον
ἄλ. ἅδ. † καὶ δὴ παρεστῶτ᾽ οὐχ ὁρᾶτε πλησίον.

Φιλήμονος. Τὸ γνῶθι σαυτὸν οὐ μάτην, εὖ ἴσθ᾽ ὅτι,
τὸ ῥῆμα τοῦτο δόξαν ἐν Δελφοῖς ἔχει.

Εὐριπίδου. Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
ἄλ. λαμπρῷ τε. † λαμπρῶς τε πλούτῳ, καὶ γένει γαυρούμενον,
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.

Κρίνει τις αὐτὸν ἄνθρωπον πώποτε μέγαν,
ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ᾽ ὅλον;

Ποῖ; πῶς δὲ λήσει; τίς δὲ νῦν πιστὸς φίλος;
ζητῶμεν. ἡ δόκησις ἀνθρώποις κακόν,

Postquã in hæc loca descendimus, & externũ hominẽ induimus, unde fallimur, nos id existimantes esse quod sub oculos cadit, maximè cõuenit hæc adhortatio ad propriæ facultatis cognitionem. Siquidẽ Plato in Philebo memorata sententia, Nosce teipsum, triplicem facit ignorationẽ. Est autẽ omni ex parte ignoratio sui mala, siue quis intus suæ dignitatis amplitudinẽ ignorans diuinam in se partẽ neglectã humiliet, siue extra humilitatẽ natura sibi appositã ignorans, ob extrinseca extollatur, nesciens omnem naturam mortalem ita se habere prorsus, *Eiusdem ex libro quarto.*

Vt puer accumulans multum per littus arenæ,
Vnde sibi fingit permulta, sed omnia statim
Confundit manibus ludens, pedibusq; repulsat.

Quiuis igitur, qui per ignorantiam sui quæ circa se sunt extollit, is plus attribuit naturæ à qua fabricatus est, quã ipsamet requirat, utpote ludicra eius facta tanquã magna & grauia demiratus. Ipsa uero natura in cunctis conuenientẽ dignitatis modum tenere apparet, neq; cũ hominibus supra modum res sui uiliores extollentibus decipi. Cæterum hæc sententia, Nosce teipsum, pertinet ad omnẽ existimationẽ, quę de præsenti aliqua facultate concipitur, modumq; cognosci præcipit ubiq;. Porro se ipsum nosse oportere necessitatem facere uidetur, animæ & mentis statũ esse cognoscendũ, nempe cũ essentia nostra in ipsis existat. At si quis dicat, undequaq; teipsum cognosce, hoc dicto contineri apparet, & nos, & nostra, & quæ nostrorum sunt. Huiusmodi quidem distinctione tam exacta usus est Plato, qui operæpretiũ ratus est tũ sese solum cognoscere extra cætera cuncta, & sine circumiacentibus: tum rursus undequaq; se cognoscere, ut & internus immortalis homo cognoscatur, & umbratilis ille forinsecus non ignoretur: & quæ ad utrunq; pertinent, intelligantur. Ad interiorem enĩ pertinet perfectissima mens, in qua id existit, quod hominẽ appellamus, cuius unusquisq; nostrũ umbra duntaxat & imago est. Ad externũ uero simulachrũ illud pertinent illa, quæ circa corpus sunt ac possessiones, quorũ etiã facultates scire debemus, & quatenus utriusq; cura sit habenda, ne preciũ dignitatemq; partis immortalis, corruptibili ac terrenæ tribuentes aliàs ridiculam ipsam faciamus, aliàs lachrymatione dignã, dũ in hac stolidæ uitæ comœdotragœdia detinetur: neq; rursus mortalis partis uilitatẽ applicantes immortali, miserabiles simus, iniustiq; per omnia propter ignorantiam quæ debita cuiusq; dignitas existat.

IOANNIS STOBAEI DE SVPERBIA SERMO XX.

GRAVIS fastus ex improbi hominis opinione nascitur. *Euripidis.*
Quicunq; ciuium uir arrogans fuerit,
Is nec amicis, nec toti ciuitati familiarem se præbet, ac affabilem.

O infœlices ut plurimum, minimum uero fœlices *Sosiphanis.*
Mortales, quid gloriamini propter potestates,
Quas una lux uel dedit, uel abstulit.
Cum primũ aliqua fortuna affulserit, homines nihili, illicò
Ad cœlos caput erigitis, interea dominum
Orco astantem non uidetis diuitem.

Cognosce teipsum, non temere crede mihi, *Philemonis.*
Hoc dictum celebre apud Delphos est.

Cum uideris in sublime quempiam elatum, *Euripidis.*
Splendidis gloriantem opibus, ac genere,
Supercilioq; supra sortem suam fastuosum,
Illius celerem diuinitus expecta breui uindictam.

Quis aliquid magni de homine sibi polliceatur,
Quem quælibet occasio totum abolet?

Vbi, aut quomodo latebis? Quis nobis est fidus amicus?
Quæramus. Opinio malum est hominibus,

καὶ τοὐπιχειρεῖν ἐξαμαρτάνειν φιλεῖ.
Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους.
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φορεῖν.
Μενάνδρου. Οἱ τὰς ὀφρῦς αἴροντες ὡς ἀβέλτεροι,
καὶ σκέψομαι λέγοντες. ἄνθρωπος γὰρ ὢν
σκέψῃ σὺ περὶ τοῦ δυστυχὲς ὅταν τύχῃ;
αὐτόματα γὰρ τὰ πράγματ᾽ ἐπὶ τὸ συμφέρον
ῥεῖ κἂν καθεύδῃς, πάλιν τἀναντία.
Χαιρήμονος. Ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα.
Μενάνδρου. Ὦ τρισάθλιοι ἅπαντες οἱ φυσῶντες ἐφ᾽ ἑαυτοῖς μέγα.
αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.
Πᾶς ὁ μὴ φρονῶν,
ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται.
Εὐριπίδου. Ὁρᾶτε τὸν τύραννον, ὡς ἄπαις γέρων
φεύγει. φρονεῖν δὲ θνητὸν ὄντ᾽ οὐ χρὴ μέγα.
Σιγᾶν φρονοῦντα κρεῖσσον, ἢ εἰς ὁμιλίαν
πεσόντα. τούτῳ δ᾽ ἀνδρὶ μήτ᾽ εἴην φίλος,
μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν
πέποιθε δούλους τοὺς φίλους ἡγούμενος.
Οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο.
Δημώνακτος. Θνητοὶ γεγῶτες, μὴ φρονεῖθ᾽ ὑπὲρ θεούς.
Εὐριπίδου Τὸ σοφὸν δ᾽ οὐ σοφία
in Bacchis. τό τε μὴ θνητὰ φρονεῖν.
βραχὺς αἰών, ἐπὶ τούτῳ
δέ τις ἂν μεγάλα διώκων
τὰ παρόντ᾽ οὐχὶ φέρει.
μαινομένων οἵδε τρόποι,
καὶ κακοβούλων παρ᾽ ἔμοιγε φωτῶν.
Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.
Μενάνδρου. Τὸ ἀργύριον εἶναι μειράκιόν σοι φαίνεται
οὐ τῶν ἀναγκαίων καθ᾽ ἡμέραν μόνον,
τιμὴν παρασχεῖν δυνατὸν ἄρτων, ἀλφίτων,
ὄξους, ἐλαίου, μείζονος δ᾽ ἄλλου τινός.
ἀθανασίας δ᾽ οὐκ ἔστιν, οὐδ᾽ ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα.
ἀλλ᾽ ἀποθανῇ, ταῦτα καταλείψεις τισίν.
τί οὖν λέγω; μηδ᾽ αὐτὸς εἰ σφόδρ᾽ εὐπορεῖς
πίστευε τούτῳ, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει, τοῦ δ᾽ εὐτυχεῖν ἀεὶ
πάρεχε σεαυτὸν τοῖς ὁρῶσιν ἄξιον.
Σοφοκλέους. Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν
εἴδωλ᾽, ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν.
τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρογκον
μηδέν ποτ᾽ εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος.
μηδ᾽ ὄγκον ἄρῃ μηδέν᾽, εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάθει.
Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα

πίπτειν

Et magni conatus, ut plurimum aberrant.
Mortalibus morbos parit, quicquid mediocritatem superat.
Homines deorum decus usurpare non conuenit.
Quàm stulti sunt superciliosi homines, *Menandri.*
Qui dicunt, consyderabo: Quasi si quis hominum
Infortunium inciderit, aliquid consilio tuo efficere queas.
Quin res sua sponte in utiliorem partem
Fluunt, & si dormierit aliquis: itidem in contrariam.
Omnino pars superior non sinit superbire. *Cheremonis.*
O miserrimi terq; quaterq; *Menandri.*
Omnes qui de sese magnificè sentiunt inflati,
Ignorant enim illi hominis conditionem.
Omnis insipiens,
Arrogantia & plausibus capitur.
Videte tyrannum, ut orbus senex *Euripidis.*
Fugit: Mortalem autem non decet altum sapere.
Tacere sapientem potius est, quàm uerbis
Contendere: Cæterum huiusmodi ne mihi contingat amicus,
Neq; contubernalis, qui satis multa sapere se
Sibi persuadet, & pro seruis amicos æstimat.
Qui ualde sunt inflati superiores sermones *Eiusdem in Andromache.*
Aegrè ferunt ab inferioribus audire.
Mortales cum nati sitis ne supra deos uos erexeritis. *Demonactis.*
Nimis sapere non est sapientia, *Euripidis in Bacchis.*
Et non secundum mortalem sapere naturam.
Aeuum est breue, in quo Qui magna sequitur,
Præsentem conditionem non bene sustinet.
Huiusmodi sunt mores insanientium,
Et stultorum hominum, ut ego iudico.
Iupiter nimis superbos castigat.
Nimirum tibi uidetur argentum adolescens, *Menandri.*
Non modo rerum necessariarum indies
Precium exhibere posse, ut panis, polentæ,
Aceti, olei, sed quippiam hisce maius.
At immortalitatem nunquam tibi conferet, neq; si collegeris
Copiosa illa, ut fama fert, Tantali talenta.
Sed cum obieris mortem, aliquibus post te relinques.
Ad quid hæc dico? Videlicet tu quoq;, & si fueris ditissimus,
Nihil argento crede, neq; etiam pauperes
Nos spreueris, sed fœlicitate tua semper
Exhibeas teipsum spectantibus non indignum.
Video enim nos aliud esse nihil, præter *Sophoclis in Aiace flagellifero*
Simulachra quædam, quotquot uiuimus, aut umbram leuem.
His igitur consyderatis, fastuosum
Nullum unquam dixeris in deos uerbum.
Nec aliquo modo superbieris, si quopiam amplius
Aut polles manibus, aut copia diuitiarum.
Magna etenim & inutilia corpora *Ibidem.*

πίπτειν βαρείαις πρὸς θεῶν δυσπραγίαις
ἔφασκ' ὁ μάντις, εἴ τις ἀνθρώπου φύσιν
βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.

Θνητὰ φρονεῖν χρὴ τὴν θνητὴν φύσιν, τοῦτο
κατειδότας, ὡς οὐκ ἔστι πλὴν Διὸς οὐδεὶς
τῶν μελλόντων ταμίας ὅ, τι χρὴ τετελέσθαι.

Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.

Εὐριπίδου. Ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
λέγειν, οὐδ' ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.

Ιππωθόντος. Ανθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.

Σωπάτρου. Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον.
ἂν μακρὰ πλεύσῃς, φλέγματι ὁ κρατεῖ προῖσταται.
ἂν ὑλιματῇς, ταῦτα πρό σου προβάτιον ἔχει.
ἂν χρυσοφορῇς, τοῦτο τύχης οὐδὲν ἔπαρμα.
forte δυνατὸς. ἂν πλούσιος ᾖς, τοῦτο χρόνου † ἄδιμος ἰσχύς.
ἂν ἀλαζονῇς, τοῦτ' ἀνοίας οὐδὲ φρύαγμα.
ἂν δὲ σωφρονῇς, τοῦτο θεῶν δῶρον ὑπάρχει.
ἡ σωφροσύνη παρέσιν ἐὰν μετρῇς σεαυτόν.

Ισιδώρου. Θνητὸς πεφυκὼς, τὰ ὀπίσω πειρῶ βλέπειν.

Μενάνδρου. Εφ' ᾧ φρονεῖς μέγιστον, ἀπολεῖ τοῦτό σε,
τὸ δοκεῖν τιν' εἶναι, καὶ γὰρ ἄλλους μυρίους.

malim γε. Τὸ σὸν ταπεινὸν, ἂν † σὺ σεμνύνῃς, καλὸν
ἔξω φανεῖται φίλ' ἄνερ, ἂν δ' αὐτὸς ποιῇς
ταπεινὸν αὐτὸ καὶ τίθῃς ἐν μηδενὶ,
εἰκὸς οὗτος καταγέλως νομίζεται.

Τὸ γὰρ προθύμως μὴ πονεῖσθαι δυστυχεῖν.

Εὐριπίδου. Εὐδαιμονεῖν εἴωθεν ὑπερηφανίας ποιεῖν.

Σὺ δ' εἰκ' ἀνάγκῃ, καὶ θεοῖσι μὴ μάχου,
τόλμα δὲ προσβλέπειν με, καὶ φρονήματος
χάλα. τὰ τοι μέγιστα πολλάκις θεὸς
ταπείν' ἔθηκε, καὶ συνέστειλεν πάλιν.

Αἰλιανοῦ δὲ ἱστορίας. Ορῶν ὁ σωκράτης τὸν ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ, καὶ μέγα φρονοῦντα ἐπὶ τῇ περιουσίᾳ καὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν εἴς τινα τῆς πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ ἀλκιβιάδῃ τὴν ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. ὡς δ' εὗρε, προσέταξε καὶ τοὺς ἰδίους ἀγροὺς αὐτοῦ διαθρῆσαι, τοῦ δὲ, εἰπόντος: ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν: ἐπὶ τούτοις οὖν εἶπε μέγα φρονεῖς, οἳ περὶ οὐδὲν μέρος τῆς γῆς εἰσίν;

Σωκράτους. Η δεισιδαιμονία καθάπερ πατρὶ τῷ τύφῳ πείθεται.

Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι, τοὺς δὲ ἀνοήτους τὸ οἴημα.

Σωκράτης ἐρωτηθεὶς, τίνες βάναυσοι: οἱ τῶν ὁμοίων ἔφη καταφρονοῦντες.

Φαβωρίνου. Φρονήσῃς μὲν οὖν μηδέποτε ἐπὶ σεαυτῷ μέγα: ἀλλὰ μὴ δὲ καταφρονήσῃς σεαυτοῦ.

Διογένους. Τῆς ἀλαζονείας καθάπερ τῶν κεχρυσωμένων ὅπλων, οὐχ ὅμοιά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός.

Ο τύφος ὥσπερ ποιμὴν, οὗ θέλει τοὺς πολλοὺς ἄγει.

Τελευτᾷ γὰρ εἰς κακοδοξίαν κακὴν, ὁ παρεκτεινόμενος τῷ κρείσσονι.

Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ, καὶ πνευστιῶν, ποιεῖν ἔφη ὅπερ καὶ ξύμπασα ἡ ἀθηναίων πόλις: πνεῖν μὲν γὰρ μέγα, ἰσχύειν δὲ μικρόν.

Ξενοφῶντος. Ο μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμένοις καὶ πλουσιωτέροις εἶναι ἢ εἰσί, καὶ ἀνδρειοτέροις., καὶ ποιήσειν, ἃ μὴ ἱκανοί εἰσιν ὑπισχνουμένοις: καὶ ταῦτα φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν τι ἕνεκα καὶ κερδαίνειν ποιοῦσιν: οἱ δὲ

μηχανώ-

Labefactari grauibus à numine calamitatibus
Vates dicebat, ut si quis humana conditione
Natus, deinde non secundum hominem sapiat.
Mortalia sapere oportet mortalem naturam, istud
Scientes, quod non est quisquam præter Iouem
Futurorum dispensator, quæ euenire oportet.
Decet mortalem pro hominum sorte sapere.
Oportet eos, quibus aspirauit aura fortunæ sinistra, humiliter *Euripidis.*
Loqui, non fastum superioris usurpare sortis.
Homo cum sis fortunam memineris communem. *Hippofthenis.*
Quamuis rex natus fueris, audi tamen ut mortalis. *Sotatis.*
Quid tum quod procul expuis? multa abundas pituita.
Vestem elegantem fers, at hæc ouicula prius habuit.
Aurum geris, hic fortunæ fastus est.
Opibus affluis, hæc uis est iniqua temporis.
Superbis, huiusmodi est hinnitus stultitiæ.
At si temperantiam feceris, diuinum donum est.
Fit autem temperantia, si teipsum metiaris.
Cum sis mortalis operam da, ut quæ retro sunt uideas. *Isidori.*
Quo tibi maximè places, id ipsum te pessundabit, *Menandri.*
Nempe opinio qua tibi aliqs esse uideris: pdidit em̃ alios etiam infinitos.
Humilitas tua, si qua grauitas accesserit, pulchra
Apud alios uidebitur ò chare uir: sin tute feceris
Abiectum teipsum, & pro nihilo duxeris,
Domesticus esse contemptus & ludibrium apparebit.
Quod non gnauiter laborauit bonam fortunam nactum est. *Nō uidetur huc quadrare hic se nariolus.*
Fœlicitas solet excitare superbiam.
Concede necessitati, & deos non impugna. *Euripidis.*
Quin aspicere me sustineto, & elationem animi
Remitte: Maxima quæq; persæpe numen
Humilia reddidit, iterumq; contraxit.

Socrates Alcibiadem intuitus ob diuitias inflatum, & superbientẽ opibus, prædijsq;, in quendam ciuitatis locum duxit ipsum, in quo suspensa erat tabula terræ circuitum complexa. Iussit igitur Alcibiadem Atticam in ea requirere, quam ut inuenit, sua etiam prædia inspicere præcepit, quæ cum Alcibiades nusquam esse picta diceret: Cur igitur, Socrates inquit, ob illa superbis, quæ circa nullam terræ partem existunt? *Ex historia Aeliani.*

Superstitio superbiæ tanquam parenti est morigera. *Socratis.*
Vtres quidem inanes spiritus distendit, stultos autem opinio.

Socrates interrogatus mechanici qui essent, qui sui similes spernunt, respondit.

Nunquam quidem de te superbam opinionem concipies, neq; contrà nimium de te humiliter senties. *Phauorini.*

In arrogantia, quemadmodum in armis inauratis, non similia sunt interiora exterioribus. *Diogenis.*

Fastus tanquam pastor quoquò libet uulgus hominum ducit.

Desinit in malam infamiam, qui cum superiore contendit.

Democrates iam senex ascendens in arcem Athenis perquàm anhelosus, idem se facere dixit quod uniuersa ciuitas Atheniensium soleret, nempe se magnũ quidem spirare, parum autem ualere.

Arrogantis nomen usurpari mihi rectè uidetur, in illis qui se simulant esse ditiores & fortiores, quã sint: & ea se facturos promittunt, quæ præstare nequeunt, idq; manifesto facere uidentur accipiendi quippiam & lucrandi gratia. Cæterum ij qui *Xenophontis.*

μηχανώμενοι γέλωτα τοῖς συνοῦσι, μήτε ἐπὶ περὶ αὐτῶν κέρδει, μήτε ἐπὶ ζημίᾳ τῶν ἀκουόντων, μήτ᾽ ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς οὐχ οὗτοι ἀστεῖοι ἂν καὶ εὐχάριστοι ὀνομάζοιντο δικαιότερον, ἢ ἀλαζόνες;

Δοκεῖ δέ μοι ὦ κῦρε χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς, ἢ τὰ κακὰ φέροντα. τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς. τὰ δὲ, σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ.

Ἡροδότου. Ὁρᾷς τὰ ὑπερέχοντα ζῷα ὡς κεραυνοῖ ὁ θεὸς, οὐδ᾽ ἐᾷ φαντάζεσθαι. τὰ δὲ σμικρὰ οὐδέν μιν κνίζει. ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ, καὶ δένδρεα τὰ τοιαῦτα ἀποσκήπτει βέλεα. φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. οὕτω δὲ καὶ στρατὸς πολὺς ἀπ᾽ ὀλίγου διαφθείρεται κατὰ τοιόνδε, ἐπειδ᾽ ἄν σφιν ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ, ἢ βροντὴν, δι᾽ ὧν ἐφθάρησαν ἀξίως ἑωυτῶν. οὐ γὰρ ἐᾷ φρονέειν ὁ θεὸς μέγα ἄλλον, ἢ ἑωυτόν.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΦΙΛΑΥΤΙΑΣ, ΛΟΓΟΣ ΚΑ'.

Εὐριπίδου. ΔΕΙΝΟΝ δ᾽ ὅταν τις μὴ φρονῶν δοκεῖ φρονεῖν.

Σωσικρά. Ἀγαθοὶ δὲ τὸ κακὸν ἐσμὲν ἐφ᾽ ἑτέρους ἰδεῖν; αὐτοὶ δ᾽ ὅταν ποιῶμεν, οὐ γινώσκομεν.

Μενάνδρου. Οὐδεὶς ἐπ᾽ αὐτοῦ τὰ κακὰ συνορᾷ πάμφιλε σαφῶς. ἑτέρου δ᾽ ἀσχημονοῦντος ὄψεται.

Εὐριπίδου. Ὁ βούλεται γὰρ μόνον ὁρῶν καὶ προσδοκῶν, ἀλόγιστός ἐστι τῆς ἀληθείας κριτής.

Ἅπαντες ἐσμὲν εἰς τὸ νουθετεῖν σοφοί, αὐτοὶ δ᾽ ὅταν σφάλλωμεν οὐ γινώσκομεν.

Αἴσωπος ἔφη δύο πήρας ἕκαστον ἡμῶν φέρειν. τὴν μὲν, ἔμπροσθεν. τὴν δὲ ὄπισθεν. καὶ εἰς μὲν τὴν ἔμπροσθεν, ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα. εἰς δὲ τὴν ὄπισθεν, τὰ ἑαυτῶν, διὸ οὐδὲ καθορῶμεν αὐτά.

Ἐκ τῶν ἀριστωνύμου. Οὕτως ἔνιοι αὐτοῖς δοκοῦσι φιλοσοφεῖν, ὡς καὶ νήφειν οἱ μεθύοντες.

Σωκράτης ἔλεγεν εἴ τις ἐν θεάτρῳ ὑποκηρύττοι ἀνίστασθαι τοὺς σκυτοτόμους, ἐκείνους μόνους ἀναστήσεσθαι. ὁμοίως εἰ τοὺς χαλκοτύπους, τοὺς ὑφάντας, τοὺς ἄλλους κατὰ γένος. εἰ δὲ τοὺς φρονίμους ἢ δικαίους, πάντας ἀναστήσεσθαι. καὶ ἔστιν ἐν βίῳ βλαπτὸν μάλιστα, τὸ ἀνοήτους ὄντας τοὺς πολλοὺς οἴεσθαι φρονίμους εἶναι.

Δημοσθένους. Διόπερ ῥᾷστόν ἐστιν ἁπάντων ἑαυτὸν ἐξαπατᾶν, ὃ γὰρ βούλεται, τοῦθ᾽ ἕκαστος καὶ οἴεται. τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκε.

Διογένης ἔφη τῶν ἀνθρώπων ἐνίους τὰ δέοντα λέγοντας, ἑαυτῶν οὐκ ἀκούειν, ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας, οὐκ αἰσθάνεσθαι.

Ἡροδότου. Εἰ γάρ τις προθείη πᾶσιν ἀνθρώποισιν ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους, ἐκ τῶν πάντων νόμων, διασκεψάμενοι αἱρέοιατο ἕκαστος τοὺς ἑαυτῶν. οὕτω νομίζουσι πολύ τι καλλίστους τοὺς ἑαυτῶν νόμους ἕκαστοι εἶναι.

Ἡ φιλοτιμία, κτῆμα σκαιόν.
μὴ περὶ κακοῦ τὸ κακὸν ἰῶ.
πολλοὶ τῶν δικαίων τὰ πλεονεκτέστερα προτιθέασι.
πολλοὶ δὲ ἤδη τὰ μητρῷα διζήμενοι, τὰ πατρῷα ἀπέβαλον.

Πλάτων συνεβούλευεν, ὅτε καταγελάσωμέν τινων, ἐπιστρέφειν ἐφ᾽ ἑαυτοὺς καὶ σκοπεῖν, μὴ καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐσμὲν ἔνοχοι. πολλὰ γὰρ τὸ φίλαυτον ἐπικρύπτει, καὶ περιβάλλει παρὰ περὶ μᾶλλον καταγελῶντι.

Ἀπολλωνίου. Οἱ πολλοὶ τῶν ἀνθρώπων, τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται· τῶν δὲ ἀλλοτρίων, κατήγοροι.

Εὐσεβίου. Πολλοὶ δοκοῦντες ἑαυτοὺς φιλεῖν, οὐ φιλοῦσιν ἀληθῶς, πάντα γοῦν αὐτοῦ τούτου ἕνεκα ἔ-

risum moliuntur inter conuersantes, neq; suum ob quæstum, neq; auditorum iacturam, aut ullum aliud damnum, quo pacto illi non urbani potius & faceti, quàm arrogantes nominabuntur?

Videtur autem mihi ò Domine difficilius inueniri uir, qui secundam fortunam bene ferat, quàm qui aduersam. Illa enim in plærisq; cõtumeliam, hæc autem temperantiam in omnibus gignit.

Vides eximia animalia ut fulminet Deus, neq; suis opinionibus uti sinat: exigua uero facile fert. Vides etiam ut in ædificia maxima semper, & celsissimas arbores cœlestia tela ingruant. Solet enim Deus eminentia quæuis castigare. Ideoq; magnus quoq; exercitus ab exiguo sternitur, cũ Deus inuidens aut metum ipsis iniecerit, aut tonitrua, unde condignam se perditionem incidunt. Non sinit enim Deus alium præter se altum sapere. *Herodoti.*

DE AMORE SVI, SERMO XXI.

INtolerabile est cum quis insipiens sibi sapere uidetur. *Euripidis.*

Lyncei sumus aliena uidendo mala: *Sosicratis.*
Quod si quid ipsi committimus, non agnoscimus.

Quàm nullus in se sua mala uidet Pamphile *Menandri.*
Euidenter, ast alius si quid indecens egerit, facile uiderit.

Qui ea solum inspicit & expectat, quæ sibi cordi sunt, *Euripidis.*
Næ ueritatis absq; ratione iudex est.

Omnes in admonendo sapimus,
Sed cum ipsimet aberramus, haud aduertimus.

Aesopus unumquenq; nostrũ duas ferre peras aiebat, alteram ante nos, alteram à tergo, & in anteriorem quidem alienos errores condere, in posticã uero nostros, ideoq; non uideri à nobis.

Nõnulli nõ secus sibi philosophari uidentur, quã ebrij homines esse sobrij. *Ex Aristonymi scriptis.*

Socrates dicebat, si quis in theatro coriarios surgere iuberet, eos solum surrecturos: similiter si fabros ærarios, textores, aut alios generatim. Si uero prudentes aut iustos, hic omnes exurrecturos fore. Est autem hoc inprimis in uita damnosum, quod cum hominum pars maxima stulta sit, sapere tamen sibi uideatur.

Quare facillimũ est omniũ seipsum decipere: quod enim quisq; cupit, id etiã animũ inducit, & sibi persuadet. Res aũt ipsæ frequẽter nõ ita se habent. *Demosthenis.*

Diogenes dixit hominum aliquos opportuna loquentes non intelligere seipsos: sicuti lyræ egregiè resonantes non sentiunt.

Si quis omne genus legum proponeret hominibus, & optimas sibi consyderatis omnibus deligere iuberet, singuli suas recepturi essent. Ita quilibet omnium longè præstantissimas suas esse leges existimant. *Herodoti.*

Ambitio, improba res est.

Ne malum malo medicare.

Multi iam dum materna quærunt, amisere paterna.

Plato consulebat, ut cum aliquos irriserimus, conuertamur ad nosipsos, & uideamus, ne ipsi eisdem uitijs laboremus. Amor enim sui multa cælat, & circumoperit in illo qui magis irridere solet alios.

Plærisq; homines propria peccata defendunt, accusant aliena. *Apollonij.*

Multi cũ seipsos amare uideãtur, nõ uerè amant. Quare sibimet ubiq; in- *Eusebij.*

κοντες ἑαυτοῖς, καὶ διὰ τὸ ἀτρεκὲς χαριζόμενοι αὐτοῖς, τοῖς ἐναντιωτάτοις περιπίπτουσι.

Πολλοὶ βουλόμενοι δοκεῖν εἶναι εὐβουλότατοι, πρὸς τῶν εἰκαιοτάτων καὶ εὖ φρονούντων ἀναποδιζόμενοι, οὐκ ἀξιοῦσιν ἀπὸ τῶν δοξάντων ἅπαξ ἀναχωρεῖν. ἀλλ' ὅπως μὴ ἐλέγχοιντο, ὡς ἀπὸ ἡμαρτημένης ἀφιστάμενοι, ἐμμένουσι τῇ ἀνάγκῃ, ἐν ᾧ δὴ καὶ τοῖς ἐπ' αὐτῇ κακοῖς ἐγκυρήσωσι.

Πλάτωνος ἐν Κρατύλῳ. Τὸ γὰρ ἐξαπατᾶσθαι αὐτὸν ὑφ' αὑτοῦ, πάντων χαλεπώτατον. ὅταν γὰρ μηδὲ σμικρὸν ἀποστατῇ, ἀλλ' ἀεὶ παρῇ ὁ ἐξαπατήσων, πῶς οὐ δεινόν;

Τοῦ αὐτοῦ ἐκ τῶν νόμων ε΄. Πάντων δὲ μέγιστον κακὸν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστιν, οὗ πᾶς αὑτῷ συγγνώμην ἔχων, ἀποφυγὴν οὐδεμίαν μηχανᾶται. τοῦτο δ' ἐστὶν ὃ λέγουσιν, ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι, καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον. τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων, διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε. τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν· ὥστε τὰ δίκαια, καὶ τὰ ἀγαθὰ, καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὑτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾷν δεῖν ἡγούμενος. οὔτε γὰρ ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον στέργειν. ἀλλὰ τὰ δίκαια, ἐάν τε παρ' αὑτῷ, ἐάν τε παρ' ἄλλῳ μᾶλλον τυγχάνῃ πραττόμενα. ἐκ ταὐτοῦ δὲ ἁμαρτήματος τούτου, καὶ τὸ τὴν ἀμαθίαν τὴν παρ' αὑτῷ δοκεῖν σοφίαν εἶναι, γέγονε πᾶσιν. ὅθεν οὐκ εἰδότες, ὡς ἔπος εἰπεῖν, οὐδὲν, οἰόμεθα τὰ πάντα εἰδέναι, οὐκ ἐπιτρέποντες δὲ ἄλλοις ἃ μὴ ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράττοντες. διὸ πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ σφόδρα φιλεῖν αὑτὸν, τὸν δ' αὑτοῦ βελτίω διώκειν δεῖ, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούμενον.

ΠΕΡΙ ΤΟΥ ΣΥΝΕΙΔΟΤΟΣ
ΛΟΓΟΣ ΚΒ΄.

Διφίλου. ΟΣΤΙΣ γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται,
συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται;

Πυθαγόρου. Πάντων δὲ μάλιστα αἰσχύνεο σαυτόν.

Ὁ συνιστορῶν αὑτῷ τι, κἂν ᾖ θρασύτατος,
ἡ σύνεσις αὐτὸν δειλότατον εἶναι ποιεῖ.

Σοφοκλέους. Κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,
σιγᾶν ἀνάγκη κἂν καλὸν φέρῃ στόμα.

Εὐριπίδου. Ὀρέστα τλῆμον, τίς σ' ἀπόλλυσι νόσος.
ἡ σύνεσις ὅτι σύνοιδα δείν' εἰργασμένος.

Σοφοκλέους. Ἡ δεινὸν ἆρ' ἦν, ἡνίκ' ἄν τις ἐσθλὸς ὢν αὑτῷ συνειδῇ.

Ἀντιφῶντος. Τὸ μὴ συνειδέναι γὰρ αὐτῷ τῷ βίῳ,
ἀδίκημα μηδὲν, ἡδονὴν πολλὴν ἔχει.

Πυθαγόρου. Κακὰ μείζω πάσχει διὰ τοῦ συνειδότος ὁ ἀδικῶν βασανιζόμενος, ἢ ὁ τῷ σώματι καὶ ταῖς πληγαῖς μαστιγούμενος.

Ἰσοκράτους. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. καὶ γὰρ ἂν τοὺς ἄλλους λήσῃς, ἑαυτῷ συνειδήσεις.

Μηδὲν ἀποκρύπτεσθε, μήθ' ὧν κέκτησθε, μήθ' ὧν ποιεῖτε, μήθ' ὧν μέλλετε πράττειν, εἰδότες ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων, ἀναγκαῖόν ἐστι πολλοὺς φόβους γίγνεσθαι.

Βίας ἐρωτηθεὶς, τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον, εἶπεν· ὀρθὴ συνείδησις.

Περίανδρος ἐρωτηθεὶς, τί ἐστιν ἐλευθερία, εἶπεν· ἀγαθὴ συνείδησις.

Σωκράτης ἐρωτηθεὶς, τίνες ἀταράχως ζῶσιν, εἶπεν· οἱ μηδὲν ἑαυτοῖς ἄτοπον συνειδότες.

Διογένους. Τίς γοῦν ἂν ἧττον φοβοῖτό τι, ἢ θαρσοίη μάλιστα, ἢ ὅστις αὑτῷ μηδὲν συνειδείη κακόν;

Πλουτάρχου. Τὸ γὰρ συνειδὸς, οἷον ἕλκος ἐν σαρκὶ τῆς ψυχῆς τὴν μεταμέλειαν αἱμάσσουσαν ἀεὶ καὶ νύσσουσαν ἐναπολείπει. τὰς μὲν γὰρ ἄλλας ἀναιρεῖ λύπας ὁ λόγος· τὴν δὲ μετάνοιαν

αὐτὸς

dulgentes, perperã gratificantes, in maximè contraria desyderatis incidunt.

Plurimi cũ uelint haberi quã cõsultissimi, si qua in re familiarissimi & bene uoli ipsis homines eos dehortẽtur, nolũt à cõfirmato semel intra se proposito recedere: sed ne redarguantur à cõsilio suo tanquã prauo desistere, permanẽt in necessitate propositi, donec tandem inde profecta incommoda sentiant.

Ipsum sese falli à seipso, res est omnium pessima. Cum eñ impostor ipse ne minimum quidem discedat, sed semper adsit, quo pacto non graue foret? *Platonis in Cratylo.*

Omniũ uero maximũ quoddã malũ in multorũ hominũ animis est innatũ. Cuius quidẽ, cũ facile sibi ignoscant, remediũ nullũ excogitant. Est aũt hoc quod dicere solent, quod natura sibi quisq; amicus est, recteq; est, ita id se habere. Sed reuera nimius in seipsum amor omniũ peccatorũ omnibus semper est causa. Occæcatur q̃ppe circa occæcatũ, qui amat. Quapropter q̃ se amat, cũ seipsum magis quã ueritatẽ honorandũ putet, q̃d iustũ, bonũ, & pulchrũ sit, male iudicat. Decet sanè eũ, qui magnus uir futurus est, neq; seipsum, neq; sua diligere, sed iusta semper, siue à seipso, seu ab alio quouis gerantur. Ex hoc ipso delicto accidit omnibus, ut ignorantiam suam esse sapientiã opinentur: hinc fit, ut quamuis nihil, ut ita dicam, sciamus, scire tamen omnia arbitremur. Cum uero nec alijs cõmittamus facultatẽ agendi quæ ipsi facere ignoramus, faciẽtes ipsi errare cõpellimur. Quamobrẽ nimiũ sui ipsius amorẽ fugere quisq; debet, & meliores sequi, nullo rubore uerecundiæ impeditus. *Eiusdem ex 5. legum.*

DE CONSCIENTIA SERMO XXII.

QVIS QVIS enim ipse non seipsum ueretur *Diphili.*
Conscium sibi, quod mala commiserit,
Quomodo apud nescientem pudefieret?
Inprimis autem reuerere teipsum. *Pythagoræ.*

Qui aliquid sibi conscius est, etiamsi fuerit audacissimus,
Conscientia tamen facit ipsum timidissimum.

Si quis in furto palàm deprehendatur, *Sophoclis*
Illum tacere necessum est, licet eloquentissimum.

O miser Oresta, quid morbi te perdit? *Euripidis.*
ORES. Conscientia: sum enim mihi conscius de malis perpetratis.

Magna profecto res est si quis de innocentia sua Sibi conscius sit. *Sophoclis.*

Conscium esse sibi in uita sua *Antiphontis.*
Nullius criminis, multum uoluptatis parit.

Vir iniquus plus mali patitur afflictus conscientia, quàm ille qui in corpore castigatur & flagris cæditur. *Pythagoræ.*

Nunquã sperare debes, si quid turpe feceris, te latiturum. Quamuis eñ lateas alios, tute tamen tibi conscius eris. *Isocratis.*

Nihil cęlandũ est prorsus illorũ, quę q̃s possidet, aut facit, aut facturus est. Siquidem circa res latentes necessariò multũ timoris & metus cõtingit.

Bias interrogatus quænã res in uita metu careret, bona cõsciẽtia respõdit.

Periander interrogatus quid esset libertas, recta conscientia dixit.

Socrates rogatus quinam tranquille uiuerent: illi, inquit, qui nullius absurditatis sibi conscij sunt.

Quis enim minimè timidus, animosus autem maximè fuerit, quàm ille, qui nullius mali sibi conscius est? *Diogenis.*

Facinorosa cõsciẽtia, instar ulceris in corpore, pœnitẽtiã relinq̃t in anima lancinã tẽ iugiter ac puellẽtẽ. Nã cũ alias omnes tristitias tollere ratio solita sit, solã hæc eadẽ *Plutarchi de animi trãquillitate.*

αὐτὸς ἐργάζεται δακνομένην τῇ αἰσχύνῃ, καὶ κολαζομένην ὑφ' αὑτῆς. ὡς γὰρ οἱ ῥιγοῦντες καὶ πυρέττοντες διακαιόμενοι, τῶν ταὐτὰ πασχόντων ἔξωθεν ὑπὸ καύματος, ἢ κρύους, μᾶλλον ἐνοχλοῦνται καὶ κάκιον ἔχουσιν· οὕτως ἐλαφροτέρας ἔχει τὰ τυχηρὰ τὰς λύπας ὥσπερ ἔξωθεν ἐπιφερομένας. τὸ δέ,

οὔτις ἐμοὶ τῶν ἄλλων ἐπαίτιος. ἀλλ' ἐγὼ αὐτός,

ἐπιθρηνούμενον τοῖς ἁμαρτανομένοις ἔνδοθεν ἐξ αὐτοῦ, βαρύτερον ποιεῖ δι' αἰσχρῶν τὸ ἀλγεινόν.

Ζηλοῦτε, μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας. μετὰ γὰρ τῆς τοιαύτης τύχης ἥδιστα ἄν τις δύναιτο τὸν βίον διαγαγεῖν.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΜΝΗΜΗΣ, ΛΟΓΟΣ ΚΓ'.

Ἐκ τοῦ πορφυρίου περὶ ψυχῆς. Ὥσπερ γὰρ ἐκ τῶν ἐναργειῶν καὶ τὰς ἄλλας καταλαμβανόμεθα· οὕτως ἀναθεωρούντων τὴν συναναφορὰν γιγνομένην καὶ μνήμην, τῶν ἢ δι' αἰσθήσεως καταληφθέντων, ἢ διὰ λόγου ἐθέμεθα. καὶ ταύτην ψυχῆς δύναμιν ἢ τῇ συναναφορᾷ καλεῖται μνήμη, ἣν ἀφορίζεται ἀριστοτέλης, κατοχὴν φαντάσματος, ὡς εἰκόνος, οὗ φαντάσματα εἰκών. οἷον ὅταν γένηται ἡ αἴσθησις ἀντιληπτικὴ ἤδη τὴν φανταστικὴν κατασκευήν, τὸ γινόμενον ἐν τῇ φανταστικῇ τὸ πάθος ὅτι δή ποτε ὄν, καλεῖται φάντασμα. ἔτι οὖν καὶ ἀφθέντος τοῦ αἰσθητικοῦ ἐκ τῆς αἰσθήσεως, τὸ προσπίπτον ἐν τῇ εἰκόνι τοῦ αἰσθητοῦ, ἀφ' οὗ συνέστηκε τὸ φάντασμα, εἰκόνος λόγον

malim ἔχ. † ἔχον πρὸς τὸ φανταστόν. οἷον γὰρ εἰκών τις ἐγγέγραπται ἐν τῇ φανταστικῇ τοῦ ὑποπεσόντος ὑπὸ τὴν αἴσθησιν. ὅταν οὖν γένηται κατοχὴ περὶ τὴν φανταστικὴν τοῦ φαντάσματος, καλεῖται μνήμη. τοῦτο μὲν οὖν κοινὸν καὶ ἐν τοῖς ἀλόγοις ζώοις· ἡ δὲ διηρθρωμένη, καθ' ἣν καὶ ἀναμιμνησκόμεθα, ἐν μόνοις ἐστὶ τοῖς λογικοῖς. ἴδιον γὰρ λογισμοῦ, τὸ διηρθρωμένον. διὸ καὶ φασὶν οἱ περὶ τὸν ἀριστοτέλην τὰ ἄλογα ζῶα, μεμνῆσθαι μέν, ἀναμιμνήσκεσθαι δὲ μή. τὸν δὲ μόνον ἄνθρωπον καὶ μνημονεύειν καὶ ἀναμιμνήσκεσθαι.

Πλάτωνος. Ἡ μνήμη πάντοτε μένει, ὅτι μονή ἐστιν ἐν τῇ ψυχῇ, ἀλλ' οὐ φορά.

Ἀριστοτέλους. Τὴν δὲ κατοχὴν τῶν φαντασμάτων, μνήμην ἐπονομάζεσθαι· τὴν δ' ἀναπόλησιν τούτων, ἀνάμνησιν. οὐ τοὺς αὐτοὺς δ' εἶναι μνημονικούς τε καὶ ἀναμνηστικούς, ἀλλ' ὡς ἐπὶ πολὺ μνημονικωτέρους μὲν ὑπάρχειν τοὺς βραδεῖς, ἀναμνηστικωτέρους δέ, τοὺς ταχεῖς καὶ εὐμαθεῖς. διαφέρειν δὲ τῆς φαντασίας τὴν μνήμην, ὅτι ἡ μέν, κίνησίς ἐστιν αἰσθήσεως ἐνεργούσης, ἢ διανοίας. φαντάσματα γὰρ ἄμφω λέγειν ὁμοίως ἡμᾶς. ἡ δ' οἷον ζωγράφημά τι τῆς ψυχῆς. τὴν γὰρ γινομένην κίνησιν τῆς αἰσθήσεως σημαίνεσθαί τινα τρόπον ἐν αὐτῇ παραπλησίως τοῖς σφραγιζομένοις διὰ τῶν δακτυλίων. διὸ καὶ τοῖς μὲν ἐν κινήσει πολλῇ διὰ πάθος, ἢ δι' ἡλικίαν οὖσιν, οὐ γίγνεσθαι, καθάπερ εἰς ὕδωρ ῥέον ἐμπιπτούσης τῆς κινήσεως, καὶ τῆς σφραγῖδος. τοῖς δέ, διὰ τὸ ψύχεσθαι, καθάπερ καὶ τὰ παλαιὰ τῶν οἰκοδομημάτων· καὶ διὰ σκληρότητα δὲ τοῦ δεχομένου τὸ πάθος οὐκ ἐγγίνεσθαι τοὺς τύπους. διόπερ τούς τε νέους σφόδρα καὶ τοὺς γέροντας ἀμνήμονας εἶναι. ὑπορρεῖν γάρ, τοὺς μέν, διὰ τὴν αὔξησιν. τοὺς δέ, διὰ τὴν φθίσιν. ὁμοίως δὲ καὶ τοὺς λίαν ταχεῖς, ἢ βραδεῖς. οὐδετέρους γὰρ τούτων φαίνεσθαι μνημονεύοντας. τοὺς μὲν γάρ, ὑγροτέρους εἶναι τοῦ δέοντος· τοὺς δέ, σκληροτέρους, παρ' ὃ καὶ τοῖς μέν, οὐ μένειν ἐν τῇ ψυχῇ τὸ φάντασμα, τῶν δ' οὐχ ἅπτεσθαι τὸ παράπαν.

Μεγίστη δὲ φυλακή, τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν. οὐ γάρ ἐστι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν. διὰ ταῦτ' οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα, οὐδ' ἔστι πλάτωνος σύγγραμμα οὐδέν, οὐδ' ἔσται. τὰ δὲ νῦν λεγόμενα σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος.

Πλάτωνος. Τὸ δ' ἐν ἑνὶ πάθει τὴν ψυχήν, καὶ τὸ σῶμα κοινῇ γιγνόμενον, κοινῇ καὶ κινεῖσθαι, ταύτην δ' αὖ τὴν κίνησιν ὀνομάζων αἴσθησιν, οὐκ ἀπὸ τρόπου φθέγγοιτ' ἄν. ἀληθέστατα λέγεις. οὐκοῦν ἤδη μανθάνομεν, ὃ βουλόμεθα καλεῖν τὴν αἴσθησιν; τί μήν; σωτηρίαν τοίνυν αἰσθήσεως τὴν μνήμην λέγων, ὀρθῶς ἄν τις λέγοι, κατά γε τὴν ἐμὴν γνώμην. ὀρθῶς γὰρ οὖν. μνήμης δὲ ἀνάμνησιν

α. λέγομεν ἆρ' οὐ διαφέρουσαν † ἔγνωμεν; ἴσως. ἆρ' οὐ τόδε; τὸ ποῖον; ὅταν ἃ μετὰ τοῦ σώματος

pœnitentiam facit sua sponte incitabilem præ pudore, quasiq; mordicus impetentē sese atq; excarnificantem. Quemadmodū porrò qui rigente febre perfrigescunt, aut æstuante exuruntur, acrius infestiusq; afficiuntur, quàm qui æstu rigoreue exterius hæc eadem patiuntur: sic obtusiores tristitias habent fortuita & temeraria, utpote aduentitias. Atqui illud,

Nemo mihi alius propter me inculpandus est,

Quod sceleribus perpetratis succlamari flebiliter solet, graue suapte natura uulnus, grauius etiam facit, atq; altius adigit.

Aemulemini non opulentissimos, sed de nullo crimine sibi conscios. Cum hac enim fortuna suauissimè quis uitam agere poterit.

EIVSDEM DE MEMORIA, SERMO XXIII.

Qvemadmodum & reliquas animæ facultates ex actionibus ipsarū deprehendimus, ita memoriā quoq; à posteriori consyderantes posuimus animæ facultatē esse reconditā ex rebus siue sensu siue † cogitatione perceptis. Atq; hanc animæ potentiā, quæ memoria nominatur, Aristoteles definit habitū esse imaginationis tanquā simulachri illius rei, à qua orta est imaginatio. Cum em̄ ad facultatem imaginandi sensus peruenit, tum illa, quæcunq; tandem affectio, phantasma dicitur. Excitata igitur sentiendi facultate à sensu, id quod offert rei sensilis imaginem, à qua re phantasma natum est, imaginis & simulachri rationem habet ad ipsam rem phantasia perceptam: & sic imago quædam est in facultate phantastica rei, quæ sub sensum cecidit. Cum autem circa phantasticam facultatē retētio & habitus phantasmatis fit, memoria nominat, quæ quidē est brutis quoq; cōmunis. Illa uero discreta facultas qua reminiscimur, solis ratione præditis contingit. Nam q̄d discretū est, ad rationē pertinet. Proinde Aristoteles ait animalia bruta meminisse quidē, nō autem reminisci: solū uero hominē utrumq; facere. *Ex Porphyrio de anima.* *νόησ.*

Memoria uel nomine suo Græco cuiuis ostēdit, q̄d māsio quędā sit, nō aūt motio. *Platonis in Cratylo.*

Aristoteles author est habitū phantasmatū memoriam nominari: ac eorundem ruminationē, reminiscentiam esse. Cæterū non eosdem qui memoria præcipuè pollent, reminiscentia quoq; ualere: sed plurimū accidere solet ut memoria præcellant, qui tardo ingenio sint: reminiscentia, qui uigore animi, celeritate, docilitateq; præstent. Præterea memoriā à phantasia differre, quod hæc sit motio sensus aut cogitationis agentis. Vtrunq; enim similiter appellare nos phantasmata. Illam uero ceu picturā animæ quandā esse. Motum em̄ à sensu factū in anima quodammodo signare & imprimere formas, quales ab annulis & signaculis imprimuntur. Propterea illis, qui propter affectū & morbum aliquem aut ætatē ualde cōmouentur, non existere memoriā, cū motus & signaculū uelut in aquā fluentē adigatur: Alijs uero, ideo q̄d phantasticæ formæ deterant & discobinent, ut antiquata solēt ædificia. Ad hęc propter duritiē partis recipiētis, nō absolui typos. Quapropter & ualde iuuenes ac senes obliuiosos esse: defluere em̄ illorū q̄dē typos, q̄d in iugi sint incremēto: horū aūt q̄d natura in sene ad occasum prona minuit. Similiter memoria laborare, tū q̄ præceleres & impendio uolucres sunt, tū qui admodū hebetes tardiq;. Alteros, quod sint humidiores quàm sit necesse, unde sisti & inhærere imagines nequeant. Alteros, q̄d rigeant plus æquo, unde propter duritatem typos non admittant. *Ex Aristotele de memoria.*

Maxima studiorū est cōseruatio, si nō scribant, sed ediscant. Fieri enim non potest quin scripta nobis excidant. Propterea nihil unquam ego de his rebus scripsi, nec ullum extat opus à Platone conscriptum, nec extabit. Quæ uero iam̄ ei tribuuntur ea Socratis sunt illius pulchri & iuuenis.

Motum autem in communi corporis & animæ passione factum si sensum uocaueris, haud ab re nominabis. Vera loqueris. An non percipimus iam quid sensum uocari uelimus? Percipimus. Sensus præterea conseruationē rectè q̄s memoriā mea sententia nuncupabit. Rectè nimiū. Et à memoria reminiscentiā discrepare fatemur, nec ne? Fortè. An non in hoc præcipue. Quo nam? Quoties quæ cum *Platonis in Phylebo.*

al. ἔπασχε πάθη ἡ ψυχή. σώματος † ἔπασχε πάθη ψυχή, ταῦτα ἄνευ σώματος αὐτὴ ἐν ἑαυτῇ ὅτι μάλιστα ἀναλαμβάνῃ, τότε ἀναμιμνήσκεσθαί που λέγομεν. ἢ γάρ; πάνυ μὲν οὖν. καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην, εἴτ' αἰσθήσεως, εἴτ' αὖ μαθήματος, αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ ἐν ἑαυτῇ, καὶ ταῦτα ξύμπαντα, ἀναμνήσεις καὶ μνήμας που λέγομεν. ὀρθῶς λέγεις.

Ιαμβλίχου. Τούτων οὖν τῶν κοινοτάτων δυνάμεων, εἰσὶ καὶ ἄλλαι τῆς ψυχῆς δυνάμεις, κατ' αὐτὴν μὲν, ἡ μὲν συμπληρωτικὴ αὐτῆς, ὡς ἡ μνήμη κατοχὴ οὖσα φαντάσματος.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΛΗΘΗΣ, ΛΟΓΟΣ ΚΔ'.

Σοφοκλέους. ΛΑΘΑ πηείδων συγὸρὰ καὶ † ἀναφύτος
† al. ἀνήρατος. ἀδωνάσεις θανάτοις δυσποτμότατε,
μελέα ἀνέχουσα βίου βραχὺν ἰσθμόν.

Ευριπίδου. Ω πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.

Σοφοκλέους. Λήθην τε τὴν πάντ' ἀπεστερημένην, κωφὴν, ἄναυδον.

Ως τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

Πλάτωνος. Εστι γὰρ λήθη, μνήμης ἔξοδος.

Του αὐτοῦ. Ο γὰρ καλεῖται μελετᾶν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης, λήθη γὰρ ἐπιστήμης ἔξοδος.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΟΡΚΟΥ, ΛΟΓΟΣ ΚΕ'.

Χοιρίλου περσηίδος. ΟΡΚΟΝ δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι, οὔτε δίκαιον.
Ουκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ.

Αλέξιδος. Ορκος βέβαιός ἐστιν, ἂν νεύσω μόνον.

Αμφιδος. Οστις γὰρ ὀμνύντι μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

Αντιφάνους. Δίκαιον, ὅταν τις ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ συνοίδε πρότερον ἐπιωρκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ,
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιωρκηκέναι.

Σοφοκλέους. Ορκου δὲ προστεθέντος ἐπιμελεστέρα
ψυχὴ κατέστη. δισσὰ γὰρ φυλάσσεται,
φίλων τε μέμψιν, κεἰς θεοὺς ἁμαρτάνειν.

Απολλοδώρου. Μάστιγος οὔσης, ὅρκον οὐκέτι δίδωσ.

Αντιφῶντος. Ο διδοὺς τὸν ὅρκον τῷ πονηρῷ, μαίνεται.
τοὐναντίον γὰρ νῦν ποιοῦσιν οἱ θεοί.
ἐὰν ἐπιορκήσῃ τις, αὐτὸς εὐθέως
ὁ δοὺς τὸν ὅρκον, ἐγένετ' ἐμβρόντητος
οἶμαι δικαίως, ὅτι ἐπίστευσέ τινι.

Αλέξιδος. Οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ,
τοῖς πράγμασι δ' αὐτοῖσι πιστεύειν ἀεί.

Λυκούργου. Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν, † ἄχρι τοῦ μὴ ἐπιορκεῖν.

† al. ἄνευ.

Ισοκράτους. Ορκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις. ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν, ἐπιορκεῖν· τοῖς δὲ, φιλοχρημάτως ἔχειν.

Ορκον

corpore passa est aliquando anima, eadē sine corpore in seipsa resumens animaduertit, tunc meminisse eam asserimus, an nō? Valde qdē. Quinetiam quando memoriæ passa iacturam, deinde uel sensu uel disciplina monente eam iterū reuocat in seipsa reminisci putat. Atq; hæc iā memorias reminiscentiasq; uocamus. Probè loqueris.

Harum igitur facultatum, quæ communissimæ sunt, aliæ quoq; facultates animæ habentur, secundum ipsam quidem existentes, nō tamen essentiam eius constituentes, ut memoria, quæ uisi seu spectri est retentatio. *Iamblichi.*

EIVSDEM DE OBLIVIONE, SERMO XXIIII.

Obliuio Pieridum odiosa & inamabilis, *Sophoclis*
Miseræ uitæ breuem isthmum continens. *Locus apparet corruptus.*
O uenerabilis obliuio malorum, quàm sapiens es, *Euripidis.*
Et infortunatis exoptata dea.
Et obliuionem rebus omnibus priuatam, surdam, mutamq;. *Sophoclis.*
O quàm iucundum est infortunatis uel parum
Temporis obliuisci præsentium malorum.
Est enim obliuio, exitus memoriæ. *Platonis in Phylebo.*
Quod enim dicitur meditari, quasi exierit scientia dicitur. Obliuio nanq; scientiæ exitus est. *Eiusdem in symposio.*

EIVSDEM DE IVREIVRANDO, SERMO XXV.

Ius iurandum nec iustum, nec iniustum usurpandum est. *Chœrili in Perseide.*
Iuramenta non fidem afferunt uiro, sed uir iuramentis. *Alexidis.*
Firmum est iuramentum, si solum annuero.
Quisquis enim iuranti nihil credit, *Amphidis.*
Ille met facile peierare scit.
Hera, cum aliquis contemnit iurantem, *Antiphanis.*
Cui antea unquam commissi periurij non est conscius,
Tum ille mihi deos ipsos contemnere uidetur,
Ac prius aliquando iurans ipsemet peierasse.
Apposito iureiurando cautior & diligentior *Sophoclis.*
Animus fit. A duobus enim sibi tum cauet,
Et ne lædat amicos, & ne peccet in deos.
Præsente flagello, non postules amplius iuramentum. *Apollodori.*
Qui iuramentum à malo uiro postulat, insanit. *Antiphontis.*
Contrarium enim nunc dij faciunt.
Nam si quis peierarit, continuò
Ille qui postulauit iuramentum fit attonitus,
Meritò nimirum, quia credidit improbo homini.
Sapientem non oportet iurantibus, *Alexidis.*
Sed ipsis rebus semper habere fidem.

Eatenus amicis & familiaribus auxiliandum est, quatenus periuriū nō admittit. *Lycurgi.*

Sacramentū oblatū tibi duabus de causis iurato, uel ut teipsum turpi suspicione liberes, uel ut amicos ex magnis periculis eripias. Pecuniarū uero gratia & si iustā causam habeas, nullum deū iuraueris. Sin minus, alijs periurus: alijs auarus uideberis. *Isocratis.*

Εὐσεβείας. Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μή, ἐκ τῶν ἐνόντων.

Οἱ πολλοὶ τοὺς ἀνθρώπους, τὸ εὐόρκους εἶναι, αὐτοῖς παραινοῦσιν. ἐγὼ δὲ, καὶ τὸ ἀρχὴν μηδὲ εὐπετῶς ὀμνύναι, ὅσιον ἀποφαίνομαι.

Ἡροδότου. Ἔλεξε σφιν Λευτυχίδας τάδε. ὦ Ἀθηναῖοι, ποιέετε μὲν ὁκότερα βούλεσθε αὐτοί. καὶ γὰρ ἀποδιδόντες, ποιέετε ὅσια, καὶ μὴ ἀποδιδόντες, τὰ ἐναντία τούτων. ὁκοῖον μέντοι τι ἐν τῇ Σπάρτῃ συνηνέχθη γενέσθαι περὶ παραθήκης, βούλομαι ὑμῖν εἰπεῖν. λέγομεν ἡμεῖς οἱ Σπαρτιῆται γενέσθαι ἐν Λακεδαίμονι κατὰ τρίτην γενεὴν τὴν ἀπ' ἐμέο, Γλαῦκον Ἐπικύδεος παῖδα. τοῦτον τὸν ἄνδρα φαμὲν τά τε ἄλλα πάντα περιήκειν τὰ πρῶτα, καὶ δὴ καὶ ἀκούειν ἄριστα δικαιοσύνης πέρι, πάντων ὅσοι παρὰ Λακεδαίμονας τοῦτον τὸν χρόνον οἴκεον, συνενεχθῆναι δέ οἱ ἐν χρόνῳ ἱκνουμένῳ τάδε λέγομεν. ἄνδρα Μιλήσιον ἀπικόμενον ἐς Σπάρτην βούλεσθαί οἱ ἐλθεῖν ἐς λόγους, προϊσχόμενον τοιάδε. εἰμὶ μὲν Μιλήσιος. ἥκω δὲ τῆς σῆς Γλαῦκε δικαιοσύνης βουλόμενος ἀπολαῦσαι, † ἔδοξέ μοι ὦν τὰ ἡμίσεα τῆς οὐσίας ἐξαργυρώσαντα θέσθαι παρὰ σέ. χρόνου δὲ διελθόντος, ἦλθον ἐς Σπάρτην τοῦ παραθεμένου τὰ χρήματα οἱ παῖδες, ἐλθόντες δὲ ἐς λόγους τῷ Γλαύκῳ, ἀπῄτεον τὰ χρήματα, ὁ δὲ, διωθέετο. οἱ μὲν δὴ Μιλήσιοι συμφορὴν ποιεύμενοι, ἀπαλλάσσοντο· Γλαῦκος δ' ἐπορεύετο ἐς Δελφούς, χρησόμενος τῷ χρηστηρίῳ, ἐπειρωτῶντα δὲ αὐτὸν, εἰ ὅρκῳ τὰ χρήματα λῄσεται, ἡ Πυθίη μετέρχεται τοῖσδε τοῖς ἔπεσι.

Hic apud Herodotum quædam interferuntur, & in sequentibus etiam.

Χρησμὸς πρὸς Γλαῦκον.

Γλαῦκ' Ἐπικύδειδη, τὸ μὲν αὐτίκα κέρδιον, οὕτω
Ὅρκῳ νικῆσαι, καὶ χρήματα λῃίσσασθαι.
Ὄμνυ' ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
Ἀλλ' ὅρκου πάϊς ἐστὶν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες,
Οὐδὲ πόδες, κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
Συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ κατόπισθεν ἀμείνων.

Ταῦτα ἀκούσας ὁ Γλαῦκος, συγγνώμην τὸν θεὸν παραιτέετο αὐτῷ ἴσχειν τῶν ῥηθέντων, ἡ δὲ Πυθίη, ἔφη· τὸ πειρηθῆναι τοῦ θεοῦ, καὶ τὸ ποιῆσαι, ἴσον δύνασθαι. Γλαῦκος μὲν δὴ μεταπεμψάμενος τοὺς Μιλησίους ξείνους, ἀποδιδοῖ σφιν τὰ χρήματα. τοῦ δὲ εἵνεκα ὁ λόγος ὅδε ὦ Ἀθηναῖοι ὁρμήθη λέγεσθαι ἐς ὑμέας, εἰρήσεται. Γλαύκου νῦν, οὐκέτι ἀπόγονόν ἐστιν οὐδέν, οὔτε ἱστίη οὐδεμία νομιζομένη εἶναι Γλαύκου, ἐκτέτριπταί τε πρόρριζος ἐκ Σπάρτης. οὕτως ἀγαθὸν μηδὲ διανοέεσθαι, περὶ παραθήκης ἄλλο γε ἢ ἀπαιτεόντων ἀποδιδόναι.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΕΠΙΟΡΚΙΑΣ, ΛΟΓΟΣ ΚϚ.

Σοφοκλέους.

ΟΡΚΟΙΣΙ γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν
ὠδῖνα παίδων, ἀλλ' ἐπὰν λήξῃ κακοῦ,
ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται,
πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη.

Καλλιμάχου. Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

Ὤμοσεν ἀλλὰ λέγουσιν, ἄλλα θέασαι τοὺς ἐν ἔρωτι.
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.

Διφίλου. Ὅρκος ἑταίρας ταυτὸ καὶ δημαγόρου.
ἑκάτερος αὐτῶν ὀμνύει πρὸς ὃν λαλεῖ.

Σοφοκλέους. Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φιλόττει βαρύς.

Εὐριπίδου. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Μενάνδρου. Συγκέχυκε νῦν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.

Ἡσιόδου. Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

Iuramentum deprecare, si quidem fieri potest, omnino: sin minus, saltem quoad eius potest. *Eusebij.*

Multi homines adhortantur ut in iurando probi sint & fideles. Ego uero ne principio quidem facile iurare religiosi uiri officium existimo.

Leutychides hæc coràm ipsis locutus est. Facite Athenienses utrum ipsi uultis, si reddetis sanctè facturi: è contrario, si non redditis. Qualis autem res circa depositũ contigit Spartæ, uolo referre. Dicimus nos Spartiatæ fuisse tertia ab hinc ætate quendam Glaucum Epicydidis filium, qui cum alijs summis laudibus excellebat, tum iustitia inter omnes optimè audiebat, qui per id tempus Lacedęmonem incolebant. Et huic procedente tempore contigisse, ut uir quidam Milesius Spartam uenerit, hominis conueniendi gratia, atque ita sit alloquutus: Ego sum uir Milesius, qui ad tuam Glauce fruendam iustitiam uenio. Visum est itaque mihi dimidium mei census in pecuniam redactum deponere penes te. Multo deinde tempore interiecto, filij eius qui pecuniam deposuerat, Spartam ueniunt, & Glaucum pecuniam reposcunt. Ille uero repellebat eos. Ita Milesij facta iactura tanquam fraudati pecunia, discessere: & Glaucus Delphos se contulit ad oraculum consulendum. Cui consultanti an ὅρκῳ, id est iureiurando pecuniam prædaretur, Pythia respondit his uersibus. *Herodoti lib. 6.*

Glauce Epicydides equidem expedit ad breue tempus
Iurando superasse, interuertisseque nummos.
Deiera, & euorcum quoniam manet exitus idem.
Ast Horci natus sine nomine, qui manibus, qui
Nullis est pedibus, rapide aduenit, usque adeò, dum
Corripiens omnem perdat prolemque domumque.
Cum sobole euorci melius sed postea agetur.

His auditis, Glaucus ueniam sibi eorum quæ dixisset ut daret, Deum obsecrabat. Cui Pythia inquit, idem pollere, tentare Deum & facere. Tunc Glaucus accitis Milesijs hospitibus pecuniam reddidit. Cur autẽ hæc oratio apud uos instituta sit uiri Athenienses, dicetur: Glauci nunc nulla superest neque soboles neque domus, quæ illius censeatur: sed ex Sparta radicitus extrita est. Ita bonũ est nihil aliud de deposito cogitare, quã ut repetentibus reddatur.

EIVSDEM DE PERIVRIO, SERMO XXVI.

IVramentis enim & mulier fugit acerbam *Sophoclis.*
Parturiginem liberorum: ast ubi malum abierit,
Eisdem in retibus capitur
A præsenti cupiditate uicta.

Venereum iusiurandum non constitutam habet pœnam. *Callimachi.*

Iurauit quidem, sed ut aiunt amatoria
Iuramenta deorum non subeunt aures.

Idem est iuramentum meretricis, & popularem captantis auram. *Diphili.*
Vterque enim iurat apud illum, qui cum loquitur.

Nullum iusiurandum graue est furi, & impostori. *Sophoclis.*

Lingua iurauit, sed iniurata mens est. *Euripidis.*

Aetate nostra fides omnis confunditur. *Menandri.*

Et iusiurandum, quod quidem plurimum terrestres homines *Hesiodi.*
Lędit, si quis ipsorum sponte peierauerit.

Δημοκρίτου. Ὅρκους οὓς ποιοῦνται ἐν ἀνάγκαισιν ἐόντες, οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.

Εὐριπίδου. Οὐ γὰρ ἀσύνετον
τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι τοὺς κακῶς
παγέντας ὅρκους, καὶ κατηναγκασμένους.

Εὔφρονος. Καινοὺς πορίζου πρός με θεῶν θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ ἐπιορκῇς πολλάκις.

Εὐριπίδου. Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖ,
ἐάν τις ὅρκοις θάνατον ἐκφυγεῖν θέλῃ,
ἢ δεσμὸν, ἢ βίαια πολεμίων κακά.

Εὐσεβίου. Φημὶ πάντα τὸν προαίρεσιν τοῦ ἐπιορκῆσαι ἀναδεξάμενον καὶ ἐπιορκήσαντα ἤδη τὸν ὅρκον, εἰ καὶ μὴ τελέσει τὸ ἔργον τῆς ἐπιορκίης τύχῃ τινὶ, ἢ καὶ ὑπό του μὴ βουληθῆναι τὸν ἀπαιτέοντα, ὅμως αὐτὸν ἔχειν γνώμην τὴν τοῦ ψευδόρκου, καὶ εἶναι τῆς ἤδη τῇ ἐπιορκίῃ ἁμαρτάδος τῆς ὀφειλομένης μετὰ τὸν καὶ ἔργῳ ἐπιορκήσαντα ἔνοχον τιμωρίης.

Χρύσιππος διαφέρειν ἔφη τὸ ἀληθορκεῖν τοῦ εὐορκεῖν, καὶ τὸ ἐπιορκεῖν, τοῦ ψευδορκεῖν. τὸν μὲν γὰρ ὀμνύοντα καθ' ὃν ὀμνύει καιρὸν, πάντως ἢ ἀληθορκεῖν, ἢ ψευδορκεῖν. τὸ γὰρ ὀμνύμενον ὑπ' αὐτοῦ, ἢ ἀληθὲς εἶναι, ἢ ψεῦδος, ἐπειδὴ ἀξίωμα τυγχάνει ὄν. τὸν δὲ ὀμνύοντα μὴ πάντως καθ' ὃν ὀμνύει χρόνον, ἢ εὐορκεῖν, ἢ ἐπιορκεῖν, ὅτε μὴ πάρεστιν ὁ χρόνος, εἰς ὃν ἡ ἀναφορὰ τῶν ὅρκων ἐγίνετο. ὃν τρόπον γὰρ λέγεταί τινα εὐσυνθετεῖν, ἢ ἀσυνθετεῖν, οὐχ ὅτε συντίθεται, ἀλλ' ὅτε οἱ χρόνοι ἐνίστανται τῶν κατὰ τὰς ὁμολογίας: οὕτω καὶ εὐορκεῖν τις καὶ ἐπιορκεῖν ῥηθήσεται, ὅταν οἱ καιροὶ παραστῶσι, καθ' οὓς ὡμολόγησεν ἐπιτελέσειν τὰ κατὰ τοὺς ὅρκους.

Ξενοφῶντος. Πρῶτον μὲν γὰρ καὶ μέγιστον οἱ θεῶν ὅρκοι κωλύουσιν ἡμᾶς πολεμίους εἶναι ἀλλήλοις. ὅστις δὲ τούτων σύνοιδε παρημεληκὼς, τοῦτον οὔ ποτ' ἂν ἐγὼ εὐδαιμονίσαιμι. τὸν γὰρ θεῶν πόλεμον, οὐκ οἶδα οὔτε ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι, οὔτε εἰς ὁποῖον ἂν σκότος ἀποδύῃ, οὔτε ὅπως ἂν εἰς ὀχυρὸν χωρίον ἀποσταίη. πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὕποχα, καὶ πάντῃ πάντων ἴσον οἱ θεοὶ κρατοῦσιν.

Ἡροδότου. Ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς πίστιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν.

Τοῦ αὐτοῦ. Χρυσὸν μὲν ἄνθρωποι βασάνῳ τέχνῃ προσθάλψαντες, ἔγνωσαν τὸ κρήγυον: ἄνδρα δὲ οὐκ ἔστι δεξιὸν γνώμῃ σταθμησάμενον ἀθρῆσαι. ποίη δέ τις τὸ παλαιὸν ἡμέας ἐκ θεῶν συνέσχε μοῖρα. χρὴ δὲ πίστιν ἐν φιλίῃ τίθεσθαι κραδίῃ μὴ διπλῇ πεφυρμένους, μηδ' † ὅρκον ἐπιορκίης προσφιλέστερον ἡγευμένους. ὁ γὰρ τοιόσδε τῶν ἀνδρῶν τὴν μὲν ἐκ θεῶν ἀναβάλλεται τιμωρίην, ἤδη δὲ τοῦ καθεστῶτος πικρὴν ψυχαγωγίην ἔχων, τέρπεται μωρὸς ἐών. τίς γὰρ οὐκ οἶδεν, ὡς μένει τὸ κακὸν δίκη; εἰ δὲ οὐ παρὰ πόδα τιμωρίης ἔτυχεν, ἀλλ' ἐν χρόνῳ κέρδος ἡγεῖσθαι τοὺς δικεῦντας ἠλίους, οὓς πόρσω ἐκτὸς ἀμηνύτους ὁ θεὸς παρεπιδημεῖν εἶχεν ἐν ζώοις. ὡς δ' οὐ νωθρὴν ἔχει τὸ δαιμόνιον ἀνθρώπων ἐπίσκεψιν, τῶν ἔργων ἀληθείης † δυσορκτόν ἐστι. λέγεται γὰρ ἐν Τενέδῳ παρεπιδημίαν ποιησάμενον Ἀρχέτιμον τῶν Ἐρυθραίης τῶν Ἰώνων πόλεως ἤδη ξένῳ θέσθαι Κυδίῃ, χρυσοῦ δ' ἠλισμένην οὐκ ὀλίγην ἐμπολὴν ἔχοντα: ταύτην δὲ παραθέσθαι Κυδίῃ οὕτως ἔχοντα, ὡς οὐδὲν ἂν βίαιον τοῦ ἀνδρὸς πάθοι. δοκέοντός γε δὴ, ὡς τὰ πρὸς ἑωυτὸν ἀρτίως ἐν φιλίῃ συγκεκρᾶσθαι. ἔνθα Κυδίης κακὴν βουλὴν τῶν σφραγῖδας ἔμβαλε φιλοκερδίῃ. ἀπαιρεόμενος γὰρ τὸν δοθέντα χρυσὸν ἐν παραθήσει, σκληρὴν ἄρνησιν ἐποιήσατο. τῶν δ' οὖν ἀμφιβολίην πιπτόντων, τέλος ἔδοξεν ὅρκῳ κυρῶσαι. Κυδίης μὲν οὖν τὴν τρίτην ἡμέρην βουλόμενος κυρώσειν πίστιν τοῖς θεοῖς ἐπιτραφθεῖσαν, ἀπελθὼν τὸν οἶκον, μηχανὴν τοιήνδε ἔθετο. νάρθηκα γὰρ κοιλήνας, παντὸς χρυσοῦ φόρτον εἰς αὐτὸν ἤρεισε. πρὸς δὲ χειρὸς ἀντίληψιν, εἴληκα μίτρῃς ἐδέσμευσε πάντοθεν, ὡς ἂν κρύπτοι τὴν κατεσκευασμένην πρόφασιν. ἐπειδὴ ἡ τεταγμένη παρῆν ἡμέρη, νωθρὴν πορείης ἔλευσιν ποιεύμενος, δήρει δὲ τὸν νάρθηκα νοσεῦντι ἴσην ὑποφορέων σώματι. καταστὰς δὲ ἐναντίον τοῦ νεὼ, ὃν πρὶν ἔμελλε συνίστορα ποιεῖσθαι, δίδωσι Κυδίης Ἀρχετίμῳ νάρθηκα, τὸν ἐντὸς ἀδικίην πᾶσαν κεύθοντα, μέχρι περ τελευτήσει τὸν τεταγμένον ὅρκον ἀνα-

malim ὁμαίμιον εἶναι.

malim ἀόρατον.

Iuramenta, quæ iurant adacti necessitate, nō seruant mali homines, postquam periculum euaserunt. *Democriti.*

Non enim intellectu caret
Numen, sed potest intelligere quænam sint male
Facta iuramenta, & necessitate coacta. *Euripidis.*

Nouos tibi confinge deos,
Vt ne sæpius antiquos offendas periurijs. *Euphronis.*

Faciles mihi ad dandam ueniam dij uidentur,
Si quis iurando mortem effugere cupiat,
Aut uincula, aut malam hostium uiolentiam. *Euripidis.*

Aio unumquenq; qui uoluntatem peierandi habere uidetur, aut qui peierat uerbis, etiamsi factum quod comitatur periuriū non contingat, siue per fortunam aliquam, siue quod noluerit ille, cuius erat postulare: nihilo secius periurū esse animo, & nō minus meritū esse pœnam periuris præscriptam, quā ille qui re ipsa peierauit. *Eusebij.*

Chrysippus differre dicebat uerum iurare & fideliter iurare, item peierare & falsum iurare. Id quod iuratur enim, quo tempore iuratur, aut res uera aut falsa sit necessum est. Siquidem ipsa iurandi forma cum axioma, id est, pronunciatum constituat, uera sit oportet, aut falsa. Ipsum uero iurantem, quo tempore iurat, non statim aut periurum esse, aut fidelem necessarium est, quando nondum adest tempus, ad quod ceu terminū iusiurandum refertur. Nam sicut aliquis dicitur bene uel male pacisci, non cum pactum committitur, sed cum præscriptum præstandi conuenta tēpus accessit. Itidem quis aut fideliter aut perperam iurare dicetur, cum adfuerit tēpus, quo iuramento se satisfacturum pollicitus est.

Hoc primum & præcipuum est, quod deorum sacramenta nos hostes inuicem esse prohibent. Ea uero si quis neglecta sibi conscius est, illum ego nequaquam beatum existimauerim. Diuinitus enim illatum bellum, haud scio qua quis aut celeritate effugere possit, aut quibus in tenebris latere, aut in quo munimento arcere. Etenim omnia dijs ubiq; sunt obnoxia, & æquali potentia reguntur ab ipsis omnia ubiuis gentium. *Xenophontis.*

Nam sine firma necessitate non potest firma fides permanere. *Herodoti.*

Aurum quidem homines arte Lydio lapidi affricantes, quod præstantius est cognoscunt. Hominē uero probum nemo potest secū animo perpendens discernere. Talis nimirū olim deorū uoluntate constitutio nostra facta est. Oportet autē fideles in amicitia esse, non duplici sententia inquinatū cor possidere, nec periuriū sancto iuramento præferre. Nam qui talis uir fuerit, diuinam quidē uindictam differt, interim uero præsentium acerba fruitione se stultus oblectat. Quis enim ignorat, quod omne malum uindicta sua manet? Quamuis enim nō præsens pœna sit: nullū tamē lucrum affert dilatio temporis, sed tarditas pœnæ grauitate tandem compensatur. Porrò quod Numen non negligenter inspiciat humana negocia, ex ipsis factis quæ uere contigerunt, facile iudicari potest. Fertur enim Archetimus ex Erythræa Ionica ciuitate in Tenedum uenisse, & apud Cydiam hospitem suum auri magnam uim deposuisse, nihil de homine sinistri aut uiolenti suspicatū, ut qui cū recens amicitiā iniuisset. Tum Cydiæ malum consilium auaritia suggessit. Cum enim aurū apud se depositū ab ipso reposceretur, cōtumaciter negauit. Et cū inter se cōtenderēt, tandē uisum est, ut totū negociū ad iusiurandū referretur. Cydias igitur cū tertio post hęc die fidē suā ceu dijs cōmissam iureiurādo cōfirmaturus esset, reuersus domū excogitauit dolū huiusmodi. Omne simul aurū in excauatā ferulā inclusit, & qua parte ferulā manus amplectit, fasciā circūuoluit undequaq;, ut dolus cælaret. Postquā uero præscript⁹ dies aduenit, Cydias languidū gradū causa morbi fingēs fulciēdo ferula corp⁹ accessit, & stans ante templū, q̄d iuramēti sui cōsciū esse uolebat, ferulā, in qua omnis eius iniqtas latebat, Archetimo tenēdā porrigit donec absolueritiuramētū *Eiusdem.*

ἀνατείνας δὲ τὴν ἑαυτοῦ χειρῶν φορὰν εἶπεν, ὡς λάβοι μὲν παρ' Ἀρχετίμου παραθήκην, ἀποδοίη δὲ ταύτην, ὅπερ ἦν ἐκ τέχνης πεπλασμένον ψεῦδος. Βαρυνθεὶς ἤδη τῶν λελεγμένων Ἀρχέτιμος, ῥίπτει πρὸς ἔδαφος νάρθηκα πληγῇ βαρείᾳ· τοῦ δὲ ἀραχθέντος, ἐκτὸς ἐρρύη παραθήκης ὄγκος. Ἀρχέτιμος μὲν οὖν ἐκ θεῶν προνοίας τοιαύτης ἔτυχε, Κυδίας δὲ λέγεται κακὴν βίου καταστροφὴν γενέσθαι· εἰς ἃ δεῖ βλέποντας μὴ καταφρόνησιν ποιεῖσθαι πρὸς πίστιν ὅρκων νέοντας ἀνθρώπους, οἷς ἀσφαλὲς ὅπου δὴ παντοίῃ τύχῃ φορὰ πνεύματος ἀνωρθωμένη.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΦΙΛΟΠΟΝΙΑΣ ΚΑΙ ΜΕΛΕΤΗΣ, ΚΑΙ ΟΤΙ ΑΣΥΜΦΟΡΟΝ ΤΟ ΟΚΝΕΙΝ ΛΟΓΟΣ ΚΖ'.

Σοφοκλέους. Ὡς νῦν τάχος στείχωμεν, οὐ γάρ ἐσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε.

Ἡσιόδου. Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι, ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι. ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενος σπεύδοντ'. ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.

Ἐξ ἔργων τ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργός,
πλουτοῦντα. πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.

Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδώς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν,
αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ, πρὸς ὄλβον.

Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα, πολλὸν ἀμείνω.

Ἀλλ' ἀρετὰ βαίνει διὰ μόχθων.

Εὐριπίδου. Τοὺς πόνους γὰρ οἱ 'γαθοὶ
τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.

Πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.

Ἐπιχάρμου. Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγαθ' οἱ θεοί.

Κριτίου. Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

Ἐκ μελέτης πλείους, ἢ φύσεως ἀγαθοί.

Εὐριπίδου. Ἐκ τῶν πόνων τοι τἀγαθ' αὔξεται βροτοῖς.

Τὸ συνεχὲς ἔργον, παντὸς εὑρίσκει τέλος.

Σοὶ δ' εἶπον ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
θηρᾶν. ὁρᾷς γὰρ τὸν πατέρα τιμώμενον.

Οὐκ ἔστιν ὅστις ἡδέως ζῶν τὸν βίον
εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν.

Τοὺς γὰρ περισσούς, καί τι πράσσοντας πλέον
τιμῶμεν, ἄνδρας τ' ἐν πόλει νομίζομεν.

Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέας χάριν.

Μενάνδρου. Δεῖ τοὺς γινομένους μέχρι ἂν ζῶσιν, πονεῖν.
ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον.

Ἡσιόδου. Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

Μενάνδρου. Πάντα γὰρ ταῖς ἐντελεχείαις καταπονεῖται πράγματα.

Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.

Εὐριπίδου. Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

deinde manibus eleuatis dixit, accepisse quidē se depositū ab Archetimo, sed id restituisse: q̊d mendaciū erat arte confictū. His dictis grauiter indignatus Archetimus, ictu uehemēti ferulā in pauimentū proiecit, qua dirupta omnis auri moles effluxit. Hac qdē diuinitus prouidentia adiutus est Archetimus. Cydias aūt malū uitæ exitū habuisse dicit. Hæc ergo respiciens qlibet sibi caueat ne sacramenta contempserit.

EIVSDEM DE ASSIDVITATE, ET DILIgentia, Et quod ignauia sit inutilis.

SERMO XXVII.

Famus quàm celerrimè. Non potest enim — *Sophoclis.*
Iusta diligentia unquam reprehendi.
Si quis ociosus respexerit alterum — *Hesiodi.*
Locupletem, is festinabit ut aret, plantetq́,
Et rem domesticam ritè disponat: Aemulatur enim uicinus uicinum
Ditescentem. Est autem hæc æmulatio mortalibus utilis.
Operando uiri pecuniosi fiunt & dites. — *Eiusdem.*
Atq́ laborans multo magis amatur à dijs.
Non est autem dedecori laborare, sed ociari.
Quod si labores, statim & ociosus aliquis æmulabitur te
Ditescentem: diuitias uero uirtus & gloria sequuntur.
Verecundia inutilis uirum egenum occupat. — *Eiusdem.*
Verecundia, quæ uiris multum obest, rursusq́ prodest.
Verecundia facit infortunatos: animositas fortunatos.
Pecuniæ non raptæ, sed diuinitus datæ plurimum præstant. — *Eiusdem.*
Virtus autem per labores incedit.
Boni uiri subire labores — *Euripidis in Iphigenia in Tauris.*
Audent, & nusquam ulla in re sunt timidi.
Labor enim ut aiunt bonæ famæ pater est.
Laboribus Vendunt nobis omnia bona diui. — *Eiusdem.*
Necessum est ut laborent, qui uolunt fœliciter agere. — *Epicharmi.*
Plures studio boni sunt, quàm natura. — *Critiæ.*
Bona per labores augentur hominibus. — *Euripidis.*
Labor improbus omnia uincit.
Tibi dixi ò fili, ut fortunam laboribus
Indages. Honorari enim tuum patrem uides.
Nullus est, qui dum molli uitæ studet
Gloriam adeptus sit: sed laborandum est.
Præstantes enim, & qui faciunt aliquid eximium
Honoramus, ac uiros in ciuitate nominare dignamur.
Nunc sum ignauus, quia præteritos labores frustra tuli.
Genitos oportet, quoad uixerint, laborare. — *Menandri.*
Ignauia enim non alit frugalem uitam.
Nam si uel modicum modico coniunxeris, — *Hesiodi.*
Idq́ frequenter feceris, statim fiet hoc quoq́ magnum.
Omnia enim Assiduitate conficiuntur negocia. — *Menandri.*
Gloriam assequutus sum non sine multis laboribus.
Solet laborantem Deus pariter adiuuare. — *Euripidis.*

Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.
ὁ δ' ἡδὺς αἰὼν, ἡ κακή τ' ἀτολμία,
οὔτ' οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ.
Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.
Αἰσχύλου. Καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.
Σοφοκλέους. Οὔτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.
μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται.
Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόθος.
Φιλήμονος. Πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.
Ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν.
Ὡς ἡδέως μοι γέγονε τὰ πρότερα κακά.
εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.
Εὐριπίδου. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.
οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.
Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει.
Ἀλέξιδος. Ὅτι πάντα τὰ ζητούμεν' ἐξευρίσκεται,
ἂν μὴ προαποστῇς, μηδὲ τὸν πόνον φύγῃς.
ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες
μέρος τι τῶν θείων, τοσοῦτον τῷ τόπῳ
ἀπέχοντες, ἄστρων ἐπιτολὰς, δύσεις, τροπάς,
ἔκλειψιν ἡλίου, τί τῶν κοινῶν τε καὶ
συγγενικῶν, δύναιτ' ἂν ἄνθρωπον φυγεῖν;
Θεοδέκτου. Πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς,
ῥαθυμία δὲ τὴν παρ' αὐτίχ' ἡδονὴν
λαβοῦσα, λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ.
Εὐριπίδου. Ἄνευ τύχης γὰρ ὥσπερ ἡ παροιμία,
πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.
Σοφοκλέους. Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.
Πόνου μεταλλαχθέντος, οἱ πόνοι γλυκεῖς.
Ἀγάθωνος. Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.
Φιλίσκου. Οὐκ ἔστιν ὦ μάταιε σὺν ῥαθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.
Ξενοφῶντος. Οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν,
al. Ξενοφάνους. ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.
Ἱππῶνα. Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός.
Ἀπολλοδώρου. Χρόνον γὰρ εἰς τὰ πράγματα ἐὰν λάβῃς,
ἅπαντα λήξει καὶ κατασταλήσεται.
Εὐριπίδου. Σὺν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
Μενάνδρου. Οὐδενὸς χρὴ πράγματος
τὸν εὖ ποιοῦνθ' ὅλως ἀπογνῶναι ποτέ.
Ἁλωτὰ γίγνετ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα.
Πάντα τὰ ζητούμενα
δεῖσθαι μερίμνης φασὶν οἱ σοφώτεροι.
Σοφοκλέους. Τὸ ζητούμενον ἁλωτὸν, ἐκφεύγει δὲ τἀμελούμενον.

Πρεπόντων

Bona per labores augentur hominibus.
Voluptuosa autem uita, & mala timiditas,
Nec domui, nec uictui quicquam prosunt.
Haud poteris fœlix absq; labore degere,
Et iuuenem laborare nolle turpis res est.
Pulchrum est etiam senem sapientiæ studere. *Aeschyli.*
Nulla res magna sine labore ueniet. *Sophoclis.*
Necessum est ut laborent, qui uolunt esse fortunati.
Omnia pulchra laborans consequitur.
Nihil non desyderium inquirentis inuenit.
Omnia possunt inueniri, si modo non laborem *Philemonis.*
Fugerit aliquis, qui rebus indagandis adhæret.
Assiduitate quælibet assequi datur.
Quantum delector ob exhausta mihi præterita mala.
Nisi enim tum laborassem, in præsentia non gauderem.
Nemo sibi laudem comparauit ex uoluptatibus. *Euripidis.*
Nullus enim socors celebris uir est.
Sed labores generositatem pariunt.
Laborantem pariter Deus adiuuat.
Inueniuntur omnia quæsita, *Alexidis.*
Nisi prius desistas, laboremq; fugias.
Cum enim homines quidam inuenerint
Partem aliquam in diuinis tanto spacio
Distantes, nempe syderum ortus, occasus, solstitia,
Defectum solis: quid nam ex rebus communibus
Et familiaribus hominem fugere posset?
Multum oportet illum laborare, qui gloriosam laudẽ cõsequuturus est. *Theodectis.*
Negligentia uero præsenti uoluptate
Fruens, dolores afferre solet in posterum.
Sine fortuna enim ut in prouerbio est, *Euripidis.*
Labor relictus, haud amplius grauis est hominibus.
Nulla enim ratio præteriti laboris habetur. *Sophoclis.*
Labores cum iam abiere dulces sunt.
Qui uias peculiares scrutantur, industrio sunt ingenio. *Agathonis.*
Non licet ò stulte cum inertia *Philisbi.*
Ociosos eadem nancisci, quæ laborantes.
Non ab initio statim dij cuncta mortalibus ostenderunt: *Xenophontis. al. Xenophanis*
Sed illi progressu temporis inquirentes singula melius inueniunt.
Nullum tibi tempus ociosum elabatur. *Hipponactis.*
Si tibi sat temporis ad negocia sumpseris, *Apollodori.*
Perficientur & domabuntur omnia.
Quæ pulchra sunt infinitis laboribus comparantur. *Euripidis.*
Nulla in re oportet *Menandri.*
Recte facientem omnino desperare.
Comprehendi possunt industria & labore Omnia.
Omnia quæ inquiruntur,
Indigere cura dicunt sapientes.
Quod quæritur cõprehendi potest, effugit autẽ quod negligitur. *Sophoclis.*

Ἐπιχάρμου. Τῶν πόνων, πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

Ἡ πατρὶς ἐν γὰρ τοῖς πόνοισιν αὔξεται.
αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσιν πόλεις,
σκοτεινὰ καὶ βλέπουσιν εὐλαβούμεναι.

Ἀντιφάνους. Τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται.

Σμυρναίου Βου- Ἐκ θαμινῆς ῥαθάμιγγος ὅπως λόγος αἰὲν ἰοίσας
λικοῦ. χὰ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

al. Βίωνος. Οὐ καλόν, ὦ φίλε, πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλο χρέος ἰσχέμεν, ἀλλὰ καὶ αὐτὸς
τεχνᾶσθαι σύριγγα, πέλει δ' ἔτοι εὐμαρὲς ἔργον.

Ἐπιχάρμου. Ἁ δὲ μελέτα, φύσιος ἀγαθᾶς πλείονα δωρεῖται φίλοις.

Εὐριπίδου. Οὐ γάρ τ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος.
χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.

Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς,
ἀλλ' οὐδ' ἔστι σωθέντα μεμνῆσθαι πόνων.

Αἰλιανοῦ. Σόλων ὁ Ἀθηναῖος ὁ † Ἐξηκέστου παρὰ πότον τοῦ ἀδελφιδοῦ αὐτοῦ μέλος τι Σαπφοῦς ᾄσαντος, ἥσθη τῷ μέλει, καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν. ἐρωτήσαντος δέ τινος, διὰ ποίαν αἰτίαν περὶ τοῦτο ἐσπούδασεν; ὁ δέ, ἔφη, ἵνα μαθὼν αὐτὸ ἀποθάνω.

Plutarchus habet Ἐξηκεστίδα.

Εὐσεβίου. Πόνοι οἱ ἑκούσιοι πόνοισι τοῖς μετὰ ταῦτα ἀναγκαίοις, ὥστε αὐτοὺς εὐπετεστέρους παρασκευῇ ἀθλεύειν προπονέονται.

Αἰλιανοῦ. Δημοσθένης ὁ Δημοσθένους, εἰ ἔμελλε τῆς ὑστεραίας ἔσεσθαι ἐκκλησίας, ἀλλὰ ἐκεῖνός γε διὰ τῆς νυκτὸς ἠγρύπνει πάσης, διαφροντίζων δηλονότι, καὶ ἐκμανθάνων ταῦτα, ἃ ἔμελλεν † εὑρεῖν. ὁ τοίνυν Πυθέας ἐκ τούτων ἐμοὶ δοκεῖν ἐπισκώπτειν εἰς αὐτὸν ἔλεγεν, αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν.

lego εἰπεῖν.

Δημοσθένους. Φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων.

Θουκυδίδου. Ἔργων ἐκ πολλοῦ μελέτη πλεῖον σώζει, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθέντων παραίνεσις.

Δημοσθένους. Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσι.

Πόνος συνεχής, ἐλαφρότερος ἑαυτοῦ τῇ συνηθείᾳ γίνεται.

Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.

Δημοκρίτου. Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίγνονται, ἢ ἀπὸ φύσιος.

Τὸ αἰεὶ μέλλειν, ἀτελέας ποιεῖ τὰς πρήξιας.

Φαβωρίνου. Γραῦν τινά φασι μόσχον μικρὸν ἀραμένην, καὶ τοῦτο καθ' ἡμέραν ποιοῦσαν, λαθεῖν βοῦν φέρουσαν.

Λάσος ὁ Ἑρμιονεὺς ἐρωτηθείς, τί εἴη σοφώτατον, πεῖραν ἔφη.

Ξενοφάνης δόξης οὐδεμιᾶς ἤρα, ἧς οὐκ ἐξεπονεῖτο.

Ξενοφῶντος. Οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν, ἃ ἡττῷτο: ἀλλ' ἐκυλινδεῖτο, ἐν τῷ πειρᾶσθαι αὖθις ἄμεινον ποιεῖν.

Κῦρος ὅδε βασιλέως καὶ ἀδελφιδοῦς καὶ υἱός, καὶ ἄρχει πολλῆς χώρας, κἀκεῖνος οὔτ' ἂν ἀριστήσειεν, οὔτε δειπνήσειεν, πρὶν ἱδρῶσαι.

Καί τοι ἔγωγε οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἀγαθοὶ γενόμενοι τῶν πονηρῶν. ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι, οὐχ ἵνα μηδέποτ' εὐφρανθῶσι τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν, πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται, οὕτω παρασκευάζονται. οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι, οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ, πείθοντες πολλοὺς ἀνθρώπους, μεγάλα ἀγαθὰ διαπράξασθαι. οἵ τ' αὖ τὰ πολεμικὰ ἀσκοῦντες, οὐχ ὡς μαχόμενοι μηδέποτε παύσονται τοῦτ' ἐκπονοῦνται, ἀλλὰ νομίζουσι καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον,

Conuenientibus laboribus Vendunt nobis omnia bona dij. Epicharmi.
Tua enim patria laboribus proficit,
Quietæ uero ciuitates in obscuro sunt statu,
Et obscurè uident sibi metuentes.
Omnia diligentiæ subijciuntur. Antiphanis.
Ex numerosa gutta, ut aiunt, perpetuo stillante Smyrnei Bucoli ri. al. Bionis.
Excauatur etiam lapis in scissuram.
Non decet amice propter quoduis negocium adire fabrum,
Neq; æs alienum in omni re conflare. Quin tute
Fabricato fistulam: fuerit enim tibi facile factu.
Cæterum diligens industria Epicharmi.
Plus donat amicis, quàm bonum ingenium.
Non enim Vlysses solus est disertus, Euripidis.
Necessitas docet & si quis tardus fuerit, esse sapientem.
Nulla res necessaria turpis est hominibus.
Sed iucundum est superstitem meminisse laborum.

Solon Atheniensis Execestidæ filius, cū eius nepos ex fratre inter pocula carmen quoddā Sapphûs cecinisset, delectatus est illa cantilena, & iussit adolescentem ut eā se doceret. Cum autem quidam interrogasset quam ob causam hoc desyderaret, respondit: ut postquam ipsam didicero, moriar. Aeliani.

Voluntarij labores necessarij sunt laboribus in posterum euenturis: quos facilius tolerabit ille, qui sponte sua præexercitatus in ipsis fuerit. Eusebij.

Demosthenes Demosthenis filius si postridie concionem ad populum habiturus esset, totam noctem præcedentem uigilabat, scilicet ad meditandum ac ediscendum quæ dicturus erat. Hanc igitur ob causam Pytheas, ut mihi uidetur, torquebat in ipsum dicteria, inquiens sententias eius ellychnia redolere. Aeliani.

Natura comparatū est ut præsentes absentiū bonis fruanī, & ignauorū gnaui. Demosthenis.

Diuturnum in operibus exercitium plus confert, quàm pulchrè instructi sermonis breuis adhortatio. Thucididis.

Voluntarij labores inuoluntariorum patientiam leuiorem efficiunt. Demosthenis.
Labor continuus consuetudine fit seipso leuior.
Voluptates uenari cōuenit, quę labores sequūtur, nō illas quæ præcedūt.
Plures fiunt exercitatione boni, quàm natura. Democriti.
Perpetua cunctatio reddit actiones imperfectas.

Ferunt anū quandā cū quotidie paruū uitulū sublatū gestaret, & nullum diem intermitteret, tandem (adultum quoq; bouem) gestasse. Phauorini. Inclusa parenthesi non sunt in Greco.

Tassus Hermioneus quidnam sapientius esset præ cæteris, interrogatus: experientiam dixit.

Xenophanes nullam gloriam diligebat pro qua non laborasset.

Victus autem non statim deserebat ea, in quibus uincebatur: sed modis omnibus experiebatur, ut aliàs melius faceret. Xenophontis libro 1. de Cyri institutione.

Cyrus regis est ex fratre nepos, ac filius, & magnæ regioni imperat: non tamen aut prandium aut cœnam sumere solet, antequam sudauerit.

Atq; nulli uirtuti, mea sentētia, operā dāt homines, quo nihilo plus habeāt uiri probi quā improbi: sed & hi q pñtib⁹ abstinēt uoluptatib⁹, nō id agūt, ut lętenī nūquā sed ut p hanc cōtinētiā, multo maiore in posterū lætitia fruanī: & hi q dicēdo studēt cæteris antecellere, nō hoc exercēt, ut à bene dicēdo nunquā cessent, sed q̄d existimāt hac orationis pſtātia, dū reddūt homines psuasos, fore, ut & multa & magna bona ipsi cōsequanī. Et itē hi q hasce bellicas res exercēt, nō hoc laborāt ut à pl̄ns nūquā uacent, sed quia sperant, si rerū bellicarū gloria excelluerint, futurū ut multas opes, Ibidem.

πολλὴν δ' εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ τῇ πόλει, καὶ αὐτοῖς περιάψαι. εἰ δέ τινες τῶν τὰ ἐκπονήσαντες, πρὶν τινὰ ἀπ' αὐτῶν καρπὸν κομίσασθαι αὐτοὺς γήρᾳ ἀδυνάτους γινομένους περιεῖδον, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι, καὶ εὖ σπείρων, καὶ εὖ φυτεύων, ὅτι ἐκκαρπεῖσθαι ταῦτα δέοι, ἐῶν τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν γῆν πάλιν καταῤῥεῖν. καὶ εἴ τις ἀθλητὴς πολλὰ πονήσας, καὶ ἀξιόνικος γενόμενος, ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης.

Μουσωνίου. Πρὸς δὲ τὸ ῥᾷον καὶ προθυμότερον ὑφίστασθαι τὸν πόνον ἐκείνους, οὓς ἂν ὑπὲρ ἀρετῆς, καὶ καλοκαγαθίας μέλλομεν πονεῖν, ταῦτα λελογίσθαι χρήσιμα: πόσα μὲν πονοῦσιν ἔνιοι δι' ἐπιθυμίας κακάς, ὥσπερ οἱ ἐρῶντες ἀκολάστως: πόσα δ' ὑπομένουσιν οἱ ἄλλοι τοῦ κερδαίνειν χάριν: πόσα δ' αὖ κακοπαθοῦσιν ἔνιοι θηρώμενοι δόξαν: καὶ ὅτι οὗτοι πάντες ὑπομένουσιν αὐθαίρετοι πᾶσαν ταλαιπωρίαν. ἆρ' οὖν οὐχὶ δεινόν, ἐκείνους μὲν ὑπὲρ οὐδενὸς τῶν καλῶν ἀνέχεσθαι ταῦτα πάσχοντας: ἡμᾶς δ' ὑπὲρ καλοκαγαθίας, καὶ τοῦ κακίαν μὲν ἐκφυγεῖν τὴν λυμαινομένην ἡμῶν τὸν βίον: κτήσασθαι δὲ ἀρετήν, ἥτις ἁπάντων τῶν ἀγαθῶν ἐστὶ χορηγός, μὴ πάντα πόνον ἑτοίμως ὑφίστασθαι; καίτοι οὐδ' ἂν εἴποι τίς ὅσῳ κρεῖττον, ἀντὶ μὲν τοῦ πονεῖν, ἵνα τύχῃ τις γυναικὸς ἀλλοτρίας, τὸ πονεῖν ἵνα παιδαγωγήσῃ τὰς ἐπιθυμίας τὰς ἑαυτοῦ: ἀντὶ δὲ τοῦ περὶ χρημάτων ταλαιπωρεῖν, τὸ ἀσκεῖν, ὥστε ὀλίγων δεῖσθαι. περὶ δὲ τοῦ πράγματα ἔχειν ὑπὲρ δόξης, τὸ πραγματεύεσθαι ὅπως μὴ δοξοκόπος εἴη: περὶ δέ γε τοῦ ζητεῖν, ὅπως ᾧ φθονεῖ τις κακοποιήσῃ, τὸ σκοπεῖν ὅπως μηδὲν φθονήσῃ μηδενί: καὶ πρός γε τοῦ δουλεύειν ὡς καλουμένοις φίλοις, ὥσπερ οἱ κόλακες, τὸ κακοπαθεῖν ἵνα κτήσηται φίλους ἀληθινούς. καθόλου δὲ τοῦ πονεῖν πᾶσιν ἀνθρώποις ἀναγκαίου ὄντος, τοῖς τε τῶν κρειττόνων ὀρεγομένοις, καὶ τοῖς τῶν χειρόνων, γελοῖον μὴ πολλῷ εἶναι προθυμοτέρους πονεῖν τοὺς τὰ κρείττω μετιόντας, οἷς ἐλπίδες † μικραὶ τῶν πόνων εἰσίν, ἀτοπώτατον.

ἄλλο δέ. ἀλλ' οἱ μὲν ἄρα θαυματοποιοὶ δύσκολα οὕτως ὑφίστανται πράγματα, καὶ τὴν ζωὴν παραβάλλονται τὴν ἑαυτῶν, οἱ μὲν εἰς μαχαίρας κυβιστῶντες, οἱ δ' ἐπὶ κάλων μετέωροι βαδίζοντες, οἱ δ' ὥσπερ ὄρνεα πετόμενοι διὰ τοῦ ἀέρος, ὧν τὸ σφάλμα θάνατός ἐστι, καὶ ταῦτα πάντα δρῶσι, μικροῦ χάριν μισθοῦ. ἡμεῖς δ' οὐκ ἀνεξόμεθα ταλαιπωρεῖν ὑπὲρ εὐδαιμονίας ὅλης; οὐ γὰρ ἄλλο τί γε τέλος ἐστὶ τοῦ γενέσθαι ἀγαθόν, ἢ τὸ εὐδαιμονεῖν, καὶ ζῆν μακαρίως εἰς τὸ λοιπόν. εἰκότως δ' ἄν τις λογίζοιτο, καὶ τὸ τῶν ζώων ἐνίων, ὁποῖόν ἐστι πάνυ τι δυνάμενον ἐντρέπειν ἡμᾶς φιλοπόνους εἶναι. οἱ γοῦν ὄρτυγες καὶ ἀλεκτρυόνες, οὔτ' ἀρετῆς ἐπαΐοντες οὐδὲν ὥσπερ ὁ ἄνθρωπος, οὔτε τὸ καλὸν καὶ δίκαιον εἰδότες, οὐδ' ὑπὲρ τοιούτου πονοῦντες οὐδενός, ὅμως μαχόμενοι πρὸς ἀλλήλους, καὶ πηρούμενοι ἀνέχονται, καὶ μέχρι θανάτου καρτεροῦσιν, ὥστε μὴ ἡττᾶσθαι θατέρου ὁ ἕτερος. πόσῳ δὴ μᾶλλον εἰκὸς ἡμᾶς ἀνέχεσθαί τε καὶ καρτερεῖν, ὅταν ἐφιστώμεθα διά τι τῶν καλῶν κακοπαθοῦντες, ἢ ἵνα φίλοις βοηθήσωμεν, ἢ πόλιν ὠφελήσωμεν, ἢ ἵνα γυναικῶν ἢ τέκνων ὑπερμαχήσωμεν; τὸ δὲ μέγιστον καὶ κυριώτατον, ἵνα ἀγαθοὶ ὦμεν καὶ δίκαιοι, καὶ σώφρονες, ὃ δίχα πόνων οὐ παραγίνεται οὐδενί. ὅθεν ἔπεισί μοι λέγειν, ὡς ὁ μὴ θέλων πονεῖν, σχεδ' ἂν καταδικάζει αὐτὸς αὑτοῦ μηδενὸς εἶναι ἀγαθοῦ ἄξιος, ὅτι τὰ ἀγαθὰ πάντα, πόνοις κτώμεθα. ταῦτα μέν, καὶ τοιαῦθ' ἕτερα εἶπε τότε, ἐπεγείρων καὶ παρορμῶν τοὺς παρόντας, πόνου μὴ καταφρονεῖν.

Ξενοφῶντος. Περὶ μὲν αὐτῶν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις εἴρηται: ὠφελήσονται δ' οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔργου πολλά. ὑγίειάν τε γὰρ τοῖς σώμασι παρασκευάζει, καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον. τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει. πρῶτον μὲν γὰρ τὰ ὅπλα ὅταν ἔχοντες πορεύωνται ὁδοὺς χαλεπάς, οὐκ ἀπεροῦσιν: ἀνέξονται γὰρ τοὺς πόνους, διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία. ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται, καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου. ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους, ἅμα οἷοί τε ἔσονται ἐπιέναι, καὶ τὰ παραγγελλόμενα ποιεῖν, διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. τεταγμένοι δὲ ἐν τοῖς πρόσθεν, οὐ λείψουσι τὰς τάξεις, διὰ τὸ καρτερεῖν δύνασθαι. ἐν φυγῇ δὲ τῶν πολεμίων, ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ διὰ συνήθειαν. δυστυχήσαντος δὲ οἰκείου

στρατο

multam fœlicitatem,maximosq; honores & sibi comparent & reipub. Quod si qui uersati bellicis in rebus prius quàm fructum inde ullum susceperint,senectutem sibi imbecillam obrepere patiantur,simile quid mihi uidentur pati, ac si quis bonus agricola esse studuerit bene serendo, & studiose plantando: cum autem fructus recipiendus est,eum non conuehat,sed sinat rursus in terram defluere.Item si quis pugil post multos labores exhaustos,& iam dignus uictoria redditus,sine præmio tandem deficiat,nec hic quidem mihi uidetur amentiæ crimen effugisse.

Vt facilius & promptius labores illos sustineamus,quos uirtutis & honestatis gratia subituri sumus,hæc animo reputare secũ utile fuerit: Videlicet quàm multa tolerent aliqui propter malas cupiditates,ut qui amant luxuriose. Et quantũ sufferant alij lucrandi causa.Item quanta patiantur nonnulli dum gloriam uenantur. Et q̃d omnes isti sponte tolerent ærumnas omnes. An non igitur iniquum foret,illos quidem huiusmodi pro nulla re honesta sustinere:nos uero honestatis gratia, & declinandæ causa malitiæ (quæ planè pestis est uitæ nostræ)tum comparandæ uirtutis (quæ nobis bonorum omnium dux est)non quosuis labores promptè subire? Atqui uerbis exprimi non potest quanto præstantius sit eniti, ut cupiditates propriæ castigentur,quàm laborare ad uxore potiendum aliena:Item frugalitatem exercere, quàm in comparandis pecunijs laboriosum esse: Et operam dare ne sis ambitiosus, quàm gloriæ conquirendæ causa multis negocijs molestari: Præterea se ab omni inuidia immunem præstare quanto sit satius, quàm modum quærere quo quis illi noceat,cui inuidet:Et amicos sibi ueros cõciliare potius laborẽ sumere, quã quibusdã nomine solum amicis seruire, ut adulatores faciunt. In summa, cũ labor omnibus hominibus necessarius sit,tũ his qui præstantius aliq̃d, tũ illis qui uilius quidpiam desyderant,absurdissimũ est,eos qui præstantioribus operã dant,& magna præmia sperant,non multo in laboribus promptiores esse. Circumforanei quidẽ mirabiliũ authores perquã difficilia negocia sustinent,& de uita sua periclitantur,alij quidem saltantes supra gladios præcipitati, alij supra funem ambulantes in sublimi,alij tanquã aues per aërẽ uolantes,in quibus si contingat error mortis periculũ est, omnia tamen ista mercedis exiguæ causa faciunt:nos uero nihil sustinebimus laborũ pro uniuersa simul fœlicitate? Nullus enim alius finis est bonitatis morũ quã bene beateq; in posterũ uiuere. Ad hæc meritò natura quorundam animantiũ consyderanda est,quæ nos planè potest ad capessendos labores hortari. Coturnices eñ & galli cũ neq; uirtutis,ut homo, nec honesti iustiq; notitiã habeant, neq; laboris quicquã hisce cõparandis insumant,pugnando tamen inuicẽ & mutilari sustinent, & mortẽ potius obeunt quã superari se permittant. At quanto magis nos cõuenit patiẽtes ac tolerantes esse,cũ honestas ob causas ęrumnis & laboribus fatigamur,uel ad opem ferendam amicis,uel iuuandam ciuitatem,uel pro uxoribus & liberis pugnandum. Cæterũ ut boni,iusti,& temperati sint,quæ res omniũ est maxima & præcipua,nullis mortaliũ citra laborem datur. Hinc inducor ut dicam,quod is qui laborem recusat ferè seipsum cõdemnat tanquam bonis omnibus indignum: quicquid enim est ubiq; boni labore comparatur. Huiusmodi tum ille dicebat,& alia his similia,ad excitandum instigandumq; præsentes ne laborem negligerent. *Musonij.*

Hactenus de his,quæ in uenatione geruntur,cuius studio dediti magnã ex eo utilitatẽ capient. Nã corporibus bonã ualetudinẽ cõparant,hinc uident audiuntq; magis,senescunt minus. Hæc ad bellũ præcipuè instituit. Primo quidẽ si uias difficiles sub armis ambulant,minus lassantur:nã labores sustinent, quibus feras capere cõsueuerũt. Deinde poterũt humi iacentes quiescere,ad imp̃atoris edictũ præstò esse: in adeũdis hostibus inuadere simul,et imp̃ata facere,cũ feras ipsi hoc modo uenent. Nec uero in fronte locati deserunt acies, quia paratissimi sunt. At in hostium fuga ubiq; illos ꝓpter locorũ peritiã recte ac tuto ꝓsequũť. Quod si exercitus suus *Xenophontis in libro de uenatione.*

αλ. ὑπέχει πάθη ψυχή. σώματος † ἔπαθε πάθη ψυχή, ταῦτα ἄνευ σώματος αὐτὴ ἐν ἑαυτῇ ὅτι μάλιστα ἀναλαμβάνῃ, τότε ἀναμιμνήσκεσθαί που λέγομεν. ἢ γάρ; πάνυ μὲν οὖν. καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην, εἴτ' αἰσθήσεως, εἴτ' αὖ μαθήματος, αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ ἐν ἑαυτῇ, καὶ ταῦτα ξύμπαντα, ἀναμνήσεις καὶ μνήμας που λέγομεν. ὀρθῶς λέγεις.

Ιαμβλίχου. Τούτων οὖν τῶν κοινοτάτων δυνάμεων, εἰσὶ καὶ ἄλλαι τῆς ψυχῆς δυνάμεις, κατ' αὐτὴν μὲν, ἡ μὲν συμπληρωτικαὶ αὐτῆς, ὡς ἡ μνήμη κατοχὴ οὖσα φαντάσματος.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΛΗΘΗΣ, ΛΟΓΟΣ ΚΔʹ.

Σοφοκλέους. ΛΑΘΑ πηλείδων συγγενὰ καὶ † ἀναρίτος
† αλ. ἀνόρατος. ὠδινάσεις θανάτοις ὑποτμόταται,
μαλίσα ἀνέχουσα βίω βραχὺν ἰσθμόν.

Ευριπίδου. Ω πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφή,
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.

Σοφοκλέους. Λήθην τε τὴν πάντ' ἀπεστερημένην, κωφήν, ἄναυδον.

Ως τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

Πλάτωνος. Εστι γὰρ λήθη, μνήμης ἔξοδος.

Του αὐτοῦ. Ο γὰρ καλεῖται μελετᾶν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης, λήθη γὰρ ἐπιστήμης ἔξοδος.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΟΡΚΟΥ, ΛΟΓΟΣ ΚΕʹ.

Χοιρίλου περσηίδος. ΟΡΚΟΝ δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι, οὔτε δίκαιον.
Ουκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ.

Αλέξιδος. Ορκος βέβαιός ἐστιν, ἂν νεύσω μόνον.

Αμφιδος. Οστις γὰρ ὀμνύντι μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

Αντιφάνους. Δίκαιον, ὅταν τὶς ὀμνύντος καταφρονῇ,
ᾧ μὴ συνοιδε πρότερον ἐπιορκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ,
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιορκηκέναι.

Σοφοκλέους. Ορκου δὲ προστεθέντος ἐπιμελεστέρα
ψυχὴ κατέστη. δισσὰ γὰρ φυλάσσεται,
φίλων τε μέμψιν, κεἰς θεοὺς ἁμαρτάνειν.

Απολλοδώρου. Μάστιγος οὔσης, ὅρκον οὐκέτι δίδως.

Αντιφάνους. Ο διδοὺς τὸν ὅρκον τῷ πονηρῷ, μαίνεται.
τοὐναντίον γὰρ νῦν ποιοῦσιν οἱ θεοί.
ἐὰν ἐπιορκήσῃ τίς, αὐτὸς εὐθέως
ὁ δοὺς τὸν ὅρκον, ἐγένετ' ἐμβρόντητος
οἶμαι δικαίως, ὅτι πεπίστευκέ τινι.

Αλέξιδος. Οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ,
τοῖς πράγμασι δ' αὐτοῖσι πιστεύειν ἀεί.

Λυκούργου. Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν, † ἄχρι τοῦ μὴ ἐπιορκεῖν.

† αλ. ὅσον. Ισοκράτους. Ορκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις. ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν, ἐπιορκεῖν· τοῖς δὲ, φιλοχρημάτως ἔχειν.

Ορκον

corpore passa est aliquando anima, eadē sine corpore in seipsa resumens animaduertit, tunc meminisse eam asserimus, an nō? Valde qdē. Quinetiam quando memoriæ passa iacturam, deinde uel sensu uel disciplina monente eam iterū reuocat in seipsa reminisci putat. Atq; hæc iā memorias reminiscentiasq; uocamus. Probè loqueris.

Harum igitur facultatum, quæ communissimæ sunt, aliæ quoq; facultates animæ habentur, secundum ipsam quidem existentes, nō tamen essentiam eius constituentes, ut memoria, quæ uisi seu spectri est retentatio. *Iamblichi.*

EIVSDEM DE OBLIVIONE, SERMO XXIIII.

OBliuio Pieridum odiosa & inamabilis, *Sophoclis*
Miseræ uitæ breuem isthmum continens. *Locus apparet corruptus.*
O uenerabilis obliuio malorum, quàm sapiens es, *Euripidis.*
Et infortunatis exoptata dea.

Et obliuionem rebus omnibus priuatam, surdam, mutamq;. *Sophoclis.*

O quàm iucundum est infortunatis uel parum
Temporis obliuisci præsentium malorum.

Est enim obliuio, exitus memoriæ. *Platonis in Philebo.*

Quod enim dicitur meditari, quasi exierit scientia dicitur. Obliuio nanq; scientiæ exitus est. *Eiusdem in symposio.*

EIVSDEM DE IVREIVRANDO, SERMO XXV.

IVs iurandum nec iustum, nec iniustum usurpandum est. *Chœrili in Persicide.*
Iuramenta non fidem afferunt uiro, sed uir iuramentis. *Alexidis.*
Firmum est iuramentum, si solum annuero.
Quisquis enim iuranti nihil credit, *Amphidis.*
Ille met facile peierare scit.

Hera, cum aliquis contemnit iurantem, *Antiphanis.*
Cui antea unquam commissi periurij non est conscius,
Tum ille mihi deos ipsos contemnere uidetur,
Ac prius aliquando iurans ipsemet peierasse.

Apposito iureiurando cautior & diligentior *Sophoclis.*
Animus fit. A duobus enim sibi tum cauet,
Et ne lædat amicos, & ne peccet in deos.

Præsente flagello, non postules amplius iuramentum, *Apollodori.*

Qui iuramentum à malo uiro postulat, insanit. *Antiphontis.*
Contrarium enim nunc dij faciunt.
Nam si quis peierarit, continuò
Ille qui postulauit iuramentum fit attonitus,
Meritò nimirum, quia credidit improbo homini.

Sapientem non oportet iurantibus, *Alexidis.*
Sed ipsis rebus semper habere fidem.

Eatenus amicis & familiaribus auxiliandum est, quatenus periuriū nō admittit. *Lycurgi.*

Sacramentū oblatū tibi duabus de causis iurato, uel ut teipsum turpi suspicione liberes, uel ut amicos ex magnis periculis eripias. Pecuniarū uero gratia & si iustā causam habeas, nullum deū iuraueris. Sin minus, alijs periurus: alijs auarus uideberis. *Isocratis.*

Εὐσεβέια. Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μή, ἐκ τῶν ἐνόντων.

Οἱ πολλοὶ τοὺς ἀνθρώπους, τὸ εὐόρκους εἶναι, αὐτοῖς παραινοῦσιν. ἐγὼ δέ, καὶ τὸ ἀρχὴν μηδ' ὑπτίως ὀμνύναι, ὅσιον ἀποφαίνομαι.

Ἡροδότου. Ἔλεξε σφιν Λευτυχίδας τάδε. ὦ Ἀθηναῖοι, ποιέετε μὲν ὁκότερα βούλεσθε αὐτοί. καὶ γὰρ ἀποδιδόντες, ποιέετε ὅσια, καὶ μὴ ἀποδιδόντες, τὰ ἐναντία τούτων. ὁκοῖον μέντοι τι ἐν τῇ Σπάρτῃ συνηνέχθη γενέσθαι περὶ παραθήκης, βούλομαι ὑμῖν εἰπεῖν. λέγομεν ἡμεῖς οἱ Σπαρτιῆται γενέσθαι ἐν Λακεδαίμονι κατὰ τρίτην γενεὴν τὴν ἀπ' ἐμέο, Γλαῦκον Ἐπικύδεος παῖδα. τοῦτον τὸν ἄνδρα φαμὲν τά τε ἄλλα πάντα περιήκειν τὰ πρῶτα, καὶ δὴ καὶ ἀκούειν ἄριστα δικαιοσύνης πέρι, πάντων ὅσοι παρὰ Λακεδαίμονας τοῦτον τὸν χρόνον οἴκεον, συνενεχθῆναι δέ οἱ ἐν χρόνῳ ἱκνευμένῳ τάδε λέγομεν. ἄνδρα Μιλήσιον ἀπικόμενον ἐς Σπάρτην βούλεσθαί οἱ ἐλθεῖν ἐς λόγους προϊσχόμενον τοιάδε. εἰμὶ μὲν Μιλήσιος. ἥκω δὲ τῆς σῆς Γλαῦκε δικαιοσύνης βουλόμενος ἀπολαῦσαι, † ἔδοξέ μοι οὖν τὰ ἡμίσεα τῆς οὐσίας ἐξαργυρώσαντα θέσθαι παρὰ σέ. χρόνου δὲ διελθόντος, ἦλθον ἐς Σπάρτην τοῦ παραθεμένου τὰ χρήματα οἱ παῖδες, ἐλθόντες δὲ ἐς λόγους τῷ Γλαύκῳ, ἀπαίτεον τὰ χρήματα, ὁ δέ, διωθέετο. οἱ μὲν δὴ Μιλήσιοι συμφορὴν ποιεύμενοι, ἀπαλλάσσοντο· Γλαῦκος δ' ἐπορεύετο ἐς Δελφούς, χρησόμενος τῷ χρηστηρίῳ, ἐπειρωτῶντα δὲ αὐτόν, εἰ ὅρκῳ τὰ χρήματα ληΐσεται, ἡ Πυθίη μετέρχεται τοῖσδε τοῖς ἔπεσι.

Hic apud Herodotum quædam interferuntur, & in sequentibus etiam.

Χρησμὸς πρὸς Γλαῦκον.

Γλαῦκ' Ἐπικύδειε, τὸ μὲν αὐτίκα κέρδιον, οὕτω
Ὅρκῳ νικῆσαι, καὶ χρήματα ληΐσσασθαι.
Ὄμνυ', ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
Ἀλλ' ὅρκου πάϊς ἐστὶν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες,
Οὐδὲ πόδες, κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
Συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ κατόπισθεν ἀμείνων.

Ταῦτα ἀκούσας ὁ Γλαῦκος, συγγνώμην τὸν θεὸν παραιτέετο αὐτῷ ἴσχειν τῶν ῥηθέντων, ἡ δὲ Πυθίη, ἔφη· τὸ πειρηθῆναι τοῦ θεοῦ, καὶ τὸ ποιῆσαι, ἴσον δύναται. Γλαῦκος μὲν δὴ μεταπεμψάμενος τοὺς Μιλησίους ξείνους, ἀποδιδοῖ σφιν τὰ χρήματα. τοῦ δὲ εἵνεκα ὁ λόγος ὅδε ὦ Ἀθηναῖοι ὡρμήθη λέγεσθαι ἐς ὑμέας, εἰρήσεται. Γλαύκου νῦν οὐκέτι ἀπόγονόν ἐστιν οὐδέν, οὔτε ἱστίη οὐδεμία νομιζομένη εἶναι Γλαύκου, ἐκτέτριπταί τε πρόρριζος ἐκ Σπάρτης. οὕτως ἀγαθὸν μηδὲ διανοέεσθαι, περὶ παραθήκης ἄλλό γε ἢ ἀπαιτεόντων ἀποδιδόναι.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΕΠΙΟΡΚΙΑΣ, ΛΟΓΟΣ ΚϚ.

Σοφοκλέους.

Ὅρκοισι γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν
ὠδῖνα παίδων, ἀλλ' ἐπὰν λήξῃ κακοῦ,
ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται,
πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη.

Καλλιμάχου. Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

Ὤμοσεν ἀλλὰ λέγουσιν, ἀληθέα τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.

Διφίλου. Ὅρκος ἑταίρας ταὐτὸ καὶ δημηγόρου.
ἑκάτερος αὐτῶν ὀμνύει πρὸς ὃν λαλεῖ.

Σοφοκλέους. Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φιλάτῃ βαρύς.

Εὐριπίδου. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

Μενάνδρου. Συγκέχυκε νῦν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.

Ἡσιόδου. Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

Ὅρκος

Iuramentum deprecare, si quidem fieri potest, omnino: sin minus, saltem quoad eius potest. *Eusebij.*

Multi homines adhortantur ut in iurando probi sint & fideles. Ego uero ne principio quidem facile iurare religiosi uiri officium existimo.

Leutychides hæc coràm ipsis locutus est. Facite Athenienses utrum ipsi uultis, si reddetis sanctè facturi: è contrario, si non redditis. Qualis autem res circa depositū contigit Spartæ, uolo referre. Dicimus nos Spartiatæ fuisse tertia ab hinc ætate quendam Glaucum Epicydidis filium, qui cum alijs summis laudibus excellebat, tum iustitia inter omnes optimè audiebat, qui per id tempus Lacedæmonem incolebant. Et huic procedente tempore contigisse, ut uir quidam Milesius Spartam uenerit, hominis conueniendi gratia, atq; ita sit alloquutus: Ego sum uir Milesius, qui ad tuam Glauce fruendam iustitiam uenio. Visum est itaq; mihi dimidium mei census in pecuniam redactum deponere penes te. Multo deinde tempore interiecto, filij eius qui pecuniam deposuerat, Spartam ueniunt, & Glaucum pecuniam reposcunt. Ille uero repellebat eos. Ita Milesij facta iactura tanquam fraudati pecunia, discessere: & Glaucus Delphos se contulit ad oraculum consulendum. Cui consultanti an ἐπιώ, id est iureiurando pecuniam prædaretur, Pythia respondit his uersibus. *Herodoti lib. 6.*

Glauce Epicydides equidem expedit ad breue tempus
Iurando superasse, interuertisseq; nummos.
Deiera, & euorcum quoniam manet exitus idem.
Ast Horci natus sine nomine, qui manibus, qui
Nullis est pedibus, rapide aduenit, usq; adeò, dum
Corripiens omnem perdat prolemq; domumq;.
Cum sobole euorci melius sed postea agetur.

His auditis, Glaucus ueniam sibi eorum quæ dixisset ut daret, Deum obsecrabat. Cui Pythia inquit, idem pollere, tentare Deum & facere. Tunc Glaucus accitis Milesijs hospitibus pecuniam reddidit. Cur autē hæc oratio apud uos instituta sit uiri Athenienses, dicetur: Glauci nunc nulla superest neq; soboles neq; domus, quæ illius censeatur: sed ex Sparta radicitus extrita est. Ita bonū est nihil aliud de deposito cogitare, quā ut repetentibus reddatur.

EIVSDEM DE PERIVRIO, SERMO XXVI.

Iuramentis enim & mulier fugit acerbam *Sophoclis.*
Parturiginem liberorum: ast ubi malum abierit,
Eisdem in retibus capitur
A præsenti cupiditate uicta.

Venereum iusiurandum non constitutam habet pœnam. *Callimachi.*

Iurauit quidem, sed ut aiunt amatoria
Iuramenta deorum non subeunt aures.

Idem est iuramentum meretricis, & popularem captantis auram. *Diphili.*
Vterq; enim iurat apud illum, qui cum loquitur.

Nullum iusiurandum graue est furi, & impostori. *Sophoclis.*

Lingua iurauit, sed iniurata mens est. *Euripidis.*

Aetate nostra fides omnis confunditur. *Menandri.*

Et iusiurandum, quod quidem plurimum terrestres homines *Hesiodi.*
Lędit, si quis ipsorum sponte peierauerit.

Δημοκρίτου. Ὅρκους οὓς ποιεῦνται ἐν ἀναγκαίῃ ἐόντες, οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.

Εὐελπίδου. Οὐ γὰρ ἀσύνετον
τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι τοὺς κακῶς
παγέντας ὅρκους, καὶ κατηναγκασμένους.

Εὐφρόνος. Καινοὺς ποιεῖσθαι πρός με θεῶν θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ 'πιορκῶ πολλάκις.

Εὐελπίδου. Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖ,
ἐάν τις ὅρκοις θάνατον ἐκφυγεῖν θέλῃ,
ἢ δεσμόν, ἢ βίαια πολεμίων κακά.

Εὐσεβίου. Φημὶ πάντα τὸν προαίρεσιν τοῦ ἐπιορκῆσαι ἀναδεξάμενον καὶ ἐπιορκήσαντα ἤδη τὸν ὅρκον, εἰ καὶ μὴ τελέσει τὸ ἔργον τῆς ἐπιορκίας τύχῃ τινί, ἢ καὶ ὕστερον μὴ βουληθείη τὸν ἀπαιτοῦντα, ὅμως αὐτὸν ἔχειν γνώμην τὴν τοῦ ψευδόρκου, καὶ εἶναι τῆς ἤδη τῇ ἐπιορκίᾳ ἁμαρτάδος τῆς ὀφειλομένης ἤτοι τὸν καὶ ἔργῳ ἐπιορκήσαντα ἔνοχον τιμωρίης.

Χρύσιππος διαφέρειν ἔφη τὸ ἀληθορκεῖν τοῦ εὐορκεῖν, καὶ τὸ ἐπιορκεῖν, τοῦ ψευδορκεῖν. τὸν μὲν γὰρ ὀμνύντα καθ' ὃν ὀμνύει καιρόν, πάντως ἢ ἀληθορκεῖν, ἢ ψευδορκεῖν. τὸ γὰρ ὀμνύμενον ὑπ' αὐτοῦ, ἢ ἀληθὲς εἶναι, ἢ ψεῦδος, ἐπειδὴ ἀξίωμα τυγχάνει ὄν. τὸν δὲ ὀμνύντα μὴ πάντως καθ' ὃν ὀμνύει χρόνον, ἢ εὐορκεῖν, ἢ ἐπιορκεῖν, ὅτε μὴ πάρεστιν ὁ χρόνος, εἰς ὃν ἡ ἀναφορὰ τῶν ὅρκων ἐγίγνετο. ὃν τρόπον γὰρ λέγεταί τινα εὐσυνθετεῖν, ἢ ἀσυνθετεῖν, οὐχ ὅτε συντίθεται, ἀλλ' ὅτε οἱ χρόνοι ἐνίστανται τῶν κατὰ τὰς ὁμολογίας: οὕτω καὶ εὐορκεῖν τις καὶ ἐπιορκεῖν ῥηθήσεται, ὅταν οἱ καιροὶ παραστῶσι, καθ' οὓς ὡμολόγησεν ἐπιτελέσειν τὰ κατὰ τοὺς ὅρκους.

Ξενοφῶντος. Πρῶτον μὲν γὰρ καὶ μέγιστον οἱ θεῶν ὅρκοι κωλύουσιν ἡμᾶς πολεμίους εἶναι ἀλλήλοις. ὅστις δὲ τούτων σύνοιδε παρημεληκώς, τοῦτον οὔποτ' ἂν ἐγὼ εὐδαιμονίσαιμι. τὸν γὰρ θεῶν πόλεμον, οὐκ οἶδα οὔτε ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφεύγοι, οὔτε εἰς ὁποῖον ἂν σκότος ἀποδραίη, οὔθ' ὅπως ἂν εἰς ὀχυρὸν χωρίον ἀποσταίη. πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὕποχα, καὶ πάντῃ πάντων ἴσον οἱ θεοὶ κρατοῦσιν.

Ἡροδότου. Ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς πίστιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν.

Τοῦ αὐτοῦ. Χρυσὸν μὲν ἄνθρωποι βασάνῳ τέχνῃ προσθάλψαντες, ἔγνωσαν τὸ κρήγυον: ἄνδρα δὲ οὐκ ἔστι δεξιὸν γνώμῃ σταθμησάμενον ἀθρῆσαι. τοίη δέ τις τὸ παλαιὸν ἡμέας ἐκ θεῶν συνέστησε μοῖρα. χρὴ δὲ πίστιν ἐν φιλίᾳ τίθεσθαι κραδίῃ μὴ διπλῇ πεφυρμένους, μηδ' † ὅρκον ἐπιορκίης περιφιλέστερον ἡγουμένους. ὁ γὰρ τοιόσδε τῶν ἀνδρῶν τὴν μὲν ἐκ θεῶν ἀναβάλλεται τιμωρίην, ἤδη δὲ τοῦ καθεστῶτος πικρὴν ψυχαγωγίην ἔχων, τέρπεται μωρὸς ἐών. τίς γὰρ οὐκ οἶδεν, ὡς μένει τὸ κακὸν δίκη; εἰ δ' οὐ παρὰ πόδα τιμωρίης ἔτυχεν, ἀλλ' ἐν χρόνῳ κέρδος ἡγεῖσθαι τοὺς δικαστὰς ἠλίους, οὓς πρὸ σφῶν ἐκτὸς ἀμηχάνους ὁ θεὸς παρέπεμψε, δι' ἡμέων εἶχεν ἐν ζώοις. ὡς δ' οὐ νωθρὰν ἔχει τὸ δαιμόνιον ἀνθρώπων ἐπίσκεψιν, ἐξ ἔργων ἀληθείης † εὐορκητέον ἐστί. λέγεται γὰρ ἐν τενέδῳ παρεπιδημίαν ποιησάμενον ἀρχέτιμον ἐξ ἐρυθραίης τῶν ἰώνων πόλεως ἤδη ξένῳ θέσθαι κυδίῃ, χρυσοῦ δ' ἁλισμένην οὐκ ὀλίγην ἐμπολὴν ἔχοντα: ταύτην δὲ παραθέσθαι κυδίῃ οὕτως ἔχοντα, ὡς οὐδὲν ἂν βίαιον ἐξ ἀνδρὸς πάθοι. δοκέοντός γε δή, ὡς τὰ πρὸς ἑωυτὸν ἀρτίως ἐν φιλίῃ συγκεκρᾶσθαι. ἔνθα κυδίῃ καλὴν βουλὴν ἐν σφρῆνας ἔμβαλε φιλοκερδίη. ἀπαιρεύμενος γὰρ τὸν δοθέντα χρυσὸν ἐν παραθήσει, διαπρέπειν ἄρνησιν ἐποιήσατο. τῶν δ' ἐν ἀμφιβολίῃ πιπτόντων, τέλος ἔδοξεν ὅρκῳ κυρῶσαι. κυδίης μὲν οὖν ἐν τρίτην ἡμέρην βουλόμενος κυρώσειν πίστιν τοῖς θεοῖς ἐπιτροφθεῖσαν, ἀπελθὼν ἐν οἴκον, μηχανὴν τοιήνδε ἔθετο. νάρθηκα γὰρ κοιλήνας, παντὸς χρυσοῦ φόρτον εἰς αὐτὸν ἤρεισε. πρὸς δὲ χρόνος ἀντίληψιν, ὕλακα μίτροις ἐδέσμευσε πάντοθεν, ὡς ἂν κρύπτοι τῇ κατεσκευασμένῃ πρόφασιν. ἐπειδὴ ἡ τεταγμένη παρῆν ἡμέρη, νωθρὴν πορείης ἔλευσιν ποιεύμενος, ἤρειδε τὸν νάρθηκα νοσεῦντι ἐπιφορέων σώματι. καταστὰς δὲ ἐναντίον τοῦ νεὼ, ὃν πρὶν ἔμελλε συνίστορα ποιεῖσθαι, δίδωσι κυδίης ἀρχετίμῳ νάρθηκα, τὸν ἐντὸς ἀδικίην πᾶσαν κεύθοντα, μέχρι πρὶν τελευτήσειε τὸν τεταγμένον ὅρκον ἀνα-

malim ὅρκιον εἶναι.

malim ὠμότερον.

Iuramenta, quæ iurant adacti necessitate, nō seruant mali homines, postquam periculum euaserunt. *Democriti.*

Non enim intellectu caret *Euripidis.*
Numen, sed potest intelligere quænam sint male
Facta iuramenta, & necessitate coacta.

Nouos tibi confinge deos, *Euphronis.*
Vt ne sæpius antiquos offendas periurijs.

Faciles mihi ad dandam ueniam dij uidentur, *Euripidis.*
Si quis iurando mortem effugere cupiat,
Aut uincula, aut malam hostium uiolentiam.

Aio unumquenq; qui uoluntatem peierandi habere uidetur, aut qui peierat uerbis, etiamsi factum quod comitatur periuriū non contingat, siue per fortunam aliquam, siue quod noluerit ille, cuius erat postulare: nihilo secius periurū esse animo, & nō minus meritū esse pœnam periuris præscriptam, quā ille qui re ipsa peierauit. *Eusebij.*

Chrysippus differre dicebat uerum iurare & fideliter iurare, item peierare & falsum iurare. Id quod iuratur enim, quo tempore iuratur, aut res uera aut falsa sit necessum est. Siquidem ipsa iurandi forma cum axioma, id est, pronunciatum constituat, uera sit oportet, aut falsa. Ipsum uero iurantem, quo tempore iurat, non statim aut periurum esse, aut fidelem necessarium est, quando nondum adest tempus, ad quod ceu terminū iusiurandum refertur. Nam sicut aliquis dicitur bene uel male pacisci, non cum pactum committitur, sed cum præscriptum præstandi conuenta tēpus accessit. Itidem quis aut fideliter aut perperam iurare dicetur, cum adfuerit tēpus, quo iuramento se satisfacturum pollicitus est.

Hoc primum & præcipuum est, quod deorum sacramenta nos hostes inuicem esse prohibent. Ea uero si quis neglecta sibi conscius est, illum ego nequaquam beatum existimauerim. Diuinitus enim illatum bellum, haud scio qua quis aut celeritate effugere possit, aut quibus in tenebris latere, aut in quo munimento arcere. Etenim omnia dijs ubiq; sunt obnoxia, & æquali potentia reguntur ab ipsis omnia ubiuis gentium. *Xenophontis.*

Nam sine firma necessitate non potest firma fides permanere. *Herodoti.*

Aurum quidem homines arte Lydio lapidi affricantes, quod præstantius est cognoscunt. Hominē uero probum nemo potest secū animo perpendens discernere. Talis nimirū olim deorū uoluntate constitutio nostra facta est. Oportet autē fideles in amicitia esse, non duplici sententia inquinatū cor possidere, nec periuriū sancto iuramento præferre. Nam qui talis uir fuerit, diuinam quidē uindictam differt, interim uero præsentium acerba fruitione se stultus oblectat. Quis enim ignorat, quod omne malum uindicta sua manet? Quamuis enim nō præsens pœna sit: nullū tamē lucrum affert dilatio temporis, sed tarditas pœnæ grauitate tandem compensatur. Porrò quod Numen non negligenter inspiciat humana negocia, ex ipsis factis quæ uerè contigerunt, facile iudicari potest. Fertur enim Archetimus ex Erythræa Ionica ciuitate in Tenedum uenisse, & apud Cydiam hospitem suum auri magnam uim deposuisse, nihil de homine sinistri aut uiolenti suspicatū, ut quî cū recens amicitiā iniuisset. Tum Cydiæ malum consilium auaritia suggessit. Cum enim aurū apud se depositū ab ipso reposceretur, cōtumaciter negauit. Et cū inter se cōtenderēt, tandē uisum est, ut totū negociū ad iusiurandū referretur. Cydias igitur cū tertio post hęc die fidē suā ceu dijs cōmissam iureiurādo cōfirmaturus esset, reuersus domū excogitauit dolū huiusmodi. Omne simul aurū in excauatā ferulā inclusit, & qua parte ferulā manus amplectī, fasciā circūuoluit undequaq;, ut dolus cælaret. Postquā uero præscript⁹ dies aduenit, Cydias languidū gradū causa morbi fingēs fulciēdo ferula corp⁹ accessit, & stans ante templū, q̄d iuramēti sui cōsciū esse uolebat, ferulā, in qua omnis eius iniqtas latebat, Archetimo tenēdā porrigit donec absolueret iuramētū: *Eiusdem.*

ἀνατείνας δὲ τὴν ἑῴων χειρῶν φορὰν ἔσπευ, ὡς λάβοι μὲν παρ' ἀρχετίμου παραθήκην, κερδαίνῃ δὲ ταύτην, ὅπερ ἦν ἐκ τέχνης πεπλασμένον ψεῦδος. Βαρυνθεὶς οὖν τῷ λελεγμένῳ ἀρχέτιμος, ῥίπτει πρὸς ἔδαφος νάρθηκα πληγῇ βαρείᾳ· τοῦ δὲ ἀραχθέντος, ἐκτὸς ἐρρύη παραθήκης ὄγκος. ἀρχέτιμος μὲν οὖν ἐκ θεῶν προνοίας τοιοῦδε ἔτυχε κύδους, ἢ λέγεται καινὴν βίου καταστροφὴν γενέσθαι· εἰς ἃ δεῖ βλέποντας μὴ καταφρόνησιν ποιεῖσθαι πρὸς πίστιν ὅρκων νέοντας ἀνθρώπους, οἷς ἀσφαλὲς ὅπη δὴ παντοίᾳ τύχῃ φορὰ ἐνδύματος ἀμειβομένη.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΦΙΛΟΠΟΝΙΑΣ ΚΑΙ ΜΕΛΕΤΗΣ, ΚΑΙ ΟΤΙ ΑΣΥΜΦΟΡΟΝ ΤΟ ΟΚΝΕΙΝ ΛΟΓΟΣ ΚΖ'.

Σοφοκλέους. ΩΣ νῦν τάχος στείχωμεν, οὐ γὰρ ἔσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε.
Ἡσιόδου. Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι, ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι. ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενος σπεύδοντ'. ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
Ἐξ ἔργων τ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς,
πλουτοῦντα. πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν,
αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ, πρὸς ὄλβον.
Χρήματα δ' οὐχ ἁρπακτὰ, θεόσδοτα, πολλὸν ἀμείνω.
Ἀλλ' ἀρετὰ βαίνει διὰ μόχθων.
Εὐριπίδου. Τοὺς πόνους γὰρ οἱ 'γαθοὶ
τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.
Πόνος γὰρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.
Ἐπιχάρμου. Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγαθ' οἱ θεοί.
Κριτίου. Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Ἐκ μελέτης πλείους, ἢ φύσεως ἀγαθοί.
Εὐριπίδου. Ἐκ τῶν πόνων τοι τἀγαθ' αὔξεται βροτοῖς.
Τὸ συνεχὲς ἔργον, παντὸς εὑρίσκει τέλος.
Σοὶ δ' εἶπον ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
θηρᾶν. ὁρᾷς γὰρ σὸν πατέρα τιμώμενον.
Οὐκ ἔστιν ὅστις ἡδέως ζῶν τὸν βίον
εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν.
Τοὺς γὰρ πονοῦντας, καί τι πράσσοντας πλέον
τιμῶμεν, ἄνδρας τ' ἐν πόλει νομίζομεν.
Ὀκνῶ δὲ μόχθον τὸν πρὶν ἐκχέας χέειν.
Μενάνδρου. Δεῖ τοὺς γινομένους μέχρι ἂν ζῶσιν, πονεῖν.
ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον.
Ἡσιόδου. Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
Μενάνδρου. Πάντα γὰρ ταῖς ἐντελεχείαις καταπονεῖται πράγματα.
Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.
Εὐριπίδου. Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

deinde manibus eleuatis dixit, accepisse quidē se depositū ab Archetimo, sed id restituisse: q̄d mendaciū erat arte confictū. His dictis grauiter indignatus Archetimus, ictu uehemēti ferulā in pauimentū proiecit, qua dirupta omnis auri moles effluxit. Hac q̄dē diuinitus prouidentia adiutus est Archetimus. Cydias aūt malū uitæ exitū habuisse dicit. Hæc ergo respiciens qlibet sibi caueat ne sacramenta contempserit.

EIVSDEM DE ASSIDVITATE, ET DILIgentia, Et quod ignauia sit inutilis.

SERMO XXVII.

Pamus quàm celerrimè. Non potest enim Iusta diligentia unquam reprehendi. *Sophoclis.*

Si quis ociosus respexerit alterum *Hesiodi.*
Locupletem, is festinabit ut aret, plantetq́,
Et rem domesticam rite disponat: Aemulatur enim uicinus uicinum
Ditescentem. Est autem hæc æmulatio mortalibus utilis.

Operando uiri pecuniosi fiunt & dites. *Eiusdem.*
Atq laborans multo magis amatur à dijs.
Non est autem dedecori laborare, sed ociari.
Quod si labores, statim & ociosus aliquis æmulabitur te
Ditescentem: diuitias uero uirtus & gloria sequuntur.

Verecundia inutilis uirum egenum occupat. *Eiusdem.*
Verecundia, quæ uiris multum obest, rursusq́ prodest.
Verecundia facit infortunatos: animositas fortunatos.

Pecuniæ non raptæ, sed diuinitus datæ plurimum præstant. *Eiusdem.*
Virtus autem per labores incedit.

Boni uiri subire labores
Audent, & nusquam ulla in re sunt timidi. *Euripidis in Iphigenia in Tauris.*

Labor enim ut aiunt bonæ famæ pater est. *Eiusdem.*

Laboribus Vendunt nobis omnia bona diui. *Epicharmi.*

Necessum est ut laborent, qui uolunt fœliciter agere. *Critiæ.*

Plures studio boni sunt, quàm natura.

Bona per labores augentur hominibus. *Euripidis.*

Labor improbus omnia uincit.

Tibi dixi ò fili, ut fortunam laboribus
Indages. Honorari enim tuum patrem uides.

Nullus est, qui dum molli uitæ studet
Gloriam adeptus sit: sed laborandum est.

Præstantes enim, & qui faciunt aliquid eximium
Honoramus, ac uiros in ciuitate nominare dignamur.

Nunc sum ignauus, quia præteritos labores frustra tuli.

Genitos oportet, quoad uixerint, laborare. *Menandri.*
Ignauia enim non alit frugalem uitam.

Nam si uel modicum modico coniunxeris, *Hesiodi.*
Idq́ frequenter feceris, statim fiet hoc quoq magnum.

Omnia enim Assiduitate conficiuntur negocia. *Menandri.*

Gloriam assequutus sum non sine multis laboribus.

Solet laborantem Deus pariter adiuuare. *Euripidis.*

Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.
ὁ δ' ἀδὺς αἰὼν, ἥ κακή τ' ἀτολμία,
οὔτ' οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ.
Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρὸν τε μοχθεῖν μὴ θέλειν νεανίαν.
Αἰσχύλου. Καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.
Σοφοκλέους. Οὔτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.
μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται.
Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόθος.
Φιλήμονος. Πάντ' οὐδὲν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.
Ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν.
Ὡς ἡδέως μοι γέγονε τὰ πρότερα κακά.
εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.
Εὐριπίδου. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.
οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.
Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει.
Ἀλέξιδος. Ὅτι πάντα τὰ ζητούμεν' ἐξευρίσκεται,
ἂν μὴ προαποστῇς, μὴ δὲ τὸν πόνον φύγῃς.
ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες
μέρος τι τῶν θείων, τοσοῦτον τὸν τόπον
ἀπέχοντες, ἄστρων ἐπιτολὰς, δύσεις, τροπάς,
ἔκλειψιν ἡλίου· τί τῶν κοινῶν τε καὶ
συγγενικῶν, δύναιτ' ἂν ἄνθρωπον φυγεῖν;
Θεοδέκτου. Πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς,
ῥαθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν
λαβοῦσα, λύπας τὸν χρόνῳ τίκτειν φιλεῖ.
Εὐριπίδους. Ἄνευ τύχης γὰρ ὥσπερ ἡ παροιμία,
πόνος μονωθεὶς, οὐκ ἐτ' ὠλβίσει βροτούς.
Σοφοκλέους. Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.
Πόνου μεταλλαχθέντος, οἱ πόνοι γλυκεῖς.
Ἀγάθωνος. Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.
Φιλίσκου. Οὐκ ἔστιν ὦ μάταιε σὺν ῥαθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.
Ξενοφῶντος. Οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν,
αἱ. Ξενοφάνους. ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.
Ἱππῶνα. Χρόνος δὲ φεύγετω σε μηδὲ εἷς ἀργός.
Ἀπολλοδώρου. Χρόνον γὰρ εἰς τὰ πράγματα ἐὰν λάβῃς,
ἅπαντα λήξει καὶ καταστελήσεται.
Εὐριπίδου. Σὺν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
Μενάνδρου. Οὐδενὸς χρὴ πράγματος
τὸν εὖ ποιοῦνθ' ὅλως ἀπογνῶναι ποτέ.
Ἁλωτὰ γίγνετ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα.
Πάντα τὰ ζητούμενα
δεῖσθαι μερίμνης φασὶν οἱ σοφώτεροι.
Σοφοκλέους. Τὸ ζητούμενον ἁλωτὸν, ἐκφεύγει δὲ τἀμελούμενον.

Bona per labores augentur hominibus,
Voluptuosa autem uita, & mala timiditas,
Nec domui, nec uictui quicquam prosunt.
Haud poteris fœlix absq; labore degere,
Et iuuenem laborare nolle turpis res est.
Pulchrum est etiam senem sapientiæ studere. *Aeschyli.*
Nulla res magna sine labore ueniet. *Sophoclis.*
Necessum est ut laborent, qui uolunt esse fortunati.
Omnia pulchra laborans consequitur.
Nihil non desyderium inquirentis inuenit.
Omnia possunt inueniri, si modo non laborem *Philemonis.*
Fugerit aliquis, qui rebus indagandis adhæret.
Assiduitate quælibet assequi datur.
Quantum delector ob exhausta mihi præterita mala.
Nisi enim tum laborassem, in præsentia non gauderem.
Nemo sibi laudem comparauit ex uoluptatibus. *Euripidis.*
Nullus enim socors celebris uir est.
Sed labores generositatem pariunt.
Laborantem pariter Deus adiuuat.
Inueniuntur omnia quæsita, *Alexidis.*
Nisi prius desistas, laboremq; fugias.
Cum enim homines quidam inuenerint
Partem aliquam in diuinis tanto spacio
Distantes, nempe syderum ortus, occasus, solstitia,
Defectum solis: quid nam ex rebus communibus
Et familiaribus hominem fugere posset?
Multum oportet illum laborare, qui gloriosam laudẽ cõsequuturus est. *Theodectis.*
Negligentia uero præsenti uoluptate
Fruens, dolores afferre solet in posterum.
Sine fortuna enim ut in prouerbio est, *Euripidis.*
Labor relictus, haud amplius grauis est hominibus.
Nulla enim ratio præteriti laboris habetur, *Sophoclis.*
Labores cum iam abiere dulces sunt.
Qui uias peculiares scrutantur, industrio sunt ingenio. *Agathonis.*
Non licet ò stulte cum inertia *Philisbi.*
Ociosos eadem nancisci, quæ laborantes.
Non ab initio statim dij cuncta mortalibus ostenderunt: *Xenophontis. al. Xenophanis*
Sed illi progressu temporis inquirentes singula melius inueniunt.
Nullum tibi tempus ociosum elabatur. *Hipponactis.*
Si tibi sat temporis ad negocia sumpseris, *Apollodori.*
Perficientur & domabuntur omnia.
Quæ pulchra sunt infinitis laboribus comparantur. *Euripidis.*
Nulla in re oportet *Menandri.*
Recte facientem omnino desperare.
Comprehendi possunt industria & labore Omnia.
Omnia quæ inquiruntur,
Indigere cura dicunt sapientes.
Quod quæritur cõprehendi potest, effugit autẽ quod negligitur. *Sophoclis.*

Ἐπιχάρμου. Γρεπόντων πόνων, πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

Σὺ πατρὶς ἐν γὰρ τοῖς πόνοισιν αὔξεται.
αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσιν πόλεις,
σκοτεινὰ καὶ βλέπουσιν εὐλαβούμεναι.

Ἀντιφάνους. Τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται.

Σμυρναίου Βουκολικοῦ. Ἐκ θαμινῆς ῥαθάμιγγος ὅκως λόγος αἰὲν ἰοίσας
χὰ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

αἱ. Βίωνος. Οὐ καλόν, ὦ φίλε πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν, ἀλλὰ καὶ αὐτὸς
τεχνᾶσθαι σύριγγα, πέλει δ' ἔτοι εὐμαρὲς ἔργον.

Ἐπιχάρμου. Ἁ δὲ μελέτα, φύσιος ἀγαθᾶς πλέονα δωρεῖται φίλοις.

Εὐριπίδου. Οὐ γάρ τ' ὁ δυνατοὺς ἐστὶν ἅμιλλος μόνος.
χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.
Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς,
ἀλλ' οὐδ' οὕτω σωθέντα μεμνῆσθαι πόνων.

Αἰλιανοῦ. Σόλων ὁ Ἀθηναῖος ὁ † ἐξηκέστου παρὰ πότον τοῦ ἀδελφιδοῦ αὐτοῦ μέλος τι Σαπφοῦς ᾄσαντος, ἥσθη τῷ μέλει, καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν. ἐρωτήσαντος δέ τινος, διὰ ποίαν αἰτίαν τοῦτο ἐσπούδασεν; ὁ δέ, ἔφη, ἵνα μαθὼν αὐτὸ ἀποθάνω.

Plutarchus habet ἐξηκεστίδ.

Εὐσεβίου. Πόνοι οἱ ἑκούσιοι πόνοισι τοῖς μετὰ ταῦτα ἀναγκαίοις, ὥστε αὐτοὺς εὐπετεστέρως παρασκευάζουσι ἀθλέειν, προπονέονται.

Αἰλιανοῦ. Δημοσθένης ὁ Δημοσθένους, εἰ ἔμελλε τῇ ὑστεραίᾳ ἔσεσθαι ἐκκλησίας, ἀλλὰ ἐκεῖνός γε διὰ τῆς νυκτὸς ἠγρύπνει πάσης, διαφροντίζων δηλονότι, καὶ ἐκμανθάνων ταῦτα, ἃ ἔμελλεν † εὑρεῖν. ὁ τοίνυν Πυθέας ἐκ τούτων ἐμοὶ δοκεῖν ἀπέσκωπτεν εἰς αὐτὸν ἐπιλέγων, αὐτοῦ τὰ ἐνθυμήματα τῆς ἐλλυχνίων ὄζειν.

lego ἐρεῖν.

Δημοσθένους. Φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων.

Θουκυδίδου. Ἔργων ἐκ πολλῆς μελέτης πλεῖον σώζει, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθέντων παραίνεσις.

Δημοσθένους. Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσι.

Πόνος συνεχής, ἐλαφρότερος ἑαυτοῦ τῇ συνηθείᾳ γίνεται.

Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.

Δημοκρίτου. Πλέονες δὲ ἐξ ἀσκήσιος ἀγαθοὶ γίγνονται, ἢ ἀπὸ φύσιος.

Τὸ αἰεὶ μέλλειν, ἀτελέας ποιεῖ τὰς πρήξιας.

Φαβωρίνου. Γραῦν τινά φασι μόσχον μικρὸν ἀραμένην, καὶ τοῦτο καθ' ἡμέραν ποιοῦσαν, λαθεῖν βοῦν φέρουσαν.

Τάσος Ἑρμιονεὺς ἐρωτηθείς, τί εἴη σοφώτερον, πεῖραν ἔφη.

Ξενοφάνης δόξης οὐδεμιᾶς ἤρα, ἧς οὐκ ἐξεπονεῖτο.

Ξενοφῶντος. Οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν, ἃ ἡττᾶτο· ἀλλ' ἐκαλινδεῖτο, ἐν τῷ πειρᾶσθαι αὖθις ἄμεινον ποιεῖν.

Κῦρος δὴ βασιλέως καὶ ἀδελφιδοῦς καὶ υἱός, καὶ ἄρχει πολλῆς χώρας, κἀκεῖνος οὔτ' ἂν ἀριστήσειεν, οὔτε δειπνήσειεν, πρὶν ἱδρῶσαι.

Καί τοι ἔγωγε οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἀγαθοὶ γενόμενοι τῶν πονηρῶν. ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι, οὐχ ἵνα μηδέποτ' εὐφρανθῶσι τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν, πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται, οὕτω παρασκευάζονται. οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι, οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ, πείθοντες πολλοὺς ἀνθρώπους, μεγάλα ἀγαθὰ διαπράξεσθαι. οἵ τ' αὖ τὰ πολεμικὰ ἀσκοῦντες, οὐχ ὡς μαχόμενοι μηδέποτε παύσωνται τοῦτ' ἐκπονοῦνται, ἀλλὰ νομίζουσι καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον,

πολλὴν

Conuenientibus laboribus Vendunt nobis omnia bona dij. *Epicharmi.*
Tua enim patria laboribus proficit,
Quietæ uero ciuitates in obſcuro ſunt ſtatu,
Et obſcurè uident ſibi metuentes.

Omnia diligentiæ ſubijciuntur. *Antiphanis.*

Ex numeroſa gutta, ut aiunt, perpetuo ſtillante *Smyrnei Bucoli*
Excauatur etiam lapis in ſciſſuram. *ci. al. Bionis.*

Non decet amice propter quoduis negocium adire fabrum,
Neq; æs alienum in omni re conflare. Quin tute
Fabricato fiſtulam: fuerit enim tibi facile factu.

Cæterum diligens induſtria *Epicharmi.*
Plus donat amicis, quàm bonum ingenium.

Non enim Vlyſſes ſolus eſt diſertus, *Euripidis.*
Neceſſitas docet & ſi quis tardus fuerit, eſſe ſapientem.

Nulla res neceſſaria turpis eſt hominibus.
Sed iucundum eſt ſuperſtitem meminiſſe laborum.

Solon Athenienſis Execeſtidæ filius, cũ eius nepos ex fratre inter pocula carmen quoddã Sapphûs ceciniſſet, delectatus eſt illa cantilena, & iuſſit adoleſcentem ut eã ſe doceret. Cum autem quidam interrogaſſet quam ob cauſam hoc deſyderaret, reſpondit: ut poſtquam ipſam didicero, moriar. *Aeliani.*

Voluntarij labores neceſſarij ſunt laboribus in poſterum euenturis: quos facilius tolerabit ille, qui ſponte ſua præexercitatus in ipſis fuerit. *Euſebij.*

Demoſthenes Demoſthenis filius ſi poſtridie concionem ad populum habiturus eſſet, totam noctem præcedentem uigilabat, ſcilicet ad meditandum ac ediſcendum quæ dicturus erat. Hanc igitur ob cauſam Pytheas, ut mihi uidetur, torquebat in ipſum dicteria, inquiens ſententias eius ellychnia redolere. *Aeliani.*

Natura comparatũ eſt ut præſentes abſentiũ bonis fruanť, & ignauorũ gnaui. *Demoſthenis.*

Diuturnum in operibus exercitium plus confert, quàm pulchrè inſtructi ſermonis breuis adhortatio. *Thucididis.*

Voluntarij labores inuoluntariorum patientiam leuiorem efficiunt. *Demoſthenis.*

Labor continuus conſuetudine fit ſeipſo leuior.

Voluptates uenari cõuenit, quę labores ſequũtur, nõ illas quæ præcedũt.

Plures fiunt exercitatione boni, quàm natura. *Democriti.*

Perpetua cunctatio reddit actiones imperfectas.

Ferunt anũ quandã cũ quotidie paruũ uitulũ ſublatũ geſtaret, & nullum diem intermitteret, tandem (adultum quoq; bouem) geſtaſſe. *Phauorini.* *Incluſa parentheſi non ſunt in Græco.*

Taſſus Hermioneus quidnam ſapientius eſſet præ cæteris, interrogatus: experientiam dixit.

Xenophanes nullam gloriam diligebat pro qua non laboraſſet.

Victus autem non ſtatim deſerebat ea, in quibus uincebatur: ſed modis omnibus experiebatur, ut aliàs melius faceret. *Xenophontis libro 1. de Cyri inſtitutione.*

Cyrus regis eſt ex fratre nepos, ac filius, & magnæ regioni imperat: non tamen aut prandium aut cœnam ſumere ſolet, antequam ſudauerit.

Atq; nulli uirtuti, mea ſentẽtia, operã dãt homines, quo nihilo plꝰ habeãt uiri probi quã improbi: ſed & hi q̃ p̃ſentibꝰ abſtinẽt uoluptatibꝰ, nõ id agũt, ut lętentř nũquã ſed ut p̱ hanc cõtinẽtiã, multo maiore in poſterũ lætitia fruanť: & hi q̃ dicẽdo ſtudẽt cæteris antecellere, nõ hoc exercẽt, ut à bene dicẽdo nunquã ceſſent, ſed q̃d exiſtimãt hac orationis p̃ſtãtia, dũ reddũt homines pſuaſos, fore, ut & multa & magna bona ipſi cõſequanť. Et itẽ hi q̃ haſcę bellicas res exercẽt, nõ hoc laborãt ut à p̃lijs nũquã uacent, ſed quia ſperant, ſi rerũ bellicarũ gloria excelluerint, futurũ ut multas opes, *Ibidem.*

multam fœlicitatem, maximosq; honores & sibi comparent & reipub. Quod si qui uersati bellicis in rebus prius quàm fructum inde ullum susceperint, senectutem sibi imbecillam obrepere patiantur, simile quid mihi uidentur pati, ac si quis bonus agricola esse studuerit bene serendo, & studiose plantando: cum autem fructus recipiendus est, eum non conuehat, sed sinat rursus in terram defluere. Item si quis pugil post multos labores exhaustos, & iam dignus uictoria redditus, sine præmio tandem deficiat, nec hic quidem mihi uidetur amentiæ crimen effugisse.

Vt facilius & promptius labores illos sustineamus, quos uirtutis & honestatis gratia subituri sumus, hæc animo reputare secū utile fuerit: Videlicet quàm multa tolerent aliqui propter malas cupiditates, ut qui amant luxuriose. Et quantū sufferant alij lucrandi causa. Item quanta patiantur nonnulli dum gloriam uenantur. Et q̃d omnes isti sponte tolerent ærumnas omnes. An non igitur iniquum foret, illos quidem huiusmodi pro nulla re honesta sustinere: nos uero honestatis gratia, & declinandæ causa malitiæ (quæ planè pestis est uitæ nostræ) tum comparandæ uirtutis (quæ nobis bonorum omnium dux est) non quosuis labores promptè subire? Atqui uerbis exprimi non potest quanto præstantius sit eniti, ut cupiditates propriæ castigentur, quàm laborare ad uxore potiendum aliena: Item frugalitatem exercere, quàm in comparandis pecunijs laboriosum esse: Et operam dare ne sis ambitiosus, quàm gloriæ conquirendæ causa multis negocijs molestari: Præterea se ab omni inuidia immunem præstare quanto sit satius, quàm modum quærere quo quis illi noceat, cui inuidet: Et amicos sibi ueros cōciliare potius laborē sumere, quā quibusdā nomine solum amicis seruire, ut adulatores faciunt. In summa, cū labor omnibus hominibus necessarius sit, tū his qui præstantius aliqd, tū illis qui uilius quidpiam desyderant, absurdissimū est, eos qui præstantioribus operā dant, & magna præmia sperant, non multo in laboribus promptiores esse. Circumforanei quidē mirabiliū authores perquā difficilia negocia sustinent, & de uita sua periclitantur, alij quidem saltantes supra gladios præcipitati, alij supra funem ambulantes in sublimi, alij tanquā aues per aërē uolantes, in quibus si contingat error mortis periculū est, omnia tamen ista mercedis exiguæ causa faciunt: nos uero nihil sustinebimus laborū pro uniuersa simul fœlicitate? Nullus enim alius finis est bonitatis morū quā bene beateq; in posterū uiuere. Ad hæc meritò natura quorundam animantiū consyderanda est, quæ nos planè potest ad capessendos labores hortari. Coturnices enī & galli cū neq; uirtutis, ut homo, nec honesti iustiq; notitiā habeant, neq; laboris quicquā hisce cōparandis insumant, pugnando tamen inuicē & mutilari sustinent, & mortē potius obeunt quā superari se permittant. At quanto magis nos cōuenit patiētes ac tolerantes esse, cū honestas ob causas ærumnis & laboribus fatigamur, uel ad opem ferendam amicis, uel iuuandam ciuitatem, uel pro uxoribus & liberis pugnandum. Cæterū ut boni, iusti, & temperati sint, quæ res omniū est maxima & præcipua, nullis mortaliū citra laborem datur. Hinc inducor ut dicam, quod is qui laborem recusat ferē seipsum cōdemnat tanquam bonis omnibus indignum: quicquid enim est ubiq; boni labore comparatur. Huiusmodi tum ille dicebat, & alia his similia, ad excitandum instigandumq; præsentes ne laborem negligerent. *Musonij.*

Hactenus de his, quæ in uenatione gerunt, cuius studio dediti magnā ex eo utilitatē capient. Nā corporibus bonā ualetudinē cōparant, hinc uident audiuntq; magis, senescunt minus. Hæc ad bellū præcipuè instituit. Primo quidē si uias difficiles sub armis ambulant, minus lassantur: nā labores sustinent, quibus feras capere cōsueuerūt. Deinde poterūt humi iacentes quiescere, ad impatoris edictū præstò esse: in adeūdis hostibus inuadere simul, et impata facere, cū feras ipsi hoc modo uenent. Nec uero in fronte locati deserunt acies, quia paratissimi sunt. At in hostium fuga ubiq; illos ꝑpter locorū peritiā recte ac tuto ꝑsequūt. Quod si exercitus suus *Xenophontis in libro de uenatione.*

στρατοπέδοις ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις, ἢ ἄλλως χαλεποῖς, οἷοί τ' ἔσονταί τε καὶ αὐτοὶ σώζεσθαι μὴ αἰσχρῶς, καὶ ἑτέρους σώζειν. ὁ γοῦν συνειδὼς τὰ ἔργα, προέξει αὐτοῖς πλεῖόν τι εἰδέναι. καὶ ἤδη τινὲς τῶν τοιούτων πολλοῦ ὄχλου συμμάχων τρεφθέντος τῇ αὐτῶν † εὐταξίᾳ, καὶ θράσει, διὰ δυσχωρίαν ἁμαρτόντας τοὺς πολεμίους νενικηκότας, ἀναμαχόμενοι ἐτρέψαντο. ἀεὶ γάρ ἐστι τοῖς τὰ σώματα, καὶ τὰς ψυχὰς εὖ ἔχουσιν, ἐγγὺς τὸ εὐτυχῆσαι.

al. ἀνδρίᾳ.

Ἐν ταῖ [illegible]. Λέγουσι δέ τινες, ὡς οὐ χρὴ ἐρᾶν κυνηγεσίων, ἵνα μὴ τῶν οἰκείων ἀμελῶσιν, οὐκ εἰδότες ὅτι οἱ τὰς πόλεις καὶ τοὺς φίλους εὖ ποιοῦντες, πάντες τῶν οἰκείων ἐπιμελέστεροι εἰσίν. εἰ οὖν οἱ φιλοκυνηγέται παρασκευάζουσιν αὑτοὺς τῇ πατρίδι χρησίμους εἶναι εἰς τὰ μέγιστα, οὐδ' ἂν τὰ ἴδια † ἀργοί εἰσι. σὺν γὰρ τῇ πόλει, καὶ σώζεται καὶ ἀπόλλυται, τὰ ἑκάστου οἰκεῖα: ὥστε πρὸς τοῖς αὐτῶν καὶ τὰ τῶν ἄλλων ἰδιωτῶν οἱ τοιοῦτοι σώζουσι. πολλοὶ δὲ ὑπὸ φόβου ἀλόγιστοι τῶν ταῦτα λεγόντων αἱροῦνται διὰ τὴν αὐτῶν κακίαν ἀπόλλυσθαι μᾶλλον, ἢ ἑτέρων ἀρετῇ σώζεσθαι. αἱ γὰρ ἡδοναί, αἱ πολλαὶ καὶ κακαί, ὧν ἡττώμενοι, λέγειν ἢ πράττειν ἐπαίρονται τὰ χείρω: εἶτα ἐκ μὲν τῶν ματαίων λόγων, ἔχθρας ἀναιροῦνται: ἐκ δὲ τῶν κακῶν ἔργων, νόσους καὶ ζημίας καὶ θανάτους, καὶ αὐτῶν καὶ παίδων, καὶ φίλων, ἀναισθήτως μὲν τῶν κακῶν ἔχοντες: τῶν δὲ ἡδονῶν πλεῖον τῶν πολλῶν αἰσθανόμενοι.

al. [illegible].

Μουσωνίου. Παρώρμα δὲ πρὸς ἄσκησιν τοὺς συνόντας ἐντεταμένως ἀεί, τοιοῖσδέ τισι λόγοις χρώμενος. ἡ ἀρετή ἔφη, ἐπιστήμη ἐστίν, οὐ θεωρητικὴ μόνον, ἀλλὰ καὶ πρακτική, καθάπερ ἥ τε ἰατρική, καὶ ἡ μουσική. δεῖ οὖν ὥσπερ τὸν ἰατρὸν καὶ τὸν μουσικόν, μὴ μόνον ἀνειληφέναι τὰ θεωρήματα τῆς αὐτοῦ τέχνης ἑκάτερον, ἀλλὰ καὶ γεγυμνάσθαι πράττειν * καὶ τὰ θεωρήματα: οὕτω καὶ τὸν ἐσόμενον ἀγαθὸν ἄνδρα, μὴ μόνον ἐκμανθάνειν ὅσα μαθήματα φέρει πρὸς ἀρετήν: ἀλλὰ καὶ γυμνάζεσθαι κατὰ ταῦτα φιλοτίμως, καὶ φιλοπόνως. ἐπεὶ πῶς μὲν ἂν εὐθὺς γένοιτό τις σώφρων, εἰ μόνον εἰδείη ὅτι οὐ χρὴ ἡττᾶσθαι ἡδονῶν, ἀγύμναστος δ' εἴη ἀντέχειν ταῖς ἡδοναῖς; πῶς δ' ἂν δίκαιός τις γένοιτο, μεμαθηκὼς μὲν ὅτι χρὴ τὸ ἴσον ἀγαπᾶν, μὴ μεμελετηκὼς δὲ φεύγειν τὸ πλεονεκτεῖν; πῶς δ' ἂν ἀνδρείαν κτησαίμεθα, τὸ μὲν ὅτι μὴ φοβερὰ τὰ δοκοῦντα τοῖς πολλοῖς δεινά, κατεγνωκότες: ἄφοβοι δ' εἶναι εἰς αὐτὰ μὴ μεμελετηκότες; πῶς δ' ἂν φρόνιμοι γενοίμεθα, τὰ μὲν ὡς ἀληθῶς ἀγαθά, καὶ κακά τινα ἐστὶν ἐγνωκότες, μὴ γεγυμνασμένοι δὲ καταφρονεῖν τῶν δοκούντων ἀγαθῶν; διὸ χρὴ τῇ μαθήσει τῶν προσηκόντων ἀρετῇ ἑκάστῃ μαθημάτων, καὶ τὴν ἄσκησιν ἐπακολουθεῖν πάντως, εἴγε μέλλει καὶ αὐτῆς τῆς μαθήσεως ὄφελός τι γενήσεσθαι ἡμῖν. καὶ τοσούτῳ γε χρὴ μᾶλλον ἀσκεῖν τὸν φιλοσοφεῖν ἀξιοῦντα, ἤπερ τὸν ἰατρικῆς, ἤ τινος τέχνης ὁμοίας ἐφιέμενον, ὅσῳ μεῖζόν τε καὶ δυσκατεργαστότερον φιλοσοφία παντὸς ἐπιτηδεύματος ἑτέρου. καὶ γὰρ οὖν, οἱ μὲν τὰς ἄλλας τέχνας * εἶναι οἱ ἐφιέμενοι αὐτῶν, οὐ προδιεφθαρμένοι τὰς ψυχάς, οὐδ' ἐναντία μεμαθηκότες οἷς μαθήσεσθαι μέλλουσιν: οἱ δὲ φιλοσοφεῖν ἐπιχειροῦντες, ἐν διαφθορᾷ γεγενημένοι πρότερον πολλῇ καὶ ἐμπεπλησμένοι κακίας, οὕτω μετίασι τὴν ἀρετήν, ὥστε καὶ ταύτῃ πλείονος δεηθῆναι τῆς ἀσκήσεως. πῶς οὖν καὶ τίνα τρόπον τούτοις ἀσκητέον; ἐπεὶ τὸν ἄνθρωπον οὔτε ψυχὴν εἶναι μόνον συμβέβηκεν, οὔτε σῶμα μόνον, ἀλλά τι σύνθετον ἐκ τοῖν δυοῖν τούτοιν, ἀνάγκη τὸν ἀσκοῦντα ἀμφοῖν ἐπιμελεῖσθαι, τοῦ μὲν κρείττονος, μᾶλλον, ὥσπερ ἄξιον, τουτέστι τῆς ψυχῆς: καὶ θατέρου δέ, εἴγε μέλλει μηδὲν ἐνδεῶς ἔχειν τοῦ ἀνθρώπου μέρος. δεῖ γοῦν δὴ καὶ τὸ σῶμα παρασκευάσθαι καλῶς πρὸς τὰ σώματος ἔργα τὸ τοῦ φιλοσοφοῦντος, ὅτι πολλάκις αἱ ἀρεταὶ καταχρῶνται τούτῳ ὄντι ὀργάνῳ ἀναγκαίῳ πρὸς τὰς τοῦ βίου πράξεις. τῆς οὖν ἀσκήσεως, ἡ μέν τις διὰ τῆς ψυχῆς μόνης γίνοιτ' ἂν ὀρθῶς: ἡ δέ τις κοινὴ ταύτης τε καὶ τοῦ σώματος. κοινὴ μὲν οὖν ἄσκησις ἀμφοῖν γενήσεται, συνεθιζομένων ἡμῶν, ῥίγει, θάλπει, δίψει, λιμῷ, τροφῆς λιτότητι, κοίτης σκληρότητι, ἀποχῇ τῶν ἡδέων, ὑπομονῇ τῶν ἐπιπόνων. διὰ γὰρ τούτων καὶ τῶν τοιούτων, ῥώννυται μὲν τὸ σῶμα, καὶ γίνεται δυσπαθές τε, καὶ στερεόν, καὶ χρήσιμον πρὸς ἅπαν ἔργον: ῥώννυται δὲ ἡ ψυχὴ γυμναζομένη, διὰ μὲν τῆς ὑπομονῆς τῶν ἐπιπόνων πρὸς ἀνδρείαν, διὰ δὲ τῆς ἀποχῆς τῶν ἡδέων, πρὸς σωφροσύνην. διὰ δὲ τῆς ψυχῆς ἄσκησίς ἐστι, πρῶτον μὲν τὰς ἀποδείξεις προχείρους ποιεῖσθαι, τάς τε περὶ τῶν ἀγαθῶν τῶν δοκούντων ὡς οὐκ ἀγαθά, καὶ τὰς περὶ τῶν κακῶν τῶν

lego κατὰ.

malim [illegible].

infœliciter pugnauerit,in syluosis,abruptis,iniquisq́ alijs locis seipsos cum cæteris non turpiter seruare poterunt. Nam consuetudo uenandi nonnihil eos peritiores reddit. Et hi plærunq; magna commilitonũ turba fugiente, uictores hostes propter locorũ difficultatẽ errantes,suo ipsi robore & audacia repugnando terga dare coëgerunt: Nam fortuna ferè corporis & animi fortitudinem comitatur.

Dicunt uero nonnulli uenationibus delectari non oportere, ne res familiaris negligatur,nescientes qui de repub. & amicis bene merent,eos omnes rei familiaris diligentiores esse. Quod si studiosi uenationis ita se cõparant, ut patriæ utilissimi sint: hi certè nec priuata neglexerint: nã sua cuiusq; unà cũ repub. seruantur, & pereunt. Itaq; priuatas res suas & aliorũ pariter tales uiri conseruant. Sed eorũ multi, qui hęc sine ratione dicunt, præ inuidia deligunt suo ipsorũ uitio perire potius, quã aliorũ uirtute incolumes esse. Nam uoluptates multæ sunt & prauæ, quibus uicti peiora dicere uel facere cõpellunt. Deinde ex inanibus dictis odia sibi cõparant: ex improbis facinoribus morbos, damna, mortes: nec sibi solũ, sed liberis quoq; & amicis, qui si ne sensu malorum suorum, uoluptates plus etiam quàm cæteri sentiunt. *Ibidẽ paulò post*

Incitabat aũt semper enixe conuersantes sibi ad actionem huiusmodi ferè uerbis usus. Virtus, inquiebat, est scientia non contẽplatiua solũ, sed etiã actiua, sicut & Medicina & Musica. Quemadmodum igiť oportet medicũ & musicũ, nõ solũ contẽplationes suæ artis utrumq; percepisse, sed in ipsis etiã actionibus iuxta contẽplationes exercitatũ esse: similiter q uir bonus est futur⁹, nõ præcepta solũ ad uirtutẽ ptingentia edidicisse debet, uerũ exercitari quoq; secũdũ ipsa diligẽter ac enixe. Etenim quo quis pacto statim temperans euaderet, si solũ nouerit, quod à uoluptatibus uinci de deceat, repugnandi uero nullũ exercitiũ habeat? Aut iustus quomodo fieret aliqs, sciens quidẽ æqualitatẽ esse diligendam, nõ aũt circa potioris partis cupiditatẽ fugiẽdam se exercuerit? Itẽ fortitudinẽ quî cõparauerit sibi ille, q quãuis intelligit nõ esse terribilia, quæ hominũ uulgo metuenda uidentur: ut tñ intrepidũ aduersus ipsa se præstet, exercitio nullo cõfirmatus est? Præterea quo pacto prudentes fieremus, cognoscẽtes qdẽ quæ bona, quæ mala sint reuera, nõ exerciti uero cõtemnere ista, quæ boni speciẽ solũ referũt? Quãobrẽ necessariũ est omnino ad doctrinã pręceptorũ unicuiq; uirtuti cõueniẽtiũ usum, et exercitationẽ accedere, si quã modo utilitatẽ afferre nobis ex ipsa doctrina expectam⁹. Atq; tanto magis exercitari cõuenit futurũ philosophũ, quã medicinæ aut similis alicui⁹ artis studiosum, quãto maior absolutuq́; difficilior est philosophia quouis alio studio. Siqdẽ alias qdẽ artes ipsarũ cupidi accedunt animis nõ prius corruptis, neq; cõtraria didicerunt antea his quæ deinde discenda sunt: philosophaturi autẽ prius multis corrupti modis impletiq́; malitia, sic ad uirtutẽ se cõferunt, quare hanc ob causam quoq; maius exercitiũ requiriť. Quonam igitur modo, & qua ratione conuenit ipsis exerceri? Quoniam homo non anima solum, neq; corpore solo constat, sed compositum quiddam existit ex utrisq;, necesse fuerit exercentem se utriusq; curam habere, magis quidem præstantioris partis, ut decet, hoc est animæ: alteram tamen non negligere, si modo nullam partẽ sui imperfectam habere uelit. Etenim oportet corpus quoq; philosophantis ad corporis officia rectè constitutum esse. Virtutes nanq; haud rarenter ad actiones uitæ utpote necessarium instrumentum corpus usurpant. Exercitiorum igitur aliud rectè per solam animã efficitur, aliud animæ simul & corporis cõmune censendum. Cõmunis etenim utrisq; fit exercitatio, si nos assuefaciamus ad rigorem, calorẽ, sitim, famem, uictus tenuitatẽ, cubilis duritiam, abstinentiam rerum suauium, & molestarum tolerantiam: quoniã per hæc & huiusmodi tũ corpus roboratur, ita ut non facile forinsecus afficiatur, sed firmũ, & ad quoduis opus utile fit: tũ anima sic exercitata confirmatur, scilicet difficilia quidem sustinens ad fortitudinem, abstinens uerò suauibus ad temperantiam. Cæterũ ad alterũ exercitium, quod animæ solius est, pertinet, primũ qdẽ faciles sibi & in promptu demonstrationes parare, qbus efficitur quod illa bona, quæ speciem tantum boni prę se ferunt, non sint bona, & mala *Musonij.*

τῶν δοκούντων ὡς οὐ κακὰ, καὶ τὰ ἀληθῶς ἀγαθὰ γνωρίζειν τε, καὶ διακρίνειν ἀπὸ τῶν μὴ ἀληθῶν ἐθίζεσθαι. εἶτα δὲ μελετᾶν μήτε φεύγειν μηδὲν τῶν δοκούντων κακῶν, μήτε διώκειν μηδὲν τῶν δοκούντων ἀγαθῶν. καὶ τὰ μὲν ἀληθῶς κακὰ, πάσῃ μηχανῇ ἐκτρέπεσθαι, τὰ δὲ ἀληθῶς ἀγαθὰ παντὶ τρόπῳ μετέρχεσθαι. ἐν κεφαλαίῳ μὲν οὖν σχεδὸν εἴρηται, ὁποῖος ἑκάτερος τρόπος ἀσκήσεως· οὐ μὴν ἀλλὰ καὶ κατὰ μέρος ὡς ποιητέον ἕκαστα, πειράσομαι εἰπεῖν, οὐ διακρίνων, οὐδὲ χωρίζων οὐκέτι τά τε κοινὰ τῆς ψυχῆς, καὶ τοῦ σώματος ἀσκήματα, καὶ τὰ ἴδια τῆς ψυχῆς, ἀλλὰ ἀναμὶξ τὰ ἑκατέρου μέρους διεξιών. οὐκοῦν ἐπειδὴ ταῦτα μὲν τυγχάνομεν ἀκηκοότες τε καὶ ὑπειληφότες, ὅσοι γε φιλοσόφου διατριβῆς μετεσχήκαμεν, ὡς οὔτε πόνος, οὔτε θάνατος, οὔτε πενία κακὸν οὐδαμῶς ἐστὶν, οὐδ' ἄλλο τι τῶν κακίας ἀπηλλαγμένων· οὐδ' αὖ πάλιν ἀγαθὸν πλοῦτος, ζωὴ, ἡδονὴ, οὐδ' ἄλλο τι ἕτερον τῶν μὴ μετεχόντων ἀρετῆς· ὅμως δὲ καὶ ταῦθ' ὑπειληφότες διὰ τὴν ἀπὸ παίδων εὐθὺς γεγονυῖαν ἡμῖν διαφθορὰν, καὶ τὴν ὑπὸ τῆς διαφθορᾶς συνήθειαν πονηρὰν, πόνου μὲν προσερχομένου, κακὸν ἡγούμεθα προσέρχεσθαι ἑαυτοῖς· ἡδονῆς δὲ παραγινομένης, ἀγαθὸν ἡγούμεθα παραγίνεσθαι ἡμῖν, καὶ τὸν μὲν θάνατον ὡς ἐσχάτην συμφορὰν πεφρίκαμεν· τὴν δὲ ζωὴν ὡς τῶν ἀγαθῶν μέγιστον ἀσπαζόμεθα· καὶ διδόντες μὲν ἀργύριον ὡς βλαπτόμενοι, λυπούμεθα· λαμβάνοντες δὲ, ὡς ὠφελούμενοι χαίρομεν· παραπλησίως δὲ καὶ ἐπὶ πλειόνων ἄλλων, οὐκ ἀκολούθως ταῖς ὀρθαῖς ὑπολήψεσι τοῖς πράγμασι χρώμεθα, τῷ δὲ φαύλῳ ἔθει μᾶλλον ἀκολουθοῦμεν. ἐπεὶ οὖν ταῦτά φημι ταύτῃ ἔχει, δεῖ τὸν ἀσκοῦντα ζητεῖν περιγίγνεσθαι ἑαυτοῦ, τῇ μὲν ἡδονῇ, μὴ ἀσμενίζειν, τὸν πόνον δὲ μὴ ἐκτρέπεσθαι· καὶ τὸ μὲν ζῆν, μὴ φιληδεῖν, τὸν δὲ θάνατον, μὴ δεδιέναι· καὶ ἐπὶ χρημάτων μὴ προτιμᾶν τοῦ προΐεσθαι τὸ λαμβάνειν.

Πλουτάρχου. Ὁ μὲν οὖν εἰπὼν ὅτι δεῖ τὸν εὐθυμεῖσθαι μέλλοντα μὴ πολλὰ πρήσσειν μήτε ἰδίᾳ μήτε ξυνῇ, πρῶτον μὲν ἡμῖν πολυτελῆ τὴν εὐθυμίαν καθίστησι γινομένην ὤνιον ἀπραξίας, οἷον ἀρρώστῳ παραινῶν ἑκάστῳ.

μίμν' ὦ ταλαίπωρ' ἀτρέμας σοῖς ἐν δεμνίοις.

καίτοι κακὸν μὲν ἀναισθησία σώματι φάρμακον ἀπονοίας· οὐδὲν δὲ βελτίων ψυχῆς ἰατρὸς, ὁ ῥαθυμίᾳ καὶ μαλακίᾳ καὶ προδοσίᾳ φίλων, καὶ οἰκείων, καὶ πατρίδος, ἐξαίρων τὸ ταραχῶδες αὐτῆς καὶ λυπηρόν.

Ἐν ταὐτῷ. Ὅθεν οὐδὲ Ἐπίκουρος οἴεται δεῖν ἡσυχάζειν, ἀλλὰ τῇ φύσει χρῆσθαι πολιτευομένους, καὶ πράσσοντας τὰ κοινὰ, τοὺς φιλοτίμους καὶ φιλοδόξους, ὡς μᾶλλον ὑπὸ ἀπραγμοσύνης ταράττεσθαι καὶ κακοῦσθαι πεφυκότας, ἂν ὧν ὀρέγονται μὴ τυγχάνωσιν. ἀλλ' ἐκεῖνος μὲν ἄτοπος, οὐ τοὺς δυναμένους τὰ κοινὰ πράττειν προτρεπόμενος, ἀλλὰ τοὺς ἡσυχίαν ἄγειν μὴ δυναμένους. δεῖ δὲ μὴ πλήθει, μηδὲ ὀλιγότητι πραγμάτων, ἀλλὰ τῷ καλῷ, καὶ τῷ αἰσχρῷ τὸ εὔθυμον ὁρίζειν, καὶ τὸ δύσθυμον. τῶν γὰρ καλῶν παράλειψις, οὐχ ἧττον, ἢ τῶν φλαύρων ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες.

Πρωταγόρας ἔλεγε, μηδὲν εἶναι μήτε τέχνην ἄνευ μελέτης, μήτε μελέτην ἄνευ τέχνης.

Πλάτωνος. Πρῶτον μὲν φιλοπονίᾳ οὐ χωλὸν δεῖ εἶναι τὸν ἁψάμενον, τὰ μὲν ἡμίσεα φιλόπονον· τὰ δὲ ἡμίσεα, ἄπονον. ἔστι δὲ τοῦτο, ὅταν τις φιλογυμναστὴς μὲν ᾖ καὶ φιλομόχθηρος, καὶ πάντα τὰ διὰ τοῦ σώματος διαπονῇ· μὴ φιλομαθὴς δὲ μηδὲ φιλήκοος, μηδὲ ζητητικὸς, ἀλλ' ἐν πᾶσι τούτοις μισοπονῇ. χωλὸς δὲ, καὶ ὁ τἀναντία τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν.

Ἀπολλώνιος Δίωνι. Τὸ μὴ γενέσθαι, οὐδέν· τὸ δὲ γενέσθαι, πόνος.

Ἐπικτήτου. Εἰδέναι χρὴ, ὅτι οὐ ῥᾴδιον δόγμα παραγίνεσθαι ἀνθρώπῳ, εἰ μὴ καθ' ἑκάστην ἡμέραν τὰ αὐτὰ καὶ λέγοι τις, καὶ ἀκούοι, καὶ ἅμα χρῷτο πρὸς τὸν βίον.

Νικίας οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας εἰ λέλουκε, καὶ εἰ ἠρίστηκεν.

Ἀρχιμήδην δὲ τῇ σανίδι προσκείμενον ἀποσπῶντες βίᾳ οἱ θεράποντες ἤλειφον· ὁ δὲ, ἐπὶ τοῦ σώματος ἀληλιμμένου διέγραφε τὰ σχήματα.

Λάμπις ὁ ναύκληρος ἐρωτηθεὶς, πῶς ἐκτήσατο τὸν πλοῦτον. οὐ χαλεπῶς, ἔφη, τὸν μέγαν· τὸν δὲ βραχὺν, ἐπιπόνως.

Δημοκρίτου. Τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν, ἢ εἰδέωσι κύρσοντες. ἐν δὲ ἄκος τῇ † ἐπιτυχίῃ, τὸ πᾶν ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον. [margin: malim ἀπονίῃ]

Αἰσχύλος ἐν Ἰσθμῷ ἀγῶνα ὁρῶν πυκτῶν, καὶ ἐπὶ τῇ πληγῇ τοῦ θεάτρου ἐκβοήσαντος, ἔφη.

ὁρᾷς

quæ pro malis opinione multorũ habentur, non sint mala: quæ autem reuera sunt bona cognoscere, atq; ad discernendum à non ueris assuefieri: deinde operam dare neq; existimata ulla mala refugere, nec ulla pro bonis habita persequi, & à ueris malis omni modo declinare, uera autem bona omni studio sequi. Hactenus in summa propemodum dictũ est, qualis uterq; sit exercitandi modus: Veruntamẽ singillatim quoq; deinceps, quomodo in singulis agendũ sit explicare conabor, nullo posthac discrimine facto inter animæ corporisq; cõmunia exercitia, & animæ propria, sed utrisq; simul iunctis. Quandoquidẽ igitur omnes qui philosophiæ sumus initiati, audiuimus & consensimus, quod neq; labor, neq; mors, neq; paupertas, ullo pacto mala sint, nec aliud quicquã alienũ à malitia: & rursus bona nõ sint diuitiæ, uita, uoluptas, aut quicquã quod non coniungatur cũ uirtute, sed quamuis ita sentiamus, propter corruptionem tamen statim à puero nobis innatam, & malam inde consuetudinẽ, accedente quidẽ labore, aliquid mali nobis contingere putamus: uoluptate autẽ se offerente, aliquid boni putamus nobis dari: Et mortẽ quidẽ ceu calamitatem extremã horremus: contrà uitã ueluti maximũ bonorũ amplectimur. Item argentũ impendentes, tanquã accepto damno dolemus: recipientes uero tanquã adiuti gaudemus. Consimiliter in plurimis alijs, nõ ut rectas opiniones decet, res administramus: sed malam potius consuetudinẽ sequimur. Quando igitur (ut supra dicebam) hæc ita se habent, oportet exercentem se conari, ut uincat seipsum adeò ne uoluptati applaudat, neq; laborem auersetur: & uitæ nõ nimis cupidus sit, nec mortem metuat: & pecunias accipere non maioris faciat, quàm expendere.

Ille qui dixit ad uitam tranquille agendã nõ multa agere oportere, nec priuatim, nec publice, hic primò magno nobis parabilẽ animi tranquillitatẽ facit, utpote inertia uenalem, & tanquã ægrotũ unumquenq; hortans uersu illo tragico: *Plutarchi in opere de animi tranquillitate.*

Mane miselle tuis in lectis immotus.

Siquidem cum noxiũ est medicamentum corpori sepulta illa segnities, tũ nihilo melior animæ medicus est ægritudinis & turbulentiæ torpor & mollitia, socordiaq; amicorum necessariorum, patriæq; desertrix.

Itaq; ne Epicurus qdẽ hominibus ambitiosis auidisq; gloriæ, ut se ocio dedãt, autor est: sed ut ad gerendã remp. natura duce accedant: tales eñi hauquaquã æquo animo inturbidoq; laturos, se ea re orbatos esse, quã in primis concupierint. Sed ille ineptus, qui ad remp. ascisçat eos, qui sibi ab ea temperare nequeant, & non eos potius, qui gerendæ reip. facultatem habeant, Neq; uero multitudine paucitateq; negociorum securitatem animi, anxietatemq; metiri conuenit. Honesta enim omittere non minus quàm turpia agere, molestum est & turbulentum. *Ibidem paulo post.*

Protagoras asserebat nec artẽ sine exercitio quicquã esse, nec exercitiũ sine arte.

Primũ quidẽ illũ qui rẽ aggrediť nõ oportet assiduitate claudũ esse, ita ut dimidia quidẽ sui parte sit assiduus, altera uero ignauus. Fit aũt hoc, ubi qs gymnasia laboresq; diligit, & omnia quæ corpore peraguñ absoluit: discendi uero, audiendi, inquirendiq; studiosus non est, sed in omnibus hisce laborẽ exosum habet. Contra q exercitijs qdẽ animæ dat operã, ignauus aũt est corpore, hic quoq; claudus est. *Platonis.*

Non esse natum, nihil est: natum autem esse, labor est. *Apollonius Dioni.*

Sciendum quod homo non facile ullum sibi dogma comparauerit, nisi quotidie eadem dicat, & audiat, & simul ad uitam accommodet. *Epicteti.*

Nicias tã erat assiduus, ut famulos sæpe rogaret an lauisset, aut pransus esset.

Archimedem incumbentem abaco, & figuras quasdam ducentẽ famuli per uim abstractum ungebant: ille uero figuras in corpore uncto ducebat.

Lampis nauclerus interrogatus quomodo nactus esset diuitias: magnas quidem respondit, non difficulter, exiguas uero, laboriose.

Omnes labores ocio iucundiores sunt, quando illa consequuñ homines quorũ gratia laborant, aut cõsequuturos se sciũt. Frustrationi uero, cũ spei nõ respondet euentus, unũ est remediũ, si omnia reliqua similiter ærumnosa sint & laboriosa. *Democriti.*

Aeschyl' cũ certamẽ in Isthmo cõstitutũ uideret, & q̃dã pcusso spectatores excla-

ὁρᾷς οἵον ἐστὶν ἡ ἄσκησις; ὁ πεπληγὼς σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσιν.

Δημοσθένης ἐρωτηθεὶς, πῶς τὴν ῥητορικὴν περιεγένετο; πλέον ἔφη ἔλαιον οἴνου δαπανήσας.

Δημάδης ἐρωτηθεὶς, τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη: τὸ τῶν ἀθηναίων ἔφη βῆμα. ἐμφαίνων ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία, κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

Ὁ διογένης ἔλεγε τὴν μήδειαν σοφὴν, ἀλλ᾽ οὐ φαρμακίδα γενέσθαι. λαμβάνουσαν γὰρ μαλακοὺς ἀνθρώπους, καὶ τὰ σώματα διεφθαρμένους ὑπὸ τρυφῆς, ἐν τοῖς γυμνασίοις, καὶ τοῖς πυριατηρίοις διαπονεῖν, καὶ ἰσχυροὺς ποιεῖν καὶ σφριγῶντας: ὅθεν περὶ αὐτῆς ῥυῆναι τὴν δόξαν ὅτι τὰ κρέα ἕψουσα νέους ἐποίει.

Πλάτωνος. Τίς οὖν ὁ τρόπος τοῦ καλῶς τε καὶ μὴ γράφειν; δεόμεθά τι ὦ φαῖδρε, λυσίαν περὶ τούτων ἐξετάσαι, καὶ ἄλλον ὅστις πώποτέ τι γέγραφεν, ἢ γράψει, εἴτε πολιτικὸν σύγγραμμα, εἴτε ἰδιωτικὸν ἐν μέτρῳ ὡς ποιητὴς, ἢ ἄνευ μέτρου ὡς ἰδιώτης. ἐρωτᾷς εἰ δεόμεθα; τίνος μὲν οὖν ἕνεκά τις ὡς εἰπεῖν ζώη, ἀλλ᾽ ἢ τῶν τοιούτων ἡδονῶν ἕνεκα; οὐ γάρ που ἐκείνων γε ὧν προλυπηθῆναι δεῖ, ἢ μηδὲ ἡσθῆναι: ὃ δὴ ὀλίγου πᾶσαι αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἔχουσι, διὸ καὶ δικαίως ἀνδραποδώδεις κέκληνται.

Ξενοφῶντος. Σωκράτης συνδιωμολογήσατο τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ, καὶ ἀγαθόν: τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακόν. καὶ τὸ μὲν ἐργάζεσθαι, ἀγαθόν: τὸ δὲ ἀργεῖν, κακόν. τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαι ἔφη, καὶ ἐργάτας ἀγαθοὺς εἶναι: τοὺς δὲ κυβεύοντας, ἢ ἄλλο τι πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκάλει. ἐκ δὲ τούτων, ὀρθῶς ἂν ἔχοι: ἔργον δ᾽ οὐδὲν ὄνειδος, ἀεργίη δ᾽ ἔτ᾽ ὄνειδος.

Τοῦ αὐτοῦ Ξενοφῶντος. Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων ὑβριστὴς, οὐδὲ ἄλλο οὐδὲν, ὧν μάθησίς ἐστιν, ὁ μαθὼν, ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω. ὁρῶ γὰρ, ὥσπερ τὰ τοῦ σώματος ἔργα, τοὺς μὴ τὰ τοῦ σώματος ἀσκοῦντας οὐ δυναμένους ποιεῖν: οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας, οὐ δυναμένους. οὔτε γὰρ ἃ δεῖ πράττειν, οὔτε ὧν δεῖ ἀπέχεσθαι δύνανται. διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν, ἄσκησιν οὖσαν τῆς ἀρετῆς: τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν, ὅ, τε λέγων.

ἄλ. διδάξεαι. ἐσθλῶν μὲν γὰρ ἄπ᾽ ἐσθλὰ † μαθήσεαι. ἢν δὲ κακοῖσι
συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

καὶ ὁ λέγων: αὐτὰρ ἀνὴρ ἀγαθὸς, τοτὲ μὲν κακὸς, ἄλλοτε δ᾽ ἐσθλός.

κἀγὼ δὲ μαρτυρῶ τούτοις γε. ὁρῶ γὰρ ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν, τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους: οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι, λήθην ἐγγιγνομένην. ἄλ. νομοθετικῶν. ὅταν δὲ τῶν † νομοθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπεθύμει. τούτων δ᾽ ἐπιλαθόμενον, οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι. ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐγκυλισθέντας, ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι πρὶν ἐρᾶν, ἐρασθέντες, οὐκέτι δύνανται: καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται. πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν, αὖθις μὴ σωφρονεῖν; καὶ δίκαια δυνηθέντα πράττειν, αὖθις ἀδυνατεῖν; πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ, ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη. ἐν γὰρ τῷ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ, πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.

Ἐκ τῶν Σερήνου. Συβαρίτης ἐπιδημήσας λακεδαίμονι, καὶ τὰ ἔθη ἰδὼν, καὶ τὰς καρτερήσεις, οἷς ἐκ παίδων ἀνατρέφονται, οὐδὲν ἔφη θαυμαστὸν αὐτοὺς ποιεῖν, ῥᾳδίως ἐν τοῖς πολέμοις ἀποθνήσκοντας, ὑπὲρ τοῦ μὴ οὕτω ζῆν.

Πλάτωνος ἐν Θεαιτήτῳ. Ἡ τῶν σωμάτων ἕξις, ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας, διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων, ὡς ἐπὶ τὸ πολὺ σώζεται. ἡ δ᾽ ἐν τῇ ψυχῇ ἕξις. ὑπὸ μαθήσεως μὲν καὶ μελέτης κινήσεων οὐσῶν, κτᾶταί τε μαθήματα, καὶ σώζεται καὶ γίνεται βελτίων: ὑπὸ δὲ ἡσυχίας, ἀμελετησίας τε καὶ

ἀμα-

maſſent, dixit: Viden' qualis res ſit exercitatio? Qui ictus eſt, tacet: ſpectantes uero clamant.

Demoſthenes interrogatus quo pacto ſibi oratoriam facultatem comparaſſet: plus olei, dixit, quàm uini mihi conſumptum eſt.

Demades rogatus quo præceptore fuiſſet uſus: tribunali, reſpondit, Athenienſiũ: inſinuans q̃d in ipſis negocijs experientia quauis inſtitutione ſophiſtarũ melior ſit.

Diogenes Medeam dicebat ſapientẽ non ueneficam fuiſſe. Acceptis enĩ mollibus & effœminatis hominũ corporib⁹ cõfirmaſſe ipſa gymnaſijs ac exercitijs, et robuſta uigẽtiaq; reddidiſſe: hinc famã emanaſſe q̃d coquẽdo carnes in iuuẽtutẽ reſtituerit.

Quæ nam igitur & bene, & non bene ſcribendi ratio eſt? Nunquid opus eſt nobis ô Phædre de his, à Lyſia, uel ab alio ſciſcitari, q uel quandoq; ſcripſerit aliquid, uel ſit ſcripturus, ſeu ciuile publicũ opus, ſiue priuatũ, aut carmine ut poëta, aut tanquã priuatus oratione ſoluta? Rogas an opus ſit? Cuius enim gratia, ut ita dicam, uiuat quiſpiam, niſi huiuſmodi uoluptatum? Non enim illarum gratia, quas dolor neceſſario antecedit, alioquin uoluptas minime prouenit: quod omnes penè uoluptates corporis habent: quare ſeruiles non iniuria ſunt appellatæ. *Platonis in Phædro, uel de pulchro.*

Socrates aſſerebat operariũ eſſe utile ac bonũ homini: ocioſum uero eſſe, damnoſum & malum. Item operari, bonũ: ociari uero malũ. Præterea boni quippiã facientes operari dicebat, & opifices bonos eſſe: aleatores aũt, uel aliud quidpiã prauũ & noxiũ agentes, ocioſos nominabat. Quare Heſiodus rectè dixiſſe uideri debet, *Xenophontis.*

Nequaquam dedecet operari, ſed ocia probroſa ſunt.

Fortaſſis autem nonnulli eorũ, qui ſe appellant philoſophos, dicent, nunquã iuſtum hominẽ iniuſtum fore, aut moderatũ contumeliatorẽ, aut doctũ in aliquo eorum quorũ doctrina eſt tradita, indoctũ in illo quod didicit poſſe fieri. Ego uero de his aliter ſentio. Video nanq; quod quemadmodũ ea quæ per corpus fiunt, nõ queunt benefacere illi, qui non exerceant corpora: ſic etiã qui non exerceant animũ, minimè poſſe animi opera agere. Nec enim quæ faciunda ſunt facere, nec à quibus abſtinendũ eſt abſtinere poſſunt. Quocirca patres etſi ſobrios ſciant liberos ſuos, prauorũ tñ hominũ colloquia eis prohibent, quaſi bonorũ hominũ cõuerſatio exercitiũ ſit uirtutis, prauorũ uero deſtructio. Teſtatur aũt hoc etiã qui dicit Poëta: *Xenophõtis de factis & dictis Socratis.*

Bona quidem diſces à bonis: quod ſi te miſceas
Prauis, amittes etiam inſitam mentem. Quiq; ait:
Vir autem bonus, modo fortis, modo ignauus.

Quibus ego quoq; aſſentio. Video nanq; quod ſicut carminũ facile obliuiſcuntur, qui meditatione continua non utantur, ſic illi qui negligunt, tradunt obliuioni ſermones ac admonitiones præceptorum ſuorum. Cum uero quiſpiam iſtorum obliuiſcatur ſermonum, obliuiſcitur etiam illorum quibus animus ad deſideratam ſobrietatem mouetur. Hoc autem facto, nil mirum profectò ipſam quoq; ſobrietatem obliuioni tradere. Conſidero etiã illos qui ad uitiũ bibendi, aut amores inciderint, minus quã antea quæ deceant facere, & ab his quæ nõ deceãt, abſtinere poſſe. Multi nanq; cum in pecunia expendenda, antequã amaſſent, parci eſſent, poſt amorẽ parcere non poſſunt: & cũ pecuniam conſumpſiſſent, ab eo quæſtu à quo propter turpitudinẽ antea abſtinebant, amplius abſtinere nõ queunt. Cur igiť nõ uideať poſſibile, eũ qui antea ſobrius erat, in poſterũ nõ ſobriũ effici? & q̃d iuſte antea egerit, nõ poſſe ſimiliter agere poſtea? Mihi nanq; uidetur omnia quidẽ bona ac honeſta exercitatione homines conſequi poſſe, & non minus ſobrietatem. Cum enim uoluptates in eodem corpore cum anima inſint, perſuadent ei non exercere ſobrietatem, ſed ea quæ ſibi ipſis atq; corpori grata ſint agere.

Sybarita quidam cũ peregrinatus in Lacedęmonem ueniſſet, moribus eorũ perſpectis, & patiẽtia, qua ſtatim à pueris educantur, nihil ipſos mirũ dixit præſtare q̃d facile mortem obeant in bello, ne ita uiuere cogantur. *Ex Serini ſcriptis.*

Corporũ habitus quiete ac ocio corrũpiť, gymnaſijs & motib⁹ magna parte conſeruatur. Itidem animæ habitus, inſtitutione ac meditatione, qui motus quidam ſecundũ diſciplinas ſunt, ſeruať, euaditq; melior: ocio aũt, q̃d ab omni meditatione di *Platonis in Theæteto.*

ἀμαθίας οὔσης, οὔτε τί μανθάνει, ἅ τι ἂν μάθῃ ἐπιλανθάνεται.

Κηφισόδωρος ἔλεγεν, ὅτι οὐδ' εἰς οὐσίαν, ἣν αὐτὸς ἐκτήσατο κατέφαγεν, ἣν δὲ παρ' ἄλλου παρέλαβε.

Πυθαγόρας παρῄνει τὸν ἑτοίμως αἱρεῖσθαι βίοτον ἄριστον. καὶ γὰρ εἰ ὁ ἐπιπονώτατος εἴη, ἀλλὰ τῇ συνηθείᾳ ἡδὺν αὐτὸν ποιήσειν.

Διονύσιος λακωνικὸν μάγειρον πριάμενος, ἐκέλευσεν αὐτὸν σκευάσαι τὸν λακωνικὸν ζωμόν. καὶ σκευάσαντος, οὐκ ἤσθιεν· ἤρετο δὲ, κατὰ τί αὐτοῦ ἥδονται ἀηδεστάτῳ ὄντι οἱ λάκωνες. ὁ δὲ, οὐκ ἔχειν ἔφη τοῦτον τὰ ἡδύσματα, ἃ ἐκεῖνος ἔχει, διόπερ αὐτοῦ μὴ ἀρέσαι. καὶ ὡς ἐπύθετο, τίνα εἴη ταῦτα; αὐτὸν γὰρ κελεῦσαι τοὺς ταμίας πάντα ἔκπλεα αὐτῷ δοῦναι. ὁ δ' εἶπεν· ἃ μὴ ἔστι παρὰ σοὶ πρὸ τοῦ δείπνου, πόνοι, καὶ τὸ ἐν τῷ Εὐρώτῃ λουτρόν.

Πλάτωνος ἐκ τοῦ Λάχητος.

Καὶ οὐδὲν οἶμαι κακὸν εἶναι τὸ ὑπομιμνήσκεσθαι, ὅτι μὴ καλῶς ἢ πεποιήκαμεν ἢ ποιοῦμεν. ἀλλ' εἰς τὸν ἔπειτα βίον προμηθέστερον ἀνάγκη τὸν ταῦτα εἶναι μὴ φεύγοντα, ἀλλ' ἐθέλοντα κατὰ τὸ τοῦ Σόλωνος, καὶ ἀξιοῦντα μανθάνειν ἕως ἂν ζῇ, καὶ μὴ οἰόμενον αὐτῷ τὸ γῆρας νοῦν ἔχον προσιέναι.

Πολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταῦτα ἀγαθὸς ἕκαστος ἡμῶν, ἅπερ σοφός· ἃ δὲ ἀμαθὴς, ταῦτα δὲ κακός.

Πλάτωνος.

Σχολὴ μὲν δὴ ὡς ἔοικε, καὶ ἅμα μοι δοκοῦσιν ὡς ἐν τῷ πνίγει ὑπὲρ κεφαλῆς ἡμῶν οἱ τέττιγες ᾄδοντες, καὶ ἀλλήλοις διαλεγόμενοι καθορᾶν καὶ ἡμᾶς. εἰ οὖν ἴδοιεν καὶ νὼ καθάπερ τοὺς πολλοὺς ἐν μεσημβρίᾳ μὴ διαλεγομένους, ἀλλὰ νυστάζοντας, καὶ κηλουμένους ὑφ' αὑτῶν δι' ἀργίαν τῆς διανοίας, δικαίως ἂν καταγελῷεν, ἡγούμενοι ἀνδράποδ' ἄττα σφίσιν ἐλθόντα εἰς τὸ καταγώγιον, ὥσπερ προβάτια μεσημβριάζοντα περὶ τὴν κρήνην εὕδειν. ἐὰν δὲ ὁρῶσι διαλεγομένους, καὶ παραπλέοντας σφᾶς ὥσπερ σειρῆνας ἀκηλήτους, ὃ γέρας παρὰ θεῶν ἔχουσιν ἀνθρώποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες. ἔχουσι δὲ δὴ τί τοῦτο; ἀνήκοος γὰρ ὡς ἔοικε τυγχάνω ὤν. οὐ μὲν δὴ πρέπει γε φιλόμουσον ἄνδρα τῶν τοιούτων ἀνήκοον. λέγεται δ' ὥς ποτ' ἦσαν οὗτοι ἄνθρωποι τῶν πρὶν μούσας γεγονέναι. γενομένων δὲ μουσῶν, καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ' ἡδονῆς, ὥστε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ ποτῶν, καὶ ἔλαθον τελευτήσαντες αὑτούς, ἐξ ὧν τὸ τεττίγων γένος μετ' ἐκείνων φύεται, γέρας τοῦτο παρὰ μουσῶν λαβὸν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ. καὶ μετὰ ταῦτα ἐλθὸν παρὰ μούσας ἀπαγγέλλειν, τίς τίνα αὐτῶν τιμᾷ τῶν ἐνθάδε. τερψιχόρᾳ μὲν οὖν, τοὺς ἐν τοῖς χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες, ποιοῦσι προσφιλεστέρους· τῇ δὲ ἐρατοῖ, τοὺς ἐν τοῖς ἐρωτικοῖς, καὶ ταῖς ἄλλαις οὕτω κατὰ τὸ εἶδος ἑκάστης τιμῆς· τῇ δὲ πρεσβυτάτῃ καλλιόπῃ, καὶ τῇ μετ' αὐτὴν οὐρανίᾳ, τοὺς ἐν φιλοσοφίᾳ διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσιν, αἳ δὴ μάλιστα τῶν μουσῶν, περί τε οὐρανὸν καὶ λόγους οὖσαι θείους τε καὶ ἀνθρωπίνους, ἱᾶσι καλλίστην φωνήν.

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ΠΕΡΙ ΑΡΓΙΑΣ
ΛΟΓΟΣ ΚΗ'.

Εὐριπίδου.

ΑΝΗΡ γὰρ ὅστις εὖ βίον κεκτημένος,
τὰ μὲν κατ' οἴκους, ἀμελείᾳ παρεὶς ἐάσει·
μολπαῖσι δ' ἡσθεὶς, τοῦτ' ἀεὶ θηρεύσεται.
ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται.
φίλοισι δ' οὐδείς. ἡ φύσις γὰρ οἴχεται,
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

Τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν·
οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν ἀργίας ὕπο,
οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν'. εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,

μακραὶ

sciplinaq; uacatio est, neq; discit quicquam, & si quæ didicerit, obliuiscitur.

Cephisidor⁹ dicebat neminē opes à se cōquisitas abligurisse, sed ab aliis acceptas.

Pythagoras familiares suos hortabatur ut optimū uiuendi genus sibi deligerēt: quamuis enim laboriosissimum esset, consuetudine tamen iucundum fore.

Dionysius emptum Laconicum coquum parare iussit Laconicum iusculum: paratum autem non comedit, sed interrogauit quidnam eius delectaret Lacones, cum insuauissimum esset. Tum coquus, hoc iusculum non habere condimenta illa dicebat, quod Laconicum habet. Interrogauit Dionysius quænam essent illa, se enim imperasse promo ut omnia affatim ipsi suppeditaret. Respondit coquus, huiusmodi condimēta apud te nō sunt ante cibū, nempe labores, & balneū in Eurota flumine.

Nihil autem esse mali duco admoneri, si quid perperam aut fecimus, aut nunc facimus. Imò ad sequentem uitam cautior euadat necesse est, qui modo hæc non fugiat: sed uelit cupiatq; discere, iuxta Solonis dictum, quamdiu uiuit, nec senectam secum afferre mentem existimet. *Platonis in Lachete.*

Sæpius audiui te dicentem, quod in eisdem bonus unusquisq; nostrum sit, in quibus sapiens est: contrà malus, ubi rudis & imperitus.

Ocio utiq; abundamus, ac etiam mihi uidentur, uelut in æstu super caput nostrum cicadæ canentes, & inuicem disputantes nos contueri. Si ergo nos uiderent, quemadmodum & alios multos in meridie, nō disputantes quidem, sed dormitantes, ab ipsis ob mentis desidiam delinitos, meritò deriderent existimantes mancipia quædam ad eas illuc diuertisse, inq; ipso secessu tanquam pecudes sub umbra secus fontem meridiano somno teneri. Sin autem uiderint disserentes nos, minimeq; ab illarum quasi Sirenum illecebris captos, quo minus portum uersus enauigaremus, forte nobis libentissime præmium illud tribuerent, quod deorum concessione traducere ad homines possunt. Quidnam muneris istud est, quod possident? Nunquā enim audisse uideor. Non tamen decet Musarum studiosum uirum rerū huiusmodi ignarū esse. Fertur autem hos olim homines ante Musas fuisse. Natis deinde Musis cantuq; monstrato, illorum nonnullos uoluptate cantus usq; adeo delinitos fuisse, ut canentes cibum potumq; negligerent, imprudenterq; perirent: ex quibus deinceps cicadarum genus sit natum, munus hoc à Musis nactum, ut alimonia nō indigeat, sed absq; cibo potuq; quamdiu uixerit cantet, postea uero ad Musas proficiscatur, quam quis hominum Musam hic colat, renunciaturum. Ergo Terpsichoræ nunciantes qui præcipue illam in choris cœtibusq; celebrauerint, eam ipsis propitiam reddunt. Erato autem eos, qui in rebus amatoriis honorauerint, atq; aliis eodē modo pro sua cuiq; uenerationis specie. Calliopæ autem antiquissimę, eamq; sequēti Vraniæ, eos qui in philosophia uiuunt coluntq; ipsarum Musicam, referunt: quę præ cæteris Musis circa cœlum, atq; sermones tam diuinos quàm humanos uersantur, uocem pulcherrimè modulantes. *Platonis in Phædro.*

IOANNIS STOBAEI DE OCIO, SERMO XXVIII.

Euripidis.

QVisquis enim uictum abunde possidens
Rem quidem domesticam socordia sua neglexerit,
Cantibus autem delectatus, id unum sequutus fuerit,
Vir ille in domo quidem & ciuitate ociosus erit,
Amicis uero nullus. Perit enim naturā,
Vbi quis à dulcedine uoluptatis uincitur.

Eiusdem in Hippolyto coronato.

Quæ bona sunt scimus & cognoscimus,
Sed opere non facimus, alii propter pigritiam,
Alii uoluptatem honestati præponentes
Aliquam aliam: sunt enim multæ uoluptates uitæ,

μακραί τε λέσχαι, καὶ σχολὴ τερπνὸν κακόν.

ἄλ. κακῶν. Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι * πόνων,
φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ,
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
ἄλ. μὴ καλῶς. ἢ ζῶν, τὸ γὰρ ζῆν * ἐν κακοῖς, πόνος μέγας.

Φιλήμονος. Versus sunt trochaici. Ὦ Κλέων παῦσαι φλυαρῶν, ἂν ὀκνῇς τὸ μανθάνειν, ἀνεπιφθόνητον σεαυτοῦ τὸν βίον λήσει ποῶν. ὅτε γὰρ ναυαγὸς, ἂν μὴ γῆς λάβηται φερόμενος, ὅποτ' ἂν σώσειν αὐτὸν, ὅτ' ἀνὴρ πένης γεγὼς, μὴ ὁ τέχνην μαθὼν, δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον. ἀλλὰ χρήματ' ἐστὶν ἡμῖν. * ἄγε τάχιστ' ἀπόλλυται, *malim τάχ.* κτήματα, οἰκίαι. τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς, ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον. κἂν ᾖ ὁρμισθῇ τις ἡμῶν εἰς λιμένα τῆς τύχης, ἐβάλετ' ἀγκύρας καθάψας ἀσφαλείας οὕνεκεν, ἂν δ' ἀπαιδεύτου μετέχῃ ἐνδύματος φορούμενος, τῆς ἀχρείας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν. ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις νὴ Δία ἔρανον εἰσοίσουσιν. εὔχου μὴ λαβεῖν πεῖραν φίλων. εἰ δὲ μὴ, γνώσῃ σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν.

Ἡσιόδου. Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅστις ἀεργὸς
ζώει, κηφήνεσσι κοθούροις ἴκελος ὁρμὴν,
οἵ τε μελισσάων κάματον νήποινον ἔδουσι.

Σοφοκλέους. Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή.
θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

Μενάνδρου. Ἀργὸς δ' ὑγιαίνων, τοῦ πυρέττοντος πολὺ
ἐστ' ἀθλιώτερος, διπλᾶ γοῦν ἐσθίει μάτην.

Ἀλέξιδος. Ὅστις ἥδεται γὰρ ἐσθίων ὁσημέραι ἀεὶ, καὶ ποιεῖν τὴν σιτίαν
ἐπάξιον μηδὲν, πενεστέραν δὲ σχολὴν
ἄγοντα, τοῦτον ζῶν πολεμιώτατον κακόν.

Εὐριπίδου. Πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακὸν,
γνώμῃ φρονοῦντες, οὐ θέλουσ' ὑπηρετεῖν
ψυχῇ, τὰ πολλὰ πρὸς φίλων νικώμενοι.

Ἡσιόδου. Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει
ἥμενον ἐν λέσχῃ, τοῦ μὴ βίος ἄρκιος εἴη.

Εὐριπίδου. Ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ.
ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ στόμα
βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων.

Ἀνάξαρχος ἔλεγεν, εἰ μέν τινι τις καταράσαιτο ἀχρήστους αὐτοῦ γενέσθαι τὰς χεῖρας καὶ τοὺς *Apparet aliqd deesse.* πόδας, ὀργίζεσθαι δ' ἂν αὐτόν. † τοὺς δὲ πλουσίους ἔργῳ ἀχρήστους τοὺς πόδας καὶ τὰς χεῖρας ποιοῦντας αὐτῶν, μακαρίζειν σφᾶς ἐπὶ τούτων.

Δημοσθένους. Πρὸς θεῶν τίς οὕτως εὐήθης ὑμῶν, ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα ὦ Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον, ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν· οὕτω καὶ ἡμεῖς, ἂν ἐπὶ πολὺ φανῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν ἐβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

Εὐσεβίου. Σῶμα ἀργίᾳ τήκει, ψυχὴν δὲ ἀμελετησία· ἀσκήσιος * τῆς αὐτῆς ἀμφοτέρων πρὸς τὸ θεοειδὲς ἐστί.

** malim τὴν αὐτὴν ἀμφοῖν.* *Ξενοφῶντος.* Σχολὴν δὲ σκοπῶν τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους εὑρίσκειν ἔφη. καὶ γὰρ τοὺς πεττεύοντας, καὶ τοὺς γελωτοποιοῦντας, ποιεῖν τι. πάντας δὲ τούτους ἔφη σχολάζειν. ἐξεῖναι γὰρ αὐτοῖς, ἰέναι πράξοντας τὰ βελτίω τούτων. ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι, οὐδένα σχολάζειν. εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας αὐτῷ οὔσης, κακῶς ἔφη τοῦτο πράττειν.

Τὸ γὰρ

Et longæ confabulationes, ac ocium, iucundum malum.

Quisquis non assuetus est experiri aduersa,
Fert ille quidem, sed dolet imposita iugo ceruice,
Et sanè mortuus multo fœlicior foret,
Quàm uiuus. In malis enim uitam agere labor est ingens. *Eiusdem in Hecuba.*

O Cleon, desine nugari: si discere distuleris Vitam tuã omni ope destitutam imprudenter efficies. Neq; enim nauta, si nõ per undas uectus apprehenderit terrã, Vnquã seipsum seruare poterit. Neq; uir pauper Qui nullã didicit artẽ tutò uiuere potest. Sed pecunias possidemus. At illæ cito pereũt. Sunt nobis prædia, & domus. An ignoras fortunæ uices, Quæ diuitẽ hodie mendicũ facit in crastinum? Quod si nostrũ igit aliqs ad portũ fortunæ appulerit, Demittere debet anchoram securitatis gratia. Sin temere iactatus ineptũ flatũ sequatur, Nullam in senectutẽ paupertatis auxiliarem habebit salutem. Sed forte dices: sodales, amici, & familiares mihi, per Iouem, Collationem conferent. Quin tu potius opta non periculum facere de amicis. Sin minus, nosces teipsum aliud nihil esse quàm umbram. *Philemonis.*

Illi pariter indignantur & dij & homines, quisquis ociosus
Vixerit, fucis absq; aculeis similis studio,
Qui apum opus sine labore comedunt. *Hesiodi.*

Nihil boni parit ocium inane.
Deus enim ociantibus haud assistit. *Sophoclis.*

Homo sanus ociosus, quàm febricitans multò
Miserior est: bis enim tantum comedit inutiliter. *Menandri.*

Nam qui gaudet edere
Quotidie semper, ac facere cibis
Nullum opus dignum: sed circuire in ocio
Ferians, infensissimum est uitæ malum. *Alexidis.*

Multi mortalium hoc uitij habent,
Vt quamuis mente sapiant, nolint tamen obsequi
Animo suo, ut plurimum ab amicis uicti. *Euripidis.*

Multa uir ociosus uana spe ductus,
Dum eget uictu, mala secum ipse meditatur.
Spes autem inutilis indigentem uirum fouet
Sedentem in conuenticulis, cui non satis uictus suppetit. *Hesiodi.*

Idem est ociosus & malus ciuis:
Nullus enim ociosus, quamuis deos ore prædicans,
Colligere uictum sine laboribus potest. *Euripidis.*

Anaxarchus inquiebat, si quis alterũ audiret imprecantẽ sibi manus & pedes inutiles, iratũ illi proculdubio fore. Diuites autem cũ re ipsa manus suas pedesq; faciant inutiles, interim ob hoc ipsum se beatos existimare.

Quis tandẽ adeo stupidus est per deos, qui nõ uideat bellũ illinc huc aduenturũ, si negligẽtes fuerint? Quod si fiat, timeo uiri Athenienses, ne similiter ut illi qui pro magnis usuris facile mutuam pecuniam accipiunt, postquã breue tempus abundarunt, postea ipsam quoq; sortem amittunt: ita nos etiã si diu fuerimus socordes, & omnia uoluptatis gratia fecerimus, multa tandem & difficilia præter uoluntatẽ nostram facere cogamur, & de ipsa regione nostra periclitemur. *Demosthenis.*

Ocium tabefacit corpus, animam uero socordia: Exercitatio uero ad speciem deo simillimam, ipsam euehit. *Eusebij.*

Cũ uero de ocio, quidnã sit, consideraret, ut plurimũ dicebat se deprehendere omnes aliqd facere: etenim qui tesseris, quiq; risui excitando uacant, aliquid faciunt: nihilominus huiusmodi omnes ociosos dicebat. Liceret nanq; eis, istis dimissis meliora agere: à melioribus uero ad peiora migrare, nulli ocium esse. Si quis autem migret, hunc id male facere negocijs implicitum. *Xenophontis in 3. lib de factis et dictis Socratis.*

Πλάτωνος. Τὸ γὰρ ὅλην διατελεῖν ἑκάστην νύκτα καθεύδοντα, καὶ ὁντινοῦν τῶν πολιτῶν, καὶ μὴ φανερὸν εἶναι πᾶσι τοῖς οἰκέταις ἐγειρόμενόν τε, καὶ ἐξανιστάμενον ἀεὶ πρῶτον, τοῦτ' αἰσχρὸν δεῖ δεδόχθαι πᾶσι, καὶ οὐκ ἐλευθέρου. εἴτ' οὖν νόμον, εἴτ' ἐπιτήδευμα τὸ τοιοῦτον καλεῖν ἐστὶ χρεών: καὶ δὴ δέσποιναν ἐν οἰκίᾳ ὑπὸ θεραπαινίδων ἐγείρεσθαί τινων, καὶ μὴ πρώτην αὐτὴν ἐγείρειν τὰς ἄλλας, αἰσχρὸν λέγειν χρὴ πρὸς αὑτοὺς δούλην τε καὶ δοῦλον καὶ παῖδα, καὶ ἔπως ἦν οἷόν τε ὅλην καὶ πᾶσαν τὴν οἰκίαν. ἐξεγειρομένους δὲ νύκτωρ, δεῖ † πάντως πράττειν τῶν τε πολιτικῶν μέρη πολλὰ, καὶ τῶν οἰκονομικῶν: ἄρχοντας μὲν κατὰ πόλιν, δεσποίνας δὲ καὶ δεσπότας, ἐν οἰκίαις ἰδίαις. ὕπνος γὰρ δὴ πολυς, οὔτε τοῖς σώμασιν, οὔτε ταῖς ψυχαῖς ἡμῶν, οὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν. καθεύδων γὰρ, οὐδεὶς οὐδενὸς ἄξιος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος. ἀλλ' ὅστις τοῦ ζῆν ἡμῶν, καὶ τοῦ φρονεῖν, μάλιστά ἐστι κηδεμὼν, ἐγρήγορε χρόνον ὡς πλεῖστον τὸ πρὸς ὑγίειαν αὐτοῦ φυλάττων μόνον χρήσιμον. ἔστι δὲ τοῦτ' οὐ πολὺ καλῶς εἰς ἔθος ἰόν. ἐγρηγορότες δ' ἄρχοντες ἐν πόλεσι νύκτωρ, φοβεροὶ μὲν κακοῖς, πολεμίοις ἅμα καὶ πολίταις: ἀγαστοὶ δὲ καὶ τίμιοι, τοῖς δικαίοις τε καὶ σώφροσιν: ὠφέλιμοι δὲ αὑτοῖς τε καὶ ξυμπάσῃ τῇ πόλει.

αλ. ποίαν.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΑΙΔΟΥΣ, ΛΟΓΟΣ ΚΘ.

Εὐριπίδου.

ΑΙΔΩΣ γὰρ ὀργῆς πλεῖον ὠφελεῖ βροτούς.

Βούλομαί σ' εἰπεῖν κακῶς οὐ βραχέα, μὴ λίαν ἄνω
βλέφαρα πρός τ' ἀναιδὲς ἀγαγὼν: ἀλλὰ σωφρονεστέρως,
ὡς ἀδελφὸν ὄντα, ἀνὴρ γὰρ † χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ.

αλ. αἰσχρὸς αἰδεῖσθ' οὐ φιλεῖ.

Ὦ πότνια αἰδὼς εἴθε τοῖς πᾶσι βροτοῖς
συνοῦσα, τἀναίσχυντον ἐξῄρει φρενῶν.

Ἡσιόδου. Αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν.

Πᾶς ἐρυθριῶν, χρηστὸς εἶναί μοι δοκεῖ.

Μουσωνίου. Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον σεαυτὸν αἰδεῖσθαι *

addo μάθῃς.

Δημοκρίτου. Φαῦλον κἂν μόνος ἧς μήτε λέξῃς μήτ' ἐργάσῃ. μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

αλ. Δημοσθένους. Πυθιὰς ἡ Ἀριστοτέλους τοῦ φιλοσόφου θυγάτηρ ἐρωτηθεῖσα ποῖον κάλλιστον χρῶμα, ἔφη. τὸ διὰ τὴν αἰδῶ τοῖς ἐλευθέροις ἐπιγιγνόμενον.

Ἰαμβλίχου. Τοιαῦτα δ' ἂν εἴη καὶ τὰ τῆς αἰδοῦς ἀντεχόμενα, τιμῶντα δὲ τὰ χρηστὰ ἤθη, δι' ἣν τῶν αἰσχρῶν πάντων ἀπεχόμεθα, τὴν ἀναίδειαν ἐξορίζοντα τῆς ψυχῆς, δι' ἣν ὑπὸ τῶν αἰσχρῶν οἱ πολλοὶ ἁλίσκονται.

Θεοφράστου. Αἰδοῦ σεαυτὸν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ.

Κάτωνος. Μάλιστα δὲ νόμιζε δεῖν ἕκαστον αἰδεῖσθαι ἑαυτὸν. μηδὲν γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι.

Στασίμου ἐκ τῶν κυπρίων.

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν. ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

Ὁμήρου. Αἰδοῖός τέ μοι ἐσσί φίλ' ἑκυρὲ δεινός τε.

Εὐριπίδου. Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται τέκνον.

Θεόγνιδος.

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι κύρνε δίδως.

Ἀγάθωνος. Ἀδικεῖν νομίζων, ὄψιν αἰδοῦμαι φίλων.

Πλάτωνος. Λέγω γὰρ δὴ τὸ ἐναντίον, ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας,

αλ. τὸν θ' ἔρξαντα.

Ζῆνα δὲ * τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ, εἴπω σοι ὅπῃ; πάνυ γε. οὐ δοκεῖ μοι εἶναι ἵνα δέος, ἔνθα καὶ αἰδώς. πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους καὶ πενίας, καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες, δεδιέναι μὲν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα ἃ δεδίασιν, οὐ καὶ σοὶ δοκεῖ; πάνυ γε. ἀλλ' ἵνα γε αἰδὼς, ἔνθα καὶ δέος εἶναι.

ἐστίν

Nam siue lex siue officiũ id appellandũ sit quod modo præcipimus, certe omnibus turpe illud & illiberale uideri debet, ut ciuiũ aliquis per totã dormiat noctẽ nec primus excitetur & surgat, ita ut hoc toti familiæ pateat. Quinetiã ut domina ab ancillis, nõ ancillæ ab ipsa primũ excitentur, turpe dicendũ apud seruos, ancillas, pueros, & domũ deniq; si possibile fit, uniuersam. Nocte igit exurgãt, & magistratus publicũ aliqd, patres uero matresq; familiæ in domibus proprijs rem suã curent. Somnus eñi multus, nec corporibus, nec animis, neq; rebus gerendis, natura cõducit. Nemo qdẽ dũ dormit, alicui⁹ pretij est, nõ magis quã si nõ uiueret. Quare quicunq; uiuere & sapere cupit maxime, quã longissimo tẽpore uigilet, sola sanitatis cõmoditate seruata. Ad hanc uero nõ multo opus est somno: si bene assueueris somnis. Magistratus profecto nocte in urbib⁹ uigilantes malis hominibus tũ hostib⁹ tũ ciuibus terrori sunt, amandi honorandiq; iustis & tẽperatis, sibi & ciuitati utiles uniuersæ. *Platonis lib. 7. de legibus.*

EIVSDEM DE VERECVNDIA, SERMO XXIX.

Verecundia plus iuuat homines, quàm ira. *Euripidis.*

Volo te reprehendere iustè, & paucis, non ualde sursum *Eiusdem in Iphigenia in Aulide.*
Palpebris impudentius reductis: Sed moderatius
Vtpote fratrem. Vir enim turpis neminem uereri solet.

O ueneranda uerecundia, utinam omnibus hominibus
Conuersans impudentiam animorum exemisses.

Verecundia, quæ uiros multum lædit, & iuuat. *Hesiodi.*

Omnis erubescens probus esse mihi uidetur.

Verecundia dignus apud omnes habeberis, si primũ te ipsum uereri diceris. *Musonij.*

Malum, etiamsi solus fueris, neq; dixeris, neq; feceris. Disce autẽ teipsum multo magis quàm alios reuereri. *Democriti.*

Pythias Aristotelis philosophi filia interrogata, qui color esset pulcherrimus, dixit: Qui per uerecundiam ingenuis oboritur.

Huiusmodi fuerint mores, qui bonitatẽ probant, & uerecundiã sequunt̃, propter quã turpibus cunctis abstinemus: & qui impudentiã ab anima extérminant, utpote causam, quòd multi turpia committant. *Iamblichi.*

Reuerere teipsum, & non erubesces coram alijs. *Theophrasti.*

Inprimis autẽ existimato oportere unumquenq; reuereri sese ipsum. Nihil enim à seipso separari unquam posse. *Catonis.*

Iouem autem qui fecit, & qui isthæc omnia plantauit, *Stasimi.*
Non uis eloqui. Vbi enim timor, ibi pudor.

Reuerendus mihi chare socer uideris, atq; grauis. *Homeri.*

Pudor in oculis nascitur ô fili. *Euripidis.*

Nullum thesaurum recondes intus meliorem *Theognidis.*
Reuerentia, quam bonis uiris Cyrne tribuis.

Cum peccare me puto faciem uereor amicorum. *Agathonis.*

Contra enim statuo quàm Poëta qui dicit: *Platonis in Euthyphrone.*
Scribere cur metuam, quum scribo de Ioue summo,
Nanq; metus secum socium trahit usq; pudorem.
Ego autem à Poëta hoc discrepo, uis quo discrepo tibi dicam? Prorsus. Non uidetur mihi ubicunq; timor est, ibi etiam pudor existere. Nam multi paupertatem ac morbos cæteraq; huiusmodi, ut mihi uidetur, metuunt, neq; tamen pudore ullo in ijs afficiuntur: ubi uero nónne idem? Et mihi. At ubicunq; pudor, ibi & timor.

ἐπεὶ οὐδεὶς ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; δέδοικε μὲν οὖν. οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν, ἵνα γὰρ δέος ἔνθα καὶ αἰδώς. ἀλλ᾽ ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος. οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς. ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς. μόριον γὰρ αἰδὼς δέους, ὥσπερ ἀριθμοῦ περιττόν. ὥστε οὐχ ἵναπερ ἀριθμός, ἔνθα καὶ περιττόν. ἵνα δὲ καὶ περιττόν, ἔνθα καὶ ἀριθμός.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΑΝΑΙΔΕΙΑΣ,

ΛΟΓΟΣ Λ'.

Μενάνδρου. Ἁ Ἐρυθριᾷ πᾶς, ἐρυθριᾷ δ᾽ οὐδείς ἔτι.
ὃς δ᾽ οὔτ᾽ ἐρυθριᾶν οἶδεν οὔτε δεδιέναι,
τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει.

Διφίλου. Οὐκ ἔστιν ἀναιδοῦς ζῶον οὐδὲ βαρύτερον.
κακοὶ γὰρ αἰδώς, ἔνθα γ᾽ ἀναιδὲς κρατεῖ.

Θεόγνιδος. Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπέρχεθ᾽ ὁμῶς.

Εὐριπίδου. Οὔτοι θράσος τόδ᾽ ἐστὶν, οὐδ᾽ εὐτολμία,
φίλους κακῶς δράσαντ᾽ ἐναντίον βλέπειν:
ἀλλ᾽ ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν ἀναίδει᾽. εὖ δ᾽ ἐποίησας μολών.

Θεοδέκτου. al. Θεσπίου. Ἅπαντ᾽ ἐν ἀνθρώποισι γηράσκειν ἔφυ,
καὶ πρὸς τελευτὴν ἔρχεται τὴν τοῦ χρόνου,
πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνον.
αὕτη δ᾽ ὅσῳ περ αὔξεται θνητῶν γένος,
τοσῷδε μείζων γίγνεται καθ᾽ ἡμέραν.

Μενάνδρου. Ὦ μεγίστη τῶν θεῶν νῦν οὖσ᾽ ἀναίδει᾽, εἰ θεὸν καλεῖν σε δεῖ.
δεῖ δὲ, τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός,
ἐφ᾽ ὅσον βαδίζεις. ἐφ᾽ ὅσον ἥξειν μοι δοκεῖς;

Ἡροδότου. Ἅμα δὲ χιτῶνι ἐκδυομένῳ ἐκδύεται καὶ τὴν αἰδῶ γυνή.

Ξενοφῶντος. Ἐπιθυμίᾳ δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία, καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΣΙΩΠΗΣ,

ΛΟΓΟΣ ΛΑ'.

Καρκίνου. ΠΟΛΛΟΙΣ γὰρ ἀνθρώποισι φάρμακον κακῶν,
σιγή, μάλιστα δ᾽ εἰ σώφρονος τρόπου.

Μενάνδρου. Οὐθὲν σιωπῆς ἐστι χρησιμώτερον.

lego σιγὴ. Ὦ παῖ σιώπα, πόλλ᾽ ἔχει † σιωπὴ καλά.

Χάρητος. Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.

Ἀθηνοδώρου. Ἔστι καὶ τὸ σιγῆς ἀκίνδυνον γέρας.

Ἀμφίδος. Οὐκ ἔστι κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν.

Φιλωνίδου. Κρεῖττον σιωπᾶν ἐστίν, ἢ λαλεῖν μάτην.

Κλεάνθους. Σιωπῶντος τοῦ Κλεάνθους, ἐπεί τις ἔφη, τί σιγᾷς; ἐμὲ μὲν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν. ἡδὺ ἔφη, ἀλλ᾽ ὅσον ἥδιον, τοσῷδε μᾶλλον αὐτοῦ τοῖς φίλοις παραχωρητέον.

Ζήνων, ἀντιγόνου πρέσβεις ἀθηνάζε πέμψαντος, κληθεὶς ὑπ᾽ αὐτῶν σὺν ἄλλοις φιλοσόφοις

ὑπὸ

An quisquã est qui pudore afficitur, atq; erubescit opinionem prauitatis non formidans? Formidat certe. Haud igitur recte dicitur, ubi timor, ibi pudor, sed ubi pudor, & ibi timor: neq; tamen uice uersa, ubicunq; timor ibi etiam pudor. Amplior enim ut arbitror est timoris quàm pudoris natura: siquidem pars timoris est pudor, quẽadmodum numeri pars est impar. Ideoq; non ubicunq; numerus ibi impar: ubi tamen impar, & numerus est.

EIVSDEM DE IMPVDENTIA SERMO XXX.

OMnes perfricta sunt fronte, nec ullus amplius erubescit. *Menandri.*
Qui uero nec erubescere scit, neq; metuere,
Ille primas uniuersæ tenet impudentiæ.
Homine impudente nullum animal est confidentius. *Diphili.*
Malus enim est pudor ubi uincit impudentia.
Nunc uerecundia quidem inter homines perijt, *Theognidis.*
At impudentia terram peragrat ubiq;.
Hæc non est animositas, neq; fortitudo *Euripidis.*
In faciem intueri amicos male affectos:
Sed maximus morborum inter homines
Omnium impudentia. Bene autem fecisti quod adueneris.
Omnes humanæ res natura consenescunt, *Theotecti, al. Theogoni.*
Et ad finem temporis ueniunt,
Præter solam, ut uidetur, impudentiam.
Hæc enim quanto magis genus augetur mortalium,
Tanto fit maior quotidie.
O Maxima deorum *Menandri.*
Hoc temporis impudentia: si modo te deam uocare oportet.
Sed oportet: nam quod imperat pro Deo nunc habetur.
Quantum progrederis? Quousq; peruentura mihi uideris?
Mulier simul cum ueste pudorem etiam exuit. *Herodoti.*
Ingratitudini uero potissimum impudentia uidetur esse comes, quæ ad omnem turpitudinem maxima dux est. *Xenophõtis in 1. lib. de Pædia Cyri.*

EIVSDEM DE TACITVRNITATE, SERMO XXXI.

MVltis enim hominibus pharmacum malorum *Carcini.*
Est taciturnitas, quæ peculiaris est frugi moribus.
Nihil utilius est quicquam silentio. *Menandri.*
O puer tace. Multa continet bona silentium.
Linguam inprimis ubiq; moderari coneris. *Charetis.*
Nam tum seni tum iuueni conciliat honorem
Compos silentij lingua tempestiui.
Silentij præmium periculo uacat. *Athenodori.*
Nihil est quicquam præstantius quàm tacere. *Amphidis.*
Satius est tacere, quàm temere loqui. *Philonidis.*
Cum quidã ad tacentẽ Cleanthẽ dixisset: Tu quid taces? Atqui iucundũ est cũ amicis confabulari. Iucundum quidẽ respondit Cleanthes, sed quo iucundius est, eo magis in hoc amicis oportet concedere. *Cleanthis.*
Zenon ab Antigoni legatis Athenas missis unà cum alijs philosophis

ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον συνδυόντων ὑποδείκνυσθαι τὴν αὑτῶν ἕξιν, αὐτὸς ἐσίγα. τῶν δὲ πρέσβεων ζητούντων τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον· τοῦτ' αὐτὸ ἔφη ὁ βλέπετε. δυσκρατέστατον γὰρ πάντων ὁ λόγος.

Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα, καὶ τῇ σιωπῇ μέρος ἀπένεμε.

Σιμωνίδης ἔλεγε, μηδέποτε αὐτὸν μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ, πολλάκις.

Πολλὴν ἐπιμέλειαν ποιεῖσθαι, περὶ τοῦ μὴ λέγειν ἃ μὴ δεῖ. παντελῶς γὰρ ἀπαιδεύτου τινός ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν, ἀλλ' ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα.

Διογένης πρὸς τὸν φιλόσοφον τὸν φήσαντα, ἐρωτῶντα δὲ ἐριστικῶς, κακόδαιμον ἔφη, τὸ βέλτιστον τῶν ἐν τῷ βίῳ τοῦ φιλοσόφου λυμαινόμενος, τὸν λόγον φιλοσοφεῖν φῄς.

Θεόκριτος ἐρωτηθεὶς ὑπὸ ἀδολέσχου, ὅπου αὐτὸν αὔριον ὄψοιτο, ὅπου ἔφη ἐγώ σε οὐκ ὄψομαι.

Δίωνος. Μὴ νομίσητέ με ὦ ἀθηναῖοι ἀγνοεῖν, ὅτι ἀσφαλὲς τὸ σιγᾶν ἐστί.

Πλουτάρχου. Περὶ τῆς καθ' Ὅμηρον ἐχεμυθίας. διὰ τούτου σαφῶς δείκνυται, λέγει γάρ.

θάρσει τ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,
ἴσχεο. μηδ' ἔθελ' οἶος ἐριζέμεναι βασιλεῦσι.
καὶ τοῦ Τηλεμάχου εἰπόντος,
ἦ μάλα τὶς θεῶν ἔνδον οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
ὑπολαμβανόμενος ὁ πατὴρ, ἔφη. σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε.
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ ὄλυμπον ἔχουσι.

Τοῦτο ἐχεμυθίαν οἱ Πυθαγορικοὶ καλοῦντες, οὐδὲν ἀπεκρίνοντο τῶν περὶ θεῶν, ὅτε τύχοιεν ἱταμῶς καὶ εὐχερῶς ἐρωτῶσι.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΕΥΚΑΙΡΩΣ ΛΕΓΕΙΝ ΛΟΓΟΣ ΛΒ΄.

Εὐριπίδου. Η ΛΕΓΕ τί σιγῆς κρεῖσσον, ἢ σιγὴν ἔχε.
Ἁπλοῦς ὁ μῦθος. μὴ λέγε, τὸ γὰρ λέγειν
εὖ, δεινόν ἐστιν εἰ φέροι τινὰ βλάβην.
Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.

Ἀντιλόχου. Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτι
ὁ λέγων ὑπεστέλλει τὰ πράγματα.

Αἰσχύλου. Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

Ἰσοκράτους. Δύο καιροὺς ποιοῦ τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιωπῆς κρείττων. ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν, ἢ λέγειν.

Πυθαγόρου. Ἔλεγεν ὁ Πυθαγόρας χρὴ σιγᾶν, ἢ κρείσσονα σιγῆς λέγειν.

Ἡ σιγὴ καίριον, ἢ λόγον ὠφέλιμον ἔχει.

Σόλωνος. Σφράγιζε τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.

Αἰσχίνης ὁ Σωκρατικὸς ἐπιπληχθεὶς, ὅτι Σωκράτει ἐσχολακὼς σιωπᾷ. οὐ γὰρ μόνον εἶπε λέγειν ἔμαθον παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾶν.

Πυθαγόρου. Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βάλλειν, ἢ λόγον ἀργόν.

Σιγᾷς; σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.

Θεόγνιδος. Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν,
καὶ σιγᾶν αἰεί, τοῦτο γὰρ οὐ δυνατόν.

Ἐκ τῶν Ἐπικτήτου. Τάξον τινὰ ἤδη σεαυτῷ χαρακτῆρα καὶ τύπον, ὃν φυλάξεις, ἐπί τε σεαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων. σιωπὴ τὰ πολλὰ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι' ὀλίγων. σπανίως δέ ποτε καιροῦ καλοῦντος, ἥξει τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν εἰκαίων, μὴ περὶ ἀθλητῶν ἢ μονομάχων, ἢ περὶ ἵππων, ἢ βρωμάτων, ἢ πομάτων τῶν ἑκασταχοῦ, μὴ περὶ ἀνθρώπων ψέγοντα, ἢ ἐπαινοῦντα, ἢ συγκρίνοντα. λοιπὸν ἐκεῖνο ἔχου, τὸ μὴ καθιέναι εἰς ὁμιλίας ἰδιωτικάς, ἀλλὰ ἂν οἷός τε ᾖς, μετάγε τοὺς λόγους ἤδη τὸ προσῆκον, εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν.

Σόλων ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ σιωπῶν ἐτύγχανε. πότερα διὰ λόγων σπάνιν ἢ διὰ μωρίαν σιωπᾷ, ἀλλ' οὐδεὶς ἂν εἶπε μωρὸς σιωπᾶν ἐν συμποσίῳ δύναται.

ad conuiuiũ uocat⁹ est:& cũ reliq inter pocula suã quisq; eruditionẽ ostentarẽt, ipse tacebat. Cum aũt legati interrogarent, qd Antigono deberent de ipso renunciare; Hoc ipsum, dixit, quod uidetis. Oratio enim omnium est difficillima moderatu.

Xenocrates singulas diei partes certis negocijs assignans, silentio quoq; suam partem dabat.

Simonides aiebat nunquam se pœnituisse silentij, dictorum autem sæpius.

Annitendum est sedulo, ut nihil indecens eloquamur. Est enim uiri plane imperiti non posse tacere, sed quæ non decet efferre.

Diogenes ad quendam, qui se philosophum profitebatur, interrogabat uero cõtentiose: Vah miser, dixit, cum id quod optimum est in uita philosophi corrumpas, uerbis tamen audes te philosophum iactare.

Theocritus à blaterone quodam interrogatus ubi cras uisurus esset ipsum: illic dixit, ubi ego te non uideam.

Ne me existimetis Athenienses ignorare quàm tutum sit silentium. *Dionis.*

Quantum cõmendauerit Homerus taciturnitatem, per hæc luculenter ostenditur: inquit enim, *Plutarchi.*

O Thersita loquens sine iudicio, & si uehemens concionator sis,
Desine: ac solus contendere cum rege noli.
Et cum Telemachus dixisset:
Nimirum deorum aliquis intus est, qui cœlum incolunt amplum.
Reprehendens pater subiecit.
Tace, animumq; contine, nec interrogaueris.
Hic equidem mos est diuorum cœlicolarum.
Hoc interpretationem Pythagorici nominantes nihil respondebant de diuinis rebus, † quoquo modo interrogarentur. *Grecum exemplar uidetur hic esse corruptum.*

EIVSDEM DE TEMPESTIVA ORATIONE SERMO XXXII.

AVT dic aliquid silentio melius, aut sile. *Euripidis.*
Simplex est oratio: ne dixeris. Nam dicere
Bene, malum est, si quid incommoditatis afferat.
Nisi continueris linguam, mala tibi contingent.

Nulla est oratio quæ longa uideatur, quando *Antilochi.*
Res ordine proferuntur à dicente.

Potius mordendum os est, quàm hæc dicenda. *Aeschyli.*

Duo tibi tẽpora dicẽdi præscribe, ut uel de reb⁹ indubiè tibi pspectis, uel necessarijs uerba facias. In istis em̃ solis oratio præstat silentio: in alijs uero tacendum potius quàm loquendum. *Isocratis.*

Pythagoras dicebat, aut oportet silere, aut afferre meliora silentio.

Taces ne? At silentium obscurus est interpres sermonis.

Sapientem inter stultos multa loqui indecorum est. *Theognidis.*
Et rursus semper tacere impossibile.

Præfige tibi certum modum & characterem, quem obserues tũ solus tecũ, tũ alijs conuersans. Silentium ut plurimũ esto, aut necessaria dicantur, idq; paucis. Rarẽter autẽ interdum per occasionẽ ad dicendũ ueniemus, sed nulla de re leui, non de athletis, aut gladiatoribus, aut equis, aut cibis, uel potionibus, quæ in singulis regionũ habentur: neq; de hominibus uituperando, laudandóue ipsos, aut inter se conferendo. Deinde operam da ne in colloquia plebeia descendas, sed siquidem fieri potest orationem transfer ad aliquid decorum, sin minus, silentium age. *Ex Epicteti historia.*

Solõ inter pocula tacit⁹ interrogãti Periãdro: an propter uerborũ inopiã, aut ob stultitiã taceret, respõdit: Atq null⁹ stultorũ in cõuiuio silentiũ præstare potest.

Ἐκ τῆς Δίωνος χρειῶν. Τῶν συνόντων τις μειρακίων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ, ἐσιώπα. ὁ δὲ ἔφη. οὐκ οἴει τοῦ αὐτοῦ εἶναι, εἰδέναι τί ἃ λεκτέον, καὶ πότε, καὶ τίνα σιωπητέον, καὶ πρὸς τίνα.

Κλεόστρατος πρὸς τὸν εἰπόντα, οὐκ αἰσχύνῃ μεθύων; σὺ δὲ οὐκ αἰσχύνῃ ἔφη μεθύοντα νουθετῶν;

Σωκράτους. Τῷ γελοίῳ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι.

Ἀναξάρχου. Πολυμαθίη κάρτα μὲν ὠφελέει, κάρτα δὲ βλάπτει τὸν ἔχοντα. ὠφελέει μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥηιδίως φωνεῦντα πᾶν ἔπος, καὶ ἐν παντὶ δήμῳ. χρὴ δὲ καιροῦ μέτρα εἰδέναι, σοφίης γὰρ οὗτος ὅρος. οἱ δὲ ἔξω καιροῦ ῥῆσιν μουσικὴν πεπνυμένως ἀείδωσιν, οὐ τιθέασι

malim αἰτίαν. χονται ἐν ἀργίῃ γνώμην, † αἰτίην δ' ἔχουσι μωρίας.

ΠΕΡΙ ΒΡΑΧΥΛΟΓΙΑΣ, ΛΟΓΟΣ ΛΓ΄.

Ἡσιόδου. ΓΛΩΣΣΗΣ τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος.
φειδωλῆς· πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.

Εὐπόλιδος. Καὶ τὸν μὲν κύκλῳ γε παύσομαι λόγου,
φράσω δὲ τὸ πρᾶγμα διὰ τῶν χωρίων.

Εὐριπίδου. Παῖδες, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ
πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.

Σοφοκλέους. Βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά.

Μενάνδρου. Τοῖς ἀναιδέσι βοηθεῖ γὰρ λόγοις τοῦτ' ἐν μόνον.
ἂν βραχεῖς αὐτοὺς ποιῇ τις, τόντε καιρὸν εὖ λάβῃ.

Φιλωνίδου. Ἅπαντ' ἐρίζεις καὶ συνιεὶς οὐδὲ ἕν,
γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν,
Οὐκ ἄν τις ἔπη πολλά, θαυμασθήσεται.
ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα.

Πυθαγόρου. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις, πολλά.

Λυκοῦργος πρὸς τὸν εἰπόντα, διὰ τί λακεδαιμόνιοι τὴν βραχυλογίαν ἀσκοῦσιν, εἶπεν. ὅτι ἐγγύς ἐστι τοῦ σιγᾶν.

Ἐκ τῶν ὑλκτί του. Μηδενὸς οὕτως ἐν παντὶ προνόει, ὡς τοῦ ἀσφαλοῦς, ἀσφαλέστερον γὰρ τοῦ λέγειν τὸ σιγᾶν. ἐὰν δὲ τὸ λέγειν, ὅσα δίχα ἔσται νοῦ, καὶ † ψόγου. ἄπιστον δὲ τὸ πολύ, καὶ αὐτοῦ τινων

† malim λόγου. ἔργων μεμνῆσθαι, ἢ κινδύνων. οὐ γὰρ ὡς σοί ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι, τὸ τῶν συμβαινόντων ἀκούειν.

Πλάτωνος νόμων ά. Τὴν πόλιν ἅπαντες ἡμῶν ἕλληνες ὑπολαμβάνουσιν, ὡς φιλολόγος τέ ἐστι καὶ πολύλογος. λακεδαίμονα δὲ καὶ κρήτην, τὴν μὲν βραχυλόγον, τὴν δὲ πολύνοιαν μᾶλλον, ἢ πολυλογίαν ἀσκοῦσαν.

ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ, ΛΟΓΟΣ ΛΔ΄.

Θεόγνιδος. ΠΟΛΛΟΙΣ ἀνθρώπων γλώσσῃ θύρα οὐκ ἐπίκειται
ἁρμόδιος καί σφιν πόλλ' ἀλάλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἄλθειν.
ἐσθλὸν δ' ἐξελθεῖν λῷον, ἢ τὸ κακόν.

Εὐριπίδου. Γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἡ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.

Μηδείας. Οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις κρέον
ἔβλαψε γλῶσσα, μεγάλα τ' εἴργασαι κακά.

Ἀναξάνδρου Γλώσσης ἀπείρατός ἐστιν ἀδολεσχία.

Λαεῦς

Adolescens quidam ex illis, qui cum Diogene uersabantur, interrogatus ab ipso, tacebat. Tum Diogenes: Non putas, inquit, eiusdem esse, quæ dicenda sint scire, & quando: & quæ tacenda sint, & apud quem? *Ex Chrysi Dionis.*

Cleostratus ei qui dixerat, non te pudet ebrietatis? respondit: Te uero non pudet ebrium admonere?

Ridiculo sermone tanquam sale, parcè utendum est. *Socratis.*

Multarum rerum cognitio aut ualde iuuat, aut ualde lædit habentem. Iuuat quidem uirum dextrum & commodum: lædit uero illum, qui facile quemuis sermonē, & apud quosuis eloquitur. Oportet aūt occasionis modū nosse. Is enim sapientiæ terminus est. Qui uero intempestiuè cantilenam Musicam quamuis doctè cecinerint, illi non approbantur, sed crimen stultitiæ subeunt. *Anaxarchi.* *Græcus textus apparet corruptus.*

DE BREVITATE IN DICENDO, SERMO XXXIII.

Linguæ thesaurus est optimus inter homines *Hesiodi.*
Parcæ, & plurimum gratiæ meretur, si fuerit moderata.

Relinquam ambages in dicendo. *Eupolidis.*
(Hic uersus in Græco obscurus est)

O pueri, istud sapientis est uiri, paucis *Euripidis.*
Plurima posse uerba bene complecti.

Orationi breui multum inest sapientiæ. *Sophoclis.*

Impudentes sermones hoc solo iuuantur *Menandri.*
Si fiant breues, & opportune proferantur.

De omnibus contendis, licet ne unum quidem intelligas. *Philonidis.*
Literas oportet discere, ac insuper prudentem esse.

Non si quis multa dixerit, admiratione dignus erit:
Sed potius qui pauca pronunciauit, si fuerint utilia.

Ne multis uerbis pauca comprehendas, sed paucis multa. *Pythagoræ.*

Lycurgus interroganti quamobrem Lacedæmonij breuiloquium usurparent: quoniam silentio finitimum est, respondit.

In omni negocio nihil adeo prospicere debes, quàm ut tutū securumq; sit, quod agis. Est autem tutius tacere quàm loqui. Cæterum ijs dicendis quæ mente & ratione carent, supersedebis. Absit quoq; nimietas in dicendo, & propriorum facinorū aut periculorum commemoratio. Non enim similiter ut tibi mentionem de tuis periculis facere, sic & alijs quæ tibi contigerunt audire iucundum est. *Ex Epicteti historia.*

Vrbem nostram omnes Græci existimant, elegantiæ & copiæ sermonis studiosam esse: Lacedæmonem uero breuitati, & Cretam sensuū fœcunditati potius quā uerborum multitudini studere. *Platonis lib. 1. legum.*

DE GARRVLITATE SERMO XXXIIII.

Multis hominibus non ulla ianua linguæ obditur *Theognidis.*
Conueniens, & multa in ipsis occultanda comparent.
Sæpius enim latitans malum intrinsecus processit.
Melius autem fuerit boni quippiam egredi, quàm malum.

Nulla fides linguæ est, quæ alienos quidem *Euripidis in Hippolyto coronato.*
Animos hominum admonere callet,
Ipsa uero ex sese plurima mala possidet.

Non primum nunc mihi, sed sæpius, ô Creon, *Eiusdem in Medea.*
Lingua nocuit, & ingentia mala tulit.

Garrulitas est deambulatio linguæ. *Astydamantis.*

Λήξεις ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

Ὁμήρου. Καί τι ἔπος ποθέεικεν, ὅπερ τ' ἄῤῥητον ἄμεινον.
Ἀλλ' αἰεὶ μύθους λαβρεύεαι, οὐδέ τί σε χρὴ
λαβραγόρην τ' ἔμεναι.

Νικοστράτου. Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν,
ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ.

Εὐριπίδου. Σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.
Κόσμος δὲ σιγῆς στέφανος ἀνδρὸς οὐ κακοῦ.
τὸ δ' ἐκλαλοῦν, οὐθ' ἡδονῆς μὲν ἅπτεται,
κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει.

Σοφοκλέους. Τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἐστί σοι;
τὰ γὰρ περισσὰ πανταχοῦ λυπηρ' ἔπη.

Μενάνδρου. Αἰσχρόν γ' ὅταν τις ἀεὶ γλώσσῃ φυεὶς,
γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

Εὐριπίδου. Ἀχαλίνων στομάτων, ἀνόμου τ' ἀφροσύνας τὸ τέλος δυστυχία.

Μενάνδρου. Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώσσης λόγον.
Τυραννικόν τι πόλλ' ἐπίστασθαι λέγειν.

Αἰσχύλου. Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.

Φιλήμονος. Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἕν,
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς.
τὸν δ' εὖ λέγοντα, μὴ νόμιζ' εἶναι μακρόν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκε μακρόν.

Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν, νεανίσκε εἶπεν, ἡ φύσις ἡμῖν, γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλάσιον ὧν λέγομεν, ἀκούωμεν.

Θεόκριτος ἀναξιμένους λέγειν μέλλοντος, ἄρχεται εἶπε, λέξεων μὲν ποταμός, νοῦ δὲ σταλαγμός.

Διογένης ᾔτησέ ποτε Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδων, τρεῖς. ὡς δ' ἐκεῖνος μέδιμνον ἀπέστειλεν, οὕτως ἔφη καὶ ἀποκρίνῃ ἐρωτηθεὶς μυρία.

Πλάτων ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μακρολογήσαντος, ἀγνοεῖς εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστὶν, οὐχ ὁ λέγων, ἀλλ' ὁ ἀκούων.

Τῶν τις ἐν ἀκαδημίᾳ νεανίσκων, περὶ σοφιστικῶν θεωρημάτων διελέγετο ἀφρόνως, ὁ δὲ Ζήνων, ἐὰν μὴ τὴν γλῶσσαν ἔφη εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ πλείω † ἔστι καὶ ἐν τοῖς λόγοις πλημμελήσεις. (malim ἔτι.)

Δημοκράτους. Πλεονεξίη, τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.

al. Δημοκρίτου. Ἰσοκράτης ὁ ῥήτωρ, κἀργιῶνος ὄντος λάλου, καὶ σχολάζειν αὐτῷ βουλομένου διπλοῦς ᾔτησε μισθούς. τοῦ δὲ τὴν αἰτίαν πυθομένου, ἕνα ἔφη μὲν, ἵνα λαλεῖν μάθῃ. τὸν δ' ἕτερον, ἵνα σιγᾶν.

Ζήνων τῶν μαθητῶν ἔφασκε, τοὺς μὲν φιλολόγους εἶναι, τοὺς δὲ λογοφίλους.

Ἐρετρικοῦ ἀνδρὸς ἐρωτῶντος αὐτόν, εἰ ἡ ἀρετὴ ὠφέλιμος, ἀνένευσεν, οὐ βουλόμενος παρέχειν αὐτῷ ἐκ τῆς ἀποκρίσεως ἀφορμὴν εἰς ἔριν.

Ἀπολλωνίου. Πολυλογία πολλὰ σφάλματα ἔχει· τὸ δὲ σιγᾶν, ἀσφαλές.

al. Ἀπολλοδώρου. Οἱ κράτιστοι τῶν ἀνθρώπων, βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι, εἰ ἠνιῶντο ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν.

Εὐσεβίου. Ἄνθρωποι λόγων κούφων μέγα ὀδόντων ἕρκος ἐκτέταται, ἀλλὰ γὰρ ἀεὶ παντὸς νέου χρῄζομεν.

ἐπεὶ

Nugas ais, dum philosophLaris intempestiue.

Et uerbum aliquod protulit, quod melius fuisset indictum. *Homeri.*

Sed semper immodeste uerba fundis. Non te posthac oportet
Intempestiuum esse loquendo.

Si continuè, & multa, celeriterq́ loqui *Nicostrati.*
Signum esset prudentiæ, tum hirundines
Dicerentur multo sapientiores nobis.

Tu uero linguam quidem uolubilem habes, uti uir prudens, *Euripidis.*
Sed in sermonibus tuis nulla mens inest.

Decorum silentium corona est uiri boni.
Loquacitas autem neq; iucundum aliquid habet,
Et mala est conuersationi, & inutilis ciuitati.

Quid tibi uis amplius cum tanta garrulitate? *Sophoclis.*
Verba enim nimia molesta sunt ubiq;.

Turpe est cum quis disertus dicendo *Menandri.*
Inanes lingua sermones eiaculatur.

Infrenis oris, Ac illegitimæ stultitiæ, Finis est infortunium. *Euripidis in Bacchis.*

Neq; ex manu dimittentem ponderosum lapidem
Facile est cohibere, neq; ex lingua sermonem. *Menandri.*

Tyrannicum quiddam est multa scire loqui.

Inani linguæ damnum impingitur. *Aeschyli.*

Eum qui nihil opportune dicit, *Philemonis.*
Longum existima, licet duas tantum syllabas pronunciarit.
At bene dicentem ne longum existimes,
Et si permulta dixerit & longo tempore.
Huius indicium Homerum accipe.
Is enim nobis myriades scribit uersuum,
Nullus tamen Homerum appellauit longum.

Zenon ad uolentem plura loqui quã audire: adolescens, dixit, natura nobis linguam unã, aures uero binas dedit, scilicet ut duplo plus audiamus, quã loquamur.

Theocritus cum Anaximenes orationem habiturus esset: incipit uerborum quidem flumen, mentis autem gutta, dixit.

Diogenes aliquãdo à Platone tres ex eius horto caryças petijt. Cũ ašt Plato medimnũ, id est sex modios ei misisset: ita, dixit, interrogat⁹ quoq; respõdes innumera.

Plato cũ Antisthenes aliquando in diatriba longã orationẽ habuisset: ignoras, dixit, quod dicendi modus non penes loquentem, sed audientem est.

Adolescẽs qdã in Academia de stultis qbusdã negocijs loquebaŕ, cui Zenõ dixit: Nisi lingua in mentẽ intincta differueris, adhuc multo amplius dicẽdo delinques.

Auaritia quædam est, omnia uelle dicere, & nihil audire. *Democratis. al. Democriti.*

Isocrates orator cũ loquuleius quidam nomine Careon in disciplinã eius recipi uellet, duplicem mercedem postulauit. Illi uero causam interroganti, dixit: alteram quidem peto ut loqui discas: alteram autem ut tacere.

Zenon è discipulis suis aliquos aiebat esse φιλολόγους, id est, uariæ rerum cognitionis studiosos: alios uero λογοφίλους, id est, loquendi tantum studiosos.

Cum uir quidam litigiosus interrogaret eũ, an uirtus utilis esset, renuit: non uolens uerbis respondendo ei occasionem dare litigandi.

Loquacitas multos errores habet: tacere autem tutum est. *Apollonij.*

Optimi hominũ in dicendo breuissimi sunt. Linguaces uero si tantũ molestiæ caperent, quanta reliquos afficiunt, haud sanè longos sermones traherent. *al. Apollodori.*

Homines magnum possident uallum dentium ad coërcendos leues sermones. Verum enimuero in omni re iudicio mentis indigemus, quæ si uer- *Eusebij.*

ἐπεὶ ἂν οὗτος μὴ καταπιθοίη αὐτὰ τὰ ἔπη, πρὶν βουληθῆναι ἐκφθέγγεσθαι πολλάκις, καὶ κατιλογήσαντα τοσοῦτο ἔρχεται ἄκριτα προεκτρώσκει.

Ξενοφῶντος ἐν πρώτῳ περὶ παιδείας Κύρου.

al. ἀπάσης.

Ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπὸ ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνατο, ὥστ᾽ ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. ἀλλ᾽ ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες, μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι αὐτοῖς νεαρόν, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω καὶ Κύρου, ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλὰ πρᾳότης τις καὶ φιλοστοργία, ὥστ᾽ ἐπεθύμει ἄν τις, ἔτι πλεῖον ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι.

ΠΕΡΙ ΧΡΗΣΤΟΤΗΤΟΣ, ΛΟΓΟΣ ΛΖ.

Μενάνδρου. ΟΥΘΕΙΣ πονηρὸν πρᾶγμα, χρηστὸς ὢν ποιεῖ.

Τοῦ αὐτοῦ. Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.

Θεόγνιδος. Κύρν᾽ ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ᾽ ἔν τ᾽ ἀγαθοῖς κείμενος, ἔν τε κακοῖς.
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον, καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων βιότον οὐ δύναται κατέχειν.

Σοφοκλ. Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς εὔκλειαν αἰσχύναι θέλει.

Μενάνδρου. Σὺ μὲν παραινεῖς ταῦτα ὅσα σοι πρέπει·
ἐμὲ δὲ ποιεῖν τὸ καθῆκον οὐχ ὁ σὸς λόγος,
εὖ ἴσθ᾽ ἀκριβῶς, ὁ δ᾽ ἴδιος πείθει τρόπος.

Ὁ χρηστὸς ἐστὶ πολλαχοῦ σωτήριος.

Τὸ χρηστὰ πράττειν, ἔργον ἐστ᾽ ἐλευθέρου.

Διφίλου. Ὦ μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.

Χρηστοὺς νομιζομένους ἐφόδιον ἀσφαλές,
εἰς πάντα καιρόν, καὶ τύχης ῥοπὴν πᾶσαν.

Ἀλλὰ τῶν χρηστῶν ἔχει τὴν ἐπιμέλειαν καὶ θεός.
κἀν ταῖς ἀπορίαις ἐσθ᾽ ὁ χρηστὸς χρήσιμον.

Ἀντιφάν. Τρόπος δίκαιος, κτῆμα τιμιώτατον.

Ποσειδίππου. Διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

Πλάτωνος. Τρόπος ἐστὶ χρηστὸς ἀσφαλέστερος νόμου,
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
ῥήτωρ δύναιτο· τὸν δ᾽ ἄνω τε καὶ κάτω
λόγοις ταράσσων, πολλάκις λυμαίνεται.

Θεόγνιδος. Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς,
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Μενάνδρου. Νὴ τὴν Ἀθηνᾶν, μακάριον ἡ χρηστότης
πρὸς πάντα, καὶ θαυμαστὸν ἐφόδιον βίῳ.
τούτῳ λαλήσας ἡμέρας σμικρὸν μέρος,
εὔνους ἐγὼ νῦν εἰμι. πιστικὸν λόγος,
πρὸς τοῦτ᾽ ἂν εἴποι τις μάλιστα τῶν σοφῶν.
τί οὖν ἑτέρους λαλοῦντας οὐ βδελύττομαι;
τρόπος ἐσθ᾽ ὁ πείθων τοῦ λέγοντος οὐ λόγος.

Εὐριπίδου Τὸ δ᾽ ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς.

Θεοφράστου. Ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται. οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους· ἀλλ᾽ οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται.

Δημοσθένους. Πολλῶν χρημάτων, τὸ χρηστὸν εἶναι λυσιτελέστερόν ἐστιν.

Δημοκρίτου. Ἀγαθὸν ἢ εἶναι χρεών, ἢ μιμεῖσθαι.

ba non direxerit, sæpius ante consultationem effugiunt, & tanto uallo neglecto citra iudicium ante tempus foras ruunt.

Præterea ob discendi studium multa & ipse semper à præsentibus requirebat, ut haberent: & quæcunq; per alios quæsita essent, ob dexteritatem ingenij celeriter respondebat. Quare ex his omnibus multus ei sermo cōflabatur. Sed quemadmodū ij iuuenes, qui quanquā corporibus supra ætatem adoleuerunt, ostendunt tamē iuuenile quiddam, id quod annorum paucitatem arguit: ita ex Cyri multiloquio non audacia promebatur, sed simplicitas quædam atq; lenitas: quo fiebat, ut quis cuperet plura etiam eum dicentem audire, quàm tacenti adesse. *Xenophōtis in 1. lib. de pædia Cyri.*

DE BONITATE, SERMO XXXV.

NVllus bonorum malum facinus committit. *Menandri.*
Quàm iucunda res est bonitas prudentiæ iuncta. *Eiusdem.*
O Cyrne uir quidem bonus animū semper habet constantem. *Theognidis.*
Et animosus est tum in malis, tum in bonis constitutus.
Cum uero Deus homini malo uictum & opes largitus est,
Insipiens uictum non retinere potest.
Nullus bonorum male uiuendo bonam de se famam dehonestare uult. *Sophoclis.*
Tu quidem admones omnia, quæ tui sunt officij monuisse: *Menandri.*
Me uero ad faciendum quod decet, non oratio tua,
Crede mihi plane, sed proprij mores persuadent.
Vir bonus multis in locis salutaris est.
Res bonas facere hominis est officium ingenui.
O quàm fœlix res est prudentia bonis coniuncta moribus. *Diphili.*
Illis qui boni censentur certum est uiaticum *Menandri.*
In omni tempore, & quauis inclinatione fortunæ.
Hominum bonorum aliquam curam suscipit etiam Deus.
Et in rebus perplexis uir bonus utilis est.
Iusti mores peculium sunt pretiosissimum. *Antiphanis.*
Propter artem quidem familiares mihi comparaui *Posidippi.*
Multos: propter mores uero plurimos amicos.
Mos bonus stabilior est lege. *Pirithi.*
Illum enim nullus unquam peruertere
Posset orator: At legem sursum ac deorsum
Verbis turbatam sæpius corrumpit.
Viros bonos sequitur prudentia & uerecundia, *Theognidis.*
Quorum nunc inter multos exiguus est numerus.
Beata res est bonitas, per Mineruam, *Menandri.*
Vbiq; & mirum uitæ uiaticum.
Ego enim cum illo homine modicam diei partem colloquutus
In beneuolentiam eius nunc perueni. Ipsa persuadet oratio.
Sic enim forte quispiam, præsertim sapientium, mihi dixerit,
Cur igitur aliquos loquentes non prosequimur odio?
Mores dicentis non sermones persuadent.
Probitas & moderatio utilis est in calamitatibus. *Eiusdem.*
Boni paucis legibus indigent. Non enim res ponuntur ad leges: sed contrà, leges secundum ipsas res feruntur. *Theophrasti.*
Probum esse res est multis pecunijs utilior. *Demosthenis.*
Bonum aut esse oportet, aut simulare. *Democriti.*

Lycurgus legislator dixit dignitatem quidem istam, qua mouemur ad facilius mutuo dandum aliquid, in opibus hominũ sitam esse: illam uero, quæ nos ad facilius fidem habendam inducit, in moribus.

Aristippus interrogatus quid esset admirandũ in uita: Vir probus, respõdit, & moderatus, quoniã etsi inter multos improbos agat, nõ tñ peruertitur.

Quibus bene compositi sunt mores, illis etiam tota uita bene constituta est. *Democriti.*

Vestis quidem corporis inconcinnitatem: beneuolentia uero peccatum obtegit.

Quid si tibi, ô Critobule, ab initio enarrem, quemadmodum sum olim congressus cum uiro, qui mihi unus uisus est ex his, qui iure nomen hoc egregij atq; boni uiri adsequuntur? Libenter equidem audiuerim. Nam & ego quoq; tali nomine dignari exopto. Dicam, nempe quonam modo in ipsius uenerim meditationem. Bonos enim architectos, bonos item fabros ærarios, pictores, statuarios, aliosq; huiuscemodi ex eorum operibus breui tempore perspexi ac probaui. Vir autem qui egregius atq; bonus uocaretur, perscrutatus sum quidnam potissimum ageret, quam ob rem hoc sibi merito nomen usurparet: ac primum sum periclitatus, si quem adspicerem egregium, an eundem etiam bonum inuenirem: quæ me ratio longe fefellit. Nã & quosdã egregios forma, improbos tñ animo aduerti. Itaq; statui mecũ ipse dimissa pulchritudine formæ adire aliquẽ ex illis, q boni & egregij nominantur. *Xenophõtis in Oeconomico.*

Etenim egregia & bona, inquiebam ego, non propter pulchritudines, sed propter uitæ uirtutes hominibus incrementum capiunt. *Eiusdem.*

Themistocles prædium uendens præconem diuulgare iussit, quod uicinum quoq; bonum habeat.

Probitatẽ morũ habere debes, quæ plus fidei mereatur quã iusiurandum. *Solonis.*

Aristoteles philosophus rogatus à quodam improbo aliquid pecuniæ ei dedit: propter quod reprehensus à quodam, ut qui homini nequam dedisset: non homini, dixit, sed humanitati.

Bonus existimandus est, qui perfectissimam actionem iuxta mentem separabilem conseruat, & participationem intelligibilis pulchritudinis suscipit ac essentiæ potentiæq; Dei particeps est. *Iamblichi.*

Demosthenes cum aliquando concionaretur, & Phocionem accedentem uideret, dixit: Orationis meæ malleus & bipennis aduenit. Adeò nõ tantum sermones, quàm mores persuadere possunt.

Scipio Polybij præceptum seruans, conabatur nõ prius ex foro domũ reuerti, quàm aliquem sibi familiarem & amicum effecisset.

Bias dixit: boni faciles sunt deceptu.

Phocion cum ei cẽtum talenta Alexander dono misisset, adferentes interrogauit, quamobrem ex tanto Atheniensium numero sibi soli ea mitteret. Illi responderunt, quoniã solum ipsum existimaret honestum egregiumq; uirum. Quin igitur, dixit, me talem tum uideri, tum esse sinat.

Praysij uicinos si fame premantur, alunt. Thyni naufragos humaniter suscipientes in amicitiã recipiũt. Hospites q sponte uenerunt, ualde colunt, q inuiti, puniunt. *Ex Nicolai collectaneis.*

DE INVIDIA, SERMO XXXVI.

INuidia in sese hoc solum probe facit, *Philemonis.*
Quod qui mores ipsius diligit,
Illum inprimis lædat semper conuersans ipsi.

Deinde hoc etiam non cognoscis, quod *Dionysij.*
Illis qui nihil sunt, nemo prorsus inuidet?
Semper omnia præcellentia comitem habent inuidiam.

ἅπαν τὸ λίαν σωικτὸν ἐς' ἐπίφθονον.

Χαρήτος. Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶν' κακός. ἀδικώτατον πρᾶγμ' ἐστὶν τῶν πάντων φθόνος.

Ἐγὼ δ' ἐν ἀνθρώποισι μέχρι τοῦ δοκεῖν
εὖ πράττειν, μέχρις ἂν φθονεῖσθαί μοι δοκῶ.

Διοχλέους. Αὐτὸς γενόμενος, τοῖς ἔχουσι μὴ φθόνει.
εἰσί τινες νοῦν, οὓς τὸ βασκαίνειν τρέφει.

ὄλοιθ' ὁ τοῖς ἔχουσι τἀγαθὰ φθονῶν.

Εὐριπίδου. Τίς ἆρα μήτηρ, ἢ πατὴρ κακὸν μέγα
βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον;
lego νῦν pro νόν. ποῦ καὶ * ποτ' οἰκεῖ σώματος λαχὼν μέρος;
ἐν χερσὶν, ἢ σπλάγχνοισιν, ἢ παρ' ὄμματα
ἔσθ' ἡμῖν; ὡς ἦν μόχθος ἰατροῖς μέγας
τομαῖς ἀφαιρεῖν, ἢ ποτοῖς, ἢ φαρμάκοις,
πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.

Φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν,
ἀπώλεσ' αὐτὸν, κἀμὲ συνδιώλεσεν.

Νικομάχου. Ἐργῶδές ἐστιν ἐν βίῳ βεβιωκότα,
τοὺς τῶν φθονούντων πάντας ὀφθαλμοὺς λαθεῖν.

Μενάνδρου. Ὁ φθονερὸς, αὑτῷ πολέμιος καθίσταται.
αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί.

Ἀγάθωνος. Οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος,
εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες.
ἐς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ.

Εὐριπίδου. Φθόνον οὐ σέβω, φθονεῖσθαι δὲ θέλοιμ' ἂν ἐπ' ἐσθλοῖς.

Ἱπποθόωντος. Φθόνος κάκιστος, κἀδικώτατος θεός,
κακοῖς τε χαίρει, κἀγαθοῖς ἀλγύνεται.

Οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς,
οὐδ' εἰ φθόνου γένοιτο δυσμενέστερος.

Χρὴ δ' ἢ λέγειν τι χρηστὸν, ἢ λέγουσιν εὖ,
μὴ δυσμεναίνειν ὑπὸ φθόνου νικώμενον.

Καρκίνου. Χαίρω σ' ὁρῶν φθονοῦντα, τοῦτ' εἰδὼς, ὅτι
ἓν δρᾷ μόνον ἴδιον, ὧν ποιεῖ φθόνος.
λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα τοὺς κεκτημένους.

Εὐριπίδου. Ἤδη γὰρ εἶδον καὶ δίκης παρεστάτας
ἐσθλοὺς πονηρῷ ὑπὸ φθόνῳ νικωμένους.

Οἴ μοι θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν,
ὃ τοῖσιν ἄλλοις γίγνεται σωτηρία.

Ἐπιχάρμου. Τίς * ἐγκαλοίη γενέσθαι μὴ φθονούμενος φίλος;
* malim βούλοιτο. δῆλον ὡς ἀνὴρ γὰρ οὐδείς ἐσθ', ὁ μὴ φθονούμενος.
τυφλὸν ἠλέησ' ἰδών τις, ἐφθόνησε δ' οὐδὲ εἷς.

Πινδάρου. Κρέσσον γὰρ οἰκτιρμοῦ φθόνος.

Ἀγάθωνος. Σοφίας φθονῆσαι μᾶλλον, ἢ πλούτου καλόν.

Φιλήμονος. Πολλά με διδάσκεις ἀφθόνως διὰ φθόνον,
ὅπως ἀκούων πολλὰ, μηδὲ ἓν μάθω.

Ἡσιόδου. Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.
Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.

Σοφοκλέους. Οὔτε γὰρ γάμον ὦ φίλε, οὔτ' ἂν ὄλβον ἔμμετρον
ἔνδον εὔξαιμ' ἂν ἔχειν. φθονεραὶ γὰρ ὁδοί.

Φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις

Omne quod intellectu præstat inuidiosum est.

Noli inuidere fortunatis, ne uideare malus. Inuidia res est omniũ iniustissima. *Charetis.*

Cæterum ego inter homines tamdiu mihi uideor
Esse fortunatus, quamdiu inuidiosus fuero.

Pauper existens habentibus non inuideto. *Diogenis.*

Sunt hodie quidam, quos alit inuidia.

Pereat quisquis inuidet bona possidentibus.

Quænam genitrix, aut quis genitor ingens malum *Euripidis.*
Produxit hominibus infaustam inuidiam?
Vbi tandem, & quam corporis nacta partem habitat?
In manibus ne, aut uisceribus, aut oculis
Est nobis? O quantus esset labor medicis
Excindere ipsam, uel potionibus, uel pharmacis expellere,
Vtpote morborum omnium, quibus capiuntur homines, multò maximum.

Inuidia quæ multorum animos corrumpit hominum
Perdidit ipsum, & me quoq; pariter.

Difficile fuerit in hac degentem uita *Nicomachi.*
Omnes inuidentium oculos latuisse.

Inuidus, hostis est sibi ipsi. *Menandri.*
Spontaneis enim semper tenetur molestijs.

Haud ulla foret in uita hominum inuidia, *Agathonis.*
Si omnium esset æqualis conditio.
Solet autem inuidia ad res illustres prosilire.

Inuidiam non probo: uelim tamen propter bona mihi ab alijs inuideri. *Euripidis.*

Inuidia dea est pessima, & iniustissima, *Hippothoontis.*
Malisq; gaudet, & bonis tristatur.

Nullus hominum illi uiro male dicere posset,
Neq; si ipsa fuerit inuidia maleuolentior.

Oportet aut aliquid boni dicere, aut bene dicentibus
Non infensum esse inuidia uictum.

Gaudeo te inuidentem aspicere, sciens quod *Carcini.*
Vnum quiddam peculiare sibi facit inuidia.
Ipsa enim possessio possessorem suum offendit.

Iam enim aliquando uidi etiam iustitiæ defensores *Euripidis.*
Bonos uinci ab improba inuidia.

Hei mihi, moriar propter excellentiam ingenij,
Quæ reliquis hominibus salutaris est.

* Quis est qui cuperet amicos sibi non inuidere? *Epicharmi.*
Proculdubio enim nullus est hominum, cui nemo inuideat. *Hic uersus uidetur corruptus in Græco.*
Conspiciens aliquis cæcum misericordia hominis, nullus autem inuidia mouetur.

Inuidia misericordiæ præstat. *Pindari.*

Sapientiæ causa potius quàm diuitiarum inuidere decet. *Agathonis.*

Multa me doces abunde propter inuidiam, *Philemonis.*
Vt audiens quàm plurima ne unum quidem addiscam.

Et figulus figulum æmulatur, & faber fabrum, *Hesiodi in operibus.*
Et mendicus inuidet mendico, & poeta poetæ.

Nec uxorem amice, neq; diuitias immensas *Sophoclis.*
Optarim habere domi. Sunt enim occasiones inuidiæ.

Infamia solet propter quæ inuidia tangitur,

νικᾶν ἐπ' αἰσχροῖς, ἢ ἐπὶ τοῖς καλοῖς πλέον.

Γαύροισι γὰρ ἀνδρῶν ἐστὶ συγγενὴς πόλις,
malim φθόνοι. φίλον τὸν εὐτυχοῦντ' ἀνδρὶ * ψόγου σέβειν.

Θεόφραστος ἔφη τοὺς μοχθηροὺς τῶν ἀνθρώπων, οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

Μενάνδρου. Μειράκιον οὔ μοι κατανοεῖν δοκεῖς, ὅτι
ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται,
καὶ πάντα τὰ λυμαινόμενα ἔσωθέν ἐστιν,
οἷον, ὁ μὲν ἰὸς, ἂν σκοπῇς τὸν σίδηρον.
τὸ δ' ἱμάτιον, οἱ σῆτες, ὁ δὲ θρὶψ, τὸ ξύλον.
ὁ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων φθόνος,
φθισικὸν πεποίηκε καὶ ποιήσει καὶ ποιεῖ,
ψυχῆς πονηρᾶς δυσσεβὴς παράστασις.

Πλουτάρχου. Τὸν φθόνον ἔνιοι τῷ καπνῷ εἰκάζουσι. πολὺς γὰρ ὢν τοῖς ἀρχομένοις ὤν, ὅταν ἐκλαμφθῶσιν, ἀφανίζεται. ἥκιστα γοῦν τοῖς πρεσβυτέροις φθονοῦσιν.

Ἱππίας λέγει δύο εἶναι φθόνους: τὸν μὲν δίκαιον, ὅταν τις τοῖς κακοῖς φθονῇ τιμωμένοις: τὸν δὲ ἄδικον, ὅταν τοῖς ἀγαθοῖς. καὶ διπλῶ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται. οὐ γὰρ μόνον τοῖς οἰκείοις κακοῖς ἄχθονται, ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς.

Πλάτωνος. Ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος.

Σωκράτους. Τὸ τῆς δόξης κάλλος, ὥσπερ ὑπὸ νόσου, τοῦ φθόνου ταχὺ μαραίνεται.

Ἐκ τῶν ἀριστωνύμου κοινῶν διατριβῶν. Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις, ἕπεται κατ' ἀνάγκην σκιά: τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν, ἀκολουθεῖ φθόνος.

Ὁ φθόνος ὥσπερ φαῦλος δημαγωγὸς, ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν.

Οὐχ ἡ λύπη μέγιστον κακὸν ἀκολουθεῖ τῷ φθόνῳ, ἀλλὰ πολὺ μεῖζον, τὸ καὶ πρὸς τοὺς γνωρίμους γίνεσθαι. τῷ γὰρ αἰσχρῷ καὶ φαύλῳ τὴν ὑπεροχὴν δοτέον, οὐ τῇ λύπῃ.

Εὐσεβίου. Ἀνδρὶ ἀγαθῷ εὖ πρήσσοντι φθονέων τις, καὶ πατρίδι, καὶ παντὶ τῷ κοινῷ, καὶ ἑωυτῷ φθονέει.

Ἀνὴρ ἀγαθὸς γὰρ εὖ πρήσσων, πόλιος καὶ παντὸς τοῦ δυναμένου τῆς εὐμαρείης αὐτοῦ μεταλαγχάνειν, κοινὴ εὐδαιμονίη.

Φθόνος ὁ περὶ τῶν εὐδοκιμούντων ἐπὶ τοῖς καλλίστοις ἔργων καὶ ἀπρακτῶν: τῶν δὲ ἀγαθῶν, καὶ οἷόν τε τεκεῖν τι παρ' ἑαυτῶν χρυσὸν, οὐχ ἅπτεται.

Ἰσοκράτους. Μὴ φθονεῖτε τοῖς παρ' ἐμοὶ πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε, χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες, καὶ ἀξιοῦσθε τοῖς προέχουσι.

Θεοφράστου. Φθόνος τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον. τὸ δὲ μὴ ἐμποδὼν, ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται.

Τοῦ αὐτοῦ. Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσιν ἐστί.

Εὐαγόρου. Τοσοῦτον δέ εἰσιν οἱ φθονεροὶ δυστυχέστεροι τῶν ἄλλων, ὅσον οἱ μὲν ἐπὶ ταῖς αὑτῶν συμφοραῖς ἀλγοῦσιν: οἱ δὲ φθονοῦντες πρὸς τοῖς ἑαυτῶν κακοῖς, καὶ ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς λυπούμενοι διατελοῦσιν.

Ἀναξιμένους. Οἱ γὰρ μετὰ φθόνου κρίνοντες, τὸ πρωτεῖον ἀπονέμουσι τοῖς χειρίστοις, οὐ τοῖς βελτίστοις.

Ὅσοι γὰρ τὰ καλῶς ῥηθέντα, ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἂν τοῖς ἔργοις ἀφιλοτιμίαν;

Δημοκρίτου. Μωμεομένων φλαύρων, ὁ ἀγαθὸς οὐ ποιέεται λόγον.

Ὁ φθονέων, ἑαυτὸν ὡς ἐχθρὸν λυπεῖ.

Σωκράτης τὸν φθόνον εἶπεν, ἕλκος εἶναι τῆς ψυχῆς.

Πλάτωνος. Εἰρήνης δὲ γινομένης, καὶ τῆς πόλεως τιμωμένης, ἦλθεν ἐπ' αὐτὴν (ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν) πρῶτον μὲν ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος.

Βίων ἰδὼν φθονερὸν σφόδρα κατηφότα, εἶπεν: ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.

In turpibus uincere potius, quàm honestis.

Perpaucis hominum hoc ingenium est,
Vt amicum fortunatum sine inuidia colant.

Theophrastus dixit improbos homines non tam proprijs bonis gaudere, quàm alienis malis.

Adolescens haud uideris mihi intelligere, quod
Res singulæ ab insito aliquo uitio pereunt,
Et omnes corruptionis causæ ueniunt intrinsecus.
Vt ferrugo, si consyderes ferrum:
Si uestes, tineæ: teredo, si lignum spectes.
Inuidia uero malorum omnium pessima
Tabidum fecit hominem, & faciet, & facit,
Propter impias animæ prauæ cogitationes. *Menandri.*

Inuidiam aliqui fumo comparant. Cum enim ab initio abundet, mox illustratis illis quibus inuidetur, euanescit. Proinde senioribus minime inuident. *Plutarchi.*

Hippias dicit duplicem inuidiam esse: iustam quidem, cũ quis inuidet improbis honoratis: iniustã uero, cũ bonis. Et inuidi duplo magis quã cæteri calamitosi sunt: non eñi solum proprijs malis grauantur, ut alij, sed alienis quoq; bonis.

Bono uiro nunquam ulla quauis de re innascitur inuidia. *Platonis in Timæo.*

Pulchritudo famæ cito marcescit ex inuidia, ceu morbo quodam. *Socratis.*

Iter facientes per solem necessario comitatur umbra: incedentibus uero per gloriam comes est inuidia. *Ex Aristonymi cõmunibus diatribis.*

Inuidia tanquam malus demagogus (id est ambitiosus administrator reipub. popularis) honestis actionibus obsistit.

Tristitia non maximum est malum, quod inuidiam sequitur: sed aliud multo maius, nempe quod in familiares etiam extenditur affectus inuidiæ: Quod cum turpe sit ac improbum, merito maius habetur malum, quàm tristitia.

Si quis inuidet bono uiro fortunato, is etiã patriæ, ac toti reipub. deniq; sibi ipsi inuidet. Nam uir bonus fœliciter agens communis est prosperitas & ciuitatis, & uniuscuiusq;, qui fœlicitatis eius particeps fieri potest. *Eusebij.*

Inuidia ociosa & inefficax est aduersus homines pulcherrimis rebus claros: probos uero & aliquid ex seipsis boni producere idoneos, penitus non attingit.

Non inuidete primas obtinentibus apud me: sed cõtendite prestando uos bonos uiros illis adæquari. *Isocratis.*

Inuidia resistit uiuis. Defunctus uero ut qui neminem impediat, beneuolentia constanti & libera colitur. *Theophrasti.*

Horum causa est inuidia, cui hoc unum adest boni, quod maximo malo se possidentibus est. *Eiusdem.*

Inuidi hoc sunt reliquis infœliciores, quod alij suis solũ calamitatibus dolent. Inuidi uero præter sua mala, bonis etiã alienis contristari pergunt. *Euagoræ.*

Nã qui cũ inuidia iudicant principatũ pessimis attribuunt, nõ optimis. *Anaximenis.*

Nam qui bene dicta factáue propter inuidiam uerbis non laudant, quomodo illi re ipsa iuuarent?

Malos reprehendentes uir bonus non curat. *Democratis.*

Inuidus seipsum tanquam hostem offendit.

Socrates inuidiam dixit ulcus esse animæ.

Cum uero pax iam esset & ciuitas in precio haberetur, contigit ipsi (quod fortunatis hominibus euenire solet) primum æmulatio, deinde inuidia. *Platonis in Menexeno.*

Bion cũ uidisset quendam inuidũ uultu prorsus in terram deiecto, dixit: Aut huic magnum malum contigit, aut alteri cuipiam magnum bonum.

Κάτωνος πρεσβυτ. Ἥκιστα φθονεῖσθαι ἔλεγε τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως. οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσι.

Ἐκ τῶν τοῦ Νικολάου ἐθῶν. Τελχῖνες ἄνθρωποι ὀνομαζόμενοι τὸ ἀνέκαθεν Κρῆτες, οἰκήσαντές τι καὶ ἐν Κύπρῳ, μεταναστάντες δ᾽ εἰς Ῥόδον, καὶ πρῶτοι τὴν νῆσον κατασχόντες, βάσκανοί τε σφόδρα ἦσαν καὶ φθονεροί. τεχνῖται δὲ ὄντες, καὶ τὰ τῶν προτέρων ἔργα μιμησάμενοι, Ἀθηνᾶς Τελχινίας ἄγαλμα πρῶτοι ἱδρύσαντο, ὥσπερ εἴ τις λέγοι Ἀθηνᾶς βασκάνου.

Δημοκρίτου. Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ᾽ ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο. φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

Ἀπολλώνιος τῷ ἀδελφῷ. Ἀνὴρ πολλὰ ἔχων χρηστὰ μαθήματα, ἔπειτα γνώμῃ πονηρᾷ διαχρώμενος, καὶ μὴ βουλόμενος τοῖς μεταποιουμένοις ὑπὸ φθόνου μεταδιδόναι, ἔοικεν ἀγγείῳ πονηρῷ, πολλὰ καὶ χρηστὰ ἔχοντι ἐν ἑαυτῷ ἀποκείμενα, καὶ τὰ ἐνιόντα πρὶν φανῆναι διαφθείροντι.

Ξενοφῶντος. Φθόνον δὲ σκοπῶν ὅ, τι εἴη, λύπην μέν τινα ἐξηύρισκεν αὐτὸν ὄντα, οὔτε μέντοι τὴν ἐπὶ φίλων ἀτυχίαις, οὔτε τὴν ἐπ᾽ ἐχθρῶν εὐτυχίαις γιγνομένην, ἀλλὰ μόνους ἔφη φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους. θαυμαζόντων δέ τινων, εἴ τις φιλῶν τινα ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνησκεν ὅτι πολλοὶ οὕτω πρός τινας ἔχουσιν: ὥστε κακῶς μὲν πράττοντας, μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν: εὐτυχούντων δὲ, λυπεῖσθαι. τοῦτο μὲν οὖν φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβῆναι, τοὺς ἠλιθίους δὲ πάσχειν αὐτό.

Ἡροδότου ἱστορικοῦ. Ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθονέει, καὶ ἔστι δυσμενὴς τῇ σιγῇ. οὐδ᾽ ἂν συμβουλευομένου τοῦ ἀστοῦ, πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα ὑποτίθοιτο, εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι. σπάνιοι δέ εἰσιν οἱ τοιοῦτοι. ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντι ἐστὶν εὐμενέστατον πάντων, συμβουλευομένου τε ἂν, συμβουλεύσειε τὰ ἄριστα.

Πλάτωνος. Ἀλλὰ μὴν ὁ φθονῶν γε, ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος ἀναφανήσεται. σφόδρα γε.

ΠΕΡΙ ΠΑΤΡΙΔΟΣ, ΛΟΓΟΣ ΛΖ΄.

Εὐριπίδου. ΕΙΚΟΣ δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ
πατρίδος ἐρῶντας, ἐκπονεῖν σωτηρίαν.

Μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος.

Ἡ πατρὶς ὡς ἔοικε φίλτατον βροτοῖς,
οὐδ᾽ ὀνομάσαι δύναιμ᾽ ἂν ὡς ἐστὶ φίλον.

Πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα
σώφρονι ναίειν. τὸ δὲ σύντροφον ἡδύ τι θνητοῖς ἐν βίῳ χωρεῖ.

Ἀλλ᾽ ὅμως οἰκτρός τις αἰὼν πατρίδος ἐκλιπεῖν ὅρους.

Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;

Εἰ δ᾽ ἦσθα μὴ κάκιστος, οὔ ποτ᾽ ἂν πόλιν
τὴν σὴν ἀτίζων, τὴν δ᾽ ἂν εὐλόγεις πάτραν.

Ὡς ἔν γέ μοι κρίνοιτ᾽ ἂν οὐ καλῶς φρονεῖν,
ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους
ἄλλην ἐπαινεῖ, καὶ τρόποισιν ἥδεται.

Σύ δ᾽ ὦ πατρῴα χθὼν ἐμὴ γεννητόρων,
χαῖρ᾽. ἀνδρὶ γάρ τοι κἂν ὑπερβάλλῃ κακοῖς,
οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον.

Σπάρτην ἔλαχες, κείνην κόσμει,
τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ.

Οἴκοι μένειν χρὴ, καὶ μένειν ἐλεύθερον,
ἢ μηκέτ᾽ εἶναι τὸν καλῶς εὐδαίμονα.

Σοφοκλέους. Πολλάς τε ζηλῶ βίου,
κάλλιστα δ᾽ εἰ γῆς μὴ πεπέρασαι ξένης.

Μενάνδρου

Minimè inuideri dicebat illis, qui fortuna sua bene ac moderate utuntur. Non enim nobis homines, sed rebus nostris inuident. *Catonis Maioris*

Telchinũ gens originẽ ex Creta sumpsit, habitauit autẽ etiã in Cypro, & inde migrauit in Rhodum, quã insulam ipsi primi occupauerunt. Erant autem perquã maligni & inuidi. Cum uero artifices essent, ac imitarentur opera priscorum, Mineruæ Telchiniæ simulachrũ primi constituerunt, quasi quis dixerit, inuidiæ Mineruæ. *Ex Nicolai historia de moribus gentium.*

Leges non prohibuissent singulos pro arbitrio suo uiuere, nisi alter alteri fuisset iniurius. Etenim inuidia seditionis parit initium. *Democriti.*

Vir multis quidem scientijs eruditus, sed ob animi malitiam inuidiamq́ꝫ nolens alijs desyderantibus cõmunicare, similis est malo uasi, quod in se multa & bona recondit, sed antequam usum sui præbeant, corrumpit. *Apollonius fratri.*

Considerans autem quid inuidia sit, dolorem quendam reperiebat eam esse, non tamẽ nec in aduersa amicorum, nec in sequunda fortuna inimicorum: sed illos inuidere aiebat, qui in amicorum prosperitate doleant. Cum uero quidam mirarentur, si quis alterum amans eiusdem prosperitate doleret: ostendebat multos esse ita erga quosdam affectos, ut eos aduersitate laborantes non possint negligere, sed pro uirili succurrant, successu uero eorum doleant. Hoc autem prudenti uiro minimè, sed stolidis contingere afferebat. *Xenophontis in lib. 4 de factis et dictis Socratis.*

Quoniã ciuis quidẽ ciui prospere uiuenti inuidet, & clàm infensus est. Neq́ꝫ consulenti ciui alius ciuis, quæ sibi uidentur optima, suggeret, nisi multũ in uirtute profecerit, quales rari sunt. Peregrinus autem fœliciter agenti peregrino omnium maximè beneuolus est, & petenti quàm optima dabit consilia. *Herodoti historici.*

Cæterum inuidus apparebit gaudere malis propinquorum. Valde sanè. *Platonis.*

DE PATRIA SERMO XXXVII.

Conuenit omni ratione & arte *Euripidis.*
Amantes patriam salutem eius moliri.
Ne fatigeris, dum patriam recuperare studes.
Natale solum, ut conuenit, gratissimum est hominibus,
Neq́ꝫ uerbis eius dulcedinem exprimere possim.
Multo enim auro & opibus antecellit patria
Ad inhabitandũ prudenti uiro. Nam quod naturæ cognatũ est & familiare, nescio quam sui dulcedinem mortalibus in uita præstat.
Verùm tamen miserandũ est tempus, quo patriæ fines relinquuntur.
Quid enim paterna charius esset uiro tellure?
Quod si non esses pessimus, nunquam ciuitate
Tua contempta, regionem istam laudasses.
Meo quidem iudicio non rectè sapit,
Qui spretis patriæ terræ finibus
Alienam laudàt, & moribus gaudet alienis.
Tu uero ò mea tellus & genitorum patria
Vale. Nam uiro, licet plurimis malis obruatur,
Nullum est suauius solum, quàm quod nutriuit eum.
Spartam sortitus es, istam orna:
Nos uero ex nostra parte Mycenas ornabimus.
Domi manere oportet, ac permanere liberum,
Aut non amplius uiuere, illum qui rectè beatus est.
Beatum existimo te ob uitam tuam plurimum. *Sophoclis.*
Est autem optimum si terram nunquam expertus es alienam.

Εὐριπίδου. Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει.

Θεόγνιδος. Πατρίδα κοσμήσω λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

Σοφοκλέους. Οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς λόγους ποιούμεθα,
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν.

Εὐριπίδου Τί τὸ στέρεσθαι πατρίδος, ἢ κακὸν μέγα
μέγιστον; ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ.
τίς δ' ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;
ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.

Ὁμήρου. Τεθνάτω, οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης.
Ἀτὰρ Ὀδυσσεὺς ἱμείρετο
ἧς γαίης καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι.
Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, ἠδὲ τοκήων.

Εὐριπίδου. Μῆτερ, φρονοῦμεν εὖ, καὶ φρονοῦμεν, ἀφικόμην
ἐχθροὺς ὄντ' ἄνδρας. ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας. ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.

Πλάτωνος. Ἦ οὕτως εἶ σοφὸς, ὥστε λέληθέ σε ὅτι μητρός τε, καὶ πατρὸς, καὶ τῶν ἄλλων προγόνων ἁπάντων, τιμιώτερον πατρίς ἐστι, καὶ σεμνότερον καὶ ἁγιώτερον, καὶ ἐν μείζονι μοίρᾳ, καὶ παρὰ θεοῖς, καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ, καὶ μᾶλλον ὑπείκειν, καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα † καὶ μητέρα, καὶ ἢ πείθειν, ἢ ποιεῖν, ἃ ἂν κελεύῃ, καὶ πάσχειν ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον, ἢ ἀποθανούμενον, ποιητέα ταῦτα. καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχ ὑπεικτέον, οὐδ' ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν. ἀλλὰ καὶ ἐν πολέμῳ, καὶ ἐν δικαστηρίῳ, καὶ πανταχοῦ ποιητέον, ὃ ἂν κελεύῃ ἡ πόλις, καὶ ἡ πατρίς. ἢ καὶ πείθειν αὐτὴν ᾗ τὸ δίκαιον πέφυκε. βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα, οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα.

al' non habetur ἢ μητέρα.

Εὐσεβίου. Πατράσι παῖδας ἐκσῴζειν εὐτυχές, καὶ χρὴ τοῦτο παρὰ τῆς τύχης αἰτεῖν, καὶ τοὺς μετὰ ταῦτα διδαξομένους, καὶ † ὅμως καὶ αὐτῶν ἕκαστοι τάξει τῇ εἰρημένῃ, τοὺς πρὸ ἑαυτῶν διαδεχοίατο. κοινὴ δὲ εὐχὴ δικαιοτάτη αὕτη, ἂν παρὰ πάντων φυλαχθείη ἐπιτηδεία μόνη τοῦ μηκίστου τῶν ἀρχομένων ἑκάστοτε, καὶ ἐκτρέψασαν πάντας πατρίδα, καὶ δοῦσαν τοὺς προηγησαμένους, αὐτήν τε καὶ θεῶν τῶν ἐγχωρίων τὰς καθεστώσας τιμὰς, τῷ πλεῦνι αἰεὶ ὑπερβάλλει.

lego ἴσως.

Πυθαγόρας ἐρωτηθεὶς πῶς δεῖ ἀγνωμονούσῃ πατρίδι προσφέρεσθαι; εἶπεν, ὡς μητρί.

Τιμόθεος ὁ τῶν Ἀθηναίων στρατηγὸς ἀκούσας τινὸς τῶν συστρατηγούντων αὐτῷ λέγοντος: ἆρά γε Τιμόθεε ἡ πατρὶς ἡμῶν χάριτας ἀποδώσει; ἔφη. ἀλλ' ἡμῖν γένοιτο τὰς ἀξίας ἀποδοῦναι.

Ἐκ τῶν Σερίνου. Οἱ Λάκωνες οἱ ἐπὶ τὸ ὑποσχεῖν δίκας ὑπὲρ τῶν κηρύκων ὡς τὸν Πέρσην ἐλθόντες, ἀφείθησάν τε. καὶ διὰ τὴν ἀρετὴν ἠξίου αὐτοὺς παρ' αὐτῷ μένειν. καὶ πῶς ἔφασαν ἂν δυναίμεθα τοιαύτην πατρίδα καταλιπεῖν, ὑπὲρ ἧς τοσαύτην ὁδὸν ἤλθομεν ἀποθανούμενοι;

Ἀριστείδης ἐρωτώμενος, τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει; τὸ τῆς πατρίδος ὄνειδος ἔφη κακῶς ἀκουούσης ἐπὶ τῇ αὐτοῦ φυγῇ.

Σερίφιος ὀνειδιζόμενος ὑπὸ Ἀθηναίου τῇ μικροπολιτείᾳ, ἐμοὶ μὲν ἔφη, ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι.

Ἡ γυνὴ τῷ Ἀριστείδῃ περὶ τὰ πολιτικὰ διατρίβοντι, ἔθει ἔφη, τὰ μὲν ἴδια κοινὰ ἐνόμιζες, τὰ δὲ κοινὰ, ἴδια.

Γορσῶν

Beatus ille, qui fortunatus domi manet. *Euripidis.*

Patriam ornabo pulchram ciuitatem, neq; inter populum *Theognidis.*
Excellens, neq; malis uiris morigerans.

Nunquam equidem inimicum patriæ uirum, in amicitiam *Sophoclis.*
Receperim meam, hoc sciens, quod
Patria est quæ nos seruat, & dum in ipsa
Fortunata degimus, confabulamur inuicem.
Huiusmodi legibus hanc ego ciuitatem promoueo.

Quid aliud est patria priuari, quàm malum magnum? *Euripidis.*
Maximum. Reipsa autem maius est quàm uerbis. *Polynices.*
Quomodo istud fit? Quid exulibus adeo malum euenit?
Vnum sanè maximum, quod exul non habeat dicendi libertatem.

Moriatur, non enim indecorum est ei defendenti patriam mori. *Homeri.*

Cæterum Vlysses desiderabat
Suæ patriæ uel fumum exeuntem uidere.

Quàm nihil est patria suauius, atq; parentibus. *Odyß. 1.*

O mater ego prudens simul, ac imprudens perueni *Euripidis in Phœnißis.*
Ad uiros inimicos. Verum necesse est
Cunctos amare patriam: quod si quis secus ait,
Verba funditare gaudet, animum tamen in patriam conuertit.

An sic es sapiens, ut te latuerit & patri & matri & progenitoribus omnib⁹ patriã esse anteponẽdã? atq; esse uenerabili⁹ q̃ddã sanctiusq́; & in superiori sorte tũ apud deos, tũ apud homines mentis cõpotes esse patriã collocandã, colereq; eã oportere magis eiq; obedire, ac rigidius se gerenti mitius assentiri quã patri, & si q̃d iubeat uel dissuadere illi quantũ liceat, uel facere, & patientissime sustinere quicq̃d iusserit patiẽdũ? Ac siue mandarit uerberari te, siue in uincula cõijci, siue in prælιũ miserit ad uulnera excipienda, mortemq; subeundã, obediendũ est omnino. Ius eñ ita dictat, & neq; tergiuersandũ, neq; fugiendum, neq; ordinẽ deserendũ: sed & in bello, & in iudicio, & prorsus ubiq; ea sunt, q̃ resp. patriaq; iusserit, faciẽda: aut certe uerbis quaten⁹ iustũ est uti licet ad p̃suadendũ illi, eamq; placandã. Vi aũt uti nefas est, uel contra matrem, uel contra patrem, maximè uero omnium contra patriam. *Platonis in Critone.*

A morte patrum filios esse superstites, & præceptores ipsis relinqui, fortunatum est, & à fortuna petendum: itemq; ut ipsorum liberorum singuli eodem ordine naturæ, minores natu maioribus succedant. Communis hæc petitio iustissima est, & seruari ab omnibus idonea. † Cæterum patriæ quæ semper suscipit & alit omnes, & quæ nobis maiores nostros exhibuit, ius, itemq; deorũ indigetũ honores, magis ac magis semper augere oportet. *Eusebij.* *Græcum exemplar non est integrum.*

Pythagoras interrogatus quomodo oporteat se gerere erga patriam ingratam: ut erga matrem, respondit.

Timotheus dux Atheniensium cum audisset unum è collegis dicentem: An putas ô Timothee gratam nobis futurã patriam? Modo nos, respondit, patriæ dignas referre gratias queamus.

Lacones qui ad regem Persarum uenerant ut pœnas darent propter legatos, dimissi sunt: & insuper uirtutis suæ gratia à rege rogati, ut secum manerent. At quomodo, dixerunt, huiusmodi patriam relinquere possemus, cuius gratia tantum itineris morituri confecimus? *Ex Serini scriptis.*

Aristides interrogatus, qua de re in exilio maximè tristatus fuisset: respondit, propter dedecus patriæ male audientis sui causa exilij.

Seriphius quidam cum ei ciuitatis suæ paruitas obijceretur: Mihi quidem, dixit, patria dedecus est, tu uero patriæ.

Aristidis uxor administranti rempub. ei dixit: Vtinam priuatas quidem res putares esse publicas, & contrà publicas, priuatas.

Χρυσέρμου ἐν δευτέρᾳ Περσικῶν.

† uox est corrupta malim πεντακόσια.

Περσῶν τὴν Ἑλλάδα λεηλατούντων, καὶ πάντων τῶν ἐγχωρίων συγκεχυμένων, Παυσανίας ὁ τῶν Λακεδαιμονίων στρατηγός, ἀπὸ Ξέρξου † πεντακόσια τάλαντα χρυσίου λαβών, ἔμελλε προδιδόναι τὴν Σπάρτην. τῶν δὲ ἐπιστολῶν μεσολαβηθεισῶν, Ἡγησίλαος ὁ πατὴρ τοῦ προειρημένου παρὰ τῶν συμβεβηκότων ἀκούσας, τὸν υἱὸν μέχρι τοῦ ναοῦ τῆς Χαλκιοίκου συνεδίωξεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθοις ἐμφράξας, μετὰ τῆς γυναικὸς τὴν εἴσοδον ἐφρούρησε, καὶ λιμῷ τὸν προδότην ἀνεῖλεν, ὃν ἡ μήτηρ ἀείρασα ὑπὲρ τοὺς ὅρους ἔρριψεν.

Δημαράτου.

Τεγεατῶν πρὸς Φενεάτας πόλεμον ἐχόντων, καὶ χρονίου τῆς παρατάξεως ὑπαρχούσης, συνεφώνησε τοῖς δήμοις τριδύμους ἀδελφοὺς πέμψαι τοὺς μαχησομένους ὑπὲρ τῆς νίκης. ἀρέσαντος δὲ τοῦ δόγματος, ἔπεμψαν Τεγεᾶται μὲν τοὺς Ῥηξιμάχου παῖδας, Φενεᾶται δὲ τοὺς Δημοστράτου. συμβληθείσης οὖν τῆς παρατάξεως, ἐφονεύθησαν οἱ τῶν Ῥηξιμάχου δύο· ὁ δὲ τρίτος τοὔνομα Κριτόλαος, στρατηγήματι τῶν ἀντιπάλων περιεγένετο. προσποιητὴν γὰρ σκεψάμενος φυγήν, καθ' ἕνα τῶν ἐπιδιωκόντων ἀνεῖλε, καὶ ἐγκρατὴς γενόμενος τῆς νίκης, περιχαρὴς πρὸς τοὺς οἰκείους ἔδραμε. πάντων δ' αὐτῷ περὶ τὴν εὐπλοΐαν συμπαθεῖς διδόντων, οὐ συγχαίρει μόνη τῶν προειρημένων ἡ ἀδελφὴ Δημοδίκη. πεφονεύκει γὰρ αὐτῆς τὸν κατηγγυημένον ἄνδρα Δημόδικον. ἀναξιοπαθήσας δὲ ἐπὶ τούτοις ὁ νέος, τὴν παρθένον † ἀπεκτέναι, καὶ ὑπὸ τῆς μητρὸς φόνου κριθείς, ἀπελύθη τοῦ ἐγκλήματος.

lego ἀπέκτεινε.

Δημαράτου.

Ἀθηναίων πρὸς Εὔμολπον τὸν Θρᾳκῶν βασιλέα πόλεμον ἐχόντων, Ἐρεχθεὺς ὁ τῆς Ἀττικῆς προϊστάμενος, χρησμὸν ἔλαβεν ὅτι νικήσει τοὺς ἐχθρούς, ἐὰν τὴν πρεσβυτάτην τῶν θυγατέρων Περσεφόνῃ θύσῃ προειρημένος. ὃ δ' εἰς Ἀθήνας Πραξιθέᾳ τῇ γυναικὶ τὴν πυθόχρηστον μαντείαν ἀπήγγειλεν, εἶθ' οὕτω τὴν κόρην προσαγαγὼν τοῖς βωμοῖς ἀνεῖλε, καὶ συμβαλὼν τὸν πόλεμον, ἐγκρατὴς ἐγένετο τῆς νίκης.

Ἱεροκλέους.

Μετὰ τὸν περὶ θεῶν λόγον, εὐλογώτατόν ἐστιν ὑποθέσθαι, πῶς πατρίδι χρηστέον. ἔστι γὰρ ὡσανεὶ δεύτερός τις θεὸς αὕτη, νὴ Δία, πρῶτος καὶ μείζων γονεύς· παρ' ὃ δὴ καὶ ὁ τοὔνομα τῷ πράγματι θέμενος, οὐκ ἀνεπιτρεχὲς ἔθετο, παρασχηματίσας μὲν ἀπὸ τοῦ πατρός, θηλυκῶς δ' ἐξενεγκών, ἵν' οἷον μίγμα τυγχάνοι, τῆς τε τοῦ πατρὸς καὶ τῆς μητρῴας. καὶ δὴ οὗτος μὲν ὁ λόγος ὑπαγορεύει πατρίδα τιμᾶν, ἐπίσης τοῖς δυσὶ γονεῦσι τὴν μίαν, (ὥστε θατέρους μὲν τῶν γονέων ὁποτέρου) καὶ δὴ προκρίνειν τὴν πατρίδα, προτιμᾶν δ' αὐτῆς μηδ' ἅμα τοὺς δύο, δι' ἴσης δὲ μοίρας ἄγειν. ἀλλ' ἕτερος αὖ λόγος ἐστίν, ὃς παρακαλεῖ καὶ προτιμᾶν αὐτὴν τῶν γονέων, † ἀλλὰ τῶν δυεῖν· καὶ οὐ τούτων μόνων τούτων, ἀλλὰ καὶ γυναικὸς σὺν αὐτοῖς καὶ τέκνων καὶ φίλων, καὶ ἁπαξαπλῶς μετὰ θεοὺς τῶν ἄλλων ἁπάντων.

Parenthesi inclusa obscura uidentur.

malim ἅμα.

Ὥσπερ οὖν ἀνόητος μὲν ὁ τῶν πέντε δακτύλων τὸν ἕνα προκρίνων, εὐλόγιστος δὲ ὁ τοὺς πέντε τοῦ ἑνός· ὁ μὲν γάρ, ἀτιμάζει καὶ τὸ προκείμενον· ὁ δ' ἐν τοῖς πέντε, καὶ τὸν ἕνα περισώζει. τὸν αὐτὸν δ' αὖ τὸν τρόπον, καὶ ὁ μὲν ἑαυτὸν τῆς πατρίδος πλέον σώζειν βουλόμενος, πρὸς τῷ δρᾶν ἀθέμιτα, καὶ ἄλλως ἀνόητος, ἱμείρων ἀδυνάτων· ὁ δὲ ἑαυτοῦ προτιμῶν τὴν πατρίδα, θεοφιλής τε καὶ τοῖς λογισμοῖς ἀραρώς. εἴρηται δ' ὅμως, ὡς κἂν εἰ μὴ συγκαταριθμοῖτό τις τῷ συστήματι, κατ' ἰδίαν δὲ ἐξετάζοιτο, καθήκειν τῆς ἑαυτοῦ σωτηρίας τὴν τοῦ συστήματος προκρίνειν, ὅτι τὴν ὡς πολίτου σωτηρίαν ἀνύπαρκτον ἀπέφαινεν ἡ τῆς πόλεως ἀπώλεια, καθάπερ καὶ τὴν τοῦ δακτύλου, ὡς μέρους χειρός, ἡ τῆς χειρὸς ἀναίρεσις. καὶ δὴ ἐπὶ τούτων ἡμῖν συγκεφαλαιούσθω. διότι χρὴ τὸ κοινὸν συμφέρον τοῦ ἰδίου μὴ χωρίζειν, ἀλλ' ἓν ἡγεῖσθαι καὶ ταὐτόν. τό, τε γὰρ τῇ πατρίδι συμφέρον, κοινόν ἐστι καὶ τῶν κατὰ μέρος ἑκάστου. τὸ γὰρ ὅλον δίχα τῶν μερῶν ἐστιν οὐδέν. τό, τε τῷ πολίτῃ συμφέρον, προσήκει καὶ τῇ πόλει, ἐάν γε ὡς συμφέρον πολίτῃ λαμβάνηται. καὶ γὰρ τὸ χορευτῇ ὡς χορευτῇ λυσιτελές, καὶ τῷ ὅλῳ χορῷ κερδαλέον ἂν εἴη. τοῦτον οὖν τὸν λόγον ἐνθέμενοι πάντα ταῖς διανοίαις, πολὺ φῶς ἕξομεν ἐν τοῖς κατὰ μέρος, ὥστε ἐν μηδενὶ παραλιπεῖν καιρῷ τὸ πρὸς τὴν πατρίδα καθῆκον.

Ὧν οὖν ἐκεῖνά φημι δεῖν † ἀποκινονομεῖσθαι πᾶν καὶ πάθος καὶ νόσημα τῆς ἑαυτοῦ ψυχῆς τὸν πατρίδι χρησόμενον καλῶς. δεῖ δὲ καὶ τοὺς νόμους τῆς πατρίδος καθάπερ τινὰς θεοὺς δευτέρους συντηρεῖν αὐτὸν † τελειότητα κατὰ τὴν * τούτου ὑφήγησιν. κἂν εἰ παραβαίνειν τις αὐτούς, ἢ νεοχμοῦν ἐπιχειρῶν, σπουδῇ πάσῃ κωλύοντα καὶ πάντα τρόπον ἐναντιούμενον. οὐ γὰρ

lego ἀποκεκαθάρθαι.

† malim πλείω

* malim αὐτ.

Cum Persæ uastarent Græciam, & indigenæ omnes perturbati essent, Pausanias Lacedæmoniorũ dux quingentis auri talentis acceptis à Xerxe, Spartã proditurus erat. Cæterũ interceptis epistolis Hegesilaus eius pater, cum rem intellexisset ab illis qui in epistolas inciderant, persequutus est filium ad templum usq; Mineruæ, quæ χαλκίοικος ab æde ænea cognominatur. Ibi foribus templi obstructis per lateres, unà cum uxore sua Pausaniæ matre introitum custodiuit, & proditorem fame necauit, quem mater mortuum sublatum extra fines Spartæ proiecit. *Chrysermi in secundo lib. historiæ Persicæ.*

Cum Tegeatis bellum esset contra Phaneatas, & acies utrinq; diu starent instructæ, consultatum est de mittendis trigeminis fratribus, qui pro uictoria pugnarent: qua sententia recepta utrinq;, Tegeatæ quidem Rheximachi filios miserunt, Phæneatę autem Demostrati. Itaq; commissa pugna, duo Rheximachi filiorum occisi sunt, tertius autem nomine Critolaus hoc strategemate uicit aduersarios. Simulata fuga, singulos persequentium, seorsim omnes occidit, ita potitus uictoria, lætabundus ad suos redijt. Cum autem omnes eum perquàm humaniter amplecterentur, sola soror ipsius Demodice non congratulata est ipsi: Occiderat enim desponsatum sibi maritum Demodicum. Hoc ægre ferens iuuenis uirginem occidit, unde cædis à matre accusatus, absolutus est crimine. *Demarati.*

Cum Athenienses contra Eumolpum regem Thracum belligerarent, Erechtheus Atticæ rex oraculum accepit se uictu um hostes, si maximam natu filiarum Proserpinæ immolaret. Renunciauit igił uxori missis Athenas nuncijs Pythicũ hoc oraculũ, deinde filiã ad aras ductã occidit, & cõmissꝙ prælio potitus est uictoria. *Eiusdem.*

Post sermonem de patria maximè conuenit docere, quales in patriam esse debeamus. Est eñ patria, per Iouem, uelut alter quidam deus, & primus maximusq; parens. Quare qui nomen ei imposuit à re ipsa, non temere patriam nominauit, uocabulo qdẽ à patre deducto, pronunciato tñ fœminina terminatione, ut ex utroq; parente mixtũ esset. Atq; hæc ratio insinuat patriam unam ex æquo duobus parentibus colendam esse: Et cum præferat honorem patriæ, ne simul quidem parentes ambos maioris fieri concedit, sed æquali honore dignatur. Est autem & alia ratio, quæ non tantum æquali, sed maiori etiam quàm simul ambos parentes honore patriam afficere monet, neq; solum ipsis eam præfert, sed etiam uxori, & liberis, & amicis, & absoluto sermone rebus alijs omnibus post deos. *Hierocles.*

Quẽadmodũ igił stultus qdẽ fuerit, qui digitũ unũ pluris facit quã simul quinq;: prudens uero, qui maioris quinq;, quã unũ æstimat. Ille eñ cũ toto partẽ quoq; eius negligit: hic uero simul cũ alijs quinq; unũ quoq; conseruat. Similiter qui seipsum præ patria seruare uult, tum iniustè facit, tũ stolidus est, insuper impossibilia desyderans. At q patriã sibi ipsi præponit, is & dijs charus est, & mente prudentior. Quin etiã dictũ est q̃d & si quis non cõnumeretur multitudini, sed seorsim consideretur, decere tamẽ propriæ saluti multitudinis salutẽ præferre. Nam si tota ciuitas pessum ierit, unius utpote ciuis salus consistere nõ poterit: sicuti manu corrupta, nõ saluus permanere potest unus digitus, ut pars manus. Sic igitur paucis sermonẽ nostrũ cõcludamus, quod cõmunis utilitas nõ seiungenda sit à priuata, sed una eademq; censenda. Quicquid eñ patriæ prodest, id singulis quoq; particulatim est cõmune. Etenim totũ nullum est sine partibus. Et uicissim quod ciui fuerit utile, ciuitati quoque conuenit, si modo illi, quatenus ciuis est, expedit. Nam & quod chorearũ duci, quatenus choreas agit, ex usu est, idem toti choro prodest. Proinde omnẽ hunc sermonem rationemq; mente complexi, multum lucis in particularibus habebimus, ita ut nunquam quod patriæ conuenit, negligamus.

Quapropter aio destrui oportere omnem & perturbationem & morbum animæ suæ, ab illo, qui officio suo in patriam satisfacturus est. Oportet autem etiam leges patriæ tanquam alteros deos obseruare, ac seipsum perfectum reddere secundum ipsarum præscriptum. Si quis uero leges aut uiolare, aut innouare conabitur, hic omni studio prohibendus, & modis omnibus oppugnandus est.

οὐ γὰρ ἀγαθὸν οὐδὲ τὸ δύναμα πόλει, δι' ἀτιμίας ἀγόμενοι νόμοι, καὶ τὰ νέα ἀποκρινόμενα τῶν παλαιῶν. ὅθεν καὶ τῶν ψηφισμάτων, καὶ περὶ παραθορμὴ ταύτης καινοργίας εἰρκτέον τοὺς αὐθαδέστερον ἤδη ποτ' ἰόντας. ἀποδέχομαι δ' οὖν ἔγωγε, καὶ τὸν τῶν Λοκρῶν νομοθέτην Ζάλευκον, ὃς ἐνομοθέτησε τὸν καινὸν εἰσοίσοντα νόμον, βρόχου περικειμένου περὶ τραχήλῳ τοῦτο ποιεῖν, ὡς ὁ † καρὶς οἴχοιτο πνιγείς, εἰ μὴ μάλα σφόδρα λυσιτελῶς περὶ καινοῦ παραδιατάττοιτο τὴν δὲ ἀρχῆς περὶ πολιτείας κατάστασιν. οὐδὲν δ' ἧττον τῶν νόμων καὶ τὰ ἔθη φυλακτέον τάχα. ὄντως πάτρια, καὶ τάχα που πρεσβύτερα καὶ τῶν νόμων αὐτῶν. † εἰ τά τε χθιζὰ ταῦτα καὶ πριζὰ τὰ νῦν εἰς ἅπασαν εἰσηγμένα πόλιν, οὔτε πάτρια ἡγητέον, καὶ τάχ' οὐδὲ ἔθη τὸ σύνολον. ἔστι τὸ μὲν ἔθος ἄγραφός τις, εἰ βούλεται, νόμος, καλὸν ὑπογεγραμμένος νομοθέτην, τὴν τῶν χρωμένων ἁπάντων δυναρέστησιν, ἴσως δ' ἔπι καὶ τοῖς φύσει δικαίοις ἐγγὺς βάλλων.

Vox est corrupta. (margin)

lego τὰ δ' χθιζά. (margin)

ΠΕΡΙ ΞΕΝΗΣ, ΛΟΓΟΣ ΛΗ´.

Εὐριπίδου.

Πατρὶς καλῶς πράσσουσα τὸν δυστυχοῦντ' ἀεὶ
μείζω τίθησι, δυστυχοῦντα δ' ἀσθενῆ.
ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

Εἰς τὸ Πλουτάρχου περὶ φυγῆς.

Ὅθεν εὖ μὲν ὁ Ἡρακλῆς εἶπεν ἐρωτηθείς,
Ἀργεῖος, ἢ Θηβαῖος. οὐ γὰρ εὔχομαι
μιᾶς. ἅπας μοι πύργος Ἑλλήνων πατρίς.

ἀλλ' ἡμεῖς ὥσπερ μύρμηκες ἢ μέλιτται, μυρμηκιᾶς μιᾶς, ἢ κυψέλης ἐκπεσόντες, ἀδημονοῦμεν, καὶ ξενοπαθοῦμεν οὐκ εἰδότες οὐδὲ μεμαθηκότες οἰκεῖα τὰ πάντα ποιεῖσθαι, καὶ νομίζειν ὥσπερ ἐστί. καίτοι γελῶμεν τὴν ἀβελτηρίαν τοῦ φάσκοντος ἐν Ἀθήναις βελτίονα σελήνην εἶναι τῆς ἐν Κορίνθῳ, τρόπον τινὰ τὸ αὐτὸ πάσχοντες, ὅταν ἀμφιγνοῶμεν ἐπὶ ξένης γενόμενοι, τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὸν οὐρανόν, ὡς ἕτερα καὶ διαφέροντα τῶν συνήθων. ἡ μὲν γὰρ φύσις, ἐλευθέρους ἡμᾶς καὶ λελυμένους ἀφίησιν, αὐτοὶ δὲ ἡμεῖς συνδέομεν ἑαυτοὺς καὶ στενοχωροῦμεν. πλοῦτον γὰρ ἐκβάλλοντα, ῥᾳδίως καὶ ταχέως οὐκ ἔστιν ἄλλον συναγαγεῖν· πατρὶς δὲ γίνεται πᾶσα πόλις εὐθὺς ἀνθρώπῳ χρῆσθαι μεμαθηκότι. ἂν γὰρ σκοπῇς ἄνευ κενῆς δόξης τὴν ἀλήθειαν, ὁ μίαν πόλιν ἔχων, ξένος ἐστὶ τῶν ἄλλων ἁπασῶν καὶ ἀλλότριος. Ἀριστοτέλης ἦν ἐκ Σταγείρων, Θεόφραστος δὲ Ἐρεσίου, Στράτων ἐκ Λαμψάκου. Γλαύκων δὲ ἐκ Τρῳάδος. Ἀρίστων, ἐκ Κέω. τούτους ἐδίωξεν οὐδείς, ἀλλ' αὐτοὶ διώκοντες ἡσυχίαν καὶ σπουδήν, ἧς οὐ πάνυ μέτεστιν οἴκοι τοῖς ἡντινοῦν δόξαν ἢ δύναμιν ἔχουσι, τὰ μὲν ἄλλα λόγοις, τοῦτο δὲ ἡμᾶς ἔργῳ διδάσκουσι. καὶ γὰρ νῦν οἱ δοκιμώτατοι καὶ κράτιστοι ζῶσιν ἐπὶ ξένης, οὐ μετασταθέντες, ἀλλὰ μεταστάντες.

Ἐν ταυτῷ.

Τὸ δὲ ἀληθέστατον ἡ ψυχὴ φεύγει, καὶ πλανᾶται, θείοις ἐλαυνομένη δόγμασι καὶ νόμοις, εἶτα ὥσπερ ἐν νήσῳ σάλον ἐχούσῃ πολὺν καθάπερ φησὶν ὁ Πλάτων, ὀστρέου τρόπον ἐνδεδεμένη τῷ σώματι, διὰ τὸ μὴ ἀναφέρειν μηδὲ μνημονεύειν,
ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄλβου
μεθέστηκεν, οὐ Σάρδεων Ἀθήνας, οὐδὲ Κορίνθου Λῆμνον ἢ Σκῦρον, ἀλλ' οὐρανοῦ καὶ σελήνης γῆν ἀμειψαμένη, καὶ τὸν ἐπὶ γῆς βίον. ἂν μικρὸν δὲ ἐνταῦθα τόπον ἐκ τόπου παραλλάξῃ, δυσανασχετεῖ καὶ ξενοπαθεῖ, καθάπερ φυτὸν ἀγεννὲς ἀπομαραινομένη. καίτοι φυτῷ μέν, ἐστί τις χώρα μᾶλλον ἑτέρας ἑτέρα πρόσφορος, ἐν ᾗ τρέφεται, καὶ βλαστάνει βέλτιον. ἀνθρώπου δὲ οὐδεὶς ἀφαιρεῖται τόπος εὐδαιμονίαν, ὥσπερ οὐδὲ ἀρετήν, οὐδὲ φρόνησιν.

Ξενιτεία βίου αὐτάρκειαν διδάσκει. μᾶζα γὰρ καὶ στιβάς, λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.

Δημοκρίτου.

Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή, ψυχῆς γὰρ ἀγαθῆς, πατρὶς ὁ ξύμπας κόσμος.

Τέλητος περὶ φυγῆς.

Μήποτε πρὸς μὲν τὸν οἰόμενον ἀλγεινοτέραν τὴν φυγὴν ποιεῖν, ὀρθῶς ἂν παραβάλλοιτο τὰ ἐπὶ τῶν τεχνῶν· ὅτι ὃν τρόπον οὐδὲν αὐλεῖν, οὐδὲ ὑποκρίνεσθαι χεῖρόν ἐστιν ἐπὶ ξένης ὄντα, οὕτως οὐδὲ βουλεύεσθαι. πρὸς δὲ τὸν κατ' ἄλλο τι ἡγούμενον τὴν φυγὴν βλαβερὸν εἶναι

Contemptus enim legum, & innouatio ab antiquitate separata, non bonū est ciuitati studiū. Quamobrē à ferendis suffragijs, & temeraria innouatione rerū, qui contumacius in id incumbunt, arcendi sunt. Cæterū ego Zaleucū probo Locrensiū legislatorē, q sanciuit, q̃d quisq3 legē nouā introducturus esset, circūposito ceruici laqueo id facere deberet, ut author eius suffocaret, nisi eximiā utilitatē nouæ legis ad antiquū reipub. statū cōparatæ declararet. Porrò cōsuetudines q̃q3 reuera patriæ, & fortassis ipsis legib9 uetustiores, nihil min9 quā leges obseruandę sunt. Quę uero heri tātū (ut aiūt) & nudiustertiꝰ in totā ciuitatē recepta sunt, neq3 patria cēsenda sunt, & forte ne cōsuetudines q̃dē omnino: Quoniā consuetudo lex est non scripta, optimi legislatoris inscriptū nomē habens, uidelicet utentiū omniū comprobationem: fortassis autem & naturali iustitiæ proxima fuerit patria consuetudo.

DE EXILIO, SERMO XXXVIII.

Patria fœliciter agens fortunatum semper *Euripidis.*
Altius prouehit, infortunatum uero humiliat.
Vbicunq3 terrarum, quæ nutrit tellus, ea patria est.
Hinc rectè Hercules interrogatus, *Ex Plutarchi li. de exilio.*
Argiuus ān Thebanus? haud unam curo
Iactare, Græcia omnis est mi patria.

At nos quasi formicæ uel apes, si ex una cauerna aut aluearí exciderimus, hospites externiq3 nobis esse uidemur. *Eiusdem paulo post.* Quod idcirco fit, quia omnia propria et familiaria ut certe sunt, facere ignoramus. Atq stultitiā eius irridemus, q lunā Athenis meliorē nitidioremq3 esse dicat, quàm quæ Corinthi: & tñ in idem quodāmodo uitiū mentis incidimꝰ, quū pegrinantes, terrā, mare, aërē, cœlū, ut diuersa aliaq3 à cōsuetis esse cōtendimꝰ. Liberi q̃dē & soluti à natura in lucē emittimur, ipsimet aūt nos ipsos colligamus, locorumq3 coarctamus angustijs. Paulo post. Amissæ eñ diuitiæ breui facileq3 reparari nequeūt: patria uero statim quælibet ciuitas fit illi, q nouerit uti. Paulo post. Nam si uana falsaq3 opinione remota ueritatē ipsam consideres, q unā duntaxat ciuitatē habet, hospitē alienumq3 cæteris omnibꝰ inuenias. Aliquanto post. Aristoteles oriundꝰ erat è Stagiris, Theophrastꝰ ex † Epheso. *al. Ereso.* Straton è Lampsaco, è Troade Glycon, Ariston è Ceo, &c. Quos si quæras quisnā insectatꝰ exulare coëgerit, inuenias neminē, sed ipsi sponte quietē & studia sequuti sunt, quorū participare nequeunt, q domi nominis aliquid, uel potestatis obtinent. Itaq3 cū cætera suis nos doceant libris, hæc profecto re ipsa etiā docent. Et nūc quoq3 optimus quisq3 & probatissimus peregre uiuit, non pulsus, sed sponte aliò transgressus, nec fugatus, sed fugiens ipse molestias, occupationes, negocia, quæ patria afferre solet.

Empedocles animi huc aduentum aliunde ad generationem blandiusculo nomine mitigans peregrinationē uocat. *Ibidem prope finem libri.* Quod uerissimū autē est, uagatur exul, diuinis legibus & decretis agitatus, & sic quasi in insula multo maris æstu circumflua, ut Plato inquit, more ostrei corpori annexus, quod non recordetur, nec recolat,
E quantis opibus quali & translatus honore
Corporeis animus uinclis religatus inhæret:
nō Sardibꝰ cū Athenis, nec Corintho cū Lēno Scyroq3, sed ipso cœlo lunaq3 cū terra ac terrestri fragiliq3 uita pmutatis. Si uero hic ex loco in locum minimi interualli transierit, grauissime fert quasi pegrinꝰ & hospes, & modo degeneris plantæ immarcescit. Quāquā plantæ q̃dē regio alijs alia cōmodior est, ubi meliꝰ alat & germinet: Homini aūt fœlicitatē locꝰ nullꝰ, sicut nec uirtutē, nec animi prudentiā aufert.

Peregrinatio uitæ frugalitatem docet: offa quippe & thorus herbaceus, famis ac laboris dulcissimæ medelæ sunt. *Democriti.*

Quælibet terra homini sapiēti est peruia: animæ nanq3 fortis uniuersus mundus (patria est.

An nō cōtra eū q exiliū reddere imprudētiores putet cōparari queāt rectè q̃ in alijs artib. eueniūt? *Teletis de exilio* Vt eñ tibia canere, aut in theatro agere hypocritā nō obstat etiā in terra pegrina, sic neq3 cōsultare. Sin aūt aliqs existimet quadā alia in re noxiū esse exiliū

εἶναι, μὴ οὐδὲν λέγῃ πρὸς τὸ τοῦ Στίλπωνος, ὃ καὶ πρώην εἰπόντι λέγειν φησί. καὶ τίνων ἡ φυγὴ, ποίων ἀγαθῶν στερίσκει τῶν περὶ ψυχὴν, ἢ τῶν περὶ τὸ σῶμα, ἢ τῶν ἐκτός; εὐλογιστίας; ὀρθοπραγίας; εὐπραγίας ἡ φυγὴ στερίσκει; οὐ δή. ἀλλὰ μὴ ἀνδρείας, ἢ δικαιοσύνης, ἢ ἄλλης τινὸς ἀρετῆς; οὐδὲ τοῦτο. ἀλλὰ μὴ τῶν περὶ τὸ σῶμά τινος ἀγαθῶν, ἢ οὐχ ὁμοίως ἔστιν αὐτόθι ξένης ὄντα ὑγιαίνειν, καὶ ἰσχύειν, καὶ ὀξὺ ὁρᾶν, καὶ ὀξὺ ἀκούειν, ἐνίοτε δὲ μᾶλλον ἢ ἐν τῇ ἰδίᾳ μένοντα; καὶ μάλα. ἀλλὰ μὴ τῶν ἐκτὸς στερίσκει ἡ φυγή; ἢ οὐ πολλοῖς ὤφθη τὰ πράγματα κατὰ τὴν τοιούτων ὕπαρξιν ἐπιφανέστερα γεγονότα φυγάδων γενομένων, ἢ οὐ Φοῖνιξ ἐκ Δολοπίας ἐκπεσὼν ὑπὸ ἀμύντορος εἰς Θετταλίαν φεύγει.

Πλεῖα γὰρ ἐξινόμην, καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν.

Θεμιστοκλῆς ἐκεῖνος ὦ παῖ ἀπωλόμεθα, νῦν ἡ πολλὴ τῶν τοιούτων ἀφθονία. ποίων οὖν ἀγαθῶν ἡ φυγὴ στερίσκει, ἢ τίνος κακοῦ παραιτία ἐστίν; ἐγὼ μὲν οὐχ ὁρῶ. ἀλλ' ἡμεῖς πολλαχοῦ αὐτοὺς κατορύττομεν, καὶ φυγάδες γενόμενοι καὶ ἐν τῇ ἰδίᾳ μένοντες. οὐκ ἄρχουσί φησιν. οὐ πιστεύονται. οὐ παρρησίαν ἔχουσιν. ἔνιοι δὲ καὶ φρουροῦσι τὰς πόλεις παρὰ βασιλεῦσι καὶ ἔθνη πιστεύονται, καὶ δωρεὰς μεγάλας, καὶ συντάξεις λαμβάνουσι. Λυκῖνος ἐκεῖνος, οὐ παρ' ἡμῖν ἐφρούρει φυγὰς ὢν ἐκ τῆς Ἰταλίας, πιστευόμενος παρ' Ἀντιγόνου; καὶ τὸ προσταττόμενον ἐποιοῦμεν Λυκίνου ἡμεῖς ἐν τῇ ἰδίᾳ μένοντες; Ἱππομέδων ὁ Λακεδαιμόνιος ὁ νῦν αὐτόθι Θρᾴκης καθεσταμένος ὑπὸ Πτολεμαίου; Χρεμωνίδης καὶ Γλαύκων οἱ Ἀθηναῖοι, οὐ πάρεδροι καὶ σύμβουλοι; ἵνα μὴ τὰ παλαιά σοι λέγω, ἀλλὰ τὰ καθ' ἡμᾶς. καὶ τὸ τελευταῖον οὐκ αὐτόθι στόλου τηλικούτου ἐξαπεστάλη, καὶ χρημάτων τοσούτων πιστευόμενος, καὶ τὴν ἐξουσίαν ἔχων ὡς βούλοιτο χρῆσθαι; ἀλλ' ἔν γε τῇ ἰδίᾳ οὐκ ἄρχουσιν οἱ φυγάδες. οὐδὲ γὰρ αἱ γυναῖκες οἴκοι μένουσαι, οὐδ' οἱ παῖδες, οὐδὲ τὰ μειράκια ταυτί, οὐδ' οἱ ἔξωροι τῇ ἡλικίᾳ, ἀλλὰ εἰ μή τι δυσχερὲς αὐτοῖς εἴη, ἠδύναντο αὐτόθι τούτῳ, οὐκ ἂν ἦσαν βασιλεῖς; τί δὲ καὶ διαφέρει ἄρχειν ἢ ἰδιωτεύειν; ἢ πολλῶν, ἢ ὀλίγων, καὶ ἡβώντων βασιλεύσεις. ἐγὼ δὲ ὀλίγων καὶ ἀνήβων παιδαγωγὸς γενόμενος, καὶ τὸ τελευταῖον ἐμαυτοῦ. τῇ γὰρ αὐτῇ ἐμπειρίᾳ χρώμενον, καὶ τοὺς πολλοὺς καὶ τὸν ἕνα, καὶ δημοσιεύοντα, καὶ κατ' οἰκίας ἐργολαβοῦντα, καὶ αὐτόθι ξένης ὄντα, καὶ ἐν τῇ ἰδίᾳ μένοντα, καὶ κατὰ τὴν αὐτὴν εὐβουλίαν καὶ τῇ ἀρχῇ καλῶς, καὶ τῇ ἰδιωτείᾳ δεῖ χρῆσθαι. τί οὖν διοίσει μοι, εἰ μὴ ἄρξω, ἀλλὰ ἰδιωτεύσω; ἀλλ' οὐδὲ ἐξουσίαν ἕξεις εἰσελθεῖν εἰς τὴν ἰδίαν. οὐδὲ γὰρ νῦν εἰς τὸ Θεσμοφόρειον ἐξουσίαν ἔχω, οὐδὲ γυναῖκες εἰς τὸ τοῦ Ἐνυαλίου. οὐδ' εἰς τὰ ἄβατα ἔξομεν ἴσως ἥξομεν. ἀλλὰ εἰ αὐτόθι τούτῳ ἄχθοιτό τις, οὐκ ἂν παιδαριώδης εἴη; οὐδὲ εἰς τὸ γυμνάσιον ἐνίοτε ἐξουσίαν ἔχω, ἀλλ' ἀπελθὼν εἰς τὸ βαλανεῖον ἠλειψάμην τῇ αὐτῇ παλαιστρικῇ χρώμενος, ἢ καὶ πρὸ τοῦ ἐν τῷ γυμνασίῳ. οὕτω καὶ δεῦρο ἄβατον ἡγησάμενος τὴν ἰδίαν, μεταβὰς ἀλλαχοῦ κατοικῶ. οὐκοῦν ἀκλήρημά τι καὶ ὄνειδος ἐμόν, εἰ μὴ μετὰ πονηρῶν οἰκήσω. δύναμαι δὲ μεταβὰς ὥσπερ ἐξ ἑτέρας νεὼς εἰς ἑτέραν ὁμοίως εὐπλοεῖν, οὕτως ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν πόλιν ὁμοίως εὐδαιμονεῖν. οὐκ ἐμὸν ὄνειδος, ἀλλὰ οὐ τῶν ἐμὲ ἐκβαλλόντων ἐπιεικῆ καὶ δίκαιον ὄντας;

malim ut. οὐκ ἀηδῶς Φιλήμων ἥκοσαν ἴσμεν. † οὐ γάρ ποτε αὐτοῦ καὶ ἀπηλλαχότος ἀστείως συναντῶντές τινες ὡς εὐημερήκεις, ἔφασαν Φιλῆμον. ἡμεῖς μὲν οὖν φησιν οἴεσθε οὕτω τεθεαμένοι. ἐγὼ μὲν γὰρ ἀεὶ ἀγαθὸς ὢν διατελῶ. τί οὖν ὑπὸ χειρόνων φυγαδεύεσθαι, οὐ παροινίας; σὺ δ' ἂν ἐβούλου φησὶν ὑπὸ καλῶν καὶ ἀγαθῶν; ἢ οὐχ οὕτω μᾶλλον σὸν ἔγκλημα, οὐθένα γὰρ ἀγνωμόνως, καὶ ἀδίκως ἄνδρες ἀγαθοὶ φυγαδεύουσιν, οὐ γὰρ ἂν ἦσαν δίκαιοι. παρεδοκιμάσθης οὖν ὑπὸ τῶν τοιούτων καὶ χειροτονίᾳ καὶ ψήφῳ οὐκ ὄνειδος; οὐ σόν γε, ἀλλὰ τῶν τούτους χειροτονούντων, καὶ ψηφοφορούντων, ὥσπερ εἰ τὸν ἄριστον ἰατρὸν ἀφέντες, φαρμακοπώλην εἵλοντο, καὶ τούτῳ τὸ δημόσιον ἔργον ἐνεχείρισαν, πότερ' ἂν τοῦ ἰατροῦ εἴπας ἂν ὄνειδος, καὶ ἀκλήρημα τοῦτο, ἢ τῶν ἑλομένων; ἀλλὰ τοῦτό γε εὑρεθῆναι τὴν πατρίδα μοχθηρὰν καὶ ἀχάριστον οὖσαν, εἰς ἣν πολλά τις ἐπόνησε, πῶς οὐκ ἀκλήρημα; καὶ πῶς ἂν εἴη τοῦτο ἀκλήρημα, ἀλλ' οὐκ ἤδη εἰπεῖν εὐκλήρημα, τὸ γνῶναι ποία τις πρότερον μὴ εἰδότα; ἀλλ' εἰ μὲν τὴν γυναῖκα ᾔδει πονηρὰν καὶ ἐπίβουλον οὖσαν, πρότερον μὴ εἰδὼς ἂν εἶχεν χάριν, καὶ εἰ τὸν οἰκέτην δραπέτην, καὶ κλέπτην, ἵνα φυλάττῃ. εἰ δὲ τὴν πατρίδα πονηρὰν καὶ ἀχάριστον ᾔδει, ἀκληρεῖν ἡγῇ; σὺ ἀλλ' οὐ χάριν ἔχεις. ἀλλ' ὅμως μέγα σοι δοκεῖ τὸ ἐν ᾗ ἐγίνετό τις, καὶ ἐτράφη ἐν ταύτῃ καταγηρᾶσθαι,

πότερον

ad illũ nihil diceris, quàm quod Stilpo nuper fertur dixisse: Quibus tandem, & qualibus bonis priuat exilium, animi ne, an corporis, an fortunæ? An iudicandi agendiq́ dexteritatem aut fœlicitatẽ aufert? Haud sanè. At fortitudine, iustitia, aut alia quapiam uirtute priuat? Ne id quidem. Sed nec ullo fraudat corporis bono: an nõ æque licet in aliena terra bene ualere, uiribus pollere, acutum cernere & audire acutè, interdum uero multo magis, quàm si in sua terra quis maneat? Fortunæ uero bonis neminem exilium exuit. An non uisum est multos tum demum cum exules sunt facti, potitos fortunæ bonis splendidioribus? An non Phœnix expulsus terra Dolopum ab Amyntore in Thessaliam exulatum concedit?

Ad Peleũ deueni, Et me opulentũ reddidit, multũ præterea mihi dedit populũ. *Homeri Iliados iota.*
Themistocles ille, ò fili perijmus. Nunc uero magna huiusmodi rerũ ipsi est copia. Quibus ergo bonis spoliat exilium, aut quorum malorum est causa? ego enim non uideo. Quin nos sæpe defodimus pecunias, & exules facti & domi manentes. At non magistratum gerunt, inquit, at non habetur eis fides, non habent dicendi libertatem. Imò aliqui præsidio tenent oppida apud reges, & populi fidei ipsorum committuntur, & præterea congiaria stipendiaq́ accipiunt. Lycinus ille nónne apud uos præsidium tenebat, exul cum esset ex Italia, summæq́ apud Antigonum fidei? Nosq́ in patria agentes faciebamus quod Lycinus imperasset? Hippomedon ille Lacedæmonius, nunc Thraciæ præfectus à Ptolemæo. Chremonides & Glaucon Athenienses, nónne assessores regis & consiliarij sunt, ne prisca tibi referam, sed præsentia? Et postremo innumera cum classe, & pecunia grandi fidei suæ creditis dimissus est potestatem habens utendi ijs pro libito. At in patria non imperiũ tenent proscripti. Nam neq́ mulieres quæ domi remanent, nec pueri, nec adolescentes ibidem, nec etiam grandæui imperant. Si tamen hoc illis graue molestumq́ esset & moueret dolorem, nónne essent stulti? Et quid refert magistratum ne geras an priuatus sis? Tu multis aut paucis ijsq́ uigentibus ætate, imperabis, ego uero paucis & impuberibus pædagogus, deniq; mihi quoq; ipsi ero. Par enim est adhibenda experientia in multis & uno, in repub. et re familiari administranda, in peregrino orbe, & in patria agenti: atq; eadẽ bona consultatione, & magistratu bene, & re priuata licet uti. Quid ergo mea refert, etiamsi non imperem, sed agam priuatus? Sed non habebis potestatem ueniendi in tuam patriam. Nec nunc fas est introeundi sacra arcana Cereris, nec mulieribus templum Martis. Nec habemus potestatem adeundi inaccessa per religionẽ loca. Sed si qs id moleste ferret, nõne puerilis uideretur? Nec in gymnasiũ licet ingredi quandoq;, sed ingressus balneũ unxi me, usus ea ipsa arte palæstrica qua ante sæpe in gymnasio. Sic hic quoq; putans meã terrã inaccessibilẽ, transiẽs aliò incolo. Quare nec mea calamitas ulla, nec probrũ, nisi cum malis habitem. Possum aũt perinde ut ex naui in alterã transcendens fœliciter nauigare, itidẽ ex ciuitate una in alterã migrans beatè degere. Nunquid meũ istud probrũ est, ac nõ potius eorũ q eiecerunt me æquũ iustumq́ existentẽ? Non illepide Philemon. † Cum enĩ aliquando uertisset solũ, qdã occurrentes ei ciuiliter dixerunt: Mi Philemon, quã bene tibi successit. Vos qdẽ inqt putatis, q sic uidistis. Atq ego bon⁹ semp pseuero. Quid? an nõ cõtumelia est à deteriorib⁹ proscribi? Tu uero uelles à bonis probisq́ pot⁹? *Græcum exemplar uidetur corruptum.*
An non tum quidem culpa tua fuerit? nam neminem temere, & iniuste exilio mulctant: alioqui iusti nõ essent. Reprobari igitur præ talibus suffragio & calculis nõne est probrũ? nõ inquã tuũ, sed eorũ qui tales suffragijs suis & calculis elegerunt. Perinde ac si optimo medico omisso, pharmacopolã elegissent, eiq́ cõmisissent publice medendi opus, utrũ dices opprobriũ istuc medici & infortuniũ, an eorũ qui elegerunt? Sed enim patriam inueniri scelestam & ingratam, in quam quis multa contulerit, quomodo nõ sit infœlicitas? Tua uero tandẽ sit hæc calamitas ac non iam dicenda fœlicitas, scire qualis sit ea, quã antea nõ noueris? Atq cũ uxorẽ rescieris malã & insidiantẽ tibi, pri⁹ ignar⁹, gratiã habes, et si seruũ fugitiuũ & furẽ, ut caueas: Patriã uero qd senseris malã ingratamq́ esse, putas aduersa fortuna te uti, ac nõ potius gratiã habes. Attamẽ magnũ tibi uidet ubi sis editus atq; educatus ibidẽ perdurare.

πότερον καὶ ἐν οἰκίᾳ ἐν ᾗ ἐτράφης καὶ ἐγένου ἐν ταύτῃ καταγηρᾶσθαι κᾂν ᾖ σαπρὰ, καὶ ῥέουσα, καὶ καταπίπτουσα· καὶ ἐν νηὶ ἐν ᾗ ἐγένου, καὶ ἐκ παιδίου ἔπλεις, ἐνταῦθα κᾂν ἀκάτιον ᾖ, καὶ ἀντλοῦντα ἀπορρήγνυσθαι δέοι, δέον εἰς τὴν εἰκόσορον μεταβάντα ἀσφαλῶς καὶ ἀκόπως πλεῖν. καὶ ὀνειδίζουσί με, ὅτι κύπριος ὁ μυκώνιος. ὅμως δὲ μέγα τί φασι, τὸ, ἐν ᾗ ἐγένετό τις, καὶ ἐτράφη ἐν ταύτῃ καταβιῶναι. καὶ τὰς πλείους μὲν ἐξώλεις τῶν πόλεων, καὶ τοὺς ἐνοικοῦντας ἀσεβεῖς, μέγα δὲ καὶ προσηνὲς τὴν πατρίδα, ὥσπερ καὶ αὐτὴ, ἀλλὰ καὶ ὅτι μέτοικος. ὀνειδίζουσι δὲ πολλοὶ λέγοντες μέτοικε.

σὺ δ' ὑγιηρὰς ὢν τὴν δὲ δουλώσας ἔχεις.

καὶ κάδμον μὲν τὸν κτίστην θηβῶν θαυμάζει. ἐμὲ δὲ εἰ μὴ πολίτης, ὀνειδίζει. νὴ ἡρακλέα μὲν ὡς ἄριστον ἄνδρα γεγονότα ἐπαινοῦμεν. τὸ δὲ, μέτοικον εἶναι, ὄνειδος ἡγούμεθα. ἡρακλῆς δ' ἐξ ἄργους ἐκπεσὼν, θήβαις κατῴκει. λακεδαιμόνιοι δὲ οὐδὲν τῶν τοιούτων ὄνειδος ἡγοῦνται. ἀλλὰ τὸν μὲν μετασχόντα τῆς ἀγωγῆς καὶ ἐμμείναντα, κᾂν ξένος κᾂν ἐξ εἱλώτων, ὁμοίως τοῖς ἀρίστοις τιμῶσι. τὸν δὲ μὴ ἐμμείναντα κᾂν ἐξ αὐτοῦ τοῦ βασιλέως, εἰς τοὺς εἵλωτας ἀποστέλλουσι, καὶ τῆς πολιτείας ὁ τοιοῦτος οὐ μετέχει. ἀλλὰ τό γε ἐν τῇ ἰδίᾳ μὴ ἐξεῖναι ταφῆναι, πῶς οὐκ ὄνειδος; καὶ πῶς μέλλει τοῦτο ὄνειδος εἶναι, ὃ τοῖς ἀρίστοις πολλάκις συνέβη; ἢ τίς τιμὴ αὕτη, ἥτις τοῖς κακίστοις περιγίνεται; καὶ σωκράτην μὲν ἐπαινοῦσιν, ὅταν ὑπολαμβανόμενος ἀθηναίων λέγῃ. οἱ μὲν γὰρ στρατηγοὶ ἐφ' οἷς καλλωπίζονται, ὑπερόριοι τεθαμμένοι εἰσὶ, τὰ δὲ ὀνείδη τῆς δημοκρατίας ἐν τοῖς δημοσίοις τάφοις. ὁμοίως δὲ καὶ τὸ μὲν ἐπὶ ξένης ταφῆναι ὄνειδος, τὸ δ' ἐν τοῖς δημοσίοις τάφοις, τίμιον. ὅτι δὲ καὶ διαφέρειν ἂν δόξῃ ἐπὶ ξένης ταφῆναι, ἢ ἐν τῇ ἰδίᾳ; οὐκ ἀηδῶς γάρ τις τῶν ἀττικῶν φυγάδων, λοιδορουμένου τινὸς αὐτῷ καὶ λέγοντος, ἀλλ' οὐδὲ ταφήσῃ ἐν τῇ ἰδίᾳ, ἀλλ' ὥσπερ οἱ ἀσεβεῖς ἀθηναίων ἐν τῇ μεγαρικῇ. ὥσπερ μὲν οὖν ἔφη οἱ εὐσεβεῖς μεγαρέων ἐν τῇ μεγαρικῇ. τί γὰρ τὸ διάφορον, ἢ ὡς πανταχόθεν φασὶν ὁ ἀρίστιππος, ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδὸς, ἢ τὴν ἀρχὴν εἰ μὴ ταφήσῃ, τί σοι μέλει. ἀλλ' ἡ περὶ ταφῆς

[illegible] ἡ ἄγνοιά φησιν ὁ βίων, πολλὰς τραγῳδίας ἐποίησεν. ὥσπερ καὶ ὁ πολυνείκης ἐντέλλεται.

θάψον δέ μ' ὦ τεκοῦσα, καὶ σὺ σύγγονε
ἐν τῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.

εἰ δὲ μὴ τύχῃς χθονὸς πατρῴας, ἀλλ' ἐπὶ ξένης ταφήσῃ, τί ἔσται τὸ διάφορον; εἰ ἐκ θηβῶν μὲν εἰς ᾅδου ὁ χάρων πορθμεύει;

καὶ γῆς φίλης ὄχθοισι κρυφθῆναι καὶ τάφῳ.

εἰ δὲ μὴ κρυφθείης, ἀλλὰ ἄταφος, τί τὸ δυσχερές; ἢ τί διαφέρει, ὑπὸ πυρὸς κατακαυθῆναι, ἢ ὑπὸ κυνὸς καταβρωθῆναι, ἢ ἐπάνω τῆς γῆς ὄντα ὑπὸ κοράκων, ἢ κατορυχθέντα ὑπὸ σκωλήκων;

συναρμόσον δέ μου βλέφαρα τῇ σῇ χειρὶ μῆτερ.

ἂν δὲ μὴ συναρμόσῃ σου, ἀλλὰ βλέπων καὶ κεχηνὼς ἀποθάνῃς, τί ἔσται τὸ χαλεπόν; ἢ καὶ τῶν ἐν τῇ θαλάττῃ, καὶ ἐν τοῖς πολέμοις ἀποθνησκόντων συναρμόζει τίς; ἀλλ' ἐμοί γε δοκεῖ ταῦτα παιδιά τις ἡμετέρα εἶναι. καὶ ἡμεῖς μὲν καὶ ἰδεῖν καὶ ἅψασθαι ὀκνοῦμεν· οἱ δὲ σκελετεύσαντες ἔνδον ἔχουσιν ὡς καλόν τι, καὶ ἐνέχυρα τοὺς νεκροὺς λαμβάνουσιν. οὕτως ἀντέστραπται τῶν ἡμετέρων ὁ ἐκείνων τύπος.

Μουσωνίου ἐκ τοῦ ὅτι οὐ κακὸν ἡ φυγή.

Φυγάδος δέ τινος ὀδυρομένου ὅτι φεύγει, οὕτω πῶς παρεμυθήσατο αὐτόν. φυγὴν γὰρ ἔφη, πῶς ἄν τις μὴ ἀνόητος ὢν βαρύνοιτο; ἥτις ὕδατος μὲν καὶ γῆς καὶ ἀέρος, ἔτι δὲ ἡλίου, καὶ τῶν ἄλλων ἄστρων, οὐκ ἀπείργει ἡμᾶς οὐδαμῶς, ἀλλ' οὐδὲ ἀνθρώπων ὁμιλίας, ἁπανταχοῦ γὰρ καὶ πάντη τούτων μετουσία ἐστίν. εἰ δὲ μέρους τῆς γῆς τινὸς ἀφαιρούμεθα, καί τινων ἀνθρώπων συνουσίας, τί τοῦτο δεινόν; οὐδὲ γὰρ οἴκοι ὄντες, ἁπάσῃ τῇ γῇ ἐχρώμεθα, οὐδὲ ἀνθρώποις ἅπασι συνῆμεν. τοῖς μέν τοι φίλοις, καὶ νῦν συνεῖμεν ἄν, τοῖς γε ἀληθινοῖς καὶ ὧν προσήκει ποιεῖσθαί τινα λόγον. οὐ γὰρ ἂν οὗτοι προδοῖεν ποτὲ ἡμᾶς, οὐδὲ ἐγκαταλείποιεν

εἰ δὲ

Verum etiam in domo qua natus & enutritus es, pulchrum putas permanere, tametsi sit putrida stillans ac labefactata? Num etiam in naui in qua natus sis & nauigaris à puero, in eadem tametsi lembo manendum putas, etiam si remis incumbentem disrumpi necesse sit? cum liceat tutò & absq; difficultate conscendere nauim uiginti remorum: & exprobrant mihi quod Cyprius Myconius: nihilominus aiunt nescio quid magnum esse in ea qua quis natus & educatus sit terra ætatem suam consumere. Etsi uideant plærasq; pestiferas urbes esse & inhabitatores impios, magnũ tamen quiddam & amicum ipsam patriam reputant. Porrò etiam multi probri uice obijciunt, quod inquilinus sim, appellantes ista uoce, hem inquiline.

Tu uero generosus cum sis hanc in seruitutem redegisti.

Ac Cadmum quidem conditorem Thebarũ admiratur aliquis, me autem quod nõ ciuis sim criminatur. Sed & Herculem tanquam uirum optimum laudamus, cæterũ esse inquilinum probrum ducimus. At Hercules ex Argo eiectus Thebas incoluit. Lacedæmonij nihil tale existimant probrum. Sed eum qui diætæ & particeps sit, & in ea perstiterit siue peregrinus siue ex seruo natus sit, æque ut optimates in precio habent. Ast illum qui non perstiterit in patrijs moribus, etiam si ipso rege sit prognatus, relegant in seruorum conditionem, atq; hic non particeps fit munerum reipub. At in sua patria non posse sepeliri quî non est probrum? Et qui hoc famosum fuerit, quod etiam optimis sæpenumero accidit? Aut qui iste honor est, qui pessimus etiam obuenit? Et Socratem quidem laudant, quando reprehendens Athenienses dicit: Duces quidẽ de quibus iactitent se extra suos fines sepultos esse, probra uero popularis reipub. in publicis sepulchris. Aeque autem & in peregrina terra sepeliri dedecus, & in publicis monumentis honestum. Quod uero nihil intersit in peregrinánè sepeliaris, an in tua patria, scitè quidã ex Atticis exulibus indicat: quodam ei exprobrante ac dicente, in patria ne sepulchro quidem dignabere, sed instar impiorũ Atheniensiũ in Megarica. Imo, infert, quẽadmodũ pij Megarensiũ in Megarica. Quæ enim differentia? annon undiq; inquit Aristippus æqualis similisq; in Plutonis regiam uia est? Aut principio si non sepeliaris, quid tibi curæ est? Atqui sepulturæ † ignorantia inquit Bion, multas Tragœdias fecit: quemadmodũ & Polynices præcipit.

ἄγνοια, malim uel ὤραν, id est, cura & studium.

Sepelito me mea parens, tuq; ò soror
In patria terra, & urbem succensentem
Demulcete uerbis, ut uel tantillum patriæ
Terræ assequar, quamuis domos perdidi.

Quamuis autem non assequaris terram patriam, sed sepeliaris in aliena, quæ erit differentia, si ex Thebis ad inferos Charon traijcit?

Et terræ charæ mole abscondar & tumulo.

Sin non tegaris humo, sed insepultus sis, quæ hæc molestia? aut quid refert igne cõburi, aut à cane deuorari, aut supra terrã existẽtẽ à coruis, aut defossum à uermibus?

Claude uero meos oculos tua manu mea mater.

At si non clauserit, sed uidens ac hians moriaris, quid erit graue? Num eorũ qui in mari aut bellis pereunt claudit quis oculos? Sanè quicquid circa sepulturam fit, ueluti ludus quidam ab hominibus excogitatus mihi esse uidetur. Nos etenim à conspectu tactuq; mortuorum abhorremus: alij uero desiccata cadauera ceu quippiam egregium domi seruant, & loco pignorum mortuos accipiunt, adeò illorum mores nostris contrarij sunt.

Exule quodã lugẽte qd exularet, sic ferè cõsolat[9] est eũ. Exiliũ eñi, inqt, quomodo quis nõ amens grauiter ferret? Quod aqua qdẽ & terra & aëre, adde etiã sole, & reliqs astris, nõ arcet nos ullo pacto, sed nec hominũ conuersatione ubiq; eñi & passim horũ est cõmertiũ. Si aut parte aliqua terræ excludimur, & quorũdã hominũ cõsuetudine, qd hoc indignũ? Neq; eñi domi dũ fuimus terra tota utebamur, neq; cunctis hominib[9] cõuersati fuimus. Amicis qppe etiã nũc conuersari possumus, ueris saltẽ, & quorũ aliquã habere rationẽ cõuenit, nã hi nunquã prodẽt nec deserẽt nos.

Musonij in libro Exilium nõ esse malum.

εἰ δέ τινες πλαστοὶ καὶ οὐκ ἀληθινοὶ φίλοι εἰσί, τούτων ἀπηλλάχθαι κρεῖττον, ἢ συνεῖναι αὐτοῖς. τί δ' οὐχὶ κοινὴ πατρὶς ἀνθρώπων ἁπάντων ὁ κόσμος ἐστὶν, ὥσπερ ἠξίου σωκράτης; ὥστε οὐ φεύγειν τῇ γε ἀληθείᾳ τὴν πατρίδα νομιστέον ἂν ἐπέλθης ἐντεῦθεν, ἔνθα ἔφυς τε, καὶ ἐτράφης:
forte ἀξιοῖ. πόλεως δὲ μόνον ἐστερῆσθαί τινος, ἄλλως τε κἂν † ἄξιός τις εἶναι ἐπιεικής. ὁ γὰρ τοιοῦτος, χωρίον μὲν οὐδὲν οὔτε τιμᾷ, οὔτ' ἀτιμάζει οὕτως ὡς δυσδαιμονίας αἴτιον, αὐτὸς δὲ ἐν αὑτῷ τίθεται τὸ πᾶν, καὶ νομίζει εἶναι πολίτης τῆς τοῦ διὸς πόλεως, ἣ συνέστηκεν ἐξ ἀνθρώπων καὶ θεῶν. σύμφωνα δὲ τούτοις λέγει, καὶ εὐριπίδης ἐν οἷς φησιν:

ἅπας μὲν ἀὴρ, αἰετῷ περάσιμος.
ἅπασα δὲ χθὼν, ἀνδρὶ γενναίῳ πατρίς.

ὥσπερ οὖν εἴ τις ἐν πατρίδι ὢν, καὶ ἑτέραν οἰκίαν οἰκῶν, οὐκ ἐν ᾗ ἐτέχθη, δεινοπαθοίη διὰ τοῦτο, καὶ ὀδύροιτο, μάταιος ἂν εἴη καὶ καταγέλαστος: οὕτω καὶ ὅστις ἑτέραν πόλιν οἰκῶν, οὐκ ἐν ᾗ τυγχάνει γεγονὼς συμφορὰν ἡγεῖται, ὁ τοιοῦτος εἰκότως ἂν ἄφρων νομίζοιτο καὶ ἀνόητος. καὶ μὴν πρός γε τὴν ἐπιμέλειαν τὴν ἑαυτῶν καὶ πρὸς κτῆσιν ἀρετῆς, πῶς ἂν τὸ φεύγειν ἐνίσταιτο; ὁπότε γε μήτε μαθήσεως μήτε ἀσκήσεως, καὶ ὧν χρὴ εἴργεταί τις διὰ τὴν φυγήν. πῶς μὲν οὐκ ἂν ἡ φυγὴ καὶ συνεργοίη πρὸς τὸ τοιοῦτον, παρέχουσά γε σχολὴν, καὶ ἐξουσίαν τοῦ μανθάνειν τε τὰ καλὰ, καὶ πράττειν μᾶλλον ἢ πρότερον; ἅτε μήθ' ὑπὸ πατρίδος τῆς δοκούσης περιελκομένοις εἰς ὑπηρεσίας πολιτικὰς, μήτε ὑπὸ φίλων τῶν δοκούντων, ἢ συγγενῶν ἐνοχλουμένοις, οἵ τινες ἐμποδίσαι δεινοὶ καὶ ἀποσπάσαι τῆς ἐπὶ τὰ κρείττω ὁρμῆς.

ἤδη δέ τισι καὶ παντάπασι τὸ φεύγειν συνήνεγκεν, ὥσπερ διογένει, ὃς ἐκ μὲν ἰδιώτου, φιλόσοφος ἐγένετο φυγών, ἀντὶ δὲ τοῦ καθῆσθαι εἰς σινώπην, διέτριψεν ἐν τῇ ἑλλάδι, ἀσκήσει δὲ τῇ πρὸς ἀρετὴν, τῶν φιλοσόφων διήνεγκεν. ἄλλοις δ' ἔγε κακῶς τὰ σώματα διακειμένοις ὑπὸ μαλακίας καὶ τρυφῆς, ἔρρωσεν ἡ φυγὴ, βιασθεῖσιν ἀνδρικώτερον διαιτᾶσθαι. καὶ ἴσμεν τινὰς χρονίων νοσημάτων ἐν τῷ φεύγειν ἀπαλλαγέντας, ὥσπερ ἀμέλει σπαρτιατικὸς οὗτος ὁ λακεδαιμόνιος, ὃς ἐκ πολλοῦ ἔχων τὸ πλευρὸν κακῶς, κἀκ τούτου πολλάκις νοσῶν, διὰ τὴν φυγὴν ἐπειδὴ ἐπαύσατο τρυφῶν, ἐπαύσατο καὶ νοσηλευόμενος. ἄλλους δέ γε τῶν ἁβροδιαίτων ποδάγρας ἀπηλλάχθαι φασὶ, πάνυ δὲ κατατεινομένους πρότερον ὑπὸ τούτου τοῦ πάθους, ὡς ἡ φυγὴ σκληρότερον διαιτᾶσθαι συνηνάγκασε, κατ' αὐτὸ τοῦτο ὑγιεῖς γενέσθαι παρεσκεύασεν. οὕτως ἄρα τὸ διακεῖσθαι κρεῖττον ἑκάστῳ ἑαυτῶν καὶ σῶμα καὶ ψυχὴν συνεργεῖ μᾶλλον, ἢ ἀντιπράττει ἡ φυγή. ἀλλ' οὐδ' ἀπορεῖν τῶν ἀναγκαίων πάντων ὑπάρχει τοῖς φεύγουσιν. ὅσοι μὲν γὰρ ἀργοὶ καὶ ἀμήχανοι, καὶ οὐκ οἷοί τε ἀνδρίζεσθαι, οὗτοι μὲν κἂν τῇ πατρίδι ὄντες, ἀποροῦσιν ὡς τὸ πολὺ καὶ ἀμηχανοῦσιν: οἱ δὲ γεννικοὶ, καὶ φιλόπονοι καὶ συνετοὶ, κἂν ὅποι ποτὲ ἔλθωσιν, εὐποροῦσι καὶ διάγουσιν ἀνενδεῶς. καὶ γὰρ, οὐδὲ δεόμεθα πολλῶν, ἂν μὴ βουλόμεθα τρυφᾶν.

ἐπεὶ τί δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνων,
δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόου,
ἅπερ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν.

Ἐγὼ δὲ τούς γε λόγου ἀξίους ἄνδρας, οὐ τῶν ἀναγκαιοτάτων μόνον πρὸς τὸν βίον ῥᾳδίως
addo ἄλλα. ἂν εὐπορεῖν ἔξω τῆς οἰκίας ὄντας, ἀλλὰ καὶ πολλὰ περιποιήσασθαι χρήματα πολλάκις * ὁ γοῦν ὀδυσσεὺς, πάντως φυγάδος ὡς ἄν τις εἴποι ἀθλιώτερον διακείμενος, καὶ μόνος ὢν, καὶ γυμνὸς καὶ ναυαγὸς, ὅμως ἀφικόμενος εἰς ἀνθρώπους ἀγνῶτας τοὺς φαίακας, ἐδυνήθη χρηματίσασθαι ἀφθόνως. θεμιστοκλῆς δὲ ἐπεὶ ἔφευγεν οἴκοθεν, οὐ παρὰ μὴ φίλους μόνον, ἀλλὰ καὶ παρὰ πολεμίους καὶ βαρβάρους ἐλθὼν τοὺς πέρσας, τρεῖς ἔλαβε πόλεις δῶρον, μυοῦντα, καὶ μαγνησίαν, καὶ λάμψακον, ὥστ' ἀπὸ τούτων βιοῦν. δίων δὲ ὁ συρακούσιος, ἀφαιρεθεὶς ὑπὸ διονυσίου τοῦ τυράννου τὴν οὐσίαν πᾶσαν, ὅτ' ἐξέπιπτε τῆς πατρίδος, οὕτως ἐν τῇ φυγῇ χρημάτων εὐπόρησεν, ὥστε καὶ ξενικὸν θρέψαι στράτευμα, μεθ' οὗ ἦλθεν ἐπὶ σικελίαν, καὶ ἐλευθέρωσεν αὐτὴν ἀπὸ τοῦ τυράννου. τίς ἂν οὖν εὖ φρονῶν, εἰς ταῦτ' ἀφορῶν, ἔτι τὴν φυγὴν ἀπορίας αἰτίαν εἶναι πᾶσι τοῖς φεύγουσιν ὑπολαμβάνοι; ἀλλ' οὐδὲ κακοδοξεῖν πάντως ἀνάγκη τοὺς φυγόντας διὰ τὴν φυγήν, γνωρίμου γε πᾶσιν ὄντος, ὅτι καὶ δίκαι πολλαὶ δικάζονται κακῶς, καὶ ἐκβάλ-

λονται

Si uero sunt ficti quidam nec synceri amici, his liberatos esse melius quàm cōuersari. Quid autē, an non cōmunis omniū hominū patria est mundus ipse, quemadmodū censebat Socrates? Itaq; nō putandū reuera te exulare à patria si migres inde ubi natus & enutritus es: sed tantū te quadam urbe esse priuatū, tū alias tū si existimari uelis bonus & æquus. Talis enī regionē quidē nullam uel colit, uel despicit, tanquā beatitudinis causam, sed ipse in sese totū hoc collocat, & putat se ciuē urbis Iouis, q̄ cōstat ex hominibus & dijs. Consentiētia his & Euripides dicit ubi ait:

Omnis quidem aër aquilæ penetrabilis,
Omnis uero terra uiro forti patria.

Quemadmodū autem si quis in patria agens, aliā tamen domū inhabitans, nō eam in qua natus erat, sese maceraret & ob eam rem lugeret, nihili homo & ridiculus esset: pari ratione is qui inhabitans aliam ciuitatē quàm in qua natus est, calamitatē putat, talis merito stult⁹ haberi queat & uecors. Atq; ad curā uel studiū nostri, & ad cōparandam uirtutem quomodo exulare obstet, quando nec à discendo nec ab exercitatione, breuiter nullis necessarijs prohibetur quis propter exiliū: Quin potius non potest non exiliū promouere huiusmodi, suppeditans ociū, & facultatem tū discendi pulchra, tum agendi magis quā antea: utpote cū exules nec à patria existimata distracti sint ad munia ciuilia: neq; ab amicis existimatis aut cognatis diuexati, qui quidē ad impediendū uehementes sunt, & ad abstrahendū à studio in res præstantiores. Iam uero quibusdam omnino exiliū profuit, sicut Diogeni, qui ex idiotā quidem philosophus euasit exulans, pro eo autē quod desideret Sinopæ, cōmoratus est in Græcia, studio uero quod impendit uirtuti philosophos antecelluit. Alijs uero male quoad corpus dispositis præ mollitie & luxu exiliū robustos effecit, coactis rationem uiuendi sequi uiro magis congruam. Ac nouimus quosdam à morbis diuturnis dum exularent solutos esse, quemadmodū Spartiaticus ille Lacedæmonius, qui diu laborans ex latere, eoq; sæpius ægrotans, beneficio exilij, ubi desijt delicate uiuere, desijt etiā esse ualetudinarius: tū alios molliter sese curantes podagra liberatos esse aiunt: antea enim morbo admodū intento ex ista causa, simul ac exiliū assuefecit durius uiuere, per hoc ipsum sanos fieri effecit. Adeo ut nobis ipsis tū corpore tum animo meliores euadamus plus confert quàm obest exilium. Sed neq; necessarijs rebus omnibus exules destitui contingit. Qui enim ociosi, inertes, ac parum uiriles sunt, hi uel in patria ut plurimum inopia & penuria laborant: Contrà qui animo sunt generoso, industrij, & prudentes, ubicunq; gentium quod satis est possident, nec egestatem ullam experiuntur. Etenim haud adeo multis indigemus, nisi uoluerimus deliciari.

Nam quid est quod desyderent homines, præter duo solum, *Menandri.*
Nempe Cereris fruges, & aquæ potionem,
Quæ in promptu sunt, & nutrire nos possunt?

Certè ego uiros memorabiles noui, qui in peregrina terra nō modo reb⁹ inprimis ad uictū necessarijs facile abūdauerint, sed etiā multas sæpe pecunias acquisiuerint. Videlicet Vlysses cum esset quouis exule miserior, solus, nudus, & naufragus, ubi tn̄ ad Phæacas homines ignotos peruenit, pecuniarū abunde colligere potuit. Themistocles aūt cū exularet, ac peruenisset ad Persas, nō solū ad non amicos, sed & hostes atq; barbaros homines tres ciuitates dono accepit, Myuntem, Magnesiam, & Lampsacum, ut ex ipsis uiueret. Porrò Dion Syracusanus à Dionysio tyranno bonis omnibus spoliatus, eiectusq; patria, tantam exul pecuniæ uim habuit, ut etiam exercitum conductitium aluerit, quo cum in Siciliam rediens à tyranno ipsam liberauit. Quis igitur prudens hisce consyderatis exilium egestatis esse causam exulibus omnibus sibi persuadere pergat? Cæterum neque exilij causa infamia notari exulantes omnes necessarium est: nemo enim est qui nesciat quod & iudicia multa perperam pronuncientur, & multi è patria eijci-

λον δὲ πολλοὶ τῆς πατρίδος ἀδίκως, ἐξ ὅτι ἦσάν τινες ἄνδρες ἀγαθοὶ ὄντες, ἐξηλάθησαν ὑπὸ τῶν πολιτῶν, ὥσπερ Ἀθήνηθεν μὲν Ἀριστείδης ὁ δίκαιος, ἐξ Ἐφέσου δὲ, Ἑρμόδωρος, ἐφ᾽ ᾧ καὶ Ἡράκλειτος ὅτι ἔφυγεν, ἡβηδὸν ἐκέλευεν Ἐφεσίους ἀπάγξασθαι. ἔνιοι δέ γε καὶ ἐνδοξότατοι φεύγοντες ἐγένοντο, καθάπερ Διογένης ὁ Σινωπεὺς, καὶ Κλέαρχος ὁ Λακεδαιμόνιος, ὁ μετὰ Ξέρξου στρατεύσας ἐπ᾽ Ἀρταξέρξην, καὶ ἄλλους ἄν τις ἔχοι βουλόμενος λέγειν πολλούς. καίτοι πῶς ἂν εἴη τοῦτο κακοδοξίας αἴτιον, ἐν ᾧ τινες ἐνδοξότεροι γεγόνασιν, ἢ πρότερον ἦσαν; νὴ δί᾽ ἀλλ᾽ Εὐριπίδης φησὶν, ἐλευθερίας στερεῖσθαι τοὺς φυγάδας, ἐπεὶ καὶ παῤῥησίας. πεποίηκε γὰρ τῇ μὲν Ἰοκάστῃ πυνθανομένην Πολυνείκους τοῦ υἱέως, τίνα δυσχερῆ περὶ φεύγοντί ἐστιν. τὸν δ᾽ ἀποκρίνεται ὅτι:

ἓν μὲν μέγιστον, οὐκ ἔχει παῤῥησίαν.

ἡ δ᾽ αὖ πρὸς αὐτὸν, δούλου τόδ᾽ εἶπας μὴ λέγειν ἅ τις φρονεῖ.

ἐγὼ δὲ φαίην ἂν πρὸς τὸν Εὐριπίδην, ὅτι ὦ Εὐριπίδη τοῦτο μὲν ὀρθῶς ὑπολαμβάνεις, ὡς δούλου ἐστὶν, ἃ φρονεῖ μὴ λέγειν, ὅταν γε δέῃ λέγειν. οὐ γὰρ ἀεὶ καὶ πανταχοῦ καὶ πρὸς ὁντινοῦν λεκτέον ἃ φρονοῦμεν. ἐκεῖνο δὲ, οὔ μοι δοκεῖς † εἰρηκέναι, τὸ μὴ μετεῖναι τοῖς φεύγουσι παῤῥησίας, εἴπερ παῤῥησία σοι δοκεῖ τὸ μὴ σιγᾶν ἃ φρονῶν τυγχάνει τις. οὐ γάρ οἱ φεύγοντες ὀκνοῦσι λέγειν, ἃ φρονοῦσιν, ἀλλ᾽ οἱ δεδιότες, μὴ ἐκ τοῦ εἰπεῖν γένηται αὐτοῖς πόνος, ἢ θάνατος, ἢ ζημία, ἤ τι τοιοῦτον ἕτερον, τοῦτο δὲ τὸ δέος μὰ δία, οὐχ ἡ φυγὴ ποιεῖ. πολλοῖς γὰρ ὑπάρχει καὶ τῶν ἐν τῇ πατρίδι ὄντων, μᾶλλον δὲ τοῖς πλείστοις τὰ δοκοῦντα δεινὰ δεδιέναι. ὁ δὲ ἀνδρεῖος, οὐδὲν ἧττον φυγὰς ὢν, ἤπερ οἴκοι θαῤῥεῖ πρὸς ἅπαντα τὰ τοιαῦτα, διὸ καὶ λέγει ἃ φρονεῖ θαῤῥῶν οὐδὲν † μᾶλλον, ἢ ὅταν ᾖ μὴ φυγάς, ὅταν φεύγων τύχῃ. ταῦτα μὲν πρὸς Εὐριπίδην εἴποι τις ἄν: σὺ δ᾽ εἰπέ μοι ὦ ἑταῖρε, ὅτε Διογένης φεύγων ἦν Ἀθήνησιν, ἢ ὅτε πραθεὶς ὑπὸ τῶν λῃστῶν ἦλθεν εἰς Κόρινθον, ἆρα τότε πλείω παῤῥησίαν ἄλλος τις ἐπεδείξατο Διογένους, ἢ Ἀθηναῖος, ἢ Κορίνθιος; τί δ᾽ ἐλευθεριώτερος ἄλλος τις, ἢ Διογένης τῶν τότε ἀνθρώπων ἦν; ὅς καὶ Ξενιάδου τοῦ πριαμένου αὐτὸν, ὡς δεσπότης δούλου ἦρχε. καὶ τί δεῖ τὰ πολλὰ λέγειν, ἀλλ᾽ ἐγώ σοι οὐ δοκῶ εἶναι φυγάς; ἆρ᾽ οὖν ἐστέρημαι παῤῥησίας; ἆρα ἀφῄρημαι τὴν ἐξουσίαν τοῦ ἃ φρονῶ λέγειν; ἤδη δέ με εἶδες ἢ σὺ ἢ ἕτερος ὑποπτήσσοντα περὶ ὅτι φεύγω; ἢ χεῖρον ἔχειν τὰ πράγματα νομίζοντα νῦν, ἢ πρότερον; ἀλλ᾽ οὐδὲ μὰ δία λυπούμενον ἢ ἀθυμοῦντα διὰ τὴν φυγὴν φαίης ἂν ἑωρακέναι με. καὶ γὰρ εἰ τὴν πατρίδα τις ἡμᾶς ἀφῄρηται, τό γε δύνασθαι φέρειν φυγὴν οὐκ ἀφῄρηται, οἷς δὲ λογισμοῖς χρῶμαι πρὸς ἐμαυτὸν, ὥστε μὴ ἄχθεσθαι, τούτους καὶ πρὸς σὲ εἴποιμι. δοκεῖ μοι ἡ φυγὴ στερίσκειν μὲν ἀνθρώπους οὐ πάντων, οὐδ᾽ ὧν οἱ πολλοὶ νομίζουσιν ἀγαθῶν, καθάπερ ἄρτι ἐδείκνυον. εἰ δ᾽ οὖν καὶ στερίσκοι ἤ τινος, ἢ πάντων τούτων, τῶν γε ἀληθῶς ἀγαθῶν οὐ στερίσκει. οὔτε γὰρ ἀνδρείαν, ἢ δικαιοσύνην ὁ φεύγων ἔχειν κωλύεται, διὸ φεύγει: οὔτε σωφροσύνην, ἢ φρόνησιν, οὐδ᾽ ἀρετὴν ἄλλην ἡντινοῦν, αἳ παροῦσαί τε κοσμεῖν καὶ ὠφελεῖν πεφύκασι τὸν ἄνθρωπον, καὶ ἐπαινετὸν ἀποφαίνειν καὶ εὐκλεᾶ, ἀποῦσαί τε βλάπτειν καὶ καταισχύνειν, κακὸν ἀποφαίνουσαι καὶ ἀκλεᾶ. τούτων δὲ ταύτῃ ἐχόντων, εἰ μὲν ἀγαθὸς εἶ αὐτὸς, καὶ τὰς ἀρετὰς ἔχεις, οὐκ ἄν σε βλάπτῃ ἡ φυγὴ, οὐδ᾽ ἂν ταπεινοῖ, παρόντος γε τοῦ ὠφελεῖν καὶ ἐπαίρειν μάλιστα δυναμένου. εἰ δὲ τυγχάνεις κακὸς ὢν, ἡ κακία σε βλάπτει καὶ οὐχ ἡ φυγὴ, καὶ τήν γε λύπην ἡ κακία σοι ἐπάγει οὐχ ἡ φυγή. διὸ ταύτης ἀπαλλαγῆναι δεῖ σε σπεύδειν μᾶλλον, ἢ τῆς φυγῆς. ταῦτα καὶ πρὸς ἐμαυτὸν ἔλεγον ἀεί, καὶ νῦν πρὸς σὲ λέγω. σὺ δ᾽ ἂν σωφρονῇς, οὐ τὴν φυγὴν δεινὸν ἡγήσῃ εἶναι, ἥν γε φέρουσιν ἕτεροι εὐπετῶς: τὴν δὲ κακίαν, ἧς ἐνούσης, ἄθλιος πᾶς, ὅστις ἂν ἔχοι αὐτήν, καὶ γὰρ δυοῖν ἀνάγκη τὸ ἕτερον, ἢ ἀδίκως, ἢ δικαίως σε φεύγειν. εἰ μὲν δὴ δικαίως, πῶς ποτε ὀρθὸν ἢ προσῆκον, ἄχθεσθαι τοῖς δικαίοις; εἰ δ᾽ ἀδίκως, τῶν ἐλασάντων τοῦτ᾽ ἂν εἴη κακὸν οὐχ ἡμέτερον. εἴπερ νὴ δία τὸ μὲν ἀδικεῖν, θεομισέστατόν ἐστιν, ὅπερ ἐν ἐκείνοις συμβέβηκε: τὸ δ᾽ ἀδικεῖσθαι, ὅπερ συμβέβηκεν ἡμῖν, καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς ἐπιεικέσιν, ἐπιμελείας, ἀλλ᾽ οὐχὶ μίσους ἄξιον εἶναι ὑπείληπται.

ΠΕΡΙ

aliàs ἐδ' ἐν ὅσοις. — malim ἧττον.

antur iniuste, quodque iam antehac aliquot boni uiri à ciuib⁹ expulsi sint, uti Athenis Aristides ille iustus, ac Ephesi Hermodorus, propter cuius exiliū Heraclit⁹ Ephesios per omnes ætates se strangulare iussit. Nō desunt qui in exilio quā clarissimi euaserint, quales sunt Diogenes Sinopeus, & Clearchus Lacedæmoni⁹, qui cū Xerxe aduersus Artaxerxen militauit, & alij multi, quos in præsentia prȩterimus. Quomodo igitur infamiæ causa hoc fuerit, in quo multi clariores, quā pri⁹ essent, euaserunt? At per Iouē Euripides libertate priuari inquit exules, & fiducia dicendi. Introduxit enim Iocasten interrogare Polynicem filium, quænam exuli molesta sint, cui is respondet:
Vnum hoc maximum est, quod libere loqui non audet exul.
Tum rursus Iocaste: Seruile est, quod dicis, non eloqui quæ sentias.
Cæterū ego Euripidē sic alloquerer. Hoc quidē ô Euripides probè iudicas seruile esse nō dicere quȩ quis sentit, si modo dicendi sit opportunitas: Non enī semp & ubique, & apud quemuis, quȩ senseris, efferenda sunt. Illud uero nō recte mihi dixisse uideris, quod exules dicendi fiducia careant, si dicendi fiduciā appellas ea non tacere, quæ sentit animus. Haud enī exules quȩ sentiunt dicere cunctant, sed qui metuunt, ne quis cruciatus, aut mors, aut damnū, aut aliquod aliud huiusmodi, si animi sensa aperuerint, ipsos sequatur. Hunc uero metū per Iouē non incutit exilium. Multi enim imò plurimi, etiā in patria uersantes, quæ sibi mala uidentur, metuunt. Vir aūt fortis nō minus in exilio quā domi in huiusmodi omnibus confidentis est animi: quare & cū fiducia sententiā suā proponit nihilo minus exul, quā si nō exularet. Hæc quidē Euripidi quispiā respōderit: Tu uero amice, dic mihi cū Diogenes exulauit Athenis, aut cū uenditus à latronibus Corinthū uenit, aliúsne quisquā tū temporis uel Atheniensis uel Corinthius, maiori in dicendo fiducia quā Diogenes usus est? Aut num eius tēporis hominū liberior ullus fuit Diogene, qui etiā Xeniadi, à quo emptus fuerat, ceu domin⁹ seruo impabat? Quid est quod plura dicamus? At uideor exul esse. Quid tū? Num ideo loquendi libertate priuor? Ideó ne facultas, quȩ sentio, dicendi mihi adimitur? Nū uel tu uel alius quisquā hactenus me uidistis pauidū exilij causa, aut deteriorē esse rerū mearū conditionē, quā antehac, existimantē? Certe ne dolentē quidē aut tristē exilij nomine unquā me uidisse affirmare poteris. Nam & si quis patria nos priuauit, tolerandi tamen exilium facultate non priuauit. Porrò quibus mecum ipse rationibus utar, quo minus doleam, tibi quoque communicabo. Exiliū mihi uidetur homines non omnibus priuare, & ne istis quidem quæ uulgus bona censet, ut paulo antè ostendi. Quod si tamen aut aliquo illorum, aut pariter omnibus priuet, uera certè bona non adimit. Nam fortitudinem & iustitiam ab exule possideri nihil prohibet, quatenus exul est, neque temperantiam aut prudentiam, nec ullas denique uirtutes, quæ præsentes ornare & adiuuare hominem, laudabilemque & gloriosum reddere possunt: absentes contrà lȩdere ac dedecorare solent, malum ingloriumque relinquendo. Hæc cum ita habeant, si tute bonus sis, & uirtutes possideas, haudquaquam te læserit exilium, neque humilem & abiectum effecerit, cum id tibi adsit quod te adiuuare ac plurimum extollere potest. At si malus fueris, tua tibi prauitas, non exilium nocet, & dolorem molestiamque tibi malicia, non exilium infert: quare ut ab illa soluaris festinandum tibi citius est, quàm ab exilio. Hæc & ego mecum semper reputaui, & nunc eadem tibi propono: quod si sapias non exilium inter mala censebis, ut quod alij facile ferant, sed animi prauitatem, quæ quandiu inhæret, miserum reddit omnem à quo possidetur. Etenim è duobus alterū necessum est, ut uel iure uel iniuria exules: Quod si iure, quomodo decet & conuenit ut quod iustum est molestè feras? Sin iniuria, id non nostrorum, sed illorum, qui nos expulerunt, malum est. Quippe per Iouem iniuriam facere, quod in ipsis contigit, res est dijs omnium maximè exosa, impijssimaque: iniuriam uero pati, quod in nos cecidit, tum apud deos, tum apud homines æquos, auxilium & curam non odium cōmeteri existimatur.

ΠΕΡΙ ΑΠΟΡΡΗΤΩΝ, ΛΟΓΟΣ ΛΘ.

Εὐριπίδου. Ἴστω δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών.
μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
πρήσειεν ἄν τις, κἂν πρὸς ἕνα εἴποις ποτέ,
πύθοιντ' ἂν ἀστοὶ πάντες, ἃ κρύπτειν χρεών.

Ἀναξάνδ. Ὅστις λόγους γὰρ παρακαταθήκην λαβὼν,
οὗτός γ' ἢ ἄδικός ἐστιν, ἢ ἀκρατὴς ἄγαν.
ὁ μὲν διὰ κέρδος, ἄδικος. ὁ δὲ τοῦτο δίχα
ἀκρατής. ἴσον δ' ἔγ' εἰσὶν ἀμφότεροι κακοί.

Σοφοκλέους. Μήμοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος.
κλεῖθρον γὰρ οὐδέν. ὡς δ' ἂν εὐπετὴς λάβοις,
γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

Μὴ πάντ' ἐρεύνα, πολλὰ καὶ λαλεῖν κακόν.

Σωκράτης ἔλεγεν, ὅτι ῥᾷον ἄν τις διάπυρον ἄνθρακα ἐπὶ τῆς γλώττης κατάσχοι, ἢ λόγον ἀπόρρητον.

Εὐριπίδης ὀνειδίζοντος αὐτῷ τινὸς, ὅτι τὸ στόμα δυσῶδες ἦν: πολλὰ γὰρ ἔφη αὐτῷ ἀπόρρητα ἐγκατεσάπη.

Ἀριστοτέλης ἐρωτηθεὶς, τί δυσκολώτατόν ἐστιν ἐν τῷ βίῳ, εἶπε: τὸ σιωπᾶν, ἃ μὴ δεῖ λαλεῖν.

Πυθαγόρου. Λέγε συνετοῖς, θύρας δ' ἐπίθεσθε βέβηλοι.

Ἰσοκράτους. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας, τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

ΠΕΡΙ ΔΙΑΒΟΛΗΣ, ΛΟΓΟΣ Μ.

Μενάνδρου. Οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρ' ᾖ
ψευδής, ἐπίστατ' αὐξάνειν αὐτὴν τινὲς,
δι' οὓς φυλάττεσθαι τὰ τοιαῦτ' ὀρθῶς ἔχει.

Κλεάνθους. Κακουργότερον οὐδὲν διαβολῆς ἐστι που.
λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον,
μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

Εὐριπίδου. Ἀναξ. διαβολαὶ, δεινὸν ἀνθρώποις κακόν.

malim λειφθείς. Εὐγλωσσίᾳ δὲ πολλάκις † λεφθεὶς ἀνὴρ
δίκαια λέξας, ἧσσον εὐγλώσσου φέρει.

Μενάνδρου. Οὐδὲν διαβολῆς ἐστιν ἐπιπονώτερον,
τὴν ἐν ἑτέρῳ γὰρ κειμένην ἁμαρτίαν
ἀεὶ μέμψιν ἰδίαν αὐτὸν ἐπάναγκες λαβεῖν.

Τὸ δοκεῖν, διαβολὴν ἔχει μείζω τοῦ ποιεῖν.

Ὅστις δὲ διαβολαῖσι πείθεται ταχὺ,
ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Ἰσοκράτους. Εὐλαβοῦ τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ, τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσι.

Δημοσθένους. Διαβολὴ καιρῷ μὲν ἰσχυρὰν ἐργάζεται τοῖς ἀκούουσι τὴν ὑπόληψιν, χρόνῳ δὲ, πάντων ἀσθενεστέρα γίνεται.

Θουκυδίδου. Διαβολὰς οὐ σώφρον οὔτε λέγειν πρὸς ἀλλήλους, οὔτε ἀκούοντας ἀποδέχεσθαι.

Πλουτάρχου. Ἱππίας φησὶν, ὅτι δεινόν ἐστιν ἡ διαβολία, οὕτως ὀνομάζων, ὅτι οὐδὲ τιμωρία τις κατ' αὐτῆς γέγραπται ἐν τοῖς νόμοις, ὥσπερ τῶν κλεπτῶν: καί τοι ἄριστον ὂν κτῆμα τὴν φιλίαν κλέπτουσιν. ὥστε ἡ ὕβρις κακοῦργος οὖσα, δικαιοτέρα ἐστὶ τῆς διαβολῆς, διὰ τὸ ἀφανὴς εἶναι.

Πολλὰ

NVllus ea rescisceat quæ conticeri decet. *Euripidis.*
Parua enim facula Idæ cacumen
Incenderit aliquis. Et si quid uel uni aliquando aperueris,
Id ciues audient omnes, quod cælandum fuerat.

Qui commissum sibi instar depositi sermonem euulgat, *Anaxandridæ.*
Hic aut iniustus est, aut admodum incontinens.
Iniustus quidem, si lucri causa id faciat: Sin absq; lucro,
Incontinens: ex æquo autem utriq; mali sunt.

Ne mihi uerbum arcanum efferas ullum. *Sophoclis.*
Seram enim nullam habeo: uel ut facilius intelligas,
Nihil non secreti per linguam meam diffluit.

Ne scruteris omnia: multa sunt quæ diuulgare malum est.

Socrates dicebat carbonem ignitum facilius in lingua contineri posse, quàm sermonem arcanum.

Euripides cum ei graueolentia oris obijceretur à quodam: multa enim, dixit, secreta in eo computruerunt.

Aristoteles quidnam in uita difficilimum esset interrogatus, dixit: Tacere quæ dicenda non sunt.

Canam prudentibus, profani claudite fores. *Pythagoræ.*

Sermonũ deposita fidelius quã pecuniarũ custodito. Oportet eñ uiros bonos in existimatione esse q̃d mores & uitã uel iureiurãdo fideliores cõstantioresq; præstẽt. *Isocratis ad Demonicum.*

DE CALVMNIA, SERMO XL.

NOn est contemnenda calumnia, etiamsi prorsus fuerit *Menandri.*
Falsa. Aliqui enim ipsam extollere norunt,
Propter quos huiusmodi cauere conuenit.

Nihil ferè tam est malignum, quàm calumnia. *Cleanthis.*
Hæc enim ubi clam aliquem à se persuasum decepit,
Odium excitat aduersus eum qui nihil est commeritus.

Domine, uehemens est malum inter homines calumnia. *Euripidis.*
Sæpe autem aliquis eloquentia superatus,
Licet iusta dixerit, posthabetur tamen eloquenti.

Nihil est grauius quàm calumnia, *Menandri.*
Nam quod alteri inest peccatum,
Illum met qui calumniã patitur, utpote propriũ crimen suscipere necessariũ est.

Suspiciones maiorem pariunt calumniam quàm ipsa facta.

Quisquis est qui calumnijs statim fidem habet,
Aut moribus improbis præditus est,
Aut ingenium prorsus habet puerile.

Caue tibi à calumnijs, etsi falsæ sint. Plæriq; enim ueritatem ignorant, respiciunt autem opinionem. *Isocratis.*

Calumnia aliquantisper quidem audientium opinionem confirmat, progressu uero temporis nihil ipsa imbecillius est. *Demosthenis.*

Non decet calumnias neq; alijs narrare, neq; audiendo suscipere. *Thucydidis.*

Hippias grauissimam rem calumniam esse dicit, quia nulla pœna lege sancita sit calumniatoribus, ut furibus, quamuis amicitiam, quæ optima est possessio, furentur. Quamobrem contumelia licet malefica sit, iustior tamen est quàm calumnia, quæ quia latet nocentior est. *Plutarchi.*

Ῥηγίνου. Πολλοὶ γὰρ ἤδη μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβολῶν, ἢ τῶν πολεμίων. καὶ πολλοὶ ἤδη μείζω ἠδίκηνται, ὑπὸ γε τῆς αὑτῶν ἀσθενείας, ἢ ὑπό γε τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς.

Δίωνος. Ἀρξόμεθα δὲ, ἀπὸ τοῦ μάλιστα ὠφελοῦντος οἰκίαν. ἔστι δ᾽ αὖ τοῦτο ἐπιτίμησις διαβολῆς. διαβολὴ γὰρ κακὸν καὶ ἐπιβουλότατον.

Πελοπίδας ἀνδρεῖον στρατιώτην διαβληθέντος αὐτῷ, ὡς βλασφημήσαντος αὐτόν: ἐγὼ τὰ μὲν ἔργα ἔφη αὐτοῦ βλέπω, τῶν δὲ λόγων οὐκ ἤκουσα.

Φιλιστίωνος. Διαβολὰς ἄνδρα τοιοῦτον εἰς περικλήσεις αἰσχράς. τὸ γὰρ ἔλεγχόν ἐστι, τὸ, προσταχθὲν, ταῦτα πάντα ἔρχονται μὲν, τὸ δ᾽ ἀνδρὸς ἀρετῇ πρέπον οὐκ ἔχει.

Τὸ νικᾶν τὰ τοιαῦτα, φέρει τινὰ αἰσχύνην τοῖς διαβληθεῖσιν, ἃ μηδὲ δοκεῖν ἔδει.

Ἡροδότου. Διαβολὴ γάρ ἐστι δεινότατον, ἐν τῇ δύο μέν εἰσιν οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος. ὁ μὲν γὰρ διαβάλλων ἀδικέει, οὐ παρεόντι κατηγορέων: ὁ δὲ ἀδικέει ἀναπειθόμενος, πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ. ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου, τάδε ἐν αὐτοῖς ἀδικέεται, διαβληθείς γε ὑπὸ τοῦ ἑτέρου, καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι.

ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ, ΛΟΓΟΣ μα.

Εὐριπίδου.
Εἰ γὰρ λαβὼν ἕκαστος ὅτι δύναιτό τις
χρηστὸν διέλθοι, τοῦτ᾽ ἐς κοινὸν φέροι
πατρίδι, † κακῶς αἱ πόλεις ἐλασσόνων
πειρώμεναι, τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

[illegible]
Ἐν τοῖσι μώροις τοῦτον ἐγὼ κρίνω βροτῶν,
ὅστις τὰ πατρὸς χρήματα παισὶ μὴ φρονοῦσιν εὖ,
ἢ καὶ πολίταις παραδίδωσ᾽ ἐξουσίαν.

Ναῦν τοι μιᾶς ἀγκύρας ἐδλαμῶς σχέζειν φιλεῖ,
ὡς τρεῖς ἀφέντι, προστάτης θ᾽ ἁπλοῦς πόλει
σφαλερὸς, ὑπὼν δὲ καὶ ἄλλος οὐ κακὸν πόλει.

Σοφοκλέους.
Οὐ γάρ ποτ᾽ ἂν γένοιτ᾽ ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λάγδην πατεῖται, κωτίλος δ᾽ ἀνὴρ λαβὼν
πανοῦργα χειροῖν κέντρα κηδεύει πόλιν.

Κοὐκ οἶδ᾽ ὅτι χρὴ πρὸς ταῦτα λέγειν,
ὅταν οἵτ᾽ ἀγαθοὶ πρὸς τῶν ἀγεννῶν κατανικῶνται,
ποία πόλις ἂν τάδ᾽ ἐνέγκοι;

Ὅπου δὲ μὴ τὰ ῥᾷστ᾽ ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ᾽ ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

Βίωνος Βουκολικά.
Μηδὲ λίπῃς μ᾽ ἀγέραστον, ἐπεὶ καὶ Φοῖβος ἀείδειν
μισθὸν ἔδωκε, τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

Εὐπόλιδος.
Καὶ μὴν ἐγὼ πολλῶν παρόντων, οὐκ ἔχω τί λέξω,
οὕτω σφόδρ᾽ ἀλγῶ τὴν πολιτείαν ὁρῶν παρ᾽ ἡμῖν.
ἡμεῖς γὰρ οὐχ οὕτω τέως ᾠκοῦμεν ὦ γέροντες,
ἀλλ᾽ ἦσαν ἡμῖν τῇ πόλει πρῶτον μὲν οἱ στρατηγοὶ
ἐκ τῶν μεγίστων οἰκιῶν, πλούτῳ, γένει τε πρῶτοι.
οἷς ὥσπερεὶ θεοῖσιν ηὐχόμεσθα καὶ γὰρ ἦσαν,
ὥστ᾽ ἀσφαλῶς ἐπράττομεν. νυνὶ δ᾽ ὅποι τύχοιμεν,
στρατευόμεσθ᾽ αἱρούμενοι καθάρματα στρατηγούς.

Multi hactenus plus mali per calumnias, quàm per hostes acceperunt. Et multis iam iniuria maior facta est propter aurium infirmitatem, quàm inimicorum insidias. *Rhegini.*

Faciemus aũt initiũ ab eo, quod in primis utile est familiæ: id aũt est increpatio calumniæ. Est em̃ calumnia malum, idq; insidiosissimum. *Dionis.*

Pelopidas cum fortis quidam miles per calumniam apud ipsum deferretur, ut qui ei conuiciatus esset: Equidem dixit, facta eius respicio, uerba autem non audiui.

Philoctetæ. Græcũ exẽplar corruptum est.

Calumnia em̃ res est grauissima, in qua duo sunt qui iniuriam faciunt, unus qui afficitur. Calumniator em̃ iniuriã facit, nõ præsentẽ accusans: Et qui absentẽ iniustum esse persuadetur, antequã uerè rem cognoscat. Qui autem abest iniuriã patitur, tũ à calumniatore, cum ab illo qui ipsum aures calumnianti præbens pro malo reputat. *Herodoti.*

DE REPVBLICA, SERMO XLI.

SI unusquisq; accepto quantum posset, *Euripidis.*
Bono accederet, idq; in commune conferret
Patriæ, pauciora mala ciuitates
Experientes in posterum fortunatæ forent.
Stultorum equidem opus hominum esse iudico,
Si uel patres filijs, uel non sapientibus aliqui
Ciuibus tradunt potestatem.
Anchora unica nequaquam ita nauim seruat
Vt tres demissæ: & unus princeps urbi
Periculosus est, adiungi uero & alium, non malum est ciuitati.
Nunquam sanè tuta & secura potest esse ciuitas, *Sophoclis.*
In qua ius & modestia omnis
Pedibus calcantur, & loquax aliquis accipiens
Malignos manibus stimulos regit urbem.
Haud scio quid ad hæc dicendum sit.
Nam cum boni ab ignobilibus superantur,
Quænam ciuitas id ferre posset?
Vbi autem quæ optima sunt non liberè loqui
Licet, & in urbe deteriora uincunt,
Tum peccata pessundant salutem.
Ne me reliqueris inhonoratum: Nam & Phœbus pro cantu *Ex Bucolicis Bionis.*
Mercedem dedit: honor autem res meliores efficit.
Equidem ego de plurimis non habeo quid potissimum dicam, *Eupolidis.*
Tanto cum dolore rempub. nostram aspicio.
Hactenus enim ò senes nequaquam sic habitabamus:
Sed erant in urbe nostra primum quidem imperatores
Ex præcipuis familijs, opibus & genere præstantes,
Quibus tanquam dijs uota faciebamus: erant enim digni.
Itaq; securi degebamus. Nunc uero quoslibet
Duces improbos eligentes militamus.

Εὐριπίδου. Τρεῖς γὰρ πολιτῶν μερίδες. οἱ μὲν ὄλβιοι,
ἀνωφελεῖς τε, πλειόνων τ' ἐρῶσ' ἀεί.
οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου,
δεινοί, νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,
εἰς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσι κακὰ
γλώσσαις, πονηρῶν προστατῶν φηλούμενοι.
τριῶν δὲ μοιρῶν, ἡ 'ν μέσῳ σώζει πόλιν,
κόσμον φυλάσσουσ' ὅντιν' ἂν τάξῃ πόλις.

Σοφοκλέους. Ὅπου γὰρ οἱ φυλάσσοντες ἡσσῶνται τέκνων,
οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

Εὐριπίδου. Δεινὰ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά.

Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
καὶ γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας
μηδὲν δικάσθαι, τἀμφανῆ δ' ὑψηλ' ἄγειν.
ὅστις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο,
ἢ τόξα πάλλων, ἢ μάχῃ δορὸς σθένων,
τοῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν.

Καί τοι κακοῦ πρὸς ἀνδρός, ἄνδρα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκοι δέος,
οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι,
μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων.

Μενάνδρου. Τρία γάρ ἐστι δι' ἅπαντα δι' ὧν ἅπαντα γίνεται, ἢ κατὰ νόμους,
ἢ ταῖς ἀνάγκαις, ἢ τρίτον ἔθει τινί.

Εὐριπίδου. Ἀλλ' οὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη,
lego μή. πρὶν ἂν κατ' οἴκους τυγχάνῃ † μὴ καὶ σκότος,
malim ἢ. † εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

Σοφοκλέους. Ὅπου δ' ὑβρίζειν, δρᾶν θ' ἃ βούλεται * παρῇ,
* al. πάρα. ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίας δραμοῦσαν, εἰς βυθὸν πεσεῖν.
ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον.
καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα,
ἕρπει παραλλὰξ ταῦτα.

Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει,
καί τοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται.
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν
al. abest. † ὀρθοῖτο, καὶ μέγας ὀρθοῖτ' ὑπὸ σμικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους τούτων γνώμας προδιδάσκειν.

Εὐριπίδου. Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνήρ,
μηδὲν φέρηται τῶν κακιόνων πλέον.

Δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας
λαὸς πολιτεύοιτο πλουσίων ἄτερ;
οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά.

ἀλλ'

Tria sunt ciuium genera. Quidam diuites sunt, *Euripidis.*
Inutilesq́ue, & plura semper appetunt.
Alij uero nihil possidentes, inopesq́ue uictus,
Miseri, nimium tribuentes inuidiæ,
Malos aculeos in ditiores emittunt
Lingua, improbis chari ducibus.
Cæterum è tribus, quod medium genus est, urbem seruat,
Modum illum custodiens, quem ciuitas approbauerit.

Nam ubi custodes à pueris uincuntur, *Sophoclis.*
Non est sapientium uirorum ciuitas.

Ciuitas male affecta in malis excogitandis callida est. *Euripidis.*

Nihil est inter humanas res æquale.
Deceret enim fortunas temere errantes
Nihil ualere: manifesta autem euehere.
Scilicet illum, qui uiribus præstaret,
Aut arcu iaculando, aut hastarum pugna præcellens,
Alijs inferioribus se imperare par esset.

Atqui mali hominis indicium est, si quis de populo
Nulla in re magistratum audire dignetur.
Nunquam enim aut leges in ciuitate bene
Se habebunt, ubi metus abest:
Aut exercitus cum moderatione persistet,
Qui nullum timoris aut reuerentiæ obstaculum habet.

Tria eĩm sunt hec, Per quæ fiunt omnia: Videlicet aut legibus, *Menandri.*
Aut necessitate, aut tertiò consuetudine quapiam.

Quandoquidem ipse læsus sum, nunquam posthac alteri cuiquam *Euripidis.*
Filijs imperium tradere consuluerim,
Priusquam eius oculos tenebræ occupauerint,
Aut uitam agere à liberis superatam oportebit.

Vbi iniuriari, & quæuis pro libidine facere licet, *Sophoclis in Aiace.*
Illam ciuitatem existimandum est tandem
Ex bono statu recedentem in profundum ruituram.
At mihi tempestiuus aliquis metus constituatur,
Et ne putemus si quid libentes fecerîmus,
Non luituros nos pœnam olim dolentes.
Est his in rebus uicissitudo.

Ad habentem enim repit inuidia. *Ibidem.*
Atqui parui sine magnis
Imbecille turris munimentum sunt.
Paruus enim cum magnis optime
Agit, & magnus à minoribus prouehi poterit.
Sed nõ fieri potest, ut stolidi illorum animi hæc edoceantur.

In hoc enim multæ ciuitates laborant, *Euripidis.*
Cum qui bonus & strenuus uir est,
Nihilo plus, quàm deteriores, accipit.

Putatisne uos terram habitare posse, si totus pauper
Populus rempub. absq́ue diuitibus institueret?
Haudquaquam seorsim bona & mala subsistere possent.

ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς.
ἃ μὴ γάρ ἐστι τῷ πένηθ', ὁ πλούσιος
δίδωσιν, ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα,
τοῖσιν πένησι χρώμενοι τιμώμεθα.

Οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ
πόλεμος ἐν ἀστοῖς, ἢν διχοστατῇ πόλις.

Ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίᾳ πέλει.

Μενάνδρου. Κοινὸν ἀγαθόν ἐστι πόλει, χρηστὸς εὐτυχῶν.

Τὸ καλῶς ἔχον που κρεῖττόν ἐστι καὶ νόμου.

Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις, καλόν.

Σοφοκλέους. Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστι κακόν.

Ἡνιόχου. Ἐγὼ δ' ὄνομα τὸ μὲν καθ' ἑκάστην αὐτίκα
λέξω. συνάπασαι δ' εἰσὶ παντοδαπαὶ πόλεις,
αἱ νῦν ἀνοηταίνουσι πολὺν ἤδη χρόνον.
τάχ' ἄν τις ὑποκρούσειεν, ὅ, τί ποτ' ἐνθάδε
νῦν εἰσι, κἂν ἔροιτο, παρ' ἐμοῦ πεύσεται.
τὸ χωρίον μὲν γὰρ τόδ' ἐστὶ πᾶν κύκλῳ
ὀλυμπία, τὴν δ' ἐνθαδὶ τὴν σκηνὴν ἐκεῖ,
al. πυθικήν. σκηνὴν ὁρᾶν † θεωρικὴν νομίζετε.
εἶεν. τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις;
al. [illegible] † ἐλευθερία ἀφίκοντο θύσουσαί ποτε,
ὅτε τῶν φόρων ἐγένοντ' ἐλεύθεραι σχεδόν.
κἄπειτ' ἀπ' ἐκείνης τῆς θυσίας διέφθορεν
αὐτὰς ξενίζουσ' ἡμέραν ἐξ ἡμέρας
ἀβουλία κατέχουσα πολὺν ἤδη χρόνον.
γυναῖκε δ' αὐτὴν δύ' ἐταράττετόν τινε
ἀεὶ συνοῦσαι, δημοκρατία θατέρᾳ
ὄνομ' ἐστί, τῇ δ' ἀριστοκρατία θατέρᾳ,
δι' ἃς πεπαρῳνήκασιν ἤδη πολλάκις.

Ἀριστοφάνους. Τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς, καὶ σώφρονας
ἄνδρας ὄντας καὶ δικαίους καὶ καλούς τε κἀγαθούς,
καὶ τραφέντας ἐν παλαίστρᾳ, καὶ χοροῖς, καὶ μουσικῇ
προυσελοῦμεν, τοῖς δὲ χαλκοῖς, καὶ ξένοις, καὶ πυρρίαις,
καὶ πονηροῖς κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα
ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ,
οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.
ἀλλὰ καὶ νῦν ὦ 'νόητοι μεταβαλόντες τοὺς τρόπους
χρῆσθε τοῖς χρηστοῖσιν αὖθις. καὶ κατορθώσασι γὰρ
εὔλογον, κἄν τι σφάλητ': ἐξ ἀξίου γὰρ τοῦ ξύλου
ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

Εὐελπίδου. Παῦσαι· τὸ μὴ γὰρ συνέχον ἀνθρώπων πόλεις
lego νόμους. τοῦτ' ἔσθ', ὅταν τις τοὺς † αὐτοὺς σώζῃ καλῶς.

Μενάνδρου. Εἴπερ τὸν ἀδικοῦντα μὲν ὡς ἠμύνετο
ἕκαστος ἡμῶν, καὶ συνηγωνίζετο
ἴσως νομίζων ἴδιον εἶναι τὸ γεγονὸς
ἀδίκημα, καὶ συνέπραττον ἀλλήλοις πικρῶς,
οὐκ ἂν ἐπιπλεῖον τὸ κακὸν ἡμῖν ἤρξατο

τὸ τῶν

Sed est aliquod temperamentum, quo recte coniunguntur.
Nam ea, quibus pauper caret, diues
Largitur: quæ uero nos diuites non possidemus,
Illorum gratia pauperibus utentes colimur.
  Intestinum hominibus oboriri solet
Bellum inter ciues, si ciuitas dissenserit.
  Optimum est ueritas in iusti uiri ciuitate.
  Hoc cõmune bonũ est, si uir bonus fœlicitate fruatur. *Menandri.*
  Id quod recte habet, etiam lege præstantius est.
  Honestum est leges sequi patrias.
  Nullum est maius quàm inobedientia malum. *Sophoclis.*
  Ego nomen singularum statim *Heniochi.*
Dicam. Vniuersæ autem uariæ sunt urbes,
Quæ longo iam tempore desipiunt.
Forsan aliquis interrumpet, dicens: Curnam hoc in loco
Nunc sunt? Hic interrogans à me audiet.
Omnis quidem hic in circuitu locus est
Olympia: sed scenam illam inspice illic,
Quæ Pythica quidem scena aspectu existimari potest.
Esto: Quid illic uero ciuitates agunt?
Aduenerunt immolatũ Eleutheria, id est, libertatis sacra,
Postquam à tributis semel propè liberatæ sunt.
Deinde ab illo sacrificio perdidit
Ipsas hospitio accipiens indies
Imprudentia, multo iam tempore ipsos occupans.
Cæterum duæ quædam mulieres ipsam perturbabant
Semper conuersantes, Democratia alteri
Nomen est, alteri uero Aristocratia,
Quarũ culpa iam frequenter deliquerunt, & debacchatæ sunt.
  Ciuium quos quidem scimus ingenuos, modestos, *Aristophanis in ranis.*
Iustos, honestos, ac probos uiros esse,
In palæstraq; & choris enutritos, & musica,
Illos expellimus: fabris autem, & peregrinis, & Pyrrhijs, id est seruis,
Malisq; atq; malo genere natis, ad omnia utimur,
Qui postremi aduenerunt, quibus ciuitas antehac
Ne pro piaculis quidem temere & facile usa esset.
At nunc saltem ò stolidi, moribus immutatis,
Vtimini denuo bonis uiris. Nam & si quid prospere egeritis
Hoc pacto, nõ absurdũ erit: neq; si quid erratũ fuerit, Ab arbore eñ digna,
Et si quid patiamini, sapientibus pati uidebimini.
  Desine, Tum enim saluæ sunt ciuitates, *Euripidis.*
Cum leges, ut decet, obseruantur.
  Si iniuriarum autorem ulcisceretur *Menandri.*
Vnusquisq; nostrum, & unà propugnaret
Aequè ac si propria sibi esset facta
Iniuria: & ciues uehementi studio mutuam iungerent operam,
Non amplius nobis calamitas inciperet

τὸ τῶν πονηρῶν· ἀλλὰ παρατηρούμενοι,
καὶ τυγχάνοντες, ἧς ἔδει τιμωρίας,
ἦττον ἂν σπάνιοι σφόδρ' ἂν ἦσαν, ἢ πεπαυμένοι.

Αἰσχίνου. Τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν.

Δημοκρίτου. Ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων. δύναται δὲ, ὅταν αὐτοὶ βούλωνται πάσχειν. τοῖσι γὰρ πειθομένοισι, τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται.

Δημοκρίτου. Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις † ὁμοίη φθορή.

Αἰσχίνου. Πονηρὰ φύσις μεγάλης ἐξουσίας λαβομένη, μεγάλας ἀπεργάζεται συμφοράς.

Δημοσθένους. Τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι, δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι, καὶ σπεύδειν ὑμῖν τοὺς τοιούτους ὦ ἄνδρες Ἀθηναῖοι προσήκει, καὶ μισεῖν τοὺς, οἷός περ οὗτος. ὡς (ἐκεῖνο εἰδόσι μὲν ἴσως, ὅμως δὲ ἐρῶ) ὁποίους τινὰς φαίνησθε ἀγαπῶντες καὶ σώζοντες, τούτοις ὅμοιοι δόξετε εἶναι.

Ξενοφῶντος. Βασιλείαν δὲ καὶ τυραννίδα, ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι· διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ ἑκόντων τε τῶν ἀνθρώπων, καὶ κατὰ τοὺς νόμους τῶν πόλεων ἀρχὴν, βασιλείαν ἡγεῖτο· τὴν δὲ ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην μὲν τὴν πολιτείαν, ἀριστοκρατίαν ἐνόμιζεν εἶναι· ὅπου δὲ ἐκ τιμημάτων, πλουτοκρατίαν· ὅπου δ' ἐκ πάντων, δημοκρατίαν.

Ἡροδότου. Δηλοῖ δὲ οὐ καθ' ἓν μοῦνον, ἀλλὰ πανταχῇ ἡ ἰσηγορίη, ὡς ἐστὶ χρῆμα σπουδαῖον.

Φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλει ἢ ἔθνει ἔσεσθαι.

Δημοκρίτου. Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα, καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.

Πολυδίκου. Οὐ γὰρ ἀγνοεῖς, ὡς ἐν τοῖς κοινοῖς, κἂν τοὐλάχιστόν τις ἀφέληται, ἀφορμὴ τῆς τῶν πλειόνων ἀπωλείας γίνεται.

Ἡ ἐν δημοκρατίῃ πενίη, τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης, τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

Τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ, μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικὲς, μήτε ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ † ξυνοῦ, πόλις γὰρ εὖ ἀγομένη, μεγίστη ὄρθωσίς ἐστι. καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σωζομένου πάντα σώζεται, καὶ τούτου φθειρομένου, τὰ πάντα διαφθείρεται. [*margin:* malim κοινοῦ.]

Τοῖς χρηστοῖς οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν, ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς ἔχειν. εἰ δὲ ἀμελέοιτο τῶν δημοσίων τι, κακῶς ἀκούειν γίγνεται, κἢν μηδὲν μήτε κλέπτῃ, μήτε ἀδικῇ. ἐπεὶ καὶ ἀμελέοντι ἢ ἀδικέοντι, κίνδυνος κακῶς ἀκούειν, καὶ δὴ καὶ παθεῖν τι. ἀνάγκη δὲ ἁμαρτάνειν, συγγιγνώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς, ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται, καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται.

Ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι, καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτείρειν ἔνεστι, καὶ μὴ ἐρήμους εἶναι, καὶ τὸ ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι, καὶ τοὺς πολιήτας ὁμονόους εἶναι, καὶ ἄλλα ἀγαθὰ, ὅσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

Σωκράτους. Τῆς εὐτυχίας τῆς πολιτικῆς ὁμιλίας, κοινὴν εἶναι δεῖ τοῖς ἀξίοις τὴν ἀπόλαυσιν.

Ὅρκος τῶν Ἀθηναίων ἐφήβων. Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερὰ, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅτῳ ἂν στοιχήσω. ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν, καὶ ὑπὲρ ὁσίων, καὶ μόνος καὶ μετὰ πολλῶν. τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω, πλείω δὲ καὶ ἀρείω, ὅσην ἂν παραδέξωμαι. καὶ εὐηκοήσω τῶν ἀεὶ κραινόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὕς τινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως. καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς, ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ καὶ μόνος, καὶ μετὰ πάντων. καὶ ἱερὰ τὰ πάτρια τιμήσω, ἵστορες θεοὶ τούτων.

Ἀριστοτέλους Πυθαγορικῶν ἀποφθεγμάτων. Καθόλου δὲ ᾤοντο δεῖν ὑπολαμβάνειν μηδὲν εἶναι μεῖζον κακὸν ἀναρχίας· οὐ γὰρ πεφυ-

κέναι

Improborum hominum:sed obseruati,
Et meritam pœnam luentes,
Vel admodum essent rari, uel prorsus desinerent.

Illum enim qui in sua familia non bene uixit, in communibus quoq; reipub. negocijs similiter uersaturum existimabat. *Aeschinis.*

Lex hominum uitam demereri cupit beneficijs: id autem prestare potest, si ipsi ea suscipere uoluerint: Obedientibus enim uim & uirtutem suam declarat. *Democriti.*

Seditio intestina utrinq; nocet: Etenim tũ uictoribus tũ uictis pernicies est æqualis.

Malum ingenium magnam potestatem adeptum, magnas calamitates efficit. *Aeschinis.*

Nam eum qui pro ciuitate aliquid agit, ciuitatis ingenium imitari decet. Atq; huiusmodi nobis ô Athenienses seruandi sunt: odio autem habendi, qui isti homini similes fuerint: Siquidem qualescunq; amare & seruare uidebimini (quod forte scientibus uobis, dicam tamen) talibus esse similes existimabimini. *Demosthenis.*

Regnum autem & tyrannidem, principatũ quidem utrunq; esse putabat: at multum inter se differre. Illum enim principatũ qui uolentibus, & non repugnantibus hominibus, ac secundum leges ciuitatum imperat, regnum putabat: qui uero inuitis, & non secundum leges, ad principis uoluntatem ageretur, tyrannidem. Et ubi quidem principatus ab optimatibus, legumq; obseruatoribus haberetur, hunc regendi modum Aristocratiam existimabat: ubi uero à ditissimis, principatum ex censu: ubi autem ex omnibus, popularem. *Xenophontis.*

Patet autem non una tantum in re, sed ubiq;, dicendi copiam ex æquo omnibus datam, rem esse magni momenti. *Herodoti.*

Signa ferè p̃cedere solẽt, quoties magna mala, aut ciuitati, aut gẽti alicui imminẽt

Concordiæ merito cum aliàs magna facinora, tum à ciuitatibus bella confici possunt: secus haudquaquam. *Democriti.*

Non enim es nescius, si quis in publicis negocijs uel minimum quippiam abstulerit, occasionem inde fieri maioris perniciei. *Polydici.*

Paupertas in populari imperio tantum præstat fœlicitati dictæ inter potentes, quantum seruituti libertas.

Negocia publica ciuitatis omnium existimare oportet maxima, ut fœliciter augeantur, neq; præter æquũ contendere, neq; potentiam sibi comparare priuatam: præter publicũ bonũ: Ciuitas enim prospere agens, fœlicitas est maxima. In hac insunt omnia: hac salua, cuncta seruantur: hac pereunte, nihil non pessum it.

Bonis nõ expedit rebus suis neglectis alias agere: propriæ em̃ interim male habent. Si qd aũt publicũ negligatur, infamia accedit, etsi quis neq; furtũ, neq; iniuriã ullam cõmittat. Etenim tũ negligenti, tũ iniuriã facienti, male audiendi periculum est, atq; patiendi aliquid necessitas. Fieri quidem nõ potest quin peccata admittãtur, ueniam autem impetrare homines non facile fieri potest.

Improbi ad honores promoti, quo fuerint indigniores, hoc & negligentiores fiunt, imprudentiaq; magis & audacia pleni.

Vbi potentes pro tenuioris fortunæ hominibus sumptum facere sustinent, eisq; ministrare, & gratificari, ibi misericordiæ locus est, nullus ciuium deseritur, mutua societas, defensio, & concordia nascuntur, atq; alia bona tot tantaq;, ut nemo uerbis exprimere possit.

Cõuenit ut homines digni cõmunẽ fructũ p̃cipiant ex ciuilis cœt⁹ prosperitate. *Socratis.*

Non ignominia afficiam arma sacra, neq; deseram meum astitem, quo cum iunctus fuero. Dimicabo pro sacris & profanis, siue solus, siue cũ multis. Patriam non relinquam in deteriori statu, sed ampliori melioriq;, quàm acceperim. Semper magistratui præfecto prudenter obediam, & legibus constitutis parebo, atq; alijs quibuscunq; plebis consensu decretis. Quod si quis leges uel irritas facere, uel eis non obtemperare uelit, non concedam: sed ulciscar tam solus, quàm cũ pluribus. Sacra quoque patria colam. Horum dij mihi testes, & conscij sunto. *Iuramentũ quod Ephebi Athenis præstare solebãt*

Omnino aũt existimandũ putabant nihil tam esse malũ, quã est inobedientia: ho- *Aristotelis Pythagoricorũ apophtegmatũ.*

Videtur aliquid deesse.

κέναι τὸν ἄνθρωπον διασώζεσθαι μηδενὸς ἐπιστατοῦντος. περὶ δὲ ἀρχόντων καὶ ἀρχομένων, οὕτως ἐφρόνουν. τοὺς μὲν γὰρ ἄρχοντας ἔφασκον οὐ μόνον ἐπιστήμονας, † οὐ μόνον πειθηνίους, ἀλλὰ καὶ φιλάρχοντας. ἐπιμελητέον δὲ πάσης ἡλικίας ἡγοῦντο, καὶ τοὺς μὲν παῖδας, ἐν γράμμασι καὶ τοῖς ἄλλοις μαθήμασιν ἀσκεῖσθαι: τοὺς δὲ νεανίσκους, τοῖς τῆς πόλεως ἔθεσί τε, καὶ νόμοις γυμνάζεσθαι: τοὺς δὲ ἄνδρας, ταῖς πράξεσί τε καὶ δημοσίαις λειτουργίαις προσέχειν: τοὺς δὲ πρεσβύτας, ἐνθυμήσεσι, καὶ κριτηρίοις, καὶ συμβουλίαις δεῖν ἀναστρέφεσθαι. πάσης ἐπιστήμης ὑπελάμβανον, ὅπως μήτε οἱ παῖδες νηπιάζοιεν, μήτε οἱ νεανίσκοι παιδαριεύοιντο, μήτε ἄνδρες νεανιεύοιντο, μήτε οἱ γέροντες παραφρονοῖεν. δεῖν δὲ ἔφασκον εὐθὺς ἐκ παίδων, καὶ τὴν τροφὴν τεταγμένως προσφέρεσθαι, † διδάσκοντας ὡς ἡ μὲν τάξις, καὶ συμμετρία * αἰσχρά τε καὶ ἀσύμφορα.

malim διδάσκοντες.

* Deest aliquid

Ξενοφῶντος.

Ὅτι μισεῖσθαι μὲν ἀνάγκη τὸν ἄρχοντα ὑπὸ τοῦ ἀρχομένου. εἰ ἰσχύσουσιν οἱ πλούσιοι, καὶ ἰσχυροὶ ἐν ταῖς πόλεσιν, ὀλίγιστον χρόνον ἡ ἀρχὴ ἔσται τοῦ δήμου. διὰ ταῦτα τοὺς μὲν χρηστοὺς ἀτιμοῦσι, καὶ χρήματα ἀφαιροῦνται, καὶ ἐξελαύνουσι, καὶ ἀποκτείνουσι, τοὺς δὲ πονηροὺς αὔξουσι.

Δημοκρατίαν δ' ἐγὼ αὐτῷ μὲν τῷ δήμῳ συγγινώσκω. ἑαυτὸν μὲν γὰρ εὖ ποιεῖν, παντὶ συγγνώμη ἐστίν. ὅστις δὲ, μὴ ὢν τοῦ δήμου, εἵλετο ἐν δημοκρατουμένῃ πόλει οἰκεῖν μᾶλλον, ἢ ὀλιγαρχουμένῃ, ἀδικεῖν παρεσκευάσατο, καὶ ἔγνω ὅτι μᾶλλον οἷόν τε διαλαθεῖν κακῷ ὄντι ἐν δημοκρατουμένῃ πόλει, ἢ ἐν ὀλιγαρχουμένῃ.

Δημοσθένους.

Ἔστι τοίνυν νὴ δί' ἔφην ἐγὼ παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα, καὶ τείχη καὶ τάφροι, καὶ τἆλλα ὅσα τοιαῦτα. καὶ ταῦτα μὲν ἐστὶν ἅπαντα χειροποίητα, καὶ δαπάνης πολλῆς προσδεῖται. ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μὲν ἐστὶν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν ἐστὶ τοῦτο; ἀπιστία. ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε: ἂν ταύτην σώζητε, οὐδὲν μὴ δεινὸν πάθητε.

Πρὸς μὲν δὴ τὸ μικρὸν τέλος φήμ' ἔγωγε, ἀλλὰ τὸ ἔθος μέγα. ἔστι δὲ ὁ λόγος, οὐ περὶ τῆς ποσότητος, ἀλλὰ περὶ τοῦ δικαίου. καὶ πρόδηλον ὡς ἀεὶ τὰ πονηρὰ τῶν ἐθῶν, ἄρχεται μὲν ἀπὸ μικρῶν: ἀμελούμενα δὲ, ἰσχὺν μείζω λαμβάνει.

Θουκυδίδου.

lego μετὰ uel διὰ

malim νόμιμα.

Νῦν δὲ ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δὲ † ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν. καὶ ἡσυχαζούσῃ μὲν πόλει, τὰ ἀκίνητα † μόνιμα ἄριστα: πρὸς πολλὰ δὲ ἀναγκαζομένους ἰέναι, πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ.

Ek τοῦ πολυδί-λυ.

Οὐκ εἰδὼς ὅτι πᾶν τὸ νεωτεριζόμενον ἐν ταῖς πολιτείαις, ἀρχὴ δυνάμεως μείζονος γίνεται, ἄνδρας δὲ γεωργοὺς οὐκ ὀξεῖα τῶν κοινῶν ἀδικημάτων ἡ αἴσθησις εἰσέρχεται.

Ὑπὸ γοῦν τοῦ μήδου δεινότερα τούτων πάσχοντες, ἠνείχοντο: ἡ δὲ ἡμετέρα ἀρχὴ, χαλεπὴ δοκεῖ εἶναι, εἰκότως: τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις.

Αἰσχίνου.

Αἱ γὰρ ἴδιαι ἔχθραι, πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσι.

Θουκυδίδου.

Πάντων δὲ δεινότατον, εἰ βέβαιον ἡμῖν μηδὲν καθέστηκεν, ὧν ἂν δόξῃ πέρι: μηδὲ γνωσόμεθα, ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν, ἢ καλῶς ἔχουσιν ἀκύροις: ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας.

Οἵ τε φαυλότεροι τῶν ἀνθρώπων, πρὸς τοὺς ξυνετωτέρους, ὡς ἐπὶ τὸ πλεῖστον ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ μὲν γὰρ, τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι, τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν πολλοῖς μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην, καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις. οἱ δὲ, ἀπιστοῦντες τῇ ἑαυτῶν ξυνέσει, ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ, τὸν τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον, ἢ ἀγωνισταὶ, ὀρθοῦνται τὰ πλείω.

Δημοσθένους.

Τοι γάρ τοι διεστηκότων εἰς δύο ταῦτα τῶν ἐν ταῖς πόλεσι: τῶν μὲν, εἰς τὸ μήτ' ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς, μήτε δουλεύειν ἄλλῳ: ἀλλ' ἐν ἐλευθερίᾳ, καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι: τῶν δ' εἰς τὸ ἄρχειν μὲν, τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴωνται τοῦτο

δυνήσεσθαι

mines enim incolumes durare non posse, ubi nemo præest. De magistratu uero, & subiectis ita sentiebant. Magistratus quidem dicebant non oportere tantũ prudentes esse, (uerũ etiam benignos: subditos uero) nõ morigeros tantũ, sed amantes quoque magistratuũ. Præterea singularũ ætatũ curam habendam esse censebant, ita ut pueri quidem in literis, alijsq́ disciplinis exercerentur: iuuenes ciuitatis morũ atque legũ diligenter essent studiosi: uiri actionibus, publicisq́ muneribus incumberent: senes autẽ in meditationibus, iudicijs, & consilijs uersarentur. Summam uero scientiam esse iudicabant in hoc sitam, ut pueri non haberent mores infantium, neque puerile iuuenes, neque uiri iuuenile retinerent ingenium, nec denique senes desiperent. Ad hæc assuescendum aiebant, ut statim à puero alimenta certo ordine modoq́ sumerentur, docentes ordinem atque modum (ubique decorem & utilitatem afferre: contraria uero) ut turpia, sic noxia esse. *Parenthesi inclusa nõ sunt in Græco.* *Parẽthesi inclusa in Græco desunt.*

Quoniã necesse est principem à subditis odio haberi. Quod si diuites & potentes in ciuitate ꝑualuerint, breuissimũ tẽp' populi imperiũ durabit. Quapropter bonos q̃dẽ ignominijs afficiunt, pecunijs exuũt, expellũt, & occidũt: malos aũt promouẽt. *Xenophontis.*

Si uulg' q̃dẽ democratiã approbet, ueniã meret: quæ dãda est unicuique, q ipse sibi gratificat. At si qs nõ plebeiæ sortis homo, in populari impio poti', quã à paucis administrato, degere cupit, is mihi iniurium aliqd machinari uidet, atque nouisse, q̃d uir improbus facili' in repub. populari, quã à paucis gubernata, latere possit.

Permulta profectò sunt, inquiebam, ciuitatib' excogitata ad custodiã atque salutẽ, ut ualla, mœnia, fossæ, & alia huius generis: quæ quidẽ omnia manibus conficiunt, & sumptus postulant ingentes. Inest autem unum quoppiam cõmune munimentũ cordatorum hominũ animis à natura, quod cũ cæteris omnibus bonum est ac salutare, tũ plebi maxime contra tyrannos. Quódnã igitur istud est? Non facile crederet uel, si uno uerbo dicere licet, diffidentia. Hanc seruate, et amplectimini: hanc si habueritis integram, nihil graue uobis obueniet. *Demosthenis.*

Atqui ad sermonẽ, qui pensionẽ paruã esse dicit, respondeo: at cõsuetudo magna est. Habet aũt nõ tã quantitatis, quã iuris ratio: Et manifestũ est prauas cõsuetudines perpetuò à paruis initijs progredi: tandem neglectas maiorem uim acquirere.

Nũc autẽ, quod modo etiã significauimus, antiqua sunt uestra studia erga ipsos. Necessum est autem, ut in artibus, ut sequentia semper præcellant. Et reipub. quidẽ tranquillæ, leges fixæ quàm optimæ sunt: coactis autem uaria negocia aggredi, multis etiam opus est machinationibus. *Thucydidis.*

Ignorãs q̃d omnis innouatio in rebuspublicis, maioris potẽtiæ initiũ existit: homines autẽ agriculturæ dediti nõ statim communes iniurias odorantur. *Ex Polydico.*

Cũ à Medo hisce grauiora paterent, sustinebant tñ. Nostrũ uero imperiũ, durum uobis nõ immerito uidet: Semper eñ præsens status subditis est molestus.

Priuatæ enim inimicitiæ omnino multa in publicis negocijs corrigunt. *Aeschinis.*

Istud uero omniũ est grauissimũ, si nihil eorũ, q̃ uisa nobis decretaq́ fuerint, firmũ & ratũ futurũ sit: neque cognouerim', q̃d multo melior sit stat' ciuitatis, quæ licet deteriorib', firmis tñ legibus utit: quã illi', quæ bonis quidẽ, sed irritis: Et q̃d imperitia iuncta temperantiæ, quã industria proteruitati, nõ parũ utilitate præstet. *Thucydidis.*

Vilissimi homines prudẽtiorib' cõparati multo meli' ciuitates inhabitãt. Hi eñ plus legib' sape uideri uolunt, & aliorũ sentẽtijs, quæ semp in cõmune proferuntur, supiores esse, ac * sępe utpote inter longe maiores sententiã suã nõ aperiũt, unde fit ut respublicæ multa damna accipiant. Illi uero nõ freti iudicio & intellectu suo, tum legibus imperitiores haberi uolunt, tum imperitiores dicendo sunt, quàm ut sermonem eius, qui recte consuluit, reprehendant: & cum iudices sint magis iuxta æquitatem, quàm concertatores, res plurimas recte disponunt. *Locus est obscurus in Græco.*

Etenim cum ciues in binos ordines diuidantur: alteri quidem nolunt cuiquam per uim imperare, aut præesse alijs, sed in libertate & legibus ex æquo rempublicam administrare: alteri contrà ciues regere desyderant, nec ulli parere, tyrannidis & *Demosthenis.*

δυνήσεσθαι ποιῆσαι οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρατήκασι πανταχοῦ.

Θουκυδίδου. Νομίζω ὁμοίως ἀγαθὸν πολίτην εἶναι, ὃς ἂν καὶ τοῦ σώματός τι, καὶ τῆς οὐσίας προνοῆται. μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' αὑτὸν βούλοιτο ὀρθοῦσθαι.

Αἰσχίνου. Ομολογοῦνται τρεῖς εἶναι πολιτεῖαι ἐν ἅπασιν ἀνθρώποις. τυραννίς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία. διοικοῦνται δ' αἱ μὲν τυραννίδες, καὶ ὀλιγαρχίαι, τοῖς τρόποις τῶν ἐφεστηκότων· αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι, τοῖς νόμοις τοῖς κειμένοις.

Πλάτωνος ἐν πολιτικῷ. Ἆρ' οὐ μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστὶ μία; ναί. καὶ μετὰ μοναρχίαν εἴποι τις ἂν οἶμαι, τὴν ὑπὸ τῶν ὀλίγων δυναστείαν; πῶς δ' οὔ; τρίτον δὲ σχῆμα πολιτείας, οὐχ ἡ τοῦ πλήθους ἀρχὴ, δημοκρατία τοὔνομα κληθεῖσα; καὶ πάνυ γε. τρεῖς δ' οὖσαι, μῶν οὐ πέντε τρόπον τινὰ γίγνονται, δύ' ἐξ αὑτῶν ἄλλα πρὸς ἑαυταῖς ὀνόματα τίκτουσαι; ποῖα δή; πρὸς τὸ βίαιόν που καὶ ἑκούσιον ἀποσκοποῦντες νῦν, καὶ πενίαν, καὶ πλοῦτον, καὶ νόμον, καὶ ἀνομίαν ἐν αὐταῖς γιγνόμενα, διπλῆν ἑκατέραν τοῖν δυοῖν διαιροῦντες, μοναρχίαν μὲν προσαγορεύουσιν, ὡς δύο παρεχομένην εἴδη, δυοῖν ὀνόμασιν, τὸ μὲν τυραννίδι, τὸ δὲ, βασιλικῇ; τί μήν; τὴν δὲ ὑπὸ ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν, ἀριστοκρατίᾳ, καὶ ὀλιγαρχίᾳ; καὶ πάνυ γε. δημοκρατίας γε μὴν, ἐάν τ' οὖν βιαίως, ἐάν τε ἑκουσίως τῶν τὰς οὐσίας ἐχόντων τὸ πλῆθος ἄρχῃ, καὶ ἐάν τε τοὺς νόμους ἀκριβῶς φυλάττον, ἐάν τε μὴ, πάντως τοὔνομα οὐδεὶς αὐτῆς εἴωθε μεταλλάττειν; ἀληθῆ.

Τοῦ αὐτοῦ ἐκ τοῦ Κριτίου. † alias αὐτά. Λέγω δὲ † ταῦτα τεκμαιρόμενος, ὅτι Κέκροπός τε καὶ Ἐρεχθέως, καὶ Ἐριχθονίου, καὶ Ἐρυσίχθονος, τῶν τε ἄλλων τὰ πλεῖστα ὅσαπερ καὶ Θησέως τῶν ἄνω περὶ τῶν ὀνομάτων ἑκάστων ἀπομνημονεύεται, τούτων ἐκείνους τὰ πολλὰ ἐπονομάζοντας τοὺς ἱερέας Σόλων ἔφη τὸν τότε διηγεῖσθαι πόλεμον, καὶ τὰ τῶν γυναικῶν κατὰ ταῦτα. καὶ δὴ καὶ τὸ τῆς θεοῦ σχῆμα καὶ ἄγαλμα, ὡς κοινὰ τότε ἦν τὰ ἐπιτηδεύματα, ταῖς τε γυναιξὶ, καὶ τοῖς ἀνδράσι τὰ περὶ τὸν πόλεμον,
* alias οἴκοι. † alias ἦν. οὕτω κατ' ἐκεῖνον τὸν * νόμον ὡπλισμένην τὴν θεὸν, ἀνάθημα † θεῖναι τοῖς τότε, ἐνδείγματα ὅτι πάνθ' ὅσα ξύννομα ζῶα θήλεα, καὶ ὅσα ἄρρενα, τὴν προσήκουσαν ἀρετὴν ἑκάστῳ γένει πᾶν κοινῇ δυνατὸν ἐπιτηδεύειν πέφυκε.

Ισοκράτους. Περὶ μὲν οὖν τῶν πολιτειῶν (ἐντεῦθεν γὰρ ὑποθέμενος ἠρξάμην) οἶμαι πᾶσι δεινότατον μὲν εἶναι, τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς: δικαιότατον δὲ τὸ διορθώσασθαι περὶ τούτων, καὶ μὴ τοὺς ἀνομοίους, τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν.

Θουκυδίδου. Εγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ μέρος: ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετοὺς, κρῖναι δ' ἂν ἀκούσαντας ἄριστα τοὺς πολλούς. καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη, καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖν: ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δὲ ὠφελίμων, οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ σύμπαν ἀφελομένη ἔχει.

Δημοσθένους. Οὐ δὴ ἔγωγε μοι δοκεῖ δικαίου τοῦτ' εἶναι πολίτου, τοιαῦτα πολιτεύμαθ' εὑρίσκειν, ἐξ ὧν ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι. ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν, τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον ἀεὶ, μὴ τὸ ῥᾶστον ἅπαντας λέγειν. ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται: ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προσάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην, ἵν' ὑμῶν ἕκαστος ὦ Ἀθηναῖοι τοῦτο γνῷ καὶ εἰδῇ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω καὶ ταῖς πόλεσιν, οὐκ εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ.

Ωσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τις ἐστὶ γονεὺς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ τοὺς γονέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ προσήκειν τούτους, οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι: ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν, ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται.

Δεῖ γὰρ ὦ Ἀθηναῖοι δικαίως ἀλλήλοις τῆς πολιτείας κοινωνεῖν: τοὺς μὲν εὐπόρους, εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας, καὶ ὑπὲρ τούτου μὴ δεδιότας: εἰς δὲ

potentiæ cupidi.

(Reliqua in Græco plane corrupta uidentur.)

Equidem æstimo æque bonum ciuem esse, & illum qui partem aliquam corporis & qui possessionis aliquid pro ciuitate amittere non dubitat: Talis enim præcipuè ciuitatis negocia per seipsum instaurari uellet. *Thucydidis.*

Tres esse politias inter omnes homines cõfessum est, nempe tyrannidẽ, imperiũ populi, & paucorũ. Administrantur aũt tyrannides qdẽ, & paucorũ impia, iuxta mores regnantiũ: ciuitates uero popularis imperij, cõstitutis legibus reguntur. *Aeschinis.*

An non monarchia, id est principatus unius, una quædam est gubernationum ciuilium? Post hanc paucorum potentiam ponere possumus. Sanè. Tertiam uero multitudinis gubernationem quam popularem uocant. Prorsus. Nónne tres hæ quodam modo quinq; fiunt, cum duo nomina ex se insuper pariant? Quænam? Qui considerant & inuitis & uolentibus, item & lege & arbitrio, imperari posse, tũ & pauperes esse posse qui præsunt, uel diuitijs, ad imperium euehi, duas in species tam unius quàm paucorum diuidunt principatum. Et unius quidem principatum in regnum & tyrannidem partiuntur. Vtiq;. Gubernationem uero quæ penes paucos est in paucorum potentiam, & potentiam optimatum. Omnino. Popularis uero gubernationis nomen nullus utiq; mutare aliquando consueuit siue sponte, seu ui populus diuitibus quibusdã præsideat, siue lege, seu arbitrio regat. Vera narras. *Platonis in Ciuili.*

Dico autem hæc ita coniectans, quoniam inquit Solon sacerdotes illos in ueteris belli narratione plurima nomina posteris persimilia, ut Cecropem, Erechtheũ, Erichthonium, Erisichthonem, aliaq; ex his quæ supra Theseum memorantur. Mulierum quoq; nomina similiter, atq; opera eadem, deæq; Palladis figuram & statuã, utut belli studia uiris tunc essent mulieribusq; communia. Nempe ea tempestate armatam deam palàm cultam fuisse, exemplum daturam omnibus, quod in singulis animalium gregibus, mas fœminaq; fortis eiusdem pro generis cuiusq; uirtute ita natura instituta sunt, ut aggredi omnia communiter ualeant. *Eiusdem in Critia.*

In rebus publicis autem (ab hoc enim dicendi argumento incœpi) omnino iniquissimum mihi uidetur, bonos & improbos in eadem reputatione esse. *Isocratis.*

Ego uero primum respondeo, popularis status nomine intelligi omnem ciuitatem, paucorum uero, partem ciuitatis: deinde custodes quidem pecuniarum optimos esse locupletes: ad consulendum autem præclarissime, eos qui pollent intelligẽtia: Cæteros uero, nempe uulgus, postquã audierit res, optimè iudicare: & hæc item siue per partes, siue uniuersum, æqualiter distribui in democratia. At paucorum status, pericula quidem populo impartit, commodorum autem non modo plus, uerũ etiam totum sibi uendicat, erepta ab alijs sua portione. *Thucydidis lib. 6.*

Non mihi uidetur boni ciuis esse, huiusmodi reipub. administrationes inuenire, ex quibus ego statim primus uestrum futurus sim, uos autem aliorum ultimi. Quin communi opera bonorum ciuium administrationibus promoueri ciuitatem conuenit, & ab unoquoq; semper quod optimum est factu, non quod facillimum, dicit ad hoc enim uel ipsa natura progredietur: ad istud uero rationibus edoctum bonum ciuem adduci oportet, ut unusquisq; uestrum ò Athenienses cognoscat & sciat, quod ignauia quotidiana & quies, quemadmodum in uita priuatorum, sic in ciuitatibus quoq;, non principio, sed post summam præcipuamq; negociorum partem, occurrat. *Demosthenis.*

Quemadmodũ igitur singuli suos habẽt parentes, sic etiã uniuersæ ciuitatis cunctos, communes ceu parentes esse, iudicandũ est, eosq; decere, nõ solũ ex ijs quæ ciuitas largitur auferre quippiam: uerumetiã si nihil eorũ adsit, aliunde prospicere, ut nulla in re ciues penuria laborantes negligantur.

Quoniã oportet ò Athenienses, cõmunẽ inter nos reip. administrationẽ iustè usurpare, q̃d fiet, si locupletes (q̃ q̃d uictũ attinet securi sunt, & nihil ei⁹ causa metuũt)

τοὺς κινδύνους, κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας. τοὺς δὲ λοιποὺς, τὰ μὲν κοινὰ, κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος: τὰ δὲ ἑκάστου, ἴδια τοῦ κεκτημένου. οὕτω καὶ ἡ μικρὰ πόλις, μεγάλη γίγνεται, καὶ μεγάλη σώζεται.

Θουκυδίδου. Ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ, οὐδὲν ἄλογον ὅτι ξυμφέρον, οὐδ' οἰκεῖον ὅτι μὴ πιστόν. πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι.

Ιαμβλίχου. Ὁμοίως ἐπισφαλὲς, μαινομένῳ δοῦναι μάχαιραν, καὶ μοχθηρῷ δύναμιν.

Θεόφραστος ἐρωτηθεὶς, τί συνέχει τὸν τῶν ἀνθρώπων βίον, ἔφη. εὐεργεσία, καὶ τιμὴ, καὶ τιμωρία.

Χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς, διατί νόμους ὀλίγους ὁ Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο: τοὺς ὀλίγοις χρωμένους νόμοις μὴ δεῖσθαι νόμων.

Ηροδότου. Ἐσθίουσι δὲ ἔξω ἐν τῇσιν ὁδοῖσιν ὑπολέγοντες: ὡς τὰ μὲν αἰσχρὰ, ἀναγκαῖα δὲ, ἐν ἀποκρύφοις δεῖ ποιέειν χρεών: τὰ δὲ μὴ αἰσχρὰ, ἀναφανδόν.

Ξενοφῶντος. Ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι, τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ, πρόσεστιν ἔχθραι, καὶ κίνδυνος. διὰ δὲ τοῦ πείθειν, ἀκινδύνως τε καὶ μετὰ φιλίας τὰ αὐτὰ γίγνεται. οἱ μὲν γὰρ βιασθέντες, ὡς ἀφαιρεθέντες μισοῦσιν: οἱ δὲ πεισθέντες, ὡς κεχαρισμένοι φιλοῦσιν. οὔκουν, οὐ τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν. ἀλλὰ μὴν καὶ συμμάχων, ὁ μὲν βιάζεσθαι τολμῶν, δέοιτ' ἂν οὐκ ὀλίγων: ὁ δὲ πείθειν δυνάμενος, οὐδενός. καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει. τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι;

Σόλων ἐκείνην ἔφη ἀρίστην τὴν πόλιν οἰκεῖσθαι, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι. καὶ τὸ ἐναντίον, ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

Σόλων ἐρωτηθεὶς πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει, εἶπεν, εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.

Περίανδρος ἐρωτηθεὶς, διὰ τί οὐκ ἀποτίθεται τὴν ἀρχὴν, εἶπεν. ὅτι καὶ τὸ κατ' ἀνάγκην ἄρχοντι, καὶ τὸ ἑκουσίως ἀποστῆναι κίνδυνον φέρει.

Πυθαγόρας εἶπεν, εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφὴν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον.

Ὁ αὐτὸς τῶν πόλεων ἐκείνην εἶπεν ἀρίστην, τὴν ἄνδρας ἀγαθοὺς ἔχουσαν.

Ὁ αὐτὸς τούτους ἔφη καθιστάναι ἄρχοντας, οἵτινες ἐκ παίδων καλῶς ἤχθησαν, καὶ εἰς ἡλικίας ἐλθόντες, μὴ γεγόνασι προδόται τῆς αὐτῶν ἡλικίας † λήμματος χάριν.

alias λημμάτων.

Πλάτωνος. Πολιτεία γὰρ, ἀναστροφὴ ἀνθρώπων ἐστὶ, καλὴ μὲν, ἀγαθῶν: μὴ καλὴ δὲ, κακῶν.

Αἰσχίνου. Κἀκεῖνο ἐκλογίζεσθε. ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις, ἢ κατὰ τοὺς νόμους διδῶτε πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς: ἐὰν δὲ καὶ τοῖς βουλομένοις καὶ τοῖς † διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε.

Nimirũ aliquid deest.

Θουκυδίδου. Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν, οὐκ ἀναθήμασιν: ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

Σόλων, πῶς ἄριστα αἱ πόλεις οἰκοῖντο ἐρωτηθεὶς, εἶπεν. ἐὰν μὲν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται: οἱ δὲ ἄρχοντες, τοῖς νόμοις.

Θουκυδίδου. Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσιν.

Ἀρκεσίλαος ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοὶ, ἐνταῦθα νόσοι πλεῖσται: οὕτω δὲ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ καὶ ἀδικίαν εἶναι μεγίστην.

Ἱπποδάμου Πυθαγόρου. Φαμὶ δ' ἐγὼ εἰς μοίρας τρεῖς διεστᾶσθαι τὴν σύμπασαν πολιτείαν. καὶ μίαν μὲν εἶμεν μοῖραν τῶν ἀγαθῶν, κυβερνώντων τὰ κοινά: δευτέραν δὲ τῶν δυνάμει: τρίταν δὲ τῶν ἐκπλαρούσαν, καὶ χορηγίαν τῶν ἀναγκαίων. ὀνομάζω δὲ τὸ μὲν πρῶτον πλῆθος, βουλευτικόν. τὸ δὲ δεύτερον, ἐπίκουρον. τὸ δὲ τρίτον, βάναυσον. καὶ τὰ μὲν αὐτῶν ἐλευθέραν βιοτὰν ἐχόντων οἰκεῖα φαμὶ εἶμεν: τὸ δὲ τρίτον, τῶν βιοπόνων. καὶ τὸ μὲν βουλευτικὸν, ἄριστον εἶμεν. τὸ δὲ βάναυσον, χείριστον. τὸ δ' ἐπίκουρον, μέσον. καὶ τὸ μὲν βουλευτικὸν, ἄρχειν δεῖ, τὸ δὲ βάναυσον ἄρχεσθαι: τὸ δὲ ἐπίκουρον, καὶ ἄρχειν καὶ ἄρχεσθαι. τὸ μὲν γὰρ καὶ τί δεῖ πράττειν προβουλεύει.

τὸ δ'

opes suas aduersus pericula pro publica salute patriæ cõmunicent: reliqui uero, quę communia sunt, pro communibus habeant, & pro se quisq; participent, singulorũ autem bona, possidentium esse propria existiment. Hac ratione & parua ciuitas magnitudinem acquirit, & magna conseruatur.

Viro autem tyranno, aut ciuitati principatum gerenti nihil absurdum est modo sit utile: neq; familiarem ullum, nisi fidelem, existimant: oportere autem singulorũ amicitias aut inimicitias pro ratione temporis eligere. *Thucydidis.*

Perinde periculosum est insaniẽti gladiũ, ac improbo uiro magistratũ cõmittere. *Iamblichi.*

Theophrastus interrogatus quidnam uitam humanam conseruaret, dixit: beneficentia, & honor, & pœna.

Charill⁹ rex, quamobrẽ Lycurgus tã paucas leges condidisset interroganti cuidam, respondit: illos qui paucis legibus utantur, non opus habere legibus.

Cibum autem foris sumunt in compitis, inquientes: turpia quidem, sed necessaria clàm esse faciunda: non turpia uero, palàm. *Herodoti.*

Cæterũ ego censeo homines prudentiæ studiosos, & q se idoneos fore putent ad erudiendũ ciues de reb⁹ utilib⁹, minime uiolẽtos esse futuros, eo q̃d cognoscãt uiolẽtiã comites habere inimicitiã atq; periculũ: psuasione aũt & citra piculũ & cũ beneuolentia idẽ effici. Nã q p uim coacti sunt, ceu magna re priuati, odio prosequuntur illos, q coẽgerũt: q uero suadela inducti sunt, ceu cũ gratia inuitati, amant. Quamobrẽ uim facere nõ est prudentiæ studiosorũ, sed q robur sine mẽte possident, uiolentis gaudent facinorib⁹. Quinetiã socijs, q uim inferre audet, nõ paucis indiget: pollens aũt psuadendo, nullis eget, qppe uel solũ se suadendi facultate uoti cõpotẽ fore sperans. Ad hæc huiusmodi uiris cædem cõmittere omniũ minime cõtingit. Quis eñ malit occidere quempiam, quàm uiui obedientis opera uti? *Xenophontis.*

Solon illam ciuitatem optimè habitari dixit, in qua uiros bonos honoribus affici: contrà autem, improbos pœnis, mos fuerit.

Solon quæsitus quanam ratione nullum in urbe scelus perpetraretur, dixit: si tã indignarentur illi, quibus non est facta iniuria, quàm quibus facta est.

Periander, interrogante quodã, cur imperiũ nõ deponeret, dixit: quoniam per uim imperanti, etiam ultro desistere, periculosum est.

Pythagoras dixit, primum luxuriam ciuitates ingredi, deinde saturitatẽ, postea contumeliam, postremò exilium.

Idem ciuitatum optimam esse dixit, quæ uiros bonos habet.

Idem principes constitui iussit illos, qui à teneris bene educati sint, & iam adulti ætatem suam lucri gratia non prostituerint.

Resp. eñ cõuersatio est hominũ, honesta quidẽ bonorũ: inhonesta uero malorũ. *Platonis.*

Hoc etiã reputate, q̃d si munera paucis, eisq; condignis, & secundũ leges contuleritis, multos uos habituros esse pro uirtute certantes: si aũt cuilibet cupienti, & ijs q nihil egregium fecerint gratificemini, frugi etiam ingenia corrupturos. *Aeschinis.*

Zenõ dixit decorãdas esse urbes nõ preciosis ornamẽtis, sed inhabitãtiũ uirtutib⁹. *Thucydidis.*

Solon rogatus quo modo ciuitas in optimo statu degeret, dixit: si ciues quidem magistratui obediant, magistratus autem legibus.

Inter q̃s eñ maxima uirtutis pręmia proponunt, apud illos optimi etiã uiri rem-(pub. gubernant. *Thucydidis.*

Arcesilaus dicebat, quẽadmodũ ubi pharmaca multa, multiq; medici sunt, ibidẽ & morbi abũdãt: sic etiã ubi plurimę leges fuerint, ibi & iniustitia uiget maximè.

Dico aũt uniuersam remp. in tres ordines diuisam esse: Et unũ qdẽ esse bonorũ ordinẽ, publica negocia gubernãtiũ: alterũ ex uiris robustis cõstare: tertiũ ex illis q res necessarias explẽt, ac suppeditãt. Nomino aũt primũ qdẽ ordinẽ, cõsiliariũ: secũdũ, auxiliarẽ: tertiũ, mechanicũ. Et priores duos proprios esse dicim⁹ uitã liberã degentiũ: tertiũ uero, uictũ labore quærentiũ. Ac consiliariũ qdẽ optimũ esse: mechanicũ, deteriorẽ: auxiliarẽ, mediũ. Itẽ consiliarium imperare oportet, mechanicum parere: auxiliarem uero, utrumq;. Consiliarius enim quid agendum sit, consilijs præfinita *Hippodami Pythagorei.*

τὸ δ' ἐπίκουρον, ὑπὲρ μὲν τῶ πολεμέειν, ἄρχει τῶ βαναύσω παντός· ὑπὲρ δὲ τῶ βουλεύεσθαι, ἄρχεται.

Τούτων δὲ τᾶν μοιρᾶν, ἑκάστα πάλιν εἰς τρία τέτακται. τῶ τε γὰρ βουλευτικῶ μέρεος τὸ μὲν ἐστὶ πρόεδρον· τὸ δὲ, ἀρχοντικόν· τὸ δὲ, κοινοβουλευτικόν. πρόεδρον μὲν, τὸ προσυνεδρεῦον, καὶ τὸ προβουλευόμενον περὶ τῶν πραγμάτων, καὶ ὕστερον ἐπαναφέρον ἐπὶ τὰν βωλάν.

Videtur locus corruptus.

† ἀρχοντικὸν δὲ, τὸ ἤτοι ἄρχον, ἢ γεγναμένον ἀρχοντικόν. κοινοβουλευτικὸν δὲ, τὸ ἄλλο πλῆθος τὸ περιδεχόμενον τὰ προσυνεδρευμένα, καὶ ἐπιψαφιζόμενον καὶ ἐπικυροῦν τὰ ἐπὶ κρίσει. ὡς δ' ἁπλῶς εἰπεῖν, δεῖ τὼς μὲν προέδρους, ἐπὶ τὸ κοινοβουλευτικὸν ἀναφέρειν. τὸ δὲ κοινοβουλευτικὸν, διὰ τῶν στρατηγῶν ἐπὶ τὰν ἐκκλησίαν. ὡσαύτως δὲ καὶ τῶ ἐπικούρω, καὶ τῶ δυναμικῶ μέρεος, τὸ μέν τι ἐστὶν ἀρχοντικόν· τὸ δὲ, προμαχατικόν· τὸ δὲ λοιπὸν καὶ πλεῖον μέρος ἀγγελαῖον, καὶ στρατιωτικόν. ἀρχοντικὸν μὲν ὦν ἐστὶν, ἐξ ὧν στρατοπεδάρχαι, καὶ ταξιάρχαι, καὶ λοχαγοί, καὶ πρόμαχοι καθίστανται, καὶ καθόλου πάντες οἱ ἀγεμονίαν ἔχοντες. προμαχατικὸν δὲ, τὸ τῶν ἀνδρικωτάτων, καὶ θυμικωτάτων, καὶ τολματικωτάτων, πᾶν γένος. ἀγγελαῖον δὲ καὶ στρατιωτικὸν, τὸ λοιπὸν πλῆθος. τῶ δὲ βαναύσω καὶ βιοπονατικῶ, τὸ μέν ἐστι γεώπονον, καὶ περὶ τὰν κατεργασίαν τᾶς χώρας κατασχολεύμενον. τὸ δὲ τεχναστικὸν, ὄργανα καὶ ἐπιμαχανάματα τοῖς τῶ βίω πράγμασιν ἐκποριζόμενον. τὸ δὲ, μεταβατικὸν καὶ ἐμπορικὸν, ὃ τὰ μὲν ἐν τᾷ πόλει περιουσιάζοντα ἐπὶ τὰν ξέναν διάγεται· τὰ δὲ, ἀπὸ τᾶς ξένας εἰς τὰν πόλιν. τὰ μὲν οὖν συστάματα τᾶς πολιτικᾶς κοινωνίας, διὰ τοσούτων καὶ τοιῶνδε μερέων συντέτακται. ἔπειτα δὲ περὶ ἁρμογᾶς καὶ † συνώσιος αὐτῶν, ῥητέον. ἐπεὶ δὲ πᾶσα πολιτικὰ κοινωνία λύρας παντελῆ † ἀρτίοικε ὑπὲρ, ἐξαρτύσιός τε δέεσθαι καὶ συναρμογᾶς, καὶ τὸ τελευταῖον ἐπαφᾶς τινος καὶ προσχάσιος μωσικᾶς· περὶ μὲν * τῶν ἐξαρτύσιος πολιτείας ἐκ τίνων καὶ πόσων συνέστακεν, εἴρηταί μοι καὶ ἐν τοῖς ἔμπροσθεν· περὶ δὲ συναρμογᾶς καὶ ἑνώσιος αὐτῶν, πειρασοῦμαι νῦν λέγεν. φαμὶ δὲ ἔγωγε τρισὶ τούτοις συναρμόζεσθαι τὰν πολιτικὰν κοινωνίαν· λόγοις, ἐπιταδεύμασιν ἠθῶν, νόμοις· καὶ διὰ τριῶν τούτων παιδεύεσθαι τὸν ἄνθρωπον, καὶ σπουδαιότερον γίγνεσθαι. οἱ μὲν γὰρ λόγοι διδάσκοντι, καὶ ἐπιθυμίας ἐμποιεῦντι, προτρεπόμενοι πρὸς ἀρετάν. τοὶ δὲ νόμοι τὰ μὲν, φόβοις κατέχοντες, ἀποτρέποντι, τὰ δὲ, τιμαῖς τε καὶ δωρεαῖς δελεάζοντες, ἐκκαλέονται. τὰ δὲ ἤθη, καὶ ἐπιταδεύματα, πλάσσει καὶ κηροχυτεῖ τὰν ψυχὰν, φυσίωσιν ἐμποιεῦντα, διὰ τὸ συνεχέος ἐνεργίας. δεῖ δὲ τὰ τρία ταῦτα συντετάχθαι, ποτί τε τὸ καλὸν καὶ τὸ συμφέρον, καὶ τὸ δίκαιον, καὶ ἐν ἑκάστῳ αὐτῶν, εἰ μὲν δυνατὸν, στοχάζεσθαι πάντων, εἰ δὲ μάγε, † δυνάμενος, ὥστ' εἶεν καὶ τὸν λόγον καλὸν καὶ δίκαιον καὶ συμφέροντα, καὶ τὸ ἦθος καὶ τὸν νόμον, προτιμᾶσθαι δὲ πρᾶτον τὸ καλόν· δεύτερον δὲ, τὸ δίκαιον· τρίτον τὸ συμφέρον. τὸ καθόλου τε πειρᾶσθαι διὰ τούτων, ὡς ὅτι μάλιστα ποιεῖν τὰν πόλιν, ὅπως ὁμολογέοι καὶ σύμφωνος τοῖς αὐτᾶς μερέεσιν, ἀλλὰ μὴ στασιάζουσα, καὶ διαμαχομένα. ἐσεῖται δὲ τοῦτο, αἴκα τὰ πάθεα τᾶς ψυχᾶς παιδεύηται τῶν νέων, καὶ εἰς τὸ μέτριον ἀγινῆται, τοῖς ἁδέσι τε καὶ λυπαροῖς· καὶ αἴκα περὶ τὰς οὐσίας μέτριαι, καὶ ἀπὸ γεωπονίας ἔχοντι τὰν πρόσοδον. καὶ αἴκα τὰς ἀρχὰς ἄρχοντι, τὰς μὲν ἀρετᾶς δεομένας τοὶ ἀγαθοί· τὰς δ' ἐμπειρίας τινὸς, τοὶ ἔμπειροι· τὰς δὲ παροχᾶς τινὸς καὶ δαπάνας, τοὶ εὔποροι, καὶ τούτοις πᾶσι κατὰ τρόπον ἄρξασι τᾶς κατ' ἀξίας ἀρχᾶς διανέμοντι τὰς τιμάς. ἐπεὶ δὲ τᾶς ἀρετᾶς, αἰτίαι τυγχάνοντι τρεῖς. φόβος, ἐπιθυμία, αἰδώς. δυνασεῖται δὲ τὸν μὲν φόβον, ὁ νόμος ἐμπαρασκευάζειν. τὰν δὲ αἰδῶ, τὰ ἔθεα. τοὶ γὰρ ἐθισθέντες καλῶς αἰδέονται τὰ αἰσχρὰ πράσσειν. ὁ δὲ λόγος, τὰν ἐπιθυμίαν. ἀγωγὸν γὰρ, τᾶς αἰτίας ἀπόδοσις ἅμα, καὶ ἐφελκυστικὸν τᾶς ψυχᾶς, ἄλλως τε δὴ καὶ γιγνόμενον μετὰ προτροπᾶς. διὸ φρατρείας, καὶ συσσίτια, καὶ συσκανίας, καὶ συναγελισμούς, τὰ μὲν, στρατιωτικὰς, τὰ δὲ, καὶ πολιτικὰς ἐγκατασκευάζειν δεῖ ταῖς τῶν νέων ψυχαῖς, συναρμόζεν δὲ καὶ τὸ τῶν πρεσβυτέρων γένος αὐταῖς. ἐπειδήπερ τοὶ μὲν νέοι, δέονται σωφρονισμῶ, καὶ κατερτύσιος· τοὶ δὲ πρεσβύτεροι, φιλοφροσύνας, καὶ διαγωγᾶς ἀλύπω.

Ἐπεὶ οὖν διὰ τριῶν ἐλέγομεν ἀποτελεῖσθαι τὸν ἄνθρωπον σπουδαῖον, διά τε τῶν ἐθέων, καὶ τῶ νόμου, καὶ τῶ λόγου, σκοπιάζεσθαι δεῖ, πῶς τε διαφθείρεσθαι πέφυκε τὰ ἔθεα,

καὶ

Marginal notes: lego ἑνώσιος. — Locus est corruptus. — malim ἐξ. — lego δοξᾶν μόνων.

at auxiliaris, dum propugnat, totam mechanicam multitudinem regit: quatenus autem ei præſcribuntur conſilia, regitur.

Cæterum ſinguli trium iſtorum ordinum denuo in tres alios ſubdiuiduntur. Conſiliarij enim pars quædam eſt primaria: alia rectoria: alia ſenatoria, uel in commune conſulens. Primaria quidẽ in conſeſſu ſuo præſidens ante omnia de rebus cõſultat, ac deinde ad ſenatum refert: Rectoria, media eſt, & ad reliquos regendos creata. Senatoria ex reliqua multitudine conſtans, à primarijs propoſita ſuſcipit, ſuffragia fert, & quæ in iudicium ueniunt confirmat. Sed ut paucis dicam primarios quidem ſibi uiſa ad communem ſenatum referre opus eſt: hunc rurſus per prætores ad populum. Similiter & auxiliaris ordinis, ſiue robore uirium præſtantis, pars aliqua regit, altera propugnat, reliqua pars eaq; maior, promiſcua, & militaris eſt. Prima autem ſiue rectoria eſt, ex qua caſtrorum præfecti, ductores ordinum, manipulorum duces, & anteſignani conſtituuntur, ac deniq; omnes qui muneri cuipiam præficiuntur. Pars propugnans ex robuſtiſſimis, animoſiſſimis, & audaciſſimis quibuſq; conſiſtit. Promiſcua uero & militaris, omnis reliqua multitudo eſt. Mechanici autem, ac ex labore uiuentis generis pars una agriculturam exercet, & in regionis cultu occupatur: alia incumbit artibus, inſtrumenta & commoditates uitæ negocijs exhibens: alia peregrinatur & mercaturam facit, quæ in ciuitate quidem abundantia in exteras regiones euehit: & alia aliunde in patriã conuehit. Conſtitutio igitur ciuilis communionis, ex tot ac talibus partibus conſiſtit. Deinceps de coniunctione & unione ipſarum diſſeremus. Quoniam uero omnis communitas ciuilis omnimodam cum lyra ſimilitudinem recipit, eo quod apparatu, concinnatione, & tandem pertractatione aliqua uſuq; muſico indigeat: de apparatu quidem reipub. id eſt ex quot & quibus partibus conſiſtat, iam ante mihi explicatum eſt, reſtat ut in præſentia de coniunctione decenti ac unione ipſarum uerba faciam. Itaq; politicam communionem tribus modis apte concinnari aſſero, nempe doctrina & rationibus, ſtudijs conſuetudinum, ac legibus, atq; per iſta tria hominem inſtitui, honeſtioremq; fieri. Rationes enim docent, induntq; deſyderia, ad uirtutem incitantes: leges partim metu detinentes coërcent, partim honoribus & præmijs allicientes, inuitant. Conſuetudines autem, & ſtudia, animum formant, & quaſi cereum fingunt, naturali habitu ob aſſiduam actionem imbutum. Cæterum oportet hæc tria conuenire in honeſto, utili, & iuſto: & in ſingulis, ſi fieri poteſt, ad iſta omnia collimare, ſin minus ad duo ſaltem: Ita ut & ratio ſiue doctrina honeſta, utilis, atq; iuſta ſit, ſimiliter & conſuetudo, & lex. Præferendum eſt autem honeſtũ, ab eo iuſtũ, tertio loco utile habendum. Et in uniuerſum conari decet, ut hiſce modis ciuitatem, quàm maxime fieri poteſt, conſonam partibusq; ſuis concinnam efficiamus, ne ſeditionibus & contentionibus agitetur. Hoc autem eueniet, ſi iuuenilium animorũ affectus inſtituantur, & ad mediocritatem reducantur, quod iucunda & moleſta attinet: deinde ſi opes, ac redditus ex agricultura mediocres ſint: Item ſi officijs præſtituantur, uirtute quidem egentibus, boni: experientia aliqua, periti: largitionem uero & ſumptum poſcentibus, mercatores: Atq; tandem his omnibus officio ſuo, ut decet, fungentibus honores debiti tribuantur. Porrò uirtus tribus ex cauſis promouetur, metu, cupiditate, pudore. Metum incutere lex poterit: pudorem, conſuetudines: bonis enim moribus aſſuetos turpe quid admittere pudet. Doctrina uero deſyderium parit. Nam reddita rei cauſa animum allicit, attrahitq;, cum aliàs, tum ſi adhortatione iuncta fiat. Quocirca tribus, ſodalitates, contubernia, & conuentus tum militares tum ciuiles adoleſcentibus commendare oportet, ita tamen ut ſeniores ſibi coniunctos habeant. Quandoquidem ut adoleſcentes moderatione, & correctione egent, ita ſenes beneuolentia, & conuerſatione iucunda.

Quandoquidẽ igitur per tria hominẽ diximus honeſtum euadere, ſcilicet conſuetudine, lege, & doctrina, conſyderandũ eſt quomodo cõſuetudines aut corrũpi,

καὶ πῶς διαμένειν. εὑρήσομεν δὴ τὰ ἔθεα φθειρόμενα κατὰ δύο τρόπους, ἢ γὰρ δι' αὐτὼς, ἢ διὰ τὼς ἐκτός. καὶ διὰ μὲν αὐτὼς, ἤτοι διὰ τὸ φεύγειν τὰς λύπας, ἢ διὰ τὸ αἱρεῖσθαι τὰς ἁδονάς. διὰ μὲν γὰρ τὸ φεύγειν τὰς λύπας, τὼς πόνως οὐχ ὑπομένοντι: διὰ δὲ τὸ διώκειν τὰς ἁδονὰς, τὰ ἀγαθὰ τοὶ ἐκβάλλοντι. ἐργαζόμενοι δὲ τοὶ μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις: ταὶ δὲ ἁδοναὶ, τὰ κακά. ἀκρατέες ὦν καὶ μαλακοὶ γιγνόμενοι, θηλύτεροι γίγνονται ταῖς ψυχαῖς, καὶ ποτὶ τὰς ἀναλώσιας πολυδαπανώτεροι. διὰ δὲ τὼς ἐκτὸς, αἴκα ξενικὸς ἐπιδάμιος ὄχλος γένηται δυναμιείαις ἐμπορικαῖς καιρῶν. ἢ καὶ τοὶ ἀστυγείτονες φιλάδονοι καὶ τρύφακες ἐόντες, μεταδίδοντι τοῖς πλασιάζουσι τῶν παρ' αὐτοῖς ἐθέων. διὸ δεῖ τὼς νομοθέτας, καὶ τὼς ἀγελάρχας ἐπιμελῶς παρατηρεῖν, εἰ ἐπιμελῶς ἀξιοσκεῖται τὰ ἔθεα, καὶ ὁμαλῶς πορεύεται διὰ πάντων. ἔτι δ' εἰ τὸ γνάσιον, καὶ τὸ αὐθιγενὲς πλῆθος τᾶς πολιτείας διαμένει ἀκέραιον, καὶ ἀπαράμικτον ὑπάρχον ἀπὸ τῶ ἄλλω γένεος, καὶ εἰ τὰ μεγέθεα τῶν βίων ἐν τοῖς αὐτοῖς διαμένει, καὶ οὐ παρὰ πολύ. ἅμα γὰρ περὶ τὰ περιοσσὰ κτᾶσθαι, καὶ τὰ περιοσσὰ μαστεύοντι. καὶ τὰ μὲν ἔθεα, οὕτως ἀσφαλίζεσθαι χρή. τὼς δὲ λόγως, τὸ τῶν σοφιστῶν γένος ἐπικρίνοντας καὶ δοκιμάζοντας, εἰ ποτὶ τὼς νόμως καὶ τὰ πολιτικὰ δόγματα, καὶ τὰς ἰδίας οἰκονομίας τῶν βίων ὠφέλιμα λέγοντι. οὐ γὰρ τὰν τυχοῦσαν, ἀλλὰ τὰν μεγίσταν κακοδαιμοσύναν ἐντίκτοντι τῶν σοφιστῶν λόγοι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, αἳ † κατατολμῶσι κινῆν, παρὰ τὰς κοινὰς ἐννοίας ἢ τῶν θείων, ἢ τῶν ἀνθρωπίνων. † οὐδὲ ποτ' ἀλάθειαν, οὐδὲ ποτ' ἀσφάλειαν, οὐδὲ ποτὶ δόξαν κύριόν ἐστι: ζόφωσιν δὲ καὶ σύγχυσιν ἐπιφέρει περὶ κοινῶ βίω τῶν ἀνθρώπων. τοιοῦτοι δὲ λόγοι τυγχάνοντι οἱ πάντες, ἤτοι μὴ εἶμεν τὸ θεῖον, ἢ καὶ ἐὸν, μὴ ἔχειν οὕτως ποτὶ τὸ τῶν ἀνθρώπων γένος, ὥστ' ἐπιβλέπειν αὐτὸ καὶ φροντίζειν, ἀλλ' ἐᾶν καὶ κατολιγωρεῖν. καὶ γὰρ ἁ τοιαῦτα παραδοχὰ τοῖς ἀνθρώποις ἀφροσύναν καὶ ἀδικίαν ἐντίκτει, † οὐδ' εἰπεῖν δηλουμένοις δυναρές ἐστι. † πᾶς γὰρ ἄνθρωπος ἀναρχίας πληρωθεὶς, παντοδαπὸς γινόμενος χρῆσθαι περὶ λόγω πολιτικῶ καὶ σεμνῶ, καὶ οἰκείω τᾶς διαθέσιος τῶ λέγοντος, ἀλλὰ μὴ προσποιητῶ. οὕτω γὰρ ἁ λέξις ἐσεῖται τὸ τῶ λέγοντος ἦθος ἐμφαίνουσα. ἐκ δὲ τῶν νόμων τὰν ἀσφάλειαν οὕτως ἐπιφέρειν, εἰ καὶ σύνθετος ἁ πολιτεία, ἢ καὶ συντεταγμένα ἐκ πασᾶν τᾶν ἄλλαν. λέγω δὲ οὐ τῶν παρὰ φύσιν, ἀλλὰ τῶν κατὰ φύσιν. τυραννίδος γὰρ οὐδεμία χρεία ταῖς πόλεσιν, εἰ μή που καὶ τᾶς ὀλιγαρχίας ἐπὶ βραχύ. † δεῖ τοίνυν βασιλείαν πράταν ἐντετάχθαι, καὶ δεύτερον, ἀριστοκρατίαν. βασιλεία μὲν γὰρ θεομίματον πρᾶγμα, καὶ δυσφύλακτον ὑπὸ ἀνθρωπίνας ψυχᾶς. ταχέως γὰρ ὑπὸ τρυφᾶς, καὶ ὕβριος ἀλλάσσεται. διόπερ οὐ δεῖ κατὰ πᾶν αὐτᾷ χρῆσθαι, μέχρι δὲ τῶ δυνατῶ καὶ ποτὶ τὰν πολιτείαν χρησίμω. τὰν δ' ἀριστοκρατίαν ἐπιπλέον † ἐκπλέκειν, τῷ πλέονας εἶμεν τὼς ἄρχοντας, καὶ φιλοζήλως διατίθεσθαι ποτ' αὐτὼς, καὶ πολλάκις ἀντιμεταλαμβάνεσθαι τὰς ἀρχάς. δαμοκρατίαν, ἢ ἀναγκαῖον μὲν εἶμεν πάντως. δεῖ γὰρ τὸ πολίταν μέρος ὑπάρχοντα τᾶς συμπάσας πολιτείας φέρεσθαί τι ἀπ' αὐτᾶς γέρας. † ἐπεύχεσθαι δὲ ἱκανῶς αὐτὰ δεῖ. θρασὺ γὰρ καὶ προπετὲς τὸ πολὺ πλῆθος.

forte ἃ τι.
Apparet aliqd desyderari.
Loci sunt obscuri.
lego δὲ.
malim ἐμπλέκειν.
forte ἐπεύχεσθαι δ' ἱκανῶς αὐτὰς δεῖ.

Τὼς δὲ νόμως οὐκ ἐν οἰκήμασιν ἐπᾶμεν δεῖ, ἀλλ' ἐν τοῖς ἤθεσι τῶν πολιτευομένων. τίς ὦν ἀρχὰ πολιτείας; νέων τροφά. οὐ γὰρ μήποκα τὸν καρπὸν ὀνασιφόρον ἄμπελοι γεννάσοντι, μὴ φυτοτροφηθεῖσαι καλῶς: οὐδ' ἵπποι μήποκα γενῶνται καλοὶ πωλοτροφίαν παρέντες. τὰ γὰρ νεόχνεα τῶν σιτίων μάλιστα περὶ ἁψαμένω καὶ πλασιάζοντι, ὅμοιον τὸ σχῆμα λαμβάνει (τοῖς ἀνθρώποις) ποτὶ μὲν ἀμπέλων πῶς χρὴ τμηθῆμεν τε καὶ ἐποφθῆμεν, πεφροντισμένως ἔχει, τὰ δ' ἐπὶ τῶν ἀνθρώπων ἀμελέως τε καὶ εἰκαίως. καί τοι οὐχ ἁ ἄμπελος, οὐδὲ οἶνος τᾶς πολιτείας ἁγεμὼν, ἀλλ' ὁ ἄνθρωπος καὶ ἁ ψυχὰ τῶ ἀνθρώπω. καὶ περὶ μὲν φυτῶν πλέονος εἰώθαμες ἄξιον παρακαθιστάμεν, καὶ τὸν ἐπιμελησόμενον, οὐ μεῖον ἢ δύο μνᾶν ἄξιον; τοῖς δὲ νέοις, ἰλλυριὸν ἢ θρᾶκα, οὐδενὸς ἄξιον. οἱ δ' ἐξ ἀρχᾶς νομοθέται, τὸ μέσον τῶν ἀνθρώπων σπούδαιον, οὐκ ἂν δύναιντο ποιῆσαι. κινάσιος δὲ μόνας καὶ τάξιος κεκοινωνηκέας παρακατίζευξαν ὄρχησιν καὶ ῥυθμόν. ἔτι δὲ παιγνιὰς τὰς μὲν, ἐς κοινωνίαν προτρεπομένας, τὰς δ' ἐς ἀλάθειαν, καὶ ὀξύτατα ψυχᾶς. ὁμοίως δὲ καὶ τοῖς ὑπὸ μέθας, ἢ πλησμονᾶς φαῦλόν τι κατεπράξασιν, τὸν αὐλὸν καὶ τὰν ἁρμονίαν, ἐς ὃ τὰς συνουσίας κατέστεξαν, ὅπως πεπαινόμενον τὸ ἦθος, δύναιτο κατακοσμεῖσθαι.

Οταν

aut custodiri possint. Inueniemus ergo duobus modis consuetudinum corruptionem accidere: nam aut propter nos, aut propter externos. Per nos quidem, uel quia fugimus molesta, uel quoniam sequimur iucunda. Nam qui molestias declinant, nō tolerant labores: uoluptatū autem cupiditas, in causa est, ut bona amittantur. Siquidē labore bona conciliant hominibus, uoluptatis studiū mala comitant. Quare incontinentes ac molles facti & animis magis effœminati fiunt, & in expendendo prodigi. Cæterū ab externis consuetudines inficiunt, cū peregrinus populus nobiscū habitat mercatoria fœlicitate affluens: aut urbis uicini uoluptuarij & molliculi sunt & morū suorū contagio propinquos afficiūt. Quapropter opus est ut legislatores, & multitudinis præfecti sedulo animaduertant, nū diligenter obseruentur mores, & æquales in omnibus pergant: Itē an multitudo ciuitatis patria, id est, hominū indigenarū syncera maneat, nec alia gente misceat: Et an bonorū opumq; magnitudo æqualis permaneat, aut nō multū uariet. Cum em̄ superflua possident, plura & superflua conquirendi desyderiū solicitat. Hoc quidē pacto mores & cōsuetudines custodiantur. Porrò doctrina perpendet, examinando probandoq; sophistas, an secundū leges, & instituta ciuilia, idoneumq; seu propriū uiuendi genus, utilia proloquantur. Non mediocrē em̄ sed maximā infœlicitatē hominū animis sophistarū disſertationes ingenerant, si quid ausi fuerint innouare præter cōmune iudiciū, in diuinis humanisq; rebus. † Nam multæ illorū opiniones nec ueritate, neq; firmis rationibus, neq; ulla ueri similitudine nituntur: sed in cōmuni hominū uita caliginem atq; perturbationē inducunt. Tales autē opiniones huius ferè generis omnes sunt, aut nullū esse numen, aut quāuis sit, non hoc tñ præditū esse affectu in genus humanū, ut ipsum inspiciat & curet: sed relinqui id & negligi ab ipso. Etenim huiusmodi sententia semel recepta, stultitiā iniustitiamq; gignit in hominibus, * quæ non facile in sophistarū orationibus deprehendi possunt. Quiuis em̄ inobedientia plenus, ciuili & reuerenda disciplina uarijs modis abutit, ita ut prorsus ex animi sui affectu, nec ulla simulatione, de rebus loqui uideatur, & oratio morata, uelutiq; natiuū dicētis ingeniū ob oculos ponens, appareat. Cæterū legibus confirmabit respub. si mixta fuerit, aut cōcinnata ex omnibus alijs: ijs inquam, quæ non præter naturā se habent, sed secundū naturā. Nam tyrannidis nullus est usus ciuitatibus, & ferè etiā oligarchiæ. Primū itaq; regnū insertū esse oportet, secundo aristocratiā. Est em̄ regnū res quædā ad diuinā imitationē cōparata, & ægrè ab humano ingenio cōseruari potest, ut quæ citò per luxū & contumeliā immutet. Quare nō prorsus eo utendū est, sed quantū eius fieri potest, & reipub. cōducit. Aristocratia uero multò magis inserēda est, eo q̄d plures sint principes, q se inuicē ęmulari solent, & imperiū sæpius ab uno in aliū transfertur. Democratia quoq; omnino est necessaria. Ciuem em̄ q̄ totius reipub. pars est, nōnihil ex ea honoris aut præmij accipe decet. Sed nō nimis indulgendū est uulgo, quippe quod audax in agendo atq; præceps existat.

Hic locus in Græco nō est integer.

uel, tātopere ut uerbis uix queat exprimi.

Porrò leges nō cellis inclusas esse oportet, sed hominum animis & moribus. Sed q̄dnā est fundamētū reipublicæ? Nimirū adolescentiū educatio. Haud em̄ unquā uites utilē fructū protulerint, quæ nō bene sint excultæ: nec unquā pulchri fient equi pullorū educatione neglecta. Nā alimēta quæ in tenera ætate usurpant, maximè similia fiunt corpori à quo cōtingunt, & cui accedunt. Verū de uitibus quidē quo pacto putari & curari debeant, studiū est hominib⁹: Ingeniorū uero humanorū cult⁹ negligēter & temere tractat. Quāuis uitis & uinū nō regant ciuitates, sed homo, & hominis anim⁹. Atq plantis q̄dē curādis maioris p̄cij hominē p̄ficere solemus, neq; minoris quā duab⁹ libris cōductū: pueris uero Illyriū aliquē, aut Thracē nulli⁹ precij. Cæterū primi illi legislatores cū animaduerterēt, q̄d hominū studia non possent omnino trāquilla esse, admiscuerūt eis saltationē & mensurā motu certo et ordine cōstātes: ad hęc ludos cōcesserūt, q uel ad mutuā cōiunctionē promouerēt: uel ad uerū cognoscendū, acuēdumq; ingeniū facerēt. Similiter illis q ebrietate & crapula inducti aliquid mali perpetrabant, tibias & concentū accōmodarunt, ut ingenia his modis irrigata honestiores maturescendo mores acquirerent.

πλάτων.

Ὅταν δὴ ἄρα καλῶς ἀρξάμενοι παῖδες παίζειν εὐνομίαν διὰ τῆς μουσικῆς εἰσδέξωνται, πάλιν τοὐναντίον ἢ ἐκείνοις πάντα συνέπεταί τε καὶ αὔξει, ἐπανορθοῦσα, εἴ τι καὶ πρότερον τῆς πόλεως ἔκειτο. ἀληθῆ μέντοι ἔφη. καὶ τὰ σμικρὰ ἄρα εἶπον δοκοῦντα εἶναι νόμιμα ἐξευρίσκουσιν οὗτοι, ἃ οἱ πρότερον ἀπώλλυσαν ἅπαντα; ποῖα; τὰ τοιάδε. σιγάς τε τῶν νεωτέρων παρὰ πρεσβυτέροις ὡς πρέπει, καὶ κατακλίσεις, καὶ ὑπαναστάσεις, καὶ γονέων θεραπείας, καὶ κουράς τε καὶ ἀμπεχόνας, καὶ ὑποδέσεις, καὶ ὅλον τὸν τοῦ σώματος σχηματισμόν, καὶ τἆλλα ὅσα τοιαῦτα. ἢ οὐκ οἴει; ἔγωγε. νομοθετεῖν δὲ αὐτὰ οἶμαι εὔηθες, οὔτε γάρ που γίγνεται, οὔτ' ἂν μείνειεν λόγῳ τε καὶ γράμμασι νομοθετηθέντα. πῶς γάρ; κινδυνεύει γοῦν, ἦν δ' ἐγώ, ὦ Ἀδείμαντε, ἐκ τῆς παιδείας, † ὁποῖα τις ὁρμήσῃ, τοιαῦτα καὶ τὰ ἑπόμενα εἶναι. ἢ οὐκ ἀεὶ τὸ ὅμοιον ὂν ὅμοιον παρακαλεῖ; τί μήν; καὶ τελευτῶν δὴ οἶμαι, φαῖμεν ἂν εἰς ἕν τι τέλειον καὶ νεανικὸν ἀποβαίνειν αὐτὸ, ἢ ἀγαθὸν, ἢ καὶ τοὐναντίον.

αλ. ὁποίαν τις ὁρμήσῃ

Σωτηρίαν ἔγωγε εἶπον, λέγω τινὰ εἶναι τὴν ἀνδρείαν. ποίαν δὴ σωτηρίαν; τὴν τῆς δόξης τῆς ὑπὸ νόμου διὰ τῆς παιδείας γεγονυῖαν, περὶ τῶν δεινῶν, ἅ, τέ ἐστι καὶ οἷα. διαπαντὸς δὲ ἔλεγον αὐτὴν σωτηρίαν, τὸ ἔν, τε λύπαις ὄντα διασώζεσθαι αὐτὴν, καὶ ἐν ἡδοναῖς, καὶ ἐπιθυμίαις, καὶ φόβοις, καὶ μὴ ἐκβάλλειν. ὃ δέ μοι δοκεῖ ὅμοιον εἶναι, ἐθέλω ἀπεικάσαι, εἰ βούλει. ἀλλὰ βούλομαι. οὐκοῦν οἶσθα, ἦν δ' ἐγὼ, ὅτι οἱ βαφεῖς ἐπειδὰν βουληθῶσι βάψαι ἔρια, ὥστ' εἶναι ἁλουργὰ, πρῶτον μὲν ἐκλέγονται ἐκ τοσούτων χρωμάτων, μίαν φύσιν † τῶν λευκῶν· ἔπειτα προπαρασκευάζουσιν οὐκ ὀλίγῃ παρασκευῇ θεραπεύσαντες, ὅπως δέξεται ὅτι μάλιστα τὸ ἄνθος, καὶ οὕτω δὴ βάπτουσι. καὶ ὃ μὲν ἂν τούτῳ τῷ τρόπῳ βαφῇ, δευσοποιὸν γίγνεται τὸ βαφὲν, καὶ ἡ πλύσις, οὔτ' ἄνευ ῥυμμάτων, οὔτε μετὰ ῥυμμάτων δύναται αὐτῶν τὸ ἄνθος ἀφαιρεῖσθαι, ἃ δ' ἂν μὴ οἶσθα οἷα δὴ γίγνεται, ἄν τε τις ἄλλα χρώματα βάπτῃ, ἐάν τε καὶ ταῦτα, μὴ προθεραπεύσας. οἶδα ἔφη, ὅτι καὶ ἔκπλυτα καὶ γελοῖα. τοιοῦτον τοίνυν, ἦν δ' ἐγὼ, ὑπόλαβε κατὰ δύναμιν ἐργάζεσθαι καὶ ἡμᾶς, ὅτε ἐξελεγόμεθα τοὺς στρατιώτας, καὶ ἐπαιδεύομεν ἐν μουσικῇ καὶ γυμναστικῇ. καὶ μηδὲν οἴου ἄλλο μηχανᾶσθαι, ἢ ὅπως ἡμῖν ὅτι κάλλιστα τοὺς νόμους πεισθέντες δέξοιντο ὥσπερ βαφὴν, ἵνα δευσοποιὸς αὐτῶν ἡ δόξα γίγνοιτο, καὶ περὶ δεινῶν, καὶ περὶ τῶν ἄλλων, διὰ τὸ τήν τε φύσιν καὶ τὴν τροφὴν ἐπιτηδείαν ἐσχηκέναι, καὶ μὴ αὐτῶν ἐκπλύναι τὴν βαφὴν, τὰ ῥύμματα ταῦτα δεινὰ ὄντα ἐκκλύζειν: ἥτε ἡδονὴ παντὸς χαλαστραίου δεινοτέρα οὖσα τοῦτο δρᾶν, καὶ κονίας, λύπη τε, καὶ φόβος, καὶ ἐπιθυμία παντὸς ἄλλου ῥύμματος. τὴν δὴ τοιαύτην δύναμιν καὶ σωτηρίαν διαπαντὸς δόξης ὀρθῆς τε καὶ † μονίμου, δεινῶν τε πέρι καὶ μή, ἀνδρείαν ἔγωγε καλῶ καὶ τίθεμαι, εἰ μή τι σὺ ἄλλο λέγεις. ἀλλ' οὐδὲν, ἦ δ' ὅς, λέγω. δοκεῖς γάρ μοι τὴν ὀρθὴν δόξαν περὶ τῶν αὐτῶν τούτων ἄνευ παιδείας γεγονυῖαν, τήν τε θηριώδη καὶ ἀνδραποδώδη, οὔτε πάνυ † μόνιμον ἡγεῖσθαι, ἄλλο τέ τι, ἢ ἀνδρείαν καλεῖν.

αλ. τὴν τῶν λευκῶν.

αλ. νομίμου

αλ. νόμιμον.

Κόσμος πού τις, ἦν δ' ἐγὼ, ἡ σωφροσύνη ἐστὶ, καὶ ἡδονῶν τινῶν καὶ ἐπιθυμιῶν ἐγκράτεια, ὥς φασι. κρείττω δὲ αὐτοῦ φαίνονται, οὐκ οἶδα, ὅντινα τρόπον, καὶ ἄλλα τινὰ τοιαῦτα, ὥσπερ ἴχνη αὐτῆς λέγεται. ἢ γάρ; πάντων μάλιστα ἔφη. οὐκοῦν τὸ μὲν κρείττω αὐτοῦ γελοῖον; ὁ γὰρ ἑαυτοῦ κρείττων, καὶ ἥττων δήπου ἂν αὑτοῦ εἴη, καὶ ὁ ἥττων, κρείττων. ὁ αὐτὸς γὰρ ἐν ἅπασι τούτοις προσαγορεύεται. τί δ' οὔ; ἀλλ' ἦν δ' ἐγὼ, φαίνεταί μοι βούλεσθαι λέγειν οὗτος ὁ λόγος, ὥς τι ἐν αὐτῷ τῷ ἀνθρώπῳ περὶ τὴν ψυχὴν, τὸ μὲν, βέλτιον † ἔνι, τὸ δὲ, χεῖρον. καὶ ὅταν μὲν τὸ βέλτιον φύσει τοῦ χείρονος † ἐγκρατέστερον ᾖ, τοῦτο λέγειν τὸ κρείττω αὐτοῦ, ἐπαινεῖ γοῦν. ὅταν δὲ ὑπὸ τροφῆς κακῆς, ἤ τινος ὁμιλίας κρατηθῇ ὑπὸ πλήθους τοῦ χείρονος, σμικρότερον τὸ βέλτιον ὄν. τοῦτο δὲ ὡς ἐν ὀνείδει ψέγειν τε καὶ καλεῖν ἥττω ἑαυτοῦ καὶ ἀκόλαστον τὸν οὕτω διακείμενον. καὶ γὰρ ἔοικεν ἔφη. ἀπόβλεπε τοίνυν, ἦν δ' ἐγὼ, πρὸς τὴν νέαν ἡμῖν πόλιν, καὶ εὑρήσεις ἐν αὐτῇ τὸ ἕτερον τούτων ἐνόν· κρείττω γὰρ αὐτὴν αὑτῆς δικαίως φήσεις † προσαγορεύειν. εἴπερ οὗ τὸ ἄμεινον τοῦ χείρονος ἄρχει, σῶφρον κλητέον, καὶ κρεῖττον αὑτοῦ. ἀλλὰ ἀποβλέπω ἔφη, καὶ ἀληθῆ λέγεις. καὶ μὴν καὶ τάς τε πολλὰς καὶ παντοδαπὰς ἐπιθυμίας, καὶ ἡδονάς τε καὶ λύπας, ἐν παισὶ μάλιστ' ἄν τις εὕροι, καὶ γυναιξὶ καὶ οἰκέταις, καὶ τῶν ἐλευθέρων λεγομένων ἐν τοῖς πολλοῖς τε καὶ φαύλοις; πάνυ μὲν οὖν. τὰς δέ γε ἁπλᾶς

ἄλλως ἔν.

ἄλλως ἐγκρατὲς.

αλ. προσαγορεύσεις

Quando itaq; bene incipiẽtes pueri iocari ac ludere legitimũ p musicã morẽ imbibunt, in cõtraria his omnino ac superiorib⁹ musica tẽdit, atq; prosequit erigere si qd antea in ciuitate iacebat. Vera loqueris. Quæ igit exigua uident esse ciuitatis instituta, ut dixi, hi reperiẽt, quæ supiores omnia perturbant. Qualia? Hæc uidelicet. Quẽadmodũ tacere debent corã senibus iuniores, cedere illis locũ atq; assurgere, parentes colere: qs tonsuræ modus seruandus cuiq;, qbus uestibus calceisue utendũ, & omnino quis corporis ornat⁹ cõueniat, ac cætera generis eiusdẽ. An nõ putas? Equidẽ. Atq legib⁹ hęc præscribere, ineptũ, ut arbitror, uideret. Nã neq; id usquã fit, neq; cõstarent hæc uerbis literisq; mandata. Quomodo em̃? Apparet itaq;, ò Adimante, quale cuiusq; fuerit puerilis educationis initiũ, talia fore etiã quæ sequuntur. An nõ simile semper simile prouocat? Cur non? Ac tandem dicendum id est in unũ aliq̃d summum & potens siue bonum seu malum definere. *Platonis in idalogo 4. de iusto.*

Conseruationẽ quandã fortitudinẽ esse dico. Quã conseruationẽ? Opinionis uidelicet lege per educationẽ cõceptæ, qua iudicantur quæ terribilia sint & qualia. In omnibus aũt eã conseruationẽ esse dixi, hoc est ut rata semper & ubiq; seruetur, siue quis doloribus afficiatur seu uoluptatibus, aut cupiditatib⁹, aut timoribus, nec ullo pacto quis propter hæc ab ea dimoueat. Cui aũt simile esse id arbitror, si uis tibi aperiam. Cupio equidẽ. Nescis q̃d fullones, quoties uolunt lanas purpureo colore inficere, primo quidẽ ex tot colorib⁹ albũ eligũt, deinde nõ mediocri opera præparant, ut quã maxime florẽ suscipiant, atq; ita demũ colori inspergũt purpureo. Quod aũt ita est tinctũ, indelebile permanet, neq; sola aqua dilui, neq; etiã additis his purgationibus, quæ ad abstergendũ pertinent, aboleri flos ille coloris potest. Quæ aũt nõ ita præparata sunt, scis qualia euadant seu aliis coloribus, seu istis tingat aliquis, cũ minus antea excoluerit? Certe deformia sunt, coloresq; eorũ facile diluunt. Tale aliquid facere studuisse nos pro uirib⁹ cogita, quando milites ipsos eligebamus, eosq; in musica & gymnastica erudiebamus: atq; existima nihil nos aliud excogitasse, quã ut nobis quã optime persuasi leges instar coloris cuiusdã imbiberent: adeo ut eorũ opinio de rebus terribilib⁹, deq; cæteris omnib⁹ immobilis perseueret, ex eo quod optima natura genita fuerint, & decenti educatione nutriti, neq; colorationẽ eorum delere ualeant purgamina ista ad diluendũ uehementissima: uoluptas scilicet omni saponis acrimonia, aluminisq;, & calcis ad expurgãdũ acrior, dolor itẽ, metus, atq; cupiditas omni alio purgamine ad abstergendũ potentiora. Hanc utiq; uim passim rectæ legitimæq; opinionis conseruatricẽ, circa terribilia eorumq; contraria fortitudinẽ uoco equidẽ atq; assero, nisi tu forte qd aliud dixeris. At ipse nihil aliud. Videris em̃ opinionẽ eandẽ de eisdẽ absq; disciplina conceptã, ferinã uidelicet & seruilem haudquaquã existimare legitimã, sed aliud quiddã quã fortitudinẽ nuncupare. *Ibidem.*

Ornatus quidã est tẽperantia & à uoluptatib⁹ cupiditatibusq; quibusdã, ut perhibẽt, abstinẽtia. Dũ uero tẽperatũ hominẽ seipso potentiorẽ, suiq; uictorem nescio quo modo esse dicũt & quædã similia, tanquã uestigia nõnulla tẽperantiæ signant. An nõ? Maxime omniũ. Nõne q̃d se ipso potẽtior, se ipso potenti⁹ nuncupat, ridiculũ quodãmodo apparet? Quisquis em̃ seipso potẽtior, seipso quoq; imbecillior erit: rursusq; qui imbecillior & potẽtior. Idẽ quippe aliquis in his omnibus appellatur. Quid ni? Atqui uidet mihi id uelle sibi hic sermo, q̃d in hominis anima duo quædã sunt. Vnũ quidẽ meli⁹, alterũ uero deterius. Et quãdo q̃d natura melius est deteriori dominat, tunc aliquis seipso potẽtior dicit, atq; hoc sermone laudat. Quoties autem propter improbã nutritionẽ uel consuetudinẽ aliquã, q̃d est meli⁹, cũ minus ipsum sit, deterioris multitudine superatur, hoc ex opprobrio quodã seipso imbecillius dicit: & qui ita affect⁹ est, intẽperans appellat. Sic apparet. Contẽplare hanc nup à nobis conditã ciuitatẽ, inuenies q; ipsi alterũ horũ inesse. Potentiorẽ quippe ipsam seipsa iure uocatã fateberis. Nã si meli⁹ in ea peiori impat, tẽperata dicenda est, & seipsa melior. Cõtẽplor eqdẽ, ac uera loqueris. Enimuero plurimas uariasq; cupiditates, uoluptates, dolores, in his omnib⁹ reperire maxime qsq; poterit, mulierib⁹ & ministris, & eorũ q liberi esse dicunt in ipsis plebeis abiectisq; hominib⁹. Omnino qdẽ. *Ibidem.*

πλᾶς τε καὶ μετρίας, αἳ δὴ μετὰ νοῦ τε καὶ δόξης ὀρθῆς λογισμῷ ἄγονται, ἐν ὀλίγοις τε ἐπι-
ἄλλως φῦσι. τεύξῃ, καὶ τοῖς βέλτιστα μὲν † τραφεῖσι, βέλτιστα δὲ παιδευθεῖσιν; ἀληθῆ ἔφη. οὐκοῦν καὶ
ταῦτα ὁρᾷς ἐνόντα σοι ἐν τῇ πόλει, καὶ κρατουμένας αὐτόθι τὰς ἐπιθυμίας τὰς ἐν τοῖς πολ-
λοῖς τε καὶ φαύλοις, ὑπό τε τῶν ἐπιθυμιῶν καὶ τῆς φρονήσεως, τῆς ἐν τοῖς ἐλάττοσί τε καὶ ἐπι-
εικεστέροις; ἔγωγ' ἔφη. εἰ ἄρα δεῖ τινα πόλιν προσαγορεύειν κρείττω ἡδονῶν τε καὶ ἐπιθυ-
μιῶν καὶ αὐτὴν αὑτῆς, ταύτην προσρητέον. παντάπασι μὲν οὖν ἔφη. ἆρ' οὖν οὐ καὶ σώφρο-
να κατὰ πάντα ταῦτα; καὶ μάλα ἔφη. καὶ μὴν, αὖ εἴπερ ἐν ἄλλῃ πόλει ἡ αὐτὴ δόξα ἔνεστι
τοῖς τε ἄρχουσι καὶ ἀρχομένοις, περὶ τοῦ οὕς τινας δεῖ ἄρχειν, καὶ ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν. ἢ οὐ
δοκεῖ; καὶ μάλα ἔφη σφόδρα. ἐν ποτέροις οὖν φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι, ὅταν
οὕτως ἔχωσιν; ἐν τοῖς ἄρχουσιν, ἢ ἐν τοῖς ἀρχομένοις; ἐν ἀμφοτέροις που ἔφη. ὁρᾷς οὖν, ἦν δ' ἐγώ,
ὅτι ἐπιεικῶς ἐμαντευόμεθα ἀρτίως, ὡς ἁρμονίᾳ τινὶ ἡ σωφροσύνη ὡμοίωται; τί δή; ὅτι οὐχ ὥσ-
περ ἡ ἀνδρεία καὶ ἡ σοφία, ἐν μέρει τινὶ ἑκατέρα ἐνοῦσα, ἡ μὲν, σοφὴν, ἡ δὲ, ἀνδρείαν τὴν πόλιν πα-
ρείχετο. οὐχ οὕτω τὴν πόλιν ποιεῖ αὕτη, ἀλλὰ δι' ὅλης ἀτεχνῶς τέταται, διὰ πασῶν παρεχομένη ξυ-
νᾴδοντας, τούς τε ἀσθενεστάτους ταὐτὸν, καὶ τοὺς ἰσχυροτάτους, καὶ τοὺς μέσους. εἰ μὲν βούλει, φρονήσει,
ἄλ. φαμὲν. εἰ δὲ βούλει, ἰσχύϊ. εἰ δὲ καὶ πλήθει, ἢ χρήμασιν, ἢ ἄλλῳ ὁτῳοῦν τῶν τοιούτων. ὥστε ὀρθότατ' ἂν † φα-
μὲν ταύτην τὴν ὁμόνοιαν σωφροσύνην εἶναι, χείρονός τε καὶ ἀμείνονος κατὰ φύσιν ξυμφωνίαν, ὁπό-
τερον δεῖ ἄρχειν καὶ ἐν τῇ πόλει καὶ ἐν ἑνὶ ἑκάστῳ. πάνυ μοι ἔφη ξυνδοκεῖ.

Ἀλλ' ἦν δ' ἐγώ, ἄκουε, εἴ τι ἄρα λέγω. ὃ γὰρ ἐξ ἀρχῆς ἐθέμεθα δεῖν ποιεῖν διὰ παντὸς, ὅτε
τὴν πόλιν κατῳκίζομεν, τοῦτό ἐστιν ὡς ἐμοὶ δοκεῖ, ἤτοι τούτου τι εἶδος ἡ δικαιοσύνη. ἐθέμεθα
δὲ δή που, καὶ πολλάκις ἐλέγομεν, εἰ μέμνησαι, ὅτι ἕνα ἕκαστον ἓν δέοι ἐπιτηδεύειν τῶν
περὶ τὴν πόλιν, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα εἴη. ἐλέγομεν γάρ. καὶ μὴν, ὅτι
γε τὸ τὰ αὑτοῦ πράττειν, καὶ μὴ πολυπραγμονεῖν, δικαιοσύνη ἐστὶ, καὶ τοῦτο ἄλλων τε πολλῶν
ἀκηκόαμεν, καὶ αὐτοὶ πολλάκις εἰρήκαμεν. εἰρήκαμεν γάρ. τοῦτο τοίνυν, ἦν δ' ἐγώ, ὦ φίλε, κιν-
δυνεύει τρόπον τινὰ γιγνόμενον ἡ δικαιοσύνη εἶναι, τὸ τὰ αὑτοῦ πράττειν. οἶσθα ὅθεν τεκμαί-
ρομαι; οὐκ, ἀλλὰ λέγε ἔφη. δοκεῖ μοι, ἦν δ' ἐγώ, τὸ ὑπόλοιπον ἐν τῇ πόλει ὧν ἐσκέμμεθα
σωφροσύνης, καὶ ἀνδρείας, καὶ φρονήσεως, τοῦτο εἶναι ὃ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέχον,
ἄλλως ἕως ἂν ᾖ. ὥστε ἐγγενέσθαι καὶ ἐγγενομένοις γε σωτηρίαν παρέχειν, † ἕωσπερ ἂν ἐνῇ. καί τοι ἔφαμεν δι-
καιοσύνην ἔσεσθαι τὸ ὑπολειφθὲν ἐκείνων, εἰ τὰ τρία εὕροιμεν. καὶ γὰρ ἀνάγκη ἔφη. ἀλλὰ
μέν τοι, ἦν δ' ἐγώ, εἰ δέοι κρῖναι τί τὴν πόλιν ἡμῖν τούτων μάλιστα ἀγαθὴν ἀπεργάσεται
ἐγγενόμενον, δύσκριτον ἂν εἴη, πότερον ἡ ὁμοδοξία τῶν ἀρχόντων τε καὶ ἀρχομένων, ἢ ἡ περὶ δει-
νῶν τε καὶ μὴ, ἅττα ἐστὶ δόξης ἐννόμου σωτηρία ἐν τοῖς στρατιώταις ἐγγενομένη, ἢ ἡ ἐν τοῖς ἄρχου-
σι φρόνησίς τε καὶ φυλακὴ ἐνοῦσα, ἢ τοῦτο μάλιστα ἀγαθὴν αὐτὴν ποιεῖ ἐνὸν, καὶ ἐν παιδὶ καὶ ἐν
γυναικὶ, καὶ δούλῳ, καὶ ἐλευθέρῳ, καὶ δημιουργῷ, καὶ ἄρχοντι, καὶ ἀρχομένῳ. ὅτι τὸ αὑτοῦ ἕκα-
ἄλλως abest ἐν. στος εἷς ὢν, * ἐν ἔπραττε, καὶ οὐκ ἐπολυπραγμόνει. δύσκριτον ἔφη· πῶς δ' οὔ; ἐνάμιλλον
ἄρα ὡς ἔοικε πρὸς ἀρετὴν πόλεως, τῇ τε σοφίᾳ αὐτῆς, καὶ τῇ σωφροσύνῃ, καὶ τῇ ἀνδρείᾳ, ἡ τοῦ ἕ-
καστον ἐν αὐτῇ τὰ αὑτοῦ πράττειν δύναμις. καὶ μάλα ἔφη. οὐκοῦν δικαιοσύνην τό, γε τούτοις
ἐνάμιλλον ἂν εἰς ἀρετὴν πόλεως θείης; παντάπασι μὲν οὖν. σκόπει δὴ καὶ τῇδε, εἰ οὕτω δόξει. ἆρα
τοῖς ἄρχουσιν ἐν τῇ πόλει τὰς δίκας προστάξεις δικάζειν; τί μήν; ἢ ἄλλου οὑτινοσοῦν μᾶλλον ἐ-
φιέμενοι δικάσουσιν, ἢ τούτου ὅπως ἂν ἕκαστοι μήτ' ἔχωσι τὰ ἀλλότρια, μήτε τῶν αὑτῶν στέρωνται;
οὔκ. ἀλλὰ τούτου ὡς δικαίου ὄντος; ναί. καὶ ταύτῃ ἄρα πῃ τοῦ οἰκείου τε καὶ ἑαυτοῦ ἕξις τε
καὶ πρᾶξις, δικαιοσύνη ἂν ὁμολογοῖτο. ἔστι ταῦτα.

Δεῦρο νῦν, ἦν δ' ἐγώ, ἵνα καὶ ἴδῃς, ὅσα εἴδη ἔχει ἡ κακία, ὥς ἐμοὶ δοκεῖ, ἅ γε δὴ καὶ ἄξια θέ-
ας. ἕπομαι ἔφη, μόνον λέγε. καὶ μὴν ἦν δ' ἐγώ, ὥσπερ ἀπὸ σκοπιᾶς μοι φαίνεται, ἐπειδὴ ἐν-
ταῦθα ἀναβεβήκαμεν τοῦ λόγου, ἓν μὲν εἶναι εἶδος τῆς ἀρετῆς, ἄπειρα δὲ τῆς κακίας: τέτταρα δὲ
ἄλ. ἐν αὐτοῦ εἴδη. * ἐν αὐτῇ ὄντα ὧν καὶ ἄξιον ἐπιμνησθῆναι. πῶς λέγεις ἔφη; ὅσοι ἦν δ' ἐγώ, πολιτειῶν τρό-
ποι εἰσὶν εἴδη ἔχοντες, τοσοῦτοι κινδυνεύουσι καὶ ψυχῆς τρόποι εἶναι. πόσοι δή. πέντε μὲν
ἦν δ' ἐγώ, πολιτειῶν, πέντε δὲ καὶ ψυχῆς. λέγ' ἔφη τίνες; λέγω εἶπον, ὅτι εἷς μὲν οὗτος, ὃν ἡμεῖς
διεληλύθαμεν πολιτείας εἴη ἂν τρόπος, ἐπονομασθείη δ' ἂν καὶ διχῇ, ἐγγενομένου γὰρ ἀνδρὸς

ἑνὸς

Simplices aũt & moderatas, quę cũ mente & opinione recta, ipsa ratiocinatione ducunt, in paucis sanè reperies, & his quidẽ natis optime, & optime educatis. Vera hęc sunt. An nõ & hæc in ciuitate hac esse uides, atq; hic cupiditates uulgi uiliumq́; personarũ supatas à cupiditatib⁹ & tẽperantia paucorũ modestorumq́; uirorũ? Cerno equidẽ. Si qua igit̃ ciuitas potentior cupiditatib⁹ & uoluptatibus atq; itẽ ipsa seipsa, hæc maxime talis appellanda est. Prorsus. Itaq; nõne iusta hæc omnia & temperata? Maxime. Atq si in ulla alia ciuitate tam subditis quã impantib⁹ opinio, quib⁹ deferre potissimũ imperiũ deceat, hæc inest, in hac præcipue inesse oportet: an nõ ita censes? Magnope istud qdẽ. Quib⁹ itaq; potissimũ ciuibus inesse tẽperantiã dices, quoties sese ita habuerint? in principib⁹ ne, an in subditis? In ambob⁹ quodãmodo. Cernis quã apte uaticinati sumus paulo ante, harmoniæ cuidam esse similem temperantiã? Curnã? Quia nõ quemadmodũ sapientia & fortitudo in partib⁹ quibusdã iacentes, illa qdẽ sapiẽtẽ, hæc fortẽ efficit ciuitatẽ, ita modestia q̊q;: sed instar harmoniæ q̃ dia pason dicit̃, p totã ciuitatẽ diffundit̃, efficiens ut in idẽ debiliores homines fortioresq́; & medij, prudẽtia, potẽtia, multitudine, pecunijs itẽ aut alio quodã huiusmodi cõsonẽt. Quapropter rectissimè possumus tẽperantiã hãc appellare cõcordiã, deterioris uidelicet & potioris secundũ naturã consensionẽ, quæ doceat, quẽ uel in ciuitate, uel in unoquoq; cõueniat dominari. Assentior equidem.

Ibidem. Attende si quid dico. Nã q̊d principio passim statuimus faciendũ, cũ ciuitatẽ cõdidimus, idẽ, ut arbitror, uel species quædã ipsius, iustitia. Nã diximus sæpenumero, si recordaris, unũquenq; oportere unũ aliqd exercere eorũ quę ciuitati cõducant, ad q̊d ipsius natura esset aptissima. Diximus proculdubio. Etenĩ q̊d sua agere, neq; in alienis curiose occupari, iustitia est, & ex alijs multis audiuimus, & sæpe ipsi dixim⁹. Diximus plane. Hoc utiq; uidet̃ amice cũ fit, quodãmodo iustitia esse, sua scilicet agere. Scis unde istud cõijciam? Nequaquã, sed dicas. Videt̃ mihi q̊d reliquũ nobis est in ciuitate, præter illa quæ consyderauimus, tẽperantiã, fortitudinẽ, prudentiã, hoc esse q̊d omnib⁹ illis uim præbuit, qua & innascerent̃, & innata pseuerarẽt, quatenus ipsum adest. Atq diximus iustitiã fore q̊d restaret, si tria nobis cõperta essent. Necessariũ id quidẽ. Veruntamẽ si iudicandũ sit qd horũ potissimũ cũ inest, bonã efficit ciuitatẽ, ambiguũ erit, utrũ consensio imperantiũ & subiectorũ, an legitimæ opinionis seruatio in militibus, iudicãtis secundũ legẽ quæ terribilia censenda sint, quæue nõ: uel in principib⁹ ipsis prudentia & custodia. An id poti⁹ bonã ipsam præ cęteris reddat, cũ inest pueris, mulierib⁹, seruis, liberis, artificibus, magistratibus, & priuatis, quod uidelicet suum quisq; unus unum egerit, minime per aliena uagatus. Ambiguum certe. Quid ni? Ergo uis ipsa qua sua quisq; in ciuitate agit, de ipsius ciuitatis uirtute ex æquo cũ sapiẽtia eius, tẽperantiaq́;, & fortitudine certat. Valde. An nõ igitur iustitiam pones, quod cum istis ex æquo de ciuitatis uirtute cõcertat? Omnino quidem. Considera præterea & hac ratione, nunquid tibi sic uideatur. An principibus in ciuitate mandabis ut iuste sententias ferant? Cur non? An iudicabunt alterius cuiusquam auidi magis quàm huius ipsius ut singuli neq; usurpent aliena, neq; suis priuentur? Non alterius certe, sed istius duntaxat. Tanquam id iustum sit? Nempe. Et hac quoq; ratione asseritur sui cuiq; & proprij possessionem actionemq́; esse iustitiam. Est ita.

Ibidem. Age igitur, inquam ego, huc accede, ut uideas quot species improbitas habet, ut mihi uidetur. Attende nunc. Nempe hæc digna spectatu. Sequor equidem, dicas modo. Atq tanquã è specula quadã, postquã huc ratiocinando cõscendimus, una mihi species uirtutis occurrit, prauitatis innumeræ. Ex quibus quatuor quidam modi potissimum se offerunt quorũ meminisse oportet. Quomodo istud ais? Quot sanè rerumpublicarũ modi sunt species suas habentes, totidem esse & animæ ipsius apparent. Quot? Quinq; rerumpublicarum, quinq; rursus & animæ. Dic quales. Vnum aliquem reipub. modum esse hunc assero, quem exposuimus: duabus uero appellationibus declarari potest. Nam si inter principes ciuitatis unus

ἑνὸς ἐν τοῖς ἄρχουσι διαφέροντος, βασιλεία ἂν κληθείη· πλειόνων δὲ, ἀριστοκρατία. ἀληθῆ ἔφη. τοῦτο μὲν τοίνυν ἦν δ' ἐγὼ, ἓν εἶδος λέγω, οὔτε γὰρ ἂν πλείους, οὔτε εἷς ἐγγενόμενοι κινήσειεν † τινὰ τῶν ἀξίων λόγου νόμων τῆς πόλεως, τροφῇ τε καὶ παιδείᾳ χρησάμενος, ᾗ διεληλύθαμεν.

ἄλλως ἄν.

Ἀποδυτέον δὴ ταῖς τῶν φυλάκων γυναιξὶν, ἐπείπερ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται, καὶ κοινωνητέον πολέμου τε, καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν, καὶ οὐκ ἄλλο πρακτέον. τούτων δὲ αὐτῶν τὰ ἐλαφρότερα ταῖς γυναιξὶν, ἢ τοῖς ἀνδράσιν ἀποδοτέον, διὰ τὴν τοῦ γένους ἀσθένειαν. ὁ δὲ γελῶν ἀνὴρ ἐπὶ γυμναῖς γυναιξὶ τοῦ βελτίστου ἕνεκα γυμναζομέναις, ἀτελῆ τοῦ γελοίου σοφίας δρέπων καρπὸν, οὐδὲν οἶδεν ὡς ἔοικεν ἐφ' ᾧ γελᾷ, οὐδὲ † τί πράττει. κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται, καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν· τὸ δὲ βλαβερὸν, αἰσχρόν.

ἄλλως ἐπ.

Τούτῳ ἦν δ' ἐγὼ ἕπεται νόμος, καὶ τοῖς ἔμπροσθεν τοῖς ἄλλοις ὡς ἐγ᾽ ᾦμαι ὅδε. τίς; τὰς γυναῖκας ταύτας τῶν ἀνδρῶν τούτων πάντων πάσας εἶναι κοινὰς, ἰδίᾳ δὲ μηδενὶ μηδεμίαν συνοικεῖν. καὶ τοὺς παῖδας αὖ κοινοὺς, καὶ μήτε γονέα εἰδέναι ἔκγονον τὸν αὑτοῦ, μήτε παῖδα, γονέα. πολὺ ἔφη, τοῦτο ἐκείνου μεῖζον πρὸς ἀπιστίαν, καὶ τοῦ δυνατοῦ πέρι καὶ ὠφελίμου. οὐκ οἶμαι, ἦν δ' ἐγὼ, περί γε τοῦ ὠφελίμου ἀμφισβητεῖσθαι ἂν, ὡς οὐ μέγιστον ἀγαθὸν, κοινὰς μὲν τὰς γυναῖκας εἶναι, κοινοὺς δὲ τοὺς παῖδας.

Ἡ μὲν δὴ κοινωνία ὦ γλαύκων αὕτη τε καὶ τοιαύτη γυναικῶν τε καὶ παίδων τοῖς φύλαξί σοι τῆς πόλεως. * ὅτι δὲ ἑπομένη τε τῇ ἄλλῃ πολιτείᾳ καὶ μακρῷ βελτίστη· δεῖ δὴ τὸ μετὰ τοῦτο βεβαιώσασθαι παρὰ τοῦ λόγου, ἢ πῶς ποιῶμεν; οὕτω νὴ δία, ἦδ' ὅς. ἆρ' οὖν οὐχ ἥδε ἀρχὴ τῆς ὁμολογίας ἐρέσθαι ἡμᾶς αὐτοὺς, τί ποτε τὸ μέγιστον ἀγαθὸν ἔχομεν εἰπεῖν εἰς πόλεως κατασκευὴν, οὗ δεῖ στοχαζόμενον τὸν νομοθέτην, τιθέναι τοὺς νόμους, καὶ τί μέγιστον κακόν; εἶτα ἐπισκέψασθαι, ἆρα ἃ νῦν δὴ διήλθομεν, εἰς μὲν τὸ τοῦ ἀγαθοῦ ἴχνος ἡμῖν ἁρμόττει, τῷ δὲ τοῦ κακοῦ ἀναρμοστεῖ. πάντων μάλιστα ἔφη. ἔχομεν οὖν τι μεῖζον κακὸν πόλει, ἢ ἐκεῖνο, ὃ ἂν αὐτὴν διασπᾷ καὶ ποιεῖ πολλὰς ἀντὶ μιᾶς; ἢ μεῖζον ἀγαθὸν τοῦ, ὃ δὴ ξυνδεῖ τε καὶ ποιεῖ μίαν; οὐκ ἔχομεν. οὐκοῦν ἡ μὲν ἡδονῆς τε καὶ λύπης κοινωνία ξυνδεῖ, ὅταν ὅτι μάλιστα πάντες οἱ πολῖται τῶν αὐτῶν γιγνομένων τε καὶ ἀπολλυμένων, παραπλησίως χαίρωσι καὶ λυπῶνται; παντάπασι μὲν οὖν ἔφη. ἡ δέ γε τῶν τοιούτων ἰδίωσις, διαλύει; ὅταν οἱ μὲν περιαλγεῖς, οἱ δὲ περιχαρεῖς γίγνωνται ἐπὶ τοῖς αὐτοῖς παθήμασι τῆς πόλεώς τε, καὶ τῶν ἐν τῇ πόλει; τί δ' οὔ; ἆρ' οὖν ἐκ τοῦδε τὸ τοιόνδε γίγνεται, ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό, τε ἐμὸν καὶ τὸ οὐκ ἐμὸν, καὶ περὶ τοῦ ἀλλοτρίου κατὰ ταῦτα; κομιδῇ μὲν οὖν. ἐν ᾗ τινι δὴ πόλει πλεῖστοι σοι τὸ αὐτὸ κατὰ ταυτὰ τοῦτο λέγουσι τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν, αὕτη ἄριστα διοικεῖται; πολύ γε. καὶ ἥτις δὴ ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει. οἷον ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη εἰς μίαν σύνταξιν τὴν τοῦ ἄρχοντος ἐν αὐτῇ, ᾔσθετό τε, καὶ πᾶσα ἅμα συνήλγησε μέρους πονήσαντος ὅλη, καὶ οὕτω δὴ λέγομεν, ὅτι ὁ ἄνθρωπος τὸν δάκτυλον ἀλγεῖ. καὶ περὶ ἄλλου ὁτουοῦν τῶν τοῦ ἀνθρώπου ὁ αὐτὸς λόγος, περί τε λύπης πονοῦντος μέρους, καὶ περὶ ἡδονῆς ῥαΐζοντος. ὁ αὐτὸς γὰρ ἔφη. καὶ τοῦτο ὃ ἐρωτᾷς, τοῦ τοιούτου ἐγγύτατα ἡ ἄριστα πολιτευομένη πόλις οἰκεῖ. ἑνὸς δὴ οἶμαι πάσχοντος τῶν πολιτῶν ὁτιοῦν, ἢ ἀγαθὸν ἢ κακὸν, ἡ τοιαύτη πόλις μάλιστά τε φήσει ἑαυτῆς εἶναι τὸ πάσχον, καὶ ἢ ξυνησθήσεται ἅπασα, ἢ ξυλλυπήσεται. ἀνάγκη ἔφη τήν γε εὔνομον. ὥρα ἂν εἴη ἦν δ' ἐγὼ, ἐπανιέναι ἡμῖν ἐπὶ τὴν ἡμετέραν πόλιν, καὶ τὰ τοῦ λόγου ὁμολογήματα σκοπεῖν ἐν αὐτῇ, εἰ αὐτὴ μάλιστα ἔχει, εἴτε καὶ ἄλλη τις μᾶλλον. οὐκοῦν χρὴ ἔφη. τί οὖν, ἔστι μέν που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν * ταύτῃ; ἔστι. πολίτας μὲν δὴ πάντες οὗτοι ἀλλήλους προσεροῦσι; πῶς δ' οὔ; ἀλλὰ πρὸς τῷ πολίτας, τί ὁ ἐν ταῖς ἄλλαις δῆμος προσαγορεύει; ἐν μὲν ταῖς πολλαῖς, δεσπότας. ἐν δὲ ταῖς δημοκρατουμέναις, αὐτὸ τοῦτο τοὔνομα ἄρχοντας. τί δ' ὁ ἐν τῇ ἡμετέρᾳ δῆμος, πρὸς τῷ πολίτας, τί τοὺς ἄρχοντάς φησιν εἶναι; σωτῆρας τε καὶ ἐπικούρους ἔφη. τί δ' οὗτοι τὸν δῆμον;

ἄλλως ἐν ᾗ.

ἄλλως αὐτῇ.

μισθοδό

quidam sit omnium præstantissimus, regnum uocabitur. Sin autem plures, gubernatio appellabitur optimatum. Vera narras. Hanc unam ideo speciẽ esse dico, quia siue plures gubernent, siue unus, nullus qui ita, ut diximus, educatus & eruditus fu erit, quicquã existimatione dignum in reipub. legibus permutabit.

Nudandũ igit corpus erit mulierib⁹ custodũ, quandoquidẽ pro uestib⁹ uirtutem induent. Communicandumq; in bello & alia omni ciuitatis custodia atq; tutela neque aliud agendum. Horum tamẽ officiorũ leuiora quæq; propter generis imbecillitatem mulieribus tribuenda. Qui uero nudas riserit mulieres, optimi cuiusdam gratia ita nudatas, inanem circa ridiculas nugas carpens sapientiæ fructum, neque quid rideat, neq; quid agat, intelligit. Scite nanq; istud & dicitur & asseritur: quod utile quidem, honestum: noxium autem, turpe. *Platonis in dialogo 5. de rep. uel de iusto.*

Hanc quidam & priores cæteras, ut puto hæc quoq; lex sequitur. Quænam? Mulieres scilicet has horũ uirorũ omnes omnium esse cõmunes, nullamq; priuatim alicui adhærere, ac rursus cõmunes filios, neq; patrem filium suum nosse, neq; filium suum agnoscere patrem. Multo certe difficilius istud credetur, quod uel possibile, uel utile fit. Haud quidem arbitror dubium id cuiq; fore, quin utile sit, maximumq; bonum, mulieres esse communes, communes esse filios. *Ibidem.*

Talis utiq; erit ô Glauco inter ciuitatis custodes mulierum & filiorum communio: quod autem congruat reliquo ciuitatis ordini, sitq; admodum optima, oportet deinceps ratione confirmare, aut quid agemus? Hoc omnino. An non conuentionis huius hoc est principium, ut à nobis ipsis sciscitemur, quid maximum bonũ ad ciuitatis constitutionem inueniamus, ad quod respiciens legislator, leges condere debet, quidue maximũ malum? Consyderemus deinde an ea quæ modo narrauimus, ad boni ipsius uestigationem nobis conueniant, à mali autem uestigio dissonent. Maxime omnium. Habemus ne ullum perniciosius ciuitati malum, quã quod eam diuidit, & ex una plures facit? uel melius quicquam eo quod ipsam uincit simul, & unam efficit? Non habemus. Nónne uoluptatis dolorisq; communio unit, quando ciues omnes maxime ex earundem rerum accessu uel decessu pariter gaudent ac dolent? Et maxime. Horum uero diuersitas eam dissoluit, quando eisdem ciuitatis, & eorum qui in ciuitate sunt, casibus, alij uehementer dolent, alij gestiunt. Quid ni? Ex hoc autem tale quid prouenit, quando non simul in ciuitate hæc uerba uulgantur: Meum scilicet & non meum, ac de alieno eodem modo. Valde. In quamcunq; igitur ciuitatem complurimi ad idem secundum eadem hoc dicunt, Meum & non meum, ea optime gubernatur. Prorsus. Et quæcunq; quàm optime ut unus homo affecta sit. Porrò quoties alicuius nostrum percussus est digitus, tota corporis communio ad animam pertingens, in unam coordinationem eius quod in ipsa anima dominatur, sensit protinus, totaq; simul afflicta parte condoluit, atq; idcirco hominem dolere digitum dicimus. Eademq; est de quauis alia parte & passione hominis ratio, de dolore uidelicet, cum pars aliqua dolet: ac de uoluptate, cum aliqua sui parte reficitur. Eadem ratio certe & quod quæuis ciuitas quæ optime regitur quàm proxime ad hoc accedit. Quoties ut arbitror, ciuium cuiquam boni aliquid uel mali continget, talis utiq; ciuitas suum esse clamabit eum qui sic afficitur, atq; ideo tota uel lætabitur unà, uel dolebit. Necesse est ita in ciuitate optimis legibus gubernata contingat. Sed hora iam est, ut ad ciuitatem nostram redeamus, & quæ nunc inter nos constiterunt, exquiramus utrum ciuitati huic cõueniant maxime, an alteri potius. Licet prorsus. Sunt & in alijs ciuitatibus principes & populus, & in ista similiter? Sunt. Atqui omnes isti ciues se alterutrum appellabunt? Quid ni? Sed præter ciuis nomen, quomodo in alijs ciuitatibus populus principes uocat? In pluribus quidem dominos, in populari aũt gubernatione principes. At nostræ ciuitatis populus, quomodo ultra ciuis nomẽ principes nũcupabit? Seruatores auxiliariosq;. Quo aũt modo isti *Ibidem.*

μισθοδότας τε καὶ τροφέας. οἱ δὲ ἐν ταῖς ἄλλαις ἄρχοντες τοὺς δήμους; δούλους ἔφη. τί δ' οἱ ἄρχοντες ἀλλήλους; ξυνάρχοντας ἔφη. ἔχεις οὖν εἰπεῖν τῶν ἀρχόντων ἐν ταῖς ἄλλαις πόλεσιν, εἴ τις τινὰ ἔχει προσειπεῖν τῶν ξυναρχόντων, τὸν μὲν ὡς οἰκεῖον, τὸν δ' ὡς ἀλλότριον; καὶ πολλούς γε. οὐκοῦν τὸν μὲν οἰκεῖον, ὡς ἑαυτοῦ νομίζει τε καὶ λέγει, τὸν δ' ἀλλότριον, ὡς οὐχ ἑαυτοῦ; οὕτω. τί δ' οἱ παρὰ σοὶ φύλακες, ἔσθ' ὅστις αὐτῶν ἔχοι ἂν τῶν ξυμφυλάκων νομίσαι τινὰ, ἢ προσειπεῖν ὡς ἀλλότριον; οὐδαμῶς ἔφη. παντὶ γὰρ ᾧ ἂν ἐντυγχάνῃ τις, ἢ ὡς ἀδελφῷ, ἢ ὡς ἀδελφῇ, ἢ ὡς πατρὶ, ἢ ὡς μητρὶ, ἢ ὡς υἱεῖ, ἢ θυγατρὶ, ἢ τούτων † ἐγγόνοις, ἢ προγόνοις νομιεῖ ἐντυγχάνειν. κάλλιστα ἦν δ' ἐγὼ, λέγεις, ἀλλ' ἔτι καὶ τόδε εἰπέ. πότερον αὐτοῖς τὰ ὀνόματα μόνον οἰκεῖα νομοθετήσεις, ἢ καὶ τὰς πράξεις πάσας, κατὰ τὰ ὀνόματα πράττειν περί τε τοὺς πατέρας, ὅσα νόμος περὶ πατέρας αἰδοῦς τε πέρι καὶ κηδεμονίας, καὶ τοῦ ὑπήκοον δεῖν εἶναι τῶν γονέων, ἢ μήτε πρὸς θεῶν μήτε πρὸς ἀνθρώπων † αὐτῷ ἀμείνον ἔσεσθαι, ὡς οὔτε δίκαια, οὔτε ὅσια πράττοντος ἂν, εἰ ἄλλα πράττοι, ἢ ταῦτα; αὗταί σοι, ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα, καὶ περὶ πατέρων, οὓς ἂν αὐτοῖς ἀποφήνῃ, καὶ περὶ τῶν ἄλλων ξυγγενῶν; αὗται ἔφη: γελοῖον γὰρ ἂν εἴη, εἰ ἄνευ ἔργων ὀνόματα οἰκεῖα διὰ τῶν στομάτων μόνον φθέγγοιντο. πασῶν ἄρα πόλεων μάλιστα ἐν αὐτῇ ξυμφωνήσουσιν, ἑνός τινος, ἢ εὖ ἢ κακῶς πράττοντος. ὃ νῦν δὴ ἐλέγομεν τὸ ῥῆμα τὸ, ὅτι τὸ ἐμὸν εὖ πράττει, ἢ ὅτι τὸ ἐμὸν κακῶς; ἀληθέστατα ἦ δ' ὅς. οὐκοῦν μετὰ τούτου τοῦ δόγματός τε καὶ ῥήματος ἔφαμεν ξυνακολουθεῖν τάς τε ἡδονὰς καὶ λύπας κοινῇ. καὶ ὀρθῶς γε ἔφαμεν. οὐκοῦν μάλιστα τοῦ αὐτοῦ κοινωνήσουσιν οἱ πολῖται ἡμῖν, ὃ δὴ ἐμὸν ὀνομάζουσι. τούτου δὲ κοινωνοῦντες, οὕτω δὴ λύπης τε καὶ ἡδονῆς μάλιστα κοινωνίαν ἕξουσι. πολύ γε. ἆρ' οὖν τούτων αἰτία πρὸς τῇ ἄλλῃ καταστάσει, ἡ τῶν γυναικῶν τε, καὶ παίδων κοινωνία τοῖς φύλαξι; πάνυ μὲν οὖν μάλιστα ἔφη. ἀλλὰ μὴν μέγιστόν γε πόλει αὐτὸ ὡμολογήσαμεν ἀγαθὸν, ἀπεικάζοντες εὖ οἰκουμένην πόλιν, σώματι πρὸς μέρος αὐτοῦ λύπης τε πέρι καὶ ἡδονῆς ὡς ἔχει. καὶ ὀρθῶς γ' ἔφη ὡμολογήσαμεν. τοῦ μεγίστου ἄρα ἀγαθοῦ τῇ πόλει αἰτία ἡμῖν † πέφυκεν ἡ κοινωνία τοῖς ἐπικούροις, τῶν τε παίδων καὶ τῶν γυναικῶν; καὶ μάλα ἔφη. καὶ μὴν δὴ καὶ τοῖς πρόσθεν ὁμολογοῦμεν, ἔφαμεν γάρ που, οὔτε οἰκίας τούτοις ἰδίας δεῖν εἶναι, οὔτε γῆν, οὔτε κτῆμα, ἀλλὰ παρὰ τῶν ἄλλων τροφὴν λαμβάνοντας μισθὸν τῆς φυλακῆς, κοινῇ πάντας ἀναλίσκειν, εἰ μέλλοιεν ὄντως φύλακες εἶναι. ὀρθῶς ἔφη. ἆρ' οὖν οὐχ ὅπερ λέγω, τά τε πρόσθεν εἰρημένα, καὶ τὰ νῦν λεγόμενα, ἔτι μᾶλλον ἀπεργάζεται αὐτοὺς ἀληθινοὺς φύλακας, καὶ ποιεῖ μὴ διασπᾶν τὴν πόλιν τὸ ἐμὸν ὀνομάζοντας, μὴ τὸ αὐτὸ, ἀλλ' ἄλλον ἄλλο, τὸν μὲν εἰς τὴν αὐτοῦ οἰκίαν ἕλκοντα, ὅτι ἂν δύνηται χωρὶς τῶν ἄλλων κτήσασθαι: τὸν δὲ εἰς τὴν ἑαυτοῦ ἑτέραν οὖσαν καὶ γυναῖκά τε καὶ παῖδας ἑτέρους, ἡδονάς τε καὶ ἀλγηδόνας ἐμποιοῦντας, ἰδίων ὄντων ἰδίας, ἀλλ' ἑνὶ δόγματι τοῦ οἰκείου πέρι, ἐπὶ τὸ αὐτὸ τείνοντας πάντας, εἰς τὸ δυνατὸν ὁμοιοπαθεῖς λύπης τε καὶ ἡδονῆς εἶναι; κομιδῇ μὲν οὖν ἔφη. τί δέ. δίκαι τε καὶ ἐγκλήματα πρὸς ἀλλήλους οὐκ οἰχήσεται ἐξ αὐτῶν ὡς ἔπος εἰπεῖν, διὰ τὸ μηδὲν ἴδιον ἐκτῆσθαι, πλὴν τὸ σῶμα, τὰ δὲ ἄλλα κοινά; ὅθεν δὴ ὑπάρχει τούτοις ἀστασιάστοις εἶναι, ὅσα γε διὰ χρημάτων, ἢ παίδων, ἢ ξυγγενῶν κτῆσιν, ἄνθρωποι στασιάζουσι. πολλὴ ἔφη ἀνάγκη ἀπηλλάχθαι. καὶ μὴν οὐδὲ βιαίων γε, οὐδὲ αἰκίας δίκαι δικαίως ἂν εἶεν ἐν αὐτοῖς. ἥλιξι μὲν γὰρ ἥλικας ἀμύνεσθαι, καλὸν καὶ δίκαιόν που θήσομεν ἀνάγκην σωμάτων ἐπιμελείας τιθέντες. ὀρθῶς ἔφη. καὶ γὰρ καὶ τόδε ὀρθὸν ἔχει ἦν δ' ἐγὼ, οὗτος ὁ νόμος. εἴπου τίς τῳ θυμοῖτο, ἐν † τῷ τοιούτῳ πληρῶν τὸν θυμὸν, ἧττον ἐπὶ μείζους ἂν ἴοι στάσεις. πάνυ μὲν οὖν. πρεσβυτέρῳ μὲν νεωτέρων πάντων ἄρχειν τε καὶ κολάζειν προστετάξεται. δῆλον. καὶ μὴν ὅτι γε νεώτερος πρεσβύτερον, ἂν μὴ ἄρχοντες προστάττωσιν, οὔτε ἄλλως βιάζεσθαι ἐπιχειρήσει ποτὲ, οὔτε τύπτειν ὡς τὸ εἰκός, οἶμαι δὲ οὐδ' ἄλλως ἀτιμάσει. ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε, δέος τε καὶ αἰδὼς, αἰδὼς μὲν, ὡς γονέων μὴ ἅπτεσθαι εἴργουσα: δέος δὲ, τὸ τῷ πάσχοντι τοὺς ἄλλους βοηθεῖν, τοὺς μὲν, ὡς υἱεῖς: τοὺς δὲ, ὡς ἀδελφούς: τοὺς δὲ, ὡς πατέρας. ξυμβαίνει γὰρ οὕτως ἔφη. πανταχῇ δὴ ἐκ τῶν νόμων εἰρήνην πρὸς ἀλλήλους οἱ ἄνδρες † ἄξουσι. πολλήν γε. τούτων μὴν ἐν ἑαυτοῖς μὴ στασιαζόντων, οὐδὲν δεινὸν μήποτε ἡ ἄλλη πόλις

Margin notes: ἄλλως ἐκγόνοις. — ἄλ. αὐτοῦ ἄμεινον. — ἄλλως πέφανται. — ἄλλως γε. — ἄλλως ἥξουσι.

populum? Mercedis tributores & nutricatores. Qui uero in alijs præsunt, populũ? Seruos. Principes ipsi se inuicem? Conprincipes. Nostri autem? Concustodes. Putas esse aliquem inter aliarum ciuitatum principes, qui ex collegis aliũ sibi propinquum, alium extraneum uocet? Equidem multos. Propinquũ igit tanquã suũ & putat & dicit: extraneũ uero, ut non suũ. Plane. E nostris autem custodibus est ne ullus qui collegarum quempiam extraneum arbitretur ac uocet? Nullus. Cuicunq; enim quis occurret, uel fratri, uel sorori, aut patri, aut matri, aut filio, aut filiæ, siue horũ natis, seu maioribus putabit occurrere. Præclare loqueris, sed ad hoc quoq; respon de. Vtrũ ciuibus tuis nomina duntaxat inuicẽ, propinqua & familiaria lege statues? an præterea propinquitatis officia, ut uidelicet ita se gerant, ut appellationis ipsius dignitas postulat, seruentq; erga parentes, quæcunq; lex exhiberi illis præcipit, reuerentiã, curã, obedientiã: alioquin & deos & homines infensos habeant, utpote qui neq; sancta, neq; iusta agant, si contra fecerint? Alij ne in hac tua ciuitate sermones quã hi, cunctis ex ciuib⁹, protin⁹ ad aures puerorũ circumsonabunt, & aduersus parẽtes, quoscũq; illis qs indicauerit, et aduersus alios genere proximos? Hi certe ipsi. Absurdũ enĩ id esset, si domestica nomina tãtũ ore, sine officio proferrent. In hac igit ciuitate maxime omniũ, uno aliquo bene uel male affecto, uno ore clamabũt omnes, Meũ bene se habet, uel meũ se habet male. Vera loqueris. Cũ hac opinione ac uerbis huiusmodi seq dicebamus, ut & uoluptates cõmunes sint & dolores. Et recte qdẽ. In eo igit maxime nostri ciues inuicẽ cõmunicabũt q̃d meũ dicẽt: ex qua cõmunione sequet uti uoluptates & dolores cõmunes habeãt. Penit⁹. Horũ uero causa unũ cũ reliqua ciuitatis cõstitutione, est ipsa custodũ circa mulieres filiosq; cõmunio. Sic est omnino. Enĩuero summũ hoc ciuitati bonũ esse confessi sumus, cũ ciuitatẽ recte gubernatã similẽ esse diceremus corporis, cũ singulis partib⁹ suis circa uoluptatẽ & dolorẽ quoq; modo cõmunicantis. Et merito qdẽ cõcessimus. Maxime itaq; boni causa ciuitati nobis patuit esse ipsa inter auxiliarios mulierũ filiorũq; cõmunio. Valde. Atq; & superiorib⁹ hæc cõsonant: Diximus enĩ neq; domos proprias his esse debere, neq; agros, neq; possessionẽ aliquã, sed ab alijs accipe nutrimentũ mercedẽ custodię, & cõmuniter omnes cõsumere, si ueri custodes futuri sunt. Probe. Nónne q̃d ipse aio, & q̃ supra, & q̃ nunc inducta sunt, maxime faciũt, ut ueri hi custodes euadant, neq; diuidant ciuitatẽ, dũ meũ dicant nõ idẽ omniũ, sed aliorũ aliud esse, & ali⁹ in propriam domum trahat quodcunq; seorsum ab alijs usurpare ualuerit, alius in suam ab alijs diuersam domum: & ex proprijs mulieribus ac filijs, diuersi diuersis lætentur & doleant, imò uero ut ex una proprij eiusdem omniũ sententia in idem tendentes omnes quoad fieri potest, similibus uoluptatibus, & doloribus ijsdem, si quid accidat, afficiantur? Maxime. Quid autem? iudiciorum cõtrouersiæ accusationesq; mutuæ, nõne cessabunt omnes, quãdoqdẽ nec propriũ qcquã pter corp⁹ qsquã habebit, reliqua uero cõmunia? Vnde sequit, sine seditione illos fore, quãtũ ad eas lites attinet, q̃ pecuniarũ, uel filiorũ, uel propinquorũ causa oriri solẽt. Necesse est omnino hæc abesse. Quin neq; de ui illata usquã cõtendet. Nempe asserem⁹ honestũ & æquũ esse, ut æqualem ęqualis ab iniuria arceat, tutandis corporibus necessitatem imponentes. Probe. Atqui & hoc rectum lex hæc continet, quod si quis alicui irascatur, iramq; explere contendat, minus ad maiores maiorúmue transibit seditiones. Sic est prorsus. Seniorem quippe lex nostra constituit præesse omnibus iunioribus, eosq; corrigere. Perspicuũ id quidem. Constat præterea quod iunior in seniorem nisi iussu principum sæuiet nunquam, neq; cædere audebit, ut decens est, neq; ignominia ulla afficere. Metus nanq; & pudor custodes sunt ad hæc prohibenda sufficientes. Pudor quidem non permittit eos, quos parentes suspicantur uiolare. Metus autem ab iniuria absterrebit quenq;, timentẽ scilicet ne cæteri omnes, partim ut filij, partim ut fratres, partim ut patres oppresso succurrant. Ita prorsus accidit. Omnino igit ex his legib⁹ ciues inuicẽ in pace uitã agent. Summopere. His autẽ inter se minime diffidentibus haud metuendũ est ne quando ciuitas

πόλις πρὸς τούτους, ἢ πρὸς ἀλλήλους διχοστατήσῃ. οὐ γὰρ οὖν. τά γε μὴν σμικρότατα τῶν κακῶν, δι' ἀπρέπειαν ὀκνῶ καὶ λέγειν, ὧν ἀπηλλαγμένοι ἂν εἶεν, κολακείας τε πλουσίων πένητες, ἀπορίας τε καὶ ἀλγηδόνας ὅσας ἐν παιδοτροφίαις καὶ χρηματισμοῖς διὰ τροφὴν οἰκετῶν ἀναγκαίαν ἴσχουσι. τὰ μὲν, δανειζόμενοι, τὰ δ' ἐξαρνούμενοι, τὰ δὲ, πάντως πορισάμενοι, θέμενοι παρὰ γυναῖκάς τε, καὶ οἰκέτας ταμιεύειν παραδόντες, ὅσα τε ὦ φίλε περὶ αὐτὰ, καὶ οἷα πάσχουσι, δῆλά τε καὶ ἀγεννῆ, καὶ οὐκ ἄξια λέγειν. δῆλα γὰρ ἔφη καὶ τυφλῷ, πάντων δὴ τούτων ἀπαλλάξονται, ζήσουσί τε τοῦ μακαριστοῦ βίου, ὃν οἱ ὀλυμπιονῖκαι ζῶσι, μακαριώτερον. πῆ; διὰ σμικρόν που μέρος εὐδαιμονίζονται ἐκεῖνοι, ὧν τούτοις ὑπάρχει. ἥτε γὰρ τῶνδε νίκη καλλίων, ἥτ' ἐκ τοῦ δημοσίου τροφὴ, τελεωτέρα.

Τοίνυν ἀληθὲς, ἦν δ' ἐγὼ, οὕτω. εἰ δὲ καὶ τοῦτο προθυμηθῆναι χρὴ, σὴν χάριν ἀποδεῖξαι, πῆ μάλιστα καὶ κατὰ τί δυνατώτατα ἂν εἴη, πάλιν μοι πρὸς τὴν τοιαύτην ἀπόδειξιν τὰ αὐτὰ † διομολόγησαι. τὰ ποῖα; ἆρ' οἷόν τέ τι πραχθῆναι ὡς λέγεται, * ἢ φύσιν ἔχει πρᾶξιν λέξεως ἧττον ἀληθείας ἐφάπτεσθαι, κἂν εἰ μή τῳ δοκῇ. ἀλλὰ σὺ πότερον ὁμολογεῖς οὕτως, ἢ οὐχ ὁμολογῶ ἔφη. * τοῦτο μὲν δὴ μὴ ἀνάγκαζέ με, οἷα τῷ λόγῳ διήλθομεν, τοιαῦτα παντάπασι καὶ τῷ ἔργῳ δεῖ γιγνόμενα ἀποφαίνειν. ἀλλ' ἐὰν οἷοί τε γενώμεθα εὑρεῖν, ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειε, φάναι ἡμᾶς ἐξευρηκέναι, ὡς δυνατὰ ταῦτα γίγνεσθαι, ἃ σὺ ἐπιτάττεις. ἢ οὐκ ἀγαπήσεις τούτων τυγχάνων; ἐγὼ μὲν γὰρ ἀγαπῴην. καὶ γὰρ ἔγωγε ἔφη. τὸ δὲ δὴ μετὰ τοῦτο ὡς ἔοικε πειρώμεθα ζητεῖν τε καὶ ἀποδεικνύναι, τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται, δι' ὃ, οὐχ οὕτως οἰκοῦνται. καὶ τίνος ἂν σμικροτάτου μεταβαλόντος, ἔλθοι εἰς τοῦτον τὸν τρόπον τῆς πολιτείας πόλις, μάλιστα μὲν ἑνός. εἰ δὲ μὴ, δυοῖν. εἰ δὲ μὴ, ὅτι ὀλιγίστων τὸν ἀριθμὸν, καὶ σμικροτάτων τὴν δύναμιν. παντάπασι μὲν οὖν ἔφη. ἑνὸς μὲν τοίνυν ἦν δ' ἐγὼ μεταβαλόντος, * δοκοῦμεν μοι ἔχειν δεῖξαι, ὅτι μεταπέσοι ἂν, οὐ μὴν τοι μικροῦ γε, οὐδὲ ῥᾳδίου, δυνατοῦ δέ. τίνος ἔφη; ἐπ' αὐτὸ δὴ ἦν δ' ἐγὼ εἶμι, ὃ τῷ μεγίστῳ * προσεικάζομεν κύματι. εἰρήσεται δ' οὖν, εἰ καὶ μέλλει γέλωτί τε ἀτεχνῶς, ὥσπερ κῦμα ἐκγελῶν, καὶ * ἀταξίαν κατακλύσειν. σκόπει δὲ ὃ μέλλω λέγειν. λέγε ἔφη. ἐὰν μὴ ἦν δ' ἐγὼ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν, ἢ οἱ βασιλεῖς τε νῦν καὶ δυνάσται λεγόμενοι, φιλοσοφήσωσιν οὐκ ἔστι κακῶν παῦλα ταῖς πόλεσιν.

al. διομολογῆσαι.

* alias ἤ.

alias ἔτι.

alias δοκῶ μοι.

alias προσεικάζομεν κύματι.

alias ἀδοξίᾳ κατακλύσειν.

Ἀλλὰ μὴν τοι εἶπον, τό γε φιλομαθὲς, καὶ φιλόσοφον ταυτόν ἐστι. ταυτὸν γὰρ ἔφη. οὐκοῦν θαρροῦντες τιθῶμεν καὶ ἐν τῷ ἀνθρώπῳ, εἰ μέλλει πρὸς τοὺς οἰκείους γε καὶ γνωρίμους, πρᾶός τις ἔσεσθαι φύσει, καὶ φιλόσοφον καὶ φιλομαθῆ αὐτὸν δεῖν εἶναι. τιθῶμεν ἔφη. φιλόσοφος δὴ καὶ θυμοειδὴς καὶ ἰσχυρὸς, καὶ ταχὺς ἡμῖν τὴν φύσιν ἔσται, ὁ μέλλων καλὸς κἀγαθὸς φύλαξ ἔσεσθαι πόλεως. παντάπασι μὲν οὖν ἔφη.

Χαλεπὸν μὲν οὖν πόλεώς τε καὶ πολιτείας μὴ παντάπασιν εὐχὰς εἰρηκέναι. ἀλλὰ χαλεπὸν μὲν, δυνατὸν δέ πῃ, καὶ οὐκ ἄλλῃ πῃ εἴρηται, ἢ ὅταν οἱ ἀληθῶς φιλόσοφοι δυνάσται ἢ πλείους, ἢ εἷς ἐν πόλει γενόμενοι, τῶν μὲν νῦν τιμῶν καταφρονήσωσιν, ἡγησάμενοι ἀνελευθέρους εἶναι καὶ οὐδενὸς ἀξίους. τὸ δὲ ὀρθὸν περὶ πλείστου ποιησάμενοι, καὶ τὰς ἀπὸ τούτου τιμὰς, μέγιστον δὲ καὶ ἀναγκαιότατον τὸ δίκαιον, καὶ τούτῳ δὴ ὑπηρετοῦντές τε καὶ αὔξοντες αὐτὸ διασκευωρήσωνται τὴν ἑαυτῶν πόλιν. πῶς ἔφη; ὅσοι μὲν οὖν ἦν δ' ἐγὼ πρεσβύτεροι τυγχάνουσι δέκα ἐν τῇ πόλει πάντας ἐκπέμψωσιν εἰς τοὺς ἀγροὺς, τοὺς δὲ παῖδας αὐτῶν παραλαβόντες ἐκτὸς τῶν συνήθων, ἃ καὶ οἱ γονεῖς ἔχουσι θρέψωνται, ἐν τοῖς σφετέροις τρόποις καὶ νόμοις οὖσιν, οὓς διεληλύθαμεν, τότε καὶ οὕτω τάχιστά τε καὶ ῥᾷστα πόλιν τε καὶ πολιτείαν, ἣν ἐλέγομεν καταστᾶσαν, αὐτήν τε εὐδαιμονήσειν, καὶ τὸ ἔθνος ἐν ᾧ ἂν ἐγγένηται, πλεῖστα ὀνήσειν.

Ὁρᾷς τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις; ὡς οὐκ ἄρα ἔστι ζητεῖν ἀνθρώπῳ, οὔτε ὃ οἶδεν, οὔτε ὃ μὴ οἶδεν. οὔτε γὰρ ἂν ὅ γε οἶδε ζητεῖ, οἶδε γὰρ, καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητήσεως, οὔτε ὃ μὴ οἶδεν. οὔτε γὰρ οἶδεν, ὅ, τι ζητήσει. οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι ὁ λόγος οὗτος ὦ σώκρατες; οὐκ ἔμοιγε. ἔχεις λέγειν ὅπῃ; ἔγωγε. ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα. τίνα λόγον λεγόντων. ἀληθῆ ἔμοιγε δοκεῖν καὶ καλόν. τίνα τοῦτον, καὶ τίνες οἱ λέγοντες; οἱ μὲν λέγοντές εἰσι τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν, ὅσοις μεμέλητακε.

περὶ

alia uel aduersus hos, uel ipsi inter se pugnent seditionesq; moueant. Non certe. Pudet referre, quia minus deceat, minutissima quæq; mala, a quibus liberi ciues erunt. Adulationes certe aberunt, quibus aduersus diuites inopes uti solent. Solicitudines item indigentiũ atq; dolores, quibus in filijs nutriendis quærendisq; pecunijs propter necessariam domesticorum seruorumq; nutritionem uexantur, dum & fœnoribus dant operam, & negant quæ acceperunt, & quæstui undecunq; student, deponunt præterea apud mulieres ministrosq; permulta, quæ ad tempus condantur. Nam quàm multa, & qualia in ijs homines patiuntur ò amice, & ipsa per se cuiq; patent, & illiberalia sunt, & indigna narratu. Patent planè uel cæco. Porrò ab his omnibus liberi erunt, uitamq; agent beatiorem beatissima illa eorũ uita, qui uicerunt Olympia. Qua ratione? Nempe illi ob exiguã eorũ, quæ hi possident, partẽ, beati putantur. Nam & uictoria horũ præclarior, & perfectior ex publico alimonia.

Sic utiq; se ueritas habet. Quod si & hoc præterea tui causa demonstrandũ, quo modo & secundũ qd maxime effici possit, rursus ad hanc ostensionẽ hæc ipsa mihi fateare oportet. Quænam? Nunqd sic fieri qcquã possit ut dicitur, uel ita natura cõparatũ est, ut actio minus quã sermo ueritatẽ attingat, licet alicui nõ uideatur? Tu uero utrum das istud, an non? Do equidem. Ne me cogas igit̃, ut qualia uerbis hæc figurauimus, talia penitus digito indicare debeam. Sed si ualeamus adinuenire qua ratione quã proxime ad hæc accedat reipub. institutio, fatendum esse cõperisse nos quẽadmodũ quæ tu præcipis, effici possunt. An nõ satis esse factũ duces, si horũ cõpos efficiaris? Nã ego qdẽ sat haberem. Ego quoq;. Conemur igit̃ declarare posthac, quid istud sit propter quod in ciuitatibus male agatur, quo minus sic regantur, & utrum unius cuiusdam exigui mutatione, ciuitas ad hanc formam instituatur, quid ue illud sit; & nunquid maxime unius mutatione id fiat, uel saltem duorum, an plurium, sed quã paucissimorum, & potentia minimorum. Sic omnino. Vno quodam mutato ostendere id possumus quod caderet, quod quidem nõ est paruũ, nec facile, possibile tñ. Quid istud? Ad id redeo equidẽ, qd ingenti fluctui cõparauimus. Dicet igit̃, quanquã suspicor ne effusiore peruicaciorũ risu inundate penit⁹ obruatur. Cõsidera quod dicturus sum. Diciam. Nisi philosophi ciuitatibus dominentur, uel hi qui nunc reges potentesq; dicuntur, legitime sufficienterq; philosophentur, &c. *Platonis in dialogo 5. de rep. uel de iusto.*

Porro discendi studiosus & philosophus idẽ. Idẽ. Cur igit̃ audacter nõ ponamus & in homine, siqdẽ aduersus familiares & notos mitis futur⁹ est, philosophũ ipsum esse & discendi cupidũ oportere? Ponamus. Philosophus igit̃ & iracũdus, & uelox, & robustus natura erit, q ciuitatis custos optimus est futurus. Sic est omnino. *Eiusdem in dialogo 2. de repub.*

Quid ciuitati & reipub. in primis optãdũ sit, explicatu difficile est. Difficile quidẽ est, fieri potest tñ ut fœlicissimè agat, cũ ueri philosophi, aut plures aut unus in ciuitate magistratũ gerentes, præsentiũ honorũ quicqd est contẽpserint, ut quos uiles ac illiberales æstiment: rectũ aũt, & q id comitant̃ honores (nã iustũ maxima & apprime necessaria res est) plurimi faciẽtes, eiq; inseruiẽtes, & ipsum promouẽtes, ciuitatẽ suã gubernauerint. Quomodo inqt? Si inquã decẽ illi in urbe seniores, cunctos rus ablegauerint, liberos aũt eorũ acceptos ex eisdẽ qb⁹ ali parẽtes solebãt, educauerint, secundũ suos mores ac leges quas recensuimus, hoc tẽpore & hoc modo tũ celerrimè tũ facillimè ciuitas & respub. quã describimus, prosperè aget, & gens illa in qua fuerit, plurimum inde fructus percipiet. *Et alibi.*

At tu animaduertis ne, quàm peruicacem argumentationem in medium adduxisti? quod uidelicet homo, neque quod nouit, neque quod ignorat inquirit. Nam si noscit, nulla inquisitione opus est. Sed neque quod nescit inuestigabit, non enim nouit quid quærat. Nónne recte induci ò Socrates hanc rationem existimas? Nequaquam. Potes dicere cur tibi non placeat? Possum, id enim à uiris ac mulieribus diuinarum rerum peritis quandoque percepi. Quis istorum sermo? Verus, ut mihi uidetur atque præclarus. Quis inquam iste? & quinam testantur? Qui hoc asserunt, sancti uiri sunt, ac sanctæ etiã mulieres, quibuscunq; cura exstit, *Platonis in li. 4. de uirtute uel Menone.*

περὶ ὧν μεταχειρίζονται λόγον οἵοις τε εἶναι διδόναι. λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν, ἃ δὲ λέγουσι, ταυτί ἐστιν. ἀλλὰ σκόπει εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τοτὲ μὲν τελευτᾶν, ὃ δὴ ἀποθνήσκειν καλοῦσι, τοτὲ δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δὲ οὐδέποτε, δεῖν δὴ διὰ ταῦτα, ὁσιώτατα διαβιῶναι τὸν βίον. οἷσι γὰρ ἂν Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυχὰν πάλιν, ἐκ τᾶν βασιλῆες ἀγαυοί, καὶ σθένει κραιπνοί, σοφίᾳ τε μέγιστοι ἄνδρες αὔξονται. ἐς δὲ τὸν λοιπὸν χρόνον, ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται. ἅτε οὖν ἡ ψυχὴ ἀθάνατος οὖσα, καὶ πολλάκις γεγονυῖα, καὶ ἑωρακυῖα καὶ τὰ ἐνθάδε καὶ τὰ ἐν ᾅδου, καὶ πάντα πράγματα, οὐκ ἔστιν ὅτι οὐ μεμάθηκεν, ὥστε οὐδὲν θαυμαστόν, καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλλων οἷόν τε εἶναι αὐτὴν ἀναμνησθῆναι, ἅ γε καὶ πρότερον ἠπίστατο. ἅτε γὰρ τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης, καὶ μεμαθηκυίας ἅπαντα τῆς ψυχῆς, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἆλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀνδρεῖος ᾖ, καὶ μὴ ἀποκάμνῃ ζητῶν. τὸ γὰρ ζητεῖν ἄρα, καὶ τὸ μανθάνειν, ἀνάμνησις ὅλον ἐστίν. οὔκουν δεῖ πείθεσθαι τούτῳ τῷ ἐριστικῷ λόγῳ. οὗτος μὲν γὰρ ἂν ἡμᾶς ἀργοὺς ποιήσειε, καὶ ἔστι τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι. ὅδε δὲ, ἐργαστικούς τε καὶ ζητητικοὺς ποιεῖ, ᾧ ἐγὼ πιστεύων, ἀληθεῖ εἶναι, ἐθέλω μετὰ σοῦ ζητεῖν ὅτι ἀρετή ἐστι. ναὶ ὦ σώκρατες. ἀλλὰ πῶς λέγεις τοῦτο, ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν, ἀνάμνησίς ἐστιν, ἔχεις με τοῦτο διδάξαι, ὡς οὕτως ἔχει; καὶ ἄρτι εἶπον ὦ μένων ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς, εἰ ἔχω σε διδάξαι, ὃς οὔ φημι διδαχὴν εἶναι, ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων. οὐ μὰ τὸν δία ὦ σώκρατες, οὐ πρὸς τοῦτο βλέψας εἶπον.

Ἀκούοι δὴ πᾶς, ὅσπερ νῦν τὰ περὶ θεῶν τε ἤκουε, καὶ τῶν φίλων προπατόρων, πάν-
aliàs αὐτ. των γὰρ τῶν † ἐν τῷ βίῳ κτημάτων μετὰ θεούς, ψυχὴ θειότατον, οἰκειότατον ὄν, τὰ δ' αὐτοῦ
aliàs παντάπασι. διττὰ † παρὰ πᾶσι. τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δὲ ἥττω καὶ χείρω δοῦλα.
aliàs αὐτ. τῶν οὖν † δύο, τὰ δεσπόζοντα ἀεὶ προτιμητέον τῶν δουλευόντων. οὕτω δὴ τὴν αὐτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας δεσπότας, καὶ τοὺς τούτοις ἑπομένους, τιμᾶν δεῖν λέγων δευτέραν, ὀρθῶς παρακελεύομαι. τιμᾷ δ' ὡς ἔπος εἰπεῖν ἡμῶν οὐδεὶς ὀρθῶς. δοκεῖ δέ, θεῖον γὰρ ἀγαθόν που τί-
aliàs αὐτήν. μιον. τῶν δὲ κακῶν οὐδὲν τίμιον. ὁ δ' ἡγούμενος ἤ τισι λόγοις, ἢ δώροις † αὐτοῖς αὔξειν μηδέν.
Aliàs nō habentur parēthesi inclusa. (ἤ τισιν ὑπείξεσι) βελτίω δ' ἐκ χείρονος αὐτὴν ἀπεργαζόμενος, τιμᾶν μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα πᾶς γενόμενος εὐθὺς ἄνθρωπος πᾶς, ἡγεῖται πάντα ἱκανὸς εἶναι γιγνώσκειν, καὶ τιμᾶν οἴεται, ἐπαινῶν τὴν αὐτοῦ ψυχήν, καὶ προθυμούμενος ἐπιτρέπει πράττειν, ὅ, τι ἂν ἐθέλῃ. τὸ δὲ νῦν λεγόμενόν ἐστιν, ὡς δρῶν ταῦτα βλάπτει, καὶ οὐ τιμᾷ. δεῖ δὲ ὥς φαμεν μετά γε θεούς,
aliàs ἑκάστοτε. δευτέραν. οὐδέ γε ὅταν ἄνθρωπος τῶν αὐτοῦ † ἕκαστος ἁμαρτημάτων, μὴ ἑαυτὸν αἴτιον ἡγῆται,
aliàs τιμῶ. καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλὰ ἄλλους, ἑαυτὸν δὲ ἀεὶ ἀναίτιον ἐξαιρῇ, * τιμᾶν τὴν ἑαυτοῦ ψυχήν, ὡς δὴ δοκεῖ. ὁ δὲ πολλοῦ δεῖ δρᾶν τοῦτο. βλάπτει γάρ, οὐδὲ ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ. ἀτιμάζει δέ, κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν. οὐδέ γε ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους πόνους καὶ φό-
aliàs ὑπείκων. βους καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν, ἀλλ' ὑπείκῃ, τότε οὐ τιμᾷ † ἀτιμάζων. ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται, δρῶν τὰ τοιαῦτα σύμπαντα· οὐδ' ὁπόταν ἡγῆται
al. τὸ ζῆν πάντως. * ζῆν τοῦτο ἀγαθὸν εἶναι, τιμᾷ. ἀτιμάζει δ' αὐτὴν καὶ τότε, τὰ γὰρ ἐν ᾅδου πράγματα πάντα κακὰ ἡγουμένης τῆς ψυχῆς εἶναι, ὑπείκει τε καὶ οὐκ ἀντιτείνει διδάσκων τε καὶ ἐλέγχων, ὡς οὐκ οἶδεν οὐδ' εἰ τἀναντία πέφυκε μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν, τὰ περὶ τοὺς θεοὺς τοὺς ἐκεῖ. οὐδὲ μὴν πρὸ ἀρετῆς, ὁπόταν αὖ προτιμᾷ τις κάλλος, τοῦτ' ἔστιν οὐχ ἕτερον, ἢ ἡ τῆς ψυχῆς ὄντως καὶ πάντως ἀτιμία. ψυχῆς γὰρ σῶμα ἐντιμότερον, οὗτος ὁ λόγος φησὶν εἶναι ψευδόμενος. οὐδὲν γὰρ γηγενὲς ὀλυμπίων ἐντιμότερον. ἀλλ' ὁ περὶ ψυχῆς ἄλλως δοξάζων, ἀγνοεῖ ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ. οὐδέ γε ὁπόταν χρήματά τις ἐρᾷ κτᾶσθαι μὴ καλῶς, ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος. δώροις ἄρα τιμᾷ τότε τὴν αὐτοῦ ψυχήν. παντὸς μὲν οὖν λείπει. τὸ γὰρ αὐτῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσίου. πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς, ἀρετῆς οὐκ ἀντάξιος. οὐδ' (ὡς εἰπεῖν ξυλλήβδην) ὅσα περ νομοθέτης αἰσχρὰ εἶναι καὶ κακὰ διαριθμούμενος τάττῃ

καὶ

ut eorum quæ profitentur rationem reddere possent. Tradit præterea Pindarus, & cæteri quicunque Poëtarū diuini sunt, talia quædā, quę aduerte quæso, num uera tibi uideantur. Ferunt enim hominis animū immortalem esse, eumque tum decedere, q̃d quidem mori uocant, tum iterū redire, interire uero nunquā. Quam ob causam uitā quàm sanctissimè agere monent. Quicunque enī pœnas antiquæ miseriæ Proserpinę iam dederunt, ijs illa ad supernū solē nono anno rursus animā reddit, quousque in reges gloria sagacitate, sapientiaque præstantes euadant. Reliquū autem tempus sancti heroës inter homines uocantur. Cum ergo animus immortalis sit ac sæpius in hāc uitam redierit, uideritque persæpe & quæ in hac, & quæ in alia uita sunt, omniaque perceperit, nihil utique restat, quin ipse didicerit. Quamobrem nihil mirū est, si eorū quæ ad uirtutem & ad alia pertinent, reminisci possit: quippe cum olim illa cognouerit. Cum enim tota natura cognata sit, ac sibimet consona, & animus cuncta didicerit, nihil prohibet hominem unius cuiusdam reminiscentem, quam disciplinam uocant, reliqua omnia recuperare, si quis adeo constans sit, ut quærendo minime fatigetur. Quærere igitur ac discere reminiscentia est. Quapropter litigiosæ illi argumentationi nequaquam credere decet: Pigros enim nos quodammodo redderet. Ea quoque mollioribus hominibus mirificè placet. Ratio autem nostra solertes rerum inuestigatores efficit, qua ipse, utpote uera fretus, unà tecū quid sit uirtus perscrutari desydero. Imò ò Socrates, sed num absolute id asseris nos minime discere? quam disciplinam uocamus reminiscentiam esse? potes ne hoc ita esse me docere? In superioribus quoque ò Meno te callidum esse dixi, & nunc rogas utrum docere te possim cū ante nullam esse disciplinam, sed reminiscentiam asseruerim, ut è uestigio mihi ipsi repugnare uidear. Per Iouem ò Socrates non hoc instituebam. *Pindarus.*

Audiat iam reliqua, quicunque paulò ante de dijs charissimisque genitoribus audiebat. Cuiusque enī animus, omniū suarū rerū post deos, cū sit maximè suus, diuinissimus est. Quę uero sua sunt, bifariā diuidunt. Et potentiora q̃dē ac meliora dominantur, imbecilliora uero deterioraque seruiunt. Profectò quæ dominant, præ illis quæ seruiūt, semp sunt honoranda. Quapropter merito post dominātes deos, eosque qui illos sequunt, animū nostrū colendū, secundoque loco habendū iubeo. Nemo aūt, ut breuiter dicā, recte animū suū honorat, quāuis uideat. Diuinū enī bonū est honor. Malorū aūt nihil est honorandū. Quisq̃s igit putat uel sermonib⁹ quibusdā, uel muneib⁹, uel obsequijs animū suū posse extolli, si meliorē ipsum ex deteriore nō reddit quanquā honorare uidet, minime tñ id facit. Nā statim à pueritia unusquisque sufficientē ad omnia cognoscenda se putat, & honorare suū animū opinat laudando, permittendoque sibi quicqd libuerit agere. Nos aūt dicimus eū q hæc agit animū nō honorare, sed lædere, quē tñ secundo loco post deos dicimus honorandū. Sed neque ille eū honorat, q peccatorū suorū, plurimorumque & maximorū scelerū, nō seipsum, sed alios causam ducit. Qui sane seipsum semp excusans honorare uidet animū, longe tamē abest, cū obsit. Neque etiā cū præter rationē laudemque legūlatoris uoluptatib⁹ qs indulget, animū suū honorat: deijcit enī ipsum, cū malis & pœnitētia repleat. Neque etiā tūc honorat, quando labores lege laudatos, metusque ac dolores ferendos nō suscipit, sed cedit atque succumbit. Hæc enī agēs omnia, animū suum dedecorat. Sed nec quādo hanc uitā summū bonū censet, imò tūc etiā uitupat. Nā animo existimāti omnia apud manes mala esse, protin⁹ assentit, neque resistit, docens ipsum atque redarguens, quasi ignoret, utrū cōtra q̃ apud deos inferos sunt, omniū bonorū nobis maxima sint. Præterea q uirtuti formā corporis anteponit, animā uere penitusque dedecorat. Nēpe corp⁹ anima uenerabilius arbitrat: In quo certe uehemēter errat. Nihil enī terrenū rebus cœlestib⁹ uenerabilius est. Et qui de animo aliter sentit, quā mirabilē rem negligat, prorsus ignorat. Nec rursus qui pecuniam iniuste cupit, aut possidens iniuste, nō dolet, muneribus animū suū exornat, sed ab hoc longissime abest. Quod enim uenerabile pulchrumque in animo est, paruo pro auro prodit, cū totū q̃d super terram quódue sub terra est aurum, uirtuti compensari digne non possit. Denique ut summatim dicam, quicunque illa quæ legislator turpia malaque putat esse omni *Eiusdem de leg. lib. 5.*

καὶ τοὐναντίον ἀγαθὰ καὶ καλὰ, τῶν μὲν ἀπέχεσθαι μὴ ἐθέλῃ πάσῃ μηχανῇ: τὰ δ' ἐπιτη-
δεύειν ξύμπασιν κατὰ δύναμιν, οὐκ οἶδεν ἐν τούτοις πᾶσι πᾶς ἄνθρωπος, ψυχὴν θειότα-
τον ὂν, ἀτιμότατα καὶ κακοσχημονέστατα διατιθείς. τὴν γὰρ λεγομένην δίκην τῆς κακουργίας
τὴν μεγίστην, οὐδεὶς ὡς ἔπος εἰπεῖν λογίζεται. ἔστι δὲ ἡ μεγίστη, τὸ ὁμοιοῦσθαι τοῖς οὖσι κακοῖς
ἀνδράσιν, ὁμοιούμενον δὲ, τοὺς μὲν ἀγαθοὺς φεύγειν ἄνδρας, καὶ λόγους, καὶ τῶν μὲν, ἀποσχί-
ζεσθαι: τοῖς δὲ, προσκολλᾶσθαι διώκοντα κατὰ τὰς ξυνουσίας, προσπεφυκότα δὲ τοῖς τοιού-
τοις, ἀνάγκη ποιεῖν καὶ πάσχειν, ἃ πεφύκασιν ἀλλήλους οἱ τοιοῦτοι ποιεῖν καὶ λέγειν. τοῦτο
δὴ οὖν τὸ πάθος, δίκη μὲν οὐκ ἔστι: καλὸν γὰρ τόγε δίκαιον καὶ ἡ δίκη: τιμωρία δὲ ἀδικίας
ἀκόλουθος πάθη, ἧς ὅ, τε τυχὼν καὶ μὴ τυγχάνων, ἄθλιος. ὁ μὲν οὐκ ἰατρευόμενος: ὃ δ',
ἵνα ἕτεροι πολλοὶ σώζωνται, ἀπολλύμενος. τιμὴ δ' ἐστὶν ἡμῖν, ὡς τὸ ὅλον εἰπεῖν, τοῖς μὲν ἀμεί-
alias αὖ. νοσιν ἕπεσθαι: τὰ δὲ χείρω, γενέσθαι βελτίω δυνατὰ, τοῦτ' αὐτὸ ὡς ἄριστα ἀποτελεῖν. ψυχῆς † ἢν
ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν εὐφυέστερον, εἰς τὸ φυγεῖν μὲν τὸ κακὸν: ἰχνεῦσαι δὲ καὶ ἑλεῖν. τὸ
πάντων ἄριστον, καὶ ἑλόντα αὖ, ξυνοικεῖν κοινῇ τὸν ἐπίλοιπον βίον. διὸ δεύτερον ἐτάχθη τι-
μή. τὸ δὲ τρίτον πᾶς ἂν τοῦτόγε νοήσειε τὴν τοῦ σώματος εἶναι κατὰ φύσιν τιμήν. τὰς δ'
αὖ τιμὰς δεῖ σκοπεῖν, καὶ τούτων τίνες ἀληθεῖς, καὶ ὅσαι κίβδηλοι. τοῦτο δὲ νομοθέτου, μη-
νύειν δὴ φαίνεται, τάσδε καὶ τοιάσδε τινὰς αὐτὰς εἶναι. τίμιον εἶναι σῶμα, οὐ τὸ καλὸν, οὐδὲ
τὸ ἰσχυρὸν, οὐδὲ τὸ τάχος ἔχον, οὐδὲ μέγα, οὐδὲ τὸ ὑγιεινὸν, καίτοιγε πολλοῖς ἂν τοῦτο δοκοῖ,
καὶ μὴν οὐδὲ τὰ τούτων γε ἐναντία. τὰ δ' ἐν τῷ μέσῳ ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτόμε-
να σωφρονέστατα ἅμα τε ἀσφαλέστατα εἶναι μακρῷ. τὰ μὲν γὰρ, χαύνους τὰς ψυχὰς καὶ θρα-
σείας ποιεῖ. τὰ δὲ, ταπεινάς τε καὶ ἀνελευθέρους. ὡς δ' αὔτως ἡ τῶν χρημάτων καὶ κτημά-
των δουλείας ὡς τὸ πολύ. κτῆσις καὶ τιμήσεως, κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει. τὰ μὲν ὑπέ-
ρογκα γὰρ ἑκάστων τούτων, ἔχθρας καὶ στάσεις ἀπεργάζεται ἐν ταῖς πόλεσι, καὶ ἰδίᾳ. τὰ δ'
al. φιλοχρηματείτω. ἐλλείποντα, δῆλον. μὴ δέ τις † φιλοχρηματείτω παίδων γε ἕνεκα, ἵνα ὅτι πλουσιωτάτους
καταλείπῃ. οὔτε γὰρ ἐκείνοις, οὔτε αὖ τῇ πόλει ἄμεινον. ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν
δὲ ἀναγκαίων μὴ ἐνδεὴς, αὕτη πασῶν μουσικωτάτη τε καὶ ἀρίστη. ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ
ξυναρμόττουσα εἰς πάντα, ἄλυπον τὸν βίον ἀπεργάζεται. παισὶ δὲ, αἰδῶ χρὴ πολλὴν, οὐ
χρυσὸν καταλείπειν. οἰόμεθα δὲ ἐπιπλήττοντες τοῖς νέοις ἀναισχυντοῦσι τοῦτο καταλείψειν. τὸ
δ' ἔστιν, οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες,
ὡς δεῖ πάντα αἰσχύνεσθαι τὸν νέον. ὁ δὲ ἔμφρων νομοθέτης, τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρα-
κελεύοιτο αἰσχύνεσθαι τοὺς νέους. καὶ πάντων μάλιστα εὐλαβεῖσθαι, μήποτέ τις αὐτὸν ἴδῃ τῶν
νέων, ἢ καὶ ἐπακούσῃ δρῶντα, ἢ λέγοντά τι τῶν αἰσχρῶν. ὡς ὅπου ἀναισχυντοῦσι γέροντες,
ἀνάγκη καὶ νέους ἐν τούτῳ εἶναι ἀναιδεστάτους. παιδεία γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ
αὐτῶν, οὐ τὸ νουθετεῖν, ἀλλ' ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τις, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα
διὰ βίου. ξυγγένειαν τε, καὶ ὁμογνίων θεῶν κοινωνίαν πᾶσαν ταὐτοῦ φύσιν αἵματος ἔχουσαν,
alias [illegible] τιμῶν τις καὶ σεβόμενος, εὔνους ἂν † γενεθλίους θεοὺς εἰς παίδων αὐτοῦ σποράν ἴσχοι κα-
τὰ λόγον. καὶ μὴν τόγε φίλων καὶ ἑταίρων πρὸς τὰς ἐν βίῳ ὁμιλίας εὐμενεῖς ἄν τις κτῷτο,
μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὐτὸν ἡγούμενος, ἢ ἐκεῖνοι. ἐλάττους δ'
[illegible] non est alias. αὖ τὰς αὐτοῦ διανοούμενος εἰς τοὺς φίλους χάριτας, † ὑπὲρ αὐτῶν τῶν φίλων δὲ καὶ ἑταίρων,
εἰς τὴν πόλιν καὶ πολίτας μακρῷ ἄριστος, ὅστις πρὸ τοῦ ὀλυμπιᾶσι, καὶ ἁπάντων ἀγώνων
πολεμικῶν τε καὶ εἰρηνικῶν, νικᾶν δέξαιτ' ἂν δόξῃ ὑπηρεσίας τῶν οἰκονόμων, ὡς ὑπηρετικὸς
alias [illegible] πάντων † μάλιστ' ἀνθρώπων αὐτοῖς ἐν τῷ βίῳ. πρὸς δ' αὖ τοὺς ξένους διανοητέον, ὡς ἁγιώ-
τατα ξυμβόλαια ὄντα. σχεδὸν γὰρ πάντα ἐστὶ τὰ τῶν ξένων, καὶ εἰς τοὺς ξένους ἁμαρτήματα
παρὰ τῶν πολιτῶν εἰς θεὸν ἀνηρτημένα, τιμωρὸν μᾶλλον. ἔρημος γὰρ ὢν ὁ ξένος ἑταίρων τε
καὶ συγγενῶν, ἐλεεινότερος ἀνθρώποις καὶ θεοῖς. ὁ δυνάμενος οὖν τιμωρεῖν, μᾶλλον βοηθεῖ
προθυμότερον. δύναται δὲ διαφερόντως, ὁ ξένιος ἑκάστων δαίμων καὶ θεὸς, τῷ ξενίῳ συνε-
πόμενοι Διΐ. πολλῆς οὖν εὐλαβείας, ᾧ καὶ σμικρὸν προμηθείας ἔνι, μηδὲν ἁμάρτημα περὶ ξέ-
νους ἁμαρτόντα ἐν τῷ βίῳ, πρὸς τὸ τέλος αὐτοῦ πορευθῆναι. ξενικῶν δ' αὖ καὶ ἐπιχωρίων
ἁμαρτημάτων, τὸ περὶ τοὺς ἱκέτας μέγιστον γίνεται ἁμάρτημα ἑκάστοις. μεθ' οὗ γὰρ ἱκετεύ-

studio non fugit, nec pro uiribus sequitur ea quæ bona & pulchra statuit, non uidet in his omnibus quã turpiter, & absurde diuinissimũ animum suũ afficiat. Maximã eñi secundum iustitiam ultionem male agendi, nemo, ut uno uerbo dicam animaduertit. Maxima uero est, ut quis malis hominibus similis efficiatur, factusq; similis bonos & uiros & sermones fugiat: seq; ipsum ab eis seiungat, improbis autẽ adhæreat, & eorũ consuetudinem amplectatur. Eum uero qui se his immiscuit, necesse est eadem pati & agere, quæ tales agere & loqui inter se consueuerunt. Ac passio quidẽ huiusmodi iustitia nõ est. Iustitia eñi & iustũ, honestũ est. Vltio uero passio iniustitię sequax: In quã & qui non incidit & qui incidit, malus miserq; est: Ille quoniã nõ sanatur, hic quoniã ut multi seruentur, ipse perit. Honor aũt est, ut totũ simul cõplectar, meliora sequi & ex peioribus quęcunq; meliora fieri possunt, ad melius quã optime reducere. Homini profecto nihil animo aptius & sagacius est ad fugiendum malum, ad inuestigandũ eligendumq; quod est omniũ optimũ, eiq; p omnẽ uitam firmiter adhærendũ. Idcirco illi secundo statutus est honor. Tertiũ deinde honorẽ secundũ naturã quiuis intelliget corpori cõuenire. Considerare oportet qui ueri honores sint, quiue adulterati: quorũ differẽtia à legislatore declaranda mihi uidetur, utputa honore dignũ corpus esse, nõ quod formosum aut robustum est, aut uelox, uel magnũ, uel sanũ, quamuis multis id uideatur, neq; quod contrarijs modis affectũ. Nempe quæ mediũ istorũ omniũ habitũ tangunt, ea longe moderatiora tutioraq; censenda sunt. Altera eñi inflatos & audaces animos reddunt: altera deiectos atq; illiberales. Similiter pecuniarũ prædiorumq; & census possessio se habet. Excedens eñi & priuatim & in ciuitatibus inimicitias seditionesq; parit: Deficiens autẽ ut plurimũ seruitutẽ. Nemo igit liberorũ gratia pecunijs cumulandis incumbat, ut ditissimos eos relinquat. Neq; eñi ipsis, neq; ciuitati id conducit. Sed census iuuenũ tum adulatione uacuus, tum rerũ necessariarũ non indigens, omniũ decentissimus & optimus est. Nam hic nobis ad omnia consonans accõmodatusq;, uitã à doloribus tutam reddit. Liberis ergo non auri, sed pudoris, multũ oportet relinquere. Putamus autem uerbis impudentiam iuuenũ castigando id nos impetraturos. Sed nõ ex ea castigatione, qua iuuenibus incutiunt, dicentes quod adolescentem oporteat in omnibus uerecundum esse. Sapiens itaq; legumlator, senioribus præcipiet potius, ut sint coram iunioribus uerecundi, ac summopere caueant nequis iuuenum eos, aut uideat, aut audiat agentes turpe aliquid, uel loquentes. Nam ubi senes minus pudici sunt, necesse est ibi iuuenes impudentissimos esse: præstans enim & iuniorum & seniorum disciplina est, non uerborum increpatio, sed ut quæ increpando quis diceret & monendo, eadem ipse in omni uita facere uideatur. Quisquis præterea cognationem & uniuersam sub eisdem penatibus generis communionem honorat & colit, hos deos merito propitios in liberis procreandis habebit. Amicorum quoq; & sodalium in uitæ consuetudine summam beneuolentiam consequetur, qui illorum in se obsequia maiora præstantioraq; putabit quàm illi, sua uero in illos beneficia minora quàm ipsi existimabit. Atqui & erga ciuitatem ac ciues optime ille se geret, qui omni uictoriæ quæ in olympicis, alijsq; tam belli quàm pacis certaminibus comparatur, illam gloriam anteponet, quam patrijs legibus ministrando nanciscitur: atq; in hoc ministerio cæteris omnibus per totam uitam præstare conabitur. Ad peregrinos uero sanctissima esse fœdera quisque cogitet. Fermè enim omnia peregrinorum, & contra peregrinos peccata, præ illis quæ inter ciues committuntur, ultori Deo curæ sunt. Nam cum peregrinus amicis cognatisq; careat, maiorem & apud deos & apud homines meretur misericordiam. Quare qui magis ulcisci potest, is ad ferendum auxilium est paratior: potest autem maxime hospitalis cuiusque dæmon ac deus, hospitalem secuti Iouem. Diligenti igitur cautione cogitandum cuiq;, cui nonnihil est consilij, ut innocens ab iniuria in peregrinos semper uiuat. Sed omnium tam in peregrinos quàm in ciues peccatorum maximum est, quod in supplices est commissum. Deus enim per quẽ supplex

σιας μάρτυς ὁ ἱκέτης θεοῦ ἔτυχεν ὁμολογιῶν, φύλαξ διαφερόντως οὗτος τοῦ παθόντος γίγνεται, ὥστ' οὐκ ἄν ποτε ἀτιμώρητος πάθῃ, ὁ τυχὼν ὧν ἔπαθε. τὰ μὲν οὖν περὶ γονέας τε, καὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, περὶ πόλιν τε καὶ φίλους, καὶ ξυγγένειαν, ξενικά τε καὶ ἐπιχώρια διεληλύθαμεν σχεδὸν ὁμιλήματα, τὸ δὲ ποῖος τις ὢν αὐτὸς ἂν κάλλιστα διαγάγοι τὸν βίον, ἑπόμενον τούτῳ διεξελθεῖν. ὅσα ἂν οὖν μὴ νόμος, ἀλλ' ἔπαινος παιδεύων καὶ ψόγος ἑκάστους † εὐηνίους μᾶλλον τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται, ταῦτ' ἐστὶ μετὰ τοῦτο ἡμῖν ῥητέα. ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις, ἧς, ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων, ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς ὅτι πλεῖστον χρόνον ἀληθὴς ὢν, διαβιοῖ. πιστὸς γάρ. ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον. ὅτῳ δὲ ἀκούσιον, ἄνους ὢν, οὐδέτερον ζηλωτόν. ἄφιλος γὰρ δὴ πᾶς ὅγε ἄπιστος καὶ ἀμαθής. χρόνου δὲ προϊόντος, γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὑτῷ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου. ὥστε ζώντων καὶ μὴ ἑταίρων, καὶ παίδων σχεδὸν ὁμοίως ὀρφανὸν αὑτῷ γενέσθαι τὸν βίον. τίμιος μὲν δὴ καὶ ὁ μηδὲν

al. [illegible] μενῶς.

ἀδικῶν, ὁ δὲ μὴ ἐπιτρέπων τοῖς † θέλουσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου, ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος οὗτος ἀναγορευέσθω, νικηφόρος ἀρετῇ. τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον, καὶ περὶ σωφροσύνης χρὴ λέγειν, καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται, δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν, ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι. τὸν μὲν, μεταδιδόντα, ὡς ἀκρότατον χρὴ τιμᾶν. τὸν δὲ αὖ μὴ δυνάμενον, ἐθέλοντα δὲ, ἐᾶν δεύτερον. τὸν δὲ φθονοῦντα, καὶ * θέλοντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινων, αὐτὸν μὲν ψέγειν, τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν, ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν.

ἄλλως ἀδικεῖν.
ἄλλως ἑῶντα

Εἶεν. ταῦτα μὲν δὴ ὡμολόγηται ὦ Γλαύκων τῇ μελλούσῃ ἄκρως οἰκεῖν πόλει, κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ παῖδας εἶναι, καὶ πᾶσαν παιδείαν. ὡσαύτως δὲ τὰ ἐπιτηδεύματα κοινά, ἐν πολέμῳ τε καὶ εἰρήνῃ. βασιλέας τε αὐτῶν εἶναι τοὺς ἐν φιλοσοφίᾳ τε, καὶ πρὸς τὸν πόλεμον γεγονότας ἀρίστους. ὡμολόγηται ἔφη. καὶ μὴν καὶ τάδε ξυνεχωρήσαμεν, ὡς ὅταν δὴ καταστῶσιν οἱ ἄρχοντες ἄγοντες τοὺς στρατιώτας, κατοικιοῦσιν εἰς οἰκήσεις, οἵας προείπομεν, ἴδιον δὲ οὐδὲν οὐδενὶ ἐχούσας, κοινὰς δὲ πᾶσι.

Μὴ ἐκπληττώμεθα εἰς τὸν τύραννον ἕνα ὄντα βλέποντες, μηδ' εἴ τινες ὀλίγοι περὶ ἐκεῖνον. ἀλλ' ὡς χρή, ὅλην τὴν πόλιν εἰσελθόντας θεάσασθαι, καταδύντες εἰς ἅπασαν, καὶ ἰδόντες, οὕτω δόξαν ἀποφαινώμεθα. ἀλλ' ὀρθῶς ἔφη προκαλῇ, καὶ δῆλον παντί, ὅτι τυραννουμένης μὲν, οὐκ ἔστιν ἀθλιωτέρα, βασιλευομένης δὲ, οὐκ εὐδαιμονεστέρα.

Ἴθι δή μοι ἔφην ἐγὼ νῦν ἤδη ὥσπερ ὁ διὰ πάντων κριτὴς ἀποφαίνεται, καὶ σὺ οὕτω. τίς πρῶτος κατὰ τὴν σὴν δόξαν εὐδαιμονίᾳ, καὶ τίς δεύτερος, καὶ τοὺς ἄλλους ἑξῆς πέντε ὄντας κρῖναι, βασιλικόν, τιμοκρατικόν, ὀλιγαρχικόν, δημοκρατικόν, τυραννικόν. ἀλλὰ ῥᾳδία ἔφη κρίσις. καθάπερ γὰρ εἰσῆλθον ἔγωγε ὥσπερ χοροὺς κρίνω ἀρετῇ καὶ κακίᾳ καὶ εὐδαιμονίᾳ, καὶ τῷ ἐναντίῳ. μισθωσώμεθα οὖν κήρυκα ἦν δ' ἐγώ, ἢ αὐτὸς ἀνείπω; ὅτι ὁ Ἀρίστωνος υἱός, τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε. τοῦτον δ' εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα αὐτοῦ. τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον, ἀθλιώτατον. τοῦτον δ' αὖ τυγχάνειν ὄντα, ὃς ἂν τυραννικώτατος ὢν, ἑαυτοῦ τε ὅτι μάλιστα τυραννεῖ, καὶ τῆς πόλεως.

Τοῦ αὐτοῦ νόμων γ'.

Ἡ δ' ἄν ποτε ξυνοικίᾳ μήτε πλοῦτος ξυνοικῇ, μήτε πενία, σχεδὸν ἐν ταύτῃ δικαιότατα ἤθη γίγνοιτ' ἄν. οὔτε γὰρ ὕβρις, οὔτ' ἀδικία, ζῆλοί τε αὖ, καὶ φθόνοι οὐκ ἐγγίγνονται.

Ἐν ταυτῷ.

Τὸ δὲ ἐμὸν ἔλεγον, ὅτι τοῦτον μὲν πρὸς μίαν ἀρετὴν οὖσαν τεττάρων, κελεύοι τίθεσθαι τοὺς νόμους δέοι δὲ δὴ πρὸς πᾶσαν μὲν βλέποντα, μάλιστα δὲ πρὸς τὴν πρώτην, τὴν τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς. φρόνησις δ' εἴη τοῦτο, καὶ * σοφία, καὶ δόξα, μετ' ἔρωτός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένοις.

ἄλλως νοῦ.

Τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων, ὡς σοφούς τε προσρητέον, ἂν καὶ τὸ λεγόμενον, μήτε γράμματα, μήτε νεῖν ἐπίστωνται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφροσι. πῶς γὰρ ἄν ὦ φίλοι ἄνευ ξυμφωνίας γένοιτ' ἂν φρονήσεως καὶ τὸ σμικρότατον εἶδος; οὐκ ἔστιν. ἀλλ' ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφωνιῶν, μεγίστη δικαιότατ' ἂν λέγοιτο σοφία, ἧς ὁ μὲν κατὰ λόγον ζῶν, μέτοχος. ὁ δὲ ἀπ-

fœdus est cōsecutus, diligentissimus ei⁹ est custos. Quare nullus in supplices sceleratus impunis abibit. Hactenus officia cuiusq; in parentes, seipsum, sua, patriam, amicos, cognatos, peregrinos, atq; colonos penè omnia exposuim⁹. Qualis uero quisq; quo ad seipsum esse debeat, q optime uiuere uelit, nunc iam exponamus, ut nō lex, sed laus & uitupatio singulos docens, refrenet magis, & obtēperatiores ferendis legib⁹ faciat. Atq; hæc nobis deinceps dicenda sunt. Veritas profecto tū dijs tū hominib⁹ dux omniū est bonorū, cui⁹ q fœlix beatusq; futurus est, statim ab initio particeps esse debet, ut in ueritate plurimū tēpus uitā agat. Fidus hic certe est: infidus aūt qui sponte mentit: q uero nō sponte, amens: quorū neutrū optabile est. Nam & infidus & amens ab amicitia admodū alienus: ac procedēte tēpore cognitus in tantā in odiosa senecta uitæq; termino solitudinē incidit, ut seu uiuant siue decesserint amici ac filij, pene similiter orbam uitā misere agat. Honorandus certe est q nihil iniuriatur: Qui uero nec alios id facere patitur, duplici honore, imò etiā magis est honorandus. Ille eīm uni, hic multis hominib⁹ cōparatur, cū principib⁹ cæterorū iniuriā nunciet. Qui aūt unà etiā magistratib⁹ iniuriā quoad potest ulciscit, is magn⁹ psectusq; in ciuitate uir præconio prędicetur. Nā uirtute cunctis excellit. Eadē quoq; tēperantiæ & prudētiæ laus est. Et q alijs bonis abundat, quæ in alios quoq; transfundi possunt, si cæteros participes efficit, tanquā uir summus est honorādus. Qui aūt id facere uellet qdē, sed nō potest, secundo loco habendus est. Inuidū uero q sponte nihil boni cæteris conferat, uitupare debemus, nec propter hominē qui male possidet, rem ipsam uituperare, sed eam pro uiribus adipisci.

Esto. Hæc etēm ô Glauco confessa nobis sunt, ciuitatē quæ statū desyderet optimū cōmunibus usurā uxorib⁹, ac liberis, omniq; disciplina: Cōmunia itē eius fore studia domi militiæq;: & reges habituram, q tum in philosophia, tū scientia militari excellant. Concessimus inquit. Atqui ista quoq; adiecimus, quod milites à principibus uel ducib⁹ constituti collocandi sint in domicilia, cuiusmodi prædiximus, quæ nihil quicquā peculiare cuiquā contineant, sed omnibus communia sint. *Eiusdem.*

Ne q uero tyrannicæ ciuitatis speciem admiremur, ad solum tyrannum respicientes, aut ad eos paucos qui cum eo rerum potiuntur: sed, ut decet, omnem penitus ciuitatem ingressi lustremus singula, & ad cuncta conuersis oculis feramus sententiam. Probe admones: constat autem apud quemlibet nullam ciuitatem tyrannide pressa, esse miseriorem: nullamq; rege gubernata, beatiorem esse. *Eiusdem li. 9. de republica.*

Age queādmodū iudex omnia circūspiciens de singulis iudicat, ita tu in præsentia proferas, q tuo iudicio prim⁹ beatitudine, q secundus: Cæterosq; gradatim q in numero quinq; sunt, enarra: Regiū, honorifici impij studiosum, paucorū potentiæ cupidū, popularē atq; tyrannicū. At facile iudiciū istud. Nā uelut sim ingressus, istos quasi choros uirtute & prauitate, beatitudine, et huic contrario inter se cōparo atq; iudico. Nū præconē cōducemus? an ego hæc poti⁹ pronūciabo? Aristonis filiū iudicasse uirū optimū, & iustissimū, esse beatissimū, eumq; esse dixisse hominē maxime omniū regiū, seq; ipsum regentē: pessimū uero & iniquissimū, esse miserrimū, taleq; eū esse q maxime tyrann⁹ sit, seq; ipsum & ciuitatē tyrannide premat? *Ibidem.*

In quocunq; uero hominū cœtu, nec inopia, neq; diuitiæ sunt, huic iustissimi mores aderunt. Neq; eīm ibi contumelia, neq; iniuria locum habet. Aemulatio quoq; & inuidia procul abest. *Eiusdem li. 3. de legibus.*

Ego aūt dicebā ad unā solūmodo uirtutē, cū tñ sint quatuor, id respicere: respiciēdumq; nō ad unā tātū, sed omnes: maxime uero ad primā, q̄ & cæterarū omniū dux est: hęc uero prudētia est, & intellect⁹, & opinio, unà cū amore & cupiditate sequēte. *Ibidem.*

* Qui uero hac ignorantia, quam nunc exposuimus, non affecti sunt, sapientes habendi, etiamsi neq; literas, ut dicitur, nouerint, neq; natare sciant. Magistratus quoq; istis quasi prudentibus committendi. Quomodo enim ô amici uel minima prudentiæ species sine consensu consistere poterit? Nullo modo. At uero pulcherrimus maximusq; consensuum omnium, maxima iure sapientia esse dicetur: cuius quidem particeps sit necesse est, qui secundum rationem uiuere debet. *Paulo post.* ** Quid sit ignorantia istis & dissensio uide apud Platonē statim ante hunc locum.*

δὲ ἐκπλαγησόμενος, οἰκοφθόρος, καὶ περὶ πόλιν οὐδαμῶς σωτὴρ, ἀλλὰ πᾶν τοὐναντίον, ἀμαθαίνων εἰς ταῦτα ἑκάστοτε φανεῖται.

Ἐν ταὐτῷ. Ἐάν τις μείζονα διδῷ τοῖς ἐλάττοσι δύναμιν παρεὶς τὸ μέτριον, πλοίοις τε ἱστία, καὶ σώμασι τροφὴν, καὶ ψυχαῖς ἀρχὰς, ἀνατρέπεταί που πάντα, καὶ ἐξυβρίζοντα, τὰ μὲν εἰς νόσους θεῖ, τὰ δ᾽ εἰς ἔκγονον ὕβρεως ἀδικίαν.

Ἐν ταὐτῷ. Λέγομεν τοίνυν ὅτι πόλιν ὡς ἔοικε τὴν μέλλουσαν σώζεσθαί τε, καὶ εὐδαιμονήσειν εἰς δύναμιν ἀνθρωπίνην, δεῖ καὶ ἀναγκαῖον, τιμάς τε καὶ ἀτιμίας διανέμειν ὀρθῶς. ἔστι δὲ ὀρθῶς ἆρα τιμιώτατα μὲν καὶ πρῶτα, τὰ περὶ τὴν ψυχὴν ἀγαθὰ κεῖσθαι, σωφροσύνης ὑπαρχούσης αὐτῇ. δεύτερα δὲ, τὰ περὶ τὸ σῶμα καλὰ καὶ ἀγαθά. καὶ τρίτα, τὰ περὶ τὴν οὐσίαν καὶ χρήματα λεγόμενα. τούτων δὲ ἂν ἐκτός τις βαίνῃ νομοθέτης ἢ πόλις, εἰς τιμὰς ἢ χρήματα προάγουσα, ἤ τι τῶν ὑστέρων εἰς τὸ πρόσθεν τιμαῖς τάττουσα, οὔθ᾽ ὅσιον, οὔτε πολιτικὸν ἂν δρῴη πρᾶγμα.

Τοῦ αὐτοῦ νόμων ε. Ἡμῖν δὲ ἡ τῶν νόμων ὑπόθεσις ἐνταῦθα ἔβλεπεν, ὅπως ὡς εὐδαιμονέστατοι ἔσονται, καὶ ὅτι μάλιστα ἀλλήλοις φίλοι. εἶεν δὲ οὐκ ἄν ποτε πολῖται ἀλλήλοις φίλοι, ὅπου πολλαὶ μὲν δίκαι ἐν ἀλλήλοις εἶεν, πολλαὶ δὲ ἀδικίαι, ἀλλ᾽ ὅπου ὡς ὅτι σμικρόταται καὶ ὀλίγισται. λέγομεν δή, μήτε εἶναι χρυσὸν δεῖν, μήτε ἄργυρον ἐν τῇ πόλει, μήτε αὖ χρηματισμὸν πολὺν διὰ βαναυσίας καὶ τόκων, μηδὲ βοσκημάτων αἰσχρῶν, ἀλλ᾽ ὅσα γεωργία δίδωσι καὶ φέρει, καὶ τούτων ὁπόσα μὴ χρηματιζόμενον ἀναγκάσειεν, ἀμελεῖν, ὧν ἕνεκα πέφυκε τὰ χρήματα. ταῦτα δ᾽ ἐστὶ ψυχὴ καὶ σῶμα, ἃ χωρὶς γυμναστικῆς καὶ τῆς ἄλλης παιδείας, οὐκ ἄν ποτε γένοιτο ἄξια λόγου. διὸ δὴ χρημάτων ἐπιμέλειαν, οὐχ ἅπαξ εἰρήκαμεν, ὡς χρὴ τελευταῖον τιμᾶν. ὄντων γὰρ τριῶν τῶν ἁπάντων, περὶ ἃ πᾶς ἄνθρωπος σπουδάζει, τελευταῖον καὶ τρίτον ἐστὶν, ἡ τῶν χρημάτων ὀρθῶς σπουδαζομένη σπουδὴ, σώματος δὲ μέση, πρώτη δὲ ἡ τῆς ψυχῆς. καὶ δὴ καὶ νῦν, ἣν διεξερχόμεθα πολιτείαν, εἰ μὲν τὰς τιμὰς οὕτω τέτακται, ὀρθῶς † νομοθετεῖται, εἰ δέ τις τῶν προσταττομένων αὐτόθι νόμων, σωφροσύνης ἔμπροσθεν, ὑγίειαν ἐν τῇ πόλει φανεῖται ποιῶν τιμίαν, ἢ πλοῦτον ὑγιείας, καὶ τοῦ σωφρονεῖν, οὐκ ὀρθῶς ἂν φανεῖται τιθέμενος.

al. νομοθετεῖται.

Ἀρχύτα. Πονηρῶν ἀθέων νόμοι θεῶν ἄγραφοι ἀντινομιζόμενοι, πονηρὰν μοῖραν καὶ ζημίαν τοῖς μὴ πειθομένοις διδόντες, πατέρες καὶ ἡγεμόνες τῶν γεγραμμένων νόμων, καὶ δογμάτων ἀνθρώποις τεθέντων. ἔπειτα γάρ, τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι, καὶ ἐπὶ τέλος ἐπιτίθεντι, φύσις, καὶ νόμος, καὶ τέχνα, καὶ τύχα. καὶ τῶν μὲν ἐξ ἄθεος ποτὶ συμφωνίαν πολιτικὰν φερόντων, νόμος ἐπιστάτης καὶ δημιουργός. τῶν δὲ, διὰ φρονήσιος ἀνθρωπίνας τελεθόντων, τέχνα λέγοιτο δικαίως, μάτηρ τε καὶ ἡγεμὼν ἧμεν. τῶν δὲ εἰκᾶ τε καὶ ὡς ἔτυχεν ἀπὸ τῶ αὐτομάτω ὁμοίως μεταπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς, τύχαν τῶν τοιούτων αἰτίαν φάσκομες, ταύταν δ᾽ οὔτ᾽ ἐν μέτρῳ, οὔτ᾽ ἐν ὅρῳ τεταγμέναν, καὶ περφρονηκυῖαν ἕκαστα ποιεῦν, (γεννᾶσθαι δὲ, ἃ ἐξ αὐτῶν τῶ γένεος ἄμφω κινεῖται.)

Parēthesi inclusa obscura sunt. Apparet aūt aliquid deesse, quoniā de natura nihil dixit.

Τῶν ἑπτὰ σοφῶν περὶ πολιτείας.

α. Εἰ δὲ βούλει καὶ νῦν, ἔφη ὁ Σόλων, περὶ πολιτείας ἀκοῦσαι, δοκεῖ μοι πόλις ἄριστα πράττειν, καὶ μάλιστα σώζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα τοῦ † ἀδικηθέντος προβάλλονται καὶ κολάζουσι.

lego οἱ μὴ ἀδικούμενοι.

β΄. Δεύτερος δὲ ὁ Βίας ἔφη, κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

γ΄. Ἔπειτα Θαλῆς, τὴν μήτε πλουσίους ἔχουσαν ἄγαν, μήτε πένητας πολίτας.

δ΄. Μετὰ δὲ τοῦτον, ὁ Περίανδρος, ἐν ᾗ τῶν ἄλλων ἴσων νομιζομένων, ἀρετῇ τὸ βέλτιον ὁρίζεται, κακίᾳ δὲ τὸ χεῖρον.

ε. Πέμπτος δὲ, ὁ Κλεόβουλος ἔφη μάλιστα σωφρονεῖν δῆμον, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδίασιν, ἢ τὸν νόμον.

ς΄. Ἕκτος δὲ Πιττακός, ὅπου τοῖς πονηροῖς οὐκ ἔστιν ἄρχειν.

ζ. Ὁ δὲ Χίλων ἀπεφήνατο, τὴν μάλιστα νόμων, ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν, ἀρίστην εἶναι.

Οἱ νόμοι χάριν τῶν σοφῶν κεῖνται, οὐχ ἵνα μὴ ἀδικῶσιν, ἀλλ᾽ ἵνα μὴ ἀδικοῦνται.

Quisquis autem expers est, & suæ domus euersor, & ciuitatis nunquam seruator, sed contrà omnino ad hæc semper ignarus esse uidebitur.

Si quis minoribus potentiam maiorem neglecta mediocritate, nauibus uela, cibum corporibus, animis principatum committat, omnia peruertentur. Nam supra modum elata lasciuiunt, & alia in morbos incidunt, alia in iniuriam elatioris lasciuiæ filiam. *Ibidē paulo post*

Oportere itaque dicimus ciuitatem, quæ pro humanis uiribus salua fœlixq; futura sit recte honores & opprobria distribuere. Recta autem distributio est, ut prima & maxime honoranda censeantur animi bona, si adiuncta illis temperantia sit: Secundo dignitatis gradu corporis bona ponantur: Tertio, externa possessio & pecuniæ. Hæc si quis legislator ciuitásue transgreditur, uel pecuniam præ cæteris honorando, uel posterius aliquid honore prius collocando, neque sancte neque ciuiliter faciet. *Ibidem.*

Nobis autem legum huc sanctio respicit, ut fœlicissimi ciues sint, ac maxime inter se amici. Qui sane amici nunquam erunt, si mutuis iniurijs uexati plurimis litigando uti cogantur iudicijs, sed si quàm minima hæc sint atq; paucissima. Quapropter oportere dicimus nec aurum nec argentum esse in ciuitate, neque quæstum insuper multum in mechanicis operibus cauponationibusq; & fœnore, nec ex pecoribus turpiter, sed ab his quæ agricultura offert ac præbet, atq; hoc ita, ut quæstus non cogat ea negligere, quorũ causa quæruntur pecuniæ. Hæc uero anima & corpus sunt, quæ absq; gymnastica, & alia disciplina, nullius pretij unquam erunt. Quare pecuniarum cura, ut sæpius ita dictum est, ultimum honoris teneat locum. Quippe cũ tria sint omnia in quibus homines studium ponunt, ultimum ac tertiũ est, si recte habeatur, pecuniæ studium, medium corporis, animi primũ. Atqui hæc ipsa, quam nũc condimus respub. si honores ita distribuit, recte disponitur. Si qua autem lex, aut temperantiæ sanitatem corporis, aut sanitati & temperantiæ diuitias anteponit, non recte posita esse uidetur. *Ibidem.*

Aduersus improbos mores institutæ sunt deorum non scriptæ leges, malam sortem mulctamq; non obedienti inferentes, parentes ac principes scriptarum legum, & constitutionum inter homines. Quandoquidem causæ sunt quatuor, quibus efficiuntur, & finem suum adipiscuntur uniuersa, scilicet natura, lex, ars, & fortuna. Lex quidem præses ac author eorum est, quæ iuxta humanos mores ad concordiam ciuilem perducunt. Operum uero, quæ hominum prudentia efficiuntur, ars merito mater ac princeps nominanda est. Temere autem & casu fortuito bonis & malis similiter ac inconstanter euenientium fortunam esse causam dicimus, quæ neq; modo aut termino ullo ordinata, neq; sapiens quicquã, singula facit. *Archytæ.*

(Aliquot uerba in Græco sequentia de natura uidentur dicta, sed non integra sunt.)

Septem Sapientum apopthegmata de Republica.

SI nunc etiã, inquit Solon, de repub. audire libet, optimus mihi eius ciuitatis status uidetur, & democratiam in ea seruari maxime, in qua iniuriarũ autorem ad ius trahunt, accusant, & puniunt etiam illi, qui iniuriam non passi sunt. 1

Ab hoc Bias dixit, optimã esse democratiã, in qua legẽ omnes pinde ac tyrannũ (metuant. 2

Tertius Thales, eam quæ ciues neq; prædiuites, nec admodũ pauperes cõtineat. 3

Post hunc Periander, in qua cum reliqua æqualia existimentur, uirtute quod melius: uitio autem quod deterius est, definiatur. 4

Quintus Cleobulus illũ populũ maxime dixit bene compositũ esse, ubi rempub. administrantes magis infamiam quàm legem metuant. 5

Sextus Pittacus, ubi malis non imperare liceat. 6

Chilo autem optimam esse pronunciauit rempublicam, quæ maxime leges, minime autem rhetores audiat. 7

Leges sapientũ causa positæ sunt, non ut iniurijs abstineãt, sed ne eis afficiantur.

Δημοσθένης ὁ ῥήτωρ, ἔφη, πόλεως ψυχὴν εἶναι τοὺς νόμους. ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει· οὕτω καὶ πόλις μὴ ὄντων νόμων, οὐχ ἵσταται.

Θουκυδίδου. Ὡς οἵτινες τοῖς μὲν ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείσσοσι καλῶς προσφέρονται, πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ' ἂν ὀρθοῖντο.

Εὐσεβίου. Πλοῦτος ἐν πόλει τῇ μελλούσῃ εὐδαιμονεῖν, ἀρετῆς μήποτε προτιμηθείη, ὅπως μὴ διαπτοῖτο, δι' ἣν τὴν ἐκείνου ἐπιθυμίαν πάντων συῤῥεόντων, ὀλιγωρίη, καὶ ἀνασκησία ἀρετῆς ψυχαῖς ταῖς κατὰ πόλιν ἐμφυῇ. ἀρετῆς γὰρ ἀτιμαζομένης, πλοῦτος μόνος σπουδαζόμενος καὶ ἐνδυναστεύσας, ὕβρεώς τε καὶ ὑπερηφανίας ὑπηρέτης, καὶ πάντων κακῶν ὑπ' ἐξουσίας τε καὶ τοῦ ἀνεπιπλήκτου. τῆς ἀπιστώσης ἀρετῆς. οὐδεὶς ἀνακαλέσεται, χορηγὸς γίγνεται.

Ἄρχουσιν ἡ ὀφειλομένη αἰδὼς καὶ τιμὴ φυλασσομένη, κόσμον σώζει πόλεως, καὶ διατηρεῖ.

Πλάτωνος. Μετὰ τοῦτο δὲ, περὶ οὗ τὸ δεύτερον ἠμφισβητήσαμεν σκεψώμεθα. τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστιν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ᾤμην. σκοπώμεθα δὲ τῇδε. τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα, ἆρα τὸ αὐτὸ καλεῖς; ἔγωγε. ἔχεις οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστι, καθόσον καὶ δίκαια; καὶ διασκεψάμενος εἰπέ. ἀλλά μοι δοκεῖ ὦ σώκρατες. σκόπει δὴ καὶ τόδε. ἆρα εἴ τις τι ποιεῖ, ἀνάγκη τι εἶναι, καὶ πάσχειν ὑπὸ τούτου τοῦ ποιοῦντος; ἔμοιγε δοκεῖ. ἆρα τοῦτο πάσχον, ὃ τὸ ποιοῦν ποιεῖ, καὶ τοιοῦτον οἷον ποιεῖ τὸ ποιοῦν † ποιεῖ: λέγω δὲ τοιόνδε, εἴ τις τύπτει ἀνάγκη τι τύπτεσθαι. ἀνάγκη. καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ τυπτόμενον τύπτεσθαι; ναί. τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστὶν, οἷον ἂν τὸ τύπτον ποιεῖ. πάνυ γε. οὐκοῦν καὶ εἰ καίει τις, ἀνάγκη τι καίεσθαι. πῶς γὰρ οὔ; καὶ εἰ σφόδρα γε καὶ ἀλγεινῶς, οὕτω καίεσθαι τὸ καιόμενον, ὡς ἂν τὸ καῖον καίει. πάνυ γε. οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος, τέμνεται γάρ τι. ναί.

[† margin: [illegible] πάσχ.]

Ἐν ταὐτῷ. Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας πονηρίας: πενίαν, νόσον, ἀδικίαν. ναί. τίς οὖν τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία; καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρία; πολύ γε. εἰ δὴ αἰσχίστη καὶ κακίστη. πῶς ὦ σώκρατες λέγεις; ὧδε. ἀεὶ τὸ αἴσχιστον, ἤτοι λύπην μεγίστην παρέχον, ἢ βλάβην, ἢ ἀμφότερον, αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν. μάλιστα. αἴσχιστον δὲ ἀδικία καὶ ξύμπασα ψυχῆς πονηρία, νῦν δὴ ὡμολόγηται ἡμῖν; ὡμολόγηται γάρ. οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι, καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν, ἢ βλάβῃ ἢ ἀμφότερα. ἀνάγκη. ἆρ' οὖν ἀλγεινότερόν ἐστι τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι, καὶ ἀκόλαστον, καὶ δειλὸν καὶ ἀμαθῆ; οὐκ ἔμοιγε δοκεῖ ὦ σώκρατες. ἐκ τούτων γε, ὑπερφυεῖ τινι ἄρα καὶ μεγάλῃ βλάβῃ ὑπερβάλλον, μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων. ναί. ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία, καὶ ἡ ἄλλη ψυχῆς πονηρία, μέγιστον τῶν ὄντων κακῶν ἐστί. φαίνεται. τίς οὖν τέχνη πενίας ἀπαλλάττει; οὐ χρηματιστική; ναί. τίς δὲ νόσου, οὐκ ἰατρική; ἀνάγκη. τίς δὲ πονηρίας καὶ ἀδικίας, εἰ μὴ οὕτως εὐπορεῖς ὧδε σκόπει. ποῖ ἄγομεν, καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα; παρὰ τοὺς ἰατροὺς ὦ σώκρατες φής. ποῖ δὲ τοὺς ἀδικοῦντας, καὶ ἀκολασταίνοντας; παρὰ τοὺς δικαστὰς λέγεις. οὐκοῦν δίκην δώσοντας φημί. ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες; δῆλον δή. χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει: ἰατρικὴ δὲ νόσου· δίκη δὲ ἀκολασίας καὶ ἀδικίας. φαίνεται. τί τούτων κάλλιστόν ἐστιν ὧν λέγεις; τίνων λέγεις; χρηματιστικῆς, ἰατρικῆς, δίκης. πολὺ διαφέρει ὦ σώκρατες ἡ δίκη. οὐκοῦν αὖ, ἤτοι ἡδονὴν πλείστην ποιεῖ, ἢ ὠφέλειαν, ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν. ναί. ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι; οὐκ ἔμοιγε δοκεῖ, ἀλλὰ ὠφέλιμόν γε. ναί.

Τέχνην γὰρ ἱκανὴν πολλῆς ἀσκήσεως ἅμα, καὶ μαθημάτων πολλῶν δεομένην κέκτηται πολίτης ἀνὴρ, τὸν κοινὸν τῆς πόλεως κόσμον σώζων καὶ κτώμενος, οὐκ ἐν παρέργῳ δεόμενον ἐπιτηδεύειν. δύο δὲ ἐπιτηδεύματα, ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι, σχεδὸν οὐδεμία φύσις ἱκανὴ τῶν ἀνθρωπίνων.

Ξενοφῶντος. Ἐννοήσατε γε δὴ τίς ἂν πόλις πολεμίᾳ ὑπὸ μὴ πειθομένων ἁλοίη; ἢ τίς δ' ἂν φιλία ὑπὸ μὴ

πειθο-

Demosthenes orator leges ciuitatis animam esse dixit. Vt enim exanime corpus procumbit: similiter ciuitas, si leges absint, non consistit.

Nam quicunq; nō cōcedunt æqualibus, erga supiores se gerunt ut decet, ac inferioribus modestos se exhibent, præ cæteris successu fruentur maximo. *Thucydidis.*

In ciuitate studiosa fœlicitatis nūquā opes anteponi debēt uirtuti: ne hāc ob causam omnib⁹ diuitiarū desyderio captis, cōtempt⁹ & neglectio uirtutis innascat animis in republica. Nā ubi uirtus spernit, unicū supest diuitiarū studiū, ac præpollet, quæ ut cōtumeliæ & superbiæ subseruiunt: sic * abeunte uirtute, idq; irreuocabili, qtia potentes sunt, & metuunt neminē, omne malorū genus producunt. *Eusebij.* *Locus in Græco nō est integer.*

Ciuitatis decus custoditur & conseruatur, cum magistratui reuerentia & honor debiti, integri manent.

Post hoc iam istud consyderemus, de quo nobis secundo loco dubiū erat. Nempe an iniuriæ autorē maximū malū sit pœnā luere, ut tu existimabas, an maius non luere, ut mihi uidebatur. Cōtemplemur aūt hoc pacto. Nū pœnā dare, & iure puniri hominē iniuriū idem esse ais? Equidē aio. Potesne dicere quod iusta nō omnia honesta sint, quatenus quidē iusta sunt? Age cogita, & responde. Non possum, sed tecū sentio ò Socrates. Consyderes igitur & istud. Nōne si quid agit, aliquid esse oportet q̄d ab agente patiatur? Mihi uidetur. An nō hoc patiens id ipsum eoq; modo patiẽ, q̄d & quo modo agens agit? Verbi gratia, si quis pcutiat, aliqd pcuti necesse est. Necesse. Et si pcutiens uehementer aut celeriter pcutiat, sic etiā corp⁹ q̄d pcutitur pcuti. Næ. Talis igit affect⁹ in pcutiendo corpore est qualē percutiens facit. Omnino sanè. Proinde etiā si quis urit, quippiā uri oportet. Quid ni? Et si ualde, ac dolorificè, ita uri opus est urendum, quemadmodum urens urit. Prorsus. Quare & secante quopiam eadem est ratio: secatur enim aliquid. Planè. *Platonis.*

Horū igitur triū, uidelicet diuitiarū, corporis, & animæ tria uitia esse dixisti: paupertatē, morbum, iniustitiā. Ita est. Sed quodnā ex istis tribus turpissimū est? an nō iniustitia, & summat n omne uitiū animæ? Longe quidem. Quod si turpissimum, pessimū quoq; fuerit Quomodo dicis ò Socrates? Hoc modo. Semp turpissimū, aut quia dolorē maximū, aut incōmodū, aut utrunq; infert, idcirco turpissimū est, ut iā ante confessi sumus. Maxime. Turpissimū aūt est iniustitia, & animæ uitium omne, quod & ipsum iam cōcessimus. Concessimus enī. Quamobrē aut quia molestissimū est, & doloris causa maximi, aut damni aut utriusq;, ideo ex illis turpissimū est. Necesse. Num igit iniustū esse, luxuriosum, timidū & rudem, plus secū doloris adfert, quā pauptas, aut ægritudo? Mihi non uideẽ ò Socrates. Nōne hinc igit apparet q̄d cū immensa & ingenti noxa præcellat, maximū præ cæteris omnib⁹ malū sit? Ita profectò. Ergo iniustitia, luxuria, & alia animæ uitia, maximum malorū sunt. Apparet. Quænā ars igit à pauptate liberat? an nō quæstuaria? Verū. Morbo aūt, nōne medica? Necessum est. De malitia uero & iniustitia, nisi aliter potes, hoc modo consydera. Corpore ægrotātes quorsum, & ad quos adducimus? Ad medicos, inquis ò Socrates: per iniuriā uero & luxuriam delinquentes quorsum? Ad iudices, dicis. Ergo ut pœnā luant, respondeo. An nō igit qui recte puniunt, usi aliqua iustitia sontes puniunt? Manifestū est. Itaq; ars quæstuaria pauptate, medicina morbo, deniq; iustitia nos iniustitia & proteruitate liberat. Constat. Quodnā ex illis iā dictis honestissimū est? Quibus illis? Quæstuaria inquā, medicina, & iustitia. Iustitia plurimū ò Socrates antecellit. Hæc igit rursus aut uoluptatis plurimū, aut utilitatis, uel utrumq; parit, si quidē honestissimū sit. Profecto. An uero per medicinā curari iucundū est, & nū gaudent curandi? Non mihi uidetur, sed utile est. Certe. *In eodem.*

Artem enim magnam, quæq; tum exercitio assiduo, tum multis disciplinis eget, ciuis ille possidet, qui cōmune ciuitatis decus seruat & comparat, quæ res non leue studium requirit. Duo aūt instituta, uel artes simul duas absolute exercere, nullum ferè inter homines ingenium potest. *Eiusdem li. 8. de legibus.*

Cogitate enī & quæ urbs hostilis capta sit ab obedire nolentib⁹, & quæ amica ab *Xenophōtis li. 8. de pædia Cyri prope initium.*

al. διαφθαρθείη. alias περὶ τῆς αὐτῶν σωτηρίας.

πειθομένων † διαφθαρθείη; ποῖον δ' ἂν ἀπειθοῦν στράτευμα, νίκης τύχοι; πῶς δ' ἂν μᾶλλον ἡττῶνται ἐν ταῖς μάχαις ἄνθρωποι, ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος † περὶ σωτηρίας βουλεύεσθαι; τί δ' ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ μὴ πειθομένων τοῖς κρείττοσι; ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν; ποῖοι δ' οἶκοι σωθείησαν; πῶς δ' ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο; ἡμεῖς δὲ ἃ νῦν ἔχομεν ἀγαθά, διὰ τί ἄλλο μᾶλλον κατεπράξαμεν, ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι;

Εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται, εἰς τὸ καταπράττειν τὰ ἀγαθά, εὖ ἴσθι ὅτι τὸ αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν ἃ δεῖ, μέγιστον ἀγαθόν ἐστιν.

Πλάτωνος. alias δή.

Ἡμέτερον † δ' ἂν εἴη ἔργον ὡς ἔοικεν, εἴπερ οἷοί τε ἐσμὲν ἐκλέξασθαι τίνες τε καὶ ποῖαι φύσεις ἐπιτήδειαι εἰς πόλεως φυλακήν. ἡμέτερον μέντοι. μὰ Δί' ἦν δ' ἐγώ, οὐκ ἄρα φαῦλον πρᾶγμα ἠράμεθα, ὅμως δέ, οὐκ ἀποδειλιατέον, εἰς ὅσον ἂν δύναμις παρήκῃ. οὐ γὰρ οὖν ἔφη. οἴει οὖν τι ἦν δ' ἐγὼ διαφέρειν τὴν φύσιν γενναίου σκύλακος εἰς φυλακὴν νεανίσκου εὐγενοῦς; τὸ ποῖον λέγεις; οἷον, ὀξύν τέ που δεῖ αὐτοῖν ἑκάτερον εἶναι πρὸς αἴσθησιν καὶ ἐλαφρόν, πρὸς τὸ αἰσθανόμενον διωκάθειν, καὶ ἰσχυρὸν αὖ ἐὰν δέῃ ἑλόντα διαμάχεσθαι. δεῖ γὰρ οὖν ἔφη πάντων τούτων, καὶ μὴν ἀνδρεῖόν γε, εἴπερ εὖ μαχεῖται. πῶς δ' οὔ; ἀνδρεῖος δ' εἶναι ἆρ' ἂν ἐθέλει ὁ μὴ θυμοειδὴς εἴτε ἵππος, εἴτε κύων, εἴτε ἄλλο ὁτιοῦν ζῷον; ἢ οὐκ ἐννενόηκας, ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός; οὗ παρόντος ψυχὴ πᾶσα πρὸς πάντα ἄφοβός τε, καὶ ἀήττητος. ἐννενόηκα. τὰ μὲν τοίνυν τοῦ σώματος οἷον δεῖ τὸν φύλακα εἶναι δῆλα; ναί. καὶ μὴν καὶ τὰ τῆς ψυχῆς ὅτι γε θυμοειδῆ; καὶ τοῦτο. πῶς οὖν ἦν δ' ἐγὼ ὦ Γλαύκων, οὐκ ἄγριοι ἀλλήλοις τε ἔσονται, καὶ τοῖς ἄλλοις πολίταις ὄντες τοιοῦτοι τὰς φύσεις; μὰ Δί' ἦ δ' ὅς, οὐ ῥᾳδίως. ἀλλὰ μέντοι δεῖ γε, πρὸς μὲν τοὺς οἰκείους πρᾴους αὐτοὺς εἶναι: πρὸς δὲ τοὺς πολεμίους χαλεπούς. εἰ δὲ μή, οὐ † μενοῦσιν ἄλλους σφᾶς διολέσαι, ἀλλ' αὐτοὶ φθήσονται αὐτὸ δράσαντες. ἀληθῆ ἔφη. τί οὖν ἦν δ' ἐγὼ ποιήσομεν; πόθεν πρᾷόν τε ἅμα καὶ μεγαλόθυμον ἦθος εὑρήσομεν; ἐναντία γάρ που θυμοειδεῖ πρᾳεῖα φύσις. φαίνεται. ἀλλὰ μέντοι τούτων γε ὁποτέρου ἂν στέρηται, φύλαξ ἀγαθὸς οὐ μὴ γένηται.

alias περιμένουσιν

al. δημιουργιῶν δεδομένων. alias δὴ αὐτούς.

Εἰ ἄρα τὸν πρῶτον λόγον διασώσομεν, τοὺς φύλακας ἡμῖν τῶν ἄλλων πασῶν * δημιουργιῶν ἀφέμενοι, οὓς * δεῖ εἶναι δημιουργοὺς ἐλευθερίας τῆς πόλεως πάνυ ἀκριβεῖς, καὶ μηδὲν ἄλλο ἐπιτηδεύειν, ὅτι μὴ εἰς τοῦτο φέρει. οὐδὲν δὲ δὴ δέοι ἂν αὐτοὺς ἄλλο πράττειν, οὐδὲ μιμεῖσθαι: ἐὰν δὲ μιμῶνται μιμεῖσθαι τὰ τούτοις προσήκοντα, εὐθὺς ἐκ παίδων, ἀνδρείους, σώφρονας, ὁσίους, ἐλευθέρους, καὶ τὰ τοιαῦτα πάντα. τὰ δὲ ἀνελεύθερα μήτε ποιεῖν, μήτε δεινοὺς εἶναι μιμήσασθαι, μηδὲ ἄλλο μηδὲν τῶν αἰσχρῶν, ἵνα μὴ ἐκ τῆς μιμήσεως τοῦ εἶναι ἀπολαύσωσιν. ἢ οὐκ ᾔσθησαι, ὅτι αἱ μιμήσεις, ἐὰν ἐκ νέων πόρρω διατελέσωσιν, εἰς ἔθη τε καὶ φύσιν καθίστανται, καὶ κατὰ σῶμα, καὶ φωνάς, καὶ κατὰ τὴν διάνοιαν. καὶ μάλα ἦ δ' ὅς.

Τί δαί; οὐ καὶ σὺ ἡγεῖ ἔφην ἐγώ, τῶν μὲν ἀγαθῶν, ἀκουσίως στέρεσθαι τοὺς ἀνθρώπους: τῶν δὲ κακῶν ἑκουσίως; ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δὲ ἀληθεύειν ἀγαθόν; ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν, ἀληθεύειν δοκεῖ σοι εἶναι; ἀλλ' ἦ δ' ὅς, ὀρθῶς λέγεις, καί μοι δοκοῦσιν ἄκοντες, ἀληθοῦς δόξης στερίσκεσθαι. οὐκοῦν κλαπέντες, ἢ γοητευθέντες, ἢ βιασθέντες τοῦτο πάσχουσιν; οὐδὲ νῦν ἔφη μανθάνω. τραγικῶς ἄρα ἦν δ' ἐγὼ κινδυνεύω λέγειν. κλαπέντας γάρ, τοὺς μεταπεισθέντας λέγω, καὶ τοὺς ἐπιλανθανομένους, ὅτι τῶν μέν, χρόνος: τῶν δέ, λόγος ἐξαιρούμενος, λανθάνει. νῦν γάρ που μανθάνεις; ναί. τοὺς τοίνυν βιασθέντας λέγω, οὓς ἂν ὀδύνη τις, ἢ ἀλγηδών μεταδοξάσαι ποιήσῃ. καὶ τοῦτο ἔφη ἔμαθον, καὶ ὀρθῶς λέγεις. τοὺς μὴν γοητευθέντας, οὓς ἐγ' ᾦμαι καὶ σὺ φαίης εἶναι, οἳ ἂν μεταδοξάσωσιν, ἢ ὑφ' ἡδονῆς κηληθέντες, ἢ ὑπὸ φόβου τι δείσαντες. ἔοικε γὰρ ἦ δ' ὅς γοητεύειν πάντα ὅσα ἀπατᾷ. ὃ τοίνυν ἄρτι ἔλεγον, ζητητέον, τίνες ἄριστοι φύλακες τοῦ παρ' αὐτοῖς δόγματος, * (τοῦθ' ὡς ποιητέον. ὃ δ' ἂν τῇ πόλει ἀεὶ δοκῶσι βέλτιστον εἶναι αὐτοῖς ποιεῖν) τηρητέον δὴ εὐθὺς ἐκ παίδων προθεμένοις ἔργα, ἐν οἷς ἄν τις τὸ τοιοῦτον μάλιστα ἐπιλανθάνοιτο, καὶ ἐξαπατῷτο, καὶ τὸν μὲν μνήμονα καὶ δυσεξαπάτητον, ἐγκριτέον. τὸν δὲ μή, ἀποκριτέον. ἦ γάρ; ναί. καὶ πόνους γε αὖ καὶ ἀλγηδόνων ἀγῶνας αὐτοῖς θετέον, ἐν οἷς ταὐτὰ ταῦτα τηρητέον. ὀρθῶς ἔφη.

al. (ὅ τι ἂν τῇ πόλει δοκῶσι βέλτιστον εἶναι.)

ijs qui parere nolint seruata sit, quæ etiam obedientiam non præstantiũ sit acies uictoriam consequuta. Quo aũt pacto magis homines uincantur in pugna quàm ubi cœperint priuatum quisq; de sua salute consultare? Quod deniq; aliud bonũ præstetur ab ijs, qui melioribus non parent? Quæ urbes legitime habitentur, uel quæ domus seruentur, uel quo pacto naues quò opus est perueniant? Nos uero quæ hoc tẽpore habemus bona, ob quam rem aliam magis adepti sumus quàm ob præstitam obedientiam principi?

Si igitur principi obedire maximũ apparet esse bonũ ad bona adipiscenda, ita uobis exploratũ esse debet, q̃d etiã idẽ hoc ad seruandũ quæ oportet maximũ est bonũ. *Statim post.*

Nostrum igitur erit officium, ut uidetur, quoad fieri possit deligere, quæ & quales naturæ sint ad urbem custodiendam idoneæ. Nostrum planè. Per Iouem nõ humile negotiũ sumpsimus: non tamen est formidandum, quatenus uires suppetunt. Non certe. Existimásne differre naturam generosi canis, & generosi adolescẽtis, ad custodiam agendam? Quorsum hæc? Vtrumq; ipsorum sagacem oportet esse ad sentiendum, & uelocem deinde ad insequendũ, ac demũ robustum, cũ assecutus fuerit, ad pugnandũ capiẽdumq;. Opus certe est omnibus istis. Atqui audax & fortis sit oportet, siquidẽ bene pugnaturus sit. Quid ni? An uero fortis erit & audax qui iracundus non sit, siue equus, siue canis, seu quoduis aliud animal? An non animaduertisti inexpugnabilem inuictamq; esse iram? qua præsente anima omnis intrepida ad omnia est & inuicta. Animaduerti. Manifestũ est qualem corpore custodẽ esse oportet. Manifestum. Quinetiam qualem & anima, scilicet iracundũ. Et hoc. Quomodo ergo ò Glauco, asperi nõ erunt aduersus se inuicem ciuesq; alios, cũ tali natura prędici sint? Haud facile istud per Iouẽ. Veruntamen oportet erga suos, mansuetos: aduersus aũt hostes, immites esse: alioquin haud expectabunt donec ipsos alij perdãt, sed ipsi seipsos perdent. Sic accidet. Quid igitur faciemus? Vbinam mansuetũ simul & iracundum ingenium reperiemus? Contraria nanq; iracundæ natura mitis apparet. Verum qui utrolibet horum carebit, custos bonus non erit. *Platonis de rep. lib. 2.*

Si ergo rationem superiorem ratam haberi uolumus, custodes nostros à reliquis omnibus artificijs alienos, patriæ libertatis artifices esse oportere ualde quidem solertes: neq; aliud quicquam curare quod huc non tendat: nihil aliud agere eos, uel imitari oportet, uel si imitentur, imitari quæ istis consentanea sint, statim à pueritia, fortes scilicet, temperatos, sanctos, liberales, & reliqua eiusmodi: illiberalia autem neq; facere, neq; imitari posse, neq; aliud quicquã turpe, ne ex ipsa imitatione tales efficiant, quale id quod æmulantur. An non animaduertisti imitationes si à teneris annis incipiant perseuerentq;, in mores & naturam abire, tum quantum spectat ad corpus, tum ad uocem, tum ad cogitationem ipsam? Et maxime quidem. *Eiusdem de rep. lib. 3.*

Nónne putas bonis homines inuitè priuari, malis autẽ sponte? An non mentiri, uerumq; nescire malum est, uere aũt iudicare bonum? Nónne opinari ea quæ sunt, uere putare tibi uidetur? Probe loqueris, mihiq; uident homines inuiti uera opinione priuari. An non uel surreptione, uel deceptione, uel ui hoc patiuntur? Neq; istud intelligo. Tragice porrò loqui uideor. Surripi enim opiniones ijs dico, qui sententiam mutant, uel sensim tempore obliteratam, uel clàm aduersa ratione subtractã. Nũc intelligis? Intelligo equidẽ. Vim aũt illis inferri, quos dolor, cruciatus, aliter sentire cogunt. Istud intelligo equidẽ, ac recte dicis. Subduci autẽ quasi præstigijs eos, ut arbitror, tu quoq; diceres, q̃ priorẽ deponunt opinionẽ, uel uoluptate pmulcti, uel metu pterrefacti. Vident sane quæcunq; decipiunt, præstigijs nos seducere. Quod igitur nuper dicebam, quærendũ est quinã constanter seruent eam, quę apud ipsos est sententiã, id uidelicet semp agendũ esse, quod reipub. conducere arbitrantur. Obseruandi sunt igitur statim à pueritia, eaq; illis opa proponenda, ex quibus aliquis maxime præceptum illud obliuisci, fallíq; possit. Atq; is qui seruat illud memoriter, neq; subducitur, eligendus: qui contra abijciendus, an nõ? Certe. Ergo & labores & dolores illis & certamina opponenda, in hisq; hæc eadẽ obseruanda. *Ibidem.*

οὐκοῦν ἦν δ' ἐγὼ καὶ τρίτου εἴδους, τοῦ τῆς γοητείας ἅμιλλαν ποιητέον; καὶ θεατέον ὥσπερ τοὺς πώλους ἐπὶ τοὺς ψόφους τε καὶ θορύβους ἄγοντες σκοποῦσιν, εἰ φοβεροί· οὕτω νέους ὄντας, εἰς δείματα κομιστέον, καὶ εἰς ἡδονὰς αὖ μεταβλητέον, βασανίζοντας πολὺ μᾶλλον ἢ χρυσὸν ἐν πυρί, εἰ δυσγοήτευτος καὶ εὐσχήμων ἐν ἅπασι φαίνεται, φύλαξ αὐτοῦ ὢν ἀγαθός *.

Multa hic desunt quae apud Platonē ad hanc sententiam absoluendam sequuntur.

Πρῶτον μὲν οὐσίαν κεκτημένον οὐδὲ μίαν μηδένα ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη. ἔπειτα οἴκησιν, καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσεισι. τὰ δ' ἐπιτήδεια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου, σώφρονές τε, καὶ ἀνδρεῖοι. ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν δέχεσθαι μισθὸν τῆς φυλακικῆς τοσοῦτον, ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτόν, μήτε ἐνδεῖν. φοιτῶντας δ' εἰς ξυσσίτια ὥσπερ * ἐξεστρατοπεδευμένους, κοινῇ ζῆν. χρυσίον δὲ καὶ ἀργύριον εἰπεῖν αὐτοῖς, ὅτι θεῖον παρὰ θεῶν ἀεὶ ἐν τῇ ψυχῇ ἔχουσι, καὶ οὐδὲν προσδέονται τοῦ ἀνθρωπείου. οὐδὲ ὅσια τὴν ἐκείνου κτῆσιν τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει ξυμμιγνύντας μιαίνειν. διότι πολλά, καὶ ἀνόσια περὶ τὸ τῶν πολλῶν νόμισμα γέγονε, τὸ παρ' ἐκείνοις δέ, ἀκήρατον, ἀλλὰ μόνοις αὐτοῖς τῶν ἐν τῇ πόλει μεταχειρίζεσθαι, καὶ ἅπτεσθαι χρυσοῦ, καὶ ἀργύρου, οὐ θέμις, οὐδὲ ὑπὸ τὸν αὐτὸν ὄροφον ἰέναι, οὐδὲ περιάψασθαι, οὐδὲ πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ, καὶ οὕτω μὲν σώζοιντό τε ἄν, καὶ σώζοιεν τὴν πόλιν. ὁπότε δὲ αὐτοὶ γῆν τε ἰδίαν, καὶ οἰκίας, καὶ νομίσματα κτήσονται, οἰκονόμοι μὲν καὶ γεωργοὶ ἀντὶ φυλάκων ἔσονται· δεσπόται δὲ καὶ ἐχθροί, ἀντὶ ξυμμάχων τῶν ἄλλων πολιτῶν γενήσονται· μισοῦντες δὲ καὶ μισούμενοι, καὶ ἐπιβουλεύοντες, καὶ ἐπιβουλευόμενοι, διάξουσι πάντα τὸν βίον, πολὺ πλείω καὶ μᾶλλον δεδιότες τοὺς ἔνδον, ἢ τοὺς ἔξωθεν πολεμίους, θέοντες ἤδη τότε ἐγγύτατα ὀλέθρου, αὐτοί τε καὶ ἡ ἄλλη πόλις.

aliàs deest ἐξ syllaba.

Νευροῤῥάφοι γὰρ φαῦλοι γενόμενοι καὶ διαφθαρέντες, καὶ προσποιησάμενοι εἶναι μὴ ὄντες, πόλει οὐδὲν δεινόν· φύλακες δὲ νόμων τε καὶ πόλεως μὴ ὄντες ἀλλὰ δοκοῦντες, ὁρᾷς γε ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύουσι.

Τοὺς ἄλλους αὖ δημιουργοὺς σκόπει εἰ τάδε διαφθείρει, ὥστε καὶ κακοὺς γίγνεσθαι. τὰ ποῖα δὴ ταῦτα; πλοῦτος ἦν δ' ἐγώ, καὶ πενία. πῶς δή; ὧδε. πλουτήσας χυτρεύς, δοκεῖ σοι ἔτι θελήσειν ἐπιμελεῖσθαι τῆς τέχνης; οὐδαμῶς ἔφη· ἀργὸς γὰρ καὶ ἀμελὴς γενήσεται μᾶλλον αὐτὸς αὑτοῦ. πολύ γε. οὐκοῦν κακίων χυτρεὺς γίνεται; καὶ τοῦτο ἔφη πολύ. καὶ μὴν καὶ ὄργανά γε μὴ ἔχων παρέχεσθαι ὑπὸ πενίας ἤ τι ἄλλο τῶν εἰς τὴν τέχνην, τά τε ἔργα πονηρότερα ἐργάσεται, καὶ τοὺς υἱεῖς, ἢ ἄλλους, οὓς ἂν διδάσκει, χείρους δημιουργοὺς διδάξεται; πῶς δ' οὔ; ὑπ' ἀμφοτέρων δὴ πενίας τε καὶ πλούτου, χείρω μὲν τὰ τῶν τεχνῶν ἔργα, χείρους δὲ αὐτοί. φαίνονται. ἕτερα δὴ ὡς ἔοικε τοῖς φύλαξιν εὑρήκαμεν, ἃ παντὶ τρόπῳ φυλακτέον, ὅπως μήποτε αὐτοὺς λήσει εἰς τὴν πόλιν παραδύντα. τὰ ποῖα ταῦτα; πλοῦτος ἦν δ' ἐγώ, καὶ πενία, ὡς τοῦ μὲν τρυφὴν τε καὶ ἀργίαν καὶ νεωτερισμὸν ἐμποιοῦντος· τοῦ δέ, ἀνελευθερίαν καὶ κακοεργίαν, πρὸς τῷ νεωτερισμῷ. πάνυ μὲν οὖν, ἔφη.

Οὗτοι ἦν δ' ἐγώ, ὦ ἀγαθὲ Ἀδείμαντε, ὡς δόξειεν ἄν τις ταῦτα πολλὰ καὶ μεγάλα αὐτοῖς προστάττομεν, ἀλλὰ πάντα φαῦλα ἐὰν τὸ λεγόμενον ἓν μέγα φυλάττωσι, μᾶλλον δὲ ἀντὶ μεγάλου ἱκανόν. τί τοῦτο ἔφη; τὴν παιδείαν ἦν δ' ἐγώ, καὶ τροφήν. ἐὰν γὰρ εὖ παιδευόμενοι μέτριοι ἄνδρες γίγνωνται, πάντα ταῦτα ῥᾳδίως διόψονται, καὶ ἄλλα γε ὅσα νῦν ἡμεῖς παραλείπομεν, τήν τε τῶν γυναικῶν κτῆσιν καὶ γάμων, καὶ παιδοποιίας. ὅτι δεῖ ταῦτα κατὰ τὴν παροιμίαν πάντα ὅτι μάλιστα, κοινὰ τὰ τῶν φίλων ποιεῖσθαι. ὀρθότατα γὰρ ἔφη γίγνοιτ' ἄν. καὶ μὴν εἶπον πολιτεία ἐάν περ ἅπαξ ὁρμήσῃ, † ἐξέρχεται ὥσπερ κύκλος αὐξανομένη. τροφὴ γὰρ καὶ παίδευσις χρηστὴ σωζομένη, φύσεις ἀγαθὰς ἐμποιεῖ. καὶ αὖ φύσεις χρησταί, τοιαύτης παιδείας ἀντιλαμβανόμεναι, ἔτι βελτίους τῶν προτέρων φύονται, εἴς τε τἄλλα, καὶ εἰς τὸ γεννᾶν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις. εἰκός γ' ἔφη. ὡς τοίνυν διὰ βραχέων εἰπεῖν, τούτου ἀνθεκτέον τοῖς ἐπιμεληταῖς τῆς πόλεως, ὅπως ἂν αὐτοὺς μὴ λάθῃ διαφθαρέν, ἀλλὰ παρὰ πάντα αὐτὸ φυλάττωσι, τὸ μὴ νεωτερίζειν περὶ γυμναστικήν τε καὶ μουσικὴν † παράταξιν, ἀλλ' ὡς οἷόν τε μάλιστα φυλάττειν, φοβουμένους ὅταν τις λέγῃ, ὡς τὴν

aliàs ἔρχεται.

al. παρὰ τὴν τάξιν

Scitẽ. Nónne secundum speciem illam tertiam, hoc est, quasi quandam præstigiorũ hallucinationẽ pugnandũ est? & quẽadmodum qui inspicere cupiũt nunquid pulli pauidi sint, nec ne, ad strepitum illos, & tumultum ducunt: sic iuniores in terribilia quædam impellendi, atq; item oblectamenta, in hisq; multo magis quàm igni aurũ examinandi? ut ita comperiamus, si extet aliquis inter eos qui non facile irretiatur, sitq; compositus in omnibus, sui ipsius custos optimus, & eius quam didicit musicę conseruator, concinnumq; & consonum se in his omnibus præbeat.

Primo quidẽ nemo propriũ quicquã possideat, nisi quatenus summa cogat necessitas. Deinde neq; domũ neq; penu habeat, quò nõ omnib' pateat aditus. Quę uero ad uictũ pertinẽt, tanta sint apud eos, quantis indigent militares athletæ temperati ac fortes: accipiantq; ex instituto ab alijs ciuibus mercedis tantũ custodiæ gratia, ut exacto anno, neq; desit quicquã, neq; supersit. Conferentes aũt se ad comessationes, perinde atq; in castris, cõmuni uescantur cõuiuio. Dicendumq; est illis, aurũ & argentũ diuinũ à dijs in animo eos habere, neq; humano auro indigere, neq; fas esse illius possessionẽ admixtione mortalis auri inquinare. Nempe ex uulgi pecunijs multa impia prouenerunt: q̃d uero inest illis aurũ, prorsus immaculatũ. Profecto solis ipsis ex omnibus qui sunt in ciuitate, tangere aurũ aut argentũ, aut sub tecto suo recipere, aut circumferre, uel ex ea materie bibere, nefas. Hoc ergo pacto & sibi & ciuitati salutẽ parerent. Si quando uero domũ sibi aut agrũ aut pecuniam priuatim possederint, administratores familiæ, & agricolæ pro custodibus erunt, & uice eorum q ciuibus auxilio sint, domini eorũ infensi efficientur: & ipsi odio habiti, odioq; alios habentes, & insidias parantes, pariterq; patientes, uitã uniuersam degent. Vbi multo magis ciues quàm externos hostes timebunt, accedentq; iam tunc proxime ad perniciem tum ipsi quàm reliqua ciuitas. Ibidem.

Sutores eñ si praui & perditi sint, quanquã dissimulent, nihil inde periculi ciuitati imminet. Custodes uero legum & ciuitatis, si non reuera sint, sed uideantur tantum, uides quod urbem totam funditus perdunt.

Contemplare nunquid ista cæteros quoq; artifices ita corrumpant ut praui sint. Quænam ista? Diuitiæ uidelicet & paupertas. Qua ratione? Ita, figulus diues factus uidetúrne tibi ulterius curã suæ artis habere? Minime. Pigrior certe negligentiorq; reddetur. Valde. Quare & deterior figulus. Et istud. Rursus autem si propter inopiã instrumentis & reliquis quibus indiget ars, careat, & opera ipsa deteriora faciet, & filios ac cæteros quoscunq; docebit, deteriores artifices reddet. Quid ni? Ex utrisq; igitur tam opulentia quàm paupertate, & praua artificũ opera, & praui artifices ipsi fiũt. Sic apparet. Alia ergo quædam inuenimus nostris custodibus obseruanda, ne ipsis inscijs in ciuitatem irrepant. Quænã ista? opulentiã inquã & inopiã. Illa siquidem delitias, desidiam, seditiones, rerum nouarum studium parit: hæc autem cum rerum innouatione illiberalitatem, & maleficia gignit. Sic est prorsus.

Haudquaquam, ò bone uir Adimante, hæc multa & magna, ut existimaret aliquis, illis præcipimus, sed leuia omnia exiguaq;, si unum, ut dici solet, magnum seruent, imò uero pro magno, sufficiens. Quid istud? Educationẽ inquam, & eruditionem. Nam si bene educati, uiri moderati euaserint, facile omnia ista discernent, tum alia quotcunq; nos in pręsentia prætermittimus, tum mulierum uirorumq; coniunctiones, & procreationes filiorũ, q̃d uidelicet oporteat amicorũ omnia hæc, secundũ prouerbiũ, quã maxime esse cõmunia. Rectissime profecto ita fieret. Etenĩ resp. si semel cœperit bene, progredit tanquã circulus semper proficiens. Quippe educatio eruditioq; bona seruata, ingenia quoq; bona efficit. Rursusq; bona ingenia educationem huiusmodi consequuta, meliora etiã quàm prius euadunt tum ad alia, tum ad filios generandos, quemadmodum in cęteris animalibus. Consentaneũ id quidem. Deniq; ut summatim dicam, hoc diligenter est à ciuitatis tutoribus obseruandum, ne clàm illis ignorantibus corrumpatur. Imò istud in primis curent, ne quid præter ordinem à nobis datum circa gymnasticam & musicam innouetur, sed illum quàm maxime fieri potest, quisq; sequatur. Et cũ dixerit aliquis poeticũ illud, Eiusdem in dialogo 4. de rep. uel de iusto.

τὴν ἀοιδὴν μᾶλλον ἐπιφρονέουσ' ἄνθρωποι,
ἥτις ἀειδόντεσσι νεωτάτη ἀμφιπέληται.

μὴ πολλάκις τὸν ποιητὴν τις οἴηται λέγειν, οὐκ ᾄσματα νέα, ἀλλὰ τρόπον ᾠδῆς νέον, καὶ τοῦτ' ἐπαινῇ. δεῖ δὲ, οὔτ' ἐπαινεῖν τὸ τοιοῦτον, οὔτε ὑπολαμβάνειν, εἶδος γὰρ καινὸν μουσικῆς μεταβάλλειν, εὐλαβητέον, ὡς ἐν ὅλῳ κινδυνεύοντα. οὐδαμοῦ γὰρ κινοῦνται μουσικῆς τρόποι ἄνευ πολιτικῶν νόμων τῶν μεγίστων, ὥς φησί τε Δάμων, κἀγὼ πείθομαι. καὶ ἐμὲ τοίνυν ἔφη ὁ Ἀδείμαντος, θὲς τῶν πεπεισμένων. τὸ δὴ φυλακτήριον ἦν δ' ἐγὼ, ὡς ἔοικεν, ἐνταῦθά που οἰκοδομητέον τοῖς φύλαξιν ἐν μουσικῇ. ἡ γοῦν παρανομία, ἔφη, ῥᾳδίως αὕτη λανθάνει † προσδυομένη. ναὶ ἔφην ὡς ἐν παιδείας γε μέρει, καὶ ὡς κακὸν οὐδὲν ἐργαζομένη. οὐδὲ γὰρ ἐργάζεται ἔφη ἄλλο γε, ἢ κατὰ σμικρὸν εἰσοικισαμένη, ἠρέμα ὑπορρεῖ πρὸς τὰ ἤθη τε, καὶ τὰ ἐπιτηδεύματα. ἐκ δὲ τούτων, εἰς τὰ πρὸς ἀλλήλους ξυμβόλαια μείζων ἐκβαίνει. ἐκ δὲ δὴ τῶν ξυμβολαίων, ἔρχεται ἐπὶ τοὺς νόμους καὶ πολιτείας σὺν πολλῇ ὦ Σώκρατες ἀσελγείᾳ, ἕως ἂν τελευτῶσα ἅπαντα ἰδίᾳ καὶ δημοσίᾳ ἀνατρέψῃ. εἶεν ἦν δ' ἐγὼ, οὕτω τοῦτ' ἔχει. δοκεῖ μοι ἔφη. οὐκοῦν ὃ ἐξ ἀρχῆς ἐλέγομεν τοῖς ἡμετέροις παισὶν ἐννομωτέρου εὐθὺς παιδείας μεθεκτέον, ὡς παρανόμου γιγνομένης αὐτῆς, καὶ παίδων τοιούτων ἐννόμους τε καὶ σπουδαίους ἐξ αὐτῶν ἄνδρας αὐξάνεσθαι ἀδύνατον ὄν. πῶς δ' οὐχί; ἔφη.

al. παραδυομένη.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΝΟΜΩΝ, ΚΑΙ ΕΘΩΝ, ΛΟΓΟΣ ΜΒ'.

Εὐριπίδου.

Ἄρχεσθαι χρεὼν κακοὺς ὑπ' ἐσθλῶν, καὶ κλύειν τῶν κρεισσόνων.
Μὴ νεῖκος ὦ γεραιὰ τυράννοις τίθου.
σέβειν δὲ τοὺς κρατοῦντας, ἀρχαῖος νόμος.

Μενάνδρου.

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν,
ἀλλ' ἀντιτάττεσθ'· εἰ δὲ μὴ, τ' ἄνω κάτω
ἡμῶν ὁ βίος λήσει μεταστραφεὶς ὅλος.

Εὐριπίδου.

Καὶ τοὺς πονηροὺς μήποτ' αὔξειν ἐν πόλει.
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα,
σκιρτῶσιν † ἀδόκητ' εὐτυχησάντων δόμων.
Οὐκ ἔστιν οὐδὲν κρεῖσσον, ἢ νόμοι πόλει,
καλῶς τεθέντες. ὅ, τι γὰρ ἀσθενὴς βροτὸς
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει.
νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων.

aliâs ἀδόκητ' ὑπο-γέμοντες δόμοι.

Σοφοκλέους.

Τοιγὰρ τὸ λοιπὸν, εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον τιμῇ.
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα,
τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον. ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.

Μενάνδρου.

Καλὸν οἱ νόμοι σφόδρ' εἰσίν· ὁ δ' ὁρῶν τοὺς νόμους
λίαν ἀκριβῶς, συκοφάντης φαίνεται.

Homines uidelicet nouis cantibus admodum delectari,
Metuere debent ipsi custodes, ne sæpenumero poëtam quis putet nõ cantilenas nouas, sed modos canendi nouos dicere, eosq; laudet. Oportet autem neq; laudare quicquam tale, sed suscipere. Cauendum sanè speciem musicæ nouam inducere, tanquam in toto naufragium. Nusquam enim musicæ modi mutantur absq; maximarum legum ciuilium mutatione, ut ait Damon, cui & ipse assentior. Me quoq; scito, ô Socrates, assentiri. Arcem igitur quandã custodiæ gratia hi ipsi custodes circa musicam struere debent. Nempe eiusmodi præuaricatio clàm ac facile surrepit. Certè ioci cuiusdam instar, atq; ita ut nihil lædere uideatur. Atqui paulatim nobis familiaris effecta, sensim in mores serpit & studia: ex his deinde ad commercia emergit amplior: demum à commercijs in leges, respublicasq; erumpit magna, ô Socrates, cum petulantia ac lasciuia, quousq; tandẽ priuatim ac publice cuncta peruertat. An hoc ita se habet? Ita mihi uidet. Ergo, ut à principio diximus, statim à primis annis pueri honestis in iocis assuefaciendi sunt. Nam si iocis minus decẽtibus assuescant, nunquam legitimi probiq; uiri euadere poterunt. Quid ni?

STOBAEI DE LEGIBVS ET CONSVETVDINIBVS, SERMO XLII.

GVbernari oportet Malos à bonis, & parere se melioribus. *Euripidis.*
O senex ne cum regibus contenderis.
Venerandos enim esse principes, antiqua lex est.
Non omnino concedendum est malis, *Menandri.*
Sed resistendum: sin minus, sursum atq; deorsum
Vita nostra inopinatò tota peruertetur.
Et improbos in ciuitate nunquam promoueris. *Euripidis.*
Mali enim uel pecunijs ditati,
Vel aliquo reipublicæ magistratu aucti,
Exultant, repente fortunatis ipsorum domibus factis.
Nihil est ciuitati præstantius, quàm leges
Rectè positæ. Nam & inferioris homo sortis,
Et qui ditior est, æquale ius experiuntur.
Vincit autem minor maiorem, si iustam causam habeat.
Proinde in posterum quidem sciemus dijs *Sophoclis in Aiace.*
Cedere, & Atridas colere discemus
Principes, quare concedendum est ipsorum dignitati.
Nam & terribilia, & fortissima quæq;
Locum dant honoratioribus. Idcirco niuales
Hyemes loco cedunt fœcundæ æstati:
Et ambitus atræ noctis concedit
Albis equis inuectæ diei, ut luce sua splendeat.
Ac uehementium spiritus uentorum quiescere permittit
Gemitus agentem pontum. Item uincens omnia somnus
Sua quandoq; uincula soluit, nec semper occupat.
Leges perquam egregia res sunt: sed is qui legibus utitur *Menandri.*
Nimium exactè, sycophanta esse uidetur.

Πλάτωνος. Χθὲς που τῶν ὑπ' ἐμοῦ ῥηθέντων λόγων περὶ πολιτείας ἦν τὸ κεφάλαιον, οἵα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη καταφαίνεται ἄν μοι γενέσθαι. καὶ μάλα γε ἡμῖν ὦ Σώκρατες ῥηθεῖσα κατὰ νοῦν ἅπασιν. ἆρ' οὖν οὐ τὸ τῶν γεωργῶν, ὅσαι τε ἄλλαι τέχναι, πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα, ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμησόντων; ναί. καὶ κατὰ φύσιν δὴ δόντες, τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον, ἓν μόνον ἐπιτήδευμα ἑκάστῃ τέχνῃ, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν, εἴπομεν, ὡς ἄρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴτε τις ἔξωθεν, ἢ καὶ τῶν ἔνδοθεν ἴοι κακουργήσων, δικάζοντας μὲν πράως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν ἅτε φύσει φίλοις οὖσι· χαλεποὺς δ' ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους. παντάπασι μὲν οὖν. φύσιν γάρ οἶμαί τινα τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν, ἅμα μὲν θυμοειδῆ, ἅμα δὲ φιλόσοφον δεῖν εἶναι διαφερόντως, ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς πρᾶοι καὶ χαλεποὶ γίγνεσθαι. ναί. τί δαὶ τροφήν; ἆρ' οὐ γυμναστικῇ καὶ μουσικῇ, μαθήμασί τε ὅσοις προσήκει τούτοις ἐν ἅπασι τετράφθαι; πάνυ μὲν οὖν. τοὺς δέ γε οὕτω τραφέντας, ἐλέχθη που, μήτε χρυσὸν μήτε ἄργυρον, μήτε μηδὲν ἄλλο ποτὲ κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σωζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμένους μετ' ἀλλήλων ζῆν, ἐπιμέλειαν ἔχοντας ἀρετῆς διὰ παντὸς, τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν. ἐλέχθη καὶ ταῦτα ταύτῃ. καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον, καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ, κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις. ταῦτα καὶ ταύτῃ ἐλέγετο. τί δὲ δὴ τὸ περὶ τῆς παιδοποιΐας; ἢ τοῦτο μὲν διὰ τὴν ἀήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων ἐτίθεμεν, μηχανωμένους ὅπως μηδείς ποτε τὸ γεγενημένον αὐτῷ ἰδίᾳ γνώσοιτο. νομιοῦσι δὲ, πάντες πάντας αὑτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφοὺς, ὅσοι περ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται· τοὺς δ' ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους· τοὺς δ' εἰς τὸ κάτωθεν, ἐκγόνους τε καὶ παῖδας ἐκγόνων. ναί. καὶ ταῦτα εὐμνημόνευτα, ἣ λέγεις. ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοιντο ὡς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα, ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων σύνερξιν λάθρα μηχανᾶσθαι κλήροις τισὶν; ὅπως οἱ κακοὶ χωρὶς, οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι συλλέξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς συλλέξεως. μεμνήμεθα. καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρεπτέον ἔφαμεν εἶναι· τὰ δὲ τῶν κακῶν, εἰς τὴν ἄλλην λάθρα διαδοτέον πόλιν· ἐπαυξομένων δὲ σκοποῦντας ἀεὶ τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν. οὕτως. ἆρ' οὖν διεληλύθαμεν ἤδη, καθάπερ χθὲς, ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν, ἢ ποθοῦμέν τι τῶν ῥηθέντων; οὐδαμῶς.

Οὐκοῦν καὶ ἐν τοῖς συγγράμμασι τοῖς περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ ὅλως περὶ πόλεως διακοσμήσεως, καὶ περὶ τοῦ ὡς χρὴ πόλιν διοικεῖν, τὸ μὲν ὀρθὸν, νόμος ἐστὶ βασιλικός· τὸ δὲ μὴ ὀρθὸν, οὐ δοκεῖ νόμος εἶναι βασιλικὸς τοῖς μὴ εἰδόσιν. ἔστι γὰρ ἄνομον. ναί. ὀρθῶς ἄρα ὡμολογήσαμεν νόμον εἶναι τοῦ ὄντος εὕρεσιν. φαίνεται. ἔτι δὲ καὶ τόδε ἐν αὐτῷ θεασώμεθα, τίς ἐπιστήμων διανεῖμαι * ἐπὶ γῆν τὰ σπέρματα; γεωργός. οὗτος δὲ, τὰ ἄξια σπέρματα ἑκάστῃ γῇ διανέμει; ναί. ὁ γεωργὸς ἄρα νομεὺς ἀγαθὸς τούτων, καὶ οἱ τούτου νόμοι, καὶ διανομαὶ ἐπὶ τὰ αὐτὰ ὀρθαί εἰσιν; ναί. *

al. [illegible]

Hic apud Platonē adhuc 6. uersus interiacent.

Τίς δὲ τῆς τῶν προβάτων ἀγέλην κράτιστος νέμειν, τί ὄνομα αὐτῷ; ποιμήν. οἱ τοῦ ποιμένος ἄρα νόμοι ἄριστοι τοῖς προβάτοις; ναί. οἱ δὲ τοῦ βουκόλου τοῖς βουσί; ναί. οἱ δὲ τοῦ τινὸς νόμοι ἄριστοι ταῖς ψυχαῖς τῶν ἀνθρώπων, οὐχ οἱ τοῦ βασιλέως; φάθι. φημὶ δή.

Στωϊκῶν. Τόν τε νόμον σπουδαῖον εἶναί φασι λόγον, ὀρθὸν ὄντα, προστακτικὸν μὲν τῶν ποιητέων· ἀπαγορευτικὸν δὲ, τῶν οὐ ποιητέων. τοῦ δὲ νόμου ἀστείου ὄντος, καὶ ὁ νόμιμος ἀστεῖος ἂν εἴη, νόμιμον μὲν γὰρ εἶναι ἄνδρα καὶ ἀκολουθητικὸν τῷ νόμῳ, καὶ πρακτικὸν τῶν ὑπ' αὐτοῦ προσταττομένων. νομικὸν δὲ τὸν ἐξηγητικὸν τοῦ νόμου. μηδένα δὲ τῶν φαύλων μήτε νόμιμον εἶναι, μήτε νομικόν.

Οὐδ' ὥσπερ δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλὰ τοῦ βίου.

Κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν, ἢ ἄρχειν.

Δίκα

Summa disputationis hesternæ erat, respub. qualis mihi, & ex qualibus uiris optima posse fieri uideret. Nobis certe omnibus ualde probata sunt, ô Socrates, quę dixisti. Principio agricolas cæterosq́ artifices à militibus separauimus. Certe. Cũ uero cuiq; quod pro naturæ instinctu præcipuè suum, & singula tantum singulis artibus officia tribueremus, illis quoq; quos præ cæteris bella gerere oporteret, id unum duntaxat, protegendæ scilicet ciuitatis munus iniunximus, & aduersus externos hostes, & aduersus ciues reipub. euersores, ita ut erga subiectos tanquã natura amicos mites sint, contra hostes uero prælio ferocissimi. Ita prorsus. Duplicem sanè naturam in custodum animis esse debere diximus, & iracundam, & philosophico ingenio præcipue accommodatam, ut rectè in suos mansueti sint, in alienos autẽ feroces. Proculdubio. Quid autem de educatione dicemus? Nónne gymnicis exercitationibus, & musica, cæterisq́ decentibus disciplinis, eos à nobis institutos fuisse? Valde quidem. Ita educatos homines neq; aurum, neque argentum, neque aliud quicquã proprium, aut habere, aut putare statuimus, sed tanquã adiutores publicosq́ ministros sola mercede contentos esse, tanta ab his quos tuẽtur exhibita, quanta moderate uiuentibus sufficere uideatur. Stipendio præterea publico in commune uti uoluimus, & ad cõmunem inter se uictũ impendere, ut cæteris posthabitis omnibus, solius uirtutis & custodiæ curã habeant. Hæc quoq; ita abs te dicta fuerũt. Naturam præterea mulierũ non aliter quã uirorũ effingi præcepimus, studiaq́ omnia tam belli quã pacis mulieribus cũ uiris esse cõmunia. Id quoq; dictũ. An tenetis memoria quæ de procreandis liberis diximus? Fortè uero ob rei ipsius nouitatẽ firmiter tenuistis. Communes quippe nuptias liberosq́ statuimus, ut nemo natos suos discernat, sed omnes ab omnibus consanguinei existimentur, dum æquales ferè natu fratres sororesq́ uicissim se iudicant, maioribus uero patrum uel auorum reuerentiam exhibent, erga minores autẽ tanquã filios & nepotes afficiuntur. Hæc quoq; memoratu facilia sunt. Vt autẽ quã optimi ab ipso initio pro uiribus gignerentur, magistratus utriusq; sexus nuptijs præposuimus, qui clam sortibus quibusdam operã darent, ut praui prauis, boni contra bonis mulieribus miscerentur, neq; ulla ob hoc discordia oriretur, cũ in congressu minus prospero quisquã fortunã potius sit, quã consiliũ principũ culpaturus. Recordamur. Præterea sanximus bonorũ fœtus in patria alendos esse, aliorũ uero alios alio clam mittendos. Adultos demum utrosq; diligenter considerandos, ut si qui inter relegatos bonæ indolis sint, in patriam reuocentur: si qui uero inter domesticos contra uideantur affecti, similiter relegentur. Ita statutum est. Num satis iam hesternam disputationem, quantum compendio licet, narrauimus? an aliquid etiã à me prætermissum, ô amice Timęe, recenseri desideras? Nihil sanè. *Platonis de natura.*

Quãobrẽ in constitutionib' de iustis atq; iniustis, deq; ciuitatis ordine, & gubernãdi ratione tractantib' ꝙdcunq; rectũ est, regia lex existit: nõ rectũ uero nequaquã lex regia, quia sciẽtia deest, esse uidet, qppe cũ illegitimũ sit. Sic est. Probè igit confessi sumus legẽ esse ueritatis inuentionẽ. Apparet. Præterea & hoc ad idẽ consideremus: quis spargendorũ in terram seminũ peritus est? Agricola. Hic utiq; conuenientia semina unicuiq; solo distribuit. Sanè. Agricola igit in ijs legislator bonus est, eiusq́ leges & ad ista distributiones rectæ. Verum. *Eiusdem in Minoë.*

Et uero qui pecudum gregem pascere nouit, quod nomen est? Pastor. Pastoris itaq; leges ouibus optimæ. Optimæ. Et bubulci bobus. Etiam. At cuius potissimum leges animis hominum optimæ sunt? an nõ regis? Regis. *Paulo post.*

Et legem dicunt orationẽ esse grauẽ & rectã, quæ facienda imperet, non facienda prohibeat. Cum aũt lex ciuilis sit, legitimus etiã ciuilis erit. Legitimũ eñ uirũ esse, q legem & sequatur, & quæ præcipiuntur ab ea, faciat. Legisperitũ uero, eũ qui legem interpretari calleat. Nullum autem malorũ uel legitimũ, uel legisperitum esse. *Stoicorum.*

Legislator existimabat oratorem pulpitum aditurum, nõ orationis prius curam habuisse debere, quàm uitæ suæ.

Imprudentibus regi satius est, quàm regere.

Δημοκρίτου.

Δίκη μέν ἐστιν, ἔρδειν τὰ χρὴ ἐόντα. ἀδικίη δὲ, μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι.

Κατὰ δὲ ζώων φόνου καὶ μὴ φόνου, ὧδε ἔχει. τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν, ἀθῷος ὁ κτείνων. καὶ πρὸς, εὖ ἐστ᾽ ὦν τοῦτο ἔρδειν μᾶλλον, ἢ μή.

Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντὸς, καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης, καὶ δίκης καὶ θάρσους, καὶ κτήσεως ἐν παντὶ κόσμῳ μείζω μοῖραν μεθέξει.

Ὅκως πέρ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι ποιεῖν, κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπέργει, νόμος δὲ ἀπέργει, ἱρὰ ἑκάστοισιν ἐπιχώρια, καὶ σπονδαὶ, καὶ ὅρκοι.

Κίξαλλιν καὶ λῃστὴν πάντα κτείνων τις, ἀθῷος ἂν εἴη, καὶ αὐτοχειρίῃ, καὶ κελεύων, καὶ ψήφῳ.

Ζαλεύκου προοίμιον νόμων.

Τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τὴν χώραν, πάντας πρῶτον πεπεῖσθαι χρὴ, καὶ νομίζειν θεοὺς εἶναι, καὶ ἀναβλέποντας εἰς οὐρανὸν, καὶ τὸν κόσμον, καὶ τὴν ἐν αὐτοῖς διακόσμησιν καὶ τάξιν. οὐ γὰρ τύχης, οὐδ᾽ ἀνθρώπων εἶναι δημιουργήματα. σέβεσθαι δὲ τούτους καὶ τιμᾶν, ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν, τῶν κατὰ λόγον γινομένων. ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὑτοῦ ψυχὴν, πάντων τῶν κακῶν καθαράν. ὡς οὐ τιμᾶται θεὸς ὑπ᾽ ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις, οὐδὲ τραγῳδίαις τῶν ἀναλισκομένων, καθάπερ μοχθηρὸς ἄνθρωπος: ἀλλ᾽ ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων. διὸ ἕκαστον δεῖ εἰς δύναμιν ἀγαθὸν εἶναι, καὶ πράξει καὶ προαιρέσει, τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ: καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας μᾶλλον τοῦ καλοῦ καὶ δικαίου. ὅσοις δὲ μὴ ῥᾴδιον πρὸς ταῦτα τὴν ὁρμὴν πεπεῖσθαι, τὴν δὲ ψυχὴν ἔχουσιν εὐκίνητον πρὸς ἀδικίαν, ὧδ᾽ ἡμῖν παρηγγέλθαι πᾶσι τοῖς τοιούτοις πολίταις, καὶ πολίτισι καὶ ξυνοίκοις, μεμνῆσθαι θεῶν ὡς ὄντων, καὶ δίκας ἐπιπεμπόντων τοῖς ἀδίκοις: καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν. πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν, μεμνημένοις ὧν ἠδικήκασι, καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς. διὸ δεῖ ἕκαστον παρ᾽ ἑκάστην πρᾶξιν, ἀεὶ συνοικειοῦν τὸν καιρὸν τοῦτον, ὡς δὴ παρόντα. οὕτω γὰρ ἂν μάλιστα τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντίζειν. ἐὰν δέ τῳ παρεστῇ δαίμων κακὸς τρέπων πρὸς ἀδικίαν, διατρίβειν πρὸς ναοῖς καὶ βωμοῖς, καὶ τεμένεσι, φεύγοντα τὴν ἀδικίαν, ὡς δέσποιναν ἀσεβεστάτην καὶ χαλεπωτάτην, ἱκετεύοντα τοὺς θεοὺς συναποτρέπειν αὐτήν. ἰέναι δὲ καὶ πρὸς ἄνδρας δόξαν ἔχοντας ἐπ᾽ ἀνδραγαθίᾳ ἀκουσομένους περὶ εὐδαίμονος βίου, καὶ κακῶν ἀνδρῶν τιμωρίας, ἵνα ἀποτρέπηται τῶν ἀδίκων ἔργων.

Ἐν ταυτῷ.
* Locus est mutilus.

* Δεισιδαιμονῶν δαίμονας, ἀλάστορας. πάντας δὲ τιμᾶν τοὺς οἱ κατοικοῦντες τὴν πόλιν, καὶ τοῖς ἄλλοις νομίμοις τοῖς πατρίοις τοὺς θεούς: πάτρια δὲ εἶναι τὰ κάλλιστα. πεπεῖσθαι δὲ τοῖς νόμοις ἅπαντας: καὶ τοὺς ἄρχοντας αἰδεῖσθαι, καὶ ἐξίστασθαι καὶ ποιεῖν τὸ παραγγελλόμενον. ὡς μετὰ θεοὺς, καὶ δαίμονας, καὶ ἥρωας, γονεῖς τε καὶ νόμοι καὶ ἄρχοντες σύνεγγύς εἰσι ταῖς τιμαῖς παρ᾽ ἀνθρώποις νοῦν ἔχουσι, καὶ σωζομένοις. πόλιν δὲ φιλαιτέραν μηδεὶς ἄλλην ποιείσθω τῆς αὑτοῦ πατρίδος, ὡς θεῶν πατρῴων νεμεσώντων. ἀρχὴ γὰρ προδοσίας φύεται τοῖς τοιαῦτα βουλομένοις. ἔτι δὲ χαλεπώτερον, τῆς οἰκείας γῆς στερόμενον, ζῆν ἐπ᾽ ἀλλοτρίας. οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. μηδὲ ἐχθρὸν ἀκατάλλακτον μηδεὶς μηδένα νομιζέτω τῶν πολιτῶν, οἷς ἐφήκασιν οἱ νόμοι μετέχειν τῆς πολιτείας: ὡς ὁ τοιοῦτος, οὔτε ἄρξαι δύναιτ᾽ ἂν, οὔτε δικάσαι καλῶς, τὸν θυμὸν ἔχων κυριώτερον τοῦ λογισμοῦ. μηδεὶς δὲ λεγέτω κακῶς μήτε κοινῇ τὴν πόλιν, μήτε ἰδίᾳ τὸν πολίτην: ἀλλ᾽ οἱ τῶν νόμων φύλακες ἐπιμελείσθωσαν τῶν πλημμελούντων, πρῶτον μὲν νουθετοῦντες, ἐὰν δὲ μὴ πείθωνται, ζημιοῦντες. τῶν δὲ κειμένων νόμων ἐάν τις δοκῇ μὴ καλῶς κεῖσθαι, μετατίθεμεν ἐπὶ τὸ βέλτιον. μενόντων δὲ πάντας πειθαρχεῖν: * ὑπ᾽ ἀνθρώπων μὲν ἡττᾶσθαι τοὺς κειμένους νόμους, οὐ καλὸν οὐδὲ συμφέρον: ὑπὸ δὲ νόμου * βέλτιον ὡς ἡττώμενον κατακρατεῖσθαι καὶ καλὸν καὶ συμφέρον. τοὺς δὲ ταῦτα παραβαίνοντας χρὴ κολάζειν, ὡς κατασκευάζοντας τῇ πόλει, μεγίστων κακῶν ἀρχὴν, ἀναρχίαν. ἄρχοντας δὲ, μὴ εἶναι αὐθάδεις, μηδὲ πρὸς ἐπήρειαν κρίνειν, μηδὲ μεμνῆσθαι κρίνοντας φιλίας, ἢ ἔχθρας, ἀλλὰ τοῦ δικαίου. οὕτω γὰρ

addo ἐν.
lego βελτίονος ἡττώμενον.

ἐκδίκω

Iustitia est ea facere, q̃ fieri oportet: iniustitia aũt, faciẽda nõ facere, sed declinare. *Democriti.*

Porrò de animaliũ cæde, sic se res habet. Ea q̃ iniuriã faciũt, aut facere uolunt, quisquis occiderit, innocẽs erit. Imò, q̃d mai⁹ est, necãda poti⁹ huiusmodi sunt, quã nõ.

Interficienda sunt omnia omni studio quæ præter fas iniuriã inferunt: & qui ipsa occiderit, is cupiditatis suæ, causæ uel iuris, confidentiæ, & possessionis in toto orbe meliores partes ac priuilegium habere debet.

Vt de feris & serpentib⁹ nobis inimicis scriptũ est, sic etiã aduersus homines facere licitũ mihi uidet: nẽpe ut hostis ubiuis gẽtiũ secundũ patrias leges occidat, si nulla lex obstet. Aliquãdo em̃ lex prohibet, & sua qbusq; sacra, fœdera, & iuramenta.

Furem & latronẽ quemuis occidens aliquis, aut manu sua, aut iussu, suffragióue, innocens habendus est.

Omnes q urbẽ ac regionẽ inhabitant, psuasos esse oportet, existimareq́ deos esse, q̃d manifestũ fit ex cœli & toti⁹ mundi inspectione, rerumq́ in ipsis dispositione pulcherrima, & ordine. Haud em̃ fortuita aut humana huiusmodi opa putare cõuenit. Deinde colendi honorandiq́ dij sunt, ut bonorũ omniũ nobis autores, q̃ aliqua ratione fiunt. Singulos igit habere & cõparare animã quenq; suã oportet, ut ab omnibus malis pura sit. Nã ab improbo homine nõ honorat Deus, neq; sumptib⁹ colit, neq; tragœdijs capit, instar hominis mali, sed uirtute, ac instituto bonorũ operũ, & iustorũ. Quocirca op⁹ est unumquenq; pro uirili bonũ esse, tũ factis, tũ uoluntate, q modo futur⁹ sit Deo charus: Et nõ metuere pecuniarũ iacturã, magis quã honestatis & iustitiæ. Cæterũ illos, quorũ uoluntas nõ facile ad hæc psuaderi potest, & animus ad iniustitiã pronus est, uiros & fœminas, ciues aliosq́ cohabitatores, admonitos uelim meminisse deorũ, ut q & sint, & pœnas ab iniustis sumant: atq; ob oculos ponere tempus istud, quod unicuiq; finis est uitæ futurum. Morituros enim omnes iniuriarum, quas commiserunt, memores pœnitentia inuadit, & uehemens cupiditas qua uellent exactam sibi uitam omnem fuisse iustam. Quamobrem singulos oportet semper in singulis actionibus illud tempus adeò suis cogitationibus familiare facere, ac si præsens esset. Ita em̃ maxime honesti iustiq́ cura uigebit. Si quis uero à malo genio quopiã assistente sibi ad iniustitiam instigetur, is ad templa, aras, & delubra uersetur fugiens iniustitiam, ceu dominã impijssimam molestissimamq́, & deos oret ut opem ad propellendam ipsam sibi ferant. Accedat quoq; uiros probitatis nomine claros, ut de uitæ fœlicitate & malorum hominum uindicta disserentes audiens, ab iniustis facinoribus animũ auertat. *Zaleuci procœmium legum.*

Mali genij à superstitiosis metuunt. Cęterũ q urbem habitant, deos omnes uenerari debent ritib⁹ patrijs, qui omniũ optimi censendi sunt. Præterea cunctos oportet obedire legibus, principes reuereri, eisq́ exurgere, & q̃d præcipitur facere. Siquidem post deos, dæmones, & heroẽs, proximis honoribus afficiunt parentes, leges, ac principes apud homines qui mentẽ habent, ac incolumes agere student. Ciuitatẽ uero chariorẽ sibi facere nemo debet quã patriã suã, utpote dijs patrijs indignantibus. Tale em̃ studiũ proditionis initiũ est. Adhuc aũt deterius est patria regione deserta, uitã in aliena degere. Nihil em̃ natura nobis, quã patria, coniunctius est. Sed neq; quisquã pro hoste irreconciliabili, reputato aliquẽ de numero ciuiũ, quẽ leges noluerunt reipub. muneris participẽ esse. Talis em̃ uir neq; impare neq; iudicare poterit recte, ut qui irascibilẽ animæ partẽ ratione superiorẽ habeat. Nemo etiã maledictis petat, neq; ciuitatem cõmuniter, neq; ciuem ullũ priuatim: sed legũ custodes eos qui delinquunt obseruent, admonendo primũ, deinde nisi pareant, mulctando. Cęterũ ex conditis legibus si quæ uidebit nõ bene lata esse, in meliorẽ formã mutetur. Confirmatis uero & ꝑmanentib⁹ omnes obediunto. Nã positas leges ab hominib⁹ uinci nec decet, neq; cõducit: cõtra homines supari à lege pꝛstãtiori, honestũ simul & utile est. Ista aũt transgrediẽtes puniẽdi, ut q inobediẽtiã maximorũ malorũ principiũ in ciuitate excitent. Porrò principes nõ sint cõtumaces, neq; ad contumeliã iudiciũ ferant, neq; iudicando amicitiæ inimicitiæue meminerint, sed iustitiæ. Sic em̃ *Ibidem.*

ἐκφέρουσι τὰς κρίσεις δικαιοτάτας, καὶ τῆς ἀρχῆς ἔσονται ἄξιοι. τοὺς μὲν οὖν δούλους πέφυκε διὰ φόβον πράττειν τι τῶν δικαίων, τοὺς δ᾽ ἐλευθέρους δι᾽ αἰδῶ καὶ τὸ καλόν. διὸ χρὴ καὶ τοὺς ἄρχοντας εἶναι τοιούτους, ἵν᾽ ἔχωσιν οἱ ἀρχόμενοι τοὺς ἀξίους αἰσχύνης. ἐὰν δέ τις βούληται τῶν κειμένων νόμων κινεῖν, ἢ ἄλλον εἰς φέρειν νόμον, εἰς βρόχον εἴρας τὸν τράχηλον, λεγέτω τοῖς πολίταις περὶ αὐτοῦ, καὶ ἐὰν μὲν διαψηφιζομένων δόξῃ λελύσθαι τὸν νόμον, ἢ ὑπάρχειν τὸν εἰσφερόμενον, καὶ αὐτὸν ἀθῷον εἶναι: ἐὰν δὲ ὁ προϋπάρχων μᾶλλον δοκῇ καλῶς ἔχειν, ἢ ὁ εἰσφερόμενος ᾖ ἄδικος, τεθνάναι τὸν κινοῦντα ἢ εἰς φέροντα νόμον, ὑποσπασθέντος τοῦ βρόχου.

Ex τῶν θεοφράστου. Οἱ μὲν οὖν ὑπὸ κήρυκος κελεύουσι πωλεῖν, καὶ προκηρύττειν ἐκ πλειόνων ἡμερῶν. οἱ δὲ παρ᾽ ἀρχῇ τινι, καθάπερ καὶ Πιττακὸς παρὰ βασιλεῦσι καὶ πρυτάνει. ἔνιοι δὲ προγράφειν παρὰ τῇ ἀρχῇ πρὸ ἡμερῶν μὴ ἔλαττον ἢ ἑξήκοντα, καθάπερ Ἀθήνησι, καὶ τὸν πριάμενον ἑκατοστὴν τιθέναι τῆς τιμῆς: ὅπως διαμφισβητῆσαί τε ἐξῇ, καὶ διαμαρτύρασθαι τῷ βουλομένῳ, καὶ ὁ δικαίως ἐωνημένος, φανερὸς ᾖ τῷ τέλει. παρὰ δέ τισι προκηρύττειν κελεύουσι, πρὸ τοῦ κατακυρωθῆναι πρὸ ἡμέρας συνεχῶς, εἴ τις ἐνίσταται, ἢ ἀντιποιεῖται τοῦ κτήματος, ἢ τῆς οἰκίας. ὡσαύτως δὲ καὶ

forte πωλουμένων. ἐπὶ τῶν ὑποθέσεων, ὥσπερ καὶ ἐν τοῖς * κυβικηνῶν.

Οἱ δὲ θουριακοί, τὰ μὲν τοιαῦτα πάντα ἀφαιροῦσιν, οὐδ᾽ ἐν ἀγορᾷ προστάττουσιν, ὥσπερ τἆλλα, διδόναι δὲ κελεύουσι κοινῇ τῶν γειτόνων τῶν ἐγγυτάτω τρισὶ νόμισμά τι βραχὺ μνήμης ἕνεκα, καὶ μαρτυρίας. ἀναγκαῖον δ᾽ ἠλέγχθη, τοῖς μέν, τὰς ἀρχὰς ὑπευθύνους ποιεῖν, τοῖς δὲ τοὺς γείτονας, ἐὰν μὴ λάβωσι, ἢ δὶς παρὰ τοῦ αὐτοῦ λάβωσιν, ἢ ἔχοντες μὴ λέγωσι τὸν ὠνημένον. οὐ χρὴ δ᾽ ἀγνοεῖν, ὅτι αἱ προγραφαὶ καὶ αἱ προκηρύξεις, καὶ ὅλως ὅσα πρὸς τὰς ἀμφισβητήσεις ἐστὶ πάντη τὰ πλεῖστα δι᾽ ἔλλειψιν ἑτέρου νόμου τίθεται. παρ᾽ οἷς γὰρ ἀναγραφὴ τῶν κτημάτων ἐστὶ καὶ τῶν συμβολαίων, ἐξ ἐκείνων ἔστι μαθεῖν, εἰ ἐλεύθερα καὶ ἀνέπαφα. καὶ τὰ αὐτοῦ πωλεῖ δικαίως. εὐθὺς γὰρ καὶ μετεγγράφει ἡ ἀρχὴ τὸν ἐωνημένον. ἐπεὶ δὲ καὶ προστασίας τινὲς ὠνοῦνται, καὶ πωλοῦσιν, ἀπαλλοτριοῦν ἐθέλοντες, ὀρθῶς ἔχει καὶ πρὸς ταῦτα νομοθετεῖν, ὅπερ καὶ ποιοῦσιν, ἅμα ταῦτά τε βουλόμενοι κωλύειν, καὶ τῇ ἐμφανῆ ποιεῖν, ὥσπερ ἐν τοῖς ἐνίων κελεύουσι γάρ, ἐὰν μέν τις οἰκίαν πρίηται, θύειν ἐπὶ τοῦ Ἀπόλλωνος τοῦ ἀποτροπαίου. ἐὰν δὲ χωρίον, ἐπὶ τῆς κώμης ἧς αὐτὸς οἰκεῖ, καὶ ὀμνύειν ἐναντίον τῆς ἀρχῆς ἐγγραφούσης καὶ κωμητῶν τριῶν, ἦ μὴν ὠνεῖσθαι δικαίως, ὡς μηδὲν συγκακουργοῦντα, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμίᾳ. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸν πωλοῦντα πωλεῖν ἀδόλως. τὸν δὲ μὴ οἰκοῦντα ἐν ἄστει θύειν τὸν ὅρκον ἐπὶ τοῦ Διὸς τοῦ ἀγοραίου, τὴν δὲ θυσίαν τῶν ἐλαττόνων εἶναι θυλήμασιν, ἄνευ δὲ τούτων, μὴ ἐγγράφειν τὴν ἀρχήν. ἅμα καὶ ἐν τῷ ὅρκῳ προσορμίζειν αὐτήν, ἐὰν μὴ ὀμνύωσι, μηδὲ ἐγγράψειν τὴν ὠνήν. οὗτοι μὲν δὴ πρὸς ἀμφότερα, μᾶλλον δὲ πρὸς πάντα βούλονται πεφυλάχθαι. καθάπερ ἴσως καὶ δεῖ κυρία δὲ ἡ ὠνὴ καὶ ἡ πρᾶσις, εἰς μὲν κτῆσιν, ὅταν ἡ τιμὴ δοθῇ, καὶ τὰ ἐκ τῶν νόμων ποιήσωσιν, οἷον ἀναγραφήν, ἢ * οἶ-

forte ὅρκον. κον, ἢ τοῖς γείτοσι τὸ γιγνόμενον: εἰς δὲ τὴν παράδοσιν καὶ εἰς αὐτὸ τὸ πωλεῖν, ὅταν ἀρραβῶνα λάβῃ: σχεδὸν γὰρ οὕτως οἱ πολλοὶ νομοθετοῦσιν. ἀλλὰ τοῦτο προσδιοριστέον, ἐὰν μὴ παρὰ μεθύοντος, μηδ᾽ ἐξ ὀργῆς, μηδὲ φιλονεικίας, μηδὲ παρανομοῦντος: ἀλλὰ φρονοῦντος, καὶ τὸ ὅλον δικαίως, ὅπερ κἀκεῖ προσθετέον, ὅταν ἀφορίζῃ παρ᾽ ὧν δεῖ ὠνεῖσθαι. τάττουσι δέ τινες καὶ τὸν ἀρραβῶνα πόσον δεῖ διδόναι, πρὸς τὸ πλῆθος τῆς τιμῆς μερίζοντες. ἄτοπον γοῦν ἐὰν δακτύλιον διδῷ τῶν δέκα ταλάντων. * (ἔοικε γοῦν ἐκ καιροῦ τὰ τοιαῦτα, καὶ πάθους γίγνεσθαι. δεῖ δ᾽ ἐκ προαιρέσεως. οὕτω γὰρ ἔσται τὸ δίκαιον) ἐὰν δὲ λαβὼν ἀρραβῶνα μὴ δέχηται τὴν τιμήν, ἢ δοὺς μὴ καταβάλλῃ ἐν τῷ ὡρισμένῳ χρόνῳ. δεῖ γὰρ ὡρίσθαι καθάπερ ἐν τοῖς θουρίων, τὸν μὲν ἀρραβῶνα, παραχρῆμα: τὴν δὲ τιμήν, αὐθημερόν: οἱ δὲ καὶ πλείους ἡμέρας τιθέντες τῆς τιμῆς: οἱ δ᾽ ἁπλῶς, ὅσας ἂν ὁμολογήσωσι. τὸ δ᾽ ἐπιτίμιον ἑκατέρῳ, πότερον τῷ μέν, στερήσεις τοῦ ἀρραβῶνος: οὕτω γὰρ σχεδὸν οἵ τ᾽ ἄλλοι κελεύουσι καὶ οἱ θουριακοί: τῷ δὲ μὴ δεχομένῳ, ἔκτισις * ὅσον ἂν ἐκδῶται. καὶ γὰρ τοῦτο ἐν τοῖς θουρίων, ἡ ἄνισος ζημία. πολλαπλασία γὰρ ἡ τιμὴ τοῦ ἀρραβῶνος. * ἔτι δὲ καὶ βλάπτει τ᾽ ἂν ὁ ἐκδόμενος ἀφεὶς ἑκατέρους, ἐπειδὴ τις ἐφ᾽ ἡμέραν μίαν ὁρίσειεν. οὕτω γὰρ μάλιστ᾽ ἐνδέχεται παρ᾽ ἐνίοις, δεδικάσθαι κελεύουσι τῷ μὴ

Parēthesi inclusa malim legere paulo superius post hæc uerba παρ᾽ ὧν δεῖ ὠνεῖσθαι.

Loci sunt obscuri.

δεχομένῳ

iudicia quã iustissima proferent, & officio suo digni erunt. Siquidẽ seruos q̃dẽ cõuenit ob timorẽ aliq̃d iustè facere, liberos uero propter reuerentiã & honestatẽ. Quocirca præfectos quoq; tales esse oportet, ut subditis digni uideantur apud quos erubescant. Quod si quis uoluerit leges sancitas mouere, aut nouã statuere, is collo in laqueum immisso de lege uerba faciat, & si per suffragia uideatur legem ueterem esse tollendam, aut eam quæ noua infertur, bonam esse, indemnis maneat: contrà, si prior lex melius habere uideatur, aut quę noua proponitur iniusta sit, is qui mouet infertue legem, laqueo attracto moriatur.

Sunt q̃ p̃ præconẽ res uendi iubeant, & plures antea dies prænunciari. Aliĵ apud magistratũ aliquẽ, ut Pittacus apud reges, & principẽ. Aliĵ pri⁹ uenditionẽ futuram describi apud magistratũ curant, ante dies nõ pauciores quã sexaginta, ut Athenis, & q̃ emit centesimã preciĵ partẽ deponere solet, ut ei q̃ uoluerit causam agere & protestari liceat, & is qui iuste rẽ emit, ex impensis manifestò cognoscat. Quibusdã in locis antequã cõfirmet contract⁹ quinq; dies cõtinuos p̃ præconẽ diuulgari iubent, si quis fortè obsistat, aut possessionẽ domũue sibi uendicet. Similiter in * pignoribus accidit, ut apud Cyzicenos q̊q;. Thuriaci uero ista omnia negligũt, neq; in foro, sicut alia, fieri p̃cipiunt, sed trib⁹ proximis uicinis paruũ aliq̊d numisma unà dari iubent, memoriæ testimoniĵq; causa. Itaq; necessariũ sit his uicinos, illis magistratũ incusare, si rẽ nõ acceperint, aut bis ab eodẽ acceperint, aut habẽtes nõ esse de reb⁹ emptis dicant. Non est aũt ignorandũ, q̊d pri⁹ ascribendi pręnunciandiq; cõsuetudo, & omnino q̃cunq; aliq̊ modo ad agẽdã causam spectãt, plurima ob alteri⁹ legis defectũ cõstituant. Nã qui bonorũ aut contractuũ descriptionẽ apud se habent, illi indicare possunt, an bona sint libera, & ita soluta, ut à nullo cõtingi ea fas sit. Sic etiam quisq; res suas iuste uendit. Statim eñ magistrat⁹ emptorẽ inscribit. Sed quoniã aliqui etiã emunt & uendunt [illegible] dictas, alienare à se uolẽtes, bene habet ad ista q̊q; leges cõdi, q̊d & faciũt legislatores, simul ut hæc prohibeant, & uerã manifestent, ut sit alicubi. Iubent eñ, si quis domũ emerit, sacra facere in Apollinis Epicomæi fano: si uero prædiũ, in uico quẽ inhabitat, & iurare corã magistratu (qui etiã triũ in pago habitantiũ nomina inscribit) q̊d reuera iuste emat, nec fraudulenter agat, nec arte dolóue utat ullo. Eodẽ modo uendentẽ q̊q; iurare iubent, q̊d sine dolo malo uendat. Ei uero, qui nõ habitat in urbe, pro iureiurãdo sacrificandũ est in Iouis Agoræi, id est, forensis delubro, & paucioribus libis sacrificiũ pagit, secus à magistratu nõ inscribit. Itẽ q̊d confirmationẽ iuramẽti attinet, nisi cõtrahentes iurauerint, nõ debet inscribi emptio à magistratu. Hi quidẽ in utranq; partẽ, aut omnes poti⁹ prospectũ esse uolunt, ut par est nimirũ. Cæterũ emptio & uenditio rata erit, ad possidendũ quidẽ, cũ pretiũ fuerit datũ, & quæ legib⁹ fieri iubent pacta, qualia sunt, scriptũ, iuramẽtũ, aut numisma uicinis datũ: ad traditionẽ aũt ipsamq; uenditionẽ, cũ uenditor arrã acceperit: sic eñ apud plurimos institutũ est. Verũ hoc addendũ uidet: si nõ ab ebrio, iracũdo, cõtentioso, neq; legũ p̃uaricatore: sed prudente, utq; summatim dicã, iure. Quod ab altera q̊q; parte addẽdũ est, simulq; determinãdũ, à quib⁹ emere oportet. Huiusmodi eñ tẽporis culpa aut ob affectũ aliquẽ cõtingere manifestũ est. Contractũ aũt certa uoluntate fieri decet: sic eñ iuste fiet. Sunt qui de arra cõstituant, quãta esse debeat, iuxta p̃tiĵ magnitudinis proportionẽ: Absurdũ eñ fuerit si quis annulũ duntaxat pro decẽ talẽtis arrã offerat. Quoniã uero usu uenit, ut quispiã accepta arra pretiũ nõ recipiat, aut qui dat nõ in p̃finito tẽpore id numeret, de istis q̊q; cauendũ est. (Determinari eñ oportet, uti apud Thurios, ut arra quidem cõfestim, pretiũ uero eodẽ die exhibeat: aliĵ plures numerandi pretiĵ dies p̃scribunt: aliĵ simpliciter, totidẽ, de quot inter cõtrahentes fuerit conuentũ.) Pœnã igit statuimus emptori arræ priuationẽ: sic eñ ferè cũ aliĵ tũ Thuriaci fieri uolunt: Nõ recipiẽti aũt pretiũ, soluat. * Nã & iste mos est Thuriĵs, ut inæquali pœna mulctent. Pretiũ eñ arram multoties excedit. *

Ita enim maxime apud quosdam fieri potest, qui iubent ut pretium non recipiens

Ex Thephrasti scriptis.

Græcè est [illegible]

Loci sunt obscuri.

διχομένου τὴν τιμήν. πότερον δὲ ἕως ἂν νομίσηται κύριον εἶναι τὸ κτήματος; ὅτε γὰρ οἱ πολλοὶ νομοθετοῦσιν. ἢ ὥσπερ χαρώνδας καὶ πλάτων; οὗτοι γὰρ παραχρῆμα κελεύουσι διδόναι, καὶ λαμβάνειν.

* Locus est mutilus. * ἐὰν δέ τις πιστεύσῃ μὴ εἶναι δίκην· αὐτὸν γὰρ αἴτιον εἶναι τῆς ἀδικίας.

Πλάτωνος. Δέξασθαι οὖν Συρακούσιοι πάντων πρῶτον νόμους, οἵτινες ἂν ὑμῖν φαίνωνται μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν μετ' ἐπιθυμίας· ἀλλ' ὄντων τριῶν ψυχῆς, καὶ σώματος, ἔτι δὲ χρημάτων, τὴν τῆς ψυχῆς ἀρετὴν ἐντιμοτάτην ποιοῦντες· δευτέραν δὲ τὴν τοῦ σώματος, ὑπὸ τὴν τῆς ψυχῆς κειμένην· τρίτην δὲ καὶ ὑστάτην τὴν τῶν χρημάτων τιμήν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμός, νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος, * οὕτως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους. ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος, αὐτός τε ἄθλιος γυναικῶν καὶ παίδων ὢν λόγος, ἀνθρώπους τοὺς πειθομένους τε ἀπεργάζεται τοιούτους.

lego ὄντως.

Ξενοφῶντος. Φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος. ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι, τοῦ ἐπαινεῖσθαι ἕνεκα. φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται. ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι, τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι, * οὐκ ἔνθεν ὅθεν περ ἐν ταῖς πλείσταις πόλεσιν ἄρχονται. αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τις ἐθέλει τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους, ὅπως ἐθέλουσι διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν, μηδ' ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως. ἐὰν δέ τις τούτων παραβαίνῃ τι, ζημίας αὐτοῖς ἐπανέθεσαν. οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες, ἐπιμελοῦνται ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι. ἐπιμέλονται δὲ δὴ ὧδε. ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια, καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. ἐντεῦθεν τὰ μὲν ὤνια καὶ οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη, τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. διῄρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα, εἰς τέσσαρα μέρη. τούτων δ' ἔστιν, ἓν μὲν παισίν, ἓν δὲ ἐφήβοις, ἄλλο δὲ τελείοις ἀνδράσιν, ἄλλο δέ, τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων παρεισιν. οἱ μὲν παῖδες, ἅμα τῇ ἡμέρᾳ, καὶ οἱ τέλειοι ἄνδρες. οἱ δὲ γεραίτεροι, ἡνίκα ἂν ἑκάστῳ προχωρῇ· πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἃς αὐτοὺς δεῖ παρεῖναι. οἱ δὲ ἔφηβοι, καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων. οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἂν μὴ προρρηθῇ παρεῖναι, οὔτε πολλάκις ἀπεῖναι καλόν. ἄρχοντες δέ, ἐφ' † ἑκάστοις τούτων τῶν μερῶν εἰσι δώδεκα. δώδεκα γὰρ καὶ φυλαὶ Περσῶν διῄρηνται. καὶ ἐπὶ μὲν τοῖς παισίν, ἐκ τῶν γεραιτέρων ᾑρημένοι εἰσίν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι. ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέξειν. ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς. εἰσὶ καὶ τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ * οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν. ἃ δὲ ἑκάστῃ τῇ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται, * ᾗ ἐπιμέλονται ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. οἱ μὲν δὴ παῖδες οἱ εἰς τὰ διδασκαλεῖα φοιτῶντες * μανθάνουσι διάγειν δικαιοσύνην, καὶ λέγουσιν ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. οἱ δὲ ἄρχοντες αὐτῶν, διατελοῦσι τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς. γίνεται γὰρ δὴ πρὸς ἀλλήλους καὶ παισὶν ὥσπερ ἀνδράσιν ἐγκλήματα, καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, καὶ ἄλλων οἵων εἰκός. οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. κολάζουσι δέ, καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι * μισοῦσι μὲν ἀλλήλους μάλιστα. δικάζονται δέ, οὐχ ἥκιστα ἀχαριστίας. καὶ ὃν ἂν γνῶσι, δυνάμενον μὲν χάριν ἀποδοῦναι, μὴ ἀποδιδόντα δέ, κολάζουσι τοῦτον ἰσχυρῶς. οἴονται γὰρ τοὺς ἀχαρίστους, καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ περὶ πατρίδα, καὶ περὶ φίλους. ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ, ἡ ἀναι-

al. ἢ ὁμοίως ταῖς, &c.

al. ἰκάνα.

al. αὐτοί.

aliàs ᾗ.

al. διάγουσι μανθάνοντες.

al. μισοῦσιν ἀλλήλους.

iure agat. Sed utrum uenditor dominus esse rei debet, donec emptor eam acceperit, quemadmodum plurimi sanciunt? Aut, ut Charondæ & Platoni uidetur, statim tradenda res & accipienda est?

Accipite ô Syracusani primum eas leges, quæ uobis uidebuntur non ad quæstū & diuitias conuersuræ animos uestros cum nimia cupiditate: sed quæ inter hæc tria animam dico, corpus, & pecuniam, animæ uirtutem preciosissimam efficiant: secūdā uero corporis, animæ uirtute inferiorem: tertium uero & postremū pecuniæ studiū, quod corpori simul & animæ inseruiat. Hæc quidem efficiens constitutio, lex nobis erit optime condita, utentes se reuera fœlices reddens: Sermo autem qui diuites nominat fœlices, & ipse miser est à mulieribus ac pueris profectus, & credentes ei homines miseros secum facit. *Platonis.*

Fuisse autem Cyrus natura fertur, & hoc etiam tempore à Barbaris decantatur, tum corporis forma pulcherrimus, tum animo humanissimus, tum disciplinæ atque honoris maxime studiosus. Quapropter laborem omnem exantlabat, & omne periculum laudis gratia perferebat. Huiusmodi Cyrus bonitate formæ animiq; præditus, in Persarum legibus educatus traditur. Prima his legibus cura est à bono publico. Haud enim incipiunt itidem, ut aliæ plurimæ ciuitates, quæ parentibus permittentes pro uoluntate filios educare, & ipsis parentibus pro arbitrio uitam agere: deinde demum præcipiunt, ne furentur, ne rapiant, ne in alienas ædeis ingrediantur ui, ne iniuste percutiant quenquam, ne adulterium patrent, ne principi aduersentur, reliquaq; huiusmodi. Quod si quid horum transgressus quis fuerit, pœna mulctatur. At Persarum leges anticipantes maxime curant, ne initio tales sint ciues, ut cuiusquā uel improbitatis uel turpitudinis desyderio capiant: hac enim utuntur diligentia. Est illis forum quod uocatur liberum, ubi & regiæ, & alia sunt prætoria, distributum in partes quatuor, quarum una est puerorum, altera puberum, tertia uirorum, qui perfectam ætatem iam agunt: quarta uero eorū qui sunt emeriti. Legeq; horum singuli adsunt locis suis: pueri, cum primum illuxerit: & eodem modo perfectæ ætatis uiri: seniores uero, cum per ocium cuiq; licuerit, exceptis constitutis diebus, quibus adsint necesse est. At adolescentes cubant circa prætoria cum gymnicis armis, exceptis uxoratis, qui ne requirūtur quidem, nisi antea iussi adesse fuerint. At neq; honestum ducitur sæpius abesse: Et præsunt cuiq; harū partium XII. principes. Nam in XII. tribus Persæ distributi sunt. Hi uero pueris præsunt, qui selecti ex senioribus eos reddituri uideantur perquam optimos: Adolescentibus quoq; hi, qui ex absolutæ ætatis uiris perquam optimos eos existimentur effecturi. Viris autem ipsis hi sunt præfecti, quorum illi institutione censeantur, quæ constituta sunt & à magistratu maximo imperata, maxime præstituri: Electi etiā sunt præsides seniorum. Præsunt enim quo hi quoq; suo fungantur officio. Quę aūt cuiq; ætati imperant facienda, enarrabimus, quo dilucidius fiat, diligentiámne adhibeant, ut ciues sint quàm optimi. Pueri igit euntes ad ludos, iustitiæ discendæ dant operam, aiuntq; ita illos huic rei studere, quemadmodum apud nos qui eunt ad literas perdiscendas. Eorū aūt magistri magnam diei partē consumunt in eorum disceptationibus iudicandis. Habent enim pueri quoq; inter sese quemadmodum uiri causas, & de furto, & de rapina, & de ui, & de fraude, & de maledicentia, & de alijs criminibus, ut & par est. Quos autē norint horum aliquid deliquisse, eos plectunt. In illum item animaduertunt, quem minus iure accusantem inuenerint. Et de illo crimine iudicium faciunt, quod est in causa ut se homines odio mutuo insectentur quàm maxime. Nam uehementer causam agunt ingratitudinis. Et quem cognorint posse referre gratiam, nec refert, in hunc seuerissimē animaduertunt: quippe qui arbitrantur eos qui sunt ingrati, & deos maiorem in modum negligere, & parentes, & patriam, & amicos. Ingratitudinem uero potissimum impudentia *Ex primo libro Xenophōtis de Cyri pedia.*

ἡ ἀναισχυντία. καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην. μέγα δὲ συμβάλλεται καὶ εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτούς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. διδάσκουσι δὲ καὶ πείθεσθαι αὐτοὺς τοῖς ἄρχουσι. μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους πειθομένους ἰσχυρῶς τοῖς ἄρχουσι. διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι καὶ γαστρός, καὶ ποτοῦ. μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους, οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες. καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσιν. φέρονται δὲ οἴκοθεν, σῖτον μέν, ἄρτους: ὄψον δέ, κάρδαμον: πιεῖν δ' ἐάν τις διψῇ, κώθωνα ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. πρὸς δὲ τούτοις, μανθάνουσι καὶ τοξεύειν, καὶ ἀκοντίζειν. μέχρι μὲν δὴ ἕξ, ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες πράττουσιν: ἐκ τούτου δ' εἰς τοὺς ἐφήβους ἐξέρχονται.

οὗτοι δὲ αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. δέκα ἔτη ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται. καὶ φυλακῆς ἕνεκα τῆς πόλεως, καὶ σωφροσύνης. δοκεῖ γὰρ αὕτη ἡ ἡλικία ἐπιμελείας μάλιστα δεῖσθαι. παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι, ἄν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ, καὶ ὅταν μὲν δέῃ τι, πάντες μένουσι

al. ἐξίῃ. περὶ τὰ ἀρχεῖα. ὅταν δ' † ἐξάρχῃ βασιλεὺς ἐπὶ θήραν, τὰς τ' ἡμισείας φυλὰς καταλείπει, ποιεῖ

al. τόξα παρὰ τὴν φαρέτραν, καὶ ἐν κολεῷ, &c. δὲ τοῦτο πολλάκις τοῦ μηνός. ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας † τόξα, καὶ παρὰ φαρέτραν ἐν κολεῷ κοπίδα, ἢ σάγαριν, ἔτι δὲ γέρρον, καὶ παλτὰ δύο. ὥστε τὸ μὲν ἀφιέναι: τὸ δέ, ἐὰν δέῃ, ἐκ χειρὸς χρῆσθαι. διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμελοῦνται, καὶ βασιλεὺς ὥσπερ καὶ ἐν πολέμῳ

aliàs ἐμπείρως. ἡγεμὼν αὐτοῖς ἐστί. καὶ αὐτός τε θηρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται, ὅπως ἂν * θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει, καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι. γυμνάζει δὲ καὶ ὁδοιπορίαις, καὶ δρόμοις. ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον, καὶ ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ, καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται. παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γινόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον, ὥστε οὐ ῥᾴδιον εὑρεῖν τι ἐν τῇ θήρᾳ, ὃ ἄπεστι τῶν ἐν τῷ πολέμῳ παρόντων. ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν ἄριστον ἔχοντες, πλέον μέν, ὡς καὶ εἰκότως, παίδων: τἆλλα δ' ὅμοιον. καὶ θηρῶντες μὲν οὐκ ἂν ἀριστήσαιεν: ἢν δέ τι δεήσῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρῖψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες τῇ ὑστεραίᾳ αὖ θηρῶσι μέχρι δείπνου. καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. τοῦτο δὲ ποιοῦσι, τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ ἄν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι, ὅ,τι ἂν θηράσωσιν: εἰ δὲ μή, τὸ κάρδαμον. εἰ δέ τις αὐτοὺς οἴεται, ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἐσθίωσιν ἐπὶ τῷ σίτῳ: ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν. πῶς δέ, ἡδὺ ὕδωρ πιεῖν διψῶντι. αἱ δ' αὖ μένουσαι φυλαί, διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἐμάνθανον, καὶ τὸ

al. τούτων. τοξεύειν καὶ ἀκοντίζειν. καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. εἰσὶ δὲ καὶ δημόσιοι * τούτοις ἀγῶνες, καὶ ἆθλα προτίθεται. ἐν ᾗ δ' ἂν φυλῇ πλεῖστοι ὦσι δαημονέστατοι, καὶ ἀνδρικώτατοι,

Parĕthesi inclusa aliàs nō leguntur. * (καὶ εὐπιστότατοι) ἐπαινοῦσιν οἱ πολῖται, καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις παῖδας ὄντας αὐτοὺς ἐπαίδευσε. χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ * πᾶσαι, ἤν τι ἢ

πᾶσαι aliàs abest φρουρῆσαι δέῃ, ἢ κακούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλα ὅσα τάχους καὶ ἰσχύος ἔργα ἐστίν. ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελέους ἄνδρας. ἀφ' οὗ δ' αὖ ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη ὧδε διάγουσι. πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἐάν τι δέῃ

al. συστρατεύεσθαι. περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστί, καὶ ἔτι δυναμένων. ἐὰν δέ που δέῃ * στρα-

al. πεπαιδευμένοι τεύεσθαι, τόξα μὲν οἱ οὕτω * παιδευόμενοι, οὐκέτι ἔχοντες οὐδὲ παλτά, στρατεύονται: τὰ

al. ἀγχέμαχα. δὲ * ἄγχιμα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις, καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, οἷόνπερ γράφονται οἱ Πέρσαι ἔχοντες: ἐν δὲ τῇ δεξιᾷ, μάχαιραν, ἢ κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἶεν μὲν ἂν οὗτοι πλέον ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς ἐξέρ-

sequitur, quæ ad omnē turpitudinē maxima est dux. Docent etiā pueros temperantiā: ad quā discendam eis plurimū conducit, quod uident senes ipsos quotidie tēperanter uitā agere. Tradunt prętereą ijs pręcepta parēdi magistratibus. Multū quoq; huic rei conducit, q̃d seniores intuenť parere magistratibus magno studio. Eosdem insup docent ut & cibi & potus continentiā seruent. Ad q̃d illos admodū adiuuat, quod ante oculos habent seniores nō prius abire uentris implendi gratia, quā principes pmiserint: quodq; nō apud matrē uescuntur pueri, sed apud magistrū, quādo principes significarint: feruntq; domo pro cibo panē, pro obsonio nasturtiū, ad potū uero * capedinē, ut ex flumine aquā hauriant. Ad hæc etiā discunt sagittā & iaculū. Ad sextū igiť usq; aut septimumdecimū ætatis annū hæc agunt pueri. Dein uero ubi in adolescentiam excesserunt, ita rursus degunt. Pueritiam enim egressi cubant, ut antea diximus in prætorijs, idq; tum custodiendæ urbis gratia, tum ob temperantiæ studiū. Videtur eñ huic ætati maiorē in modū diligentia opus esse. Præbent etiā seipsos interdiu principibus, si cui eis usui sint pro repub. Et cū oportuerit manent omnes circa prætoria. Cum uero ad uenationē rex exierit, id quod persæpe agit in mense, educit custodiæ dimidium. Habeant autē exeuntes oportet arcus, & iuxta pharetram, in uagina mucronem, aut securim: præterea cratē, & pila duo, quo & alterum emittant: & altero, si opus fuerit, cominus utantur. Ob hanc autem rem publicè dant operam uenationi, & rex quemadmodū in bello se ducem ijs pręstat, & ipse tum uenatur, tum ut alij uenentur diligentiam adhibet, quod hæc eis uerissima uidetur meditatio rerum bellicarum. Etenim diluculo assuefacit assurgere, frigoraq; & calores tolerare. Exercet etiā eos itineribus & cursibus. Necessariū etiā est sagitta bestiam ferire, ac iaculo petere, ubicunq; occurrerit. Atq; animus sæpenumero cogitur concalescere, ubi ferox aliqua bestia contra sese obiecerit. Nam & percutere oportet, quæ occurrerit, & irruentem obseruare. Quare haud facile in uenatione eorum quicquam abesse reperiatur, quæ inter bellandum accidunt. Exeuntes autem in uenationem prandiū habent, & id quidem maiore quantitate, ut par est, quā pueri, aliaq; eodem modo. Et donec uenantur, non prandent. Sed si quid opus fuerit, aut feræ ipsius gratia præstolari, aut aliter uelint tēpus terere in uenando, hoc prandio pro cœna usi postridie uenantur ad cœnam usq;: & duos hos dies pro uno supputant, quod unius diei cibum consumunt. Hoc autē faciunt consuescendi gratia, quod si quid etiā in bello oportuerit, id eis fit factu facile. At obsoniū quidē hoc puberes habent, quodcunq; uenati fuerint. Nā si id minus, nasturtio uescunť. Nā si q̃s eos existimat aut uesci iniucunde, cū aliud nihil præter nasturtiū addant ad cibū, aut potu min⁹ suaui uti, cū aquā bibant, reminiscať quanta cū uoluptate maza paneq; uescať aliq̃s in fame, quāq; suaue fit bibere aquā in siti. At reliquę tribus quę domi manētes in uenationē nō exeūt, tū alia exercēt, quæ pueri didicerunt & sagittādo & iaculando, tū hæc inter sese decertando agitant. Sunt præterea publici horū ludi pręmiaq; proposita. In qua aūt tribu plurimi fuerint peritissimi fortissimiq; ac maxime fideles, horū laudať à ciuibus & honorať nō præsens princeps duntaxat, uerum etiā ille q̃ eos in pueritia erudiuit. Et his adolescētibus utunť magistrat⁹, si qua in re pręsidio op⁹ fuerit, uel ad maleficia inq̃renda, uel ad insequēdos latrones, uel ad alia agenda, quæcunq; aut uiriū, aut uelocitatis sunt opa. Ab adolescentib⁹ igiť hæc geruntť. Sed ubi annos X. absoluerint, excedunt in pfectæ ætatis uiros, quo tēpore hi rursus annos XXV. ita degunt. Principio quemadmodū adolescentes præstò sunt magistratibus, ut si quid pro repub. opus fuerit, se utantur ijs in rebus, quæ prudētiam uiresq; requirunt. Quod si militiæ danda opera, qui ita sunt instituti arcubus & pilis amplius non utūtur, sed ensibus & armis quibus comminus pugnant, feruntq; thoracem circa pectora, & in manu sinistra cratē, qualem habere pinguntur Persæ. In manu autem dextera gladium aut mucronem. Et ex huiusmodi uiris magistratus omnes constituuntur, exceptis puerorum magistris. At posteaquā annos XXV. cōplerint, agentes hi ætatis annū aliquāto amplius quā quinquagesimū

alueum.

διέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. οἱ δ' αὖ γεραίτεροι οὗτοι, στρατεύονται μὲν οὐκέτι ἔξω τῆς αὐτῶν, οἴκοι δὲ μένοντες, † δικαίως τά τε κοινὰ πάντα, καὶ τὰ ἴδια, καὶ θανάτου δὲ οὗτοι κρίνουσι: καὶ τὰς ἀρχὰς οὗτοι αἱροῦνται πάσας. καὶ ἐάν τις ἢ ἐν ἐφήβοις, ἢ ἐν τελείοις ἀνδράσιν ἐκλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος: οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν. ὁ δὲ ἐκκριθεὶς, ἄτιμον τὸν βίον διατελεῖ. ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι. νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη, διὰ τὰ προειρημένα. λέγονται μὲν γὰρ Πέρσαι, ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι: τούτων δὲ οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν, καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας, εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς ἑαυτῶν παῖδας ἀργοῦντας, πέμπουσιν: οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμπουσιν. † ἵνα παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, * ἔξεστι δὲ αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι: τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως, οὐκ ἔξεστιν. οἳ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι, καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν. † οἳ δ' ἂν αὖ ἐν τοῖς παισὶ μὴ διαγένωνται, ἢ ἐν τοῖς ἐφήβοις, οὐκ ἔρχονται εἰς τοὺς τελείους. οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. οὕτω μὲν δὴ οἱ γεραίτεροι, διὰ πάντων τῶν καλῶν διεληλυθότες καθίστανται.

ἀλλὰ δικάζουσι.

† al. ἀλλ' ἄν.
* al. ἔξεστιν αὐτοῖς.
al. οὐδ' ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις.

Ξενοφῶντος ἐκ τῆς Λακεδαιμονίων πολιτείας.

Ὁ δὲ Λυκοῦργος, ἐσθῆτας μὲν καὶ δούλας ἱκανὰς παρέχειν ἡγήσατο εἶναι: ταῖς δὲ ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν τεκνοποιΐαν, πρῶτον μὲν σωμασκεῖν ἔταξεν, οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου. ἔπειτα δὲ δρόμου καὶ ἰσχύος ὥσπερ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις, ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ἐξ ἀμφοτέρων ἰσχυρῶν, καὶ ἔκγονα ἐρρωμενέστερα γίγνεσθαι. ἐπεί γε μὴν γυνὴ πρὸς ἄνδρα ἔλθοι, ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω. ἔθηκε γὰρ αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι δὲ ἐξιόντα. οὕτω δὲ συνόντων, ποθεινοτέρως μὲν ἀνάγκη σφῶν αὐτῶν ἔχειν, ἐρρωμενέστερα δὲ γίγνεσθαι, εἴτι † βλαστάνοιεν, οὕτω μᾶλλον, ἢ εἰ διάκοροι ἀλλήλων εἶεν. πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ ὁπότε βούλοιντο ἕκαστοι γυναῖκας ἄγεσθαι, ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, καὶ τοῦτο συμφέρον τῇ εὐγονίᾳ νομίζων. εἴγε μήν τοι συμβαίη γεραιῷ νέαν ἔχειν, ὁρῶν τοὺς τηλικούτους φυλάττοντας μάλιστα τὰς γυναῖκας, τἀναντία καὶ τούτου ἐνόμισε. τῷ γὰρ * πρεσβύτῃ ἐποίησεν ὁποίου ἀνδρὸς καὶ σῶμα καὶ ψυχὴν ἀγασθείη, τοῦτον ἐπαγομένῳ τεκνοποιήσασθαι. εἰ δέ τις αὖ γυναικὶ μὲν συνοικεῖν μὴ βούλοιτο, τέκνων δὲ ἀξιολόγων ἐπιθυμοίη, καὶ * τοῦτο νόμιμον ἐποίησεν, ἥντινα ἂν εὔτεκνον καὶ γενναίαν ὁρῴη, πείσαντα τὸν ἔχοντα ἐκ ταύτης τεκνοποιεῖσθαι. καὶ πολλὰ μὲν τοιαῦτα συνεχώρει. αἵ τε γὰρ γυναῖκες, διττοὺς οἴκους βούλονται κατέχειν, οἵ τε ἄνδρες, ἀδελφοὺς τοῖς παισὶ προσλαμβάνειν, οἳ τοῦ μὲν γένους, καὶ τῆς δυνάμεως κοινωνήσουσι, τῶν δὲ χρημάτων οὐκ ἀντιποιοῦνται. περὶ μὲν δὴ τεκνοποιΐας, οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις, εἴτι διαφέροντας καὶ μεγέθει καὶ ἰσχύϊ ἄνδρας τῇ Σπάρτῃ ἀπετέλεσεν, ὁ βουλόμενος σκοπείτω. βούλομαι δὲ καὶ τὴν παιδείαν σαφηνίσαι.

al. βλαστάνοιεν.
al. πρεσβύτῃ.
al. τὸ νόμιμον.

Ὁ γὰρ Λυκοῦργος, ἀντὶ μὲν τοῦ ἰδίᾳ ἑκάστοις παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧν περ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε, καὶ * καθίζειν τοὺς παῖδας, καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη ἰσχυρῶς κολάζειν. ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν, ὅτε δέοι, ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν, ἔταξεν ἀνυποδησίᾳ κρατύνειν, νομίζων εἰ τοῦτο ἀσκήσαιεν, πολὺ μὲν ῥᾷον ἂν, ὄρθιά γε βαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν, καὶ πηδῆσαι δὲ, καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον ἀνυπόδητον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον. ἀντὶ δὲ τοῦ ἱματίοις διαθρύπτεσθαι, ἐνόμισε † δερματίῳ δι' ἔτους προσεθίζεσθαι, νομίζων οὕτω καὶ πρὸς ψύχη, καὶ πρὸς θάλπη ἄμεινον ἂν παρασκευάσεσθαι. σῖτόν γε μὴν τοσοῦτον ἔχειν συνεβούλευσεν, ὡς ὑπὸ πλησμονῆς μὲν, μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν, μὴ ἀπείρως ἔχειν, νομί-

al. ἁθροίζειν
al. ἐνὶ ἱματίῳ.

ζων

(illorum iam ætatem ingressi qui sunt & uocantur seniores) nõ amplius in exercitũ eunt extra solum patrium, sed manentes domi iudicant omnes causas & publicas & priuatas. Iudicant etiã hi causam mortis, ijdemq́ legunt omnes magistratus. Quod si quis aut in adolescentibus aut in uiris deliquerit quippiam contra leges, deferunt eũ singuli tribuni, & ex alijs qui uoluerit. Quem seniores, ubi audierint, damnant. At damnatus degit reliquam uitam cum ignominia. Verum ut omnis Persarũ respub. clarius pateat, repetemus paulò altius. Nunc autem ex antedictis declaratum fit paucis. Persæ dicuntur esse circiter centum uiginti millia hominum. Horũ nemo lege excluditur à dignitatibus atq; magistratibus. Sed licet omnibus Persis mittere filios ad publicos iustitiæ ludos. Verum qui possunt filios per ocium alere, eos mittunt ad ludos. Quibus uero alendi non est facultas, nequaquam mittunt. Qui autẽ fuerint apud publicos magistros instituti, licet ijs inter adolescentes eius ætatis opera exercere, alijs uero non licet. Qui rursus legitima inter adolescentes absoluerint, possunt ij inter eos uersari, magistratuumq́ participes atq; honorum fieri. At ij qui pueritiæ atq; adolescentiæ legitima nõ obierint, inter uiros nõ admittunt. At ij rursus, q inter pfectæ ætatis uiros sine reprehensione se gesserint, fiunt ex ordine seniorũ. Et ita seniores ij constituuntur, q per omne honestatis genus uitã egerint.

At Lycurgus uestes ab ancillis præberi satis putauit esse. Sed liberis quidem mulieribus, cum procreationem liberorũ magnum quiddam esse censuisset, primum nihilo minus fœminam quàm marem exerceri corpore instituit: deinde cursus, & uirium, ueluti uiris, ita & fœminis certamina inuicem posuit. Existimabat enim ex utrisq; robustis sobolem quoq; robustiorem gigni. Cum uero mulier ad uirum uenit, intuens ille alios primo tempore immoderatius uxoribus commisceri, sanxit & huiusce rei contraria. Constituit nanq; & ingredientem ad uxorem uirum & exeuntem, ne ab alijs uideretur, pudore affici. Sic autem coëuntes necesse est tum suauius sese auidiusq́ appetere, tum prolem si quam generent ualidiorem reddi hoc modo potius quàm si ad satietatem usq; coniungantur. Statuit præterea quod nemo pro uoluntate uxorem duceret, nec nisi cum in adultam ætatem peruentum iam esset, nuptias fieri: id enim plurimum ipsi fœcunditati ac robustati conducturum arbitratus est. Atq; si quidem contigerit ut senex aliquis iuniorem uxorem habeat, uidens Lycurgus huius ætatis homines maxime asseruare uxores, item & huius rei contrariũ constituit. Sanxit enim ut cuius uiri corpore animoq́ senior ipse magis caperet, eo adducto ad uxorẽ susciperet prolẽ. At si qs uxorẽ rursus nolit, ingenuę aũt prolis desyderio tangat, in hanc quoq; rem legẽ tulit: ut si quã qs fœcundã generosamq́ prospexerit, psuaso ei⁹ uiro ex ea suscipe natos queat: & huiusmodi multa Lycurgi legibus sunt concessa. Enuero & uxores domos binas inhabitare uolũt, & uiri ipsi fratres ex se natis pueris acquirere, q generis qdẽ uiriumq́ participes æque sunt, substantiæ uero nequaquã sunt. Hoc de procreãdis liberis diuerso à Græcis cæteris instituto, quanto præstantiores ille & magnitudine & robore uiros, Spartæ reddiderit, quis secũ animo uolutato: Ego deinceps & disciplinam ipsorũ explicabo.

Eiusdem ex Laconum repub.

Lycurgus enim pro seruis pædagogis, quos priuatim pueris quisq; præficit, unum præesse illis uoluit ex eorum numero, e quibus maximi magistratus constant: qui quoniam pueros moderetur, pædonomus appellatur. Huic uero potestatem dedit, ut & pueros congregaret, & quem uersute aut nequiter quicquam patrare obseruasset, acerrime cæderet. Dedit etiam illi ex puberum numero, qui flagra ferrent, ut uerberibus cum opus foret, pueros afficerent: quo factũ est ut & multa pueri uerecundia tenerentur, & iussis facile parerent. Pro calciamentis aũt pedũ nuditatem instituit. Censebat eñ huiusmodi exercitatione longe facilius & locũ accliuẽ ascendere quempiã posse, & tuti⁹ decliuẽ descendere, & saltare, & resilire, & celeri⁹ discalciatum currere, si pedes exercuerit, quã calciatum. Pro uestium uero uarietate instituit uno amictu quotannis assuefieri, ratus & aduersus frigora & aduersus calores melius hoc utiq; pacto muniri. Cibi autem tantũ habendum censuit, ut & nunquam crapula grauaretur aliquis, & indigentiam ferre expertus sciret: putans eos,

Paulò post.

ζῆν τοὺς οὕτω παιδευομένους, μᾶλλον ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἂν εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ' ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς πᾶν ἔχειν βρῶμα, καὶ ὑγιεινοτέρως δ' ἂν διάγειν, καὶ εἰς μῆκος δ' ἂν αὐξάνεσθαι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν, μᾶλλον συλλαμβάνειν ἡγήσατο, ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν οὐκ ἔδωκεν αὐτοῖς λαμβάνειν, ὧν προσδέονται· κλέπτειν δὲ ἐφῆκεν ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας. καὶ ὡς μὲν οὐκ ἀπορῶν ὅ τι δοίη, ἐφῆκεν αὐτοῖς γε μηχανᾶσθαι τὴν τροφὴν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν. δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν, καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ, καὶ μεθ' ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψεσθαι. ταῦτα οὖν δηλονότι πάντα μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν, καὶ πολεμικωτέρους, οὕτως ἐπαίδευσεν. εἴποι δ' ἂν οὖν τις, τί δῆτα εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζε, πολλὰς πληγὰς ἐπέβαλε τῷ ἁλισκομένῳ; ὅτι φημὶ ἐγὼ καὶ τἆλλα ὅσα ἄνθρωποι διδάσκουσι κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα.

Ὅπως δὲ μὴ εἰ ἐὰν ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν, κύριον εἶναι, καὶ ἐπιτάττειν τοῖς παισὶν, ὅτι ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, ὅτι ἁμαρτάνοιεν.

Πρὸς δὲ τούτοις τό τε αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι βουλόμενος αὐτοῖς, καὶ ἐν ταῖς ὁδοῖς ἐπέταξεν, ἐντὸς μὲν τοῦ ἱματίου τὼ χεῖρε ἔχειν, σιγῇ δὲ πορεύεσθαι. * περιβλέπειν δὲ μηδαμῶς, ἀλλ' αὐτὰ τὰ πρὸ ποδῶν ὁρᾶν. ἔνθα δὴ καὶ δῆλον γεγένηται, ὅτι τὸ ἄρρεν φῦλον, καὶ εἰς τὸ * σῶφρον ἰσχυρότερόν ἐστι τῆς τῶν θηλειῶν φύσεως. ὡς ἐκείνων γοῦν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις, ἢ τῶν λιθίνων, ἧττον δὲ ὄμματα * στρεψάντων, ἢ τῶν χαλκῶν. αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο, καὶ αὐτῶν τῶν ἐν τοῖς θαλάμοις παρθένων. καὶ ἐπειδὰν εἰς τὸ φιλίτιον ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. καὶ τῶν μὲν αὖ παιδικῶν, οὕτως ἐπεμελήθη. περί γε μὴν τῶν ἡβώντων, πολὺ μάλιστα ἐσπούδασεν.

al. περιβλέπειν.
al. σωφρονεῖν.
al. μεταστρέψαι.

Ὡς οὖν τούτους αὖ συνέβαλλεν, ἐξηγήσομαι. αἱροῦνται τοίνυν οἱ ἔφοροι αὐτῶν, ἐκ τῶν ἀκμαζόντων τρεῖς ἄνδρας· οὗτοι δὲ, * ἱππαγρέται καλοῦνται. τούτων δ' ἕκαστος * ἄνδρα ἕκαστον καταλέγει διασαφηνίζων, ὅτου ἕνεκα τοὺς μὲν, προτιμᾷ, τοὺς δ' ἀποδοκιμάζει. οἱ οὖν μὴ τυγχάνοντες τῶν καλῶν, πολεμοῦσι, * τοῖς τε ἀποστείλασιν αὐτοὺς, καὶ τοῖς αἱρεθεῖσιν ἀντ' αὐτῶν.

al. ἱππαγρέται.
al. ἄνδρας ἑκατόν.
al. τοῖς μὴ ἀποστεί-λασιν.

Διαλύειν μὲν τοι τοὺς μαχομένους πᾶς ὁ παραγιγνόμενος κύριος. τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσιν, ἐξ ὧν ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὁ Λυκοῦργος νόμιμον ἐποίησε κάλλιστον εἶναι τὸ θηρᾶν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως καὶ οὗτοι δύνωνται μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους ὑποφέρειν.

Ὡσαύτως ὁ Λυκοῦργος ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ, καὶ τῶν ἀλλοτρίων ἄρχειν. ὅταν δέ τις εἰδῇ ὅτι οὗτοι πατέρες εἰσὶ τῶν παίδων ὧν αὐτὸς ἄρχει, ἀνάγκη ἄρχειν οὕτως, ὥσπερ ἂν καὶ τὸν ἑαυτοῦ ἄρχεσθαι βούλοιτο.

Ἐν τῇ Σπάρτῃ ὁ Λυκοῦργος τοῖς ἐλευθέροις, τὸν μὲν ἀμφὶ χρηματισμὸν, ἀπεῖπε μηδενὸς ἅπτεσθαι· ὅσα δὲ ἐλευθερίαν ἐν ταῖς πόλεσι παρασκευάζει, ταῦτα μόνα ἔταξεν ἔργα ἑαυτῶν νομίζειν. οὐ γὰρ δεῖ τι πλοῦτος ἐκεῖ γε ἐσπούδασται.

Ἄξιον δὲ Λυκούργου καὶ τόδε ἀγασθῆναι. τὸ * κατεργάζεσθαι ἐν τῇ πόλει αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον, ἀντὶ τοῦ αἰσχροῦ βίου. καλῶς δέ μοι δοκεῖ Λυκοῦργος νομοθετῆσαι, καὶ εἰ μέχρι γήρως ἀσκοῖτ' ἂν ἡ ἀρετή. ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας προθεὶς, ἐποίησε μηδ' ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκαγαθίαν. ἀξιάγαστον δ' αὐτοῦ, καὶ τὸ ἐπικουρῆσαι τῷ τῶν ἀγαθῶν γήρᾳ. θεὶς γὰρ τοὺς γέροντας κυρίους τοῦ περὶ τῆς ψυχῆς ἀγῶνος, διέπραξεν ἐντιμότερον εἶναι τὸ γῆρας, τῆς τῶν ἀκμαζόντων ῥώμης. εἰκότως δέ τοι καὶ σπουδάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν * ἀνθρωπίνων. καλοὶ μὲν γὰρ καὶ οἱ γυμνικοί. ἀλλ' οὗτοι μὲν σωμάτων εἰσίν. ὁ δὲ, περὶ τῆς γεροντίας ἀγὼν, ψυχῶν ἀγαθῶν κρίσιν

al. κατεργάσασθαι.
al. ἀνθρώπων.

παρέχει

qui sic eruditi essent, & magis profecto si opus esset uel absq; cibo labores perpeti, & ab ipso si amouerentur, plus temporis abstinere posse, & minus præterea obsonij egere, & facilius omnē escam admittere. Quinetiā ad salubrius degēdū, & ad staturæ proceritatē magis id alimenti conducere arbitratus est, quod gracilia corpora, quā quod lata cibo efficeret. Verum ne rursus fame admodum premerentur, noluit illos quibus indigebant, ea ociosos capere, sed furari quædā sinebat, quibus fames leuaretur. Quod aūt non tanquā inops suppeditandi permiserit eis alimentū sua sibi industria parare, latere id puto neminem. Patet aūt eum, qui surrepturus quippiā sit, oportere & noctu uigilare, & interdiu fraudem ac insidias tendere, exploratoresq; parare, si consequi, q̄d cupit, uelit. Itaq; perspicuū est, quod pueros callidiores circa res ad uictū necessarias magisq; bellicosos facere uolens, his omnib⁹ sic instituerit. Sed fortè dicat aliquis, quid igit, si quidē furari bonū existimabat, multis eū uerberibus, qui in furto deprehenderetur, plectendū uoluit? Quoniā, ut mihi uidetur, & in alijs, quæcunq; homines edocent, puniunt non ritè administrantem.

Ne quando autem absente pædonomo pueri sine magistro sint, fecit ut is qui semper adesset ex ciuibus, ius haberet, qui quicquid factu optimum uideretur, pueris imperaret: ac si quid delinquerent, plecteret. *Ibidē paulo post*

Ad hæc uolens quasi naturalē his pudorē uehemēter cōciliare, impauit ut in uijs manus intra palliū haberent, silentioq; incederent, ac nusquā circumspicerent, sed humi defixos oculos tenerent. Hic certe patet masculinū sexum & circa pudicitiam acriorē esse natura muliebri. Itaq; illorū uocē minus, quā si lapidei essent, audieris: oculos uero minus, quā si essent ænei, cōuerteris. Maiore aūt eos pudore affici, quā ipsas in thalamis uirgines existimaris. Ac posteaquā in conuiuiū uenerint, satis profecto fit, si uel ad interrogata respondeant. Et circa horū quidē instituta hanc curā adhibuit. De puberibus uero quàm maximā diligentiā habendam uoluit. *Paulo post.*

Sed quo pacto ipsos mutua æmulatione cōmiserit, ostendam. Eligunt ipsorū Ephori ex florētiorib⁹ uiros tres, q Hippagritę ab equitatu cōgregando appellantur. Horū quilibet uiros centū deligit, declarans, cui⁹ gratia alios in honore p̄fert, alios reprobat. Qui ergo dehonestati sunt, certamē ineunt, & aduersus eos à quib⁹ missi non fuerint, & aduersus illos, quos sibi in electione prælatos uident. *Paulo post.*

Quos quidē ita pugnantes, quisquis interfuerit, dirimendi ius habet. *Paulo post.*

Cum puberem uero ætatem superarint, & maximi iam magistrat⁹ ex ipsis constituuntur, Lycurgus legem tulit, qua huius ætatis homines uenatione uti, nisi quod publicū officium impedierit, pulcherrimum esse dixit, quo & hi nihilo minus possent, quàm ipsi adolescentes, militiæ labores tolerare. *Paulo post.*

At Lycurgus cum efficere uoluisset, ut ciues inuicem nihil officientes mutuo bono aliquo fruerentur, statuit pueris quenq; suis alienisq; iusta imperare. Cum uero quis uideat hos esse patres puerorū, quibus ipse imperet, cogitur ita imperare, quēadmodum uelit & illos suis. *Paulo post.*

Lycurgus apud Spartiatas liberos homines uetuit quicquā attingere, q̄d circa rē pecuniariā uersaret. Quæcunq; aūt libertatē ciuitatib⁹ afferūt, hęc sola instituit ipsorū studia ducenda. Haudquaquā eñ diuitijs illic studiose incumbitur. *Paulo post.*

Dignum est præterea & hac in re Lycurgum admiremur, qui apud Lacedæmonios id effecerit, ut honestam mortem turpi uitæ anteponerent. *Paulo post.*

Perpulchre & in hac re Lycurgus mihi legibus sanxisse uisus est, qui ad ipsam usq; senectutem uirtutem excolendam uoluerit. Nam cum in uitæ meta senectutis iudicium apposuisset, statuit ne in senio quidē honestatē ac probitatē negligendam esse. Est & illud tum laude, tum admiratione dignum, quod & bonorū uirorū senio prospexerit. Cum enim instituisset uitæ certamen penes senes esse, perfecit senectam pluris habendam esse, quàm iuuentutis robur. Et recte quidem ex omnibus humanis rebus huic certamini studetur. Nam & si gymnica certamina pulchra sunt, ea tamen corporum certe sunt: senectutis uero certamen, animorum iudiciū *Paulo post.*

παρέχει. ὅσῳ οὖν κρείττων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν, ἢ τῶν σωμάτων ἀξιοσπουδαστότεροι. εἴς γε μὴν τὸν ἐν ὅπλοις ἀγῶνα, τοιάδε ἐμηχανήσατο, στολὴν μὲν ἔχειν φοινικίδα, καὶ χαλκῆν ἀσπίδα.

Ἐφῆκε δὲ καὶ κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν, νομίζων οὕτω, καὶ μείζους ἂν καὶ ἐλευθεριωτέρους καὶ γοργοτέρους φαίνεσθαι. οὕτω γε μὴν κατεσκευασμένων, μοίρας * ἔδειξεν ἕξ, καὶ ἱππέων καὶ ὁπλιτῶν. ἑκάστη δὲ τῶν * ὁπλιτικῶν ἔχει μορῶν, πολέμαρχον ἕνα, λοχαγοὺς τέτταρας, πεντηκοντῆρας ὀκτώ, ἐνωμοτάρχας ιϛʹ. ἐκ δὲ τούτων τῶν μορῶν διὰ παρεγγυήσεως καθίστανται· τοτὲ μὲν, εἰς ἐνωμοτίας· τοτὲ δὲ εἰς τρεῖς· τοτὲ δὲ εἰς ἕξ.

al. διὰ πᾶν ἕξ, malim πολιτικῶν.

Ἐπεὶ δὲ ἔγνω τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει, καὶ ἐν στρατιᾷ, καὶ ἐπ᾽ οἴκῳ τὴν τῆς ἐφορείας δύναμιν κατεσκεύασεν.

Ἔφοροι οὖν δυνατοὶ μέν εἰσι ζημιοῦν ὃν ἂν βούλωνται, κύριοι δὲ * πράττειν παραχρῆμα, κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ καταπαῦσαι, καὶ εἷρξαί τε, καὶ περὶ ψυχῆς εἰς ἀγῶνα καταστῆσαι.

al. ἐκπράττειν.

Πολλῶν δ᾽ ὄντων καλῶν μηχανημάτων τοῦ Λυκούργου εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν τοὺς πολίτας, ἐν τοῖς καλλίστοις, καὶ τοῦτό μοι δοκεῖ εἶναι, ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο τὸν θεὸν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ, οἷς αὐτὸς ἔθηκε νόμοις· ἐπεὶ δ᾽ ἀνεῖλε τῷ παντὶ ἄμεινον εἶναι, τότε ἀπέδωκεν οὐ μόνον ἄνομον * δείξας, ἀλλὰ καὶ ἀνόσιον, τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι.

alias εἶν.

Χαρώνδα Καταναίου προοίμια νόμων.

Τοὺς βουλευομένους καὶ πράττοντάς τι, ἀπὸ θεῶν ἄρχεσθαι χρή. τὸ γὰρ ἄριστον, ὥσπερ ἡ παροιμία φησὶ, τὸν θεὸν ἡμεν αἴτιον πάντων τούτων. ἔτι δὲ φαύλων πράξεων ἀπέχεσθαι, καὶ μάλιστα διὰ τὴν πρὸς τὸν θεὸν ξυμβουλίαν, οὐδενὸς γὰρ ἀδίκου θεὸν κοινωνεῖν. βοηθεῖν δὲ ἕκαστον ἑαυτῷ, καὶ πεποικίλθαι κατ᾽ ἀξίαν τῶν δικαίων μεταλαμβάνειν καὶ πράσσειν. τὸ γὰρ ὑπὲρ μικρῶν καὶ μεγάλων ὁμοίως διατείνεσθαι, ἄγαν μικροπρεπὲς δοκεῖ ἡμῖν καὶ ἀνελεύθερον. διὸ δεῖ φροντίζειν, τοῦ μὴ * σφόδρα ὑπὸ τὰ μάκιστα καὶ τὰ μεγάλα ἐμπίπτειν. ἀλλὰ κατ᾽ ἀξίαν τὴν ἑαυτοῦ καὶ δυναμίαν, μετριοῦντα ἑκάστῳ πρᾶγμα ὑπερβάλλειν, ὅπως τίμιος ᾖς καὶ σεμνός.

lego σφόδρα ἀπὸ γῆς.

Ἀδίκῳ ἀνδρὶ, ἢ γυναικὶ, κεκριμένοις ὑπὸ πόλεως, ἐπαρωγὴν μὴ ποιεῖσθαι, μηδὲ ὁμιλεῖν μηδένα, ἢ ὀνειδίζεσθαι, ὡς ὄντα ὅμοιον, ᾧ ὁμιλεῖ. τοὺς δὲ προκεκριμένους ἄνδρας ἀγαθοὺς, ἀγαπᾶν καὶ ἐντυγχάνειν αὐτοῖς, τελεῖσθαί τε τὴν μεγίστην, καὶ τελειοτάτην τελετὴν, ἀνδραγαθίαν * μιμουμένους ἐπ᾽ ἀληθείᾳ, καὶ κτωμένους τὴν ἀρετήν. οὐδεὶς γὰρ ἀνὴρ τέλειος ἄνευ ταύτης. πολίτῃ δὲ ἀδικουμένῳ βοηθεῖν, καὶ οἴκοι, καὶ ἐπὶ ξένης. ξένον δὲ πάντα, τὸν ἐν τῇ ἑαυτοῦ πατρίδι σεβόμενον, καὶ κατὰ τοὺς οἰκείους νόμους, εὐφήμως καὶ οἰκείως προσδέχεσθαι, καὶ ἀποστέλλειν, μεμνημένους Διὸς ξενίου ὡς παρὰ πᾶσιν ἱδρυμένου κοινοῦ θεοῦ, καὶ ὄντος ἐπισκόπου φιλοξενίας τε καὶ κακοξενίας.

forte μνωμένους.

Ἡγεῖσθαι δὲ καὶ παραγγέλλειν πρεσβυτέρους νεωτέροις τοῦ αἰδεῖσθαι, καὶ αἰσχύνεσθαι τὰ κακὰ, φανεροὺς ὄντας αὐτοὺς αἰσχυνομένους καὶ αἰδουμένους. ὡς ἐν αἷς πόλεσι πρεσβυτέρων ἀναισχυντίαι, φύονται παῖδες αὐτῶν καὶ παίδων παῖδες ἀναίσχυντοι. ἀκολουθεῖ δὲ ἀναισχυντίᾳ καὶ ἀναιδείᾳ, ὕβρις καὶ ἀδικία· τούτοις δὲ ἕπεται ὄλεθρος. μηδεὶς δ᾽ ἔστω ἀναιδὴς, ἀλλὰ σωφρονείτω ἕκαστος, ὡς οὕτω τευξόμενος θεὸν ἵλεων καὶ σωτηρίας. οὐδεὶς γὰρ κακὸς θεοφιλής. τιμάτω δὲ ἕκαστος τὸ καλὸν, καὶ τὸ ἀληθὲς, καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος· ταῦτα γὰρ ἀρετῆς σημεῖα καὶ κακίας. διὸ χρὴ συνεθίζειν ἐκ παίδων κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵν᾽ ἐμφυσιοῦται ἑκάστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς. προσποιείσθω δὲ ἕκαστος τῶν πολιτῶν, σωφρονεῖν μᾶλλον, ἢ φρονεῖν. ὡς ἡ προσποίησις τοῦ φρονεῖν, μέγα σημεῖον ἀπειροκαλίας καὶ σμικρότητος. ἔστω δὲ ἡ προσποίησις τοῦ σωφρονεῖν, ἀληθής. μηδεὶς γὰρ πλαττέσθω γλώσσῃ καλὰ ἔργα, πράξεως καὶ διανοίας στερόμενος ἀγαθῆς.

Χρὴ δὲ καὶ πρὸς τοὺς ἄρχοντας εὔνοιαν διαφυλάττειν, καθάπερ πατρικὴν, ὑπακούοντας καὶ σεβομένους. ὡς μὴ διανοούμενος οὕτω, τίσει δίκην κακῆς βουλῆς δαίμοσιν ἐπισκόποις. ἄρχοντες γὰρ

bonorũ præbet. Sed quantũ corpori præstat animus, tantũ etiã animorũ certamina corporũ certaminibus antecellunt. In armorum autem certamen talia quædam molitus est. Voluit enim stolam puniceam haberent, & clypeum æreum. *Paulo post.*

Permisit aũt eos q pubertatis annos trãscendissent, nutrire comã, rat⁹ hoc pacto & maiores illos, & liberaliores, * grauioresq́ʒ uideri. Quib⁹ ita instructis distribuit eqtes ac pedites in trib⁹ sex. Quælibet aũt ex urbanis tribub. habet unũ tribunũ mili tũ, & manipulorũ pfectos quatuor, quinquagenarios octo, duces turmarũ sedecim. Ex his uero tribub⁹ p denũciationẽ cõstituunt tũ in turmas tres, interdũ aũt in sex. *Paulo post.* *γοργοτέρους, Philel phus uertit fœli ciores.*

Cum intelligeret Lycurgus obedientiam maximum esse bonũ, tum in repub. tũ etiam & militiæ & domi, Ephororum potestatem constituit. *Ibidem.*

Itaqʒ Ephori quemcunqʒ uelint mulctare queunt: possunt extemplo transfigere, possunt in magistratu constitutos intra tempus & abrogare, & in carcerem conijcere, ac de uita in periculum uocare. *Statim post.*

Sed cũ & alia pmulta sint pulchra Lycurgi inuẽta, qb⁹ inducti ciues libenti⁹ latis legib⁹ parẽt, tũ & hoc in primis pulcherrimũ puto, q̃d nõ ante multitudini leges exhibuit, quã cũ pstantissimis uiris Delphos petẽs deũ rogasset, an esset futurũ cõducibili⁹ & meli⁹ Spartæ, ubi legib⁹ quas ipse tulerit obediret. Cũ aũt respondisset deus, id prorsus melius fore: tũ demũ leges suas eis proposuit, nõ modo iniquũ, uerum & impiũ statuens, si quis legibus Pythio roboratis oraculo minus paruisset. *Paulo post.*

Consultãtes agentesq́ʒ aliqd, à deis auspicari debent. Optimũ eñ est, ut parœmia fert, deũ causam & authorẽ esse illorũ omniũ. Præterea à malis facinorib⁹ abstinẽdũ est, idq́ʒ maxime propter concordiã cũ deo. Cũ nullo eñ iniusto deus cõmerciũ habet. Adiuuet aũt unusquisqʒ seipsum, & incitet ad iusta secũdũ dignitatẽ capessenda agendaq́ʒ. Nã in paruis & magnis æqualẽ conatũ & cõtentionẽ adhibere, nimis hũmile ac illiberale uidet esse. Quare curandum ne nimis negligentes ad res magnas & grauissimas feramur. Sed pro dignitate tua & uiribus singula ppendere aggrediq́ʒ debes, ut honorificus & grauis permaneas. *Cherondæ Catanæi proœmia legum.*

Viro aut mulieri ob iniustitiam à ciuitate notatis, nemo auxiliari debet, neqʒ conuersari: Secus, exprobrandũ ei fuerit, quod similis sit illi, qui cum uersatur. Eximios autem bonos uiros amare, eisq́ʒ familiariter uti conuenit: & probitatis cõparandæ uirtutisq́ʒ gratia ut eis imitemur, maximũ atqʒ perfectissimũ sacrificiũ instituendum est. Nemo enim sine uirtute perfectus est. Cæterũ iniuria affecto ciui uel in patria uel in peregrina regione opẽ ferre decet. Peregrinũ uero quemuis, qui in patria sua colitur, secundũ leges proprias bene precando & familiariter suscipere oportet, ac remittere, Iouis hospitalis memores, ut qui deus apud omnes communis sit constitutus, & hospitalitatem ac inhospitalitatem inspiciat.

Cæterũ senes iunioribus præeant, eosq́ʒ cõmoneant, ita ut appareat iuuenes ideo reuereri eos ac erubescere, quoniã ipsi ob pudorem & uerecundiã malis abstineant. Nam in quibus ciuitatibus senes impudentes fuerint, liberi etiã nepotesq́ʒ ipsorum impudentia laborabunt. Vbi aũt pudor abest, ac inuerecundia uiget, ibi cõtumelia & iniustitia sequunt, & tandẽ exitiũ. Iccirco impudens nullus esto, sed sibi quisqʒ tẽperantiã conciliet, tanquã hac ratione deũ habiturus propitiũ, & salute fruiturus: Nullus eñ improbus deo char⁹ est. Porrò quisqʒ honestatẽ ac ueritatẽ colat: turpitudinẽ atqʒ mendaciũ oderit: Nã hisce notis uirtus & malitia discernunt. Quare statim à pueris assuefacere oportet, castigando quidẽ mentiendi studiosos: ueritatis aũt, amando, ut q̃d in uirtute optimũ & fœcundissimũ est animis singulorũ innascat, & quasi in naturã ipsorũ conuertat. Ad hæc unusquisqʒ ciuiũ se temperantẽ poti⁹ quã sapientẽ uideri studeat. Nã simulare sapientiã magnũ est impiti & uilis animi signũ. Temperantiæ aũt simulatio debet esse uera: neqʒ ullus egregia facta simulet, qui re ipsa & mentis, & actionum bonarum nihil habeat.

In principes q̃qʒ ueluti parẽtes beneuolẽtia nos affectos esse decet, obediẽtes ac uenerãtes ipsos. Qui eñ aliter senserit mali consilij pœnã dabit dæmonib⁹, q indigetes

τῆς γὰρ ἐπιτυχοῦσι πόλεως, καὶ πολιτῶν σωτηρίας.

Χρὴ δὲ καὶ τοὺς ἄρχοντας δικαίως προεστάναι τῶν ἀρχομένων, καθάπερ τέκνων ἰδίων, ἔχθραν καὶ φιλίαν, καὶ θυμὸν ἐν τῷ κρίνειν κοιμίσαντας.

Ἐπαινείσθωσαν δὲ καὶ εὐδοκιμείσθωσαν, ὅσοι ἂν ὄντες εὔποροι τοῖς ἐνδεεστέροις ἐπαρκῶσιν, ὡς τέκνα, καὶ ἀμύντορας σώζοντες τῆς ἑαυτῶν πατρίδος. ἐπαρκείτωσαν δὲ τοῖς διὰ τύχην πενομένοις, καὶ μὴ διὰ βίον ἀργὸν καὶ ἀκρατῆ. ἡ μὲν γὰρ τύχη, πᾶσι κοινόν· ὁ δὲ ἀργὸς καὶ ἀκρατὴς βίος, κακοῖς ἀνδράσιν ἴδιος.

Καλὸν δ' ἔστω καὶ μηνύειν ἐάν τις τῷ συνειδῇ ἀδικοῦντι, ἵνα ἡ πολιτεία σώζηται, πολλοὺς ἔχουσα τῆς εὐκοσμίας φύλακας. ὁ δὲ μηνύων, εὐσεβὴς ἔστω, καὶ κατὰ τῶν οἰκειοτάτων ἐξαγγέλλων· οὐδὲν γὰρ ἐστὶν οἰκειότερον πατρίδος. ἐμφανιζόντων δὲ, μὴ τὰ δι' ἀκούσιον ἄγνοιαν γιγνόμενα, ἀλλ' ὅσον ἂν ἐκ προνοίας τι ἁμαρτάνωσιν. ὁ δ' ἐμφανισθεὶς, ἂν ἐθελεχθρῇ τῷ μηνύσαντι, μισείσθω ὑπὸ πάντων δίκην διδοὺς ἀχαριστίας, ὡς ἀποστερεῖ τὸν ἰατρεύοντα μεγίστην νόσον ἰατρευόμενος ἀδικίαν.

Ἔστω δὲ μέγιστα ἀδικήματα, θεῶν καταφρόνησις, καὶ γονέων κάκωσις ἑκούσιος, καὶ ἀρχόντων καὶ νόμων ὀλιγωρία, καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης. δικαιότατος δὲ ἔστω καὶ ὁσιώτατος πολίτης, ὁ ταῦτα τιμῶν καὶ ἐμφανίζων πρὸς πολίτας, καὶ ἄρχοντας, κατὰ τῶν καταφρονούντων.

Ὑπὲρ πατρίδος ἀποθνήσκειν σεμνότερον ἔστω, ἢ γλιχόμενον τοῦ ζῆν ἐγκαταλιπεῖν αὐτὴν, καὶ τὸ καλόν. κρεῖττον γὰρ τεθνάναι καλῶς, ἢ ζῆν αἰσχρῶς, καὶ ἐπονειδίστως.

Χρὴ δὲ καὶ τῶν τελευτώντων ἕκαστον τιμᾶν, μὴ δάκρυσι, μὴ δὲ οἴκτοις, ἀλλὰ μνήμῃ ἀγαθῇ, καὶ τῇ τῶν κατ' ἔτος ὡραίων ἐπιφορᾷ· ὡς ἀχαριστίας οὔσης πρὸς δαίμονας χθονίους, λύπης ὑπὲρ τὸ μέτρον γιγνομένης.

Βλασφημείτω δὲ μηδεὶς ἐπ' ἀδίκῳ βλάβῃ περὶ μηδενός. θειότερον γὰρ εὐφημία κατηγορίας.

Νομιζέσθω δὲ πολίτης ἀμείνων, ὁ τῆς ὀργῆς κρείττων, μᾶλλον τοῦ διὰ ταύτην πλημμελοῦντος.

Ὁ ἱερὰ καὶ ἀρχεῖα ὑπεραίρων τῇ πολυτελείᾳ τῶν ἰδίων, μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω. μηδὲν γὰρ ἔστω ἰδιωτικὸν, μεγαλοπρεπέστερον, καὶ σεμνότερον τῶν δημοσίων.

Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων, καταφρονείσθω, ὡς μικρόψυχος ὢν, καὶ ἀνελεύθερος, καὶ καταπληττόμενος ὑπὸ κτημάτων πολυτελῶν, καὶ βίου τραγῳδουμένου, καὶ εὐτελὴς εἶναι τὴν ψυχὴν ὑπολαμβανέσθω. ὁ γὰρ μεγαλόψυχος προδιανοεῖται πάντα παρ' ἑαυτῷ τὰ περὶ ἀνθρώπους, καὶ δι' οὐδενὸς θορυβεῖται τοσούτου, ὅταν παραπέσῃ.

lego μιαίνει. Αἰσχρορρημονείτω δὲ μηδεὶς, ὅπως ἂν μὴ * ποιοίη τὴν διάνοιαν ἔργοις αἰσχροῖς, μηδὲ ἀναπίμπλῃ τὴν ψυχὴν ἀναιδείας, καὶ μιασμάτων. τὰ μὲν γὰρ εὐσχήμονα, καὶ φίλα τοῖς οἰκείοις ὀνόμασι καὶ κειμένοις ὑπὸ τοῦ νόμου προσαγορεύομεν· πρὸς ἃ δὲ ἐχθρῶς ἔχομεν, ἐξιστάμεθα καὶ τῆς προσηγορίας διὰ τὸ αἰσχρόν. ἔστω δὲ καὶ αἰσχρὸν, εἰπεῖν τὸ αἰσχρόν.

Γυναῖκα δὲ τὴν κατὰ νόμους ἕκαστος στεργέτω, καὶ ἐκ ταύτης τεκνοποιείσθω. εἰς ἄλλο δὲ μηδὲν προϊέσθω τέκνων τὴν αὑτοῦ σποράν· μηδὲ τὸ φύσει καὶ νόμῳ τίμιον, ἀνόμως ἀναλισκέτω, καὶ ὑβριζέτω. ἡ γὰρ φύσις τεκνοποιΐας ἕνεκεν, οὐκ ἀκολασίας ἐποίησε τὴν σποράν.

Γυναῖκα δὲ σωφρονεῖν χρὴ, καὶ μὴ προσδέχεσθαι συνουσίαν ἀσεβῆ παρ' ἄλλων ἀνδρῶν, ὡς ἀπαντώσης νεμέσεως παρὰ δαιμόνων καὶ ἐξοικιστῶν, καὶ ἐχθροποιῶν.

Ὁ μητρυιὰν ἐπιγαμῶν, μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω, ὥσπερ αἴτιος ὢν οἰκείας διαστάσεως.

Χρὴ δὲ ἐμμένειν τοῖς εἰρημένοις, τὸν δὲ παραβαίνοντα, ἔνοχον εἶναι τῇ πολιτικῇ ἀρᾷ.

Προστάσσει δὲ ὁ νόμος, ἐπίστασθαι τὰ προοίμια τοὺς πολίτας ἅπαντας, καὶ ἐν ταῖς ἑορταῖς μετὰ τοὺς παιᾶνας λέγειν, ᾧ ἂν προστάσσῃ ὁ ἑστιάτωρ, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὰ παραγγέλματα.

Ἐκ τῶν Νικολάου περὶ ἐθῶν. Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν, οὐκ ἔξεστι.

Λευκανοὶ δικάζονται ἀλλήλοις, ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας. ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ· καὶ Ἀθήνῃσι δὲ τῆς ἀργίας εἰσὶ δίκαι.

Παρὰ Σαυνίταις κατ' ἔτος, οἵ τε ἤϊθεοι κρίνονται δημοσίᾳ, καὶ αἱ παρθένοι· ὁ δὲ κριθεὶς

ἄριστος

& patroni ciuitatis sunt. Nam principes etiam patroni & domini sunt ciuitatis.

Sed & principes iuste subditis præesse oportet, tanquã liberis suis, inimicitiam amicitiamq; & iracundiam in iudicando sopientes.

Porrò laudari & celebrari debent, qui locupletes cũ sint, tenuiorib⁹ suppeditant, utpote seruantes pueros, ac eos q patriã defensuri sunt. Debent aũt illis suppeditare, q fortunæ nõ ociosæ ac intẽperantis uitæ culpa, pauperes sunt. Fortuna eñ omnib⁹ est cõmunis. Ociosa aũt & incontinens uita, malis uiris propria est.

Item honestum habeatur indicare illum, cuius quis facinoribus conscius est, ut respub. salua sit, multos habens bonæ constitutionis suæ custodes. Is uero qui indicat, quanquã de genere sibi proximis, bonus & pius æstimetur: nihil eñ est quã patria coniunctius. Reuelari aũt decet, non ea quæ inuiti & imprudentes aliqui cõmisẽrint, sed quæ de industria peccauerint. Cæterum indicatus, si sponte inimicũ se faciat illi qui indicauit, à cunctis odio habeatur, ut pœnam det ingratitudinis, qua medentem sibi priuat pessimo iniustitiæ morbo liberandus.

Haberi autem debent pro maximis sceleribus, deorũ contemptus, parentũ afflictio uoluntaria, principũ legumq; neglectus, & uoluntaria contra iustitiã ignominia. Contrà, iustissimus ciuis, idemq; iustissimus æstimetur, qui iam dicta honorat, contemnentes uero apud ciues & principes indicat.

Pro patria mori honestius ducatur, quàm uiuendi cupiditate patriam & honestatem deserere. Præstat eñ honeste mori, quàm uiuere turpiter, & cum opprobrio.

Cæterũ defunctorũ unumquenq;, nõ lachrymis, aut miseratione, sed bona recordatione, & fructuũ quotannis nascentiũ oblatione, honorare oportet: ingratitudo enim uideri potest erga dæmones inferos, si dolor immodicus admittatur.

Nullus autem damnũ iniustè passus ulla in re conuicijs agat. Benedicentia enim multo diuinior est, quàm maledicentia.

Ciuis qui uicerit irã, longe melior existimãdus est illo qui propter irã delinquit.

Quisqs tẽpla & prętoria priuatorũ ædificiorũ sumptib⁹ excellit, nequaquã laude dignus, sed infamis habeatur: Nihil enim priuatum, esse debet egregium & magnificum magis quàm publica.

Diuitijs & pecuniæ seruiens contemnaſ, ut pusillanimis, illiberalis, & sumptuosarũ possessionũ, uitæq; Tragico apparatu structæ stupidus admirator: & uilis animi homo existimetur. Magnanimus eñ uir omnia humana secũ præmeditatus, nulla tali quantumuis magna perturbatur fortuna, cum contigerit.

Turpia nemo loquatur, ne factis obscœnis animũ inquinet, mentemq; impudentia & sceleribus repleat. Nã quę honesta & chara nobis sunt, congruis nominib⁹ & in lege scriptis appellamus: quæ uero odimus, illorũ uel nomenclaturã causa turpitudinis abominamur. Esto igitur turpe, etiam loqui rem turpem.

Vxorẽ legitimã unusqsq; diligat, & prolẽ ex ea generet. In aliud uero nihil prolifi cũ semen effundat: Neq; rẽ natura & lege preciosam illegitime consumat, & flagitiũ cõmittat. Natura eñ liberos gignendi gratia, non libidinis, semen produxit.

Vxorẽ uero castam oportet esse, nec impiũ stuprũ ab alijs uiris admittere, ac reuereri iracundiã dæmonũ ædibus ejicientiũ homines, & inimicitias mouentium.

Qui liberis suis nouercam superinduxit, non honore dignus, sed infamis fit, utpote dissensionis autor domesticæ.

Cæterũ necesse est pdicta omnia seruare: puaricantẽ uero ciuili execrationi obnoxium esse.

Imperat autem lex ut ciues omnes hæc procemia calleant, eaq; in festis post pæanes recitent, quemcunq; conuiuij dominus id facere iusserit, ut singulorũ ingenijs præcepta ista quàm familiarissima fiant.

Apud Tartesios minori contra maiorem testimonium dicere non fas est. *Ex Nicolai scriptis de moribus gentium.*

Lucani ut aliorũ criminum, sic etiam luxuriæ & ocij causas agunt. Quod si quis homini luxurioso mutuasse aliquid conuincatur, priuatur mutuo dato. Athenis etiam ocij causæ forenses agitantur.

Apud Sunitas quotannis & adolescẽtes & uirgines publicè iudicanſ. Et q optim⁹

ἄριστος εἶναι, λαμβάνει ἣν βούλεται, εἶθ' ὁ μετ' ἐκεῖνον δεύτερος, καὶ οὕτως ἐφεξῆς.

Λιμύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι, καὶ τὰ τέκνα ἐν κοινῷ τρέφουσι μέχρι ἐτῶν πέντε· εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία, τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι, καὶ ἑκάστῳ τὸν ὅμοιον ἀποδιδόασι πατρί, ἀφ' ἧς δ' ἂν ὑπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ἀναλαμβάνει.

Κελτοὶ σιδηροφοροῦντες τὰ κατὰ πόλιν πάντα πράττουσι, μείζω δ' εἶναι ἐπιτίμια lego πολίτην. κατὰ τοῦ ξένον ἀνελόντος, ἢ * πολίτου. ὑπὲρ τοῦ μὲν γάρ, θάνατος ἡ ζημία· ὑπὲρ τοῦ δὲ πολίτου, φυγή. τιμῶσι δὲ μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους, τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι.

Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλήρωσιν. ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις. παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον, πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ.

Καρχηδόνιοι τοὺς ἀδικήσαντας ὁτιοῦν, τῶν * ἱερῶν ἀπείργουσιν. lego ἱερῶν. ἐὰν δέ τις κυβερνῶν σκάφος διαμάρτῃ, προσιόντες ἐφεξῆς ἕκαστοι ἐμπτύουσιν αὐτῷ.

Μόσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον· ἐὰν δέ τις δόξῃ κακῶς ποτε βεβουλεῦσθαι, τῷ λιμῷ αὐτὸν ἀποκτείνουσι. τὸν δὲ τρεφόμενον σῖτον, ἐξ ἴσου διαιροῦσι, μέρος κοινῇ ἐξελόντες τοῖς ἀφικνουμένοις ξένοις.

Φρύγες ὅρκοις οὐ χρῶνται, οὔτ' ὀμνύντες, οὔτε ἄλλους ἐξορκοῦντες. ἐὰν δέ τις παρ' αὐτοῖς γεωργικὸν βοῦν ἀποκτείνῃ, ἢ σκεῦος τῶν περὶ γεωργίαν κλέψῃ, θανάτῳ ζημιοῦσι.

Λύκιοι τὰς γυναῖκας μᾶλλον, ἢ τοὺς ἄνδρας τιμῶσι, καὶ καλοῦνται μητρόθεν, τάς τε κληρονομίας ταῖς θυγατράσι λείπουσιν, οὐ τοῖς υἱοῖς. ὃς δ' ἂν ἐλεύθερος ἁλῷ κλέπτων, δοῦλος γίνεται. τὰς δὲ μαρτυρίας ἐν ταῖς δίκαις, οὐκ εὐθὺ παρέχονται, ἀλλὰ μετὰ μῆνα.

Πισίδαι δειπνοῦντες, ἀπάρχονται τοῖς γονεῦσιν, ὡς ἡμεῖς τοῖς θεοῖς ἀπαρχαῖς σπονδίοις. ἡ δὲ μεγίστη κρίσις ἐστί, παρακαταθήκης· τὸν δὲ ἀποστερήσαντα, θανατοῦσιν. ἐὰν δὲ μοιχὸς ἁλῷ, περιάγεται τὴν πόλιν ἐπὶ ὄνου μετὰ τῆς γυναικός, ἐπὶ ἡμέρας τακτάς.

Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οἱ βασιλεῖς, οὐ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ' ὁ διαδεξάμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα. ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην. ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι καὶ ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν, οὐδεὶς κλέπτει.

Εν Βυάοις λίβυσιν ἀνὴρ μὲν ἀνδρῶν βασιλεύει, γυνὴ δὲ γυναικῶν.

Βασυλιεῖς λίβυες, ὅταν πολεμῶσι, τὰς μὲν νύκτας μάχονται τὰς δ' ἡμέρας εἰρήνην ἄγουσι.

Δαψολίβυες ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ, μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων, κατασβέσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχών, ἣν ἂν τύχῃ λαμβάνει.

Ιαλχλουεῖς λίβυες, ὅταν πολλοὶ μνηστεύσωνται γυναῖκα παρὰ τοῖς κηδεσταῖς δειπνοῦσι, παρόντος τῆς γυναικός, πολλὰ δὲ σκωπτόντων, ἐφ' ᾧ ἂν ἡ γυνὴ γελάσῃ, τούτῳ συνοικεῖ.

Σορδολίβυες, οὐδὲν κέκτηνται σκεῦος, ἔξω κύλικος καὶ μαχαίρας.

Αλιτέμιοι λίβυες τοὺς ταχυτάτους αὐτῶν αἱροῦνται βασιλεῖς· τῶν δ' ἄλλων τιμῶσι τὸν δικαιότατον.

Οἱ νομάδες τῶν λιβύων, οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶν, αὐτῶν ἀριθμοῦσι τὸν χρόνον.

Αφαράντες λίβυες ὀνόματα οὐκ ἔχουσιν, ἡλίῳ δὲ ἀνίσχοντι, λοιδοροῦνται, ὡς πολλὰ κακὰ φέροντι τῶν δὲ θυγατέρων ἀρίστας κρίνουσι, τὰς πλεῖστον χρόνον μεμενηκυίας παρθένους.

Βοιωτῶν ἔνιοι τοὺς χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες, καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτοῖς. ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίνεται. δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ εὐριπίδου πατήρ, βοιωτὸς ὢν τὸ γένος. Ασσύριοι τὰς παρθένους ἐν ἀγορᾷ πωλοῦσι τοῖς θέλουσι συνοικεῖν· πρώτας μὲν τὰς εὐγενεστάτας καὶ καλλίστας, εἶτα τὰς λοιπὰς ἐφεξῆς. ὅταν δ' ἔλθωσιν ἐπὶ τὰς φαυλοτάτας, κηρύττουσι, πόσον τὶς θέλει προσλαβὼν, ταύτας συνοικεῖν, καὶ τὸ συναχθὲν ἐκ τῆς τῶν εὐπρεπῶν τιμῆς ταύταις προστίθενται. ἀσκοῦσι δὲ μᾶλλον

Βαθυ-

esse iudicatus fuerit, uirginem quam uoluerit ducit, deinde post eum secundus, & sic deinceps.

Limyrnij uxores habent communes, & liberos cõmuniter alunt usq; ad annos quinq;: deinde sexto anno pueris omnibus congregatis, similitudines ipsorum ad uiros coniectant, & unicuiq; similem tradunt puerum ceu parenti, quem ille acceptum pro filio educat.

Celtę armis accincti omnia in ciuitate negotia transigunt: & grauius apud eos in illum animaduertitur, qui peregrinũ, quã qui ciuem occiderit. Huic enim exilium, illi mors pœna statuitur. In primis autem illos honorant, qui publicam regionem augent. Et ianuas ædium nunquam claudunt.

Sauromatę triduo ad saturitatem se ingurgitant, & uxoribus ceu dominis per omnia parent. Virginem non prius locant ad nuptias quàm hostem occiderit.

Cercetæ illos qui crimen quodcunq; cõmiserunt, templis arcent: Si quis autem nauim gubernans aberrarit, singuli accedentes in faciem eius inspuunt. *Cercetæ populi sunt Indiæ.*

Mosyni regẽ suũ in turri cõclusum alunt, & si quis male cõsuluisse aliquando uideatur, fame necant. Proueniens ipsis frumentum æqualiter distribuunt, partem aliquam communiter pro hospitibus aduenientibus seponentes.

Phryges iuramentis non utuntur, nec ipsi iurantes, nec alios adigentes. Si quis inter ipsos bouem aratorem occiderit, aut instrumentum quodpiam ad agriculturã aptum furto sustulerit, morte mulctatur.

Lycij mulieres magis quàm uiros honoribus afficiunt, & nomina à matribus accipiunt, item hæreditates filiabus non filijs relinquunt. Si quis liber furti coarguatur, seruire cogitur. Testimonia autem in iudicijs non statim, sed post mensem demum proferunt.

Pisidæ cõuiuantes parentibus libant, ut nos dijs * παραστάδίοις dictis. Grauissimã depositi causam agunt, & eum qui fraudauerit occidunt. Adulterij conuictus per urbem unà cum muliere circumducitur super asino ad dies aliquot. *Vt sunt Mercurius, bonus dæmon, quibus libare solent conuiuantes.*

Aethiopes præcipue sorores suas honorant: Et reges maxime relinquunt successiones, non suis, sed sororum filijs. Quod si nullus successor sit, pulcherrimũ ex omnibus & bellicosissimum, creant regem. Pietati & iustitiæ student. Aedes ipsorum ianuis carent, & cũ in uijs multa iaceant, nemo furatur.

Inter Buaos Libyes, uir cæteris uiris, mulier imperat mulieribus.

Basulienses Libyes cum bella gerunt noctu pugnant, interdiu pacẽ agunt.

Dapsolibyes congregati omnes uno die uxores unà ducunt post Vergiliarũ occasum. Nam post epulas mulieribus seorsim discumbentibus, extincta lucerna uiri ad ipsas ingrediuntur, & quilibet, quamcunq; contigerit, ducit.

Ialchleuenses Libyes, cum multi uxorem unam ambiunt, apud curatorem eius cœnãt, & singulis uaria dicteria narrantib⁹, cuicunq; mulier arriserit, illi cohabitat.

Sordolibyes aliud uas aut instrumentum non possident, præter calicẽ & gladiũ.

Alitemij Libyes celerrimum inter se regem eligunt: ex reliquis honorem deferunt iustissimo.

Nomades Libyes non dierum, sed noctium numero, tempus suum numerant.

Apharantes Libyes nominibus carent. Soli orienti conuitiantur, ut qui multa mala conspectui offerat. Virginum optimas putant, quæ plurimum temporis manserint uirgines.

Ex Bœotis nõnulli eos q debitũ nõ soluunt, in forũ deductos, & sedere iussos, cophino superiniecto cooperiunt: qui aũt hoc passus fuerit, ignominiosus fit. Huiusmodi ignominia etiã Euripidis patrem Bœotum genere notatum putant.

Assyrij uirgines in foro uendunt cohabitare uolentibus: primum quidem maxime ingenuas & formosas, deinde reliquas ordine: Postquam autem ad deformissimas uentum est, per præconem diuulgant, quantum quis accipere uelit ut illas ducat, & preciũ ex pulchris collectũ istis adiungunt. In primis aũt grauitatis &

βαθύτητα καὶ ἀοργησίαν.

Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν, οὐδὲ λέγουσιν. ἐὰν δέ τις πατέρα κτάνῃ, ὑποβλητὸν αὐτὸν οἴονται. ἐὰν δέ τινα προστάξῃ βασιλεὺς μαστιγῶσαι, εὐχαριστεῖ, ὡς ἀγαθοῦ τυχὼν, ὅτι αὐτοῦ ἐμνήσθη βασιλεύς. ἆθλα δὲ λαμβάνουσι παρὰ βασιλέως πολυτεκνίας. οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ μαθήματα τὸ ἀληθεύειν διδάσκονται.

Παρ' ἰνδοῖς ἐάν τις ἀποστερηθῇ δανείου, ἢ παρακαταθήκης, οὐκ ἔστι κρίσις· ἀλλ' αὐτὸν αἰτιᾶται ὁ πιστεύσας. ὁ δὲ, τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν, θανάτῳ ζημιοῦται. τὸν δὲ, μέγιστα ἀδικήσαντα, ὁ βασιλεὺς κελεύει κείρασθαι, ὡς ἐσχάτης οὔσης ταύτης ἀτιμίας.

Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας, ἢ τὰς εἰς πόλεμον αἰσχρόν ἐστιν. ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. τοὺς δὲ γέροντας αἰσχύνονται, οὐδὲν ἧττον ἢ πατέρας. γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστιν, οὕτω καὶ παρθένων. ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ, οὔτε Σπαρτιάταις ξενιτεύειν. ταῖς δὲ αὐτῶν γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι, καὶ ἀστῶν καὶ ξένων. χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάτῃ. νομίσματι δὲ χρῶνται σκυτίνῳ. ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς, ἢ ἄργυρος, θανάτῳ ζημιοῦνται. σεμνύνονται δὲ πάντες, ἐπὶ τῷ ταπεινοὺς αὑτοὺς παρέχειν, καὶ κατηκόους ταῖς ἀρχαῖς. μακαρίζονται δὲ μᾶλλον ὑπ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες, ἢ οἱ εὐτυχῶς ζῶντες. οἱ δὲ παῖδες νομίμως περί τινα βωμὸν περιιόντες μαστιγοῦνται, ἕως ἂν ὀλίγοι λειφθέντες στεφανωθῶσιν. αἰσχρὸν δὲ ἐστὶ δειλῶν σύσκηνον, ἢ συγγυμναστὴν φίλον γενέσθαι. κρίσις δὲ ταῖς γερουσίαις ἐπὶ τῷ τέρματι τοῦ βίου προστίθεται τοῖς τε εὖ, ἢ κακῶς ζήσασιν. ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ ἀγήτορος Διὸς ἐναυσάμενος πυρφόρος λεγόμενος, συνέστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ τηρῶν. συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις, καὶ ἰατροὶ, καὶ αὐληταὶ, οἷς ἐν ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται μάχονται δὲ ἐστεφανωμένοι. ὑπανίστανται δὲ βασιλεῖ πάντες, πλὴν ἐφόρων. ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς, κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύειν.

Κρῆτες πρῶτοι ἑλλήνων, νόμους ἔσχον μίνωος θεμένου, ὃς καὶ πρῶτος ἐθαλασσοκράτησεν. προσεποιεῖτο δὲ μίνως παρὰ τοῦ Διὸς αὐτοὺς μεμαθηκέναι, δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινὰς νόμους φέρων τοῖς κρησί. μέμνηται δὲ τούτου καὶ ὅμηρος, ἐν οἷς λέγει·

τοῖς ἴδ' ἐνὶ κνωσσὸς μεγάλη πόλις ἔνθα τε μίνως γε
ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής.

οἱ δὲ κρητῶν παῖδες, ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκληραγωγούμενοι, καὶ θήρας καὶ δρόμους τε ἀνάντεις ἀνυπόδετοι κατανύοντες, καὶ τὴν ἐνόπλιον πυῤῥίχην ἐκπονοῦντες, ἥν τινα πρῶτος εὗρε πύῤῥιχος κυδωνιάτης κρὴς τὸ γένος. σιτοῦνται δ' ἐν κοινῷ οἱ ἄνδρες, τῇ αὐτῇ δίαιταν ἔχοντες ἐξ ἴσου πάντες. δῶρα δὲ αὐτοῖς ἐστὶν, ὅπλα τιμιώτατα.

Ἐκ τοῦ στρίνου. Οἱ περσῶν βασιλεῖς, περὶ μὲν τῶν θυσιῶν, περὶ εὐσεβείας διαλέγονται, περὶ δὲ τοῦ πίνειν, περὶ σωφροσύνης· πολεμεῖν δὲ μέλλοντες, περὶ ἀνδρείας.

Πέρσαις νόμος ἦν ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέντε ἡμερῶν, ἵν' αἴσθοιντο, ὅσου ἄξιός ἐστιν ὁ βασιλεὺς καὶ ὁ νόμος.

Οἱ δὲ βασιλεῖς ἀποδείκνυνται μὲν ἐκ τῶν ἱερέων, ἢ τῶν μαχίμων· τοῦ μὲν, δι' ἀνδρείαν· τοῦ δὲ, διὰ σοφίαν, γένους ἀξίωμα καὶ τιμὴν ἔχοντος. ὁ δ' ἐκ μαχίμων ἀποδεικνύμενος, εὐθὺς ἐγίνετο τῶν ἱερέων, καὶ μετεῖχε τῆς φιλοσοφίας ἐπικρυπτομένης τὰ πολλὰ μύθοις καὶ λόγοις, ἀμυδρὰς ἐμφάσεις τῆς ἀληθείας ἔχουσιν. ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες, ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης. τὸ δὲ ἐν σάϊ τῆς ἀθηνᾶς ἣν ἶσιν νομίζουσιν ἕδος, ἐπιγραφὴν εἶχε τοιαύτην. ἐγώ εἰμι πᾶν τὸ γεγονὸς, καὶ ὂν, καὶ ἐσόμενον, καὶ τὸν ἐμὸν πέπλον, οὐδείς πω θνητὸς ἀνεκάλυψεν.

Lego ἰσίας.

Ἀγάθυρσοι, ἁβρότατοι ἄνδρες εἰσὶ, καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μίξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι, καὶ οἰκήϊοι ἐόντες πάντες, μήτε φθόνῳ, μήτε ἔχθει χρέωνται ἐς ἀλλήλους.

Πλάτωνος νόμων β'. Ἆρ' οὖν νομοθετήσομεν, πρῶτον μὲν τοὺς παῖδας μέχρις ἐτῶν ἰη' τὸ παράπαν οἴνου μὴ γεύεσθαι

mansuetudinis studiosi sunt.

Persis quod facere illicitum est, id ne dicunt quidem. Si quis patrem interfecerit, spurium aut subdititium esse putant, non uerum Persam. Regi gratias agit qui flagellari ab eo iussus fuerit, tanquã fœliciter secum actum sit, quod rex memor ipsius fuerit. Ob liberorum numerositatem præmia à rege capiunt. Et pueri inter ipsos uerum loqui discunt, ceu disciplinas.

Apud Indos si quis mutuo depositóue fraudetur, non uenit in iudicium: sed seipsum accusat is qui credidit. Cæterum qui artificem aliquem manu aut oculo priuauerit, morte damnatur. Illum autem qui maximum aliquod delictum perpetrauit, rex tonderi iubet, tanquam extrema sit talis ignominia.

Lacedæmonijs artes alias quã ad bellũ spectantes discere inhonestũ est. Edunt omnes in propatulo. Senes nõ min⁹ quã patres reuerent. Gymnasia ut uirorũ, sic & uirginũ sunt. Peregrinos in Sparta uitã degere nõ licet, neq; Spartanis in peregrina regione. Vxores suas hortant, ut ex formosissimis uel ciuib⁹ uel peregrinis prolẽ suscipiant. Pecuniæ studio Spartanũ uacare, turpe dicitur. Numismate utunt scorteo. Aurũ argentúmue apud quempiã deprehendi, capitale est. Humilitate & obediẽtia magistratui præstita omnes gloriant. Fœliciores eos iudicant, qui fortiter moriunt, quã qui prospere uiuũt. Pueri arã quandã legitime circũeuntes flagellis cæduntur, donec pauci relicti coronent. Ignominiosum est timidorũ & * malorũ cõtubernalẽ aut sociũ fuisse. Senib⁹ in cõuenticulis sub finẽ uitæ actio proponit, quinã bene aut male uixerint. Cæterũ cũ expeditionẽ parant in externã regionẽ, is qui ignifer appellat, ignẽ ab ara Iouis Agetoris, id est ducis, accensum apud regẽ inextinctũ seruat. Mittunt aũt unà cũ rege uates, medici, & tibicines. Tibijs em̃ ad pugnas pro tubis semp utunt, & coronati pugnant. Regi omnes consurgunt, præter ephoros: Et rex ante susceptũ imperiũ iurat imperaturum se iuxta ciuitatis leges. Grecè legitur κακῶν.

Cretenses Græcorũ primi leges habuerũt, à Minoẽ cõditas, qui prim⁹ etiã maris impiũ obtinuit. Simulabat aũt Minos se ab ipso Ioue didicisse, nouẽ annorũ spatio montẽ quendã ingrediẽs, in quo Iouis antrũ esse dicebat, & inde semp aliquot leges Cretensibus adferens, cuius rei etiã Homerus meminit in his uersibus:

Inter illos est Cnossus magna ciuitas, ubi Minos Odyss. T.
Per * nouem annos imperauit, magni Iouis confabulator. Ἐννέωρος ab alijs aliter exponitur

Porrò Cretensium pueri simul congregantur, educanturq́; duriter, uenationes & cursus accliues pedibus nudis conficiunt, & Pyrricham in armis saltant, quam primus inuenit Pyrrichus quidam Cydoniates, Cretensis genere. Porrò uiri commune conuiuium habent, eodemq́; omnes uictu ex æquo utuntur: arma autẽ, munera eis pretiosissima sunt.

Persarum reges ante sacrificia de pietate disserunt: antequam bibant, de temperantia: pugnaturi uero, de fortitudine. Ex Serino.

Persis lex erat, ut à morte regis legũ & iuris intermissio p quinq; dies fieret, nimirũ ut intelligerent subditi, in quanto pretio regem ac legem haberi deceat.

Reges aũt ex sacerdotibus, uel bellicosis uiris creabantur. Nã generis nobilitas & honor huic ex fortitudine, illi propter sapientiã accedebat. Qui uero ex bellicosis eligebat, statim sacerdos fiebat, & particeps philosophiæ, quæ magna ex parte fabulis, & rationibus obscura ueritatis uestigia præ se ferentib⁹, inuoluit: Quod etiã ipsi significant Sphinges ante tẽpla meritò constituentes, utpote ænigmaticã sapientiã theologia ipsorũ cõtinente. Quin & Mineruæ, quã Isidem cognominant, quod in Sai est simulachrũ, talem inscriptionẽ habebat: Ego sum omne quod fuit, quod est, quodq́; erit, & peplum meum nemo mortalium reuelauit.

Agathyrsi uiri sunt mollissimi, & aurum ferunt ut plurimum. Communiter utuntur mulieribus, ut fratres mutuo fiant, & cum omnes cognati sint, nec inuidia, neq; molestia inter se utantur.

Principio lege sanciemus, ut pueri usq; ad XVIII. annũ uini usum pror. Plat. li. ij legũ.

al. ἐμμανεῖ.
* al. εὐλαβούμενον.
al. ἤδη
al. πρεσβυτικὴν τελετήν.
al. παιδιάν.

γεύεσθαι, διδάσκοντες ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν εἴς τε τὸ σῶμα καὶ τὴν ψυχήν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν † ἐμμανῆ * εὐλαβουμένους ἕξιν τῶν νέων. μετὰ δὲ τοῦτο οἴνου μὲν † ἄδη γεύεσθαι τοῦ μετρίου, μέχρι λ' ἐτῶν: μέθης δὲ καὶ πολυοινίας τοπαράπαν ἀπέχεσθαι τὸν νέον. τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν, ἐν τοῖς ξυσσιτίοις εὐωχηθέντα, καλεῖν τούς τε ἄλλους θεούς, καὶ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν † πρεσβυτέρων τελετὴν ἅμα καὶ * παιδείαν, ἣν τοῖς ἄλλοις ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο, τὸν οἶνον φάρμακον, ὥστε ἀνηβᾶν ἡμᾶς, καὶ δυσθυμίας λήθην γίγνεσθαι, μαλακώτερον ἐκ σκληροτέρου τὸ τῆς ψυχῆς ἦθος, καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα γιγνόμενον, καὶ οὕτως εὐπλαστότερον εἶναι.

Ἐν τῷ αὐτῷ.

Μηδέποτε μηδένα ἐπὶ στρατοπέδου γεύεσθαι τούτου τοῦ πόματος. ἀλλὰ ὑδροποσίᾳ συγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα, καὶ κατὰ πόλιν, μήτε δοῦλον μήτε δούλην γεύεσθαι μηδέποτε: μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτόν, ὃν ἂν ἄρχωσιν, μὴ δ' αὖ κυβερνήτας, μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας, οἴνου γεύεσθαι τοπαράπαν. μὴ δ' ὅστις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου ξυνέρχεται. μηδέ γε μεθ' ἡμέραν μηδένα τοπαράπαν, εἰ μὴ σωμασκίας, ἢ νόσων ἕνεκα: μηδὲ αὖ νύκτωρ, ὅταν ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνήρ, ἢ καὶ γυνή. καὶ ἄλλα δὲ πάνυ πολλὰ ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθόν, οὐ ποτέος οἶνος, ὥστε κατὰ τὸν λόγον τοῦτον, οὐδ' ἀμπέλων ἂν πολλῶν δέοι, οὐδ' ἥ τινι πόλει. τακτὰ δὲ τὰ ἄλλα ἂν εἴη γεωργήματα, καὶ πᾶσα ἡ δίαιτα, καὶ δή τά γε περὶ * οἴνου σχεδὸν, ἁπάντων * ἐμπειρότατα καὶ ὀλίγιστα γίγνοιτ' ἄν. οὗτος ὦ ξένοι ἡμῖν, εἰ ξυνδοκεῖ, κολοφὼν ἐπὶ τῷ περὶ οἴνου λόγῳ ἐπιθέντι εἰρήσθω. καλῶς, καὶ ξυνδοκεῖ.

al. οἶον.
al. ἐμμετρότατα.

Τοῦ αὐτοῦ νόμων γ'.

Ἄρχοντας δὲ δὴ καὶ ἀρχομένους ἀναγκαῖον ἐν ταῖς πόλεσιν εἶναί που; τί μήν; εἶεν. ἀξιώματα δὲ δὴ τοῦ τε ἄρχειν, καὶ ἄρχεσθαι, ποῖά ἐστι καὶ πόσα; ἔν τε πόλεσι μεγάλαις, καὶ μικραῖς, καὶ οἰκίαις ὡσαύτως. ἆρ' οὐχὶ ἓν μὲν τό, τε πατρὸς καὶ μητρός, καὶ ὅλως γονέας ἐκγόνων ἄρχειν, ἀξίωμα ὀρθὸν πανταχοῦ ἂν εἴη; καὶ μάλα. τούτῳ δέ γε ἑπόμενον, γενναίους ἀγεννῶν ἄρχειν. καὶ τρίτον ἔτι τούτοις ξυνέπεται, τὸ πρεσβυτέρους μὲν ἄρχειν δεῖν, νεωτέρους δὲ ἄρχεσθαι. τί μήν; τέταρτον δ' αὖ, δούλους μὲν ἄρχεσθαι, δεσπότας δὲ ἄρχειν. πῶς γὰρ οὔ; καὶ πέμπτον γε οἶμαι, τὸν κρείττονα μὲν ἄρχειν, ἥττονα δὲ ἄρχεσθαι. μάλα γε ἀναγκαίαν ἀρχὴν εἴρηκας. καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζώοις οὖσαν καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος. τὸ δὲ μέγιστον ὡς ἔοικεν ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιστήμονα κελεῦον: τὸν δὲ φρονοῦντα, ἡγεῖσθαί τε καὶ ἄρχειν. καί τοι τοῦτό γε ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι: κατὰ φύσιν δὲ τὴν τοῦ νόμου * ἐχόντων ἀρχήν, ἀλλ' οὐ βίαιον πεφυκυῖαν. ὀρθότατα λέγεις. θεοφιλῆ δέ γε καὶ εὐτυχῆ τινὰ λέγοντες, ἑβδόμην ἀρχήν, εἰς κλῆρόν τινα προάγομεν, καὶ λαχόντα μὲν ἄρχειν: δυσκληροῦντα δὲ ἀπιόντα ἄρχεσθαι, τὸ δικαιότατον εἶναι φαμέν.

al. ἑκόντων.

Τοῦ αὐτοῦ νόμων δ'.

Λέγεται δὲ τοῦδ' ἕνεκα ταῦθ' ἡμῖν, ὡς ἡμεῖς τῇ σῇ πόλει, ἀρχάς. οὔθ' ὅτι πλούσιός ἐστί τις δώσομεν, οὔθ' ὅτι τῶν τοιούτων ἄλλο οὐδὲν κεκτημένος, ἰσχύν, ἢ μέγεθος, ἤ τι γένος. ὃς δ' ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατος ᾖ, καὶ νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει τούτῳ, φαμὲν καὶ τὴν τῶν θεῶν ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώτῳ, καὶ δευτέραν, τῷ τὰ δεύτερα κρατοῦντι. καὶ κατὰ λόγον οὕτω τοῖς ἐφεξῆς, τὰ μετὰ ταῦθ' ἕκαστα ἀποδοτέον εἶναι. τοὺς δ' ἄρχοντας λεγομένους, νῦν ὑπηρέτας τοῖς νόμοις ἐκάλεσα, οὔτι καινοτομίας ὀνομάτων ἕνεκα: ἀλλ' ἡγοῦμαι παντὸς μᾶλλον εἶναι παρὰ τοῦτο, σωτηρίαν τε πόλει καὶ τοὐναντίον. ἐν ᾗ μὲν γὰρ ἂν ἀρχόμενος ᾖ, καὶ ἄκυρος νόμος, φθορὰν ὁρῶ τῇ τοιαύτῃ ἑτοίμην οὖσαν: ἐν ᾗ δὲ ἂν δεσπότης τῶν ἀρχόντων, οἱ δὲ ἄρχοντες δοῦλοι τοῦ νόμου, σωτηρίαν, καὶ πάντα ἀγαθά, ὅσα οἱ θεοὶ πόλεσιν ἔδοσαν γιγνόμενα καθορῶ. ναὶ μὰ Δία ὦ ξένε, καθ' ἡλικίαν γὰρ ὀξὺ βλέπεις. νέος μὲν γὰρ ὢν πᾶς ἄνθρωπος, τὰ τοιαῦτα ἀμβλύτατα αὐτὸς αὑτοῦ ὁρᾷ, ὁ γέρων ᾖ, ὀξύτατα. ἀληθέστατα.

Ἐν τῷ αὐτῷ.

Φέρε δὴ πρὸς θεῶν, τίνα ἄρα πρῶτον νόμον θεῖτ' ἂν ὁ νομοθέτης, ἆρ' οὐ κατὰ φύσιν, τὴν περὶ γενέσεως ἀρχὴν πρώτην πόλεων πέρι κατακοσμήσει ταῖς τάξεσι; τί μήν; ἀρχὴ δ' ἐστὶ τῶν γενέσεων πάσαις πόλεσιν, ἆρ' οὐχ ἡ τῶν γάμων σύμμιξις καὶ κοινωνία; πῶς γὰρ οὔ;

γαμι-

fus ignorent. Nempe eos monebimus nõ oportere ignẽ igni in corpus atq; animã suggerere, antequã uiri effectu subire labores incipiant. Furiosum nanq; habitũ iuuẽtutis cauere oportet. Deinde uino moderate utantur usq; ad ætatis annũ XXX. Ab ebrietate uero & uini repletione iuuenes omnino abstineant. Sed cũ ad quadragesimũ peruenerint, tunc in cõuiuijs liberius discumbentes cũ alios deos, tũ Dionysiũ ad sacra senũ & ludos inuocẽt, q hominib⁹ uinũ quasi remediũ aduersus senectutis duritiã est largit⁹, ut reiuuenescere uideamur, & mœstitiæ nos obliuio capiat, ipsaq; affectio animi, sicuti ferrũ in igne, ex duritie in mollitiẽ deducta, flexibilior fiat.

Nunquã in castris quisquã gustare uinũ audeat, sed toto illo tẽpore aqua bibat, & in ciuitate nunquã uini usum seruo uel seruæ cõcederem. Sed nec magistratib⁹ toto eo tẽpore, quo magistratu funguntur. Gubernatores etiã atq; iudices munus suũ subituros à uino penitus prohiberem. Deliberaturos quoq; de reb⁹ nõ omnino negligendis. Ac nulli penit⁹ interdiu uinũ cõcederem, nisi exercitationis corporeæ morborumq; causa hoc potu opus fuerit, neq; etiã nocte uiro uel mulieri quando liberis opera dare uolunt. Plura etiã referri possent, in quibus homines legis rectæ mentisq; cõpotes uino abstinerent. Quapropter secundum hanc rationẽ, nec multis ciuitati uineis opus esset. Atqui & reliqua agricultura omnisq; uiuendi norma ordinem suum teneret, ac uini usus fermè omnium moderatissimus & parcissimus esset. Hic itaq; sermoni de uino hospites, si uobis quoq; uidetur, colophon impositus sit. Recte, & consentimus. *Ibidem.*

Imperantes uero & parentes nónne in ciuitatib⁹ esse debẽt? Quid ni? Esto. Rationes autẽ pro dignitate imperandi parendiq;, tam in ciuitatibus seu magnis seu paruis quã priuatim in domibus similiter quales & quot sunt? Nónne prima dignitatis recta ratio erit, ut pater ac mater, & simpliciter genitores ubiq; natis temperent? Maximè. Secunda, ut ignobilibus generosi? Tertia, ut iunioribus seniores? Et hoc. Quarta, ut domini seruis? Proculdubio. Quinta, ut potentiores dominentur, imbecilliores seruiant? Principatum modo dixisti admodum necessarium. Imo uero qui plurimus, & secundum naturam, ut Thebanus Pindarus ait, in omnibus animalibus reperitur. Maxima uero dignitas sexta collocanda est, quam ignorantes quidem sequi iubentur, prudentes autem ducere atq; dominari. Quod ego quidem imperium ô sapientissime Pindare, non prẹter naturam, sed secundum naturam legis, & sponte susceptum non uiolenter fieri affirmarem. Probe dictum. Septimum principatum ad sortem aliquam producamus, eum Dei gratia & fœlicitate quadam obtingere asserẽtes: & iustissimum esse ducamus, ut is quem sors delegerit imperet, ille uero quem repulerit, pareat. *Eiusdem de legibus dialog. 3.*

Hæc autem eam ob causam dicimus, quia nos tua in ciuitate non ideo magistratus alicui dabimus, quod diues sit, aut huiusmodi quicquam possideat, ut robur, magnitudinem, generis claritatem. Ei uero qui positis legibus parebit maxime, & hac re cæteris in ciuitate præstabit. Deorum quoq; cultum & ministerium dabimus, maximum quidem primo, secundum uero illi qui secundo loco excellet. Eademq; ratione sequentibus singula pro dignitate distribuemus. Magistratus autem legum ministros appellaui, non quia innouare uocabula cupiam, sed quia putem salutem hinc maxime ciuitati fore, & contrarium ex contrario. Interim enim paratum illi ciuitati exitium uideo, in qua nõ lex magistratibus, sed legi magistratus prẹsunt. Salutem uero illi, ubi lex seruientibus magistratibus dominantur. Cuncta certè bona quæ dij ciuitatibus præbent, huic affore cerno. Per Iouem hospes acutè ut ætas tua postulat, perspicis. Iuuenis enim hæc obtuse admodum, senex acutissime cernit. Vera loqueris. *Platonis de legibus dialog. 4.*

Dic age per deos, quã legis cõditor primã legẽ cõscribet? An nõ secundũ naturã, primũ generationis in ciuitate principiũ ante omnia legibus exornabit? Plane. Principiũ aũt generationis omnib⁹ ciuitatib⁹ nuptiarũ cõuent⁹ atq; com *Ibidem.*

γαμικοὶ δὲ νόμοι πρῶτοι κινδυνεύουσι τιθέμενοι, καλῶς ἂν τίθεσθαι πρὸς ὀρθότητα πάσῃ πόλει. παντάπασι μὲν οὖν. λέγωμεν δὴ πρῶτον τὸν ἁπλοῦν, ἔχοι δ' ἂν πως ἴσως ὧδε. γαμεῖν δὲ, ἐπειδὰν ἐτῶν ᾖ τις τριάκοντα, μέχρι τῶν πέντε καὶ τριάκοντα. εἰ δὲ μὴ, ζημιοῦσθαι χρήμασί τε καὶ ἀτιμίᾳ. χρήμασι μὲν τόσοις καὶ τόσοις, * τῇδε καὶ τῇδε ἀτιμίᾳ. ὁ μὲν ἁπλῶς, ἔστω τις τοιοῦτος περὶ γάμων, ὁ διπλοῦς δὲ, ὧδε. γαμεῖν δὲ, ἐπεὶ ἐτῶν ᾖ τις τριάκοντα διανοηθέντα, ὡς ἔστιν ᾗ τὸ ἀνθρώπινον γένος, φύσει τινὶ μετείληφεν ἀθανασίας οὗ καὶ πέφυκεν ἐπιθυμίαν ἴσχειν πᾶς πᾶσαν. τὸ γὰρ γενέσθαι κλεινὸν καὶ μὴ ἀνώνυμον κεῖσθαι τετελευτηκότα, τοῦ τοιούτου ἐστὶν ἐπιθυμία. γένος οὖν ἐστὶν ἀνθρώπων τι ξυμφυὲς τοῦ παντὸς χρόνου, ὃ διὰ τέλους αὐτῷ ξυνέπεται, καὶ συνέψεται τούτῳ τῷ τρόπῳ ἀθάνατον ὂν, τῷ παῖδας παίδων καταλειπόμενον, ταὐτὸν καὶ ἓν ὂν ἀεὶ γενέσει τῆς ἀθανασίας μετειληφέναι. τούτου δὴ ἀποστερεῖν ἑκόντα ἑαυτὸν οὐδέποτε ὅσιον: ἐκ προνοίας δὲ ἀποστερεῖ, ὃς ἂν παίδων καὶ γυναικὸς ἀμελῇ. πειθόμενος μὲν οὖν τῷ νόμῳ, ἀζήμιος ἀπαλλάττοιτο ἄν. μὴ πειθόμενος δὲ αὖ, μήτε γαμῶν, ἔτη τριάκοντα γεγονὼς καὶ πέντε, ζημιούσθω μὲν κατ' ἐνιαυτὸν, τόσῳ καὶ τόσῳ, ἵνα μὴ δοκῇ τὴν μοναυλίαν † οἷον κέρδος καὶ * ῥαθυμίαν φέρειν. μὴ μετέχοι δὲ τιμῶν, ὧν ἂν οἱ νεώτεροι ἐν τῇ πόλει τοὺς πρεσβυτέρους αὐτῶν τιμῶσιν ἑκάστοτε.

alias τῇ.

† alias οἱ.
* al. ῥᾳστώνην.

Καθάπερ οὖν δή τινα ξυμφυὴν, ἢ καὶ πλέγμα ἄλλ' ὁτιοῦν, οὐκ ἐκ τῶν αὐτῶν οἷόν τέ ἐστι, τήν τε ἐφυφὴν, καὶ τὸν στήμονα ἀπεργάζεσθαι, διαφέρειν δὲ ἀναγκαῖον τὸ τῶν * στημονίων πρὸς ἀρετὴν γένος. ἰσχυρόν τε γὰρ, καί τινα βεβαιότητα ἐν τοῖς τρόποις εἰληφός. τὸ δὲ μαλακώτερον καὶ ἐπιεικείᾳ τινὶ δικαίᾳ χρώμενον. ὅθεν δὴ τοὺς τὰς μεγάλας ἀρχὰς ἐν ταῖς πόλεσιν ἄρξοντας, δεῖ διακρίνεσθαί τινα τρόπον ταύτῃ, καὶ τοὺς σμικρᾷ παιδείᾳ βασανισθέντας ἑκάστοτε καὶ κατὰ λόγον. ἔστον γὰρ δὴ δύο πολιτείας εἴδη, τὸ μὲν, ἀρχῶν καταστάσεις ἑκάστοις, τὸ δὲ, νόμοι ταῖς ἀρχαῖς ἀποδοθέντες. τὸ δὲ πρὸ τούτων ἁπάντων, δεῖ διανοεῖσθαι τὰ τοιάδε. πᾶσαν ἀγέλην ποιμὴν, καὶ βουκόλος, τροφεύς τε ἵππων, καὶ ὅσα ἄλλα παραλαβὼν τοιαῦτα, οὐκ ἄλλως μή ποτε ἐπιχειρήσει θεραπεύειν, ἢ πρῶτον μὲν τὸν ἑκάστῃ προσήκοντα καθαρμὸν καθάρῃ τῇ ξυνοικήσει. διαλέξας δὲ τά τε ὑγιῆ, καὶ τὰ μὴ, καὶ τὰ γενναῖα καὶ ἀγεννῆ, τὰ μὲν ἀποπέμψει πρὸς ἄλλας τινὰς ἀγέλας: τὰ δὲ, θεραπεύσει, διανοούμενος, ὡς μάταιος ἂν ὁ πόνος εἴη καὶ ἀνήνυτος, περί τε σώματα καὶ ψυχὰς, ἃς φύσις καὶ πονηρὰ τροφὴ διεφθαρκυῖα, προσαπόλλυσι τὸ τῶν ὑγιῶν καὶ ἀκηράτων ἠθῶν τε καὶ σωμάτων γένος, ἐν ἑκάστοις τῶν κτημάτων ἄν τις τὰ ὑπάρχοντα μὴ διακαθαίρηται. τὰ μὲν δὴ τῶν ἄλλων ζώων, ἐλάττων τε σπουδὴ, καὶ παραδείγματος ἕνεκα μόνον ἄξια παραθέσθαι τῷ λόγῳ. τὰ δὲ τῶν ἀνθρώπων, σπουδῆς τῆς μεγίστης τῷ τε νομοθέτῃ διερευνᾶσθαι, καὶ φράζειν τὸ προσῆκον ἑκάστοις, καθαρμοῦ τε πέρι, καὶ ξυμπασῶν τῶν ἄλλων πράξεων. αὐτίκα γὰρ τὸ περὶ καθαρμοὺς πόλεως, ὧδ' ἔχον ἂν εἴη. πολλῶν οὐσῶν τῶν διακαθάρσεων, αἱ μὲν, ῥᾴους εἰσὶν, αἱ δὲ χαλεπώτεραι. καὶ τὰς μὲν, τύραννος μὲν ὢν, καὶ νομοθέτης ὁ αὐτὸς, ὅσαι χαλεπαί τέ εἰσι καὶ ἄρισται, δύναιτ' ἂν καθῆραι. νομοθέτης δὲ, ἄνευ τυραννίδος καθιστὰς πολιτείαν καινὴν, καὶ νόμους, εἰ καὶ τὸν πρᾳότατον τῶν καθαρμῶν καθήρειεν, * ἀγαπώντως ἂν καὶ τὸ τοιοῦτον δράσειεν. ἔστι δ' ὁ μὲν ἄριστος, ἀλγεινὸς, καθάπερ ὅσα τῶν φαρμάκων τοιουτότροπα. ὁ τῇ δίκῃ μετὰ τιμωρίας εἰς τὸ κολάζειν ἄγων, θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς. τοὺς γὰρ μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δὲ ὄντας, μεγίστην δὲ βλάβην οὖσαν πόλεως, ἀπαλλάττειν εἴωθεν. ὁ δὲ, πρᾳότερός ἐστι τῶν καθαρμῶν ὁ τοιόσδε ἡμῖν. ὅσοι διὰ τὴν τῆς τροφῆς ἀπορίαν τοῖς ἡγεμόσιν ἐπὶ τὰ τῶν ἐχόντων μὴ ἔχοντες ἑτοίμους αὑτοὺς ἐνδείκνυνται παρεσκευακότες ἕπεσθαι, τούτοις ὡς νοσήματι πόλεως ἐμπεφυκότι δι' εὐφημίαν ἀπαλλαγῆς ὄνομα ἀποικίας τιθέμενος εὐμενῶς ὅτι μάλιστα ἐξεπέμψατο. παντὶ μὲν οὖν νομοθετοῦντι, τοῦτο ἀμωσγέπως κατ' ἀρχὰς δραστέον. ἡμῖν μὴν ἔτι τούτων ἀτοπώτερα τὰ περὶ ταῦτ' ἐστὶ ξυμβεβηκότα νῦν. οὔτε γὰρ ἀποικίας, οὔτ' ἐκλογήν τινα καθάρσεως δεῖ μηχανᾶσθαι πρὸς τὸ παρόν. οἷον δέ τινων ξυρρεόντων ἐκ πολλῶν, τὰ μὲν, πηγῶν, τὰ δὲ, χειμάρρων εἰς μίαν λίμνην, ἀναγκαῖον προσέχοντας τὸν νοῦν φυλάττειν, ὅπως ὅτι καθαρώτατον ἔσται τὸ ξυρρέον ὕδωρ. καὶ τὰ μὲν, ἐξαντλοῦντας, τὰ δὲ ἀποχετεύοντας, καὶ παρατρέποντας. πόνος δ' ὡς ἔοικε καὶ κίνδυνός ἐστιν ἐν πάσῃ πολιτικῇ κατασκευῇ. ἀλλ' ἐπειδήπερ λόγῳ γε ἐστὶ τὰ νῦν, ἀλλ' οὐκ ἔργῳ πραττόμενα, πεπεράνθω τε ἡμῖν ἡ ξυλλογὴ,

νόμων ἢ.
al. στημόνων.

al. ἀγαπητῶς.

καὶ κατὰ

munio. Vtiq;. Quare si nuptiales primum leges ponantur, bene ad omnem ciuitatem recte constituendam positæ uidebuntur. Sic est omnino. Simplicem ergo primum dicamus, quæ sic se forsan habebit. Vxorem quisq; à trigesimo anno usq; ad trigesimum quintum ducat. Si non duxerit, pecunia mulctetur atq; dedecore: pecunia quidem tanta uel tanta, dedecore autem tali quodam uel tali. Et simplex quidem lex de nuptijs talis sit, duplex autem talis. Vxorem ducere quisq; debet ab anno trigesimo ad trigesimum quintum, cogitans quod natura quadam humanum genus quodammodo immortalitatem consequitur. Cuius rei quisq; natura summopere cupidus est. Nemo enim est qui non desideret perpetuum apud posteros nomen habere. Genus ita hominum immortali hoc modo in sempiternum perdurat, quod filiorum filios relinquendo unum & idem semper generatione immortalitatem adipiscatur. Nefas autem est immortalitate seipsum sponte priuare. Hac uero ex animo ille se priuat, qui filios & uxorem negligit. Quicunq; legi huic obtemperauerit, indemnis esto. Qui uero non paruerit, & quinq; ac triginta annos natus uxorem non duxerit, ne solitariam uitam lucro sibi & uoluptati fore censeat, tanta in annos singulos mulctetur pecunia, neq; eorum particeps honorum sit, quos iuniores quotidie in ciuitate senioribus exhibent.

Quemadmodum igitur quæcunq; texuntur, non ex similibus omnino trama stamineq; texuntur, sed staminis genus robustius atq; firmius est, tramæ mollius ut facilius cedat: ita homines qui magistratus gesturi in ciuitate sunt, eodem modo discerni semper oportet, eos qui in leuiori quadam facultate experimentum sui dederunt. Duæ uero sunt in repub. species. Altera magistratuum, altera legum constitutio. Ante uero hæc omnia ita cogitandũ est. Cum pastor atq; bubulcus equorumq; curator, cæteriq; huiusmodi, greges & armenta susceperint, non antea curant quã singulis conuenientibus conuenientem purgationem adhibeant. Porrò sanis ab ægrotantibus generosisq; ab ignauis segregans, altera in greges alios mittent, altera uero curabunt, non ignorantes aliter frustra se tam pro corpore quàm pro anima laboraturos. Nempe naturæ & educationis prauitas ita corrumpit, ut nisi quis segreget sanorum integrorumq; morum ac corporum genus, in singulis contagione interimant. Sed de cæteris quidem animalibus minor cura, & exempli causa solum eorum mentio facienda. De hominibus uero maximum studium legislator habebit, ac diligenter rimabitur omnia, ut singulis consentanea scribere queat, tum de lustratione, tum de cæteris omnibus actionibus. Sic igitur ciuitatis lustrationes se habent. Multæ enim sunt, & aliæ leuiores, grauiores aliæ. Ac si quis tyrannus simul legisq; lator sit, difficilibus & optimis lustrationibus uti poterit. Legis autem latori absq; tyrannide, qui leges nouas atque rempub. fundet, satis erit factum si purgationem mitissimam adhibuerit. Nam exactissima purificatio, quemadmodum medicina quæ ualidior corporibus adhibetur, doloris plena est, & cum ultione iusta pœnam infert, morte peccantem aut exilio damnans. Eos enim qui maxima peccata patrarunt, si insanabiles sunt, quoniam ciuitati maxime noceant, remouere omnino solet. Mitior uero purgatio huiusmodi nobis est. Qui enim ob inopiam uictus duces quærunt hisq; sponte se offerunt secuturi ex egestate aduersus eos qui non egent, hos tanquam morbum, qui ciuitatem labefactet, honestæ coloniæ nomine benigne expellit. Hæc omni legumlatori quodammodo à principio, ut diximus, facienda. Nobis aũt difficiliora quædam in præsentia euenerunt. Nam neq; coloniam, neq; delectũ aliquem purgandi gratia ad præsens excogitare oportet, sed quasi ex multis fontibus torrentibusq; aqua ad lacunas easdem confluat necesse est obseruare, ut qui undiq; confluit humor, partim exhauriendo effundendoq;, partim deriuando atque diuertendo quàm mundissimus fit. Labor autem ut uidetur & periculum est in omni constitutione ciuili. Quoniam uero non re nunc, sed uerbis agitur, perfectus iam nobis sit delectus, sitq; ut desideramus facta purgatio.

Eiusdẽ dialogo quinto legum.

Nam malos, qui hanc ciuitatem adire gubernaturi contendent, cũ satis longo tempore examinauerimus, omni persuasione accedere prohibemus: probos autem pro uiribus beneuolos propitiosq́ facientes alliciemus.

Accedit ad hæc & alia lex, quę iubet ne quis priuatus uel aurũ habeat uel argentũ. Sed quia nummis opus est quotidianæ cõmutationis gratia, quæ inter artifices & huiusmodi fermè est necessaria, cum mercenarijs & seruis & colonis merces aliqua debeatur, idcirco nummos habere concedimus, &c. *Ibidem.*

Si qua uero necessitas priuatũ peregre proficisci coëgerit, magistratuũ uenia proficiscat. Reuersus aũt, si pegrinis nũmis abundat, cũ ciuitatis nũmis eos cõmutet, ciuitatiq́ restituat. Quod si qs occultare eos, & in priuatũ usum cõuertere deprehensus fuerit, publicũ fiat q̃d occultabat. Conscij aũt q non accusauerũt, maledictis atq; opprobrijs unà cũ illo subijciant, atq; etiã nõ minore mulcta puniantur, quã allatus peregre nũmus fuerit. Nemini præterea aut dare dotes aut accipere liceat, neq; pecuniã deponere apud eũ cui nõ adhibes fidem, neq; fœnerare: liceatq́, si quis in fœnus acceperit, nec usuram nec sortem reddere. *Paulo post.*

Serui eñ & domini amici nunquã erunt. Nec probi nec improbi, si æqualib⁹ afficiant honoribus. Inæqualibus eñ æqualia inæqualia fiunt nisi mensurã accipiant. Nam propter hæc utraq; seditionibus replent respublicæ. Verus eñ priscus ille sermo, ab æqualitate amicitiã procreari, rectè admodũ & cõcinne fert: quoniã uero nõ satis apertũ est quænã sit æqualitas qua id efficit, idcirco nos ualde turbamur. Duæ quippe sunt æqualitates eodẽ qdẽ nomine appellatæ, sed effectu in multis penè contrariæ, & alterã omnis ciuitas legumq́ lator sorte disponendo potest in distribuendis honorib⁹ adhibere, eã dico quæ numero, pondere, & mensura est æqualis. Sed uerissimã optimamq́ æqualitatẽ nõ facile quiuis pspiciet: Iouis eñ iudiciũ est, & hominib⁹ quidẽ pauca sẽp suggerit: quatenus aũt suppetit, tam priuatis quã ciuitatibus bona omnia affert. Hæc sanè maiori plura, minori pauciora tribuit: utrisq; uidelicet secundũ eorũ naturã moderata. Atq & honores, uirtute maiorib⁹ sẽp maiores: minorib⁹ aũt uirtute & disciplina, minores: & utrisq; secũdũ rationẽ, q̃d decet, impertit. Ea eñ certe nobis est ciuilis iustitia: hanc & nos appetere debemus, atq; ad hanc ipsam ô Clinia æqualitatẽ respicere, dũ hanc nouã condimus & disponimus ciuitatẽ, & quisq; aliã instituit, eodẽ debet in legib⁹ ferendis aspicere. Nõ aũt ad paucos tyrannos, uel ad unũ, uel populi potestatẽ, sed ad iustitiã sẽp inspiciẽdũ. Ea est quã modo diximus, æqualis ipsius secũdũ naturã quotidie inæqualib⁹ distributio. Veruntñ necesse est, ut his duab⁹ ęqualitatib⁹ in denominatione similib⁹ ciuitas uni uersa utat, si tota uelit procul ab omni seditione manere. Aequabilitas eñ illa laudabilis, & æqui diiudicatio pfecti: atq; exacti, cũ pter rectũ iudiciũ fit, uiolat & frangit. Ideoq́ ęqualitate sortis uti etiã necesse est ad multorũ indignationẽ penitus deuitandũ. Qua in re deũ bonamq́ fortunã precib⁹ inuocare opter, ut sors ad id q̃d est iustissimũ dirigat. Sic igit necessario utrisq; æqualitatib⁹ uti debemus: sed in reb⁹ admodũ paucissimis, ea æqualitate, cui fortuna opus est. Hæc ita ob hanc causam ô amici, necesse ab ea ciuitate, quæ salutem sit consecutura, seruari. *Platonis de legibus dialog. 6.*

Tres sunt magistratuũ species eligendæ. Et rerũ modo dictarũ curatores, appellentur ædiles: Qui uero fori uenditionisq́ curã habebunt, rerũ uenaliũ curatores: Sacrorũ aũt, sacerdotes. Et sacerdotia qdẽ, quæ à parẽtib⁹ p successionẽ seu uiris siue mulieribus tradita sunt, nequaquam mouenda. Si uero aut nullis aut paucis aliqua huiusmodi sunt, quod accidere par est illis, qui in nouæ ciuitatis habitationem conueniunt, ubi hæc desunt sacerdotes tã uiri quã mulieres & æditui cõstituendæ sunt. Quæ omnia partim delectione, partim sorte fieri oportet. Atq; in omni regione ciuitateq́ plebs cũ illis q extra plebẽ sunt, per amicitiã coniungenda, ut maxima sit in omnib⁹ his cõsensio. Et quæ ad sacerdotũ creationẽ attinent, deo cõmittenda sunt, ut quemadmodũ illi placet, ita diuina fortuna cui tributũ id sit, sortes ferat. In eorum autem qui sortis suffragium assecuti sunt, examinatione ille est comprobandus, *Ibidem. Vide præcedentia apud Plat.*

πρῶτον μὲν ὁλόκληρον καὶ γνήσιον, ἔπειτα ὡς ὅτι μάλιστα ἐκ καθαρευουσῶν οἰκήσεων, φόνου
al. ἁμαρτανόντων. δὲ ἁγνὸν καὶ πάντων τῶν περὶ τὰ τοιαῦτα εἰς τὰ θεῖα * ἁμαρτανομένων αὐτόν τε, καὶ πα-
aliàs abest. τέρα καὶ μητέρα κατὰ ταὐτὰ βεβιωκότας. ἐκ Δελφῶν δὲ χρὴ νόμους περὶ τὰ θεῖα * πάντα
κομισαμένους, καὶ καταστήσαντας ἐπ' αὐτοῖς ἐξηγητὰς τούτοις χρῆσθαι. κατ' ἐνιαυτὸν δὲ
al. ἱερέα. εἶναι, καὶ μὴ μακροτέραν τὴν ἱερωσύνην * ἑκάστην. ἔτη δὲ μὴ ἔλαττον ἑξήκοντα ἡμῖν εἴη γε-
γονὼς, ὁ μέλλων καθ' ἱεροὺς νόμους περὶ τὰ θεῖα ἱκανῶς ἁγιστεύειν. ταὐτὰ δὲ καὶ περὶ τῶν ἱε-
ρειῶν ἔστω τὰ νόμιμα. τοὺς δ' ἐξηγητὰς τρεῖς φερέτωσαν μὲν αἱ τέτταρες φυλαὶ τέτταρας ἕκα-
στον ἐξ αὑτῶν. τρεῖς δὲ, οἷς ἂν πλείστη γένηται ψῆφος, δοκιμάσαντας τοὺς ἐννέα πέμπειν εἰς
Δελφοὺς ἀνελεῖν ἐξ ἑκάστης τριάδος ἕνα, τὴν δὲ δοκιμασίαν αὐτῶν καὶ τοῦ χρόνου τὴν ἡλικίαν
εἶναι καθάπερ τῶν ἱερέων.

aliàs nō legitur ἐν τούτῳ. Τούτων δὲ οἱ νομοφύλακες * ἐν τούτῳ, ἀκριβεῖς ἔστωσαν ἐπίσκοποι, ὅπως ἢ μὴ γίγνηται τὴν ἀρχὴν, ἢ γιγνόμενα τῆς ἀξίας δίκης τυγχάνῃ. δεῖ δὲ πάντα ἄνδρα διανοεῖσθαι περὶ πάντων ἀνθρώπων, ὡς ὁ μὴ δουλεύσας, οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου. καὶ καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον, ἢ καλῶς ἄρξαι, πρῶτον μὲν τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν· ἔπειτα ἀεὶ τοῖς πρεσβυτέροις τε καὶ ἐντίμως βεβιωκόσι τοὺς νέους.

Εν ταυτῷ. Λοιπὸς δὲ ἄρχων περὶ τὰ προειρημένα ἡμῖν, ὁ τῆς παιδείας ἐπιμελητὴς πάσης, θηλειῶν τε, καὶ ἀῤῥένων, εἷς μὲν δὴ καὶ ὁ τούτων ἄρξων ἔστω κατὰ νόμους, ἐτῶν μὲν γεγονὼς μὴ ἔλαττον, ἢ πεντήκοντα· παίδων δὲ γνησίων πατὴρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μὴ θάτερα. διανοηθήτω δὲ αὐτός τε ὁ προκριθεὶς, καὶ ὁ προκρίνων, ὡς οὖσαν ταύτην τὴν ἀρχὴν, τῶν ἐν τῇ πόλει ἀκροτάτων ἀρχῶν πολὺ μεγίστην. παντὸς γὰρ δὴ φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα, πρὸς ἀρετὴν τῆς αὑτοῦ φύσεως, κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν, καὶ τῶν ζώων ἡμέρων τε, καὶ ἀγρίων, καὶ ἀνθρώπων. ἄνθρωπος δὲ ὥς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς, θειότατον, ἡμερώτατόν τε ζῶον γίγνεσθαι φιλεῖ. μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν, ἀγριώτατον ὁπόσα φύει γῆ. ὧν ἕνεκα οὐ δεύτερον, οὐδὲ πάρεργον δεῖ τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐᾶν γίγνεσθαι. πρῶτον δὲ ἄρξασθαι
al. ἐπιμελεῖσθαι. χρεὼν τὸν μέλλοντα αὐτῶν * ἐπιμελήσεσθαι καλῶς, αἱρεθῆναι τῶν ἐν τῇ πόλει, ὃς ἂν ἄριστος εἰς πάντα ᾖ, τοῦτον κατὰ δύναμιν ὅτι μάλιστα αὐτοῖς καθιστάντα προστάττειν, ἐπιμελητήν. αἱ πᾶσαι τοίνυν ἀρχαὶ πλὴν βουλῆς καὶ πρυτάνεων εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἐλθοῦσαι, φερόντων ψῆφον κρύβδην τῶν νομοφυλάκων, ὅντιν' ἂν ἕκαστος ἡγῆται κάλλιστ' ἂν τῶν περὶ παιδείαν ἄρξαι γενομένων. ᾧ δ' ἂν πλεῖσται ψῆφοι ξυμβῶσι, δοκιμασθεὶς ὑπὸ τῶν ἄλλων ἀρχόντων τῶν ἑλομένων, πλὴν νομοφυλάκων, ἀρχέτω ἔτη πέντε. ἕκτῳ δὲ κατὰ ταὐτὰ ἄλλον ἐπὶ ταύτην τὴν ἀρχὴν αἱρεῖσθαι.

Τοῦ αὐτοῦ νόμων ζ'. Μετά γε μὴν ταῦτα, ὕμνοι θεῶν καὶ ἐγκώμια κεκοινωνημένα εὐχαῖς, ᾄδοιντ' ἂν ὀρθότατα. καὶ μετὰ θεοὺς, ὡσαύτως περὶ δαίμονάς τε καὶ ἥρωας, μετ' ἐγκωμίων εὐχαὶ γίγνοιντ' ἂν τούτοις πᾶσι πρέπουσαι. πῶς γὰρ οὔ. μετά γε μὴν ταῦτ' ἤδη νόμος ἄνευ φθόνων εὐθὺς γίγνοιτ' ἂν ὅδε. τῶν πολιτῶν ὁπόσοι τέλος ἔχοιεν τοῦ βίου, κατὰ σώματα, ἢ κατὰ ψυχὰς ἔργα ἐξειργασμένοι καλὰ καὶ ἐπίπονα, καὶ τοῖς νόμοις εὐπειθεῖς γεγονότες, ἐγκωμίων αὐτοὺς τυγχάνειν πρέπον ἂν εἴη. πῶς δ' οὔ; τούς γε μὴν ἔτι ζῶντας ἐγκωμίοις τε καὶ ὕμνοις τιμᾶν οὐκ ἀσφαλὲς, πρὶν ἂν παντὰ
al. γινομένοις. τις τὸν βίον διαδραμὼν, τέλος ἐπιστήσηται καλόν. ταῦτα δὲ πάντα ἡμῖν ἔστω κοινὰ ἀνδράσι τε καὶ γυναιξὶν, ἀγαθοῖς καὶ ἀγαθαῖς διαφανῶς * γενόμενα.

Τοῦ αὐτοῦ νόμων θ'. Πατρὸς ὀνείδη καὶ τιμωρίας, παίδων μηδενὶ ξυνέπεσθαι, πλὴν ἐάν τινι πατὴρ καὶ πάππος, καὶ πάππου πατὴρ ἐφεξῆς ὄφλωσι θανάτου δίκην.

Εν ταυτῷ. Δοῦλος δ' ἐάν τις ἐλεύθερον ὀργῇ τρώσῃ, παραδότω τὸν δοῦλον ὁ κεκτημένος τῷ τρωθέντι χρῆσθαι, ὅτι ἂν θέλῃ. ὃς δ' ἂν ἄκων ἄλλος ἄλλον τρώσῃ, τὸ βλάβος ἁπλοῦν ἀποτινέτω. τύχης γὰρ νομοθέτης οὐδεὶς ἱκανὸς ἄρχειν.

Εν ταυτῷ. Ὧδε οὖν χρὴ περὶ τῶν τοιούτων πάντ' ἄνδρα, καὶ παῖδα, καὶ γυναῖκα ἀεὶ διανοεῖσθαι τὸ πρεσβύτερον, ὡς οὐ σμικρῷ τοῦ νεωτέρου ἐστὶ πρεσβευόμενον, ἔν τε θεοῖσι καὶ ἐν ἀνθρώποισι τοῖς μέλλουσι σώζεσθαι, καὶ εὐδαιμονεῖν. αἰκίαν οὖν περὶ πρεσβύτερον ἐν πόλει γενομένην ὑπὸ νεωτέρου ἰδεῖν, αἰσχρὸν καὶ θεομισές. ἔοικε δὲ νέῳ παντὶ ὑπὸ γέροντος πληγέντι
ῥᾳθύ-

qui integer sit atque legitimus, deinde à domo quã maximè munda: expers quoque cædis omniumque huiusmodi, quæ aduersus diuinam rem cõmittuntur: cuius & pater materque similiter uixerint. Leges autem de rebus diuinis à Delphis petantur, constituanturque illarum interpretes, atque his utendum. Sacerdotiũ, nõ diuturnius sit quã annuum. Nec pauciores annos quàm sexaginta natus sit qui secundum sacras leges res diuinas sufficienter est tractaturus. Eademque de mulieribus sacris, quæ & dicuris statuta intelligantur. Interpretes autẽ ter quatuor ferant tribus ipsæ quatuor, ex earum ordine unaquæque tres, ac tribus probatis, qui maiori suffragio delecti sunt, reliquos nouem Delphos mittant, ut ex quaque trinitate unus oraculo deligatur. Comprobatio ipsorum ætasque talis, qualis & sacerdotum dicta est. Hi per totam uitã interpretandi & exponendi habeant potestatem.

Atque hæc quidem omnia custodes legum diligenter præuideant: primo quidem ne fiant: deinde ut facta, pro ut ius postulat puniantur. Existimare de omnib[9] hominibus id quisque debet, quod qui nunquã seruiuit, is laude dignus esse dominus nunquam poterit. Ideoque gloriari quenque oportet magis quod bene seruiuerit, quàm quod bene fuerit dominatus: primum quidem legibus, quibus qui seruijt, dijs seruiuit: deinde senioribus qui honeste uixerunt. *Platonis de legibus dialog. 6.*

Restat princeps, qui totius disciplinæ in his quę narrauimus tam fœminarũ quã mariũ curam habeãt. Vnum quoque hunc secũdum leges principẽ esse uolumus: nõ pauciores natũ annos quàm quinquaginta q legitimos habeãt filios, utriusque sexus maxime: si uero minus, alterius sexus omnino. Cogitare debet & qui eligit & qui eligitur, hũc magistratũ omniũ in ciuitate sumorũ magistratuũ esse admodũ præstantissimũ. In omnib[9] quippe uiuẽtib[9] prima ipsa germina si apte cœperit ad naturę suę uirtutẽ, uim habẽt summã ad finẽ sibi debitũ imponẽdũ. Quod & in plãtis euenit, & in brutis tũ syluestribus tũ etiã mãsuetis, & in hominib[9]. Hominẽ aũt mãsuetũ animal esse dicimus. Porrò si cũ natura fœlici rectã quoque disciplinã fuerit assecut[9], in diuinissimũ mansuetissimũque animal solet euadere: sin uero non satis aut non bene fuerit educatus, ferocissimũ omniũ quę in terris nascunt, animal redditur. Quamobrẽ nõ debet legũ conditor rem sũmopere necessariã pueritiæ educationẽ postponere, sed operã dare in primis, si rẽ hanc diligenter est curaturus, ut omniũ ciuium ad officia quæque optimus uir eligatur, qui quã maxime pro uiribus educandis pueris præponatur. Omnes igitur magistratus præter senatum & quæstores in Apollinis templum profecti, suffragium clam legum custodibus ineant, deligentes singuli quem optime puerorum disciplinæ existimant præfuturum: & qui suffragio superabit, à magistratibus qui delegerunt, exceptis uidelicet legũ custodibus cõprobatus: quinquennium præsit. Et in sexto anno alius princeps similiter statuatur. *Ibidem.*

Post hæc rectissimum erit, ut hymni laudesque deorum precibus mixtæ canantur: deinde dæmonũ heroumque similiter, cum laudibus preces idoneæ. Nil prohibet. Ad hæc sequitur confestim hæc sine inuidia lex. Decens est eos ciues laudibus exornare qui cesserunt è uita, si corporis uel animi uiribus res arduas præclarasque gesserint, & legibus libenter paruerint. Quid ni? Viuentes autem adhuc, laudibus hymnisque honorare tutum nõ est, priusquam uita functus quispiam finem uiuendi præclarum fecerit. Hæc omnia uiris mulieribusque uirtute insignibus communia sint. *Eiusdem in dialog. 7. de le…*

Dedecora & pœnæ patris nullum ex filijs consequi debent, nisi quis ordine habuerit simul patrem auumque & proauum morte damnatos. *Eiusdẽ legum 8.*

Si quis seruus præ ira liberũ uulnerauerit, tradendus est illi à domino suo, ut de ipso statuat pro arbitrio. Si quis alium inuitus uulnerauerit, simplex damnum soluat. Nullus enim legislator imperare potest fortunæ. *In eodem.* *Paulo post.*

Oportet igit omnes homines, mulieres simul ac uiros, adolescẽtes ac senes, ita de his semper existimare. Seniorem non paruo interuallo iunioribus[9] pponendũ esse, & apud deos, & apud homines, q fœliciter uicturi sint. Cedi ergo senẽ à iuniore, & turpe est, & odio à dijs habetur. Decet aũt iuuenẽ uerberatũ à seniore id ob senectutis *In dialog. 9. de legibus.*

ῥαθύμως, ὀργὴν ὑποφέρειν, αὐτῷ παρασκευάζων τιμὴν ταύτην εἰς γῆρας. ὧδ' οὖν ἔστω. πᾶς ἡμῖν αἰδείσθω τὸν ἑαυτοῦ πρεσβύτερον ἔργῳ τε, καὶ ἔπει: τὸν δὲ προέχοντα εἴκοσιν ἡλικίας ἔτεσιν, ἄῤῥενα ἢ θήλειαν, νομίζων ὡς πατέρα ἢ μητέρα διευλαβείσθω, καὶ πάσης τῆς δυνατῆς ἡλικίας αὐτὸν φυτεῦσαι, καὶ τεκεῖν ἀπεχέσθω ἀεί, θεῶν γενεθλίων χάριν.

Ἐν ταὐτῷ. Νόμοι δὲ ὡς ἔοικεν, οἱ μὲν τῶν χρηστῶν ἀνθρώπων ἕνεκα γίγνονται, διδαχῆς χάριν, τοῦ τίνα τρόπον ὁμιλοῦντες ἀλλήλοις ἂν φιλοφρόνως οἰκοῖεν: οἱ δὲ τῶν τὴν παιδείαν διαφυγόντων, ἀτεράμονι χρωμένων τινὶ φύσει, καὶ μηδὲν * τεγχθέντων, ὥστε μὴ οὐκ ἐπὶ πᾶσαν ἰέναι κάκην. (al. τεγχθέντων.) οὗτοι τοὺς μέλλοντας ῥηθήσεσθαι λόγους, πεποιηκότες ἂν εἶεν οὓς διὰ τοὺς νόμους ἐξ ἀνάγκης ὁ νομοθέτης ἂν νομοθετῇ, βουλόμενος αὐτῶν μηδέποτε χρείαν γίνεσθαι. πατρὸς γὰρ ἢ μητρὸς, ἢ τούτων ἔτι προγόνων ὅς τις τολμήσειεν ἅψασθαί ποτε βιαζόμενος αἰκίᾳ τινὶ, μήτε τῶν ἄνω θεῶν δείσας μῆνιν, μήτε τῶν ὑπὸ γῆς τιμωριῶν λεγομένων, ἀλλ' ὡς εἰδὼς, ἃ μηδαμῶς οἶδε, καταφρονῶν τῶν παλαιῶν, καὶ ὑπὸ πάντων εἰρημένων παρανομεῖ, τούτῳ δεῖ τινος ἀποτροπῆς ἐσχάτης. θάνατος μὲν οὖν, οὐκ ἔστιν ἔσχατον: οἱ δ' ἐν ᾅδου τούτοισι λεγόμενοι πόνοι, ἔτι τε τούτων μᾶλλόν εἰσιν ἐν ἐσχάτοις καὶ ἀληθέστατα λέγοντες, οὐδὲν ἀνύτουσι ταῖς τοιαύταις ψυχαῖς ἀποτροπῆς. οὐ γὰρ ἂν ἐγίγνοντό ποτε μητραλοῖαί τε, καὶ τῶν ἄλλων γεννητόρων ἀνόσιοι πληγῶν τόλμαι. δεῖ δὴ τὰς ἐνθάδε κολάσεις περὶ τὰ τοιαῦτα, τούτοισι τὰς ἐν τῷ ζῆν, μηδὲν τῶν ἐν ᾅδου λείπεσθαι κατὰ δύναμιν.

Νόμων ιά. Παίδων δὲ ἱκανότης ἀκριβὴς ἄρξῃ καὶ θήλεια ἔστω τῷ νόμῳ.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΑΙΣ ΠΟΛΕΣΙ ΔΥΝΑΤΩΝ, ΛΟΓΟΣ μγ'.

Εὐριπίδου.

ΑΝΗΡ γὰρ ὅστις χρημάτων μὲν ἐνδεὴς,
δρᾶσαι δὲ χειρὶ δυνατὸς, οὐκ ἀνέξεται,
τὰ τῶν δ' ἐχόντων χρήμαθ' ἁρπάζειν φιλεῖ.

Θρασὺς τε δυνατὸς, καὶ λέγειν οἷός τ' ἀνὴρ,
κακὸς πολίτης γίνεται νοῦν οὐκ ἔχων.

Ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,
νοσεῖν τίθησι τῶν ἀμεινόνων φρένας
παράδειγμ' ἔχοντας τῶν κακῶν ἐξουσίαν.

Οἱ τὰς πόλεις ἔχοντες ἀξίωμά τε
τοῖς ἀντιπάλοις εἰσὶ πολεμιώτατοι.

Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα.
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεὶ,
κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι.

Τὸ δ' ἀξίωμα κἂν κακῶς λέγῃ τὸ σὸν,
πείσει. λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν,
κἀκ τῶν δοκούντων αὐτὸς, οὐ ταυτὸν σθένει.

Τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος.

Μενάνδρου.

Δεῖ τὸν πολιτῶν προστατεῖν αἱρούμενον
τὴν τοῦ λόγου μὲν δύναμιν οὐκ ἐπίφθονον,
ἤθει δὲ χρηστῷ συγκεκραμένην ἔχειν.

Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.
οὐδ' ἀστὸν ᾔνεσ', ὅστις αὐθάδης γεγὼς,
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.

Σοφοκλέους.

Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ,
μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος.

Τὸν

reuerentiã patienter ferre. Sic itaq; sanciamus. Quilibet seniorẽ & re & uerbo colat. Ac si uiginti annis maior est, quasi patrem si uir fuerit, aut matrem si mulier reuereatur. Atq; adeo omnibus semper abstineat qui in ea ætate sint qua procreare parereq; ipsum potuerit, natales deos ueritus.

Legum uero, ut uidetur, aliæ ad bonorum hominum doctrinam ponuntur: ut per eas intelligant, quo pacto inter se amice uersentur. Aliæ ad compescendam illorum pertinatiam, qui indomiti natura sunt, spretaq; omni disciplina, nulla ratione mouentur quin omnem ruant improbitatem. Hi sequentiũ uerborũ causa sunt: ad his legislator necessitate coactus leges imponit. Ipse nanq; nullum uellet usum necessitatemq; legum unquam fore. Quicunq; igitur parentibus aut auis inferre manus ausus fuerit, nec superiorum indignationem deorum, nec inferiorum supplicia ueritus: sed quasi sciat quæ nescit, dicta à priscis omnibus despiciens, præuaricatur: is ultimo ut auertatur expieturq; remedio indiget. Mors autem ultimum non est, sed extrema magis sunt inferorum supplicia: quæ licet uerissime narrentur, auertere tamen huiusmodi animos nequeunt. Quoniam si auerterent, nulli qui parentes scelerate pulsarent unquam reperirentur. Quare oportet horũ flagitiorum supplicia in hac uita nõ inferiora illis quę apud inferos sunt, sed ęqualia pro uirib⁹ ponere. *Ibidem.*

Liberorum autem sufficiens numerus mas & fœmina secundum legem. *Eiusdem lib. 11. de legibus.*

DE POTENTIBVS IN CIVITATE, SERMO XLIII.

Vir enim qui pecuniæ fuerit inops, *Euripidis.*
Manuq; potens agere, non continebit se:
Sed possidentium opes rapere solet.
Vir potens qui fuerit audax, & dicendi peritus, *Eiusdem in Bacchus.*
Malus fit & sine mente ciuis.
Vbi quis malus in ciuitate ex animi sententia uiuit,
In causa est ut meliorum quoq; animi ægrescant
Exemplum habentes malorum potestatem.
Qui ciuitates obtinent, ac autoritatem,
Aemulis suis quàm infensissimi sunt.
Si quis blandiloquus, sed malo præditus animo *Eiusdem in Oreste.*
Persuaserit uulgo, magnum est ciuitati malum.
Illi uero qui prudenter bona semper consulunt,
Et si non in præsentia, in posterum tamen utiles sunt.
Tua uero autoritas, licet male dixerit, *Eiusdem in Hecuba.*
Persuadebit. Oratio enim an ab hominibus obscuris proficiscatur,
An à præclaris, non parum refert.
Potentium enim plurima habetur ratio in ciuitate.
Oportet illum, qui ciuibus præesse uult, *Menandri.*
Orationis facultatem non inuidiosam,
Sed bono affectu temperatam habere.
Conuenit sane peregrinum prorsus accommodare se ciuitati.
Sed neq; ciuem probo, qui pertinacia sua
Ciuibus molestus sit propter imperitiam suam.
Multis indiget pulchris egregijsq; dotibus, qui honoratur egregiè. *Sophoclis.*
Paruum autem certamen non magna sequitur gloria.

Εὐριπίδου. Τὸν δυστυχοῦντα χρὴ σοφὸν πεφυκέναι.

Λαμπροὶ δ' ἐν αἰχμαῖς ἄρεος, ἔν τε συλλόγοις,
μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο,
ἀλλ' ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ.

Αἰσχύλου. Κακοὶ γὰρ εὖ πράσσοντες, οὐκ ἀνασχετοί.

Σοφοκλέους. Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα, καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε, καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν,
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
καὶ μείζον' εἴ τις ἀντὶ τῆς αὐτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γὰρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας.

Ξενοφῶντος ἐν τετάρτῳ ἀπομνημονευμάτων. Ἀνθρώποις δὲ ἄρα ἔστιν ὃν ἄν τις τρόπον βούληται χρῆσθαι; οὔκ. ἀλλὰ καὶ περὶ τούτων ὁ εἰδὼς ἃ ἐστὶ νόμιμα, καθὰ δεῖ πρὸς ἀλλήλους χρῆσθαι νόμιμος ἂν εἴη. οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι, ἀλλήλοις ὡς δεῖ χρῶνται; πῶς γὰρ οὔ; οὐκοῦν οἵ γε ὡς δεῖ χρώμενοι, καλῶς χρῶνται; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμενοι, καλῶς πράττουσι τἀνθρώπεια πράγματα; εἰκός ἔφη. οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι δίκαια οὗτοι ποιοῦσι; πάνυ μὲν οὖν ἔφη. δίκαια δὲ οἶσθα ἔφη ὁποῖα καλεῖται; ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. οἱ ἄρα ποιοῦντες, ἃ οἱ νόμοι κελεύουσι, δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; πῶς γὰρ οὔ; οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσιν; οἶμαι ἔγωγ', ἔφη. οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις, μὴ εἰδότας, ἃ οἱ νόμοι κελεύουσιν; οὐκ ἔγωγ', ἔφη. εἰδότας δὲ ἃ δεῖ ποιεῖν, οἴει τινὰς οἴεσθαι δεῖν μὴ ταῦτα ποιεῖν; οὐκ οἴομαι ἔφη. οἶδας δέ τινας ἄλλα * ποιεῖν, ἢ οἴονται ποιεῖν ἐθέλοντας δεῖν; οὐκ ἔγωγε ἔφη. οἱ ἄρα τὰ περὶ ἀνθρώπους νόμιμα εἰδότες, οὗτοι τὰ δίκαια ποιοῦσι; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσι; τίνες γὰρ ἄλλοι ἔφη. ὀρθῶς ἂν ποτε ἄρα ὁριζοίμεθα, ὁριζόμενοι δικαίους εἶναι, τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα; ἔμοιγε δοκεῖ ἔφη.

* al. ποιοῦντας, ἃ οἴονται δεῖν;

Θουκυδίδου. * Ἐπισταμένους πρὸς εἰδότας, ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπίνῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται: δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι, καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσι.

* Videtur locus corruptus.

Ἀριστοτέ. Δεῖ τοὺς νῦν ἔχοντας τῶν δυναστευόντων, μὴ διὰ τὰς ἀρχάς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι: ἵνα τῆς τύχης μεταπεσούσης, τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

Ἐπικτήτου. Ὥσπερ οἱ ὑπὲρ τῶν λιμένων πυρσοί, δι' ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα ταῖς ἀλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν: οὕτω καὶ ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένῃ, αὐτὸς ὀλίγοις ἀρκούμενος, μεγάλα τοὺς πολίτας εὐεργετεῖ.

Πλουτάρχου. Τῷ μὲν τοῦ πολιτικοῦ ἀνδρὸς, καλὸν ἐντάφιον ἡ πολιτεία. τὴν ἀπὸ τοῦ βίου δόξαν τῷ θανάτῳ προστίθησι. τοῦτο γὰρ ἔσχατον δύεται κατὰ γᾶς, ὥς φησι Σιμωνίδης, ὁ τῶν καλῶν ζῆλος. οὐ γὰρ τὸ φιλότιμον κατὰ Θουκυδίδην ἀγήρων μόνον, ἀλλὰ μᾶλλον τὸ κοινωνικὸν, καὶ πολιτικὸν, ὃ καὶ μύρμηξιν ἄχρι τέλους παραμένει καὶ μελίτταις. οὐδεὶς δὲ πώποτε κηφῆνα εἶδεν ἐκ μελίττης γινόμενον, ὥσπερ ἀξιοῦσι τοὺς πολιτικούς, ὅταν παρακμάσωσιν οἴκοι καθημένους σιτεῖσθαι.

Ἐκ τῶν κοινῶν ἀριστοτέλους διατριβῶν. Αἱ πλεῖσται στάσεις διὰ φιλοτιμίαν ἐν ταῖς πόλεσι γίγνονται. περὶ τιμῆς γὰρ, οὐχ οἱ τυχόντες, ἀλλ' οἱ δυνατώτατοι διαμφισβητοῦσι.

Δημοσθένης εἶπε, πάντων εἶναι δυσχερέστατον τὸ πολλοῖς ἀρέσκειν.

Δημοσθένης δυοῖν ἔφησεν οὐσαιν ὁδοῖν, τῆς μὲν ἐπὶ τὸ βῆμα, τῆς δὲ εἰς ᾅδου, μᾶλλον ἂν ἑλέσθαι τὴν εἰς ᾅδου τὸν εὖ φρονοῦντα.

Fortunatum hominem bene sapere decet. *Euripidis.*

Qui Martijs in pugnis, & in concilijs præcellunt,
Non esse debent ingeniosi in leuibus argutisq; rebus,
Sed consultare de magnis bonis ciuitati necessarijs.

Mali homines fortunati, non tolerabiles sunt. *Aeschyli.*

Fieri haud potest, cuiuspiam ut pernoueris *Sophoclis in Antigone.*
Animum atq; mentem siue sensum, ni prius
Imperia nactus gesserit ciuilia.
Mihi enim quisquis ciuitatem gubernans quamlibet
Non optima consilia aggreditur,
Sed linguam metu aliquo inclusam habet,
Pessimus esse & nunc uidetur, & semper uisus est.
Et si quis maiorem ullum præ patria sua
Amicum existimat, istum ego nullius precij iudico.
Ego enim, testor Iouem qui semper omnia uidet,
Minime tacuerim incommodum uidens
Ciuibus accedere loco salutis.

Hominibus autem utrum licet, quo quisq; uoluerit modo uti? Non, ait, sed apud hos etiam quicunq; sciat quæ legibus contineantur, quibus oporteat mutuò conuersari, ille profecto legibus erit obtemperans. Quicunq; igitur lege conueniunt, ut decet utuntur hominibus? Et quid ni? inquit. Qui uero ut decet utuntur, recte utuntur? Ita inquit. Qui recte hominibus utuntur, recte res humanas agunt? Verisimile istuc, inquit. Qui legibus obtemperant, num hi & iusta faciunt? Maxime. Scis tu & quæ iusta appellantur? Quæ, inquit, leges imperant. Quicunq; igitur ea fecerit, quæ leges præceperint, iusta, & quæ decet faciet? Quid ni? Qui, inquit, iusta fecerint, iusti ne sunt? Iusti, ut puto. Arbitraris ne igitur quosdã obtemperare posse legibus, ignaros eorum quæ leges præcipiant? Minime. Putásne esse aliquos, qui cũ sciant, quæ oporteat facere, putent tamen sibi ea non esse faciunda? Neminem, inquit. Scin & quosdam alia facientes, quàm putent oportere? Non, inquit. Qui igitur illas, quæ circa conuictum hominum leges positæ sunt, non ignorent, hi iusta facient? Istuc, inquit. Qui uero iusta facient, iusti sunt? Quinam alij, inquit, sint? Recte igitur eos definiemus iustos esse, qui sciunt quæ legibus posita sint, circa hominum conuictũ & societatem? Ita & mihi, inquit, uidetur. *Xenophõtis de factis & dictis Socratis lib. 4.*

Sciẽtes quod iusta quidẽ, humana ratione per æqualem necessitatem iudicantur: possibilia uero potentes faciunt, & infirmi concedunt. *Thucydidis.*

Oportet prudentes magistratus, nõ propter officiũ, sed uirtutis causa admirationẽ sui parere: ut etiã immutata fortuna, eisdem laudibus digni censeantur. *Aristotelis.*

Quemadmodũ faces in portu sublatæ magna flãma in paucis cremijs excitata nauib⁹ p mare errabundis multũ auxilij ferunt: sic & uir egregius in urbe periclitante paucis rebus contentus, magnis beneficijs ciues afficit. *Epicteti.*

Viro ciuili administratio reipub. ex anteactæ uitæ gloria pulcherrimũ funus conciliat. Studiũ eñ honestatis, Simonide teste, omniũ postremo terrã subit. Nã nõ solum ambitio & gloriæ studiũ expers est senectutis, iuxta Thucydidem, sed magis q̃d populare & ciuile est, quale formicis etiã & apibus ad finẽ usq; uitæ pdurat. Nemo unquã uero ex apicula fucũ esse factum uidit, quod illi à ciuilibus uiris requirunt, nempe ut postquam declinare cœpit ætas, domi comedentes desideant. *Plutarchi in lib. an senex debeat reipub. præesse statim post initium.*

Plurimæ seditiones in ciuitatibus ambitionis culpa oriuntur: De honoribus eñ non quilibet, sed potentissimi quiq; contendunt. *Ex Aristotelis cõmunibus diatribis.*

Demosthenes dixit omnium difficilimum esse multis placere.

Demosthenes dixit duabus uijs propositis, altera ad pulpitũ oratoriũ, altera ad inferos, prudentem uirum præoptaturum esse eam quæ ad inferos ducit.

Πλάτωνος ἐκ τῆς πρὸς ἀρχύταν ἐπιστολῆς.

Τὰ δὲ παρὰ σοῦ ἦλθον ἡμῖν, λέγοντες ὑποδυσφορεῖν σε, ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν ἥδιστόν ἐστιν ἐν τῷ βίῳ τὸ τὰ αὑτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἕλοιτο τοιαῦτα πράττειν, οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον. ἀλλὰ κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν, τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι, οἱ γεννήσαντες· τὸ δέ, οἱ λοιποὶ φίλοι. πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι. καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινά, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν. ἅμα γὰρ συμβαίνει καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται.

Ζάλευκος ὁ τῶν λοκρῶν νομοθέτης τοὺς νόμους ἔφησε τοῖς ἀραχνίοις ὁμοίους εἶναι. ἐὰν μὲν γὰρ ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται· ἐὰν δὲ σφὴξ ἢ μέλιττα, διαρρήξασα ἀφίπταται. οὕτω καὶ ὑπὸ τοὺς νόμους.

Μητροδώρου.

Ἐν πόλει μήτε ὡς λέων ἀνατρέφου, μήτε ὡς κώνωψ. τὸ μὲν γὰρ ἐκπατεῖται, τὸ δέ, καιροφυλακεῖται.

Δημοκρίτου.

Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.

Ἀντισθένης ἐρωτηθείς, πῶς ἄν τις προσέλθοι πολιτείᾳ, εἶπε· καθάπερ πυρί, μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς.

Χρύσιππος ἐρωτηθεὶς διατί οὐ πολιτεύεται, εἶπε· διότι εἰ μὲν πονηρά τις πολιτεύεται, τοῖς θεοῖς ἀπαρέσει· εἰ δὲ χρηστά, τοῖς πολίταις.

Πλάτωνος.

Ὡς ὅγε ἔλεγεν ὁ λυσίμαχος ἄρτι περὶ τοῦ πατρὸς τοῦ αὑτοῦ καὶ τοῦ μελησίου, πάνυ μοι δοκεῖ εὖ εἰρῆσθαι, καὶ εἰς ἐκείνους καὶ εἰς ἡμᾶς, καὶ εἰς ἅπαντας, ὅσοι τὰ τῶν πόλεων πράττουσιν, ὅτι αὐτοῖς σχεδόν τι ταῦτα συμβαίνει, ἃ οὗτος λέγει, καὶ περὶ παῖδας, καὶ περὶ τἆλλα τὰ ἴδια, ὀλιγωρεῖσθαί τε καὶ ἀμελῶς διατίθεσθαι.

Τοῦ αὐτοῦ ἐκ τοῦ γοργίου.

Λέγω τοίνυν σοι ὅτι δύο ταῦτά ἐστι τὰ ἐρωτήματα, καὶ ἀποκρινοῦμαί γε σοι πρὸς ἀμφότερα. φημὶ γὰρ ὦ πῶλε ἐγώ, καὶ τοὺς ῥήτορας, καὶ τοὺς τυράννους, δύνασθαι μὲν ἐν ταῖς πόλεσι σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον. οὐδὲν γὰρ ποιεῖν ὧν ἂν βούλωνται, ὡς ἔπος εἰπεῖν. ποιεῖν μέντοι, ὅτι ἂν αὐτοῖς δόξῃ, βέλτιον εἶναι. οὐκοῦν τοῦτ' ἐστὶ τὸ μεγάλα δύνασθαι. οὐχ ὥς γέ φησιν ὁ πῶλος. ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε. μὰ τὸν * κύνα, οὐ σύ γε. ἐπεὶ τὸ μέγα δύνασθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ. φημὶ γὰρ οὖν. ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις ποιῇ ταῦτα, ἃ ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι νοῦν μὴ ἔχων, καὶ τοῦτο καλεῖς σὺ μέγα δύνασθαι; οὐκ ἔγωγε. οὐκοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας, καὶ τέχνην τὴν ῥητορικήν, ἀλλὰ μὴ κολακείαν, ἐμὲ ἐξελέγξας. εἰ δέ με ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν, ἃ δοκεῖ αὐτοῖς, καὶ οἱ τύραννοι, οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται. εἰ δὲ δύναμίς ἐστιν, ὡς σὺ φῂς ἀγαθόν. τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ, καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι, ἢ οὔ; ἔγωγε. πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο, ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ σωκράτης ἐξελεγχθῇ ὑπὸ πώλου, ὅτι ποιοῦσιν ἃ βούλονται; οὗτος ἀνήρ. οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται. ἀλλά με ἔλεγχε. οὐκ ἄρτι ὡμολόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι τούτου πρόσθεν; καὶ γὰρ νῦν ὁμολογῶ. οὐκοῦν ποιοῦσιν ἃ βούλονται; οὔ φημι. ποιοῦντες δὲ ἃ δοκεῖ αὐτοῖς; φημί. σχέτλιά γε λέγεις καὶ ὑπερφυῆ ὦ σώκρατες. μὴ κατηγόρει ὦ λῷστε πῶλε, ἵνα προσείπω σε κατὰ σέ. ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι· εἰ δὲ μή, αὐτὸς ἀποκρίνου. ἀλλ' ἐθέλω ἀποκρίνεσθαι, ἵνα καὶ εἰδῶ ὅ,τι λέγεις. πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι, ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο, οὗ ἕνεκα πράττουσι, τοῦθ' ὃ πράττουσιν; οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν, πότερόν σοι δοκοῦσι τοῦτο βούλεσθαι ὅπερ ποιοῦσι, πίνειν τὸ φάρμακον, καὶ ἀλγεῖν, ἢ ἐκεῖνο τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσι; δῆλον ὅτι τὸ ὑγιαίνειν οὗ ἕνεκα πίνουσιν. οὐκοῦν καὶ οἱ πλέοντες, καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι, οὐ τοῦτ' ἐστὶν, ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε; τίς γὰρ βούλεται πλεῖν, καὶ κινδυνεύειν, καὶ πράγματα ἔχειν; ἀλλ' ἐκεῖνο οἶμαι οὗ ἕνεκα πλέουσι, πλουτεῖν. πλούτου γὰρ ἕνεκα πλέουσι. πάνυ γε. ἄλλο τι οὖν; οὕτω καὶ περὶ ἁπάντων ἐάν τις πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα πράττει. ναί. ἆρ' οὖν ἔστι τι τῶν ὄντων, ὃ οὐχὶ ἤτοι ἀγαθόν γέ ἐστιν, ἢ κακόν, ἢ μεταξὺ τούτων οὔτε ἀγαθὸν οὔτε κακόν; πολλὴ ἀνάγκη ὦ σώκρατες. οὐκοῦν λέγεις ἀγαθὰ μὲν σοφίαν, καὶ ὑγίειαν, καὶ πλοῦτον, καὶ τἆλλα τὰ

διὰς δι'.

τοιαῦτα

Te uero narrauerũt p molestè ferre, q̃d à publicis ciuitatis occupat omib⁹ te liberare nõ ualeas. Quod igit dulcissimũ uitæ genus sit res suas agere, præsertim si quis ita secũ instituerit, ut tu, omnib⁹ ferè indubitatũ est. Verũ hoc etiã tibi reputandum est: Nullũ nostrũ sibi soli natũ esse: sed ortus nostri partẽ sibi patriã uendicare, partẽ parentes, partẽ amicos. Multa insup pro temporũ diuersitate nobis accidere uitã nostram occupantiũ. Vocante igit te patria ipsa ad rempub gubernandã, absurdũ forsan esset non parere, præsertim cũ simul accidat, ut aditus prauis hominibus relinquatur, qui nullam optimi rationem habentes proficiscuntur ad publica. *Ex Platonis epistola ad Archytam, quæ est numero nona inter hodie extantes.*

Zaleucus Locrensium legislator leges aiebat aranearum telis similes esse. Nam si musca aut culex inciderit, retinetur: si uero uespa, aut apes, disrupta tela auolant: ita se res habet etiam in legibus.

Educari oportet in ciuitate nec ut leonem, neq; ut culicem: hic enim cõculcatur, aduersus illum autem occasio quæritur. *Metrodori.*

Graue est regi à deteriore. *Democriti.*

Antisthenes interrogatus quomodo ad rempub. accedendũ sit, respondit: ut ad ignem, neq; nimis prope ne uraris, neq; longius ne frigeas.

Chrysippus rogatus cur non administraret rempub. dixit: quia si quis male rexerit, dijs displicebit: sin bene, ciuibus.

Rectè putas ô Nicia: profectò em̃ q̃d paulò ante referebat Lysimachus de suo & Melesiæ patre, quàm aptissime dictum uidetur aduersus illos, & uos, & omnes quicunq; ciuilia tractant: nam, quod querebatur Lysimachus, illi tam filios quàm cætera domestica negligunt. *Platonis de fortitudine lib. 21.*

Dico itaq; tibi, has duas interrogationes esse, respondeboq; ad utrasq;. Assero eq̃dẽ tam rhetores quã tyrãnos minimã in ciuitatib⁹ obtinere potentiã: queadmodũ paulò ante dicebam. Nihil em̃, ut ita dixerim, facere ex his quæ uolunt, facere tamẽ q̃d sibi opinantib⁹ optimũ uideat. Nõne hæc magna potentia? Non certe ut ait Polus. An ego non dico? Dico equidẽ certe. Per Iouẽ nõ dicis, quandoquidẽ magnam potentiam dixisti ei qui potest, esse bonum. Id quidem dico. Bonúmne igit esse ais, si quis ea fecerit quæ sibi optima uideantur mente capto, atq; id magnã dicis esse potentiã? Non certe. Nõne igit ostendendũ tibi est, oratores habere mentẽ, atq; rhetoricam non adulationẽ quidẽ esse, sed artẽ, quo me conuincas? Alioquin nisi id ostendens me arguas, oratores & tyranni facientes quicqd faciendũ tibi uidet in ciuitate, nullũ propterea bonũ consequent. Siquidẽ potentiã habere, ut ipse ais est bonũ: facere uero quicqd uideat absq; mente, ipsemet confiteris esse malũ. Nõne ita? Ita certè. Quonã igit pacto oratores uel tyranni magna in repub. possunt nisi Socrates cõuictus à Polo, illos quę uolunt facere fateatur? En uir. Nego eos facere quæ uolunt: tu uero me redargue. An nõ paulò ante confitebaris, quæ sibi bona uident, eos facere? Et nunc rursus confiteor. An nõ ergo faciunt quæ uolunt? Nõ ut arbitror. Faciunt tamẽ quæ sibi uidentur? Concedo. Molesta ô Socrates & incredibilia dicis. Ne me accuses pulchre Pole, ut appellem te secundũ te. Verũ si qd habes q̃d inquiras, errorẽ meũ redargue: sin minus, ipse responde. Sed respondere malo, ut qd dicas intelligam. Vtrũ ergo tibi uident homines id uelle q̃d ubiq; agunt? an potius illud cuius gratia agunt? ueluti qui pharmaca à medicis accepta bibant, utrum tibi id uidentur ipsum uelle quod faciunt, uidelicet pharmacũ bibere, & asperitatẽ eius perferre, an sanitatem potius cuius gratia bibunt? Manifestũ est eos fieri sanos uelle, cuius gratia potionẽ sumunt. Nónne & qui nauigant aut aliud negotiũ lucri causa obeũt, nõ id uolunt quod faciunt? quis em̃ nauigare, subire pericula, molestias habere uelit? sed illud uolunt, ut arbitror, cuius gratia nauigant: diuitias scilicet, harũ em̃ gratia nauigant. Maxime. An nõ in omnib⁹ q̃q; similiter, quisqs aliqd alicui⁹ agit gratia, non id uult q̃d agit, sed illud cuius gratia agit? Ita uidetur. An est ex omnibus aliqd quod non aut bonum sit, aut malum, aut horum medium, neq; bonũ scilicet neq; malum? Nihil omnino. Nónne bonum quidem dicis sapientiam, sanitatẽ, diuitias,

τοιαῦτα· κακὰ δὲ τὰ ἐναντία τούτων; ἔγωγε. τὰ δὲ μήτε ἀγαθὰ, μήτε κακὰ, ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ οὐδετέρου, οἷον καθῆσθαι, καὶ βαδίζειν, καὶ τρέχειν, καὶ πλεῖν· καὶ οἷον αὖ λίθους, καὶ ξύλα, καὶ τ' ἄλλα τὰ τοιαῦτα; οὐ ταῦτα λέγεις, ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά; οὔκ, ἀλλὰ ταῦτα. πότερον οὖν τὰ μεταξὺ ταῦτα, ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσιν, ἢ τἀγαθὰ τῶν μεταξύ; τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν. τὸ ἀγαθὸν ἄρα διώκοντες, καὶ βαδίζομεν ὅταν βαδίζωμεν οἰόμενοι βέλτιον εἶναι. καὶ τὸ ἐναντίον ἕσταμεν, ὅταν ἑστῶμεν τοῦ αὐτοῦ ἕνεκα τοῦ ἀγαθοῦ, ἢ οὔ; ναί. οὐκοῦν καὶ ἀποκτέννυμεν, εἴ τινα ἀποκτέννυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα ποιεῖν, ἢ μή; πάνυ γε. ἕνεκα ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες. φημί. οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ ἐκεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα ταῦτα ποιοῦμεν; μάλιστα. οὐκ ἄρα σφάττειν βουλόμεθα, οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων, οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως· ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά. βλαβερὰ δ' ὄντα, οὐ βουλόμεθα. τὰ γὰρ ἀγαθὰ βουλόμεθα, ὡς φὴς σύ, τὰ δὲ μήτε κακὰ μήτε ἀγαθά, οὐ βουλόμεθα. οὐδὲ τὰ κακά. ἦ γὰρ ἀληθῆ σοι δοκῶ λέγειν ὦ Πῶλε, ἢ οὔ; τί οὐκ ἀποκρίνῃ; ἀληθῆ. οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀποκτείνει τινὰ, ἢ ἐκβάλλει ἐκ πόλεως, ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὤν, εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον· οὗτος δήπου ποιεῖ, ἃ δοκεῖ αὐτῷ. ἦ γάρ; ναί. ἆρ' οὖν καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; τί οὐκ ἀποκρίνῃ; ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται. ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ πόλει ταύτῃ, εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν; οὐκ ἔστιν. ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει, ἃ δοκεῖ αὐτῷ, μὴ μέγα δύνασθαι, μηδὲ ποιεῖν ἃ βούλεται. ὡς δὴ σὺ ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ, τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον, ἢ μή, οὐδὲ ζηλοῖς, ὅταν ἴδῃς τινὰ, ἢ ἀποκτείναντα, ὃν ἔδοξεν αὐτῷ, ἢ ἀφελόμενον χρήματα, ἢ δήσαντα; δικαίως λέγεις, ἢ ἀδίκως. ὁπότερ' ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν; εὐφήμει ὦ Πῶλε. τί δή; ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν, οὔτε τοὺς ἀθλίους, ἀλλ' ἐλεεῖν. τί δέ; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων; πῶς γὰρ οὔ; ὅστις οὖν ἀποκτέννυσιν, ὃν ἂν δόξῃ αὐτῷ δικαίως ἀποκτεννύς, ἄθλιος δοκεῖ σοι εἶναι, καὶ ἐλεεινός; οὐκ ἔμοιγε. οὐδὲ μὴν ζηλωτός. οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι; τὸν ἀδίκως γε ὦ ἑταῖρε ἀποκτείναντα, καὶ ἐλεεινόν γε πρός· τὸν δὲ δικαίως, ἀζήλωτον. ἦ πού γε ἀποθνήσκων ἀδίκως, ἐλεεινός τε, καὶ ἄθλιός ἐστιν; ἧττον, ἢ ὁ ἀποκτεινὺς ὦ Πῶλε, καὶ ἧττον, ἢ ὁ δικαίως ἀποθνήσκων. πῶς δῆτα ὦ Σώκρατες; οὕτως ὡς μέγιστον τῶν κακῶν τυγχάνει ὂν τὸ ἀδικεῖν. ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον; ἥκιστά γε. σὺ ἄρα βούλοι' ἂν ἀδικεῖσθαι μᾶλλον, ἢ ἀδικεῖν; βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερα. εἰ δὲ ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι, ἢ ἀδικεῖν.

ΠΕΡΙ ΑΡΧΗΣ, ΚΑΙ ΤΟΥ ΟΠΟΙΟΝ ΧΡΗ ΕΙΝΑΙ ΤΟΝ ΑΡΧΟΝΤΑ, ΛΟΓΟΣ μδʹ.

Εὐριπίδου.

ΤΟΙΣ μὲν δικαίοις, ἔνδικος· τοῖς δ' αὖ κακοῖς,
πάντων μέγιστος πολέμιος κατὰ χθόνα.
Τίς ἂν δίκην κρίνειεν, ἢ δοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;
Ἐγὼ γὰρ, ὅστις μὴ δίκαιος ὢν ἀνὴρ
βωμὸν προσίζει, τὸν νόμον χαίρειν ἐῶν,
πρὸς τὴν δίκην ἄγοιμ' ἂν οὐ τρέσας θεούς.
κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.
Φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων,
οὐκ εἰσεδέξατ' οἶκον, οὐδὲ τοὺς τρόπους

δούλους

aliaq́; generis eiusdem? Mala uero horum, contraria? Equidem. Quæ uero neq; bona sunt, neq; mala, talia quædã dicis, quæ quandoq; boni, quandoq; mali participia sunt, quandoq; neutri: ueluti sedere, ire, currere, nauigare. Rursus ueluti lapides, ligna, cæteraq́; similia. Nõne talia quædam esse dicis, quę neq; bona appelles neq; mala? Talia certe. Vtrum igitur media hæc bonorum agunt gratia, quoties agunt? An bona gratia mediorum? Media bonorum gratia. Ergo sequẽtes bonum, uadimus, præstare id existimantes: & uicissim quiescimus quandocunq; quiescimus, ob id ipsum bonũ. Nónne ita? Ita prorsus. Præterea si quos occidimus, eiusdem gratia occidimus: similiterq́; expellimus atq; rapimus, putantes præstare ut talia à nobis fiant. Proculdubio. Quamobrem boni gratia hæc faciunt omnia quæcunq; faciunt. Assentior. An non inter nos conuenit, non quæ alicuius gratia agimus, uelle, sed illud cuius hæc gratia agimus? Maxime. Itaq; non iugulare simpliciter omninoq́; uolumus, neq; expellere, neq; pecunias rapere: uerũ si cõducant hæc, facere uolumus: si noceant, nolumus. Bona enim uolumus, ut ipse ais. Quæ uero neq; bona, neq; mala sunt, nõ propriè uolumus, neq; mala. Videor ne tibi Pole uera loqui? an non? Quid non respondes? Vera. Quamobrem si in his consentimus, si quis quempiam interfecerit, uel urbe eiecerit, uel priuauerit patrimonio, siue tyrannus ille sit, siue orator, putans id melius sibi fore cũ tamen sit peius, is utiq; faciet quæ sibi uidentur, nónne? Certe. Nunquid etiam quæ uult siquidem hæc sint mala? quid non respondes? Non uidetur mihi quæ uult facere. Quanam igitur ratione uir talis magnã habet in repub. potestatem? siquidem magna potestas bonũ quiddam est, ut ipse etiã confiteris. Nullo pacto. Vera ergo dicebam, fieri posse ut sit qui in ciuitate quæ sibi uidentur efficiat, neq; tamen magnam potentiam habeat, neq; quæ uelit, agat. Quasi uero tu non optes licentiã habere faciendi quicquid tibi uideatur in ciuitate potius quam non habere, neq; affectes talis esse quales nonnullos uides, uel interficientes, uel expoliantes, uel cõñcientes in uincula quoscunq; & quandocunq; sibi uidetur.

Iuste ne dicis an iniuste? Quomodocunq; id fiat, nónne utrunq; optandum? Bona uerba quæso ô Pole. Quid ita? Quoniam non decet uel uitam minime optabilem exoptare, uel miserã, imò potius misereri. Quid uero? Ita ne se habere eos de quibus loquor existimas? Quid ni? Quicunq; igitur perimit quemcunq; opinatur iuste necandum, infœlix tibi miserabilisq́; uidetur? Non mihi quidem, neq; tamen conditio eius optanda. An non paulo ante miserum esse dicebas? Amice dicebam equidem, sed iniuste occidentem, eundemq́; insuper miserabilem. Eius uero, qui iuste interficit, conditionem non esse optandam. An non qui iniuste occiditur, miserabilis est atq; infœlix? Minus quã uel interfector, uel is qui iuste necatur. Quid ita ô Socrates? Quoniam inferre iniuriam malorum omnium maximum est. Quonam pacto id maximum? Nõne peius est iniuriam pati? Minime. Ipse igitur malles ne pati iniuriã quã inferre? Equidem neutrũ uellem. At si necesse foret, aut facere iniuriam, aut pati, accipere iniuriam quàm inferre malim.

DE MAGISTRATV, ET QVALEM OPORTEAT ESSE PRINCIPEM, SERMO XLIIII.

IVstis quidem, æquus & iustus: malis uero *Euripidis.*
Omnium maximus hostis in terra.
Quisnam de causa iudicaret, aut sententiam ferret,
Priusquam utriusq; sermonem euidenter audierit?
Ἀλλὰ περὶ τόδε, τί λέγεις ὦ Σώκρατες; ἆρα οὐκ ἀγαθοὺς δεῖ ἐν τῇ πόλει κεκτῆσθαι ἰατρούς; εἶεν δ' ἄν που μάλιστα τοιοῦτοι, ὅσοι πλείστους μὲν ὑγιεινοὺς, πλείστους δὲ νοσώδεις μετεχειρίσαντο. καὶ δικαστὰς αὖ ὡσαύτως οἱ παντοδαπαῖς φύσεσιν ὡμιληκότες. καὶ μάλα εἶπον ἀγαθοὺς λέγω. ἀλλ' οἶσθα οὓς ἡγοῦμαι τοιούτους; ἐὰν εἴπῃς ἔφη. ἀλλὰ πειράσομαι, ἦν δ' ἐγώ. σὺ μέντοι οὐχ ὅμοιον πρᾶγμα τῷ αὐτῷ λόγῳ ἤρου. πῶς ἔφη; ἰατροὶ μὲν εἶπον, δεινότατοι ἂν γένοιντο, εἰ ἐκ παίδων ἀρξάμενοι πρὸς τῷ μανθάνειν τὴν τέχνην, ὡς πλείστοις τε καὶ πονηροτάτοις σώμασιν ὁμιλήσαιεν, καὶ αὐτοὶ πάσας νόσους κάμνοιεν, καὶ εἶεν μὴ πάνυ ὑγιεινοὶ φύσει. οὐ γὰρ οἶμαι σώματι σῶμα θεραπεύουσιν. οὐ γὰρ ἂν αὐτὰ εἶναι κακὰ ἐνεχώρει ποτὲ καὶ γίγνεσθαι, ἀλλὰ ψυχῇ σῶμα. ἣ οὐκ ἐγχωρεῖ κακὴν γιγνομένην τε καὶ οὖσαν, εὖ τι θεραπεύειν; ὀρθῶς ἔφη. δικαστὴς δέ γε ὦ φίλε, ψυχῇ ψυχῆς ἄρχει, ἣ οὐκ ἐγχωρεῖ ἐκ νέας ἐν πονηραῖς ψυχαῖς τεθράφθαι τε καὶ ὡμιληκέναι, καὶ πάντα ἀδικήματα αὐτὴν ἠδικηκυῖαν διεξεληλυθέναι, ὥστε ὀξέως ἀφ' ἑαυτῆς τεκμαίρεσθαι τὰ τῶν ἄλλων ἀδικήματα, οἷον κατὰ σῶμα νόσους; ἀλλ' ἄπειρον αὐτὴν καὶ ἀκέραιον δεῖ κακῶν ἠθῶν νέαν οὖσαν γεγονέναι, εἰ μέλλει καλὴ κἀγαθὴ οὖσα, κρινεῖν ὑγιῶς τὰ δίκαια; διὸ δὴ καὶ εὐήθεις, νέοι ὄντες οἱ ἐπιεικεῖς φαίνονται, καὶ εὐεξαπάτητοι ὑπὸ τῶν ἀδίκων, ἅτε οὐκ ἔχοντες ἐν αὑτοῖς παραδείγματα ὁμοιοπαθῆ τοῖς πονηροῖς. καὶ μὲν δὴ ἔφη σφόδρα γε αὐτὸ πάσχουσι. τοιγάρ τοι ἦν δ' ἐγώ, οὐ νέον, ἀλλὰ γέροντα δεῖ τὸν ἀγαθὸν δικαστὴν εἶναι, ὀψιμαθῆ γεγονότα τῆς ἀδικίας, οἷόν ἐστιν, οὐκ οἰκείαν ἐν τῇ αὐτοῦ ψυχῇ ἐνοῦσαν ᾐσθημένον· ἀλλ' ἀλλοτρίαν ἐν ἀλλοτρίαις μεμελετηκότα ἐν πολλῷ χρόνῳ διαισθάνεσθαι, οἷον πέφυκε κακόν· ἐπιστήμῃ, οὐκ ἐμπειρίᾳ οἰκείᾳ κεχρημένον. γενναιότατος γοῦν ἔφη ἔοικεν εἶναι ὁ τοιοῦτος δικαστής. καὶ ἀγαθός γε ἦν δ' ἐγώ, ὃ σὺ ἐρωτᾷς. ὁ γὰρ ἔχων ψυχὴν ἀγαθὴν, ἀγαθός. ὁ δὲ δεινὸς ἐκεῖνος καὶ καχύποπτος, ὁ πολλὰ αὐτὸς ἠδικηκὼς, καὶ πανοῦργός τε καὶ σοφὸς οἰόμενος εἶναι, ὅταν μὲν ὁμοίοις ὁμιλῇ, δεινὸς φαίνεται, ἐξευλαβούμενος πρὸς τὰ ἐν αὑτῷ παραδείγματα ἀποσκοπῶν· ὅταν δὲ ἀγαθοῖς καὶ πρεσβυτέροις ἤδη πλησιάσῃ, ἀβέλτερος αὖ φαίνεται, ἀπιστῶν παρὰ καιρὸν, καὶ ἀγνοῶν ὑγιὲς ἦθος, ἅτε οὐκ ἔχων παραδείγματα τοῦ τοιούτου. πλεονάκις δὲ πονηροῖς ἢ * χρηστοῖς ἐντυγχάνων, σοφώτερος ἢ ἀμαθέστερος δοκεῖ εἶναι αὑτῷ τε καὶ ἄλλοις. παντάπασι μὲν οὖν ἔφη ἀληθῆ. οὐ τοίνυν, ἦν δ' ἐγώ, τοιοῦτον χρὴ τὸν δικαστὴν ζητεῖν τὸν ἀγαθόν τε καὶ σοφὸν, ἀλλὰ τὸν πρότερον. πονηρία μὲν γὰρ, ἀρετήν τε καὶ αὑτὴν οὔποτ' ἂν γνοίη· ἀρετὴ δὲ φύσεως παιδευομένης χρόνῳ ἅμα αὑτῆς τε καὶ πονηρίας ἐπιστήμην λήψεται. σοφὸς οὖν οὗτος ὡς ἐμοὶ δοκεῖ, ἀλλ' οὐχ ὁ κακὸς γίγνεται. καὶ ἐμοὶ ἔφη ξυνδοκεῖ. οὐκοῦν καὶ ἰατρικὴν οἵαν εἴπομεν, μετὰ τῆς τοιαύτης δικαστικῆς κατὰ πόλιν νομοθετήσεις αἳ τῶν πολιτῶν σοι τοὺς μὲν εὐφυεῖς τὰ σώματα καὶ τὰς ψυχὰς θεραπεύουσι· τοὺς δὲ μὴ, ὅσοι μὲν κατὰ τὸ σῶμα τοιοῦτοι, ἀποθνήσκειν ἐάσουσι· τοὺς δὲ κατὰ τὴν ψυχὴν κακοφυεῖς τε καὶ ἀνιάτους καὶ αὐτοὶ ἀποκτενοῦσι; τὸ γοῦν ἄριστον ἔφη, αὐτοῖς τε τοῖς πάσχουσι καὶ τῇ πόλει οὕτω πέφανται.

ἄλλως σοφοῖς.

Ὀβείμα ὑπὲρ σιβάρχ.

Πολλὰ γὰρ αὐτὰ μὲν καθ' ἑαυτὰ λεγόμενα, ἕτερα ἔδοξε· συγκριθέντα δὲ ταῖς αἰτίαις, ἀλλοιότερα ἐνομίσθη.

Δημοσθένης.

Τηνικαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾶν, τοὺς δὲ ἀδικοῦντας, κολάζειν.

Inutile est mendaciũ, hominibus aũt pro medicamento est utile, quare publicis medicis concedendũ, priuatis aũt hominibus minime attingendũ. Patet. Igit rempub. administrantibus præcipue, siquib⁹ aliis, mentiri licet, uel hostiũ, uel ciuiũ causa ad cõmunem ciuitatis utilitatẽ. Reliquis aũt à mendacio abstinendũ est. Sed aduersus huiusmodi principes priuatim mentiri, magis peccatũ est, quã ægrotũ mentiri erga medicũ, uel se exercentẽ erga ludimagistrũ circa sui corporis uitia, uel erga nauis gubernatorẽ de naue & nautis minime uera dicere, quemadmodũ uel sua cuiq;, uel sociorũ sese res habeat. Vera narras. Si quẽ ergo deprehenderis aliũ in ciuitate mentientem ex eorũ genere qui artifices sunt, uatem uidelicet, uel morborum medicũ, uel lignarium fabrum, eum punito, tanquã rem quandam inferentem, ex qua ciuitatis suæ uelu ti nauis submersio, & pernicies sequitur. Sic plane agendum: siquidem sermone opera peraguntur.

Sed hoc quid ais ô Socrates? An nõ bonos medicos habere oportet in ciuitate? *Ibidem.* Essent aũt tales maxime, quicunq; fuissent cũ sanis plurimis, plurimisq; ęgrotantib⁹ conuersati. Iudices item similiter, qui uaria hominũ ingenia essent experti. Et ualde quidẽ bonos dico. Sed nunqd intelligis quos tales esse arbitror? Si dixeris. Tentabo equidẽ. Tu tamen nõ similẽ rem sermone eodẽ interrogabas. Qua ratione? Medici quidẽ sufficientissimi euaderent, si ab ineunte ætate ultra discendæ artis studiũ inter plurimos corpore male affectos conuersarentur, ipsiq; omni morborũ genere laborarent, naturaq; imbecilli essent. Neq; eñ corpus, ut arbitror, corpore curant. Impossibile nanque esset, ipsa quandoque mala uel fuisse uel esse, sed anima corpus curant. An non fieri potest, ut quæ fuerit sitq; mala, bene aliqd curet? Recte quidẽ. Iudex aũt ô amice, ipso animo ipsi animo impat. Nõne possibile est à pueritia animũ aliquẽ cũ malis animis conuersatũ, & iniusta quæq; facinora operatũ, acutẽ deniq; ex seipso aliorũ scelera coniectare, quẽadmodũ ex ipso corpore morbos? Num insontẽ ipsum imperitumq; malorũ morũ, dũ esset iuuenis extitisse oportet, si bonus & honestus existens iusta syncere est iudicaturus? Quapropter modesti homines, dũ iuuenes sunt, stolidi esse uident, & qui facile ab iniustis decipi possint, tanquã qui nõ habeant in seipsis eadẽ quæ habent improbi affectuũ exempla malorũ. Omnino certẽ id patiunt. Verũ enimuero nõ iuuenẽ, sed senẽ esse bonũ oportet iudicẽ, q sero quale qd iniustitia sit, didicerit tanquã qui nõ propriã in animo suo eam senserit, sed aliená in alienis animis longo tẽpore nouerit, atq; idcirco cuiusmodi sit malum discernat, scientia potius quã propria experiẽtia iudicans. Generosissimus certe iudex huiusmodi esse uidet. Et bon⁹ præterea, q̃d ipse quęrebas. Qui eñ bonũ habet ingeniũ & animũ, bonus est. Versutus autẽ ille ac mala suspicans, qui multa agit iniuste, sagaxq; & sapiens habet, quando cũ sui similibus uersatur, cautus callidusq; apparet, cũ ad exempla quæ in eo sunt, mentẽ dirigens sibi satis caueat. Quando uero bonis senioribusq; adhæret, fatuus, cũ ultra quã decet diffidat, sanumq; & syncerũ morẽ ignoret, quippe q exẽpla illius nõ habeat. Cũ uero frequenti⁹ cũ malis quã cũ bonis uerset, sæpius quoq; sapientior quã insipientior sibi aliisq; uidet. Vera proculdubio loqueris. Nõ ergo talẽ quærere oportet iudicẽ tanquã bonũ & sapientẽ, sed qualem paulo ante dicebam. Prauitas eñ neq; se, neq; uirtutẽ cognosceret unquã. Virtus autem naturæ tẽpore addita disciplina, & seipsam simul & prauitatẽ intelliget. Nõ igit malus, ut mea fert opinio, sed hic sapiens euadit. Mihi quoq; ita uidet. Nõne igit & medicinam qualem diximus unà cũ huiusmodi iudiciaria æquitate in ciuitate lege constitues, quæ quidem eos ciues qui natura, tum animo, tum corpore bene se habent, enutriant: eorum uero qui tales non sunt, quotcunq; corpore deficiunt, mori sinant, quotcunq; autem malo ingenio procreati, insanabiles sunt, morte mulctent? Hoc fortasse & ipsis qui talia patiuntur & ciuitati conducit.

Multa p se qdẽ dicta, alia uident: cõparata uero cũ suis causis, longe alia. *Obrimi pro Seuero.*

Tunc autem ex ipsis factis iudicio sumpto, digni quidem laudibus honorandi sunt: delinquentes uero, castigandi. *Demosthenis.*

Ὁ δὲ ἐκ φιλοσοφίας τῷ ἄρχοντι πάρεδρος καὶ φύλαξ ἐγκατοικισθεὶς λόγος, ὥσπερ εὐεξίας, τῆς δυνάμεως τὸ ἐπισφαλὲς ἀφαιρῶν, ἀπολείπει τὸ ὑγιαῖνον. ἀλλὰ νοῦν οὐκ ἔχοντες οἱ πολλοὶ τῶν βασιλέων καὶ ἀρχόντων, μιμοῦνται τοὺς ἀτέχνους ἀνδριαντοποιούς, οἳ νομίζουσι μεγάλους φαίνεσθαι

lego διατεταμένους τοὺς κολοσσούς, ἂν διαβεβηκότας σφόδρα καὶ * διατεταγμένους καὶ κεχηνότας πλάσωσι. καὶ γὰρ οὗτοι βαρύτητι φωνῆς, καὶ βλέμματος τραχύτητι, καὶ δυσκολίᾳ τρόπων, καὶ ἀμιξίᾳ διαίτης, ὄγκον οἰκονομίας καὶ σεμνότητα μιμεῖσθαι δοκοῦσι.

Δεῖ δέ, ὥσπερ ὁ κανὼν αὐτὸς ἀστραβὴς γενόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς αὐτὸν ἐφαρμογῇ καὶ παραθέσει συνεξομοιῶν· παραπλησίως τὸν ἄρχοντα πρῶτον ἀρχὴν κτησάμενον ἐν ἑαυτῷ, καὶ κατευθύναντα τὴν ψυχὴν καὶ καταστησάμενον τὸ ἦθος, οὕτω συναρμόττειν τὸ ὑπήκοον. οὔτε γὰρ πίπτοντος ὀρθοῦν, ἢ τάττειν ἀτακτοῦντος, ἢ ἄρχειν μὴ ἀρχομένου.

Ἀλλὰ τῶν τοιούτων καὶ τοσούτων, ἃ θεοὶ χαρίζονται, δώρων καὶ ἀγαθῶν, οὐκ ἔστιν ἀπόλαυσις οὐδὲ χρῆσις ὀρθή, δίχα νόμου καὶ δίκης καὶ ἄρχοντος. δίκη μὲν οὖν, νόμου τέλος ἐστί, νόμος δέ, ἄρχοντος ἔργον, ἄρχων δέ, εἰκὼν θεοῦ τοῦ πάντα κοσμοῦντος.

Ἐν μὲν τοῖς ταπεινοῖς καὶ ἀσθενέσι καὶ ἰδιώταις τῷ ἀδυνάτῳ δεδεμένον τὸ ἀνόητον, εἰς τὸ ἁμαρτάνειν, ὥσπερ ἐν ὀνείρασι φαύλοις, τοῖς πάθεσι τὴν ψυχὴν διαταράττει συνεξανιστᾶναι τῆς ἐπιθυμίας μὴ δυναμένην.

Ἡ δὲ ἐξουσία παραλαβοῦσα τὴν κακίαν, νεῦρα τοῖς πάθεσι προστίθησι. καὶ τὸ Διονυσίου ἀληθές ἐστιν. ἔφη γὰρ ἀπολαύειν μάλιστα τῆς ἀρχῆς, ὅταν ταχέως, ὃ βούλεται, ποιῇ. μέγας οὖν ὁ κίνδυνος βουλεύσασθαι ἃ δεῖ τὸν ἃ βούλεται ποιεῖν δυνάμενον. ὀξὺ ἡ κακία, τῆς ἐξουσίας δρό-

malim φόνον. μον ἔχουσα, πᾶν πάθος ἐξωθεῖ. ποιοῦσα τὴν ὀργὴν * φθόνον· τὸν ἔρωτα, μοιχείαν· τὴν πλεονεξίαν, δήμευσιν. ἐὰν μὴ βάρος ἔχων ὁ λόγος, ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν.

Πλάτωνος νόμων ιβ'. Πρὸς ἃ πάντα χρὴ τὸν μέλλοντα δικαστὴν ἴσον ἔσεσθαι, κατὰ δίκην βλέπειν τε καὶ κεκτημένον γράμματα αὐτῶν πέρι μανθάνειν. πάντων γὰρ μαθημάτων κυριώτατα, τοῦ τὸν μανθάνοντα βελτίω γίγνεσθαι, τὰ περὶ τοὺς νόμους κείμενα, ἃ εἴπερ ὀρθῶς εἴη τεθέντα, γίγνοιτ' ἄν, ἢ μάτην τοὔνομα νῷ προσῆκον κέκτητ' ἂν ἡμῖν ὁ θεῖος καὶ θαυμαστὸς νόμος. καὶ δὴ καὶ τῶν ἄλλων λόγων, ὅσοι τε ἐν ποιήμασιν ἔπαινοι καὶ ψόγοι περί τινων λέγονται, καὶ ὅσοι κατὰ λόγον, εἴτ' ἐν γράμμασιν, εἴτε καθ' ἡμέραν ἐν ταῖς ἄλλαις πάσαις ξυνουσίαις διὰ φιλονεικίας τε ἀμφισβητοῦνται, καὶ διὰ ξυγχωρήσεων ἔστιν ὅτε καὶ μάλα ματαίων, τούτων πάντων ἂν βάσανος εἴη σαφής, τὰ τοῦ νομοθέτου γράμματα· ἃ δεῖ κεκτημένον ἐν αὑτῷ καθάπερ ἀλεξιφάρμακα τῶν ἄλλων λόγων τὸν ἀγαθὸν δικαστήν, αὑτόν τε ὀρθοῦν, καὶ τὴν πόλιν,

aliâs μονάς. τοῖς μὲν ἀγαθοῖς * μόνοις τῶν δικαίων καὶ ἐπαύξησιν παρασκευάζοντα· τοῖς δὲ κακοῖς ἐξ

al. μεταβολήν. ἀμαθίας καὶ ἀκολασίας καὶ δειλίας, καὶ ξυλλήβδην πάσης ἀδικίας εἰς τὸ δυνατὸν * μεταβολή, ὅσοις ἰάσιμοι δόξαι τῶν κακῶν. οἷσι δὲ ὄντως ἐπικεκλωσμέναι, θάνατον ἴαμα ταῖς οὕτω διατεθείσαις ψυχαῖς διανέμοντες. ὃ δικαίως ἂν εἴη πολλάκις ἀνειρημένον, ἄξιοι ἐπαίνου γίγνοιντ' ἂν τῇ πάσῃ πόλει, τοιοῦτοι δικασταὶ καὶ δικαστῶν ἡγεμόνες.

Ἐνθυμοῦ δὲ καὶ ὅτι δοκεῖς τισιν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι. μὴ οὖν

addo δ. λανθανέτω σε, ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ * πράττειν ἐστίν, ἡ δ' αὐθάδεια, ἐρημίας ξύνοικος.

Ξενοφῶντος. Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ἕπωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν.

Πλάτωνος. Ἴθι δὴ καὶ τὴν τῶν δικαστῶν τῶν ὀρθῶς δικαζόντων θεασώμεθα δύναμιν. πάνυ μὲν οὖν. ἆρ' οὖν ἐπὶ πλέον τι δύναται τοῦ περὶ τὰ ξυμβόλαια πάνθ' ὅσα κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαβοῦσα κρίνειν, εἰς ἐκεῖνα σκοποῦσα, τά τε δίκαια ταχθέντ' εἶναι καὶ ἄδικα, τὴν αὐτῆς ἰδίαν ἀρετὴν παρεχομένη, τοῦ μήθ' ὑπό τινων δώρων, μήθ' ὑπὸ φόβων, μήτ' οἴκτων, μήθ' ὑπό τινος ἄλλης ἔχθρας, μήτε φιλίας ἡττηθεῖσα παρὰ τὴν τοῦ νομοθέτου τάξιν ἐθέλειν ἂν τὰ ἀλλήλων ἐγκλήματα διαιρεῖν; οὐκ, ἀλλὰ σχεδὸν ὅσον εἴρηκας, ταύτης ἐστὶ τῆς δυνάμεως ἔργον.

Ratio ex philosophia assidens principi, & ueluti custos in mente recondita, quicquid in potentatu periculosum est, tanquam in athletico habitu, demit, & salubre tantum relinquit. Verum multi regum & principum sine mente, imperitos statuarios imitantur, qui colossos putant ita demum magnos uideri, si multum diuaricatos, distentos, & hiantes fecerint. Nam & illi (principes inquam) grauitate uocis, aspectus asperitate, difficultate morum, & conuersandi aspernatione, magnitudinē ac seueritatem imperij exprimere se putant.

Cæterum oportet, quemadmodum amussis cum plane recta & minime peruersa fabricata est, cætera quibus admouetur & accommodatur dirigit: similiter quoq; principem, ubi primum didicerit imperare sibijpsi, & animum suum recte instituerit, & mores habuerit bene compositos, ita demum subditos regere. Nec enim cadentis est currere, aut incompositi componere, aut parere nescij imperare.

Tot tantorumq; bonorum & munerum, quæ dij largiuntur, nullus est fructus, aut usus rectus sine lege, iure, & principe. Ius, finis est legis: principis opus, lex: princeps autem, imago dei cuncta administrantis.

Mens stolida hominum idiotarum, humilium, & imbecillorum, impotentia quadam ad peccandum alligata, affectibus ita perturbatur, quemadmodum nonnulli in prauis somnijs, ut à cupiditate sua resurgere non possit.

Potestas malitiæ coniuncta neruos ac robur affectibus addit. Et uerum est illud Dionysij dictum, qui se tum imperio frui maxime dixit, cum confestim quod liberet faceret. Quamobrem ingens est periculum ei quid facto sit opus consulere, qui facere potest quæ uoluerit. Si malitia potestatis cursum adipiscatur, celeriter affectum quemuis promouet, ex ira cædem, amore adulterium, & ex auaritia publicationem faciens, nisi rationis grauitas & pondus coërceat reprimatq; potestatem.

Ad quę omnia æquus futurus iudex respicere debet, atq; operam dare, ut has legum constitutiones ante omnia discat, & mente firmiter teneat. Nam ad faciendum eum uirum qui didicit bonum, scripta legum præ cæteris doctrinis, si recte se habent, maxime conferunt. Neq; enim temere miranda diui naq; lex nomen menti proximum possidet: (νόος enim mentem, νόμος uero legem significat.) Nam cum multi sermones de laude uituperationeq; nonnullorum partim carminibus, partim soluta oratione tū scripti circumferantur, tum quotidie in coronis seu contendendo, siue falso assentiendo habeantur, horum omniū perspicuum examen legislatoris scripta nobis sunt. Hæc quasi remedium medelamq; aduersus aliarum orationum uenena, probus iudex secū semper tenebit: quibus seipsum ciuitatemq; emendabit, bonos confirmabit atq; extollet: prauos ex ignorantia, incōtinentia, timiditate, & ut summatim dicam, ex iniustitia uniuersa pro uiribus, si sanabiles sunt reuocabit. Nā si sanari nō possunt, qui eos morte afficiunt, apud omnes laude digni iudices iudicumq; principes non iniuria sæpius dici posse uidentur. *Platonis de legibus dialog. 12.*

Considerato quod uidearis quibusdam officiosus esse minus quā par sit. Quare nolo te ignorare, quod obsequendo & placendo hominibus bona fortuna acquiritur: Contumacia uero solitudinis comes est.

Equidem & istud opinor magnū esse argumentū uirtutis in principe, si subditi ipsum libenter sequantur, & in periculis unà perseuerent. *Xenophontis.*

Agedum & iudicum recte iudicantium facultatem contemplemur. Ita fiat. Nunquid longius patet, quàm ut circa contractus omnigenos quid iustum, quid non consideret, & ad normam legum, quas rex ipse condidit, respiciens de singulis iudicet propria uirtute semper adhibita, per quam neq; muneribus, nec minis, nec misericordia, nec odio, nec amore legibus transgressis mutuas accusationes dissoluas? Non aliud certe quā nunc ab te dictum, iudicis est officium. *Platonis de regno.*

Ξενοφῶντος. Πολλάκις μὲν δὴ ὧδε καὶ ἄλλοτε κατενόησα, ὅτι ἄρχων ἀγαθὸς, οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψει· Κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν, ἀφ' ὧν ἂν μάλιστα εὐδαιμονοῦντες διατελοίημεν.

Τοῦ αὐτοῦ ἐκ τοῦ Ἱέρωνος. Ἐπιμέλειαί γε μὲν μοι δοκοῦσιν, αἱ μὲν, πάνυ πρὸς ἔχθραν ἄγειν· αἱ δὲ, πάνυ διὰ χαρίτων εἶναι. τὸ μὲν γὰρ διδάσκειν τὰ ἅ ἐστι βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾶν, αὕτη μὲν ἡ ἐπιμέλεια, διὰ χαρίτων γίγνεται. τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα, λοιδορεῖν τε, καὶ ἀναγκάζειν, καὶ ζημιοῦν καὶ κολάζειν· ταῦτα δ' ἀνάγκη δι' ἀπεχθείας μᾶλλον γίγνεσθαι. ἐγὼ οὖν φημι ἀνδρὶ ἄρχοντι, τὸ μὲν ἀνάγκης δεόμενον, ἄλλοις προστακτέον εἶναι κολάζειν· τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι, δι' ἑαυτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. καὶ γὰρ ὅταν χορούς βουλώμεθα ἡμῖν ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν. ἀθροίζειν δὲ αὐτοὺς προστέτακται, χορηγοῖς· καὶ ἄλλοις διδάσκειν, καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι
† aliàs τὸ. ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις † τὰ μὲν * εὔθι χάριτα διὰ τοῦ ἄρχοντος ἐγένετο· τὰ δὲ ἀν-
* aliàs ἐπίχαρι. τίτυπα δι' ἄλλων. τί οὖν κωλύει καὶ τἄλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι; διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις, αἱ μὲν κατὰ φυλὰς· αἱ δὲ, κατὰ μοίρας· αἱ δὲ κατὰ λόχους, καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασι. οὐκοῦν, εἴ τις καὶ τούτοις ὥσπερ τοῖς χοροῖς ἆθλα προτιθείη εὐ-
al. συμβολαίοις. ταξίας, εὐοπλίας, ἱππικῆς, καὶ ἀλκῆς ἐν τῷ πολέμῳ, καὶ δικαιοσύνης ἐν τοῖς * συμβόλοις,
al. καὶ νὴ μὰ Δία. εἰκὸς καὶ ταῦτα πάντα, διὰ φιλονεικίας εὐτόνως ἀσκεῖσθαι· * καὶ νὴ Δία, ὁρμῷντό γ' ἂν θᾶσσον ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον ἂν εἰσφέροιντο, ὁπότε τούτου καιρὸς εἴη. καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράσσεσθαι, ἡ γεωργία. καὶ
al. μάλιστα. αὕτη ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη κατ' ἀγροὺς ἢ κατὰ κώμας τοῖς * μάλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις, πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ πρόσοδοι αὔξοιντ' ἂν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτοῖ. καὶ μὴν κακουργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται. εἰ δὲ καὶ, ἐμπορία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν, καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τιμήσεται, οὐδ' αὕτη ἂν ἡ σκέψις ἀργοῖτο. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ἀγαθόν τις εἰσηγούμενος, οὐκ ἀτίμητος ἔσται. πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι, τὸ σκοπεῖσθαι τι ἀγαθόν. καὶ ὅταν πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαι μᾶλλον καὶ
al. ἐπιμελεῖσθαι. † ἐπιτελεῖσθαι.

Λυσίου. Εἰ μὲν οἷόν τ' ἦν ἐκ τῶν προτέρων λόγων τὰ δίκαια γινώσκειν, οὐδὲν ἂν ἔδει τοὺς φεύγοντας ἀπολογεῖσθαι, ἀλλ' ἀρκεῖ τὶ ἀποθνήσκειν. ἐπεὶ δὲ τὰ ψευδῆ λέγειν δυνατόν ἐστι τοῖς κατηγοροῦσι· δίκαιον ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσαντας, τηνικαῦτα τὴν περὶ τοῦ δικαίου ψῆφον φέρειν.

Προσήκει δ' ἡμῖν περὶ φυγῆς δικάζουσι, μὴ παρανομεῖν, ἀλλ' εὐσεβεῖν· μηδὲ θορύβῳ τὰ πράγματα κρίνειν, ἀλλὰ σιωπῇ τὰ δίκαια γινώσκειν.

Οἱ μὴ κολάζοντες τοὺς κακοὺς, βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς.

ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η ΜΟΝΑΡΧΙΑ, ΛΟΓΟΣ με.

Ὁμήρου. ΟΥΚ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω. εἷς βασιλεύς.
Θυμὸς γὰρ μέγας ἐστὶ διοτρεφέων βασιλήων.
τιμὴ δ' ἐκ Διός ἐστι· φιλεῖ δέ ἑ μητίετα Ζεύς.

Εὐριπίδου. Ἐγὼ γὰρ οὐδὲν μῆτερ ἀποκρύψας ἐρῶ,
ἄστρων ἂν ἔλθοιμ' αἰθέρος πρὸς ἀντολὰς,
καὶ γῆς ἔνερθε δυνατὸς ὢν δρᾶσαι τάδε,
τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα.
Εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι

κάλλι

Verũ ego, ô uiri, sæpenumero etiã aliàs cogitaui, bonũ principẽ nihilo differre à bono patre. Nam & parentes filiis prouident, ut bona his nunquã sint defutura. Et Cyrus uidetur mihi nunc ea nobis consulere, à quibus maxime in fœlicitate possimus ad ultimum usq; finem perseuerare.

Xenophõtis lib. 8 de pædia Cyri, [illegible] tio.

Attamẽ functiones mihi uident, aliæ prorsus in odiũ adducere, aliæ rursus cũ gratia beneuolentiaq; pagi. Itaq; docere quæ sunt optima, & eos q ea pulcherrimè præstant, laudib⁹ & honorib⁹ afficere, hæc quidẽ functio cũ beneuolentia cõiuncta est. Cæterũ q secus quã oportet agit quippiã, hunc cõuiciis afficere, cogere, mulctã dicere, punireq; (nam & hæc facere necessitas est) cũ odio maleuolentiaq; coniunctũ est. Censeo itaq; uiro principi sic agendũ, ut si qs eget coactione, hũc aliis puniendũ tradat: Cæterũ cũ præmia reddenda sunt, his q rem bene gesserunt, id p seipsum faciat. Quod aũt hæc rectè habent, testat publica cõsuetudo. Quoties uolumus nobis musicũ certamen exhiberi, præmia quidẽ proponit princeps. Cæterũ eos congregandi negociũ datur choragis, quemadmodũ aliis iniungunt & docendi, uimq; adhibendi eis, qui min⁹ rectè se gerunt, partes delegant. Ita fit protinus, ut in his qd gratiosum est, p principẽ fit factũ: quod uero contrà, p alios. Quid igit uetat & alias functiones, quæ ad prohibendos homines ptinẽt, simili modo pagi? Nã respub. omnes diuisæ sunt, aliæ p tribus, aliæ p classes, aliæ p manipulos: principes aũt singulis partibus præsident. Itaq; si quis queadmodũ fit in choris, ita his quoq; proponat præmia, tũ ob egregiam armaturã, tũ ob pulchre seruatũ ordinẽ, tũ ob equitãdi peritiã, tũ ob uirtutẽ in bello præstantẽ, tũ ob iustitiam in cõuentis, uerisimile est hæc quoq; cuncta acrius exercenda, si adsit contentio, uincendiq; studiũ. Ac p Iouẽ citius impellunt quocunq; op⁹ est, q honoris sunt auidi, citiusq; cõferrẽt pecuniã, si quãdo pecuniã exigat occasio. Et qd est omniũ utilissimũ, id minime tñ usitatũ est, ut p contentionẽ agat. Hæc nimirũ est agricultura, cui multũ accesserit, si qs p agros ac uicos præmia cõstituat, his q quã optime terrã excoluerint, iisq; q ex ciuib⁹ maxime in hãc rem incubuerint, is multa bona reipub. pstiterit. Quandoquidẽ & crescent reipub. prouent⁹, & sobrietas occupatos magis comitabit, & opi intẽtis min⁹ otiũ scelerũ. Quod si qd etiã negociatio cõducit reipub. honos habit⁹ ei, q hanc potissimũ exercuerit, efficiet, ut plures affluant, q merces importent. Iam si & illi honos habeat, q reip. utilitatẽ quampiã, citra cuiusquã molestiã excogitauerit, ne hæc qdẽ cura cessaret. Atq; ut sermonẽ in pauca cõferam, si cunctis esset pspicuũ, nõ cariturũ præmio quisquis boni quippiam inuexerit reipub. plurimos ea res excitaret ad studium inueniendi quippiam boni. Sanè cum multis curæ est ciuitatis utilitas, fieri nõ potest, quin & plura reperiantur ingenio, & obeantur functione.

Eiusdem in Hierone.

Si quidẽ fieri posset, ut quod iustũ est ex priori oratione cognosceret, nihil opus esset reos causam suam dicere, sed causa indicta mori. Sed quia fieri potest, ut accusantes mendacia dicant, conuenit, ut auditis utrisq; aduersariis, ita demum iustitiæ suffragiũ feramus.

Lysiæ.

Decet nos de exilio iudicantes, non temere ac perperã, sed iuste pieq; agere: neq; tumultu de rebus iudicare, sed cum silentio iusta cognoscere.

Qui de malis pœnas non sumunt, bonos affici uolunt iniuriis.

QVOD OPTIMVM SIT MONARCHIA, SER. XLV.

Non bonũ est multorũ dominiũ, sit dominus unus, Et unus rex.
Animi enim magni sunt à Ioue nutritorum regum.
Honos autem ex Ioue est, amatq; regem sapiens Iupiter.
Ego enim nihil ô mater te cælans dicam,
Syderum peruenirem ætheris ad exortus,
Et infra tellurem, si hoc possem efficere,
Vt maximam deorum occuparem tyrannidem.
Si quid iniuste faciendum est, tyrannidis gratia

Homeri [illegible]
Ibidem.
Euripidis.

κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.

Ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ, καὶ τυραννεῖσθαι καλόν.

Ἡσιόδου. Ἐκ δὲ Διὸς βασιλῆες. ὁ δ' ὄλβιος ὅν τινα μοῦσαι

φιλῶνται. γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.

Πλάτωνος. Ἔστιν ἄρα καθάπερ πλοίου παραδόντι τὰ πηδάλια τῆς διανοίας ἄλλο τῳ μαθόντι τῇ κυβερνητικὴν, ἣν δὴ σὺ πολιτικὴν ὦ σώκρατες ἐπονομάζεις πολλάκις. τὴν αὐτὴν δὲ ταύτην δικαστικήν τε καὶ δικαιοσύνην ὡς ἔστι λέγων.

Ἰσοκράτους. Αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι, τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι, καὶ τοῦτ' εὐδοκιμεῖ παρ' αὐταῖς, ἐὰν μηδὲν ἕτερος ἑτέρου δύνηται πλέον ἔχειν, ὃ τοῖς

al. λύτερον, τέταρτον. πονηροῖς συμφέρον ἐστίν. αἱ δὲ μοναρχίαι, πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ: * δευτέρῳ δὲ, τῷ μετ' ἐκεῖνον: * τρίτῳ δὲ, καὶ * τετάρτῳ, καὶ τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. καὶ ταῦτ' εἰ μὴ πανταχοῦ καθέστηκεν: ἀλλὰ τό γε βούλημα τῆς πολιτείας, τοιοῦτόν ἐστι.

Καὶ μὴν εἰ δεῖ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων καὶ τὰς πράξεις, ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν. καί τοι τίς οὐκ ἂν δέξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν, ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὤν, μᾶλλον ἢ φέρεσθαι μετὰ τοῦ πλήθους, μὴ γιγνωσκόμενος ὁποῖός τίς ἐστιν;

alias additur ἢ δικαιοτέραν. Ἀλλὰ μὴν καὶ πρᾳοτέραν τοσούτῳ * δικαίως ἂν αὐτὴν εἶναι κρίναιμεν, ὅσῳ περ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον, ἢ πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν.

Οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες, πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν. οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες,

al. ἀλλ' οὖν τοῖς γε ἂν καὶ τῇ φύσει καταδεεστέραν ἔχωσιν, * ἀλλὰ ταῖς ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν.

Ἔπειθ' οἱ μὲν, πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες: οἱ δ' οὐδενὸς ὀλιγωροῦσιν εἰδότες ὅτι πάντα δεῖ δι' αὐτῶν γίγνεσθαι.

Πρὸς δὲ τούτοις, οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις διὰ τὰς πρὸς σφᾶς αὐ-

al. φιλοτιμίας. τοὺς * φιλονεικίας, λυμαίνονται τοῖς κοινοῖς. οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσιν, περὶ ἁπάντων ὡς οἷόν τέ ἐστι τὰ βέλτιστα πράττουσιν.

Ἔπειθ' οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων. τὸν μὲν γὰρ πλεῖστον χρόνον, ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν. ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσι, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους, ἢ κοινῇ βουλευομένους. οἱ δ' οὔτε συνεδρίων, οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες, οὐκ ἀπολείπονται τῶν καιρῶν: ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν.

alias τὴν. Ἔτι δὲ, οἱ μὲν πρὸς ἀλλήλους δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὐτοῦ ἄρχοντας, καὶ * τὸν ἐφ' αὐτοῖς ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσιν. οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες, εἰς ἅπαντα τὸν χρόνον καὶ τὰς εὐνοίας ἔχουσι.

Τὸ δὲ μέγιστον: τοῖς γὰρ κοινοῖς, οἱ μὲν, ὡς ἰδίοις: οἱ δὲ ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν, καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν: οἱ μὲν, τῶν ἀστῶν τοῖς τολμηροτάτοις: οἱ δὲ, ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους. καὶ τιμῶσιν οἱ μὲν, τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους: οἱ δὲ, τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους.

Οὐ μόνον δὲ ἐν τοῖς ἐγκυκλίοις, καὶ τοῖς καθ' ἡμέραν ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι. καὶ γὰρ παρασκευάσασθαι δυνάμεις, καὶ χρήσασθαι ταύταις, ὥστε καὶ λαθεῖν καὶ ὀφθῆναι. καὶ τοὺς μὲν, πεῖσαι: τοὺς δὲ, βιάσασθαι: παρὰ δὲ τῶν, ἐκπρίασθαι: τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις προσαγαγέσθαι μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τέ εἰσι. καὶ ταῦτα ἐκ τῶν ἔργων ἄν τις οὐχ ἧττον ἢ τῷ λόγῳ πιστεύσειεν.

Μὴ μόνον δὲ τὰς φύσεις αὐτὰς νομίζετε τοὺς χαλεποὺς ἢ πρᾴους εἶναι τοὺς τυράννους: ἀλλὰ καὶ τὸν τρόπον τὸν τῶν πολιτῶν. πολλοὶ γὰρ ἤδη διὰ τὴν κακίαν τὴν τῶν ἀρχομένων, τραχύτερον

Optimum fuerit delinquere, in reliquis oportet pietati studere.

Bono uiro etiam tyranno subiici pulchrum est.

Ex Ioue sunt reges: sed fœlix est, quem Pierides *Hesiodi.*
Amarint, & dulcis ei fluit ex ore uox.

Animi tanquã nauis gubernaculũ tradendũ est alteri cuipiã, qui didicerit gubernandi artẽ, quã tu ciuilem quoque sæpius uocas ò Socrates, & iudicialem, & iustitiam, ut est, appellas. *Platonis.*

Oligarchiæ quidem & democratiæ, ciuibus in repub. æqualitatem comparant, & hoc in ipsarum statu egregium est, si alter præ altero nulla in re polleat, quod ex usu est improbis. Monarchiæ uero plurimum tribuunt optimo, deinde secundo quod post primum est, deinde tertio & quarto ac reliquis eadem ratione. Atque hæc etsi non ubique ita se habeant, intentio tamen reipub. talis est. *Isocratis.*

Atqui si hominum inspicienda sunt ingenia & actiones, omnes potius approbabunt tyrannides. Quis uero recte sapiens non malit in huiusmodi republica degere, in qua cuiusque uirtus elucescit, potius quàm agere in media plebe, & qualis nam sit non cognosci?

Quinetiam tanto faciliorẽ non immerito ipsam esse iudicauerimus, quanto facilius est animum suum unius uiri instituto accommodare, quàm multis uariisque opinionibus placere conari.

Qui magistratus per uices annorum subeunt, prius fiunt iterum priuati, quàm reipub. negotia cognoscant, eorumque sibi experientiam comparent: Qui uero semper iisdem officiis funguntur, licet ingenii fuerint inferioris, experientia tamen usuque rerum longe cæteris præferendi sunt.

Ad hæc populus multa negligit, dum alter respicit alterum. Illi uero nihil per negligentiam delinquunt, cum per ipsos omnia fieri oportere sciant.

Item qui in paucorum aut populari uersantur imperio, propter contentiones priuatas reipub. damnum inferunt: Qui uero in Monarchia uiuunt, quia non est cui inuideant, omnia quàm fieri potest optime agunt.

Præterea populus maleuolentia mutuo laborat, & optarent singuli ut & qui ante se rempublicam gesserunt, & qui in præsentia gerunt, pessime ciuitatem gubernassent, ut eo maior in se gloria redundaret. Monarchæ autem cum per omnem uitam domini sint rerum, perpetuam beneuolentiam retinent.

Cæterum hoc maximum est, quod uulgus animum applicat ad publica tanquam aliena: monarchæ tanquam propria. Et in rebus publicis consiliarii adhibentur, illic quidem ciuium audacissimi, hic uero ex omnibus delecti sapientissimi. Et uulgus illos maxime colit, qui in turba oratione ualent: monarchæ autem in rebus agendis reuera doctos.

Non modo autem in uulgaribus & quotidianis rebus monarchiæ præcellunt, sed etiam militiæ commoditates omnes potiores habent. Est enim facultas tum ad apparatum, tum ad usum illarum, siue latentem, siue manifestum. Item ad persuadendum nonnullis, alios cogendum, alios precio, alios aliis obsequiis alliciendum, plus monarchiæ quàm cæteræ respublicæ possunt: & hæc non minus quispiam ex ipsis factis & euentu, quàm uerbis adductus crediderit.

Non solũ considerandũ est ingeniũ tyrannorũ cur benigni aut difficiles sint: sed ciuiũ quoque mores. Multi enim hactenus propter malitiã subditorũ, *Eiusdem in Nicocle.*

τρόπον ἢ κατὰ τὴν αὐτῶν γνώμην ἠναγκάσθησαν.

Ἐκ τῶν στοβαίου. Ὅτι Κροῖσος ἦρχε Λυδῶν, τὸν ἀδελφὸν μετ' αὐτοῦ κατέστησεν ἄρχοντα. προσελθὼν δέ τις τῶν Λυδῶν, ὦ βασιλεῦ εἶπε· πάντων ἐπὶ γῆς καλῶν ὁ ἥλιος τοῖς ἀνθρώποις αἴτιός ἐστι, καὶ οὐδὲν ἂν εἴη τῶν ἐπὶ γῆς, μὴ τοῦ ἡλίου ἐπιλάμποντος. ἀλλ' εἰ θέλουσι δύο ἥλιοι γενέσθαι, κίνδυνος πάντα συμφλεχθέντα διαφθαρῆναι. οὕτως ἕνα μὲν βασιλέα ὄντα δέχονται Λυδοί, καὶ σωτῆρα πιστεύουσιν εἶναι· δύο δὲ ἅμα οὐκ ἂν ἀνάσχοιντο.

Κρατίνου. Ὅτι βασιλέως μὲν καὶ τὸ βλέμμα ἀρκεῖ μόνον. καὶ μὴ ἴδῃ μόνον, τὸ ἀληθὲς βεβασάνισται.

Ἐκφάντου. Ἐπὶ δὲ γᾶς ἄνθρωποι ἀπῳκισμένον χρῆμα, καὶ πολὺ τᾶς καθαρωτέρας φύσιος ἐλαττούμενον, καὶ πολλᾷ τᾷ γᾷ βαρυνόμενον, ὡς ἀπὸ τᾶς ματρὸς αὐτὸ μόγις ἐπάρθαι, αἰ μὴ θεομοιρής τις ἐμπνοίησις ἐλεῶν ζῶον συνάψειν αὐτῷ τῷ κρείσσονι μορίῳ δεικνύσα τὰν ἱερὰν τῷ γεννάτορος ποτόψιν, ὡς ἀδύνατον ἐκείναν θεάσασθαι. ἐν δὲ τᾷ γᾷ καὶ * παραμεῖναι, ἀεὶ

al. καὶ ἁμῶν, ut infra. al. θειότατος. al. additur αὐτᾶς

σοφώτατον μὲν ἄνθρωπος· * θειότερος δὲ ὁ βασιλεὺς ἐν τᾷ κοινᾷ φύσει πλονεκτῶν τῷ κρείσσονι· τὸ μὲν σκᾶνος τοῖς λοιποῖς ὅμοιος οἷα γεγονὼς ἐκ τᾶς * ὕλας· ὑπὸ τεχνίτα δ' εἰργασμένος λώστω, ὃς ἐτεχνίτευσεν αὐτὸν, ἀρχετύπῳ χρώμενος ἑαυτῷ. ὡς εἴθε μὰν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφέμεν, τὸ καὶ πειθοῦς τινος δέεσθαι. τόδε γὰρ τᾶς περιγείω φαυλότατος λείψανον, καθ' ἂν ἐπίκηρον ὂν τὸ ζῶον αὐτᾶς οὐκ ἀμοιρεῖ, αἰ δέ πού τις καὶ ἐν αὐτῷ θειότερος ἢ κατ' ἄλλα συστάη, ποτ' οὐδὲν ἂν τᾶς πειθοῦς δέοιτο.

Πλάτωνος. Λέγω γὰρ δὴ διαιτητοῦ τινα τρόπον διαλεγόμενος (ὡς δυοῖν τυραννεύσαντι καὶ τυραννευθέντι, ὡς ἑνὶ ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλήν.) καὶ νῦν δὲ ὅγ' ἐμὸς λόγος ἂν εἴη ξύμβουλος τυράννῳ παντὶ, φεύγειν μὲν τοὔνομά τε καὶ τοὔργον τοῦτο· εἰς βασιλείαν δὲ εἰ δυνατὸν εἴη μεταλαβεῖν. δυνατὸν δὲ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυκοῦργος, ὃς ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ Μεσσήνῃ, ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δείσας περὶ τῆς αὐτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχὴν, καὶ τὸν τῶν ἐφόρων δεσμὸν τῆς βασιλικῆς ἀρχῆς σωτήριον, ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σώζεται νόμος. ἐπειδὴ κύριος ἐγένετο καὶ βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων.

Ὀτάνης μὲν ἐκέλευεν ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα. ἐμοὶ δὲ, τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι. τὰ δὲ ἐς ὀλιγαρχίην, οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων καὶ πάντων τῷ λόγῳ ἀρίστων ἐόντων, δήμου τε ἀρίστου, καὶ ὀλιγαρχίης, καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου, οὐδὲν ἄμεινον ἂν φανείη. γνώμῃ γὰρ τοιαύτῃ χρώμενος, ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστα. ἐν δὲ ὀλιγαρχίῃ, πολλοῖσιν ἀρετὴν ἐπασκέουσιν ἐς τὸ

aliàs αὐτ. κοινὸν, ἔχθεα ἴδια ἰσχυρὰ φιλέει ἐγγίνεσθαι. * αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι, γνώμῃσί τε νικᾶν, ἐς ἔχθεα μεγάλα ἀλλήλοισιν ἀπικνέονται. ἐξ ὧν στάσιες ἐγγίνονται· ἐκ δὲ τῶν

al. δίδεξε. στασίων, φόνος· ἐκ δὲ τοῦ φόνου, ἀπέβη ἐς μουναρχίην. καὶ ἐν τούτῳ * διέδεξε, ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος, ἀδύνατον μὴ οὐ κακότητα ἐγγίνεσθαι. κακότητος τοίνυν

aliàs non legitur κακοῖσι. al. προστάς τις. ἐγγινομένης ἐς τὰ κοινὰ, ἔχθεα μὲν οὐκ ἐγγίνεται τοῖσι * κακοῖσι. φιλίαι δὲ ἰσχυραί. οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιεῦσι. τοῦτο δὲ τοιοῦτο γίνεται, ἐς ὃ ἂν * προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὐτῶν θωμάζεται. οὗτος δὴ ὑπὸ τοῦ δήμου θωμαζόμενος,

al. ἐὼν δ' ἐν. ἐφάνη ἐὼν μούναρχος. καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος, ὡς ἡ μουναρχίη κράτιστον. * ἑνὶ δ' ἀπὸ πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο, καὶ τεῦ δόντος; κότερα παρὰ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν· χωρίς τε τούτου, πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ. οὐ γὰρ ἄμεινον.

Πλάτωνος. Ἐπιμέλεια δ' ἔγε ἀνθρωπίνης ξυμπάσης κοινωνίας, οὐδεμία ἂν θελήσειεν, ἑτέρα μᾶλλον καὶ πρατέρα τῆς βασιλικῆς φάναι, καὶ κατὰ πάντων ἀνθρώπων ἀρχῆς εἶναι τέχνη. λέγεις ὀρθῶς. μετὰ ταῦτα δ' ἔγε ὦ Σώκρατες, ἆρα ἐννοοῦμεν ὅτι πρὸς αὐτῷ δὴ τῷ τέλει συχνὸν ἂν διημαρτάνετο; τὸ ποῖον; τόδε, ὡς ἄρα εἰ καὶ διενοήθημεν ὅτι μάλιστα τῆς διπόδου

ἀγέλης

asperiores se dare quàm pro ingenio suo coacti sunt.

Cum Lydis Crœsus imperaret, fratrem in consortium imperij assumpsit. Tum quidam ex Lydis accedens, dixit: Omnium in terra bonorum, ò rex, autor est sol, neq; quicquam extaret in terra sole non illustrante. At si gemini soles forent, periculum immineret ne omnia conflagrantia pessum irent. Ita & regem unũ quidem accipiunt Lydi, & seruatorem esse credunt: duos uero simul tolerare non possent. *Ex Serini commentarijs.*

Quoniam regis uel solus aspectus satis est: etsi tantum fuerit intuitus, explorata est ueritas. *Crispini.*

Homines in terra tanquam exilio sunt, & essentia puriori multum inferiores, plurima terra grauantur adeo ut à parente sua ægrè extollantur, nisi quis diuinior flatus miserum hoc animal meliori parti coniungat, sacrum genitoris aspectum monstrans, qui à nemine conspici potest. In terra quidem & apud nos optimum quidem ingenium præ cæteris animantibus homini datũ est: Diuinior autem inter homines rex est, ut qui multum supra communem naturam emineat: corpore reliquis non dissimilis, utpote natus ex eadem materia: sed ab optimo artifice factus, qui fabricauit ipsum, archetypo ex sese sumpto. * Vtinam fieri posset, ut humana natura nulla persuasione egeret. Reliquiæ enim terrestris malitiæ quæ animal efficiunt mortale, causa sunt, ut sine ipsa degere nequeat: si quis uero animo fuerit præ alijs diuinior, ille nulla in re persuasione opus habebit. *Ecphantis.* *Græca sunt subobscura.*

Loquor enim instar arbitri, utrisq;, & ei qui tyrannidem gerit, & qui patitur, consulens. Et in præsentia quoq; sermone meo cuiuis tyranno consuluerim, ut nomen istud declinet, ac in regnũ, si fieri potest, conuertat. Potest aũt fieri, sicuti re ipsa ostendit sapiens bonusq; uir Lycurgus, qui cum uideret genere sibi iunctos in Argo & Messena ex regibus tyrannos esse factos, & utrosq; tum seipsos tum ciuitates suas perdere, metuens ciuitati suæ & generi, remediũ salubre imperio regio adhibuit seniorũ principatũ, & Ephororũ uinculum. Itaq; per tot iam secula lex eadẽ durat cũ insigni gloria: quandoquidẽ per eam rex dominus effectus est hominũ, nõ aũt homines tyranni legum. *Platonis.*

Ostanes hortabatur rem Persicã in mediũ cõstitui. * Mihi uero quæ Megabyzus dixit, quatenus ad statũ popularẽ pertinẽt, rectè dicta uidenĩ: quatenus ad statũ paucorũ, nõ rectè. Propositis eñi tribus statibus, & his omnib⁹ optimis, ut optime imperet populus, optime pauci, optime unus, inter hæc multũ antecellere unius imperium sentio. Nam unius uiri, qui optimus sit, imperio, nihil melius esse constat. Qui eñi huiusmodi fuerit ingenio, plebẽ poterit sine omni reprehẽsione moderari: ut taceam, sic præcipue consilia in aduersarios trahi solere. Porrò in statu paucorũ, cũ plures uirtuti incumbant, uehemẽtiora priuatim odia excitari cõsueuerunt. Cũ eñi quisq; princeps esse optet, & in dicenda sentẽtia uincere, ad ingentia inter se odia euadunt: ex qbus seditiones existunt, è seditionib⁹ cædes, è cædibus ad unius impiũ deuenitur. Vnde intelligi daĩ, quanto sit hoc illo præstantius. Iam uero plebe imperante, abesse non potest quin malitia exoriatur: exorta malitia in repub. inter malos nõ odia fiũt, sed amicitiæ ualidæ. Qui eñi aduersus rempub. facinorosi sunt, mutuò se occultant: idq; tãdiu fit, dũ aliqs populo ꝓpositus, tales homines cõpescat: is uidelicet quẽ popul⁹ inter cæteros admireĩ. Hic cũ admirationi est, tunc uere monarchus ostendiĩ, declarans in hoc monarchũ esse omniũ præstantissimũ. Atq; ut in summa omnia colligã: Vnde nobis libertas extitit, & à q̃ data, à populóne, an ab oligarchia, an à monarcho? Ego sentio, cũ sitis p unũ uirũ libertati, uos debere talẽ rẽ cõplecti. *Herod. li 3. Thalia inscripto* *Hæc paulo inferius sequuntur dicente Dario.*

Nulla uero ars alia de hoc cõtendit, quasi sit totius humanæ cõmunionis curatio maior mitiorq; quã regia. Rectè loqueris. Post hæc nunqd aduertim⁹ Socrates quã grauiter circa finẽ deliqmus? Vbi delictũ dicis? In hoc inquã, q̃d etsi artẽ quãpiã bi- *Platonis ex Politico.*

ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην, οὐδ᾽ ἂν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν αὐτὴν εὐθὺς καὶ πολιτικὴν ὡς ἀποτετελεσμένην προσαγορεύειν. τί μήν; πρῶτον μὲν ὃ ἐλέγομεν τοὔνομα μετασκευωρήσασθαι πρὸς τὴν ἐπιμέλειαν μᾶλλον προσαγαγόντας, ἢ τὴν τροφήν: ἔπειτα ταύτην τέμνειν. οὐ γὰρ σμικρὰς ἂν ἔχοι τμήσεις ἔτι. ποίας; ᾗ τε τὸ θεῖον ἄν που διειλόμεθα νομέα χωρίς, καὶ * τὸν ἀνθρωπίνων ἐπιμελητήν. ὀρθῶς. αὖθις δέ γε τὴν ἀπονεμηθεῖσαν ἐπιμελητικὴν δίχα τέμνειν ἀναγκαῖον ἦν. τίνι; τῷ βιαίῳ τε καὶ ἑκουσίῳ. τί δή; καὶ ταύτῃ που τὸ πρότερον ἁμαρτάνοντες, εὐηθέστερα τοῦ δέοντος εἰς ταυτὸ βασιλέα καὶ τύραννον ξυνέθεμεν, ἀνομοιοτάτους ὄντας, αὐτούς τε, καὶ τὸν τῆς ἀρχῆς ἑκατέρου τρόπον. ἀληθῆ.

al. τὸν ἀνθρώπινον.

ΥΠΟΘΗΚΑΙ ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ, ΛΟΓΟΣ μϛʹ.

Εὐριπίδης.

Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος,
μήτ᾽ αὖ κακώσῃς πλοῦτον ἔντιμον τιθείς,
μηδ᾽ ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτέ,
μηδ᾽ αὖξε καιροῦ μείζον, οὐ γὰρ ἀσφαλές,
μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ.
κόλουε δ᾽ ἄνδρα παρὰ δίκην τιμώμενον.
πόλει γὰρ εὐτυχοῦντες οἱ κακοί, νόσος.

Ἀλλ᾽ οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,
οὐδ᾽ ἄνδρα χρηστὸν νεῖκος αἱρεῖσθαι κακοῖς.
τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.

Ὁ δ᾽ ἥσυχος, φίλοισί τ᾽ ἀσφαλὴς φίλος,
πόλει τ᾽ ἄριστος. μὴ τὰ κινδυνεύματα
αἰνεῖτ᾽. ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
τολμῶντα λίαν, οὔτε προστάτην χθονός.

Δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἁνδάνειν.

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

Σοφοκλέους.

Ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
σὺν ἀνδράσι κάλλιον, ἢ κενῆς κρατεῖν.
ὡς οὐδέν ἐστιν, οὔτε πύργος, οὔτε ναῦς
ἔρημος, ἀνδρῶν μὴ ξυνοικούντων πόλιν.

Μενάνδρου.

Καλόν γε βασιλεύς, τῇ μὲν ἀνδρείᾳ κρατῶν,
τὰ δὲ τοῦ βίου δίκαια διατηρῶν κρίσει.

Ὁμήρου.

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται, καὶ τόσσα μέμηλε.

Βουλὴ δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
λαῶν, οἷσιν ἄνασσεν, πατὴρ δ᾽ ὡς ἤπιος ἦεν,
οὔτε τινὰ ῥέξας κακὸν ἔξετον, οὔτε τι εἰπὼν
ἐν δήμῳ, ἥτ᾽ ἐστὶ δίκη θείων βασιλήων

τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες οὕνεκεν ἄλλοις
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι,
ῥηιδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσσι.

Θεοκρίτου.

Τὰ δ᾽ ἄλλα δ᾽ ἀνήρ τις ἐλευθέριος οἷος ἄριστος,
εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς,
εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ᾽ ἔτι μᾶλλον.
πολλοῖς πολλὰ διδούς, αἰτεύμενος οὐκ ἀνανεύων,
οἷον χρὴ βασιλέα. αἰτεῖν δὲ χρὴ οὐκ ἐπὶ παντί.

Καλλιόπη

pedis gregis nutricem esse putauimus, nō tamen illico regiam illam atq; ciuilem tanquā absolutā appellare debuimus. Cur non? Primo quidē oportebat quod dicebamus nomen ad curam magis, quā ad nutritionē accōmodare: postea curam diuidere. Nam diuisiones insuper nō paruas suscipit. Quas? In diuinum pastorem, & humanū curatorem. Scitè. Curationem item humanam in duo. Quæ? In eam quæ inuitis, & eam quæ uolentibus imperat. Quid ergo? In hoc sanè peccātes ineptius quàm decebat regem tyrannumq; in idem conduximus, cum & ipsi inter se dissimilimi sint, & gubernandi modus longè diuersus. Vera refers.

ADMONITIONES DE REGNO, RER. XLVI.

NEc omne populo imperium committas, *Euripidis.*
Nec affligas ipsum, nimis tribuens diuitijs.
Nec uirum populo fidum unquam eijcias,
Neq; promoueas plus quàm tempus postulat: haud enim tutum est,
Ne tibi ex ipso fiat insignis tyrannus.
Ad hæc prohibe illum qui præter ius honoratur.
Praui enim fœliciter agentes, morbus sunt reipub.
Atqui non decet regem, ut mihi uidetur,
Neq; uirum bonum contendere cum improbis.
Istud enim honori est deterioribus.
Tranquillus autem, & amicis tutus amicus,
Et reipub. optimus est. Ne mihi periclitationes
Laudetis. Nam ego neq; nautam amo
Nimis audacem, neq; continentis præsidem.
Oportet tyrannum multis placere.
Sapientes euadunt tyranni conuersatione sapientum.
Quod si in posterum princeps futurus es huius regionis, ut nunc es, *Sophoclis.*
Præstat eam cum uiris regere, quàm uacuam.
Nihil enim est neq; turris, neq; nauis
Deserta, hominibus non incolentibus ciuitatem.
Egregium quiddam rex est, qui fortitudine præcellit, *Menandri.*
Et iura hominum iudicio suo conseruat.
Non oportet noctem integram dormire consiliarium uirum, *Homeri Iliad. B.*
Cui commissi populi, & tantæ res curæ sunt.
Consilium primo constituit animosorum senum,
Instar clementis patris erat erga populos, quibus imperabat,
Nullum afficiens illicito malo, nec aliquid dicens
In multitudine, ut decet diuinos reges.
Propterea enim reges prudentes existunt, quoniam alijs *Hesiodi in Theogonia.*
In concione aut iudicio iniquè læsis ius suum restituunt
Leniter benignis adhortantes uerbis.
Cætera uir liberalis, & solus optimus, *Theocriti.*
Gratus, Musarum studiosus, amabilis, summe suauis,
Agnoscens amantem, & magis non amantem,
Multis multa largiens, petentibus nihil recusans,
Vt decet regem. Non semper autem petendum est.

Ἡσιόδου ἐκ θεογονίας.

Καλλιόπη τ' ἥδε προφερεστάτη ἐστὶν ἁπασέων,
ἣ μὲν γὰρ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅν τινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν προχέουσιν ἀοιδήν.
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα. οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν. ὁ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.

Δημοκρίτου. Φόβος κολακείην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει.

Μουσωνίου. Οὐ πολὺν διάγουσι χρόνον οἱ πρὸς τοὺς ὑπηκόους ὑπὲρ ὧν ἂν πράττωσι, μὴ τὸ καθήκει μοι λέγειν μεμελετηκότες, ἀλλὰ τὸ ἔξεστί μοι.

Μὴ θέλε ἐπιτάσσειν τὰ καθήκοντα τοῖς συγγινώσκουσί σοι τὰ μὴ καθήκοντα πράττοντι.

Πειρατέον καταπληκτικὸν μᾶλλον τοῖς ὑπηκόοις, ἢ φοβερὸν θεωρεῖσθαι. τῷ μὲν γὰρ, σεμνότης· τῷ δὲ, ἀπήνεια παρακολουθεῖ.

Ἀναξίλαος ὁ τύραννος ἐρωτηθεὶς, τί τῆς τυραννίδος μακαριώτατον, ἔφη· τὸ μηδέποτε εὐεργετοῦντα νικηθῆναι.

Ξενοφῶν ὁ σωκρατικὸς φιλόσοφος, ἔφη· τῷ βασιλεῖ κάλλιον εἶναι τὸ τῶν χαρίτων ἀπολιπεῖν, ἢ τροπαίων πλῆθος.

Πυθαγόρου. Θέλε μᾶλλον τοὺς συνόντας σοι αἰδεῖσθαί σε, ἢ φοβεῖσθαι· αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ, μῖσος.

Φίλιππος ὁ βασιλεὺς, ἔλεγε· δεῖν τὸν βασιλέα μνημονεύειν, ὅτι ἄνθρωπος ὢν, ἐξουσίαν εἴληφεν ἰσόθεον· ἵνα προαιρῆται καλὰ μὲν καὶ θεῖα, φωνῇ δὲ ἀνθρωπίνῃ χρῆται.

Θεοβούλου. Φεῦγε μὲν τὸν φθόνον τῶν πολλῶν, φυλάσσου δὲ τὰς ἐπιβουλὰς τῶν μισούντων.

Φίλωνος. Μετὰ τῆς ἰσχύος τὴν πραότητα σῶζε· ἵνα μὴ φοβερὸς, ἀλλ' αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσιν.

Ἰσαίου. Χρὴ τοὺς νόμους μὲν τίθεσθαι σφοδρῶς, πραοτέρως δὲ κολάζειν, ἢ ὡς ἐκεῖνοι κελεύουσι.

Σωκράτης ἔλεγεν ἀμείνονα βασιλέα εἶναι τὸν ἑαυτοῦ παθῶν ἄρχειν δυνάμενον.

Δημήτριος ὁ φαληρεὺς πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει, τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν. ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

Ἰσοκράτους. Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις.

Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι.

Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ, τι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας· ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

al. συνδοκιμάσοντας. Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς * ἐπιδοκιμάζοντας.

Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας· ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

al. ἐκεῖνοι ἢ τίνες. Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τούς τε λέγοντας * ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν ἂν λέγωσι.

Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, αἷσπερ τοὺς ἐξαμαρτάνοντας.

Ἄρχε σαυτοῦ μηδὲν ἧττον, ἢ καὶ τῶν ἄλλων. καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐάνπερ μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν.

Νόμιζε, τῶν τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας· ἀλλ' ὅταν αὐτοὶ παρ' αὑτοῖς ὄντες μᾶλλόν σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσι.

Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως. ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γινώσκων ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται

τοῖς

Calliope forma præcellit omnibus. *Hesiodi in Theogonia.*
Hæc & reges uenerandos comitatur.
Quemcunq; honorarint magni Iouis filiæ,
Et nascentem aspexerint à Ioue nutritorum regum,
In huius linguam suauem effundunt cantum,
Huius ex ore uerba fluunt blanda: populus uero
Omnis in ipsum intuetur iura dijudicantem
Rectis iudicijs. Ipse autem cautè differens
Statim uel magnam litem prudenter dissoluit.

Metus adulationem parit, sed beneuolentiæ expers est. *Democriti.*

Non multum temporis durant, qui ad subditos pro ijs quæ faciunt, non conuenit mihi, dicere solent: sed, licet mihi. *Musonij.*

Noli imperare quæ fieri decet, hominibus conscijs tibi facientī quæ fieri dedecet.

Conandum est principi, ut uerendus potius subditis sit, quàm metuendus. Illū enim grauitas sequitur, hunc inhumanitas.

Anaxilaus tyrannus interrogatus quid in tyrannide fœlicissimum esset, respondit: Nunquam beneficia conferendo uinci.

Xenophon Socraticus philosophus dixit: honestius esse regi beneficiorum quā trophæorum multitudinem relinquere.

Magis cupere debes ut conuersantes tibi te uereantur quàm metuant. Reuerentiā enim admiratio, timorem odium comitatur. *Pythagoræ.*

Philippus rex aiebat oportere meminisse regem, quod homo existens potestatem adeptus sit diuinam: ut res honestas & diuinas instituat, sermone autem humano utatur.

Declina inuidiam uulgi, & insidias odio te prosequentium caue. *Theobuli.*

Simul cum potentia mansuetudinem serua: ut non timendus, sed reuerentia dignus uidearis illis, qui in te inciderint. *Philonis.*

Oportet leges qdē acriter statui: mitius aūt, quā ipsæ iubent, pœnas sumere. *Isei.*

Socrates inquiebat optimū esse regem, qui suis affectibus moderari posset.

Demetrius Phalereus Ptolemæum regem hortabatur, ut libros de regno scriptos emeret ac legeret. Nam de quibus amici reges admonere non auderent, ea in libris esse scripta.

Amicos tibi cōpara, nō omnes q̄ id cupiunt, sed eos q ingenio tuo digni sunt: neque qbus cū iucundissimè uiuas, sed cū qbus optimè ciuitatē administres. *Isocratis.*

Tales homines ijs rebus præfice quas tu met non perages, ceu ipse præstiturus culpam eorum quæ illi deliquerint.

Fideles existima, non qui dicta factaq; tua omnia laudibus uehunt: sed qui errores tuos reprehenderint.

Viris prudentibus loquendi libertatem concede, uti de quibus dubitaueris habeas qui tecum consultent.

Discerne fraudulentos adulatores ab ijs qui per beneuolentiam te colunt: ne mali bonis præferantur.

Ausculta sermonibus alterius de altero, conareq; simul dicentes experiri quales nam & qui sint, ac de quibus dicant.

Eisdem pœnis afficito falsò calumniantes, quibus ipsos delinquentes.

Nō minus tui ipsius atq; aliorū domineris: idq; regi maximum esse decus puta, si nulli uoluptatū inseruias, sed concupiscentijs imperes magis quàm ciuibus.

Verissimos esse honores existima, non qui in propatulo cum timore fiunt: sed quando subditi apud se soli mentem tuam potius quàm fortunam secum admirantur.

Ne alijs quidem sobrie uiuendum, regi autē inordinate putaueris. Verum tuam ipsius modestiam cæteris exemplar constitue, cognoscens uniuersæ ciuitatis mores

τοῖς ἄρχουσι.

Περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν. ὁ μὲν γὰρ θνητός· ἡ δ' ἀθάνατος. καὶ δόξης μὲν χρήματα κτητά· δόξα δὲ χρημάτων οὐκ ὠνητή. καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίνεται· τὴν δὲ, οὐχ οἷόν τε, ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ μᾶλλον, ἢ πλεονάζειν. αἱ γὰρ μετριότητες, μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς
al. ὑπερβολαῖς. * ὑπεροχαῖς ἰσχύουσιν.

al. ἀκριβῶς εἰδέναι Ὅ,τι ἂν * ἀκριβῶσαι βουληθῇς, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ. τὸ μὲν γὰρ φιλοσοφεῖν, τὰς ὁδούς σοι δείξει· τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι,
al. [illegible] * ἄμεινόν σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.

Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις. ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ.

Πλουτάρχου. Ἡμερότητι τοίνυν καὶ εὐεργεσίᾳ μᾶλλον, ἢ φόβῳ πρὸς εὔνοιαν ὑπακτέον.

Ἐν ταὐτῷ. Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἔμφρονος εἰς τὸ κοινῇ λυσιτελές.

Ὁ Ἀγριππῖνος ἡγεμονεύων, ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν, ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι. οὐ γὰρ ὡς πολέμιος αὐτοῖς ἔφη, οὐδ' ὡς λῃστὴς καταφέρω τὴν ψῆφον αὐτῶν, ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών. ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται, καὶ πείθει παρέχειν ἑαυτόν.

Κότυς ὁ τῶν Θρακῶν βασιλεὺς, πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν φίλων τις πρὸς αὐτὸν εἶπε· μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία. ὁ δέ· ἀλλ' ἥ γε ἐμὴ αὕτη μανία, τοὺς ἀρχομένους σώφρονας ποιεῖ.

Δημοσθένους. Πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι πάντα πέφυκεν.

Τῶν ἑπτὰ σοφῶν. α'. Ἐμοὶ μὲν ἔφη ὁ Σόλων δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειε τοῖς πολίταις.

β'. Δεύτερος δὲ Βίας εἶπεν, εἰ τρόποις χρῷτο τοῖς νόμοις τῆς πατρίδος.

γ'. Ἐπὶ τούτοις δὲ Θαλῆς ἔφη, εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ τελευτήσειεν ἐγγηράσας κατὰ φύσιν.

δ'. Τέταρτος Ἀνάχαρσις· εἰ μὴ μόνος εἴη φρόνιμος.

ε'. Κλεόβουλος δὲ, εἰ μηδενὶ ἔφη πιστεύοι τῶν συνόντων.

ζ. Ἕκτος δ' ὁ Πιττακὸς, εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσει φοβεῖσθαι, μὴ αὐτὸν, ἀλλ' ὑπὲρ αὐτοῦ.

η'. Ὕστατος δ' ὁ Χίλων εἶπε, κάλλιστον εἶναι βασιλέα, τὸν μὴ μόνον τοῦ φοβερὸν εἶναι φροντίζοντος. *

Videtur aliquid deesse. Ἰσοκράτους ἐν Εὐαγόρᾳ. Ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους, μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ὑπ' ἐκείνου βασιλείας. ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν, οὐδένα μὲν ἀδικῶν· τοὺς δὲ χρηστοὺς τιμῶν· καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων.

Οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος.

Πολλὰ μὲν τῶν ὁμιλούντων ἑταίρων χρωμένων ἡττώμενος· ἁπάντων δὲ τῶν ἐχθρῶν περιγιγνόμενος.

Σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς· ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς. οὐδὲ πρὸς ἓν ἀτάκτως, οὐδὲ ἀνωμάλως διακείμενος· ἀλλ' ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ
al. τοὺς ἐν τοῖς ὅρκοις. * τὰς ἐν τοῖς ἱροῖς διαφυλάττων.

alias αὑτῷ. Τοὺς μὲν φίλους, ταῖς εὐεργεσίαις ὑφ' * αὑτὸν ποιούμενος, τοὺς δὲ ἄλλους τῇ μεγα-
al. καταδουλούμενος. λοψυχίᾳ * δουλούμενος.

alias πολλοῖς. Φοβερὸς ὢν, οὐ τῷ * πολὺ χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τῶν ἄλλων ὑπερβάλλειν.

Ἡγούμενος τῶν ἡδονῶν, ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν.

Ὀλίγοις πόνοις, πολλὰς ῥᾳστώνας κτώμενος· ἀλλ' οὐ διὰ μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος.

Ὅλως δὲ οὐδὲν παραλείπων ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει· ἀλλ' ἐξ ἑκάστης πολιτείας

ἐκλε-

principum moribus similes euadere.

Plus tibi curæ sit ut honestam famam, quàm diuitias ingentes liberis relinquas. Nam hæ mortales sunt, illa uero immortalis. Et per famam cōparari possunt opes: nunquā uero pecunijs fama redimitur. Item diuitiæ etiam improbis accedunt: at famæ gloria non potest nisi solis eximijs uiris contingere.

Optimū quidem fuerit summam occasionem assequi: quoniam uero facile percipi nequit, ultra potius quàm citra consistere uelis. Quippe mediocritates plus momenti habent, cum aliquid adhuc eis deest, quàm cum excedunt.

Si quid exquisite nouisse cupias, quod scire ad regē pertineat, experientia & philosophia rei notionem aggredere. Hæc em̄ uias tibi demonstrabit: exercitatio aūt operibus acquisita, efficiet ut melius & aptius res ipsas tractes.

Expende quæ fiunt & obueniunt tū plebeijs hominibus, tum tyrannis. Etenim si præteritorum memineris, & de futuris rectius consultabis.

Itaq; mansuetudine potius & beneficētia quā timore elicienda est beneuolentia. *Plutarchi.*

Oportet igitur benignitatem prudentiæ iunctam habere ad communē utilitatē. *Ibidem.*

Agrippinus imperans conabatur eis quos damnabat persuadere, quod ipsis expediret damnari. Non enim tanquam inimicus ipsis aiebat, nec ut latro, sententiam contra eos fero, sed ueluti tutor & curator ipsorum: Quemadmodum & medicus hominem secandum consolatur, & seipsum exhibere persuadet.

Cotys Thracum rex acriter in subditos animaduertebat. Cum igitur amicorum quidam ad ipsum dixisset. Hoc furor est, non regnum: respondit: At meus hic furor subditos temperantes efficit.

Longè facilius em̄ fuerit quæ quis habet seruare, quā omnia denuo acquirere. *Demosthenis.*

Mihi quidē, Solon inquiebat, maxime celebris futurus uidetur rex aut tyrannus, si democratiā ex monarchia ciuibus constituerit. 1. *Septē sap.*

Secundus Bias dixit: Si moribus utatur patriæ legibus. 2.

Post istos Thales pronūciauit Principis fœlicitatē existimare se, si uitam obiret postquam consenuisset iuxta naturam. 3.

Quartus Anacharsis: Si non solus prudens esset. 4.

Cleobulus autem: Si nemini conuersantium sibi crediderit. 5.

Sextus Pittacus: Si princeps effecerit, ut subditi metuant, non ipsum, sed pro ipso. 6.

Postremus Chilon dixit: Optimum esse regem, qui non solum operam det ut metuatur. 7.

Adeo piè uero & humaniter rempub. gubernabat, ut aduenientes nō tā ipsum Euagoram imperij causa beatum existimarent, quàm subditos qui talis imperio uiri parerent. Aetatem enim omnem peregit, ita ut neminē læderet, bonos autem honoraret: omnibus quidem diligenter imperans, legitime uero malos puniens. *Isocratis in Euagora.*

Nullis consiliarijs egens, deliberans tamen cum amicis.

In multis concedens amicis & familiaribus suis: inimicos aūt per omnia supans.

Grauis, nō uultus contractione, sed institutione uitæ, nulla prorsus in re inordinate, immoderatéue se gerens: sed equè promissiones quaslibet uerborum, ac iusiurandum conseruans.

Amicos beneficijs sibi obstringens: alios uero magnanimitate sua capiens.

Terribilis, nō q̄d indignaretur multis, sed quia præ cæteris plurimū excellebat.

Voluptatum dominus, non seruus earum.

Paucis laboribus multum tranquillitatis comparans: nō aūt propter paululum corporis magnos labores intermittens.

In summa, nihil negligēs corū quæ p̄sentia sua regē ornāt. Verū è qualibet politia

ἐκλεγόμενος τὸ βέλτιστον. καὶ δημοτικὸς μὲν ὢν, τῇ τοῦ πλήθους θεραπείᾳ· πολιτικὸς δὲ, τῇ τῆς πόλεως διοικήσει· στρατηγικὸς δὲ, τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ· τυραννικὸς δὲ, τῷ πᾶσι τούτοις διαφέρειν.

Ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. δεινὸς μὲν φαίνου, τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων· πρᾶος δὲ, τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.

Πλάτωνος. Δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα, πάγκακον· ἔμμετρος δὲ οὖσα, πανάγαθον. μετρία δὲ ἡ θεῷ δουλεία· ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος· ἄφροσι δὲ, ἡδονή.

Ξενοφῶντος. Καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὃς λέγει παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ, καὶ βασιλέως ἀγαθοῦ. τόν τε γὰρ νομέα χρῆναι ἄρα ἔφη εὐδαίμονα ποιοῦντα τὰ κτήνη, χρῆσθαι αὐτὸν ἤδη προβάτων εὐδαιμονίᾳ· τόν τε βασιλέα ὡσαύτως, εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα χρῆσθαι αὐτοῖς.

Διωτογένους Πυθαγορείου. Βασιλεὺς κ' εἴη ὁ δικαιότατος· δικαιότατος δὲ, ὁ νομιμώτατος. ἄνευ μὲν γὰρ δικαιοσύνας, οὐδεὶς ἂν εἴη βασιλεύς. ἄνευ δὲ νόμω, δικαιοσύνα. τὸ μὲν γὰρ δίκαιον, νόμῳ ἐντί. ὁ δὲ, γινόμενος αἴτιος τῶ δικαίω. ὁ δὲ βασιλεὺς ἤτοι νόμος ἔμψυχος ἐντί, ἢ νόμιμος ἄρχων. διὰ ταῦτ' οὖν δικαιότατος καὶ νομιμώτατος. ἔργα δὲ βασιλέως, τρία. τό, τε στρατηγεῖν, καὶ δικασπολεῖν, καὶ θεραπεύειν θεώς. στρατηγεῖν μὲν, ὢν καλῶς δυνασεῖται, πολεμὲν καλῶς ἐπισταθείς. δικασπολὲν δὲ καὶ διακούεν πάντων τῶν ὑπ' αὐτὸν, φύσιν δικαίω νόμω καλῶς ἐκμαθών. θεραπεύειν δὲ τὼς θεὼς εὐσεβῶς καὶ ὁσίως, φύσιν θεῶ καὶ ἀρετὰν ἐκλογισάμενος. ὥστε ἀνάγκα τὸν τέλειον βασιλέα, στραταγὸν ἀγαθὸν ἦμεν, καὶ δικαστὰν, καὶ ἱερέα. ταῦτα γὰρ καὶ ἀκόλουθα καὶ πρέποντα ἐντὶ βασιλέως ὑπεροχᾷ τε καὶ ἀρετᾷ. κυβερνάτα μὲν γὰρ ἔργον ἐντί, τὰν ναῦν σώζεν· ἀνιόχω δὲ, τὸ ἅρμα. ἰατρῶ δὲ, τὼς νοσίοντας. βασιλέως δὲ καὶ τῶ στραταγῶ τὼς ἐν πολέμῳ κινδυνεύοντας. ὁ γὰρ ἕκαστος ἁγεμὼν ἐντὶ συστάματος, τούτω καὶ ἐπιστάτας καὶ δαμιουργός. καὶ μὰν τό, τε δικασπολὲν καὶ διανέμεν τὸ δίκαιον, ξυνᾷ μὲν καθόλω· ἰδίᾳ δὲ καθ' ἕκαστον οἰκεῖον βασιλέως, ὥσπερ θεῶ ἐν τῷ κόσμῳ, ἁγεμών τε καὶ προστάτας ἐντί. ξυνᾷ μὲν, τὸ ποτὶ μίας ἀρχάν τε καὶ ἁγεμονίας τὸ ὅλον ξυναρμόσθαι· καθ' ἕκαστον δὲ, τὸ καὶ τὰ κατὰ μέρος ποτὶ τὰν αὐτὰν ἁρμονίας τε καὶ ἁγεμονίας συναρμόζεσθαι. ἔτι δ' ἐν τῷ ποιὲν εὖ καὶ εὐεργετὲν τὼς ὑποτεταγμένως ὁ βασιλεύς ἐντί. ταῦτα δ' οὐκ ἄνευ δικαιοσύνας καὶ νόμω. τό γε μὰν τρίτον, λέγω δὲ τὸ θεραπεύειν τὼς θεώς, βασιλέως ἀντάξιον. δεῖ γὰρ τὸ ἄριστον ὑπὸ τῶ ἀρίστω τιμᾶσθαι, καὶ τὸ ἁγεμονοῦν ὑπὸ τοῦ ἁγεμονεύοντος. τῶν μὲν οὖν φύσει τιμιωτάτων, ἄριστον ὁ θεός. τῶν δὲ περὶ γᾶν καὶ τὼς ἀνθρώπως, ὁ βασιλεύς. ἔχει δὲ καὶ ὡς θεὸς ποτὶ κόσμον, βασιλεὺς ποτὶ πόλιν. καὶ ὡς πόλις ποτὶ κόσμον, βασιλεὺς ποτὶ θεόν. ἁ μὲν γὰρ πόλις, ἐκ πολλῶν καὶ διαφερόντων συναρμοσθεῖσα κόσμω σύνταξιν καὶ ἁρμονίαν μεμίμαται. ὁ δὲ βασιλεὺς ἀρχὰν ἔχων ἀνυπεύθυνον, καὶ αὐτὸς ὢν νόμος ἔμψυχος, θεὸς ἐν ἀνθρώποις παρεσχαμάτισται.

Ἐν ταυτῷ. ἄλλο αὐτ. Ὅθεν δεῖ τὸν βασιλέα μὴ νικᾶσθαι ὑφ' ἁδονᾶς· ἀλλ' αὐτὸν νικᾶν ταύταν. μὴ δ' ὅμοιον ἦμεν τοῖς πολλοῖς· ἀλλὰ ὑπὲρ πολλὸν διαφέροντα τούτων. μὴ δ' ἔργον * ἁγεῖσθαι τὰν ἁδονάν, ἀλλὰ μᾶλλον τὰν ἀνδραγαθίαν. ἅμα δὲ καὶ πρέπειν τὸν ἑτέρων ἄρχειν χρήζοντα, τῶν ἐν ἑαυτῷ παθέων πρᾶτον δύνασθαι ἄρχειν. περί γε μὰν τὰς πλεονεκτικάς, ὅδε λόγος. δεῖ γὰρ αὐτὸν ἐπιπᾶσθαι τὰ χρήματα, ὥστε φίλως εὐεργετὲν, καὶ δεομένως ὑπολαμβάνειν· καὶ ἐχθρὼς δὲ μετὰ δίκας ἀμύνασθαι. ἁδίστα γὰρ ἁ μετ' ἀρετᾶς ἀπόλαυσις τᾶς εὐτυχίας. ὁ δ' αὐτὸς τρόπος καὶ περὶ τὰς ὑπεροχάς. ἀεὶ γὰρ καθυπερέχων τὼς ἄλλως ἀρετᾷ, καὶ κατ' αὐτὰν ἄξιον κρίνεσθαι τὸ ἄρχειν, ἀλλὰ μὴ κατὰ τὸν πλοῦτον, ἢ τὰν δύναμιν, ἢ τὰν ῥώμαν τὰν τῶν ὅπλων. ὁ μὲν γάρ τι κοινὸν ἐντὶ καὶ τῶν τυχόντων· ὁ δὲ κοινὸν καὶ τῶν ἀλόγων ζώων· ὁ δὲ κοινὸν καὶ τῶν τυράννων· ὁ δὲ μόνον ἴδιον τῶν ἀγαθῶν ἀνθρώπων. ὥστε ὅστις βασιλεύς, σώφρων μὲν ἐντὶ περὶ τὰς ἁδονάς, κοινωνικὸς δὲ περὶ τὰ χρήματα, φρόνιμος δὲ καὶ δεινὸς περὶ τὰν ἀρχάν, οὗτος κ' εἴη κατὰ τὰν ἀλάθειαν βασιλεύς. ἔχει δὲ καὶ ὁ διάμετρος τῶν

malim ἀναλογίαν. μερέων τᾶς τοῦ ἀνθρώπου ψυχᾶς τὰν * ἀλογίαν ταύταν τῶν ἀγαθῶν καὶ τῶν κακῶν.

ἁ μὲν

optima quæq; deligens: popularis, demerendo uulgus: Ciuilis, administratione rei publicæ: imperatorius, bene consulendo in periculis: denique tyrannicus, omnes iã enumeratos uincendo.

Nihil iratus feceris, sed alijs uideare tantum cum opportunum erit. Metuendus appareas, dum omnia quę fiunt explorata habes: benignus autem esto, delictorum pœnas minuendo.

Etenim tam libertas quàm seruitus, ubi modum excesserint perquàm malæ sunt: *Platonis.* mediocres uero, prorsus bonæ. Est uero seruitus mediocris, quæ Deo seruit: immoderata, quæ hominibus. Deus autem uiris temperantibus lex est: stultis, uoluptas.

Et eius oratio memoriæ prodita est, cum diceret similia esse opera boni pastoris *Xenophõtis li. 8. de pædia Cyri.* & boni regis. Nam & pastorem decere id præstare, ut pecora habeant fœliciter: & ijs uti si tandem pecudum est fœlicitas: & regem identidem decet urbes atque homines fœlices facere, & ijs uti.

Rex ille fuerit, qui iustissimus est: iustissimus autem qui maxime legitimus. Nam *Diotogenis Pythagorici.* citra iustitiam nullus rex esse poterit: neque iustitia citra legem. Iustum enim per legẽ iustum est. Lex autem efficiẽs est causa iusti. Porrò rex aut est lex uiua, aut legitimus princeps, ideoque iustissimus & maxime legitimus. Sunt autẽ officia regis tria, * imperare, *στρατηγεῖν.* iudicare, deos colere. Imperare rectè poterit, si bellum gerere ritè sciat. Iudicandi & audiendi subditos omnes peritus erit, si iustæ legis naturam, ut par est, didicerit. Deorum cultui pio sanctoque idoneus erit, si naturam & uirtutem Dei secũ æstimauerit. Iccirco in rege perfecto, ut bonus sit imperator, iudex, & sacerdos, requiritur. Hæc namque uirtutem & maiestatem regiam comitantur & ornant. Gubernatoris enim opus est, seruare nauim, aurigæ currum, medici ægrotantes: regis autem & imperatoris in bello periclitantes. Cuicunque enim rei aliquis præficitur, eiusdem tutor & artifex est. * Atqui iudicare, & ius suum singulis distribuere, proprium opus *Periodus hæc in Græco apparet corrupta.* est regis, qui ceu deus in mundo, dux atque præses est. Communiter uero conuenit uniuersam rempub. ad unum magistratum & imperium connecti: singillatim uero ut etiam particularia eidem harmoniæ & imperio aptè respondeant. Præterea regis est bene afficere ac demereri subditos, idque non præter iustitiam & legem. Tertium uero, cultus diuinus inquam, omnino regiæ dignitatis est. Quippe decet ut optimum ab optimo, summum à summo colatur. Siquidem inter præstantissima naturæ Deus excellit, terrenis autẽ & hominibus rex antecellit. Nempe ut Deus ad mundum, ita se rex ad ciuitatem habet: & ut ciuitas ad mundum, ita rex ad Deum. Ciuitas enim ex multis diuersisque concinnata, mundi structuram & harmoniam imitatur: rex autem imperium gerens nulli obnoxium, & lex uiua existens, Dei figuram inter homines repræsentat.

Proinde oportet regem à uoluptate nõ uinci, sed eius uictorem esse. Nec *Ibidem.* similem uulgo, sed longe alium & præstantiorem: Neque uoluptatem, sed potius fortitudinem officij sui existimare. Simul etiam reputandum ei est, decere illum qui alijs imperare uoluerit, primum affectiones proprias regere. Porrò studium plura possidendi hanc rationem habet. Oportet enim opes possidere, ut amicos beneficijs obstringere, ac * indigentibus suppeditare liceat, *δεομένοις ἐπαρκεῖν.* & inimicos iure ulcisci. Nam secundæ fortunæ fructus uirtuti coniunctus, suauissimus est. Eadẽ ratio habetur circa excellentiã regis. Cõuenit eñ ut alijs semp uirtute pceat, & secundũ ipsam impio dignus æstimet, nõ secũdũ opes, aut potentiã, aut uim armorũ. Nã ista etiã uulgaribus hominũ, brutis animantiũ, & tyrannis cõmunia sunt: illud uero solis bonis uiris peculiare est. Itaque rex, qui circa uoluptates temperans, liberalis circa pecunias, prudensque & grauis in imperio fuerit, ille reuera rex erit. Cæterum & plebs eandem rationem habet circa uitia & uirtutes, quam unius hominis animæ partes.

ἁ μὲν γὰρ πλεονεκτία γίνεται περὶ τὸ ἀγούμενον μέρος τᾶς ψυχᾶς. λογικὰ γὰρ ἁ ἐπιθυμία· ἁ δὲ φιλοτιμία καὶ θηριότας, περὶ τὸ θυμοειδές. τοῦτο γὰρ τὸ ζέον καὶ δυναμικὸν μέρος τᾶς ψυχᾶς· ἁ δὲ φιληδονία, περὶ τὸ ἐπιθυματικόν. τοῦτο γὰρ θῆλυ καὶ ὑγρὸν μέρος τᾶς ψυχᾶς. ἁ δ' ἔγε ἀδικία, τελεωτάτη κακία, καὶ σύνθετος ἐᾶσα, περὶ ὅλαν γίνεται τὰν ψυχάν. ὅθεν εἰς λύραν καὶ πόλιν εὐνομουμέναν δεῖ συναρμόσασθαι βασιλέα, ὅσον δικαιότατον, καὶ νόμω τάξιν ἐν αὐτῷ πρᾶτον κατασκευασάμενον, εἰδότα διότι τῷ πλάθεος, ὧ δέδωκεν ὁ θεὸς αὐτῷ τὰν ἁγεμονίαν, ἁ συναρμογὰ ποτ' αὐτὸν ὀφείλει συναρμοσθῆμεν. ποτὶ δὲ τοῖς ἀγορευομένοις, δεῖ καὶ θέσιας καὶ ἕξιας ἐκπρεπέας ἐπιτάσσεν τὸν ἀγαθὸν βασιλέα, πολιτικῶς αὐτὸν πλάσσοντα καὶ πραγματιωδέως, ὅπως μήτε τραχὺς φαίνηται τοῖς πλάθεσι, μήτ' εὐκαταφρόνατος· ἀλλὰ καὶ ἁδὺς καὶ ἀμφιστραφής. τεύξεται δὲ τούτων, αἴκα πρᾶτον μὲν σεμνὸς ᾖ, καὶ ἐκ τῶ ἰδὲν, καὶ ἐκ τῶ ἀκοῦσαι, καὶ ἐκ τῶ ἄξιος ἐπιφαίνεσθαι τᾶς ἀρχᾶς. δεύτερον δὲ χρηστὸς καὶ ἐκ τᾶς ἐντεύξιος, καὶ ἐκ τᾶς ποτιβλέψιος, καὶ ἐκ τᾶς εὐεργεσίας. τρίτον δὲ, σ.ενος

lego κολάσιος. καὶ ἐκ τᾶς μισοπονηρίας, καὶ ἐκ τᾶς † ἀκολασίας, καὶ ἐκ τᾶς * ἐπιταχύσιος, καὶ ὅλως ἐκ τᾶς ἐμ-

* malim ἐπικρατίσιος. πειρίας καὶ τριβᾶς τᾶς περὶ τὸ βασιλεύεν. ἁ μὲν γὰρ σεμνότας θεόμιμον ὑπάρχουσα πρᾶγμα, δύναται θαυμαζόμενον, καὶ τιμώμενον αὐτὸν παρέχεσθαι τοῖς πλάθεσιν· ἁ δὲ χρηστότας, φιλεύμενον καὶ ἀγαπαζόμενον· ἁ δὲ δεινότας, φοβερὸν μὲν καὶ ἀνίκατον ποτὶ πολεμίως· μεγαλόψυχον δὲ καὶ θαρσαλέον ποτὶ φίλος. δεῖ δὲ τὰ σεμνότατα καθεστᾶσθαι περὶ αὐτὸν μηδὲν ταπεινὸν ἐπιτηδεύοντα, μὴ δὲ τῶν πολλῶν ἀντάξιον, ἀλλὰ τῶν θαυμαινομένων, καὶ τᾶν ἁγεμονία, καὶ σκαπτουχία ποτιφυῶν, ἀμιλλώμενον ἀεὶ μὴ τοῖς μείοσι, μὴ δὲ τοῖς ἴσοις, ἀλλὰ τοῖς μεζόνεσσι. καὶ κατὰ τὸ μέγεθος τᾶς ἁγεμονίας, ἁδονὰς ὑπολαμβάνοντα μεγίστας ἦμεν, τὰς ἐπὶ τοῖς καλοῖς ἔργοις, καὶ μεγάλοις, ἀλλὰ μὴ τὰς ἐπὶ τοῖς ἀπολαύσεις, χωρίζοντα μὲν ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων παθέων, συνεγγίζοντα δὲ τοῖς θεοῖς, οὐ δι' ὑπερηφανίαν, ἀλλὰ διὰ μεγαλοφροσύναν, καὶ μέ-

malim ἐκπρέπειαν γεθος ἀρετᾶς ἀνυπέρβλατον. τοιαύταν αὐτῷ * ἐπιτρέπειαν, καὶ περιστασίαν ἀμφιβαλλόμενον, καὶ κατὰ τὰν ὄψιν, καὶ κατὰ τὼς λογισμώς, καὶ κατὰ τὰ ἐνθυμάματα, καὶ κατὰ τὸ ἦθος τᾶς ψυχᾶς, καὶ κατὰ τὰς πράξιας, καὶ κατὰ τὰν κίνασιν καὶ κατὰ τὰν θέσιν τῶ σώματος. ὥστε τὼς ποτ' αὐτὰς μὲν

lego περὶ τάν. ὡς αὐτὸν κατακοσμηθῆμεν καταπεπλασμένως αἰδοῖ, καὶ σωφροσύνᾳ τε, διαθέσει τε * περιτ-

lego ἐκπρέπειαν. τὰν * ἐπιτρέπειαν. οὐ γὰρ μεῖον αὐλῶ καὶ ἁρμονίας τῶ ἀγαθῶ βασιλέως ποταύγασις ὀφείλει τρέπεν τὰς ψυχὰς τῶν ποτ' αὐτάς. καὶ περὶ μὲν σεμνότατος, ἅλις εἰρήσθω. περὶ δὲ χρηστότατος νῦν ὑποθέσθαι πειρασοῦμαι. χρηστὸς γὰρ ἐσεῖται πᾶς βασιλεύς, τὸ μὲν καθόλω, δίκαιός τε ὢν καὶ ἐπιεικὴς καὶ εὐγνώμων. ἐντὶ γὰρ ἁ δικαιότας, κοινωνία συνακτικὰ, καὶ μόνα γε ὢν πρὸς τὸν πλατίον ἁ τοιαύτα διάθεσις ἅρμοσται τᾶς ψυχᾶς. ὃν λόγον παρέχει ῥυθμὸς ποτὶ κίνασιν, καὶ ἁρμονία ποτὶ φωνάν· τοῦτον ἔχει τὸν λόγον δικαιότας ποτὶ κοινωνίαν. κοινὸν γὰρ ἀγαθὸν ἐντι καὶ ἀρχόντων καὶ ἀρχομένων, ἔγε δὴ συναρμοστικὰ ἐντὶ κοινωνίας πολιτικᾶς. ἁ δὲ ἐπιεί-

lego ἁ δ. κεια, καὶ εὐγνωμοσύνα, πάρεδροι τινὲς ἐντὶ τᾶς δικαιοσύνας ἁ μὲν, τὸ ἐπιεικές. ἁ * δὲ, τὸ ἀπότομον τᾶς βλάβας μαλθαίνοισα. ἁ δὲ τοῖς ἐπὶ ποσὸν ἀμπλακίσκουσι, συγγνώμας ἀπομερί-

malim βοαθατικὸν ζουσα. δεῖ δὲ τὸν ἀγαθὸν βασιλέα * μαθηματικόν τε ἦμεν τῶν δεομένων, καὶ εὐχάριστον δέ. βοήθειαν δὲ, μὴ καθ' ἕνα ποιήσασθαι τρόπον, ἀλλ' ὅπως ἂν δυνατὸν ᾖ. εὐχάριστον δ' ἦμεν δεῖ, μὴ ποτὶ τὸ μέγεθος ἀποβλέποντα τᾶς τιμᾶς, ἀλλὰ ποτὶ τὸν τρόπον, καὶ τὰν προαίρεσιν τῶ τιμέοντος. ἀβαρέα δὲ δεῖ ἦμεν ποτὶ πάντας ἀνθρώπως, μάλιστα δὲ, ποτὶ τὼς μήονας καὶ καταδεεστέρως ταῖς τύχαις. οὗτοι γὰρ ὥσπερ τοὶ νοσέοντες τοῖς σώμασιν, οὐδὲν ὑπομένην δύνανται τῶν βαρέων. ἔχοντι γὰρ τὰς διαθέσιας τοιαύτας καὶ οἱ θεοί, καὶ μάλιστα ὁ κρατέων πάντων Ζεύς. καὶ γὰρ οὗτος, σεμνός τε ἐντι καὶ τίμιος, διά τε τὰν ὑπεροχάν, καὶ τὸ μέγεθος τᾶς ἀρετᾶς. χρηστὸς δὲ, διὰ τὸ εὐεργετικός τε ἦμεν, καὶ ἀγαθοδότας ἀνδρῶν τε θεῶν τε. δεινὸς δὲ, διὰ τὸ κολάζεν τὼς ἀδικέοντας, καὶ κρατὲν, καὶ κυριεύεν πάντων. ἔχει δὲ καὶ τὸν κεραυνὸν μετὰ χεῖρα, σύμβολον τᾶς δεινότατος. ἐπὶ πᾶσι δὲ τούτοις, μναμονεύεν δεῖ, ὅτι θεόμιμόν ἐντι πρᾶγμα βασιλεία.

Σθενίδα Λοκρῶ Πυθαγορείω.

Χρὴ τὸν βασιλέα σοφὸν ἦμεν· οὕτω γὰρ ἐσεῖται ἀντίτιμος, καὶ ζηλωτὰς τῶ πράτω θεῶ. οὗτος γὰρ καὶ φύσει ἐντὶ καὶ πρᾶτος βασιλεύς τε, καὶ δυνάστας· ὁ δὲ, γενέσει καὶ μιμάσει. καὶ ὁ μὲν,

ἐν τῷ

Studium enim plus habendi, in principe animæ parte contingit: Nam cupiditas est rationalis. Ambitio autē & immanitas, partem animosam afficiunt: quippe ista pars animæ feruorem ac robur habet. Iniustitia uero cum summum sit uitium, idq́ꝫ compositum, totam animam infestat. Quocirca instar lyræ rempub. bene gubernandā concinnare debet rex, ubi prius in seipso iustissimum terminum & legis ordinem constituerit, sciens quod populi concinnitas, cuius imperium Deus ei commisit, ad ipsum accommodanda sit. Cæterum in concionibus oportet bonum regem dispositiones ac habitus decentes constituere, ciuiliter seipsum ac negociose gerendo: ita ut neq́ꝫ asper uideatur plebi, neq́ꝫ contemptu dignus, sed suauis & facilis. Consequetur autem hæc, si primum quidem fuerit uerendus tum aspectu, tum auditu, & dignum se gesserit imperio: deinde benignus colloquio, uultu, & conferendis beneficijs. Tertio grauis, dum odio habet improbos, & castigat & omnia cito peragit: ac omnino peritiam usumq́ꝫ tenet regnandi. Reuerentia enim diuinitatē præ se ferens potest ipsum in admirationem honoremq́ꝫ apud uulgus promouere: benignitas charum & amabilem reddit: grauitas autem terribilem ac inuictū hostibus, magnanimū uero & fiducia plenum erga amicos efficiet. Oportet autem omnia circa ipsum ueneranda maxime uideri, nec ullum humile seu uulgare studium eius sed quod agit admirabile esse, ita ut regnum & sceptrum decet. Certet igitur non cum se minoribus, aut æqualibus, sed maioribus: & in ipsa magnitudine imperij, maximas uoluptates existimet, quæ honesta & magna facinora, non quæ delicias comitantur. Separet uero se ab humanis affectibus, & propius ad deos accedat, non superbia, sed animi uirtutisq́ꝫ inuicta magnitudine motus. Ergo talis procurationis ac imperij dignitatem conciliet sibi intuitu, rationando, cogitando, moribus ingenij, actionibus, deniq́ꝫ motu gestuq́ꝫ corporis: ita ut qui eius uirtutes respiciunt, reuerentia, & temperantia, habituq́ꝫ decoro impleti ipsum imitentur. Non minus enī quā tibia & concentus, boni regis intuitus * amimos subditorū afficere debet. Sed de reuerentia satis: nunc admonendus est rex de benignitate. Benignus enī futurus est quiuis rex, in uniuersum quidem, si iustus, æquus, facilisq́ꝫ ad ignoscendum sit. Est nanq́ꝫ iustitia, cōmunio in unū colligēs: & solus hic animi habitus proximis se accōmodat. Eadē certe ratio est rythmi ad motum, & harmoniæ ad uocem, quæ iustitiæ ad cōmunionem. Nam cōmune bonum est tum imperantiū tum subditorū: siquidem conciliat ciuilem cōmunionem. Cæterū æquitas, & promptitudo ad ignoscendū, comites quædā sunt iustitiæ. Illa præscriptam pœnæ duritatē emollit: hæc delinquentibus certa mensura ueniam distribuit. Ad hæc oportet bonum regem in necessitate libenter succurrere, gratumq́ꝫ esse. Succurrendum quidem non uno modo, sed quomodocunq́ꝫ fieri poterit. Gratia uero referenda, non habito respectu ad pretij magnitudinem, sed ad ingenium ac uoluntatem conferentis. Ad hæc ut nemini molestum esse couenit, ita minimè inferioribus, & uiliores artes exercentibus. Tales enim quemadmodum ægri corporibus, nihil graue possunt tolerare. Habent uero etiam dij affectiones huiusmodi, & maxime supremus omniū Iupiter. Nam & ille augustus ac reuerendus est propter excellentiam & magnitudinem uirtutis. Benignus est, ut qui beneficia conferat, & bona distribuat hominibus ac dijs. Grauis ac metuendus, quoniam punit iniustos, & regnat imperatq́ꝫ omnibus: fulmen etiam manu gestat terroris symbolum: propter hæc omnia meminisse oportet, quod regnum diuina quædam res sit.

Græca uidentur mendosa.

Oportet regē sapientē esse. Sic enī uenerandus erit, ac æmulator summi Dei; qui natura primus est rex & princeps: ille uero, creatione & imitatione. *Sthenidæ Locri Pythagorici.*

Deus quidem in omnibus & in uniuerso: ille in terra solum. Deus omnia semper gubernat & uiuit, ipsus in se possidens sapientiam: ille uero per aliquod tempus scientiam habet. Imitabitur autem Deum quàm optimè, si magnanimũ, sapientem, & paucorũ indigum sese præstiterit, paternũ animum in subditos gerens. Hanc eñ ob causam præcipuè Deus existimatur primus esse parens deorum ac hominũ, quoniã omnibus subiectis sibi benignum se præbet, nec unquã cessat gubernatione sua neglecta. Nec satis putauit se creatorẽ tãtũ esse, quinetiã nutritor, pręceptorq; bonorũ omnium, ac legislator omnibus ex æquo est: Talis & ille debet esse, qui in terra & inter homines rex futurus est. Nihil uero citra regnum imperiumq; laudandum est. Sine sapientia uero & scientia, nec rex, neq; princeps ullus esse potest. Itaq; Dei imitator & minister legitimus erit uir sapiens & rex.

Quod uniuscuiusq; animalis natura ad mundũ & eius partes accommodata sit, multis mihi uidetur argumentis constare. Sic eñ consentiens connexaq; singulorũ natura, optimã simul & necessariam sequit seriem, quæ ex motu uniuersi, cõmuniq; ornatu, & peculiari singulorũ in officio duratione constituitur. Quare mundus etiã appellatur, & perfectissimũ est animalium. In partibus uero eius, quæ multæ sunt, & diuersæ natura, id animal primas tenet, quod plus diuinitatis continet. Quare inter cœlestia quidem, quæ immortalis Dei natura participant, & primariò maximeq; ipsum sequuntur, planetæ stellæ salutantur. In regione uero infra lunam, ubi corporũ motus est rectus, dæmonis natura excellit. Cæterũ in terra & apud nos, optimus quidem natura est homo, diuinissimus autẽ rex, & meliori conditione inter cæteros affluens, similis quidem corpore reliquis, utpote ex eadẽ materia natus, ab optimo autẽ artifice productus, qui fabricauit eum archetypum imitatus seipsum. Quocirca rex unus & solus creatori suo semper est familiaris, à subditis uero ceu lumen aliquod in regia conspicitur. Examinatur enim & probatur dignitas regia, non secus quàm auiũ princeps aquila, obuersis soli oculis. Eadem est ratio de regno, ut quod diuinum sit, & propter nimiam claritatem oculos obtundat. Etenim multi splendores oculis obuersantes atq; uertigines arguunt eos, qui ascenderunt tanquã in altitudinem insolitam. Illis uero, qui ut par est propter naturæ similitudinem regni cacumen adiuerunt, habitari potest, & usum sui cõmodum præbere. Est igitur regnũ res syncera, incorrupta, & propter excellentiam diuinissima, ac homini difficilis accessu. Oportet autem & illum, qui suscepit regnum, purissimum & lucidissimum natura esse, ne quod clarissimum eius est obscuret suis maculis, quemadmodum nonnulli sanctissima loca inquinauerunt, & execrabiles quidam eos quibus obuiam facti sunt. Rex igitur naturam habeat minime pollutam, & quanto reliquis diuinior sit agnoscat, ac cætera, quibus decenter instructus, tum seipso, tum subditis optimè uti poterit. Cæteri quidem homines à uitijs suis sanctissimè purgantur, si principibus suis similes euadant, siue legem principem, siue regem habuerint. Qui uero non habent quod natura sua præstantius imitentur, illi non longius abire debent, sed statim à Deo utilitatem petere. Nam neq; mundum aliquis quæsiuerit, in ipso agens, & pars eius existens: neq; is qui alijs imperat, illum ignorare debet à quo ipse regitur. Maximum autem hoc ornamentum est, quod nihil non gubernatum inueniatur. Oportet principem etiam moribus imperium docere. Sic enim statim imperij pulchritudo elucescit. Qui Dei uirtutem imitatur, & ei charus est quem æmulatus fuerit, & amplius subditis. Nullum enim Deo charũ homines odio prosequuntur. Nam neq; sydera, nec uniuersus mundus Deũ oditnã si ducẽ suũ odissent, nõ utiq; ei parerent. Sed q̃d bene imperat, id in causa est, ut subiecta bene regantur, & pareant. Equidẽ existimo terrenũ regẽ nullius uirtutis expertẽ esse debere, qua cœlestis ille præditus est. Sed ut ipse res est peregrina, & admiratione digna, utpote cœlitus ad homines profecta: ita nimirum & uirtutes ipsius Dei opera existimandæ sunt, & diuino beneficio ei accessisse. Quod si rem à principio consyderes, uerum

Ecphãte Pythagorici.

κοινωνία τε γὰρ πρᾶτα τε πάντων καὶ ἀναγκαιοτάτα, τᾶς τῶν ἀνθρώπων γενεᾶς μετέχει μὲν ὁ παρ' ἁμῖν βασιλεύς· μετέχει δὲ καὶ ὁ ἐν τῷ παντὶ πάντα διέπων. συνεστάναι γὰρ χωρὶς φιλίας καὶ κοινωνίας, ἀμάχανον. σκοποίη δ' ἄν τις ταῦτα καὶ ἐπὶ τᾶν συμπολιτευομένων, ἐξελὼν τῷ λόγῳ τὰν κατὰ συνάθειαν κοινωνίαν. ἐλάττων γὰρ αὕτα τᾶς τε θείας φύσιος καὶ τᾶς βασιλικᾶς. (οὐ γὰρ δέονται τᾶν τοιαύταν δέησιν. ἀλλ' ἄλλων καθαρὸν ἐκπορεύοντες τῶν ὑστερῶν, ἀναπληροῦντι κοινὰν τὰν βοήθειαν. τέλειοι γὰρ κατ' ἀρετάν.) ἁ δ' ἐν τᾷ πόλει φιλία κοινῶ τινος τέλεος ἐχομένα, τὰν τῶ παντὸς ὁμόνοιαν μιμᾶται. ἄνευ δὲ τᾶς περὶ τὰς ἀρχὰς διατάξιος, οὐδεμία ἂν πόλις οἰκοῖτο. εἰς δὲ ταύταν, νόμων τε δεῖ, καὶ τινος προστασίας πολιτικᾶς τό, τε ἄρχον καὶ τὸ ἀρχόμενον, εἴπερ σώζοιτο δι' αὐτό. ἐκ τούτων κοινὸν ἀγαθὸν εὐαρμοσία τις, καὶ τῶν πολλῶν ὁμοφωνία μετὰ πειθοῦς συνᾳδούσας. ὁ κατ' ἀρετὰν ἐξάρχων καλεῖται βασιλεὺς καὶ ἐντί, ταύταν ἔχων φιλίαν τε καὶ κοινωνίαν ποτὶ τὼς ὑπὸ αὐτοῦ, ἅνπερ ὁ θεὸς ἔχει ποτί τε τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ. ὅλαν δὲ τὰν εὔνοιαν χρὴ παρασκευάζεσθαι, πρῶτα μὲν παρὰ τῶ βασιλέως εἰς τὼς βασιλευομένως· δεύτερον δὲ παρὰ τῶνδε, εἰς τὸν βασιλέα· ὁποία γεννάτορος ποτὶ υἱέα, καὶ ποτὶ ποίμναν νομέως, καὶ νόμω ποτὶ χρώμενον αὐτῷ.

Ἐν ταὐτῷ.

Μία γὰρ ἀρετὰ πρὸς τὸ ἄρχεν ἀνθρώπων, καὶ πρὸς τὸν αὐτῶ βίον χρήσεται, οὐδενὸς δ' ἐνδείας ποτιλαμβάνων εἰς ὑπηρεσίας τὰν αὐτὸς αὐτῷ ἄλλως κατὰ φύσιν συνεργεῖν. κοινωνίας γὰρ ἐάσας, οὐδὲν ἔλαττον ἕκαστον αὐτάρκως βιώσει καθ' αὑτόν. δοκεῖ μὲν γὰρ ὁ αὐτάρκης μηδενὸς ἂν ἄλλω πρός τε τὰν αὐτῶ διεξαγωγὰν ποτιδέησθαι. αἰεὶ ἄρα δεῖ βίον ἐνεργέα ζώειν, δᾶλον, ὡς καὶ ἑτέρα ἂν προσλάβοι, οὐδ' ἔν τι ἔλαττον αὐτὸν αὐτάρκεια ποιήσει. φίλως τε γὰρ ἕξει διὰ τὰν αὐτῶ ἀρετάν. καὶ τοῖσδε χρώμενος, οὐ κατ' ἄλλαν ἀρετὰν χρήσεται, ἢ ἅπερ καὶ ποττὸν αὐτῶ βίον. ἀνάγκα δὲ ἀκολουθεῖν καὶ τᾷ τοιᾷδε οὐχ ἑτέρως τινὸς ἐξαιρέτω ποττ' αὐτὰ παρεσκευασμένως. καὶ ὁ μὲν θεὸς οὔτε διακόνως ἔχων, οὔτε ὑπηρέτας, οὔτ' αὖ προστάξει τινὶ χρώμενος, οὐδὲ στεφανῶν ἢ ἀναγορεύων τὼς πειθομένως, ἢ ἀτιμάζων τὼς ἀπειθέοντας, οὕτως αὐτὸς ἄρχει ποτὶ τοσόνδε μέγεθος ἀρχᾶς. ἀλλ' οἶμαι παρέχων ἀξιομίματον αὑτὸν ζᾶλον ἐντίθησι πᾶσι τᾶς αὑτῶ φύσιος. ἐν τι δὲ αὐτὸς μὲν ἀγαθός, καὶ τόδε μόνον τε καὶ ῥᾴδιον ἔργον αὐτῶ. οἱ δὲ μιμεύμενοι τὸν αὐτόν, κρέσσον τῶνδε πάντα ἐργάζονται. ἁ δὲ ὁμοίωσις, καὶ ἑκάστῳ τῶνδε αὐτάρκης ἐντί. οὐ γὰρ ἄλλα μὲν ἀρετὰ ποιεῖ τὰ ἄριστα τῷ θεῷ, μιμεῖται δὲ αὐτὸν ἑτέρα. ὁ δ' ἐπίγειος ἁμῖν βασιλεύς, πῶς οὐχ ὁμοίως ὁμοίως αὐτάρκης; ἀπεικάζων τε γὰρ αὐτὸν ἑνὶ ἂν ἀπεικάσειε τῷ κρατίστῳ, καὶ πᾶς ἑωυτῷ πειρώμενος ὁμοιοῦν * ἀεὶ θ' ὅς ἐστι. τὰ δ' ὅσα βίας καὶ ἀνάγκας τὰς τῶν ὑποτεταγμένων, ἐνίοτε ἑκάστῳ τὰν περὶ τὰν μίμασιν, * προθυμίαν ἀφαιρέεται. χωρὶς εὐνοίας γάρ, ἀμάχανον ἐξομοιωθῆμεν, ἃ μάλιστα πάντων ἀφανίζει τὸ φοβερόν. ὡς εἴθε ἦν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν ἀφέμεν, καὶ τὸ πειθοῦς τινος * δέχεσθαι. τόδε γὰρ τᾶς ἐπιγείω φαυλότατον τὸ λείψανον. καθ' ἂν ἐπίκαιρον ὂν τὸ ζῷον, ταύτας οὐκ ἀμοιρεῖ. ἐπειδὴ πειθὼ ἔργον τί ἐντι παροικέον ἀνάγκᾳ. πρᾶτα γὰρ ἀφ' αὐτᾶς αὐτὰ κατεργάζεται, τὰ παρ' ἐκείναν διέφυγεν. ὅσα δὲ αὐτοφυῶς τῷ καλῷ χρῆται τούτοις οὐδεμία πειθοῦς αἰδῶς; ἐπειδὴ περ οὐδὲ φόβος ἀνάγκας. ἐνεργάσαιτο δ' ἂν μόνος ὁ βασιλεὺς ἀνθρώπω φύσει καὶ τόδε τὸ ἀγαθόν, ὡς διὰ μίμασιν αὐτῶ τῶ κρέσσονος ποτὶ τὸ δέον ἕπεσθαι. τὼς δὲ ὥσπερ ὑπὸ μέθας διεφθαρμένως, καὶ διὰ κακὰν τροφὰν εἰς λάθαν ἐμπεσόντας * αὐτῶ παραλαφθεὶς ὁ λόγος, ἐπέρρωσεν τε καὶ κάμνοντας ἰάσατο, καὶ τὰν ἐκ τᾶς κακίας ἐνοικεῦσαν αὖθις λάθαν ἐκβαλών, τὰν μνάμαν ἐσῴκισεν, ἐξ ἇς ἀπετέχθη ἁ καλεομένα πειθώ. καὶ τὰν ἀρχὰν ἐκ φαύλων σπερμάτων λαβοῦσα αὕτα, τὸ σπουδαῖον ἔφυε τὰν ἐπίγειον * οἰκεῦσαι χώραν, ἐν ᾇ δι' ἀσθένειαν τᾶς ἁμῶν φύσιος, ὁ λόγος ἀνθρώποις ὁμιλέων, ἀναπληροῖ τε τὸ διὰ κακίαν ὑστερούντων. *

Locus corrupt.

lego προθυμίαν.

[illegible] lego, ut supra in sermone de monarchia.

scilicet τὸ κρέσσονος.

lego οἰκεῦσι.

Videtur aliquid deesse.

Ἐν ταὐτῷ.

Αὐτὰρ ἱερὰν καὶ θείαν ἔχων ἔννοιαν, τῷ ὄντι βασιλεὺς εἴη. τᾷδέ γε πεπεισμένος, ἀγαθῶν μὲν πάντων αἴτιος ἐσεῖται· κακῶν δέ, οὐδενός. οὐ μάν, ἀλλ' ὅτι γε δίκαιος ἐσεῖται κοινωνικὸς ὤν, παντί τῳ δᾶλον· ἐν ἰσότατι γὰρ ἁ κοινωνία, καὶ ἐν τᾷ ταύτας ἀποδιανομᾷ. ἐξάρχει μὲν ἁ δικαιοσύνα· μετέχει δ' ἁ κοινωνία. οὐ γὰρ δυνατὸν ἄδικον μὲν ἦμεν, μεταδιδόμεν δὲ ἰσότατος. ἢ μεταδιδόμεν ἰσότατος, μὴ κοινωνὸν δὲ ἦμεν. ἐγκράτεια δὲ πῶς οὐκ ἂν ὑπολάβοι τις τὸν αὐτάρκη; ἁ γὰρ πολυτέλεια, μάτηρ τᾶς ἀκρασίας, αὕτα δέ, τᾶς ὕβριος, ἐξ ἇς τῶν

ἐν ἀν-

esse quod dico intelliges. Per cõmunionem em̃ omniũ primã & maxime necessariã hominũ genera terrestris rex conciliat: similiter facit ille qui cuncta in uniuerso gubernat. Nihil etem̃, si tollas amicitiã & cõmunionẽ, cõsistere potest: quod etiã in ciuitatibus ita se habet, si familiarẽ societatẽ abstuleris, etsi multò inferior sit quã diuina natura & regia: quæ nihil huiusmodi desyderant: * sed secundũ mentẽ procedẽtes, cõmuni opa quæ desunt reparant, utpote pfectæ uirtute. Amicitia aũt ciuitatis cõmunẽ mutuo finẽ spectans, ipsius uniuersi concordiã imitatur. Porrò citra constitutionẽ magistratuũ nulla ciuitas habitari posset: requirunt aũt ad illã constitutionẽ leges, ciuilis gubernatio, subditiq; & præfecti, si per se conseruanda sit. Hæc sequit cõmune bonũ, concinnus quidã status, & multitudinis consensus cũ psuasione cõcordi. Ille qui impat iuxta uirtutẽ, nominatur rex, atq; est, eadẽ amicitia consensuq; subditis coniunctus, qua Deus mundo & in ipso contentis iungitur. Cæterũ oportet omnẽ beneuolentiã institui, primũ à rege in subditos, deinde uicissim à subditis erga regem: qualis nimirum patris existit erga filium, pastoris erga gregem, & legis aduersus utentes ipsa. *Locus est obscurus.*

Sola uirtus hominibus impare meretur. Nullus aũt ad uitã sibi propter inopiam alterius ministeriũ accersat, quod ipse sibi secundũ naturam satis ministrare potest. Quãuis em̃ omniũ sit cõmunio, nihilominus quisq; per se suis contentus uiuet. Videtur etem̃ is qui rebus suis contentus est, nullo alio ad uitã transigendam opus habiturus. Quod si uitam actiuam degere oporteat, liquet quod etiamsi alia quæpiam ei accesserint, nihilominus tamen statu suo contentus erit. Nam & amicos habebit suæ uirtutis gratia, quibus cũ agens non alia uirtute eius utetur, quã illa qua reliquã suam instituit uitam. * Deus sanè citra famulorũ & ministrorum operam, nec imperans cuiquã, neq; coronans aut prçconis uoce celebrans obedientes, aut ignominia notans immorigeros, ipse solus tantã imperij molem gubernat. Sed præbens se ipsum imitatione dignũ, omnibus desyderiũ & æmulationẽ inijcit naturæ suæ. Est aũt bonus ipse, atq; hoc solum opus agit, idq; facile. * Qui uero imitantur ipsum, studio melioris omnia agunt: & illius assimilatio, singulis sufficit. Nõ em̃ alia uirtus est quæ Deo accepta facit, & alia quæ ipsum imitatur. Cæterum rex terrenus apud nos cur non similiter se suisq; contentus, & in statu suo absolutus sit? Assimilabit em̃ seipsum uni tantũ optimo, & omnes alios sibi undequaq; similes fieri studebit. Quod si uis & necessitas cogat subditos, singuli promptitudinẽ imitandi remittere solent. Non enim fieri potest ut absq; beneuolentia alterũ alteri simile eua dat, quã in primis obliterat timor. Vtinam humanũ ingeniũ nulla psuasione opus haberet. Est em̃ psuasio terrenæ prauitatis uestigiũ, qua mortale animal participat. Nam persuasio res est uicina necessitati, ut quæ ea perficere sua opa conetur, quæ necessitatem declinarunt. At quæ sponte naturæ honestũ amplectuntur, nulla persuasionis reuerentia mouentur: nec enim timent necessitatem. Posset autem solus rex in hominis animo etiam hoc bonum efficere, ut quod melius est imitando, decorũ sequeretur: Illos uero qui tanquã ebrietate corrupti sunt, & propter malam educationem, melioris obliuionem inciderunt, oratio adhibita restituit, laborantes sanat, eiectaq; obliuione prauitatis uitio ipsis innata memoriam inserit, ex qua persuasio dicta nascitur, quæ licet malis orta boni tamen aliquid producit terram inhabitantibus, in qua quod uitio naturæ deest propter eius imbecillitatem oratio inter homines usurpata resarcit ac explet. *Ibidem.* *Omisimus quædam uerba propter obscuritatẽ in Græco.* *Videtur & hic corruptũ exemplar Græcum.*

Reuera rex erit, qui sacrã & diuinã habuerit animi meditationẽ: hac em̃ imbutus persuasusq;, bonorũ author erit omniũ, mali uero nullius. Quinetiã quod futurus sit iustus, utpote ad cõmunicandũ promptus, cuiuis constat. Cõmunicatio em̃ in æquabilitate, & eius distributione sita est. Antecedit iustitia, cõmunicatio participat. Nam fieri nequit, ut iniustus æqualiter distribuat: aut ut non sit ad cõmunicandũ promptus, qui distribuit ex æquo. Continentẽ uero esse illũ qui cõtentus sit suo statu, qs negauerit? Sumptuositas em̃ incõtinentiæ parens est, incõtinentia cõtumeliæ, unde *Ibidem.*

ἐν ἀνθρωπίνοις κακῶν τὰ πολλά. ἁ δ' αὐτάρκεια, οὐδέν τι καὶ πολυτέλειαν, ὅτι τὰ ἀπ' αὐτᾶς ἀλλὰ αὐτά ἐστιν οὖσα ἀρχὰ, πάντα μὲν ἄγοι· ἄγοιτο δ' ἂν ὑπ' οὐδενός. ὅπερ ἐντὶ μὲν περὶ θεῷ, ἐντὶ δὲ καὶ τῷ βασιλεῖ, αὐτῷ μὲν ἄρχειν (ἀφ' οὗπερ καὶ ὁ αὐτάρκης καλεῖται.) ἄρχεσθαι δ' ὑπ' οὐδενός. ταῦτα δ' ὅτι μὲν φρονάσιος χωρὶς οὐκ ἂν γίνοιτο, δᾶλον. ὅτι δ' ἁ τῶ κόσμω φρόνασις ὁ θεός ἐντι, φανερόν. συνέχεται γὰρ εὐκοσμίᾳ τε καὶ τάξει τᾷ δεούσᾳ. νόω δὲ χωρὶς, οὐκ ἂν αὐτὰ γίνοιτο. οὐδ' ὁ βασιλεὺς δὴ χωρὶς φρονάσιος ταύτας ἂν ἔχοι τὰς ἀρετάς. δικαιοσύναν φαμὶ καὶ ἐγκράτειαν καὶ κοινωνίαν, καὶ ὅσα τούτων ἀδελφά.

Μουσωνίου. Εἰσελθόντος δέ ποτε ὡς αὐτὸν τῶν βασιλέων τινὸς τῶν ἐκ τῆς Συρίας. ἦσαν γὰρ ἔτι τότε ἐν Συρίᾳ βασιλεῖς Ῥωμαίων ὑπήκοοι, ἄλλα τε πολλὰ εἶπε πρὸς τὸν ἄνδρα, καὶ δὴ καὶ ταῦτα. μὴ οἴου ἔφη ἄλλῳ τινὶ μᾶλλον προσήκειν φιλοσοφεῖν, ἢ σοί. μηδὲ δι' ἄλλου του χάριν μᾶλλον, ἢ ὅτι βασιλεὺς τυγχάνεις ὤν. δεῖ μὲν γὰρ δήπου δύνασθαι τὸν βασιλέα σώζειν ἀνθρώπους καὶ εὐεργετεῖν. τὸν δέ γε σώζοντα καὶ εὐεργετήσοντα χρὴ ἐπίστασθαι, τί μὲν ἀγαθὸν ἀνθρώπῳ, τί δὲ κακόν. καὶ τί μὲν ὠφέλιμον, τί δὲ βλαβερόν. καὶ συμφέρον γε καὶ ἀσύμφορον. εἴ γε ἀπόλλυνται μὲν οἱ περιπίπτοντες τοῖς κακοῖς, σώζονται δὲ οἱ τυγχάνοντες τῶν ἀγαθῶν. καὶ εὐεργετοῦνται μὲν οἱ ἀξιούμενοι τῶν ὠφελίμων καὶ συμφερόντων· κακοποιοῦνται δὲ, οἱ ἐμβαλλόμενοι τοῖς ἀσυμφόροις καὶ βλαβεροῖς. ἀγαθὸν μέντοι ἢ κακὸν ἢ συμφέρον ἢ ἀσύμφορον, ἢ ὠφέλιμον, ἢ βλαβερὸν, οὐκ ἄλλου του διαγιγνώσκειν, ἢ τοῦ φιλοσόφου ἐστὶν, ὃς αὐτὸ τοῦτο διατελεῖ πραγματευόμενος, ὅπως μηδὲ ἓν τούτων ἀγνοήσῃ, καὶ τέχνην πεποίηται ταύτην εἰδέναι, τί φέρει πρὸς ἀνθρώπου εὐδαιμονίαν. διὸ φαίνεται δεῖν τὸν βασιλέα φιλοσοφεῖν. καὶ μὴν προσήκει μὲν τῷ βασιλεῖ, μᾶλλον δ' ἀνάγκη ἐστὶν αὐτῷ, τὰ δίκαια βραβεύειν τοῖς ὑπηκόοις, ὡς μήτε πλέον ἔχειν, μήτ' ἐλαττοῦσθαι μηδένα παρὰ τὴν ἀξίαν. ἀλλὰ καὶ τιμῆς καὶ τιμωρίας τυγχάνειν τοὺς ἀξίους. ταῦτα δὲ πῶς ποτε δυνηθείη ἄν τις, δίκαιος οὐκ ὤν; δίκαιος δὲ πῶς ἂν εἴη τις μὴ ἐπιστάμενος δικαιοσύνην, ὁποῖόν τί ἐστι; πάλιν οὖν καὶ ταύτῃ φιλοσοφητέον τῷ βασιλεῖ, ὅτι δικαιοσύνην καὶ τὸ δίκαιον οὐκ ἂν ἄλλως φαίνοιτο γνοὺς, εἰ μὴ φιλοσοφήσειεν. οὐ γὰρ οὐδ' ὡς οὐχ ὁ μαθὼν, μᾶλλον εἰδήσει τὰ δίκαια τοῦ μὴ μαθόντος ἐστὶν εἰπεῖν· οὐδ' ὡς οὐκ ἀμαθεῖς εἰσι τῶν τοιούτων πάντων, οἱ μὴ φιλοσοφήσαντες. στασιάζουσι γοῦν καὶ πολεμοῦσι περὶ τῶν δικαίων πρὸς ἀλλήλους· οἱ μὲν, ταῦτα φάσκοντες· οἱ δὲ, ἐκεῖνα δικαιότερα εἶναι. καίτοι περί γε ὧν ἐπίστανται ἄνθρωποι, περὶ τούτων οὐ διαφέρονται. οὔτε περὶ λευκῶν ἢ μελάνων, ἢ θερμῶν ἢ ψυχρῶν οὔτε περὶ μαλακῶν ἢ σκληρῶν. ἀλλὰ [illegible] τὰ αὐτὰ περὶ τούτων ἅπαντες φρονοῦσί τε καὶ λέγουσιν. ὥστε καὶ περὶ τῶν δικαίων ὁμονοοῖεν ἂν παραπλησίως, εἴπερ ᾔδεσαν, ἅ τινά ἐστιν. ἐν ᾧ δ' οὐχ ὁμονοοῦσιν, ἀγνοοῦντες φαίνονται. καὶ οὐδὲ σὺ ταύτης ἐκτὸς εἶ τῆς ἀγνοίας, ὡς ἐγὼ δοκῶ. ὅθεν ἐπιμελητέον σοι τῆς γνώσεως μᾶλλον, ἢ ἄλλῳ ὁτῳοῦν, καὶ τοσούτῳ γε μᾶλλον ὅσῳ αἴσχιον ἀνδρὶ βασιλεῖ ἢ ἰδιώτῃ, εἶναι ἐν ἀγνοίᾳ δικαιοσύνης. Ἔτι τοίνυν δεῖ τὸν βασιλέα μὲν σωφρονεῖν αὐτὸν, δεῖ δὲ τοὺς ὑπηκόους σωφρονίζειν. ἵν' ὁ μὲν, ἄρχῃ σωφρόνως, οἱ δ' ἄρχωνται κοσμίως. μηδέτεροι δὲ τρυφῶσι. λυμαντικὸν γὰρ ἄρχοντός τε καὶ ἰδιώτου παντὸς ἡ τρυφή. πῶς δ' ἂν ἢ αὐτὸς σωφρονήσειέ τις, μὴ μελετήσας κρατεῖν τῶν ἐπιθυμιῶν; ἢ ἀκόλαστος ὤν, ἄλλους ποιήσειε σώφρονας; τίς μέντοι ἐπιστήμη πρὸς σωφροσύνην ἄγει, πλὴν φιλοσοφίας, οὐκ ἔστιν εἰπεῖν. αὕτη γὰρ διδάσκει μὲν ἐπάνω ἡδονῶν εἶναι· διδάσκει δ' ἐπάνω πλεονεξίας· διδάσκει δὲ ἀγαπᾶν εὐτέλειαν· ἐθίζει δ' αἰδῶ ἔχειν· ἐθίζει δὲ γλώττης κρατεῖν· τάξιν δὲ καὶ κόσμον, καὶ εὐσχημοσύνην περιποιεῖ· καὶ ὅλως τὸ ἐν κινήσει καὶ σχέσει πρέπον. ταῦτα δὲ ἀνθρώπῳ προσόντα παρέχεται σεμνὸν καὶ σώφρονα αὐτόν. καὶ δὴ καὶ βασιλεὺς ὅτῳ ὑπάρχει ταῦτα μάλιστα ἂν εἴη θεοπρεπής τε καὶ αἰδοῦς ἄξιος. τό γε μὴν ἄφοβον καὶ ἀνέκπληκτον καὶ θαρραλέον, ἔστι μὲν ἀνδρείας ἔργον. πῶς δ' ἂν ἄλλως μᾶλλον ἀνθρώπῳ ὑπάρξειεν, ἢ εἴ τις περὶ θανάτου καὶ πόνου λάβοι πίστιν ἰσχυρὰν, ὡς οὐ κακοῖν ὄντοιν αὐτοῖν; ταῦτα γὰρ δὴ τὰ ἐξιστάντα καὶ φοβοῦντα τοὺς ἀνθρώπους ἐστὶν, ὅ,τε θάνατος, καὶ ὁ πόνος, ὅταν ὡς περὶ κακῶν πεπεισμένοι ὦσιν αὐτῶν. μὴ κακὰ δ' εἶναι ταῦτα, φιλοσοφία διδάσκει μόνη. ὥστ' εἴπερ ἀνδρείαν κτητέον τοῖς βασιλεῦσι, κτητέον δὲ, παντὸς οὖν ἑτέρου μᾶλλον ἐπιμελητέον τοῦ φιλοσοφεῖν αὐτοῖς, ὡς οὐκ ἂν ἑτέρως ἀνδρείοις γενομένοις. καὶ δὴ βασιλικὸν μὲν ἔτι ἄλλο, καὶ τὸ ἀήττητον

ἐν λό

plæraq; hominum mala enascuntur. Virtus aũt quæ suis rebus cõtentos facit, sumptuositatem & quæ sequuntur eam, haudquaquã probat. Sed cũ ipsa princeps quædam sit, præest quidem omnibus, subesse uero nulli potest: quod primum Dei, dein de regis propriũ est, ut nulli subijciantur, sibi uero ipsis imperent, unde & αὐτάρχης apud Græcos dictus uidetur, παρὰ τὸ ἑαυτοῦ ἄρχειν. Quod aũt ista sine prudentia fieri nequeant, apparet: & quod prudentia mundi Deus sit manifestum est. Ordine enim & constitutione decenti coniunguntur: absq; mente uero nõ possent fieri. Proinde rex quoq; sine prudentia non poterit sibi comparare istas uirtutes, iustitiam dico, continentiam, communicandi uirtutem, & istis cognatas.

Cum ad Musoniũ aliquando rex quidã Syriæ ingressus esset (erant eñ adhuc Syriæ reges sub Romanorũ imperio) cũ alia multa apud regem tũ hæc disseruit. Ne tibi persuadeas cuiquã esse magis quã tibi philosophandum: nec id aliam ob causam magis, quã quia rex es. Est eñ regis posse homines conseruare, ac beneficijs afficere: id aũt facturum scire necessarium fuerit, quid homini bonũ aut malum sit, quid iuuet, quid obsit, quid utile aut inutile. Siquidem pereunt, qui in mala incidunt: seruantur, qui bona consequuntur: & beneficijs obstringuntur, qui his digni iudicantur, quæ iuuent utiliaq; sint: contrà malè afficiunt, qui in damnosa atq; inutilia impelluntur. Quid sit aũt bonũ aut malum, utile aut inutile, quid cõferat aut obsit, nõ alterius est discernere quã philosophi: quippe qui in eo ipso continuè uersatur, huic uni rei studet ut percipiat quicquid ad hominis fœlicitatem pertinet. Constat igitur philosophari regem oportere. Præterea decet, aut potius necesse est regem ita subditis iura administrare, ut ne quispiam plura quã par sit, paucioráue consequatur: sed ut meretur unusquisq; ita uel honore uel pœna afficiatur. Quomodo aũt quispiam hæc iustitia non præditus efficeret? Iustus uero quo pacto quis esse poterit, si iustitiã quid sit ignoret? Est igitur rursus regi & hanc ob causam philosophandũ. Nec enim absq; philosophia iustitiam iustumq; tenere unquam existimabitur. Etenim haud dici potest, quod qui didicit iusta nõ magis ea intelligat quã ille qui non didicit: neq; quod non sint huiusmodi rerum imperiti omnes, qui nunquã philosophati sunt. Quo fit ut homines inter se contendant ac digladientur, dum alij alia iustiora esse asserunt. Certe super illis, quæ sciunt homines, non solent dissentire. Neq; enim de albis, nigris, calidis, frigidis, mollibus, aut duris contendunt, sed de huiusmodi eadem omnes sentiunt & loquuntur. Quare etiã de iustis consentirẽt similiter, si nossent ipsorum naturam: sed interim dum concordes non sunt, ignorantiam suam arguunt. Nec tu quidem (ut mihi uidetur) huius inscitiæ expers es. Quapropter huic cognitioni operam dare debes magis quàm alius quisquam: idq; tanto diligentius, quanto turpius est regem quàm hominem priuatum iustitiam ignorare. Ad hæc tum regem ipsum temperantem esse oportet, tum subditos eiusmodi reddere: ut & ipse modestius imperet, ac subditi pareant decentius: neutri autem delicientur. Perniciosa enim est uoluptas & principi, & priuatis omnibus. Quo autem pacto quispiam aut ipse temperans erit, cum imperare cupiditatibus haud didicerit? Aut quomodo luxuria diffluens alios reddet temperatos? Quæ uero scientia præter philosophiam ad temperantiam perducat, nulla est. Hæc enim uoluptatem & auaritiã uincere, ac frugalitatẽ diligere docet: uerecundiam seruare, linguamq; compescere assuefacit: modum, ordinẽ, elegantiã & honestatem pariter deniq; decorũ in gestu habituq; cõciliat. Quæ cũ homini insunt, eũ grauem ac temperantẽ reddunt. Quapropter & rex ita instructus, maxime Deo similis & uenerandus existit. Vt autẽ quispiã intrepid⁹ sit, audẽs, & minime formidolosus, id præstat fortitudo, quæ nemini utiq; inesse potest, qui in morte ac labore nihil inesse mali sibi nõ cõstanter psuaserit. Hæc eñ mors inquã & labor, homines pterrefaciunt, & à mente deturbant, cũ pro malis habent. Quod aũt mala nõ sint, sola docet philosophia. Quare si fortitudo est regibus acquirenda, ut omnino est, præ omnib⁹ studijs philosophari debent, quũ fortes aliter euadere non ualeant. Est item, si quicquam aliud, & hoc maxime regium,

Musonij quod oporteat regem philosophari.

ἐν λόγῳ εἶναι· καὶ δύνασθαι κρατεῖν ὥσπερ ὅπλοις τῶν μαχομένων, οὕτω λόγοις διαλεγομένων. ὡς ἄν τι ταύτῃ ἀσθενήσωσιν οἱ βασιλεῖς, ἀνάγκη πολλάκις περιάγεσθαι αὐτοὺς, καὶ βιάζεσθαι τὰ ψευδῆ ὡς ἀληθῆ προσίεσθαι. ὅπερ ἀφροσύνης ἔργον, καὶ ἀμαθίας τῆς ἐσχάτης. φιλοσοφία δ' οὐκ οἶδ' εἴ τι μᾶλλον, ἢ τοῦτο παρέχειν τοῖς μετιοῦσιν αὐτὴν πέφυκεν, ὥστε περιεῖναι λόγῳ τῶν πλησίον. καὶ τὰ ψευδῆ διακρίνειν ἀπὸ τῶν ἀληθῶν. καὶ τὰ μὲν, ἐλέγχειν, τὰ δὲ, βεβαιοῦν. οἱ γοῦν ῥήτορες, ὁπόταν ἔλθωσιν εἰς ταυτὸ τοῖς φιλοσόφοις, καὶ διδῶσι καὶ λαμβάνωσι λόγον, ἔστιν ὁρᾶν αὐτοὺς συγχεομένους, ἀπορουμένους, ἐναντία λέγειν αὐτοῖς ἀναγκαζομένους. καίτοι ὁπόταν οἱ ῥήτορες, οἱ τοῦτο πεποιημένοι ἔργον, λόγους μελετᾶν, ἀσθενέστεροι περὶ λόγους ἁλίσκωνται τῶν φιλοσόφων ὄντες· τί χρὴ τοὺς ἄλλους ἀνθρώπους ὑπολαμβάνειν; ὅθεν εἴ τινι ὄντι βασιλεῖ, ἔστιν ἐπιθυμία τοῦ ἐν λόγοις κράτους, φιλοσοφητέον αὐτῷ, ἵνα μὴ δεδίῃ μηδὲ ταύτῃ μηδένα, ὥσπερ γενησόμενος αὐτοῦ ἥττων, δέον ἁπανταχοῦ ἀδεῆ εἶναι τὸν βασιλέα καὶ θαρραλέον καὶ ἀκατάπληκτον. καθόλου δὲ τὸν μὲν βασιλέα τὸν ἀγαθὸν, ἀνάγκη πᾶσα, καὶ λόγῳ καὶ ἔργῳ καὶ εἶναι ἀναμάρτητον, καὶ τέλειον. εἴπερ δεῖ αὐτὸν ὥσπερ ἐδόκει τοῖς παλαιοῖς, νόμον ἔμψυχον εἶναι, εὐνομίαν μὲν καὶ ὁμόνοιαν μηχανώμενον, ἀνομίαν δὲ καὶ στάσιν ἀπείργοντα, ζηλωτὴν δὲ τοῦ Διὸς ὄντα καὶ πατέρα τῶν ἀρχομένων, ὥσπερ ἐκεῖνον. τοιοῦτος δὲ, πῶς ἂν εἴη τις, μὴ φύσει τε διαφερούσῃ κεχρημένος, παιδείαν δὲ τὴν ἀρίστην πεπαιδευμένος, ἀρετάς τε ἁπάσας ἔχων, ὅσαι περ ἀνθρώπῳ προσήκουσιν; εἰ μὲν οὖν καὶ ἑτέρα ἐπιστήμη ἐστὶν, ἡ προσήκουσα πρὸς ἀρετὴν ἀνθρώπου φύσιν, καὶ ἀσκεῖν καὶ μετιέναι τὰ καλὰ διδάσκουσα, παραβλητέον ἂν εἴη καὶ συγκριτέον, εἴτε ἐκείνη, εἴτε φιλοσοφία κρείττων, καὶ ἀρκοῦσα μᾶλλον ἀγαθὸν ἀποδεῖξαι βασιλέα. καὶ τῇ κρείττονι χρῷτ' ἂν εἰκότως ὁ βασιλεὺς, βουλόμενος δὴ εἶναι ἀγαθός. εἰ δὲ ἄλλη μὲν οὐδ' ὑπισχνεῖται τέχνη, οὐδεμία παράδοσιν καὶ διδασκαλίαν ἀρετῆς. ἀλλ' αἱ μὲν περὶ τὸ σῶμα τὸ ἀνθρώπινον, καὶ τὰ τούτῳ χρήσιμα πραγματευόμεναι μόνον, ὅσαι δὲ τῆς ψυχῆς ἐφάπτονται, πάντα σκοπούμεναι μᾶλλον, ἢ ὅθεν αὕτη σωφρονήσει. μόνη δὲ φιλοσοφία τοῦτο σκοπεῖ, καὶ τοῦτο μηχανᾶται, πῶς ὁ ἄνθρωπος κακίαν μὲν ἐκφύγοι, κτήσαιτο δὲ ἀρετήν. εἰ τοῦτο ταύτῃ ἔχει, τί ἂν ἄλλο εἴη βασιλεῖ τῷ γε ἀγαθῷ εἶναι βουλομένῳ προυργιαίτερον τοῦ φιλοσοφεῖν; μᾶλλον δὲ καὶ τίνα τρόπον δύναιτο ἄν τις βασιλεῦσαι, ἢ βιῶναι καλῶς, εἰ μὴ φιλοσοφήσειεν; ἐγὼ μὲν οἶμαι τὸν βασιλέα τὸν ἀγαθὸν, εὐθὺς καὶ φιλόσοφον ἐξ ἀνάγκης εἶναι· καὶ τόν γε φιλόσοφον, εὐθὺς καὶ βασιλικὸν εἶναι. πρῶτον δὲ, τὸ πρότερον θεασώμεθα. ἔσθ' ὅπως βασιλεὺς ἀγαθὸς εἴη τις, ἂν μὴ ἄνθρωπος ἀγαθὸς ὤν; οὐκ ἔστιν εἰπεῖν. ἀγαθὸς δέ τις ἀνὴρ, οὐκ ἀφιλόσοφος εἴη ἂν, νὴ Δία, εἴ γε τὸ φιλοσοφεῖν, καλοκἀγαθίας ἐπιτήδευσίς ἐστιν. ὥσθ' ὁ βασιλεὺς ὁ ἀγαθὸς, ἐξ ἀνάγκης εὐθὺς καὶ φιλόσοφος εὑρίσκεται ὤν. καὶ μὴν ὅτι γε φιλόσοφος, ὅτι πάντως καὶ βασιλεὺς, οὕτως ἂν μάθοις. τοῦ γὰρ βασιλικοῦ δήπου ἐστὶ, τὸ δύνασθαι καλῶς ἐπιτροπεύειν ἔθνη καὶ πόλεις, καὶ εἶναι ἄξιον ἀνθρώπων ἄρχειν. τίς δ' ἂν ἢ ἱκανώτερος εἴη πόλεως προστάτης, ἢ ἀξιώτερος ἀνθρώπων ἄρχειν τοῦ φιλοσόφου, εἴ γε προσήκει, (ἄνπερ ᾖ ἀληθῶς φιλόσοφος) εἶναι φρονίμῳ, σώφρονι, τῶν δικαίων κριτικῷ καὶ τῶν πρεπόντων, καταπρακτικῷ τῶν νοηθέντων, καρτερικῷ τῶν ἐπιπόνων. πρὸς δὲ τούτοις, θαρραλέος, ἀδεὴς, ὑποστατικὸς τῶν δοκούντων δεινῶν εἴη ἄν. ἔτι δὲ, εὐεργετικὸς, φιλάνθρωπος, χρηστός· τοῦ δὲ τοιούτου, τίς ἂν εὑρεθείη ἄρχειν ἐπιτηδειότερος, ἢ δυνατώτερος; οὐδείς. ἂν δὲ μὴ ἔχῃ πολλοὺς τοὺς ὑπακούοντας καὶ πειθομένους αὐτῷ, οὔπω διὰ τοῦτο τοῦ βασιλικὸς εἶναι ἐστέρηται. ἐξαρκεῖ γὰρ καὶ τὸ τῶν φίλων ἄρχειν τῶν ὑπαρχόντων, ἢ γυναικός τε, καὶ παίδων, ἢ καὶ νὴ Δία αὐτὸν αὐτοῦ μόνου. καὶ γὰρ ἰατρὸς οὐδὲν ἧττον τοῦ θεραπεύοντος πολλοὺς, ὁ θεραπεύων ὀλίγους, εἴ γε ἔχοι τὴν ἐμπειρίαν τῆς ἰατρικῆς. καὶ μουσικὸς οὐδὲν ἧττον τοῦ διδάσκοντος πολλοὺς ὁ διδάσκων ὀλίγους, εἴ γε ἔχοι τὴν μουσικήν. καὶ ἱππικὸς ὁμοίως τῷ χρωμένῳ πολλοῖς ἵπποις, ὁ χρώμενος ἑνὶ ἢ δυσὶν, ἄν γε ἐπιστήμων τῆς ἱππικῆς ᾖ. καὶ δὴ καὶ βασιλικὸς παραπλησίως τῷ κεκτημένῳ πολλοὺς ὑπηκόους, ὁ ἔχων ἕνα ἢ δύο τοὺς πειθομένους αὐτῷ· μόνον ἐχέτω τὴν τοῦ βασιλεύειν ἐμπειρίαν, ὥστε καὶ βασιλικὸς εἴη ἄν. διατοῦτό μοι δοκεῖ καὶ σωκράτης τὴν φιλοσοφίαν πολιτικήν τε καὶ βασιλικὴν ἐπιστήμην ὀνομάζειν, ὅτι ὁ ταύτην ἀναλαβὼν, εὐθὺς πολιτικός ἐστι. τοιαῦτα τοῦ μουσωνίου εἰπόντος, ἡσθεὶς ὁ βασιλεὺς τοῖς λόγοις, χάριν τε ἔχειν

ὁμο-

dicendi facultate minime superari, & haud secus oratione colloquentes, quã armis hostes uincere. Nam si in hac re inualidi reges fuerint, necesse erit ut quàm sępissimè seducantur, & falsa pro ueris admittant, quod imprudentiæ extremæq́ indicium est ignorantiæ. At nescio an philosophia quicquã magis mortalibus largiri soleat, quàm ut ne oratione superentur, falsaq́ à ueris discernant, hæc affirment, illa redarguant. Rhetores certè, si quando in certamen disputandi cum philosophis descenderint, uidere est quomodo impingant, intricentur, & contraria sibi dicere cogantur. Atqui, si rhetores, qui sibi hoc unum proponunt, ut dicendi facultatem acquirant, philosophis inferiores in dicendo deprehenduntur: quid de cæteris hominibus existimandum est? Quare si quis rex uictoriam in orationibus exoptauerit, sibi philosophandũ esse sciat, ut ne hac quidem in re se à quopiã superari posse timeat, cum præsertim ubiq; intrepidum regem, & animosum, inuictumq́ esse oporteat. In uniuersum autem necesse est ut rex bonus, nec uerbo, nec opere unquã delinquat, omniq; in re consummatus sit. Siquidem opus est ipsum, ut ueteribus uidebatur, uiuam esse legem, æquitatem & concordiam machinantem, iniquitatem uero ac seditiones arcentẽ, animoq́ in subditos paterno Iouem æmulantem. Talis autem quo esse modo quispiam potest, nisi cæteris natura præstet, optimaq́ sit disciplina imbutus, easq́ omnes uirtutes assecutus, quæ hominem deceant? Quod si alia est sciẽtia, quæ hominis naturam, & ad uirtutẽ ducat, & ea quæ honesta sunt exercere ac prosequi doceat, cum ipsa philosophia conferatur, & utra facilius optimũ efficere regem ualeat, iudicetur, ut qui bonus rex esse cupit, potiore utatur. Sin aũt nulla alia ars ne pollicetur quidem uirtutis traditionẽ ac disciplinam, sed aliæ circa corpus tantũ humanũ eiq́ utilia uersantur: aliæ uero etsi animi cultum attingunt, cætera tamen omnia potius, quàm unde modestior ac temperantior animus reddatur, cõsiderant: sola uero philosophia hoc instituit ac molitur, quomodo homines & malitiam declinent, & uirtutem consequantur. Si hæc inquam ita se habent, quid est quod ab eo qui optimus esse rex concupiscit, philosophiæ sit studio præponendum? Imò qua ratione aliquis aut uitam priuatam, aut regnũ rectè instituerit, nisi beneficio philosophiæ? Equidem ita statuo, bonũ regem, statim & philosophũ esse necessario: & philosophum, statim animo præditũ esse regio. Primũ itaq; quod prius est speculemur. An quispiã bonus rex esse potest, nisi idem bonus uir fuerit? Haudquaquã. Bonus autẽ uir esse nemo potest, quin & philosophus. Per Iouẽ. Siquidẽ philosophari, est boni honestiq́ studiũ exercere. Itaq; bonum regem continuò & philosophum esse necessariò fatendum est. Cæterum quod philosophus omnino etiam rex sit, hoc modo percipies. Hominis regĳ est rectè gubernare posse gentes ac ciuitates & dignum esse qui cæteris imperet. Quis igitur fuerit magis idoneus ciuitatis præfectus, aut dignior hominibus imperare, quã philosophus? Quippe decet philosophũ, si uere talis sit, esse prudentem, temperantem, iusta & decora iudicare, cogitata efficere, dura tolerare. Idem & animosus, intrepidus, & patiens eorum, quæ grauia uidentur, fuerit: præterea beneficus, humanus, candidus: quo quidem uiro quis ad imperandum aptior & paratior inueniri posset? Nullus. Quamuis autem non multi ei obediant & obtemperent, non propterea tamen regia priuatur dignitate. Satis est enim si amicis imperet, aut uxori, & liberis, aut saltem sibi soli. Nec enim qui paucos curat minus est medicus, quàm qui multos, modo medendi peritiam teneat. Et musicus non minus est qui paucos docet, quàm qui multos, modo musicam habeat facultatem. Et qui uno aut duobus equis utitur, tam equestris est, quàm qui multis, modo equitandi peritiam calleat. Eadem ratione is qui uni aut duobus imperat, æquè fuerit regius ac ille qui multis dominatur, modo regnandi peritiam teneat. Hanc ob causam Socrates mihi uidetur philosophiam, ciuilem ac regalem scientiam nuncupare: quod qui philosophiam sibi comparauit, statim & ciuilis sit. His Musonĳ dictis rex oblectatus, tum gratiam eius orationi habuit,

ὡμολόγει τῶν εἰρημένων αὐτῷ. καὶ ἀντὶ τούτων ἔφη αἴτησον ὅ,τι βούλει με. οὐ γὰρ ἂν ἀντιποιμί σοι πάλιν οὐδενός. ὁ δὲ Μουσώνιος, αἰτῶ σε ἔφη τούτοις στοιχεῖν καὶ ἐπιδεῖξαι τοῖς λόγοις, οὓς ἐπαινεῖς. καὶ γὰρ ἐμοὶ οὕτω χαριεῖ μάλιστα, καὶ ὠφεληθήσει αὐτὸς οὐχ ἑτέρως μᾶλλον.

Ξενοφῶντος.

Καὶ μὴν δὴ ἔφη ὦ πάτερ ὁ Κῦρος, ὅπως ἂν ἵλεω θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι κατὰ τὸν σὸν λόγον διατελῶ ἐπιμελούμενος. μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν πρακτικώτερος εἴη, ὥσπερ καὶ παρ' ἀνθρώπων ὅστις μὴ ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι: ἀλλ' ὅτε ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῆτο. καὶ τῶν φίλων δ' ἔφασθα χρῆναι, ὡσαύτως οὕτως ἐπιμελεῖσθαι. οὐκοῦν νῦν ἔφη ὦ παῖ, δι' ἐκείνας τὰς ἐπιμελείας, ἥδιον μὲν ἔρχει πρὸς τοὺς θεοὺς * δεησόμενος. ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι, ὧν ἂν δέῃ, ὅτι ξυνειδέναι σαυτῷ δοκεῖς, οὐπώποτε ἀμελήσας αὐτῶν. πάνυ μὲν οὖν ἔφη ὦ πάτερ, ὡς πρὸς φίλους μοι τοὺς θεοὺς ὄντας, οὕτω διάκειμαι. τί γὰρ ἔφη ὦ παῖ, ἐκεῖνα μέμνησαι, ἅ ποτε ἐδόκει ἡμῖν. ὁπόσα γὰρ δεδώκασιν * ἡμῖν οἱ θεοὶ μαθόντας ἀνθρώπους * (βέλτιον πράσσειν, ἢ ἀνεπιστήμονας αὐτῶν ὄντας) καὶ ἐργαζομένους μᾶλλον ἀνύειν, ἢ ἀργοῦντας, καὶ ἐπιμελομένους ἀσφαλέστερον ἂν διάγειν, ἢ ἀφυλακτοῦντας, * καὶ παρέχοντας ἑαυτοὺς οἵους δεῖ, οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι τἀγαθὰ παρὰ τῶν θεῶν. ναὶ μὰ Δί' ἔφη ὁ Κῦρος μέμνημαι μὲν τοιαῦτα ἀκούσας σου. καὶ γὰρ ἀνάγκη ἦν πείθεσθαι τῷ λόγῳ τούτῳ. καὶ οἶδα * προστιθέντα αὐτῷ, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν, οὔτε ἱππεύειν μὴ μαθόντας ἱππομαχοῦντας νικᾶν: οὔτε μὴ ἐπισταμένους τοξεύειν, τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων τοξεύειν. οὔτε μὴ ἐπισταμένους κυβερνᾶν, σῴζειν εὔχεσθαι ναῦς κυβερνῶντας. οὔτε μὴ σπείραντάς γε σῖτον, εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι. οὐδὲ μὴ φυλαττομένους γε ἐν πολέμῳ, σωτηρίαν αἰτεῖσθαι. παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς ταῦτα καὶ τὰ τοιαῦτα πάντα εἶναι. τοὺς δὲ ἀθέμιστα εὐχομένους, ὁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν, ὥσπερ καὶ παρ' ἀνθρώπων ἀπρακτεῖν, τοὺς παράνομα δεομένους.

al. ὅπως ἂν δυνάμενος.

ἡμῖν, aliàs abest.

Parenthesi inclusa aliàs non leguntur.

al. τοίνυν.

al. σε ἐπιτιθέντα.

Καὶ τοῦτό σου λέγοντος, συνεδόκει καὶ ἐμοὶ ὑπερμέγεθες ἔργον εἶναι τὸ καλῶς ἄρχειν. καὶ νῦν ἔφη ταῦτά μοι δοκεῖ, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. ὅταν μέντοι πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω, ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων ἡγουμένους δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν, τῷ πολυτελέστερον δειπνεῖν, καὶ πλεῖον ἔχειν ἔνδον χρυσίον, καὶ πλείονα χρόνον καθεύδειν, καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. ἐγὼ δ' οἴομαι ἔφη τὸν ἄρχοντα, οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων: ἀλλὰ τῷ προνοεῖν καὶ φιλοπονεῖν.

Ερωτᾷς ἔφη τοῦτο ὦ παῖ εἴ τις ἀπὸ σοῦ πόρος προσγένοιτο. ἀπὸ τίνος δὲ μᾶλλον εἰκὸς πόρον γενέσθαι, ἢ ὑπὸ τῶν δύναμιν ἐχόντων;

Τόδε δὲ πάντων μάλιστά μοι μέμνησο. μηδέποτ' ἀναμένειν τὸ πορίζεσθαι τὰ ἐπιτήδεια, ἕως τ' ἂν ἡ χρεία σε ἀναγκάσῃ. ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μᾶλλον μηχανῶ. καὶ γὰρ τεύξῃ μᾶλλον παρ' ὧν ἂν δέῃ μὴ ἀπορεῖν δοκῶν, καὶ ἔτι ἀναίτιος ἔσῃ παρὰ τοῖς σαυτοῦ στρατιώταις. ἐκ τούτου δὲ * μάλιστα καὶ ὑπὸ τῶν ἄλλων αἰδοῦς τεύξῃ. καὶ ἐάν τινας βούλῃ τῇ δυνάμει ἢ εὖ ποιῆσαι ἢ κακῶς, μᾶλλον ὑπηρετήσουσιν οἱ στρατιῶται ἔχοντες τὰ δέοντα. καὶ πιστοτέρους δὲ λόγους σάφ' ἴσθι τότε δυνήσῃ λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ ποιεῖν ἱκανὸς ὢν, καὶ εὖ καὶ κακῶς.

alias μᾶλλον.

Τὸ τέλος δή μοι ἐπήρου, τί ποτε διδάσκων στρατηγίαν φαίη με διδάσκειν. κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην, ὅτι τὰ τακτικά. καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον ὅτι οὐδὲν εἴη ὄφελος στρατηγίᾳ τακτικῶν ἄνευ τῶν ἐπιτηδείων. τί δὲ ἄνευ τοῦ ὑγιαίνειν; τί δὲ ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας; τί δὲ ἄνευ τοῦ πείθεσθαι; ὡς δὲ καταφανὲς ἐποίησας, ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπηρόμην, εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης. ἀπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς ἀνδράσι νομιζομένοις διαλέγεσθαι.

Δεῖ γὰρ δήπου στρατιάν, εἰ μέλλει πράξειν τὰ δέοντα, μήποτε παύεσθαι ἢ τοῖς πολεμίοις κακὰ πορσύνουσαν, ἢ αὑτοῖς ἀγαθά. ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι: πολὺ δὲ ἔτι ὦ παῖ χαλεπώτερον οἶκον ὅλον: πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. πλεῖστα γὰρ * ἴδια στρατιᾷ, καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα.

al. τὰ ἐνδέοντα ἐν στρατιᾷ.

καὶ

& petẽdi q̃dcunq; uellet optionẽ detulit: nulla eñ in re, dixit, apud me repulsam patieris. Respondit Musonius: Peto ut orationi meæ, quam adeo laudas, obsequaris. Nam & mihi hoc pacto maxime gratum facies, & tu ipse maiorem inde, quàm ex ulla re alia, utilitatem consequeris.

Atq; Cyr⁹ inqt: O pater, quãdo dij nõ aduersi cõsulere nobis uelint, pro uirib⁹ diligentiã adhibebo, ut mones. Memini eñ ex te olim audisse, itidẽ à dijs illũ magis exorare, q̃d uelit, queãdmodũ etiã ab hominib⁹, qui nõ cũ in difficultatib⁹ fuerit, tũ assentet: sed cũ reb⁹ secundis utit, tũ reminiscat deorũ: & amicorũ dicebas eandẽ habẽdã esse diligẽtiã. Propterea, inqt, ô fili, ob illos cult⁹ libenti⁹ uenis deos rogatur⁹ ita affect⁹, sperasq; futurũ, ut magis quæcunq; rogaueris, cõsequare, q̃d tibi consci⁹ sis nunquã eorũ cultui defuisse. Valde, inqt, ô pater, ita sum affect⁹ in deos, ut in amicissimos mihi. Quid eñ fili, Cambyses inquit, meministine illa, quæ nobis olim uidebant: fœliciores esse homines si didicere quæ dij dederint, quã si eorũ fuerint inscij: & si operant, efficere magis, quã si sint ociosi: & si diligentiã adhibuerint, quã si horũ fuerint negligentes, degere posse securius? Qui ergo tales se præstarẽt, quales par est, ita nobis uidebat bona ijs petenda esse à dijs immortalibus. Ita, inqt Cyrus, memini eqdẽ hæc abs te audisse. Eteñ necessario parendũ est orationi tuæ. Nã noui te dicere semp solitũ, haud fas esse à dijs petere, neq; uictoriam eos equestri pugna, qui equitare nõ didicissent: neq; sagittæ ignaros superare illos sagittando, qui huiusmodi peritiã callent: neq; gubernandi imperitos optare nauiũ salutẽ gubernando: neq; eos, qui frumentũ nõ seuerint, sibi precari triticũ pulcherrimũ nasci: neq; salutẽ petere, qui sibi in bello non cauerint: huiusmodi enim omnia esse præter diuina instituta. Sed qui optant illicita, dicebas consentaneum esse hos æque à dijs optata non consequi, atq; ab hominibus non adipisci, quæ illegitima rogant. *Xenophõtis lib. 1. de Cyri pædia*

Ita medius fidi⁹ ô pater, memini hoc dixisse te. Itaq; mihi q̃q; uidebat op⁹ esse maximũ pulchrè imperare, ac nũc eadẽ mihi uident, cũ ipsum impandi munus mecũ ipse consydero. Equidẽ cum ad alios homines oculos conuertens animo uoluto, quales sunt q principatũ obtineant, & quales ij q sint nobiscũ decertaturi: turpissimũ mihi uidet eiusmodi homines formidare, min⁹q; libẽter ijs obuiã ire in pugnã, q̃s ego, ut ab hisce amicis nostris incipiam, sentio existimare id esse operępretiũ, ut rex subditis antecellat cœnæ sumptu ac magnificentia, auri magnitudine, diuturniore somno, utq; omnib⁹ in reb⁹ minore degat in labore quã subditi. At ego arbitror decere principem subditis anteire, nõ dolo & ocio, sed prouidentia & industria. *Ibidem.*

Interrogas, inquit, fili, ubi abs te pecunia parari queat? Sed à quo magis consentaneum est suppeditari pecuniam, quàm ab eo, qui exercitui præsit? *Ibidem.*

Hoc insup omniũ maxime memineris, nunquã expectandũ esse, ut tũ cõmeatum pares, cũ ipsa necessitas te coëgerit: sed cũ maxime abundaueris, tũ ante indigentiã illum strue. Eteñ magis, à quibus op⁹ fuerit, eũ consequeris, cũ nõ uisus fueris indigere. Neq; pterea à tuis militib⁹ accusabere. Magis etiã ex hac te re alij uerebunt. Ac si q̃s tuis uirib⁹ uolueris uel bene afficere, uel male, obsequẽtiores es milites habitur⁹ in rerũ necessariarũ copia. Et oratione tũ uteris magis ad psuadendũ apposita, cũ maxime poteris demonstrare te idoneũ esse, qui tũ bene tũ male possis afficere. *Ibidem.*

Rogabas me ad postremũ, qua tandẽ ille doctrina diceret me scientia rei militaris ab sese institui. Cui cũ responderem, instruẽdi exercit⁹ doctrina: risisti tu qdẽ mihiq; unũq̃dq; cõferẽs enarrasti. Cui inquiẽs exercit⁹ instructio utilitati foret rei militari sine cõmeatu? sine bona ualetudine? sine sciẽtia inuentarũ artiũ circa rẽ bellicã? sine obediẽtia? Cũq; mihi ostendisses nosse aciẽ instruere, breuẽ quãdã esse partẽ rei militaris, ipseq; rogassem si qd horũ posses me docere: iussisti abeũti mihi, ut cũ his uiris dissererẽ q militares habent, & ex ijs quærerem, qua ratione hæc singillatim fierent. *Ibidem.*

Nã exercit⁹ scilicet op⁹ est, si suo munere fungi uelit, ut uacet nunquã aut nocere hostib⁹, aut prodesse sibi. Difficile est profecto hominẽ unũ alere ociosum, multo etiã difficili⁹ totã domũ: sed omniũ est difficilimũ uniuersum exercitũ ociosum alere. *Ibidem.*

καὶ οἷς ἂν λάβῃ, διαψιλέστατα χρωμένα. ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. λέγεις σὺ ἔφη πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. τὸν δέ γε ἐργάτην στρατηγὸν ἐγὼ ἔφη, ἀναδέχομαι, ἢν μήτις θεὸς βλάπτῃ, ἅμα καὶ τὰ ἐπιτήδεια ἔχοντας μάλιστα τοὺς στρατιώτας ἀποδείξειν, καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. ἀλλὰ μέντοι τό γε ἔφη μελετᾶσθαι ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας * ἄντις μοι δοκεῖ ὦ πάτερ προειπὼν ἑκάστοις, καὶ ἆθλα προτιθείς, μάλιστα ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαστα. ὥστε ὁπότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. κάλλιστα λέγεις ὦ παῖ ἔφη. τοῦτο γὰρ ποιήσας, σαφ᾽ ἴσθι, ὥσπερ χορούς τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ. ἀλλὰ μὴν ἔφη ὁ Κῦρος, * τό γ᾽ εὐθυμίαν ἐμβαλεῖν τοῖς στρατιώταις, οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. ἀλλὰ μὴν ἔφη ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν, οἷόνπερ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, οἵαπερ ὅταν τὸ θηρίον * ὁρᾷ. τὸ μὲν γὰρ πρῶτον, προθύμως οἶδ᾽ ὅτι ἔχει ὑπακουούσας· ἂν δὲ πολλάκις ψεύδηται αὐταῖς, τελευτῶσαι, οὐδ᾽ ὁπόταν ἀληθῶς ὁρῶν καλῇ, πείθονται αὐτῷ. οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει. ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβάλλων ψεύδηταί τις, τελευτῶν, οὐδ᾽ ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ, ὁ τοιοῦτος πείθειν δύναται. ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν * ἐὰν μὴ σαφῶς εἰδείη, φείδεσθαι δεῖ ὦ παῖ. ἄλλοι δὲ ἐνίοτε λέγοντες ταὐτὸ διαπράττοιεν ἄν. τὴν δὲ αὐτοῦ παρόρμησιν, εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασώζειν.

al. ἄν τινάς μοι.

al. ἄν τι τὸ πεισμένον.

alias ὁρᾷ.

alias ἄν.

Νόμοι δὲ δοκοῦσί μοι οἱ πολλοί, δύο ταῦτα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. καὶ τοίνυν κατανοῶν περὶ τούτων, ἐν πᾶσιν ὁρᾶν μοι δοκῶ τὸ * προτρέπον πείθεσθαι μάλιστα ὄν, τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾶν, τὸν δὲ ἀπειθοῦντα, ἀτιμάζειν τε καὶ κολάζειν. καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ πείθεσθαι ἔφη αὕτη ἡ ὁδός ὦ παῖ ἐστιν. ἐπὶ δὲ τὸ πολὺ κρεῖσσον τούτου, τὸ ἑκόντα πείθεσθαι, ἄλλη ἐστὶ συντομωτέρα ὁδός. ὃν γὰρ ἂν ἡγήσωνται περὶ τὰ συμφέροντα ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι, ὑπερηδέως πείθονται. γνοίης δ᾽ ἂν ὅτι τοῦθ᾽ οὕτως ἔχει ἔν τε ἄλλοις πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν. ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ, τι χρὴ ποιεῖν καλοῦσι. καὶ ἐν θαλάσσῃ ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται.

al. πειστήριον.

φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος, πῶς ἄντις τῷ ὄντι γένοιτο; δῆλον ὅτι ἔφη ὦ παῖ, ὅσα μὲν ἐστὶ μαθόντα εἰδέναι, μαθὼν ἂν ὥσπερ τὰ τακτικὰ ἔμαθες. ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν εἴης. ὅ, τι δὲ γνοίης, βέλτιον ἂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου, ὡς πραχθείη. καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρός, ἢ τὸ ἀμελεῖν. ἀλλὰ μέν τοι ἐπί γε τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ὅπερ ἐμοὶ ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι, δήλον ὅτι ἡ αὐτὴ ὁδός, ἥπερ εἴτις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. εὖ γὰρ οἶμαι δεῖν ποιοῦντα φανερὸν εἶναι. ἀλλὰ τοῦτο μὲν ἔφη ὦ παῖ χαλεπόν, τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν, οὓς ἄντις θέλῃ. τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακόν, καὶ συνεπικουρεῖν * πρόθυμον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον, μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον, ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτα πῶς δεῖ * παρομαρτεῖν. καὶ ἐπὶ τῶν πράξεων δέ, ἢν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα, δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι. ἢν δὲ χειμών, τοῦ ψύχους· ἢν δὲ δεῖ μοχθεῖν, τῶν πόνων. πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. λέγεις * σὺ ἔφη ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων μᾶλλον εἶναι; * ἐγὼ γὰρ οὖν ἔφη. θάρρει μέντοι ἔφη ὦ παῖ. εὖ γὰρ ἴσθι τοῦτο, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται, ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου. ἀλλ᾽ ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι, καὶ τὸ αὐτὸν εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ, τι ἂν ποτε ποιῇ. ὁπότε δὲ ὦ πάτερ ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δέ, πονεῖν δέ, δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δὲ ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα σωφρονεῖν ἄντις σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; ναὶ μὰ Δί᾽ ἔφη, εἰ μέλλοι γε πλέον ἕξειν. εἰ δὲ μή, ἔγωγ᾽ ἂν ὅσῳ οἰοίμην

al. προθυμούμενον.

al. μᾶλλον συμπαρομαρτεῖν.

alias σύ.

alias λέγω.

Nam & plurima sunt in exercitu, quæ uescuntur: & quæ à minimis incipiunt, & quæ ijs quæ ceperint, utantur affluentissimè. Itaq; exercitum uacare nunquam decet. Dicis tu, Cyrus inquit, ô pater, ut mihi uideor intelligere, quemadmodum ocio suo agricola est inutilis, ita imperatoris nullam esse utilitatem si uacarit. Illum autẽ imperatorem ego, inquit, admitto, qui nisi quis deus aduersetur, opera sua simul & commeatum militibus maximè redditurus, & corpora sit paraturus quàm optima. Sed ob meditationes rerum omnium bellicarum, ut mihi pater uidetur, si ludos aliquos pronunciauero singulis, ac præmia proposuero, eos reddam exercitatos quã optimè, ut ad singula, cũ opus fuerit, eis præstò utar. Pulcherrimè, inquit, dicis fili: hoc enĩ si feceris, certò scito militares te ordines semper spectaturum ueluti choros conuenienter suum officium meditari. Atqui ad reddendum milites alacres & strenuos, nihil mihi uidetur satius, inquit Cyrus, quã spem inijcere hominibus. Verũ, Cambyses inquit, ô fili, hoc huiusmodi est, qualis si quis in uenatione canes hortet semper eadem appellatione, qua solet ubi feram aspicit. Nam primũ alacriter parẽt: quod si eas fefellerit sæpius, ad postremũ neq; quando feram uere intuens uocarit, ei obediũt. Ita etiã de spe accidit: si qs frequenter bonorũ expectationes inijciẽs fefellerit, uir huiusmodi ne tũ qdẽ potest psuadere cũ spem uerã attulerit. At nõ ea debet, fili, is dicere quæ minus certò norit. Verũ alij hæc quandoq; dicendo pficiant. Adhortationem aũt suam in maxima pericula seruet quàm fidelissime opus est.

Leges autem plures hæc duo mihi uidentur maxime docere, & imperare, & imperium pati. Itaq; de his cogitans in omnibus, mihi uidere uideor obedientiam in exhortatione maxime consistere, quæ obedientem laudat & honorat, inobedientem uero ignominia supplicioq; afficit. Vt necessitate adducti pareant, fili, hæc est uia. Sed quod longe melius est, ut ultro pareant, alia est uia compendiosior. Quem enim seipsis prudentiorem duxerint circa suam ipsorum utilitatem, huic homines perlibenter obediunt. Ac noris hoc ita habere cum in alijs multis, tum in ægrotis, quod alacriter eos uocant, qui iussuri sunt facienda: & in mari, quod gubernatoribus, qui unà nauigant, audiunt. *Ibidẽ paulo post*

Sed de futura utilitate quo pacto quis prudens uere fuerit? Perspicuũ est, inquit, fili, ea te discendo assequuturum, quæcunq; potes per disciplinam cognoscere, quemadmodum instruere aciem didicisti. Quæcunq; neq; per disciplinam, neq; per humanam prouidentiam prospici possunt, de hisce tu per uaticinium deos consulens, sis alijs prudentior, p̃sertim si quod noueris factu melius, curaueris quonam id modo agendum sit. Etenim curare quod opus sit, prudentioris uiri est, quàm negligere. Vt autem quis ametur à subditis, id quod mihi uidetur esse maximũ, eadem est ratio, quæ si quis amicis charus esse cupiat. Oportere enim puto ut beneficiũ appareat. Sed hoc inquit, fili, difficile est, ut in eos semp beneficiũ conferre quis possit, in quos uelit. At illud certe potest, ut unà cum ijs lætetur, quibus aliquid boni contigerit: & unà tristetur, si quid acciderit mali: & opem ferre alacriter studeat eorum difficultatibus, & præcaueat ne quid errent, & enitatur prouidere ne quid item decipiantur, quibus in rebus magis se quodam modo socium debet præstare. Atq; in rebus gerendis, si quidem in æstate fuerit, debet imperator tolerare plus solis, & id quidem non occulte: in hyeme uero plus frigoris, & in laborando plus laboris: hæc enim omnia conducunt ad amorem subditorum. Dicis tu quidem, inquit Cyrus, tolerantiorem esse imperatorẽ ad omnia oportere, quàm subditos? Ita plane. Confide fili, ac scito similia corpora imperatoris ac priuati hominis, ijsdem laboribus nõ similiter affici. Honos enim labores imperatori leuiores efficit, præsertim quod intelligit in hominum esse oculis quicquid faciat. Sed ubi habuerint milites cõmeatũ, ijdemq; bene ualeant, & labores perferre possint, sintq; bellicis artibus exercitati, cupiantq; uiri apparere fortissimi, libẽtiusq; obire impata uelint quã detrectare, nõne qs tibi pater sape uideat, si uoluerit quã celerrime cũ hostib⁹ manũ conserere? Ita, inquit, me hercule, si meliorẽ cõditionẽ sit habitur⁹. Sin id min⁹, quo me censebo meli *Ibidem.*

μὴν καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίονας ἔχειν, τόσῳ δ' ἂν μᾶλλον φυλακτέον μὴν, ὥσπερ καὶ τὰ ἄλλα, ἃ ἂν οἰώμεθα πλείστου ἄξια ἡμῖν εἶναι. ταῦτα πειρώμεθα, ὡς ἐν ἰσχυροτάτῳ ποιεῖσθαι. πλέον δ' ἔχειν ὦ πάτερ πολεμίων, πῶς ἄν τις δύναιτο μάλιστα; οὐ μὰ Δί' ἔφη, οὐκέτι τοῦτο ὦ παῖ φαῦλον οὐδὲ ἁπλοῦν ἔργον ἐρωτᾷς. ἀλλ' εὖ ἴσθι ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι, καὶ κρυψίνουν, καὶ δολερὸν, καὶ ἀπατεῶνα, καὶ κλέπτην, καὶ ἅρπαγα, καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. καὶ ὁ Κῦρος ἐπιγελάσας, εἶπεν: ὦ Ἡράκλεις. οἷον * αὖ λέγεις ὦ πάτερ δεῖν ἄνδρα με γενέσθαι. οἷος ἂν ἔφη ὦ παῖ δικαιότατός τε καὶ νομώτατος ἀνὴρ εἴης. πῶς μὴν ἔφη παῖδας ὄντας ἡμᾶς καὶ ἐφήβους ἐναντία τούτων ἐδιδάσκετε. ναὶ μὰ Δί' ἔφη καὶ νῦν γε πρὸς τοὺς φίλους, καὶ τοὺς πολίτας.

aliàs σύ.

Τοῦ αὐτοῦ ἐν γ΄. ἀπομνημονευμάτων.

Βασιλεῖς δὲ καὶ ἄρχοντας, οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας, οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους, οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. ὁπότε γάρ τις ὁμολογήσειε, τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ,τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπεδείκνυεν ἔν τε νηῒ, τὸν μὲν ἐπιστάμενον ἄρχοντα, τὸν δὲ ναύκληρον, καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηῒ πάντας, πειθομένους τῷ ἐπισταμένῳ, καὶ ἐν γεωργίᾳ τοὺς κεκτημένους ἀγρούς, καὶ ἐν νόσῳ τοὺς νοσοῦντας, καὶ ἐν σωμασκίᾳ τοὺς σωμασκοῦντας, καὶ τοὺς ἄλλους πάντας, οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ * ἡγῶνται ἐπίστασθαι, ἐπιμελεῖσθαι, εἰ δὲ μὴ, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν. ἐν δὲ ταλασίᾳ, καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν, διὰ τὸ τὰς μὲν, εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν: τοὺς δὲ, μὴ εἰδέναι. εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς * ἔχουσι. καὶ πῶς ἂν ἔφη ἐξείη μὴ πείθεσθαι, ἐπικειμένης † δὲ ζημίας; ἐάν τις τῷ εὖ λέγοντι * (μὴ πείθηται). ἐν ᾧ γὰρ ἄν τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι,) ἁμαρτήσεται δήπου: ἁμαρτάνων δὲ, ζημιωθήσεται. εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι τὸν εὖ φρονοῦντα. τὸν δὲ ἀποκτείναντα ἔφη, τοὺς κρατίστους τῶν συμμάχων, οἴει ἀζήμιον γίγνεσθαι, ἢ ὡς ἔτυχε ζημιοῦσθαι; πότερα γὰρ ἂν μᾶλλον οἴει σώζεσθαι τὸν ταῦτα ποιοῦντα, ἢ οὕτως, καὶ τάχισ' ἂν ἀπολεῖσθαι;

al. ἐπίστωνται.

al. λέγουσι.
aliàs τι.
** Aliàs absunt inclusa parenthesi.*

ΠΕΡΙ ΨΟΓΟΥ ΤΗΣ ΤΥΡΑΝΝΙΔΟΣ, ΛΟΓΟΣ μζ΄.

Εὐριπίδου.

ΟΥΔΕΝ τυράννου δυσμενέστερον πόλει.
ὅπου τὸ μὲν πρώτιστον, οὐκ εἰσὶ νόμοι
κοινοί. κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος.

Τυραννίδος δὲ * ἣν πάλαι θρυλλουμένης,
τὸ μὲν πρόσωπον ἡδὺ, τἀνδόμοισι δὲ,
λυπηρά. τίς γὰρ μακάριος, τίς εὐτυχὴς,
ὅστις δεδοικὼς καὶ * περιβλέπων βίον,
αἰῶνα τείνει; δημότης ἂν εὐτυχὴς
ζῆν ἂν θέλοιμι μᾶλλον, ἢ τύραννος ὢν,
ᾧ τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν.
ἐσθλοὺς δὲ μισεῖν κατθανεῖν φοβούμενος.

al. ἣ μάτην αἰνουμένης.
al. παραβλέπων.

Κακῶς δ' πάντες οἱ ὄλοιντο τυραννίδι
χαίρουσιν, ὀλίγη τ' ἐν πόλει μοναρχίᾳ.
τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον.
κἂν μίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται.

Ἡ γὰρ τυραννὶς, πάντοθεν τοξεύεται
δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι.

Οὔτ'

orem,& meos item meliores,cò cauebo magis:quemadmodũ alijs in rebus, quas nobis plurimi ducimus,has opportunè ac tutò facere studemus. Meliorem habere pater conditionẽ quã hostes,qui possit quis maxime? Non minimũ,inquit,fili medius fidius,neq; simplex opus interrogas.At noris, qui hoc facturus sit & insidiatorem esse oportere,& dissimulatorẽ, & dolosum,& deceptorem,& furem,& raptorem,& omni in re hostibus præualere. Et Cyrus arridens,inquit:O Hercules,qualem me dicis pater uirũ esse oportere? Qualis,inquit,fili,& iustissimus sis & legum obseruantissimus.Quomodo tamen, inquit,cũ pueritiã pubertatemq; ageremus,his contraria docebatis? Ita,inqt, per Iouem.Et eadem nunc quoq; erga amicos ac ciueis.

Reges aũt & principes non illos esse,qui sceptra ferunt,dicebat: nec illos qui aut à quocunq; contingit electi,aut sorte,aut uiolentia,aut deceptione as sumpti fuerunt: sed qui regere sciant.Cum eñ quisq; fateatur, principis quidem propriũ esse iubere quid oporteat facere,subditi uero parere. Ostendebat & in naui illum principem esse,qui sciat:patronũ uero nauis,& alios nautas omnes obediẽtes scienti.Ac in agricultura quicunq; habeant agros, & in corporum exercitatione qui se exercent,cæterosq; omnes qui possideant aliquid quod indigeat cura, si illi quidem scire putent,de eis curam habent: sin minus,scientibus non modo cũ adsint, parent, sed etiã absentes inuocant, ut illorũ consilio,quæ oporteat,agant.In texendo uero mulieres quoq; monstrabat maritis dominari,propterea quod illæ quidẽ artẽ texendi sciant,illi autẽ ignorent.Quod si quis ad hæc opponeret,tyranno licere nõ parere illis qui recte dicant.Et quomodo liceret nõ parere,inquit,cũ damnũ peccantibus impositũ sit? Si quisquã eñ nõ illi pareret,qui recte dicat,peccet necesse est: qui uero peccat,necessariò damnaṫ. Quod si quis diceret, tyranno licere etiã interficere illũ qui recte sapit.Eum itaq;,aiebat,qui ualentiores suos socios interimat,putásne indemnẽ fore? aut in minimis damnari? Vtrũ eñ arbitraris saluũ manere,illum qui huiuscemodi agat,an hoc modo citius perimi?

Eiusdem in 3.li. de factis & dictis Socratis.

DE VITVPERIO TYRANNIDIS, SERMO XLVII.

Euripidis in supplicibus.

Nihil quàm tyrannus infensius est ciuitati,
In qua primum quidem non positæ sunt leges
Communes: dominatur aũt unus penes cuius arbitrium lex est.

Eiusdẽ in Ione.

Tyrannidis autem iam olim celebratæ
Vultus quidem est suauis: domestica autem
Tristia sunt.Quis enim beatus aut fœlix esset,
Qui metuens,& negligens uitam suam
Aetatem ducit? Popularis equidem fortunatus
Viuere potius uelim,quàm tyrannus existens,
Cui amicos habere improbos uolupe est,
Et odisse malos de morte sibi timentes.
Male pereant omnes,qui tyrannide
Gaudent,& paucorum imperio in ciuitate.
Libertatis enim nomen omnibus præferendum est.
Et si quis exiguum habeat in illa,multa tamen habere sibi uidetur.
Tyrannis enim undiq; appetitur
A grauiter amantibus,quare obseruari debet.

Οὔτ' εἰκὸς ἄρχειν, οὔτ' ἐχρῆν εἶναι νόμον,
τύραννον εἶναι· μωρία δὲ καὶ θέλειν,
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

Φεῦ, φεῦ, τὰ μεγάλα, μεγάλα καὶ πάσχει κακά.

Τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς
τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον
φίλους τε προδοῦν, καὶ κατακτανεῖν χρεών.
πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.

Μενάνδρου. Ὦ τρισάθλιοι, τί πλέον ἔχουσι τῶν ἄλλων; βίον
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια
τηροῦντες; οἱ τὰς ἀκροπόλεις κεκτημένοι,
εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥᾳδίως
ἐγχειρίδιον ἔχοντας αὐτοῖς προσιέναι,
οἵαν δίκην διδόασιν.

Διονυσίου τυράννου. Ἡ γὰρ τυραννίς, ἀδικίας μήτηρ ἔφυ.

Ὦ πλοῦτε καὶ τυραννίς, καὶ τέχνη τέχνης
Εὐριπίδου. ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

Σοφοκλέους. Ὕβρις φυτεύει τύραννον, ὕβρις
malim ἢ. † ἢ πολλῶν ὑπερπλήσθῃ * μάταν.
* malim κακῶν.

Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.

Οὐ γάρ τις ἂν δύναιτο πρωρατὴς στρατοῦ,
τοῖς πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν.
ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
οὔτ' ἐξ ὄμβρων οὔτ' ἐπαυχμήσας φίλος
βροτοῖς ἀπελθὼν ἐν δίκῃ λόγον ὄφλει.
πῶς δῆτ' ἐγὼ θνητός γ' ἂν ἐκ θνητῆς τε φὺς
Διὸς γένοιμην τὸ φρονεῖν σοφώτερος.

Φαβωρίνου. Ὥσπερ γὰρ τὰ θηρία τὴν σαγήνην ὑποχωροῦντα εἰς ἐλάττω τόπον συνάγεται, οὕτω δὴ καὶ τοὺς τυράννους ἔστιν ἰδεῖν ὑποχωροῦντας. ἐκ μὲν τῆς Ἑλλάδος, εἰς τὴν πόλιν· ἐκ δὲ τῆς πόλεως, εἰς τὴν ἀκρόπολιν· εἶτ' εἰς τὴν οἰκίαν· εἶτ' εἰς τὸ δωμάτιον. εἶτα δύναται καταφυγεῖν ἄνθρωπος θεὸν φεύγων; ὅποι γὰρ ἂν καταφύγῃ, ἡ δίκη αὐτὸν εὑρήσει.

Δημοσθένους. Καὶ ὅλως, ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς.

Ἐκ τῆς Φαλάρειδος. Συγγνώμην ἔχω σοι τῶν παραινέσεων. τύραννος γὰρ οὐ γεγονώς, τυράννῳ συμβουλεύεις καταθέσθαι τὴν τυραννίδα, οὐκ εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν ἀρχὴν ἐπισφαλέστερόν ἐστι, τὸ καταθέσθαι.

Ἀναξιμένης ἐρωτηθεὶς τί ἀκοινώνητόν ἐστιν, εἶπε τυραννίς.

malim μεστόν Ἀντίγονος πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν· εἰ ᾔδεις ἔφη ὦ μῆτερ ὅσων κακῶν * μέγιστόν ἐστι τουτὶ τὸ ῥάκος, δείξας τὸ διάδημα, οὐκ ἂν οὐδὲ κοπρείας κείμενον αὐτὸ ἐβάστασας.

Πτολεμαῖος ὁ ἐπικληθεὶς Φιλάδελφος, ἔλεγε τὴν τυραννίδα ἄλλα τε δύσκολα ἔχειν, καὶ τὸ μέγιστον, τὸ ἀναγκάζεσθαι τοὺς μηδὲν ἀδικοῦντας κτείνειν, τοῦ συμφέροντος ἕνεκα.

Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον, οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ· ἀληθῆ λέγεις εἶπεν. εἰ γὰρ ὠφέλησο ἀπεπαύσω ἂν τῆς τυραννίδος, ὥσπερ ἰδρᾶς νόσου.

Δημοσθένους. Βασιλεὺς γὰρ καὶ τύραννος ἅπας, ἐχθρὸν ἐλευθερίᾳ καὶ νόμοις ἐναντίον.

Αἰλιανοῦ. Φρύγιος οὗτος λόγος. ἔστι γὰρ Αἰσώπου τοῦ Φρυγός. ὁ δὲ λόγος φησὶ τὴν ὗν, ἐὰν αὐτῆς τις ἅψηται, βοᾶν. καὶ μάλα γε εἰκότως. οὔτε γὰρ ἔρια ἔχει ὗς, οὔτε γάλα, οὔτε ἄλλο τι, πλὴν τῶν κρεῶν. παραχρῆμα οὖν οἴεται ἀπολεῖν τὸν θάνατον, εἰδυῖα εἰς ὅτι τὸ χρήσιμον αὐτῇ πέφυκε λυσιτελὲς εἶναι. ἐοίκασι δὲ τῇ ὑῒ τῇ Αἰσώπου οἱ τύραννοι ὑποπτεύοντες καὶ δεδιότες πάντα.

ἴσασι

Nec imperare conuenit, nec legem oportebat esse, de eligendo
Tyranno: stultum enim est desyderare illum,
Qui solus uult similibus imperare.

Papę, quàm quæ magna sunt etiã magnis malis implicantur.

Nihil æquè miserum est ac tyrannis,
Quamuis eam extremè homines admirentur.
Nam cum amicos uastare, & occidere oportet,
Vehementer metuendum est tyrannis, ne quid aduersus ipsos agant.

O ter miseri: quid enim plus alijs habent? Vitam *Menandri.*
Quàm degunt miseram qui munimenta
Custodiunt, & qui custodiunt arces.
Quod si cunctos tam facile suspicantur
Pugionibus armatos accedere,
Qualem existimandum est eos pœnam dare.

Tyrannis enim mater est iniustitiæ. *Dionysij tyrãni*

O diuitiæ, & tyrannis, & ars arti *aliàs Euripidis.*
Præstans, propter opes, quas multi æmulantur,
Quanta apud uos seruatur inuidia?

Iniuria creat tyrannum, iniuria *Sophodis.*
Quæ plurimis redundat malis.

Tyrannum esse pium non facile est.

Non potest ullus dux in exercitu
Omnibus ex æquo satis gratificari.
Nam neq; Iupiter, qui me longè superior est regno,
Siue pluerit, siue siccitatem reliquerit, gratus
Omnibus foret hominibus, si iure cum eis disceptaret.
Quomodo igitur ego qui mortalis sum, & matre satus mortali,
Prudentia Iouem superare possem?

Quemadmodũ em̃ feræ retia declinantes in angustiorẽ locũ se recipiunt: ita & tyrannos est uidere recedentes ex Græcia in ciuitatẽ, ex ciuitate in arcẽ, deinde in domũ, postremò in cubiculũ. An fieri tandem potest ut quisquam Deũ effugiat? Certè quocunq; fugerit, depræhendetur à iustitia. *Phauorini.*

In uniuersum sanè non est quod ulla respub. tyrannidi se credat. *Demosthenis.*

Quod admonitionem tuam attinet, ignosco tibi. Cum enim tyrannus nunquã fueris, consulis tyranno tyrannidem exuere, nescius quanto periculosius sit ipsam deponere, quàm ab initio asciscere. *Ex epistola Phalaridis.*

Anaximenes interrogatus quid ad familiaritatẽ difficile esset, tyrannis, dixit.

Antigonus ad uetulam quandã, quæ fœlicitatẽ eius extollebat: Si nosses, dixit, ô mater, quantis malis hic panniculus esset plenus (ostenso diademate) ne in sterquilinio quidem iacentem tolleres.

Ptolemæus, cui cognomẽ fuit Philadelph⁹, dicebat in tyrãnide cũ alia multa esse grauia, tũ illud maxime q̃d immeritos occidere cogatur utilitatis suæ gratia.

Cum Dionysius exprobraret Aristippo, quod nihil utilitatis ab eo cepisset: Verum ais, dixit, si quid enim tibi profuissem, non secus à tyrannide, quàm à comitiali morbo liberari uoluisses.

Omnis enim rex & tyrannus, hostes sunt libertatis, ac legibus aduersantur. *Demosthenis.*

Fabula quædam Phrygia ab Aesopo Phryge profecta, suem ait, si quis eam tetigerit, clamare: idq; merito. Nec enim uellera sus habet, neque lac, nec aliud quiddam præter carnes. Statim igitur somniare mortem, cum sciat quibus usibus præstandis usurpari possit. Sunt aũt sui similes tyrãni, qui omnia suspicanť & metuunt. *Aeliani.*

ἴσασι γὰρ ὅτι ὥσπερ αἱ ὗς, ὀφείλουσι καὶ ἐκεῖνοι τὴν ψυχὴν πᾶσι.

Ἰσοκράτους.

Τοὺς μὲν ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα· καὶ μάλιστα μὲν, τὸ μὴ τρυφᾷν· ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην βουλεύεσθαι τὴν ἡμέραν. ἔπειθ' οἱ νόμοι καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν. ἔτι δὲ ἡ παῤῥησία. *

Pars posterior in sequenti Phalaridis epistola videtur huc pertinere.

Φαλάριδος.

Ὁ γὰρ ἀμφοτέρων πεπειραμένος, τυραννηθῆναι μᾶλλον εὐξαίμην ἂν ἢ τυραννῆσαι. ὁ μὲν γὰρ ἕνα φοβεῖται, τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος τὸν τύραννον. ὁ τύραννος δὲ, τοὺς ἔξωθεν ἐπιβουλεύοντας, καὶ δι' οὓς σώζεται. καὶ τὸ † μὴ φανερῶς ἐξεῖναι τοὺς φίλους ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις. πρὸς δὲ τούτοις, καὶ τῶν ποιητῶν τινας τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοιπότας. ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίγνεσθαι. τοῖς δὲ τυράννοις, οὐδὲν ὑπάρχει τοιοῦτον.

† malim auferri negationem ut referretur ad privatos quemadmodū sequentia

Ἐκ τῶν Διογένους διατριβῶν.

Δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων, ὁ μὲν βίος ἀμείνων· ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος. οἱ δ' αὖ κακῶς ζῶντες, τὸν μὲν βίον δυσχερέστερον φέρουσι· τὸν δὲ θάνατον, ἥδιον προσδέχονται. τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα, ἢ τοῖς ἄλλοις. ζῶσι μὲν γὰρ πολὺ * ἀδεέστερον, τῶν πάνυ ἐπιθυμούντων τεθνάναι. τὸν δὲ θάνατον οὕτω δεδοίκασιν, ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ.

* al. [illegible], ego malim ἀηδέστερον.

Ἡροδότου.

Πῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι † ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειεν. ἐγγίνεται μὲν γὰρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν· φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα, ἔχει πᾶσαν κακότητα. τὰ μὲν γὰρ, ὕβρει κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα· τὰ δὲ, φθόνῳ. καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου, ἐς τοὺς πολιήτας πέφυκε. φθονέει γὰρ τοῖσιν ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι. χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν. διαβολὰς δὲ ἄριστον † ἐνδέκεσθαι. ἀναρμοστότατον πάντων. ἤν τε γὰρ αὐτὸν μετρίως θαυμάζῃς, * ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται· ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπείαν ἡγεόμενος. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων, νόμαιά τε κινέει πάτρια, καὶ βιᾶται γυναῖκας, κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον, πρῶτα μὲν οὔνομα πάντων κάλλιστον ἔχει * ἰσοτιμίην. δεύτερα δὲ τούτων, τῶν ὁ μούναρχος ποιέει οὐδέν. πάλῳ γὰρ μὲν ἀρχὰς ἄρχει· ὑπεύθυνον δὲ ἀρχὴν ἔχει. βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι ὦν γνώμην, μετέντας ἡμέας μουναρχίην, τὸ πλῆθος ἀέξειν. ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα.

† al. ἀνεύθυνος.
al. ἐνδέκεσθαι, ἀναρμοστότατον δὲ πάντων.
* al. ἀπέχθεται.
al. ἰσονομίην.

Ξενοφῶντος ἐκ τοῦ Ἱέρωνος.

Σιμωνίδης ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον· σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης. ἆρ' ἄν μοι ἐθελήσαις ὦ Ἱέρων διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; καὶ ποῖα ταῦτ' ἐστὶν ἔφη ὁ Ἱέρων, ὁποῖα ἂν ἐγὼ βέλτιον εἰδείην σου, οὕτως ὄντος σοφοῦ ἀνδρός; οἶδά σε ἔφη ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον ὄντα. εἰκὸς οὖν ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ, πῇ διαφέρει ὁ τυραννικός τε καὶ ἰδιωτικὸς βίος, εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις. τί οὖν ἔφη ὁ Ἱέρων, οὐχὶ καὶ σὺ, ἐπεὶ νῦν ἔτι ἰδιώτης εἶ, * ὑπομνήσειάς με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ. οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν, τὰ διαφέροντα ἐν ἑκατέρῳ. οὕτω δὴ ὁ Σιμωνίδης εἶπε. τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε ὦ Ἱέρων δοκῶ μοι καταμεμαθηκέναι, διὰ μὲν τῶν ὀφθαλμῶν, ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους· διὰ δὲ τῶν ὤτων, ἀκούσμασι· διὰ δὲ τῶν ῥινῶν, ὀσμαῖς· διὰ δὲ τοῦ στόματος, σίτοις καὶ ποτοῖς· τὰ δὲ ἀφροδίσια, δι' ὧν δὴ πάντες ἐπιστάμεθα. τὰ δὲ ψύχη καὶ θάλπη, καὶ σκληρὰ (* καὶ στρυφνὰ,) καὶ μαλθακὰ, καὶ βαρέα καὶ κοῦφα, ὅλῳ τῷ σώματί μοι δοκοῦμεν ἔφη κρίνοντες, καὶ ἥδεσθαι καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς ἀγαθοῖς τε καὶ κακοῖς. ἐστὶ μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαί τε καὶ λυπεῖσθαι· ἐστὶ δὲ ὅτε κοινῇ διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος. τῷ δὲ ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ αἰσθάνεσθαι, ὅπως δὲ, καὶ ᾧ τινι, καὶ ὁπότε, ταῦτα μᾶλλον πως ἔφη δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν δὴ ἴσως τοῦτο θαυμαστὸν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται, ἢ τὰ ἐν τῷ ὕπνῳ. πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρίνατο. ἐγὼ μὲν τοίνυν ἔφη ὦ Σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σὺ, οὐδ' ὅπως ἂν αἴσθοιτό τινος ἄλλου ὁ τύραννος ἔχοιμ' ἂν εἰπεῖν. ὥστε μέχρι γε τούτου, οὐκ οἶδα ὅ,τι διαφέρει ὁ τυραννικὸς τοῦ ἰδιωτικοῦ βίου. καὶ ὁ Σιμωνίδης εἶπεν. ἀλλὰ ἐν μὲν

al. ὑπομνήσεις.
* καὶ στρυφνά, nō legitur alias.

τούτοις δὲ

Sciunt quod sicuti sues, ita & ipsi uitam omnibus debeant.

Hoies priuatos multa sunt q̃ instituũt: & pſertim nõ deliciari: sed cogi de uita q̃ opti me instituẽda cõsulere in iuuẽtute. Deinde leges qb⁹ singuli regũt. Ite dicẽdi libertas *Isocratis.*

Ego eñi q expt⁹ utrumq; sum, tyrãnidi malim subesse, quã pręesse. Subdit⁹ eñi aliorũ malorũ secur⁹ unũ tyrannũ metuit: Tyrãn⁹ aũt, eos q foris insidiant, quinetiã illos p quos seruat. Sed neq; amicis licet manifeste ipsum increpare, nec inimicis inuicẽ ob delicta insidias struere. Ad hæc ex priscis poëtis nonnulli præcepta reliquerunt de institutione uitæ. Itaq; ex hisce omnibus consentaneum est priuatos fore meliores: Tyrannis contra nulla est talis commoditas. *Phalaridis.*

Hominib⁹ fortunatis uita uidet esse melior, & idcirco mors eis est molestior. Infortunati cõtra, uitã ferunt ægrius, mortẽ libenti⁹ suscipiunt. Tyrannis aũt utrunq; difficilius est, quã reliquis. Viuunt eñi multò iniucundius quã illi, qui mori uehemẽter expetunt: mortem uero tam timent, quã qui iucundissimam agunt uitam. *Ex Diogenis dia tribus.*

Quid igit nobis op⁹ monarchia, quã sustulimus? In qua licet pro libidine agere omnia impune: quę uirũ quãuis optimũ, cũ in ea posit⁹ est, extra cõsuetos sensus agit. Quippe cũ pter inuidiã ab initio ingenitã homini, ingeneret ex pſentib⁹ bonis insolentia: q̃ duo mala omne gen⁹ malitiæ absoluũt. Multa eñi & iniqua facinora cõmittit, partim insolẽtia plen⁹, partim ob inuidiã. At eñi tyrann⁹, ut q omnia bona obtinet, debebat sine liuore esse. Sed planè cõtrario modo in populares suos affectus est. Nã optimis qbusq;, q superstites sunt atq; uiuunt, inuidet, pessimis ciuiũ delectat. Et q̃d indecentissimũ est, criminationes admittere optimũ putat. Nã siue admireris eũ modestè, offendit, quod nõ effuse hoc facias: siue effuse ipsum colas, iterũ ægre fert, quasi assenteris ei. Et ut dicam quę maxima sunt, iura patrię labefactat, fœminis uim adfert, indemnatos interimit. At cũ dominat multitudo, in primis nomẽ obtinet omniũ pulcherrimũ, isonomiã, id est, iuris æquabilitatẽ. Deinde nihil eorũ agit q̃ monarch⁹, id est, unic⁹ princeps. Magistrat⁹ eñi tũ sorte deligunt, tũ administratorũ rationẽ reddũt: omnia deniq; cõsilia in cõmune referũt. Itaq; sentio relicta monarchia multitudinis statũ nobis esse promouendũ. Et eñi in multitudine omnia insunt. *Herodoti lib 3.*

Simonides poëta die quodã accessit ad Hieronẽ tyrannũ, cumq; ociũ fortè esset utrisq;, Simonides hunc in modum locutus est: Vellésne mihi explicare Hieron, ea quæ probabilius est te melius nosse, quã ego noui? Et quæ nam, inquit Hieron, sunt ista, quæ mihi notiora possint esse, quã tibi, uiro tam erudito, tantaq; sapientia prædito? Noui, inqt, te cũ esses priuatus, & nunc regno potientẽ noui. Cũ igit utrumq; uitæ genus sis exptus, uerisimile est hinc te nosse meli⁹ me, q̃d discriminis sit inter uitã regiã & priuatã, quantũ attinet ad ea, quæ uel uoluptatẽ, uel molestiã afferunt hominib⁹. Quin tu igit, inqt Hieron, quoniam nũc adhuc sanè priuatã agis uitã, commonefacis me cõmodorũ & incõmodorũ, quæ in priuata accidunt uita? Sic eñi tibi ut arbitror, maxime potero, q̃d inter hanc & illã intersit, explicare. Ad quæ hunc in modũ Simonides respõdit: Equidẽ mihi uideor hoc animaduertisse ô Hierõ, homines priuatã agentes uitã, uel uoluptate uel dolore affici: p oculos q̃dẽ, ijs reb⁹ quę cernuntur: per aures autẽ, ijs quæ audiunt: per nares itẽ, ijs quæ olfactu sentiuntur: per os uero tum esculentis, tum poculis. Ea porrò quæ spectant ad rem Veneream, his corporis partibus sentiuntur, quas nouimus omnes. Tum frigida calidaq;, duraq; & mollia, leuia & grauia, toto corpore uidemur, inqt, dijudicare, atq; ex illorũ sensu uel delectationẽ, uel molestiã percipere. Porrò malis ac bonis interdũ per ipsum animũ, ut mihi uidetur, delectamur: interdũ etiã offendimur: nõnunquã per utrumq; cõmuniter, hoc est p animã simul & p corpus. Iam mihi uideor utcunq; intelligere q̃d somno delectamur: uerũ id quo pacto, aut p q̃d, aut quãdo fiat, hæc mihi uideor nescire poti⁹, quã scire, quomodo sese habeãt. Nec id fortè mirãdũ, si q̃ uigilãtib⁹ nobis accidũt, sensum sui pbẽt euidẽtiorẽ, quã ea q̃ in somnis obueniũt. Ad hæc Hierõ hũc in modũ respõdit. Ego sanè ô Simonides haudquaquã dicere possim, quomodo rex sentire quicquã aliud posset pter hæc q̃ cõmemorasti. Itaq; hactenus sanè nõ intelligo, qua re uita regia differat à priuata. Tum Simonides: atqui in his tamen *Xenophontis in Hierone statim ab initio.*

ἐ, nō legitur al. τοῖς δὲ διαφόροις ἂν, * ἐ πολλαπλάσια μὲν δι' ἑκάστου τούτων εὐφραίνεται. πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. καὶ ὁ ἱέρων εἶπεν, οὐχ οὕτως ἔχει ταῦτα. ἀλλ' εὖ ἴσθι, ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι τῶν μετρίως διαγόντων * ἰδιωτῶν. πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται.

alias ἰδιωτῶν.

ἄπιστα ἔφη λέγεις ὁ σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτα εἶχε, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους; ὅτι ναὶ μὰ δί' ἔφη ὁ ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων, σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν, ὡς ἀληθῆ λέγω.

Πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασιν εὑρίσκω λογιζόμενος μειονεκτοῦντας τοὺς τυράννους. ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα. ἐπὶ δὲ τούτων ἕκαστα, οἱ μὲν ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις, ἃς ἂν βούλωνται, θεαμάτων ἕνεκα, καὶ εἰς τὰς κοινὰς πανηγύρεις. οἱ δὲ τύραννοι, οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐτοῖς ἀσφαλές.

Ἀλλ' ἄρα ἔρχεται αὐτοῖς τὰ τοιαῦτα, καὶ οἴκοι μένουσιν. ναὶ μὰ δία ὦ σιμωνίδη, ὀλίγα γε τῶν πολλῶν, καὶ ταῦτα τοιαῦτα ὄντα, οὕτω τίμια πωλεῖται τοῖς τυράννοις. καὶ ὁ σιμωνίδης εἶπεν· ἀλλ' εἰ ἐν τοῖς θεάμασι μειονεκτεῖτε, ἐν ταῖς ἀκοαῖς πλεονεκτεῖτε. ἐπειδὴ τοῦ μὲν ἡδίστου ἀκροάματος ἐπαίνου, οὔποτε σπανίζετε. πάντες γὰρ οἱ παρόντες, πάντα καὶ ὅσα ἂν λέγητε καὶ ὅσα ἂν ποιῆτε, ἐπαινοῦσι. τοῦ δ' αὖ χαλεπωτάτου ἀκροάματος λοιδορίας, ἀνήκοοι ἐστέ. οὐδεὶς γὰρ ἐθέλει τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν. καὶ ὁ ἱέρων εἶπε. καὶ τί οἴει ἔφη τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν; ὅταν εἰδῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι * πάντα κακὰ νοοῦσι τῷ τυράννῳ, ἢ τοὺς ἐπαινοῦντάς τι δοκεῖς εὐφραίνειν, ὅταν ὕποπτοι ὦσιν ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαίνους ποιούμενοι; καὶ ὁ σιμωνίδης εἶπε. συγχωρῶ τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι. ἀλλ' ὁρᾷς ἐκεῖνο, οὐκ ἂν ἔτι πείσαις οὐδένα ἀνθρώπων, ὡς οὐχὶ δι' ὧν τρεφόμεθα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνεσθε. καὶ οἶδά γε ἔφη ὦ σιμωνίδη, ὅτι τοῦτο κρίνουσιν οἱ πλεῖστοι, ἥδιον ἡμᾶς καὶ ἐσθίειν καὶ πίνειν τῶν ἰδιωτῶν.

al. πάντα.

Τὸ γὰρ εἰωθότα ὑπερβάλλον, τοῦτο παρέχει τὰς ἡδονάς. διὸ καὶ πάντες ἄνθρωποι τὰς ἑορτὰς ἡδέως προσδέχονται, πλὴν οἱ τύραννοι. ἔκπλεω γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. ὥστε ταύτῃ πρῶτον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσιν. ἔπειτα δὲ ἔφη, ἐκεῖνο εὖ οἶδ' ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι ὅσα ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ καὶ θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἐδωδῆς μειονεκτεῖ ὁ πολλὰ παρατιθέμενος τῶν μετρίως διαιτωμένων. ἀλλὰ ναὶ μὰ δί' ἔφη ὁ σιμωνίδης, ὅσον ἂν χρόνον ἡ ψυχὴ προσίηται, τοῦτον πολὺ μᾶλλον ἥδονται, οἱ ταῖς πολυτελεστέραις παρασκευαῖς τρεφόμενοι. οὐκοῦν ἔφη ὁ ἱέρων ὦ σιμωνίδη, τὸν ἑκάστῳ ἡδόμενον, μάλιστα τοῦτον οἴει, καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔργου τούτου; πάνυ μὲν οὖν ἔφη. ἦ οὖν ὁρᾷς τι καὶ τοὺς τυράννους ἥδιον ἰόντας ἐπὶ τὴν αὐτῶν παρασκευὴν, ἢ τοὺς ἰδιώτας; οὐ μὰ τὸν δί' ἔφη, οὐ μὲν δή.

al. ἰδιώματα.
* al. μαλακῆς καὶ ἀνδρείου τροφῆς.

Ἀλλὰ τί οὖν ἔφη ὁ ἱέρων οἴει ταῦτα † ζητήματα εἶναι, * ἢ ἅμα κακῆς καὶ ἀσθενοῦς τῆς ψυχῆς τροφῆς ἐπιθυμήματα. ἐπεὶ εὖ οἶδ' ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. ἀλλὰ μέν τοι ἔφη ὁ σιμωνίδης, τῶν γε πολυτελῶν τούτων ὀσμῶν αἷς χρίεσθε, τοὺς πλησιάζοντας μᾶλλον οἴομαι ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς. ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν, οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. οὕτω μέν τοι ἔφη ὁ ἱέρων καὶ τῶν σίτων, ὁ μὲν ἔχων παντοδαπὰ ἀεί, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει· ὁ δὲ σπανίσας τινός, οὗτός ἐστιν ὁ μετὰ χαρμονῆς ἐμπιπλάμενος, ὅταν αὐτῷ * προσεπιφανῇ τι. κινδυνεύουσιν ἔφη ὁ σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις, τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν, ὅ, τι ἂν κάλλιστον ἴδητε, τούτῳ συνεῖναι. νῦν γε ἔφη ὁ ἱέρων εἴρηκας, ἐν ᾧ δὴ πλεῖστον μειονεκτοῦμεν.

alias πέρα.

Ὅτι μὲν γὰρ τὰ μετ' ἔρωτος ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει, πάντες δή που ἐπιστάμεθα. ὁ δὲ ἔρως πολὺ ἥκιστα θέλει τυράννῳ ἐμφύεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται

ὁ ἔρως

inquit, discrimen est. Nã ex horũ unoquoq; rex ut multò maiorẽ capit uoluptatẽ, sic min⁹ habet molestiarũ. Ad hæc Hieron: Nõ ita, inqt, ut dicis res habet. Quin poti⁹ illud scito, regẽ ex hisce rebus longe minorẽ capere uoluptatẽ priuatis & mediocribus, & lõge plus auferre molestiarũ. Incredibilia narras, ait Simonides. Nã si ita esset, ut ais, qui fieret, ut multi regnũ affectarint, pſertim ex eorũ numero, qui uidebantur maximè sua sorte debere esse cõtenti? Rursus qui fieret ut omnes, tyrannos tanquã fœlices, æmulẽtur? Tũ Hieron: Quoniã p Iouẽ uitã utramq; nõ sunt experti, ideo sic iudicant de negotio. At ego conabor tibi declarare me uera loqui.

Primũ eñ quũ reputo, qd adferant uoluptatis, quæ cernunt oculis, cõperio tyrãnos deterius habere, quàm priuatos. In diuersis regionibus diuersa sunt spectatu digna. Ad hæc uero spectacula omnia proficiscuntur priuati, inq; ciuitates quascunque uoluerint, se conferunt spectandi gratia, quod in quaq; uisendum est, & ad solemnes celebritates. Tyranni uero non multum indulgent spectaculis, proficisci enim ipsis eò tutũ non est. Sed ista nimirũ spectacula ueniunt ad tyrannos, etiamsi domi maneant. Veniunt per Iouẽ ô Simonides, at nõ solum pauca de multis, uerũ etiã cũ eiusmodi sint, nimis charè emenda tyrannis, &c. Tum Simonides: Verũ, inquit, quanquã inferiores estis in spectaculis, tamen potiores fertis in his quæ delectant aures, quandoquidẽ laudũ, qb⁹ nihil est auditu iucundius, nulla unquã uobis est penuria. Quotquot eñ sunt, qui uobiscũ agunt, omnia quæcunq; dicitis uel facitis, laudant. Cæterũ à conuicijs, quib⁹ nihil est auditu insuauius, liberæ sunt aures uestræ. Null⁹ eñ uult tyrannũ coràm uituperare. Tũ Hieron: Et qd uoluptatis existimas afferre eos q nõ maledicunt, ubi quis euidenter pſpicit, qd hi omnes dũ tacent, malè uolunt tyranno? Aut qd uoluptatis afferre putas eos, qui laudant, cũ suspecti sint qd assentandi gratia laudent, non ex animo? At Simonides: In hoc quidẽ per Iouẽ, inqt, prorsus tibi assentior Hieron, laudes allatas ab his, qui quã maxime liberi sunt, esse multò iucundissimas. Veruntamẽ illud planè uides, qd nequaquã ulli mortaliũ persuasurus es, quin in his, quib⁹ aluntur homines, uos longe plus uoluptatis capiatis. Nec istud, inqt, me fugit ô Simonides, ita plerisq; uideri, nos tũ edere, tũ bibere suauius priuatis. Sed hoc illos delectat, quod apparatus superat ea, quib⁹ assueuerũt: Eoq; cũcti mortales cupidè expectant dies festos, exceptis tyrannis: semp eñ his splendidus est apparatus, nec ullã illorũ mensæ dieb⁹ festis accipiunt accessionẽ. Primũ igit, qd ad hanc uoluptatẽ, quã adfert spes, attinet, deteriore conditione sunt reges, quã priuati. Præterea, inqt, illud sat scio, tu qq; uel expientia cõpertũ habes, quo cuiq; plura, supra quã sat est, ac redundantia apponunt, tãto citi⁹ satietatẽ oboriri. Ita fit, ut ipso qq; tẽpore, quo cibũ capis, si multa apponant, deteri⁹ habeas, quã qui moderato sunt uictu. Atq p Iouẽ, inqt Simonides, tantisp dũ appetit anim⁹, multo pl⁹ habent uoluptatis, qui splendido uiuunt apparatu. Ad hæc Hieron: Itáne, inquit, ô Simonides, putas eũ, qui re quapiã delectat, protin⁹ maxime affici, ac uehementissimo amore teneri eius rei? Equidẽ prorsus arbitror, inqt. An igit uides reges aliquanto libenti⁹ ad suos apparat⁹ ire, quã homines priuatos ad suos? Nequaquã, inqt, nõ sanè uideo. Quid igit, inqt Hieron, aliud existimas hoc genus epulas esse, nisi molliũ et effœminatarũ deliciarũ animi cõcupiscẽtias? Siquidẽ ego sanè probe noui, quin nosti tu qq; forsitan, qd qui cupide uescunt, nihil op⁹ habent istis arte factis condituris. Quinetiã ex odorib⁹, inqt Simonides, istis ꝑtiosis, qb⁹ ungimini, arbitror eos plus boni cape, q conuersant, quã uos ipsos: quandoquidẽ & ingratos odores nõ sentit is q se illis expleuit, sed hi poti⁹ q eũ accedunt. Itidẽ, inqt Hieron, usu uenit in cibis, cui ꝑpetuo suppetit omne gen⁹ epularũ, nihil illorũ sumit cũ appetẽtia. Verũ cui qd raro cõtingit, is demũ est q cũ uoluptate satiat, si qd illi offerat. Solæ igit, inqt Simonides, Venereæ rei delectationes uideri forte poterũt regni cupiditatẽ afferre. Hic eñ solis uobis licet, qcqd uisum fuerit pulcherrimũ, cũ eo cõgredi. Nũc demum, inquit Hieron, commemorasti, in quo longe inferiores sumus.

Nam quod Venerei congressus, si adsit amor, plurimum adferant uoluptatis, profecto perspicuum est nobis omnibus. At amor nulli minus insinuat sese quàm tyranno. Neq; enim amor appetere gaudet ea quæ in promptu sunt, sed ea

Statim post. *Paulo post.* *Paulo post.* *Statim post.* *Statim post.* *Paulo post.*

ὁ ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν δίψης τοῦ πιεῖν ἀπολαύοι, οὕτω καὶ ὁ ἄπειρος ὢν ἔρωτος, ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων.

Ἀλλ' ἐν ἐκείνοις γε, ἔφη ὁ Σιμωνίδης, πολὺ διαφέρετε τῶν ἰδιωτῶν. ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ ταῦτα κατεργάζεσθε. πλεῖστα δ' ἡδύσματα ἔχετε: κέκτησθε δὲ διαφέροντας ἀρετῇ ἵππους. διαφέροντα ὅπλα κάλλει. ὑπερέχοντα κόσμον γυναιξί. μεγαλοπρεπεστάτας οἰκίας. ἔτι δὲ πλήθει τε καὶ ἐπιστήμῃ θεράποντας ἀρίστους. ἱκανώτατοι δέ ἐστε ὀνῆσαι φίλους, κακῶσαι δὲ ἐχθρούς. πρὸς ταῦτα δὴ ὁ Ἱέρων εἶπεν.

Ἡ τυραννὶς τὰ μὲν δοκοῦντα ἄξια κτήματα εἶναι ἀνεπτυγμένα θεᾶσθαι, φανερῶς πᾶσι παρέχεται. τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα, ἐν ᾧπερ καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται.

Αὐτίκα γὰρ εἰρήνη δοκεῖ μέγα ἀγαθὸν ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον μέρος μέτεστι τοῖς τυράννοις. εἰ δὲ πόλεμος, μέγα κακόν: τούτου πλεῖστον μετέχομεν οἱ τύραννοι.

Ἔπειτα δὲ τοῖς μὲν ἰδιώταις καὶ διὰ σπονδῶν καὶ δι' εἰρήνης γίνεται πολέμου ἀνάπαυσις. τοῖς δὲ τυράννοις, οὐδὲ εἰρήνη ποτὲ, πρὸς τοὺς τυραννευομένους γίνεται, οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας, ὁ τύραννος θαῤῥήσειε.

Τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὥστε νομίζω τῷ ὄντι αὐτόματα τἀγαθὰ τῷ φιλουμένῳ γίνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων.

Βεβαιόταται μὲν δή που δοκοῦσι φιλίαι γονεῦσι πρὸς παῖδας, καὶ παισὶ πρὸς γονέας, καὶ ἀδελφοῖς πρὸς ἀδελφούς, καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοίνυν ἐθέλοις κατανοεῖν εὑρήσεις τοὺς μὲν ἰδιώτας ὑπὸ τούτων πάντων μάλιστα φιλουμένους: τοὺς δὲ τυράννους, πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας: πολλοὺς δὲ ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας. πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους * γιγνομένους. πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖσθαι καὶ νόμῳ συνηναγκασμένων, οὕτω μισοῦνται, πῶς ὑπό γε ἄλλου τινὸς οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι; ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ;

al. γιγνομένους.

Καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν, ἐλάχιστον μέρος τυράννῳ μέτεστιν. ὁπότε γε οὐδὲ σίτοις οὐδὲ ποτοῖς διάγει πιστεύων. ἀλλὰ καὶ τούτων, πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύεσθαι.

Οἱ δὲ πολῖται δορυφοροῦσιν ἀλλήλους ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν. οὕτω δὲ πόῤῥω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμοι τῷ μιαιφόνῳ μηδὲ τῶν * συνόντων καθαρεύειν. ὅθεν διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν. τοῖς δὲ τυράννοις, καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν αἱ πόλεις αὐτοῖς μεγάλως τιμῶσι τὸν κατακτείναντα τὸν τύραννον. καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοιοῦτο ποιησάντων.

alias συνόντων.

Οὐδέ γε θᾶσσόν τι γίνεται τῷ τυράννῳ, ἢ τῷ ἰδιώτῃ, ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης οἰκίας, ἢ ἀγροῦ, ἢ οἰκέτου ἐπιθυμεῖ. ὁ δὲ τύραννος, ἢ πόλεως, ἢ χώρας πολλῆς ἢ λιμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν, ἃ πολύ ἐστι χαλεπώτερα, καὶ ἐπικινδυνώτερα κατεργάζεσθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. ἀλλὰ μὴν καὶ πένητας ὄψει, * ὀλίγους τῶν ἰδιωτῶν, πολλοὺς δὲ τῶν τυράννων. οὐ γὰρ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται, οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις. ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ πολλά ἐστι: τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα, ὀλίγα. τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧττον ἱκανά ἐστιν, * ἢ τἀναγκαῖα δαπανήματα τῷ ἰδιώτῃ. καὶ γὰρ τοῖς μὲν ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν, ὅπῃ βούλονται. τοῖς δὲ τυράννοις, μέγισται μὲν εἰσι δαπάναι, εἰς τὰς περὶ ψυχῆς φυλακάς: τὸ δὲ τούτων τι συντέμνειν, ὄλεθρος δοκεῖ εἶναι. ἔπειτα δὲ, ὅσοι μὲν δύνανται ἀπὸ τοῦ δικαίου ἔχειν ὧν δέονται, τί ἂν τούτους οἰκτείροις ὡς πένητας; ὅσοι δὲ ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις δικαίως καὶ πένητας νομίζοι. οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδίκως, διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων.

al. ἢ ὅτε ὀλίγοι.

al. ἃς τἀναγκαῖα δαπανήματα, ἢ τῷ ἰδιώτῃ.

Εἰγνώ

quæ ſperantur. Proinde non aliter, quã ſi qui nunquã expertus eſt ſitim, potũ nanciſcatur: itidem qui eſt expers amoris, expers eſt iucundiſſimæ Veneris.

Cæterũ in hoc lõgẽ præcellitis homines plebeios, q̊d ut res magnificas excogitatis, ita q̊d excogitatũ eſt, celeriter pficitis. Ad hęc facultates habetis multas et opimas poſſidetis equos uirtute pſtantes, tũ arma inſigniter pulchra, mundũ eximiũ uxorib⁹, ædes magnificẽtiſſimas, easq́ʒ reb⁹ pcioſiſſimis inſtructas. Adde his q̊d famulos, tũ multitudine, tũ artib⁹ pcellentiſſimos poſſidetis: pręterea maxima uobis ſuppetit facultas, uel hoſtib⁹ nocendi, uel amicos iuuandi. His ita reſpondit Hieron. *Paulo poſt.*

Regnũ poſſeſſiones quidẽ, quæ uident plurimi eſſe precij, explicatas expoſitasq́ʒ ſpectaculo palàm omnib⁹ exhibet. Contrà quæ moleſta ſunt in animis regũ tenent abdita: in quibus ſitũ eſt hominibus, ut aut fœlices ſint, aut infœlices. *Statim poſt.*

Protin⁹ eñ ſi pax hominib⁹ uidet ingens bonũ, huі⁹ minima pars redit ad reges. Et ſi pro magno malo bellũ habet, huius multò maxima pars ad reges pertinet. *Paulo poſt.*

Inſuper priuatis interim per fœdera, interim per pacem datur à bello requies. Tyrannis autem nunquam pax eſt cum his, quos imperio premunt, neq́ʒ quiſquam tyrannus unquam fœderibus poſſit fidere. *Paulo poſt.*

Ego ſanè tam ingens bonum iudico amari, ut exiſtimem reuera ei qui diligitur, ultrò bona affluere, tum à dijs, tum ab hominibus. *Paulo poſt.*

Firmiſſimæ uident amicitiæ, quas parentes habent erga liberos, ac liberi uiciſſim erga parentes: itẽ quas fratres erga fratres, uxores erga maritos, deniq́ʒ ſodales erga ſodales. Quod ſi uis animũ aduertere, comperies priuatos ab his, quos memoraui, potiſſimum amari, cum tyranni cõplures liberos ſuos occiderint, multi à liberis interfecti ſint, cum multi fratres regnũ ambientes mutuo parricidio ſeſe confecerint. Multos autẽ tyrannos comperies & ab uxoribus ſuis extinctos, & à ſodalibus, qui maxime uidebantur amici. Ergo qui ab his quos naturæ uis maxime propellit ad amandũ, quos etiã huc compellit lex, uſq́ʒ adeo habentur odio, qui fieri poſſe credis, ut ab alio quoquã conſentaneum ſit illos amari? Ad hæc, cui minimũ habetur fidei, qui fieri poteſt ut non in magno bono cæteris ſit inferior? *Statim poſt.*

Quare huius etiam boni, quo quis habet quibus fidat, minima portio redit ad tyrannos. Quandoquidem ita uitã agunt, ut ne cibis quidem optimis fidant, ſed hos priuſquam hinc dijs libent, iubent prægustare miniſtros. *Statim poſt.*

Præterea ciues ſeſe mutuo ſatellitio protegunt, ne quis eorũ per uim occidatur. In tantũ autẽ occuparunt ne ſit opus ſatellitio, ut multis legibus ſancitũ ſit, nec eũ eſſe purum, qui cum homicida cõmercium habeat. Vnde ſit, ut patriæ debeatur, quod unuſquiſq́ʒ ciuiũ tutò uiuat. Contrà tyrannis hoc quoq́ʒ uertitur in diuerſum. Ciuitates enim non ſolum non afficiunt ſupplicio, ſed magnifica præmia decreuerunt tyrannicidis. Cumq́ʒ eos è templis ejciant, qui priuatos homines occiderunt: his q̃ tale quid patrarunt, reſpub. ſtatuas ponit in templis. *Statim poſt.*

Ac ne contingunt quidẽ citi⁹ tyranno quã priuato, quæ cõcupiſcit, propterea q̊d priuatus domũ, aut agrũ, aut famulũ deſyderat: tyrann⁹ aũt uel ciuitates, uel amplã regionẽ, uel portus, uel munitas arces concupiſcit, quæ difficilius maioreq́ʒ cũ periculo parantur, quã ea quæ cõcupiſcunt priuati. Quin inter plebeios, uix paucos inuenies tam egenos, quã plærìq́ʒ ſunt tyranni. Neq́ʒ eñ multũ & ſatis numero diſcernunt, ſed uſu. Ita ſit, ut multa ſint, quæ ſuperant ſufficientiã: pauca uero, quæ deſunt uſui. Tyranno itaq́ʒ quæ multis partibus ſupant aliorũ facultates, ea minus ſufficiũt ad neceſſarias impenſas, quã homini priuato: propterea quod priuatis liberũ ſit in dies impẽdia quomodocunq́ʒ libet cõtrahere, q̊d tyrãno cõceſſum nõ eſt. Nã maxima pars impendiorũ maxime neceſſariorũ illis in corporis cuſtodes inſumitur. At q̊d illis dat, decurtare piculoſum uidet. Iam q qb⁹ op⁹ eſt, iuſte ſibi parare poſſunt, qs eos cõmiſeret ut egenos? Sed qui p egeſtatẽ huc compellunt, ut malis ac turpibus artibus ſibi cõparent uictũ, an nõ quis hoſce miſeros & egenos optimo iure deputet? Tyranni uero multa prædari cogunt, & à templis ſacrilegio, & ab hominibus rapina, eo quod nunquã illis ſufficit pecunia ad ſumptus neceſſarios. *Paulo poſt.*

ἃ, τῆς ἀνομίας γε. Γιγνώσκουσι δὲ οὐδὲν ἧττον τῶν ἰδιωτῶν * καὶ τοὺς ἀλκίμους, καὶ τοὺς σοφοὺς, καὶ τοὺς δικαίους. τούτους δὲ ἀντὶ τοῦ ἄγασθαι φοβοῦνται· τοὺς μὲν ἀνδρείους, μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκα· τοὺς δὲ σοφοὺς, μή τι μηχανήσωνται· τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι.

Τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δὲ ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φύλακας, καὶ μήτε ἀνόπλους ἔχειν ἐθέλειν περὶ αὐτὸν, μήτε ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐ χαλεπόν ἐστι πρᾶγμα; ἔτι δὲ ξένοις μᾶλλον ἢ πολίταις πιστεύειν, βαρβάροις τε μᾶλλον, ἢ Ἕλλησιν· ἐπιθυμεῖν δὲ, τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν· τοὺς δὲ δούλους ἐλευθέρους ἀναγκάζεσθαι ποιεῖν. οὐ πάντα ταῦτά σοι δοκεῖ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια εἶναι; ὅ δέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρομαρτῶν λυμαντής ἐστιν.

Ἀντισθένης ὁ φιλόσοφος, τοὺς δημίους εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων· πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη· ὅτι ὑπὸ μὲν τῶν δημίων, οἱ ἀδικοῦντες ἀναιροῦνται· ὑπὸ δὲ τῶν τυράννων, οἱ μηδὲν ἁμαρτάνοντες.

Φαβωρίνου. Ἀλλ' ἐγὼ βούλομαι ἡδονήν τινα τῷ τυράννῳ μηνύσαι. εἰ μὲν ἀνθρωπίνην θέλεις ὦ Διονύσιε, πείνησον ἵνα φάγῃς· δίψησον ἵνα πίῃς. εἰ δὲ δεξιάν τινα καὶ ὑπέρσπονδον καὶ τελεωτάτην ἡλικίαν οὐδεὶς περὶ σοῦ, ἀπόθου τὴν τυραννίδα. * τῶν γὰρ μυρίων καὶ πεντακισχιλίων χλαμύδων δεόμενον, οὐκ ἔστι μὴ πλειόνων δεῖσθαι. οἷς γὰρ ἔχω προσδεόμενος, ἀφελὼν ὧν ἔχω, ἀρκοῦμαι οἷς ἔχω.

malim τῶν.

Δωροθέου ἐν α'. Σικελικῶν. Φάλαρις Ἀκραγαντίνων τύραννος, ἀπότομος καὶ ἀπαθὴς ὑπάρχων, ξέναις καὶ παρηλλαγμέναις βασάνοις, ἔτρυχε καὶ ἐστρέβλου τοὺς ὁμοφύλους. Περίλαος δὲ τῇ τέχνῃ χαλκουργὸς κατασκευάσας δάμαλιν, ἔδωκε τῷ βασιλεῖ δῶρον, ἵνα τοὺς ξένους εἰς αὐτὴν βάλλων, κατακαίῃ ζῶντας. μυκηθμὸν δὲ ἡ δάμαλις ἀνεδίδου τῷ φυσικῷ παρόμοιον. Φάλαρις δὲ τότε μόνον γενόμενος δίκαιος, αὐτὸν τὸν τεχνίτην πρῶτον ἐνέβαλεν.

Πλάτωνος. ἄλλως νέων. Ἆρ' οὖν οὐκ ἐν * τοσούτῳ δεσμωτηρίῳ δέδεται ὁ τύραννος, φύσει ὢν οἷον διεληλύθαμεν, πολλῶν καὶ παντοδαπῶν φόβων καὶ ἐρώτων μεστός; λίχνῳ δὲ ὄντι αὐτῷ τὴν ψυχὴν μόνῳ τῶν ἐν τῇ πόλει, οὔτε ἀποδημῆσαι ἔξεστιν οὐδαμόσε, οὔτε θεωρῆσαι, ὅσων δὴ καὶ οἱ ἄλλοι ἐλεύθεροι ἐπιθυμηταί εἰσι. καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ, τὰ πολλὰ ὥσπερ γυνὴ ζῇ, φθονῶν καὶ τοῖς ἄλλοις πολίταις ἐάν τις ἔξω ἀποδημῇ, καί τι ἀγαθὸν ὁρᾷ. παντάπασι μὲν οὖν ἔφη. οὐκοῦν τοῖς τοιούτοις κακοῖς, πλείω καρποῦται ἀνὴρ, ὃς ἂν κακῶς ἐν ἑαυτῷ πολιτευόμενος, ὃν νῦν δὴ σὺ ἀθλιώτατον ἔκρινας τὸν τυραννικὸν, μὴ ὡς ἰδιώτης καταβιῷ, ἀλλ' ἀναγκασθῇ ὑπό τινος τύχης τυραννεῦσαι, καὶ ἑαυτοῦ ὢν ἀκράτωρ, ἄλλων ἐπιχειρήσῃ ἄρχειν, ὥσπερ εἴ τις κάμνοντι σώματι καὶ ἀκράτορι ἑαυτοῦ, μὴ ἰδιωτεύων, ἀλλ' ἀγωνιζόμενος πρὸς ἄλλα σώματα, καὶ μαχόμενος ἀναγκάζοιτο διάγειν τὸν βίον. παντάπασιν ἔφη ὁμοιότατά τε καὶ ἀληθέστατα λέγεις ὦ Σώκρατες. οὐκοῦν ἦν δ' ἐγὼ, ὦ φίλε Γλαύκων, παντελῶς τὸ πάθος ἄθλιον, καὶ τοῦ ὑπὸ σοῦ κριθέντος χαλεπώτατα ζῆν, χαλεπώτερον ἔτι ζῇ ὁ τυραννῶν; κομιδῇ γε ἔφη. ἔστιν ἄρα τῇ ἀληθείᾳ, κἂν εἰ μή τῳ δοκῇ, ὁ τῷ ὄντι τύραννος, τῷ ὄντι δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας, καὶ κόλαξ τῶν πονηροτάτων, καὶ τὰς ἐπιθυμίας οὐδ' ὁπωστιοῦν ἀποπιμπλὰς, ἀλλὰ πλείστων ἐπιδεέστατος καὶ πένης τῇ ἀληθείᾳ φαίνεται, ἐάν τις ὅλην ψυχὴν ἐπίστηται θεάσασθαι, καὶ φόβου γέμων διὰ παντὸς τοῦ βίου, σφαδασμῶν τε καὶ ὀδυνῶν πλήρης, εἴπερ τῇ τῆς πόλεως διαθέσει ἧς ἄρχει ἔοικεν. ἔοικε δὲ, ἢ γάρ; καὶ μάλα ἔφη. οὐκοῦν καὶ πρὸς τούτοις ἔτι ἀποδώσομεν τῷ ἀνδρὶ, καὶ ἃ τὸ πρότερον εἴπομεν, ὅτι ἀνάγκη καὶ εἶναι, καὶ ἔτι μᾶλλον γίγνεσθαι αὐτῷ, ἢ πρότερον διὰ τὴν ἀρχὴν, φθονερῷ, ἀπίστῳ, ἀδίκῳ, ἀφίλῳ, ἀνοσίῳ, καὶ πάσης κακίας πανδοκεῖ τε, καὶ τροφεῖ, καὶ ἐξ ἁπάντων τούτων, μάλιστα μὲν αὐτῷ δυστυχεῖ εἶναι. ἔπειτα δὲ καὶ τοὺς πλησίον αὐτῷ τοιούτους ἀπεργάζεσθαι. οὐδείς σοι ἔφη τῶν νοῦν ἐχόντων ἀντερεῖ.

ΠΕΡΙ

Porrò non minus quàm priuati, nouerunt * probos, sapientes, & iustos uiros: hos cum diligere debeant, metuunt: fortes quidem, ne quid audeant libertatis amore: sapiētes, ne quid machinent: iustos uero, ne multitudo cupiat ab illis gubernari. *Statim post.* ** aliàs fortes.*

Iam uero metuere turbam, metuere solitudinem, metuere satellitū absentiam, metuere ipsos etiam custodes, ac nec inermes illos uelle habere apud sese, nec armatos uidere libenter, an non res est misera? Tum autem & peregrinis potius quàm ciuibus fidere, ac barbaris potius quàm Græcis? postremo huc compelli, ut pro liberis habere cupias seruos, & ex seruis cogaris facere liberos. An non hæc tibi uidentur argumenta animi terroribus attoniti perculsiq;? Porrò non solum ipse metus cum insedit animo molesta res est, sed dum nusquam non adest ac circumfertur, fit omnium iucundarum rerum corruptela. *Paulo post.*

Antisthenes philosophus carnifices tyrānis in pietate præferebat, cuius causam interroganti cuidam respondit: à carnifice quidem homines iniusti interimuntur, à tyranno autem etiam insontes.

Volo uoluptatem aliquam tyranno indicare. Quod si mortalis uoluptas, ò Dionysie, tibi cordi est, para tibi famem, ut edas: itemq; sitim, ut bibas. Sin dextram omnino & egregiam uoluptatem probas, tantamq;, quantam prioribus sæculis nullus usurpauit, tyrannidem depone. Illum enim qui quinquies deciésue mille chlamydum possessionem requirit, fieri non potest quin pluribus etiam adhuc egeat. Nam si plura præsentibus desydero, demam aliquid de præsentibus, & præsentia mihi sufficient. *Phauorini.*

Phalaris tyrannus Agrigentinorum, cum uir perquàm crudelis ac immitis esset, admirādis & nouis tormētis homines cruciabat & torquebat. Quod animaduertens Perilaus faber ærarius iuuencam fabricatam à se dono dedit regi, ut hospites in ipsam coniectos uiuenteis exureret: ædebat autem iuuenca mugitum naturali consimilem. At Phalaris eo solum tempore iustus, ipsum artificem primum iniecit. *Dorothei in primo rerum Sicularum.*

An nō tali quodā carcere clausus est tyrannus, natura talis existens qualē in supioribus explicauimus, multis uidelicet diuersisq; timoribus & amoribus agitatū? Cū uero ingenio sit apprimè cupido, huic soli neq; egredi usquā licet, neq; inspicere quæ liberis hominibus lubitū est: sed intra ædiū parietes formidolosus ueluti mulier cōmoratur, inuidēs ciuibus alijs si quis extra moenia spaciat, & boni quicquā spectat. Sic prorsus. An nō ab huiuscemodi malis plura insup incurrit uir ille, qui malè seipsum gubernans, quē & tu modo miserrimū iudicabas tyrannicū, haudquaquā priuatus uiuit, sed fortunæ ui quadā, ut tyrannidem exerceat cogitur: cumq; sibi ipsi impare nō possit, alijs imperare cōtendit? perinde ac si quis imbecillo corpore, & suis se uiribus nō sustinēte, cogatur ut quietē agat secū ipse nunquā, sed aduersus alia corpora certet ac pugnet. Simillima inducis ò Socrates, atq; uerissima. Nõne igitur ò amice Glauco miserabilis omnino hæc est conditio, duriorq; uita est hominis nacti tyrannidē, ea uita quā tu suprà durissimā iudicabas? Valde. Est aūt re ipsa, quāuis alicui nō uideatur, uerè tyrannus uerè seruus, extremæ adulationi seruitutiq; astrictus, libidinibus nequissimorū hominū adulator: qui appetitus suos explet nunquā, sed plurimis indiget semp, atq; inops reuera esse apparet, si quis penetralia animi ipsi[9] inspexerit. Pauore quinetiā ppetuo territ[9], & solicitudine angustiaq; uexat[9], si modo ciuitatis ei[9] statui cui pręest, ipse est similis. Similis aūt existit. An non? Et maxime quidem. Præter hæc uiro huic illa etiam tribuemus quæ antea memorauimus, quod necesse sit eum & esse prius, & postea multo magis cū tyrannidem est adeptus, inuidū, iniustum, expertē beneuolentiæ, impiū, omnisq; nequitiæ sentinā ac fomitem fieri, ex hisq; cunctis esse miserrimū, atq; alios etiā qui adhærent ipsi, similes reddere. Nullus mentis compos his contradixerit. *Platonis lib. 9. de Repub.*

Εὐριπίδου. *al. νεανιῶν.*

ΦΙΛΕΙ τι πόλεμος, οὐ πάντ' εὐτυχεῖν.
ἐσθλῶν δὲ χαίρει πτώμασιν * νεανίσκων,
κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος
τόδ' ἐστὶ, τοῖς δὲ κατθανοῦσιν, εὐκλεές.

Ἀράτου φαινόμενα. *al. κακόεργον.* *† al. εἰνοδίην.*

Χαλκείη γενεὴ προτέρων ὀλοώτεροι ἄνδρες,
οἳ πρῶτοι * χαλκοεργὸν ἐχαλκεύσαντο μάχαιραν,
† εἰνοδίην. πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.

Ὁμήρου.

Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.

Τυρταίου. *al. ἀνίκητον.*

Ἀλλ' Ἡρακλῆος γὰρ * ἀνικήτου γένος ἐστέ.
Θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας αὐγαῖσιν ἠελίοιο φίλας.

al. ἀΐδηλα.

ἴστε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ' * ἀρίδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,

ἄλλως παρά. ** al. διωκόντων τε ἔγνωτε.*

καὶ † μετὰ φευγόντων τε * διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην, καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω.
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ' ἂν αἰσχρὰ πάθῃ γίνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.
αἰσχρὸς δ' ἐστὶ νέκυς κατακείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε, κνήμας τε κάτω, καὶ στέρνα καὶ ὤμους,
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος.
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδων δ' ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων,
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ,
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω,
καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ,
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.

ὑμεῖς

Solet ferè bellum non per omnia fœliciter succedere. *Euripidis.*
Sed fortium gaudet casu iuuenum:
Odit autem timidos. Quod ciuitati quidem calamitosum
Existit: at ipsis defunctis gloriosum.
Aeneum olim sæculum uiros habuit pernitiosos, *Arati in Phænomenis.*
* Aereum qui primi fabricauere gladium *al. maleficum.*
Viatorium. Et primi boues comederunt aratores.
Inhumanus, impius, & ferus est ille, *Homeri.*
Qui bellum cupit in populo detestabile.
Occiduntur uiri, consumitur igne ciuitas,
Alij liberos abducunt, & profunde cinctas mulieres.
Sed Herculis inuicti progenies estis. *Tyrtei.*
Quare bono sitis animo: Iupiter nondum ceruicem habet obliquam.
Nec uirorum multitudinem expauescatis, aut timeatis.
Quin aliquis recta in prima acie scutum protendat,
Vitam suam odio prosequens, mortis uero nigras
Sortes præ Solis radijs amans.
Scitis enim quàm noxia sint opera lachrymosi Martis,
Et bene nostis ingenium difficilis belli.
Nam tum inter fugientes, tum persequentes fuistis,
O iuuenes, ad saturitatem utrumque experti.
Illorum sanè, qui unà manentes ausi fuerint
Ad pugnam cominus conserendam & in prima acie pugnantes accedere,
Pauciores moriuntur, & populum seruant à tergo.
Timidorum autem uirorum perijt omnis uirtus.
Nullus unquam satis enumerauerit singula
Mala, quæ uiro obueniunt, qui turpiter se gesserit.
Malum est enim posterius inter scapulas sauciare
Virum fugientem in hostili prælio.
Est & turpe cadauer in puluere prostratum,
Posterius in dorso ictu hastæ transfixum.
Sed age aliquis bene progressus maneat, ambobus pedibus
Innixus telluri firmiter, & labra dentibus mordens,
Et femora, tibiasque inferius, & pectus, humerique,
Obtecta sint ampli capacitate scuti.
Dextera uero manu robustam quatiat hastam,
Ac diram in uertice cristam agitet.
Et strenua edens facinora belligerare discat,
Nec extra teli iactum consistat gerens scutum:
Sed propius quis accedens prolixa hasta cominus,
Aut gladio feriens hostilem uirum capiat.
Et pedem pedi apponens, & scutum scuto committens,
Et cristam cristæ, galeamque galeæ,
Et pectus pectori conferens, hostem impugnet,
Vel gladij capulum, uel oblongam hastam apprehendens.

ὑμεῖς δ' ὦ γυμνῆτες ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
    πτώσσοντες, μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
    τοῖσι πανοπλίοις πλησίον ἱστάμενοι.

Θουκυδίδου. Τοῦ πολέμου τὸ παράλογον, ὅσον ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι προδιάγνωτε. μηκυνόμενος γὰρ, φιλεῖ ἐς τύχας τὰ πολλὰ περιΐστασθαι.

Ἀλλά τε, ὅσα οὐκ ἄν τις νῦν προΐδοι. ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ. αὐτὸς δ' ἐφ' αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ τυγχάνον. ἐν ᾧ ὁ μὲν εὐοργήτως αὐτῷ προσομιλήσας, βεβαιότερος· ὁ δὲ ὀργισθεὶς, περὶ αὐτὸν οὐκ ἐλάσσω πταίει.

Δημοσθένους. Πόλεμος ἔνδοξος, εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

Ἀντισθένης ὁ σωκρατικὸς, εἰπόντος τινὸς, ὅτι ὁ πόλεμος ἀπολλεῖ τοὺς πένητας, πολλοὺς

lego πονῶ ἱερ. μὲν οὖν * ποιήσει.

Ἀρχίδαμος ὁ Ἀγησιλάου, ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν, ἀνεβόησεν. ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.

Θουκυδίδου. Ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν. ἀγαθῶν δὲ, ἀδικουμένους, ἐκ μὲν εἰρήνης, πολεμεῖν. εὖ δὲ παρασχὸν, ἐκ πολέμου πάλιν ξυμβῆναι. καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡσύχῳ τῆς εἰρήνης ἡδόμενον, ἀδικεῖσθαι. ὅ, τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν, τάχιστ' ἂν ἀφαιρεθείη τῆς ῥαστώνης τὸ τερπνὸν, δι' ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι. ὅ, τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων, οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. πολλὰ γὰρ κακῶς γνωσθέντα, ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα, κατωρθώθη. καὶ ἔτι πλείω τὰ καλῶς δοκοῦντα βουλευθῆναι, ἐς τοὐναντίον αἰσχρῶς περιέστη. ἐνθυμεῖται γὰρ οὐδεὶς ὅμοια τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεσθαι. ἀλλὰ μετ' ἀσφαλείας μὲν, δοξάζομεν, μετὰ δέους δ' ἐν τῷ ἔργῳ ἐλλείπομεν.

Πλάτωνος. Ἣν γὰρ καλοῦσι τῶν ἀνθρώπων οἱ πλεῖστοι εἰρήνην, τοῦτ' εἶναι μόνον ὄνομα, τῷ δ' ἔργῳ, πάσαις πρὸς πάσας ἀεὶ τὰς πόλεις πόλεμον ἀκήρυκτον κατὰ φύσιν εἶναι. καὶ σχεδὸν ἂν εὑρήσεις οὕτω σκοπῶν τὸν κρητῶν νομοθέτην, ὡς εἰς τὸν πόλεμον ἅπαντα δημοσίᾳ καὶ ἰδίᾳ τὰ νόμιμα ἡμῖν ἀποβλέπων ξυνετάξατο, καὶ κατὰ ταῦτα οὕτω φυλάττειν παρέδωκε τοὺς νόμους, ὡς τῶν ἄλλων οὐδενὸς οὐδὲν ὄφελος ὂν, οὔτε κτημάτων, οὔτε ἐπιτηδευμάτων, ἂν μὴ τῷ πολέμῳ ἄρα κρατῇ τις, πάντα δὲ τὰ τῶν νικωμένων ἀγαθὰ, τῶν νικώντων γίγνεσθαι.

Ξενοφῶντος. Ἐπίστασθε γὰρ δὴ ὅτι οὔτε πλῆθός ἐστιν, οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα· ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ τὸ πολὺ οἱ ἐναντίοι οὐ δέχονται.

Πλάτωνος. Καὶ μὴν ὦ Μενέξενε πολλαχοῦ κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀποθνήσκειν. καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει, καὶ ἐὰν πένης τις ἂν τελευτήσῃ, καὶ ἐπαίνου αὖ ἔτυχε, καὶ ἐὰν φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε, καὶ οὐκ εἰκῇ ἐπαινούντων, ἀλλ' ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων.

ΕΠΑΙΝΟΣ ΤΟΛΜΗΣ, ΛΟΓΟΣ μθ.

Τυρταίου.
Οὔτ' ἂν μνησαίμην, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείην,
    οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης,
οὐδ' εἰ κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
    νικῴη δὲ θέων θρηΐκιον Βορέην.
al. χαρίεις. οὐδ' εἰ Τιθωνοῖο φυὴν * χαριέστερος εἴη,
malim πλέον. πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω * μᾶλλον.
οὐδ' εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
    γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.

οὐ γὰρ

Vos autem ò leuis armaturæ milites sub scuto alius aliunde
Pauidi, magnis impetite lapidibus hostes,
Et iacula polita in ipsos emittite
Astantes iuxta milites munitos armis.

Quã temerarij & repentini sint belli casus, antea nouistis quã iniretis bellum. Solet enim eius mora diuturnior ut plurimum fortunam sequi. *Thucydidis.*

Et alia, quæ nunc prospicere nõ licet. Bellũ enĩ minime certis pactis aut legib' agitur: sed ipsum p se multa machinaĩ pro re nata: ubi, qui id leniter & facile fert, constantior est: iracundus autem, nihilo minus peccat.

Bellum honestum turpi paci præferendum est. *Demosthenis.*

Antisthenes Socraticus cum quidam dixisset pauperes interire in bello, imò plures tum fiunt, dixit.

Archidamus Agesilai filius, cum uidisset genus teli tunc primũ ex Sicilia allatũ, exclamauit: O Hercules, interijt uiri uirtus.

Virorũ enĩ prudentiũ est, si nõ lacessantur iniuria, quiescere: bonorũ aũt, si iniquria afficiantur pacem bello mutare, ac si bene cesserit, iterum pro bello pacem inire: & neq; belli successu efferri, neq; pacis tranquillitate captos, iniuriã pati eos decet. Nam tum ille qui uoluptatis causa cunctatur, illico priuari potest oblectatione tranquillitatis, cuius gratia cunctatur & quiescit: tum qui in bello prosperitate abundat, nõ cogitat se incerta temeritate efferri. Multa enim male consultata, eò quod hostes inconsultiores fuerint, fœliciter euenerunt: & plura quæ recte instituta uidebantur, turpiter in contrarium euentum relapsa sunt. Nullus enim cogitat quàm difficile sit idem factis præstare, quod inter deliberandum promittit. Nam consultamus securi in opere autem cum timore deficimus. *Thucydidis.*

Quam enim hominũ plæriq; pacem uocant, nihil aliud præter nomen existere: re ipsa uero omnibus ciuitatibus aduersus omnes bellum irreconciliabile perpetuò natura insitũ esse. Et ferè, si animaduerteris, ita affectum fuisse Cretensiũ legislatorẽ depræhendes, ut bellum respiciens leges omnes tũ publicas tũ priuatas condiderit, & hoc modo institutas tradiderit obseruandas, quasi aliarum rerum nulla planè foret utilitas, neq; opum, neq; studiorum, nisi quis bello superior euaderet. Omnia enim bona illorum qui uicti sunt, uictoribus accedere. *Platonis.*

Scitis enim uictoriam in bello nec multitudine neque fortitudine parari: sed utri deorũ auxilio freti fortioribus animis hostes inuaserint, ut plurimum ab aduersarijs non sustinentur. *Xenophõtis lib. 3. de Cyri disciplina.*

Socrat. Videtur ò Menexene apud plurimas gentes præclarũ esse in bello occũbere. Etenim qui sic è uita migrat, funere & sepulchro magnificẽtissimo honoratur. Et siue pauper quis ita decedat, laudatione non caret: siue etiam uilis quispiam & ignauus, rursus à sapientibus uiris extollitur: qui non temere, sed multo tẽpore composita & consulta oratione egregiè laudant. *Platonis in Menexeno.*

AVDACIAE LAVS, SERMO XLIX.

Non memorandus mihi uir, nec in ullo precio habendus uidetur, *Tyrtei.*
Seu uirtutis pedum, seu gratia luctæ:
Quamuis Cyclopum habeat magnitudinem & robur,
Et currendo uincat Thracium Aquilonem:
Et forma sit uel ipso Tithono elegantior,
Atq; locupletior, quàm aut Midas, aut Cinyras reges:
Neq; si Tantalidem Pelopem regno uincat,
Et linguam Adrasti suauissimam habeat:
Neq; si gloriam omnem, præter bellicosam fortitudinem,

οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέῳ.

Εὐριπίδης. Οὐκ ἔστι κρεῖσσον ἄλλο, πλὴν κρατεῖν δορί.
Τολμᾶν δὲ χρεών, ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν
εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν.
Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί.
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ.
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

Τυρταίου. Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε, παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος·
θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς.
οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω.
οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα, μένοντά τε, μαρνάμενόν τε,
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσει.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι, ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν, ἔρχεται εἰς ἀΐδην.
γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν, οὔτ' αἰδοῦς, οὔτε δίκης ἐθέλει.
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν,
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

Εὐριπίδου. Σὺν τοῖσι δ' ἐσθλοῖς αὔξεται κλέος βροτοῖς.
Ἐμὲ δ' ἄρ' οὐ μοχθεῖν δίκαιον; τίς δ' ἀμόχθητος εὐκλεής;
τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;
Τόλμ' ἀεί, κἄν τι τραχὺ νέμωσι θεοί.
Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.
Οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι.
Τολμήμασι δὲ καὶ χερῶν ὑπερβολαῖς

ἁλίσ-

Non enim uir bonus existit in bello,
Si non sustineat cædem uidere cruentam,
Et propius hostes stare cupiat.
Hæc uirtus est, hoc optimum inter homines præmium,
Et maxime decorat uirum iuuenem, à quo geritur.
Non est aliud præstantius quàm superare hasta. *Euripidis.*
Audendum est: labor enim tempestiuus multam
Parit fœlicitatem hominibus circa finem.
Virum enim iuuenem semper audere oportet.
Nam nullus ignauus in celebrem uirum euadit.
Sed labores pariunt celebritatem.
Commune hoc bonum est ciuitati, & toti populo, *Tyrtei.*
Si quis uir progressus inter pugnantes in prima acie maneat
Constanter: turpis autem fugæ prorsus obliuiscatur,
Vitam & animum patientem periculo obijciens:
Et astantem sibi uirum ad mortem obeundam animet.
Hic sanè bonus uir existit in bello:
Statim uero hostium in fugam conijcit phalanges
Asperas, suaq; opera prælij fluctus regit.
Ipse autem in prima acie prostratus uitam amittit,
Ciuitatem, & populos, & patrem honestans,
Multis per pectus & scutum rotundum uulneribus
Et per thoracem ab anteriore parte sauciatus.
Hunc simul lugent senes atq; iuuenes:
Et graui desyderio uniuersa ciuitas ipsius funus prosequitur.
Huius sepulchrum, & liberi inter homines præclari sunt,
Itemq; nepotes, ac genus omne posterum.
Haud unquam eius bona gloria, neq; nomen interit.
Sed quamuis sub terra conditus manet immortalis ille,
Quem fortiter se gerentem, manentemq;, & pugnantem
Pro patria & liberis uehemens Mars peremerit.
Quod si effugerit sortem mortis longum inferentis soporem,
Et uictoria potitus splendidam pugnæ gloriam auferat,
Omnes ipsum ex æquo colunt iuuenesq; senesq;,
Et multis affectus iucundis ad orcum abit.
Senescens autem inter ciues præcellit, nec ipsum quisquam
Lædere uolet, reuerentia aut iustitia motus.
Item omnes in sedibus, iuuenes simul, & æquales,
Ei loco cedunt, quiq; maiores natu sunt.
Huius igitur uirtutis ad summum peruenire, nunc aliquis
Nitatur animo, non remittens bellum.
In arduis rebus crescit hominum gloria. *Euripidis.*
Me uero an non Laborare decet? Quis aũt hominũ citra laborẽ clarus (est?
Quis timidus res maximas appetijt?
Audeto semper, etsi quid durum dij largiantur.
Pauci enim strenui multis ignauis præstant.
Non enim pietatem sequuntur mortalium fortunæ.
Sed audacia, & manuum præstantia

ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.
Τά τοι μέγιστα πάντ' ἀπεργάζεται βροτοῖς,
τόλμ', ὥστε νικᾶν. οὔτε γὰρ τυραννίδες,
χωρὶς πόνου γένοιντ' ἂν, οὔτ' οἶκος μέγας.
Πολλῶν νέων γὰρ κἀν γερόντων εὔψυχος ἦ
κρείσσων. τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;
κρεῖττον τ' ἀμύνειν. κατθανεῖν γὰρ εὐκλεῶς,
ἢ ζῆν θέλοιμ' ἂν δυσκλεῶς γε.
Νεανίας γὰρ ὅστις ὢν ἄρη στυγεῖ,
κόμη μόνον, καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
al. ὑψάπελον. ὁρᾷς τὸν * εὐτράπελον, ὡς ἡδὺς βίος;
ὁ, τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων;
ἀλλ' οὐκ ἔνεστι στέφανος, οὐδ' εὐανδρία,
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα.
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
aliàs καὶ. ἡ δ' εὐλάβεια σκότον ἔχει * ἀν' Ἑλλάδα,
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.
Ὁμήρου. Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός.
ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει.
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει.
κῆρας ὀιομένῳ, πάταγος δέ τε γίνετ' ὀδόντων.
τοῦ δ' ἀγαθοῦ, οὔτ' ἂρ τρέπεται χρὼς, οὔτέ τι λίην ταρβεῖ.
Δημοκρ. Τόλμα πρήξιος ἀρχὴ, τύχη δὲ τέλεος κυρίη.
Εὐήνου. Πρὸς σοφίαν μὲν ἔχειν τόλμαν, μάλα σύμφορόν ἐστι,
χωρὶς δὲ βλαβερὴ, καὶ κακότητα φέρει.
Ἀντιφάνους. Ἐπεὶ γὰρ ἀποθνήσκειν ἀνάγκη γίνεται,
τὸ πρὶν ἀποθανεῖν, ἐστι φανερὰ ζημία.
Καλλίνου. Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμὸν,
ὦ νέοι, οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας.
ὧδε λίην μεθιέντες. ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι. ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.
Deest Hexameter. *
καί τις ἀποθνήσκων, ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων, κουριδίης τ' ἀλόχου
δυσμενέσιν, θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
μοῖραι ἐπικλώσωσ'. ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
ἀνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηιοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν, οὐκ ἔμπας δήμῳ φίλος, οὐδὲ ποθεινός:
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ.
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος, ζώων δ' ἄξιος ἡμιθέων.

ὥσπερ

Omnia capiuntur,& acquiruntur.
Maxima quæq; efficit hominibus
Audacia,ita ut uincant. Nam neq; tyrannides
Absq; labore augeri possunt,neq; domus.
Multis enim iuuenibus uel senex animosus fuerit
Præstantior. Quid enim conducit timido uegetum habere corpus?
Potius est strenuè se defendere. Mori enim cum laude
Malim,quàm uiuere cum ignominia.

Eiusdem in Andromache.

Quisquis existens iuuenis Martem odit,
Coma solum,& caro est; rem uero nusquam habet.
Vidésne quàm suauis sit uita,quæ mensa fruitur bene instructa?
Et quanta sit fœlicitas externæ fortunæ?
At nihil inest gloriæ,neq; generositas,
Nisi quid audeant cum periculo aggredi.
Labores enim pariunt generositatem.
Metus autem & cunctatio ignobiles sunt per Græciam,
Nihil aliud semper quærentes quàm ut uitam producant.

Eiusdem.

Nam color ignaui mutatur aliàs aliter,
Nec animus ei potest cohiberi ut in præcordijs quietè maneat,
Verum in genua residet,& in utrosq; pedes subsidit.
Cor autem ei uehementer in pectore palpitat
Mortem expectanti: & dentium stridor editur.
Boni autem & fortis nequam mutatur color,nec admodum extimescit.

Homeri Iliad. ν.

Audacia principium actionis est: fortuna uero dominatur fini.

Democriti.

Sapientiæ iunctam habere audaciam plurimum conducit:
Seorsim uero audacia nocet,& calamitatem infert.

Eueni.

Quandoquidem necessitas incumbit moriendi,
Gratis mori damnum est euidens.

Antiphanis.

Quam diu torpetis? Quando strenuum habebitis animum
O iuuenes? An non ueremini uicinos
Ob tantam ignauiam? in pace autem uobis uidemini
Sedere. Interim uero bellum totam regionem infestat.
* Quin omni metu abiecto fortiter uos gerite,
Et aliquis moriens ultimo iaculum emittat.
Honor enim & ornamentum conciliatur uiro pugnanti
Pro patria & liberis,& tenera uxore
Aduersus hostes. Mors autem aderit quandocunq;
Parcæ destinauerint. Sed age quispiam rectà pergat
Extenso in altum gladio,& sub scuto forte pectus
Foueat,cum primum incipit committi pugna.
Nullo pacto enim mortem effugere fatale est
Virum,neq; si progenitores ei fuerint immortales.
Sæpe quis elapsus è pugna,sonituq; telorum
Euadit,sed ipsum domi fatalis mors apprehendit.
Atq; hic sanè nec amicus est populo,neq; gratus:
Illum uero tum magnus quisq; tum paruus deflet,si quid passus fuerit.
Vniuersus enim populus uirum fortem desyderat
Defunctum,uiuentem uero instar semidei colit.

Callini.

**Hunc uersum addidimus ad absoluendũ sensum.*

ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν,
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

Μενάνδρου. Οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου.

Μοσχίωνος ἐκ Θεμιστοκλέους. Καὶ γὰρ ἐν νάπαις βραχεῖ πολὺς σιδήρου καίρεται πεύκης κλάδος.
καὶ βαιὸς ὄχλος μυρίας λόγχης κρατεῖ.

Πινδάρου. Ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.

Σωσιθέου. Εἷς μυρίους ὄρνιθας αἰετὸς σοβεῖ,
λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ.

Σοφοκλέους. Φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.

Αἰσχύλου. Ἀλλ' ἄρης φιλεῖ ἀεὶ τὰ λῷστα πάντα τ' ἀνθρώπων στρατοῦ.

Μενάνδρου. Τὰ γὰρ τολμηρὰ τῶν ὄχλων ἔχει
ἐν τοῖς λογισμοῖς μὲν ἀποδείξεις δυσκόλους.
ἐν τῷ δὲ πράττειν, ἂν λάβῃ τὸν καιρὸν εὖ,
ἀπροσδόκητον τὴν τέχνην ἐξεύρατο.

Ἰσοκράτους. Μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυνον. δεῖ γὰρ εἶναι τοῖς μὲν φαύλοις φοβερὰν τὴν τοῦ βίου τελευτήν· τοῖς δὲ σπουδαίοις, τὴν ἐν τῷ * βίῳ ἀδοξίαν. μάλιστα μὲν πειρῶ ζῆν μετὰ τῆς ἀσφαλείας. ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. τὸ μὲν γὰρ τελευτῆσαι, πάντως ἡ πεπρωμένη κατέκρινεν· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον * τῶν σπουδαίων ἡ φύσις ἀπένειμεν.

alias ζῆν. al, τοῖς σπουδαίοις.

Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν, οὐ μόνον ἀντὶ τῶν βελτίων ἐπαινεῖσθαι βουλομένους· ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψωσιν.

Πλάτωνος. Ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν, ἃ οἱ πατέρες ἡμῖν ἐπέσκηπτον ἀπαγγέλλειν τοῖς ἀεὶ λειπομένοις, εἴ τι πάσχοιεν, ἡνίκα κινδυνεύσειν ἔμελλον. φράσω δὲ ὑμῖν ἅ, τε αὐτῶν ἤκουσα ἐκείνων, καὶ οἷα νῦν ἡδέως ἂν εἴποιεν ὑμῖν, λαβόντες δύναμιν, τεκμαιρόμενος ἐξ ὧν τότε ἔλεγον. ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων, ἃ ἂν ἀπαγγέλλω. ἔλεγον δὲ τάδε. ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν, ἡμῖν δὲ ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς ἡμετέρους πατέρας, καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι. ἡγούμενοι τῷ τοὺς αὐτοῦ αἰσχύνοντι, ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀνθρώπων, οὔτε θεῶν φίλον εἶναι, οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα, καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος, κάλλος φέρει τῷ κεκτημένῳ μετὰ ἀνανδρίας. ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ, καὶ οὐχ ἑαυτῷ. οὔτε κάλλος σώματος καὶ ἰσχὺς, δειλῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, ἀλλ' ἀπρεπῆ καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα, καὶ ἐκφαίνει τὴν δειλίαν.

Quæ sequuntur omnia etiam in sermone de iustitia citantur.

* πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης, καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, οὐ σοφία φαίνεται, ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστατον, καὶ διαπαντὸς, πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ. εἰ δὲ μὴ, ἴστε ὡς ἡμῖν, ἐὰν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. μάλιστα δ' ἂν νικῴμεθα, καὶ ὑμεῖς νικῷντες, εἰ παρασκευάσεσθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησόμενοι, μηδ' ἀναλώσοντες αὐτὴν, γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιόν τι, ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτὸν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής. χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε, καὶ εὐδοξιῶν. καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν δι' ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ, ἀμελήσαντας δὲ ὑμᾶς καὶ κακισθέντας, οὐδεὶς εὐμενῶς δέξεται.

Nam intuentur ipsum coràm ueluti turrim,
Quippe solus multorum æquat facinora.
Nullum est uitæ maius quàm audacia uiaticũ. *Menandri.*
Etenim in napis paruo *Moschionis ex Themistocle.*
Ferrò magnus amputatur piceæ ramus.
Et exiguæ copiæ infinitum exercitum superant.
Magnum periculum non admittit uirum imbellem. *Pindari.*
Vna aquila sexcentas fugat aues. *Sosithei.*
Et hominum timidorum multitudinem uir generose educatus.
Solet enim bellum uiros iuuenes capere. *Sophoclis.*
Sed Mauors amat Semper optima quæq; de hominum exercitu. *Aeschylu.*
Turbæ enim audaces habent *Menandri.*
Inter cogitandum quidem imaginationes arduas:
In agendo autem, si commodam occasionem obseruent,
Inopinatam artem reperiunt.

Plus timeas uituperiũ quã periculũ. Malis eñ timend⁹ est finis uitæ: bonis aũt uitæ ignominia. Imprimis q̃dẽ operã des ut tutus uiuas: q̃d si quãdo tibi cõtingat periclitari, quære quomodo salutem tibi parias, euadasq́; bellum cum honesta laude: nõ autem cum infamia. Mors enim omnino ui fatorum incumbit: Honeste uero mori bonis tantummodo proprium à natura tributum est. *Isocratis ad Demonicum.*

Inueniemus eñ gloriæ studiosos & magnanimos uiros, nõ solũ ob huiusmodi facinora laudari uelle: sed uitæ loco gloriosam mortem eligere, atq; magis de gloria quàm uita solicitos esse: omnia deniq; facere ut immortalem sui memoriam posteritati relinquant.

Nunc quoq; me par est uobis referre, quæ nobis patres uestri mandarunt posteris prædicare, si quid paterentur, cum foret periclitandum. Recensebo igitur uobis in præsentia, quæ ex illis ipsis audiui, quæue ipsi nunc uobis, si facultas daretur, libenter præciperent. Coniecturam equidem ex illis quæ quondam dicebant, facio. Existimate uero nunc quæ referam illos ipsos audire loquentes: hunc autem in modũ exorsi sunt. Quod ex præclaris parentib⁹ orti estis ô filij, præsentia uobis testantũ profecto cum nobis liceret turpiter uiuere, honeste emori maluimus, quã uos cæterosq́; posteros infamiæ cuiquã subijcere, ac parentib⁹ nostris supprioribusq́; dedecori esse, putantes homini suos dedecoranti nõ esse uiuendũ. Ei nanq; neq; in uita, neque post mortẽ amicũ aliquẽ esse, uel hominũ, uel deorũ. Oportet igitur uos uerborum nostrorũ memores, si quid aliud exercetis cũ uirtute exercere, scientes absq; uirtute exercitationes & possessiones omnes turpes malasq́; esse. Diuitiæ nanq; splendorẽ afferunt nullũ eas cũ ignauia possidenti: neq; eñ sibi hic, sed alteri parat possidetq́; diuitias. Neq; forma corporis atq; robur timido ac prauo cũ insunt, decorem præstant. Eum nanq; dedecent, notiorẽ efficiunt, ignauiã patefaciunt. Præterea scientia quæuis remota iustitia aliaq́; uirtute, nõ sapientia, sed calliditas esse uidet. Quorum causa & primo, & postremo, atq; p omnia omni studio diligentiaq́; cõtendite, ut & nos, & maiores nostros uirtutis gloria superetis. Alioquin scitote, si uobis uirtute præstemus, uictoriã hanc nobis dedecus allaturam. Sin superemur à uobis, foelicitatẽ. Ita uero maximẽ nos quidẽ superabimur, uos aũt superabitis, si ea ratione uitam instituetis, ut maiorũ gloria nõ abutamini, neq; eam ut ita dixerimus expendatis, erogetisq́;, scientes uiro aliquid esse se existimanti nihil turpius posse accidere, quã seipsum honorandum nõ propriam ob uirtutẽ, sed propter gloriam superiorũ præbere. Gloria eñ parentũ natis, præclar⁹ est magnificusq́; thesaurus. Vti uero pecuniarũ honorumq́; thesauro, & hunc ad posteros nõ transfundere, propriæ possessionis gloriæq́; defectu, turpe, & à uiri generositate penit⁹ alienũ. Si igit hæc exercueritis, uitæ demũ satis exactis chari ad nos filij charos parentes proficiscemini. Sin autem neglexeritis hæc, & improbi euaseritis, nemo uos libens excipiet. *Platonis in Menexeno.*

Εὐριπίδου. ΚΑΚΟΝ γε θνητοῖς τὸ νέον, ἐν δὲ τῷ νέῳ,
τὸ μὴ δίκαιον, ὅστις ἀνθρώπων ἔχει.
Νεότης μ' ἐπῆρε, καὶ θράσος τοῦ νοῦ πλέον.
Παπαῖ. νέος καὶ σκαιὸς οἷος εἶς ἀνήρ.
Νεανίας τε καὶ πένης σοφός θ' ἅμα
ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

Ἀγάθωνος. Νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες.

Μητροδώρου. Νέος φιλοδόξων πρώϊμος πενηρία.
Τὸ νέον ἅπαν ὑψηλόν τι καὶ θρασύ.

Μενάνδρου. Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω,
ἀλλ' εἰ φρονοῦντος τοὺς λόγους ἀνδρὸς ἐρῶ.
Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,
ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

Κρατύλου. Ἥβης ἐκείνης. νοῦ δὲ τοῦδε καὶ φρενῶν κατάλληλος.

Θεόγνιδος. Ἥβη καὶ νεότης, ἐπικουφίζει νόον ἀνδρός.
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Πλάτωνος. Τῷ γὰρ ὄντι ἡ νεότης, εἰς πᾶν ἐπίδοσιν ἔχει.

Τοῦ αὐτοῦ νόμων β'. ζῷον, alias non legitur. Τόδε τοσόνδε οἶδα, ὅτι πᾶν * ζῷον ὅσον αὐτῷ προσήκει νοῦν ἔχειν τελεωθέντι, τοῦτον καὶ τοσοῦτον οὐδὲν ἔχον ποτὲ φύεται. ἐν τούτῳ δὲ τῷ χρόνῳ ἐν ᾧ μήπω κέκτηται τὴν οἰκείαν φρόνησιν πᾶν μαίνεταί τε καὶ βοᾷ ἀτάκτως. καὶ ὅταν ἀρκτένῃ αὐτὸ τάχιστα, ἀτάκτως αὖ πηδᾷ.

Θεοφάνους. Χαλεπὸν καταμαντεύεσθαι περὶ τῶν νέων. ἀστόχαστος γὰρ ἡλικία, καὶ πολλὰς ἔχουσα μεταβολάς, ἄλλοτε ἐπ' ἄλλο φερομένη.

Πλάτωνος νόμων ια'. Τὰ γὰρ τῶν νέων ἤθη, πολλὰς μεταβολὰς ἐν τῷ βίῳ μεταβάλλειν ἑκάστοτε πέφυκε.
Χρὴ δὲ καὶ νόμον εἶναι, μὴ ἐρᾶν παίδων, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀναλίσκηται. τὸ γὰρ τῶν παίδων τέλος, ἄδηλον, οἷ τελευτᾷ κακίας ἢ ἀρετῆς, ψυχῆς τε πέρι καὶ σώματος.

Ὁμήρου. Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

ΠΕΡΙ ΣΤΡΑΤΕΙΑΣ ΚΑΙ ΙΣΧΥΟΣ ΛΟΓΟΣ να'.

Μενάνδρου. ΟΙΚΟΙ μένειν χρὴ, καὶ μένειν ἐλεύθερον.
Στρατεία δ' οὐ φέρει περιουσίαν οὐδεμίαν,
ἐφήμερον δὲ καὶ προπετῆ βίον,
οὐ πεῖραν ἔχομεν, ὄντος οὐ σωτηρίου.
Εὐλοιδόρητον, ὡς ἔοικε, φαίνεται
τὸ τοῦ στρατιώτου σχῆμα, καὶ τὸ τοῦ ξένου.
Κομψὸς στρατιώτης οὐδ' ἂν εἰ πλάττοι θεός, οὐθεὶς γένοιτ' ἄν.

Ἀπολλοδώρου. Ταχύ γε στρατιώτης γέγονας ἀντ' ἐλευθέρου.

Φιλήμ. Στρατιῶτα κοὐκ ἄνθρωπε, καὶ σιτούμενε
ὡς τὰ ἱερεῖα, ἵν' ὅταν ᾖ καιρός, τυθῇς.

Ἀντιφάνους. Τίς δ' οὐχὶ θανάτου μισθοφόρος ὦ φιλτάτη,
ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος;

Ἰσοκράτους. Ῥώμη δὲ μετὰ μὲν φρονήσεως, ὠφέλησεν· ἄνευ δὲ ταύτης, πλείω τοὺς ἔχοντας ἔβλαψε. καὶ τὰ σώματα τῶν ἀσκησάντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν.
Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος, αἴτιός ἐστιν ἀγνοίας. ὁ γὰρ ὄλεθρον αὐτοῦ προλαβὼν, ὁμόσε χωρεῖ κινδύνοις.

Ἀρχίδα-

MAla est hominibus iuuentus, & in iuuentute *Euripidis in Andromache.*
Si quis non obseruet iustitiam, multo deterior est. (tis fuit.
Iuuẽtus me instigauit, & robur, cuius mihi pars maior quã mẽ-
Papæ, qualis uir est iuuenis simul & malus?
Si iuuenis, pauper, sapiensq; simul
Vnus homo fuerit, admiratione dignum est.
Iuueniles animi sæpius flectuntur. *Agathonis.*
Iuuenis ambitiosus præcox est malitia. *Metrodori.*
Aetas iuuenilis semper superbos & audaces reddit.
Ne respicias istud, an iunior ætate dicam, *Menandri.*
Sed an sapientis uiri uerbis utar.
Canicies non affert prudentiam.
Sed ingenium quorundam natura senile est.
(*Græca sunt obscura.*) *Cratyli.*
Pubertas & iuuentus hominis mentem leuem reddunt, *Theognidis.*
Multorumq; animum in errorem efferunt.
Reuera enim iuuentus ad omnia incrementum habet. *Platonis in Theæteto.*
Illud tm̃ scio quod nullũ animal cũ tanta & tali nascitur intelligẽtia, quãta *Eiusdem legum secundo.*
& qualis ei cũ prouectũ fuerit, cõuenit. Hoc porrò in tempore quo prudentiã suam nondũ possidet, furit omne, & sine ordine clamat, & fastu elatum, lasciuiensq; salit. * Et si quis ipsum statim occiderit, tũ quoq; sine ordine saltat. *Mars. Ficinus hæc uerba non legit*

Difficile est aliquid de iuuenibus diuinare. Est enim ætas incerta, sine scopo, multis mutationibus obnoxia, & aliàs aliorsum agitur. *Theophanis.*

Adolescentiũ em̃ ingenia semper multis in uita mutationibus subijciũt. *Platonis leg. 11.*

Oportebat etiã legem statui ne quis amaret pueros: ne multũ studij in re dubia consumeretur. Incertus est em̃ puerorũ finis, ad quem malitiæ aut uirtutis terminum exeat, tum quod animam, tum quod corpus attinet.

Semper iuniorum uirorum animi leues sunt. *Homeri.*

DE MILITIA ET VIRIBVS CORPORIS SERMO LI.

DOmi manendum est, & in libertate. *Menandri.*
Militia uero non fert ullam opulentiam.
Sed uitam quæ in diem uiuitur, ac temerariam,
Quam experimur minime salutarem esse.
Facile impetitur conuicijs, ut apparet,
Militis habitus, & hominis peregrini.
Elegans miles, etiamsi Deus ipsum formaret, haud ullus effici posset.
Statim factus es miles pro homine libero. *Apollodori.*
O miles, non homo, qui pasceris *Philemonis.*
Quemadmodum uictimæ, ut cum tempus fuerit immoleris.
Quis non mercenarius est mortis ò charissima, *Antiphanis.*
Qui gratia uiuendi accedit moriturus?

Robur prudentiæ iunctũ cõducit: sine ipsa uero plus lædit possidẽtes. Idẽ corpora quidẽ exercentiũ se ornat, animi uero studia obtenebrat. *Isocratis.*

Ineuitabilis timor pœnæ, causa est desperationis: Qui enim interitum suum præuidit, pericula ultrò sequitur.

Ἀρχίδαμος ὁ τῶν λακεδαιμονίων βασιλεὺς, θεασάμενος τὸν ἴδιον παῖδα ἄγαν προπετῶς μαχόμενον τοῖς ἀθηναίοις εἶπεν· ἢ τῇ δυνάμει πρόσθες, ἢ τοῦ θράσους ἄφελε.

Κλείταρχος ὁ ἱστοριογράφος, εἶπε· πᾶσα τόλμη καὶ τὰ τῆς δυνάμεως ὑπερβαίνει μέτρα.

Πλουτάρχου. Τί δ' αἴ σοι τοιοῦτον ἀγαθὸν ἐντυχεῖν μᾶλλον, ὡς ἕνεκα τούτου μητρυιὰν μὲν τῶν ἀνθρώπων, μητέρα δὲ τῶν ἀλόγων ζώων γεγενῆσθαι τὴν φύσιν; μεγέθους καὶ ὀξύτητος, καὶ ὀξυωπίας χάριν; ἡ δὲ ἀνθρώπων ἴδιος ἰσχὺς, ὁ ψυχῆς ἐστὶ λογισμὸς, ᾧ καὶ ἐλέφαντας ὑπὸ δρυμὸν εἷλε ποδάγραις, καὶ ἵππους ἐχαλίνωσε, καὶ βόας ἀρότροις ὑπέζευξε, καὶ τὰ ἐναέρια κατέσπασε καλάμοις, καὶ τὰ βύθια δεδυκότα δικτύοις ἀνήγαγε. τοῦτ' ἔστιν ἰσχύς. ἡ δ' ἔτι μείζων, ὅταν γῆς περιόδους, καὶ οὐρανοῦ μεγέθη, καὶ ἀστέρων κύκλους διαμετροῦσα μὴ κάμῃ. ταῦτ' ἦν ἡρακλέους ἄξια. τίς γὰρ οὐκ ἂν βούλοιτο μᾶλλον ὀδυσσεὺς εἶναι, ἢ κύκλωψ;

Ἄρατος ὁ σικυώνιος, ἐπαινοῦντός τινος ἄνθρωπον ἀρνειοκομοῦντα καὶ θρασὺν καὶ διαπρέπῃ καὶ ἐν τοῖς πολέμοις ἐκπρεπῆ· διαφορὰν ἔφη τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν εἶναι νομίζειν, καὶ τὸ ζῆν τοῦ μηδενός.

Εὐσεβίου. Ἄνθρωποι ἰσχὺν, καὶ ῥώμην, καὶ τάχος μοῦνα ἀσκέοντες, καὶ ὅκως ταῦτα ἔχοντες ἐπὶ τούτων μούνων εὐδοκιμέωσιν ἐσπουδακότες. τοῦ δὲ τῆς ψυχῆς ἐπιμέλεσθαι, οὗ ἕκατι γιγνόμενοι ἀγνοεῦσι. καὶ τούτων μὲν ὁκόσα κοινὰ πρὸς θηρία ἔχουσι, καὶ τῶν πολλῶν ἀδρανέστερον· τούτων μὲν ἐπιμελόμενοι· τοῦ δὲ ἐν ἑωυτοῖσι θειοτάτου, καὶ καθ' ὅτι αὐτοῖς ἐστὶν, εἰ οἷόν τε τοῖς θεοῖς ὁμοιοῦσθαι, ἀμελέοντες.

Θάρσος τὸ πρὸς τὰ φοβερὰ σὺν λόγῳ, αἰνεῖ, ἀνδρεία γάρ. τὴν δὲ μετὰ ἀλογίας ὁρμὴν, θράσος νόμιζε καὶ ἀπείργε.

ΠΕΡΙ ΣΤΡΑΤΗΓΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΠΟΛΕΜΟΝ ΧΡΕΙΩΝ ΥΠΟΘΗΚΑΙ.

ΛΟΓΟΣ ΝΒ.

Σοφοκλέους. Γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις προφοί.
ἀλ. τάλ'. Βουλαὶ * τά γ' ἐξέπραξαν, οὐ χειρῶν σθένος.
Γνῶμαι πλέον κρατοῦσιν, ἢ σθένος χερῶν,
Ἀγάθωνος. Γνώμη δὲ κρεῖσσόν ἐστιν, ἢ ῥώμη χερῶν.
Εὐριπίδου. Γνώμη γὰρ ἀνδρὸς, εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα.
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ. σὺν ὄχλῳ δ' ἀμαθία, πλέον κακόν.
Βραχὺ τοι σθένος ἀνδρὸς, ἀλλὰ ποικιλίαις πραπίδων.
Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
ἧσσον δέδοικα τἀσθενοῦς τι καὶ σοφοῦ.
Στρατηλάται τ' ἂν μυρίοι γενοίμεθα,
σοφὸς δ' ἂν εἷς τις, ἢ δύ' ἐν μακρῷ χρόνῳ,
ἀλ. ἰδεῖν. Εἶθ' ἦν ἀνὴρ * σύμβουλος ὡς δρᾶσαι χρεὼν.
ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι ἀνὴρ
πέφυκεν. ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας,
σὲ μὲν μάχεσθαι, τοὺς δὲ, βουλεύειν καλῶς.
Ὀλίγον ἄλκιμον δόρυ, κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.
Ἔχει δὲ καὶ τοῦτ' οὐχὶ μικρὸν εὐγενὴς
ἀνὴρ, στρατηγῶν, εὐκλεᾶ τ' ἔχων φάτιν.
Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ
στρατηλάτας χρὴ, τῶν θεῶν δὲ μὴ βίᾳ.
Μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης,

μι

Archidamus Lacedæmoniorum rex, cum uidisset filium suum nimis temere contra Athenienses pugnantem: aut uires tibi sunt augendæ, dixit, aut minuenda audacia.

Clitarchus historiographus dixit: Omnis audacia uirium mensuram excedit.

Quæ nam tibi tanta fœlicitas uidetur, ut eius gratia naturam existimes, hominibus nouercam, brutis uero parentem esse? An propter magnitudinem, celeritatem, uisusq; aciem ita censes? At hominum propria uis, in animi ratione consistit, qua & elephantos per syluas pedicis capit, frenat equos, subiugat boues aratris, uolucria deijcit arundinibus, & in profundo submersa retibus extrahit. Hæc eius uis est, quæ multò uberius se profert, cum ambitus terræ, cœli magnitudines, & stellarum circulos persequendo non fatigatur. Hæc erant Hercule digna. Quis enim non Vlysses, quàm Cyclops esse malit? *Plutarchi.*

Aratus Sicyonius laudante quopiam uirum desperatum & audacem, ac idcirco in bellis eximium: differre dixit magni facere uirtutem, & uitam nihili facere.

Homines uiribus tantum, robori & uelocitati augendis student, & quo pacto hæc habentes ex ipsis solis clari fiant: animum uero, per quem existunt, negligunt: ignorantes se illa solum excolere, quæ cum brutis communia habēt, & quidem imbecilliora quàm multa ex brutis: diuinissimam uero sui partem, & secundum quam dijs aliquo modo similes reddi possent, neglectui habere. *Eusebij.*

Animi præsentiam in rebus arduis cum ratione coniunctam, laudato: impetum uero sine ratione, audaciam uocato, & oderis.

DE IMPERATORIBVS, ET PERTINENTIBVS AD BELLVM CONSILIA. SERMO. LII.

Rationibus hominum opera nutriuntur. *Sophoclis.*
Consilia has res effecerunt, non manuum robur.
Rationes manuum uiribus præpollent. *Agathonis.*
Viri prudentia facit, ut bene habitentur ciuitates, *Euripidis.*
Itemq; familia: & ad bella magnum eius momentum est.
Consilium enim sapienter initum multas manus
Vincit: imperitia uero cum multitudine deterius malum est.
Exiguum est uiri robur, præualet autem animi industria.
Semper enim uirum imperitum, & robustum corpore
Minus timeo, quàm imbecillum & sapientem.
Imperatores quidem innumeros fieri liceret,
Sapientem uero uix unum aut alterum longo tempore.
Vtinam uir esses tam prudens consilio, quàm potens manu.
At non idem homo omnia scire
Idoneus est: sed aliud alij munus obtingit.
Te quidem pugnare, illos consultare decet.
Exigua hasta ualida potior est, quàm dux infiniti exercitus.
Hoc etiam non paruum decus est nobili
Viro, si fuerit imperator, & gloriosum inde nomen consequatur.
Cum dijs mouere hastam sapientes
Duces oportet, non autem præter ipsorum uoluntatem.
Odi cum quis imperator in regione

μὴ πᾶσι πάντων προσφόρει μαλίγματα.
τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών.
lego ἄλλο τυγχάνον. μέλει γὰρ αὐτοῖς οὐδέν * ἀλλ' ὃν τυγχάνον
τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ, πράσσει καλῶς.

Τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς
γνῶναι τὸν ἐχθρόν, ᾗ μάλιστ' ἁλώσιμος.

Ἄρξεις ἄρ' οὕτω. χρὴ δὲ τὸν στρατηλάτην
ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν.

Ῥώμη δέ τ' ἀμαθής, πολλάκις τίκτει βλάβην.

Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης.

Νίκη γὰρ ἀνδρῶν φονία, καὶ μάχας χερῶν
lego κλίνει. δόλοισι † κλέπτειν. * τοῖς δ' ἀληθείας ὁδὸς
** lego τ.* φαύλη τίς ἐστι, ψεύδεσι δ' Ἄρης φίλος.

Ἴσθι τὸ τολμᾶν ἀδύνατ', ἀνδρὸς οὐ σοφοῦ.

Τὴν δ' εὐσέβειαν, εὐτυχοῦσι μέν, καλὸν
ἀλλὰς ὅταν. τιμᾶν. * ὅπου δὲ πολεμίους δρᾶσαι κακῶς
θέλει τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος.

Ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος,
οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.

Θουκυδίδου. Ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται· ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον.

Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ὠκίστου προσδεῖται.

Ξενοφῶντος. Καὶ λέγειν αὐτὸν ἔφασαν, ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα, ἢ τοὺς πολεμίους, εἰ μέλλει, ἢ φυλακὰς φυλάξειν, ἢ φίλων ἀφέξεσθαι, ἢ ἀπροφασίστως ἰέναι ἐς τοὺς πολεμίους.

Τοῦ αὐτοῦ ἐν τεῖ τῶν ἀπομνημονευμάτων. Interseritur hic semipagina apud Xenophontem in octavo. Ἀκούσας δέ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν, ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεγε πρός τινα τῶν συνόντων, ὃν ᾐσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυχεῖν. * ἵνα καὶ ἐὰν ἡμῶν τις ἢ ταξιαρχῇ, ἢ λοχαγῇ, ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν. λέξον ἡμῖν πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν; καὶ ὃς ἐκ τοῦ αὐτοῦ ἔφη, εἰς ὅπερ καὶ ἐτελεύτα. τὰ γὰρ τακτικὰ ἐμέ γε, καὶ ἄλλ' οὐδὲν ἐδίδαξεν. ἀλλὰ μὴν ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς πόλεμον τὸν στρατηγὸν εἶναι χρή, καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικόν, καὶ ἐργαστικόν, καὶ ἐπιμελῆ καὶ καρτερικόν, καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμόν, καὶ ἁπλοῦν, καὶ ἐπίβουλον, καὶ φυλακτικόν τε καὶ κλέπτην, καὶ προετικόν, καὶ ἅρπαγα, καὶ φιλόδωρον, καὶ πλεονέκτην, καὶ ἀσφαλῆ, καὶ ἐπιθετικόν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ ἃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι. πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον, ἀτάκτου. ὥσπερ λίθοι τε καὶ πλίνθοι, καὶ ξύλα καὶ κέραμος, ἀτάκτως μὲν ἐρριμμένα, οὐδὲν χρήσιμά ἐστιν, ἐπειδὰν δὲ ταχθῇ, κάτω μὲν καὶ ἐπιπολῆς, τὰ μήτε σηπόμενα, μήτε τηκόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι, καὶ τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθεται, τότε γίνεται πολλοῦ ἄξιον κτῆμα οἰκία. ἀλλὰ πάνυ ἔφη ὁ νεανίσκος ὦ Σώκρατες ὅμοιον εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τούς τε πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους· ἐν μέσῳ δὲ τοὺς χείρους, ἵνα ὑπὸ μέν, τῶν, ἄγωνται· ὑπὸ δέ, τῶν, ὠθῶνται. εἰ μὲν τοίνυν ἔφη καὶ διαγινώσκειν σε τοὺς ἀγαθούς, καὶ τοὺς κακοὺς ἐδίδαξεν. εἰ δὲ μή, τί σοι ὄφελος ὧν ἔμαθες; οὐδὲ γὰρ εἴ σε ἀργύρειον ἐκέλευσε, πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, μέσον δὲ τὸ χείριστον, μὴ διδάξας διαγινώσκειν τό, τε καλὸν καὶ τὸ κίβδηλον, οὐδὲν ἄν σοι ὄφελος ἦν. ἀλλὰ μὰ Δί' ἔφη, οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. τί οὖν οὐ σκοποῦμεν ἔφη, πῶς ἂν αὐτῶν μὴ διαμαρτάνοιμεν; Βούλομαι ἔφη ὁ νεανίσκος:

οὐκοῦν

Non omnibus ubiq; lenia adhibuerit remedia.
Non enim ob facta succensere oportet,
Cum nihil aliud inde sit utilitatis consequuturus.
Sed res, si recte instituerit, fœliciter succedet.
Imperatoriam artem in hoc sitam esse puto, ut bene
Cognoscas hostem, quo maximè pacto possit capi.
Sic quidem imperabis. Oportet autem imperatorem
Simul existentem iustum, regere exercitum.
Robur cum imperitia sæpius damnosum est.
Cautus imperator præferendus est audaci.
Victoria hominum cruenta est, & pugnas manuum
Fraudibus inuoluit furtiuis: at ueritatis uia
Simplex est: mendacijs autem Mauors amicus.
Nosti quod audere impossibilia uiri sit non sapientis.
Pietatem secunda spirante fortuna decet
Colere. Cum uero quis hostes malè afficere
Voluerit, nulla lex impedimento est.
Quisquis exercitui imperat cum nunquam fuerit miles,
Is planè hecatomben hostibus educit.

Eiusdem in Phœnissis.

Eiusdē in Ione.

* Transacto bello cōstantior pax fit: in tranquillitate autem nolle bellum mouere haud æquè periculo uacat.

Thucydidis.

** Vel, Pax ex bello magis quā ex quiete stabilitur & cōfir.*

Quæcunq; ad necessitatem redacta sunt, ut præsens negotium, consilia minime admittunt, sed periculum turpe postulant.

Et aiunt ipsum dicere solitum, quod oporteat militem magis metuere ducē quā hostes, si talis sit futurus ut custodias seruet, amicis abstineat, & hostes citra tergiuersationem aggrediatur.

Xenophontis.

Cum uero quondam audisset Dionysidorum aduenisse in ciuitatem, qui profitebatur exercitus ductitandi artem se tradere posse, ad quendam è suis auditoribus quem sentiebat huius muneris cupidum esse, sic est loquutus.

Eiusdem de fact. & dictis lib. 3.

At uero si quis etiā nostrū aut manipuli aut cohortis præfectus unq̄ fuerit, magis in rebus bellicis expertus sit, dic nobis, à quo te incepit imperandi artem docere? At ille: Indidē, ait, ubi etiam finiuit. Aciem nanq; instruendi artem, et nihil aliud me docuit. Atqui, Socrates ait, minima hæc imperandi pars est. Imperatorem nanque & præparandi ea quæ ad bellum conferant, expertum esse oportet: & ad uictum militibus necessaria reperiendi, machinandi & operandi. Et ad hæc diligentem eum esse necesse est, corpore patientem, prudentem, mitem, durum, simplicem, insidiatorem, cautum, furem, liberalem, rapacem, donandi plus quàm habendi amatorem, tutum, & alios aggredi aptum. Cæteraq; multa sunt, quæ tum natura, tum doctrina illum habere oportet, qui bene imperaturus sit. Bonum uero est, inquit, aciem etiam ordinare scire: multo nanq; differt ordinatus ab inordinato exercitu. Quemadmodum enim lapides, lateres, ligna, et tegulæ inordinate quidem proiecta, ad nihil utilia sunt: cum uero ordinētur deorsum & sursum, quæ neq; putrefiunt, neq; fluunt lapides ac testæ: in medio autem lateres & ligna, quemadmodum in ædificijs componūtur, tunc domus res pluris æstimanda efficitur. Tum adolescens: Vehementer ô Socrates, inquit, simile quiddam dixisti. Nam & in bello illos primos & ultimos ordinare oportet, qui fortitudine excellant: in medio uero peiores, ut à primis ducantur, ab ultimis uero impellantur. Si igitur, Socrates ait, & discernere tibi fortes à timidis tradidit artem, bene est: sin minus, quæ utilitas erit huius tuæ disciplinæ? Nec enim si argentum quoque te docuisset in primo & ultimo loco optimum ordinare, peius uerò in medio, non docendo discernere bonum ab adulterato, ulla tibi esset utilitas. Sed me hercle, inquit, non docuit: itaque nos oportet, qui fortes quiue timidi sunt iudicare. Quin igitur consideremus, inquit, quo pacto nos non lateant. Ego profectò uelim, adolescens inquit.

Paulo post.

ἐκεῖν᾽ ἔφη, εἰ μὲν ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυρωτάτους πρώτους καθιστάντες ὀρθῶς ἂν τάττοιμεν; ἔμοιγε δοκεῖ. τί δαὶ τοὺς κινδυνεύειν μέλλοντας, ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον; οὗτοι γοῦν εἰσὶν ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. οὐ τοίνυν οὗτοί γε ἄδηλοι, ἀλλ᾽ ἐπιφανεῖς πανταχοῦ ὄντες, εὐαίρετοι ἂν εἶεν. ἀτὰρ ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅποι καὶ ὅπως χρηστέον ἑκάστῳ τῶν * ταγμάτων; οὐ πάνυ ἔφη. καὶ μὴν πολλά γ᾽ ἐστὶ, πρὸς ἃ οὔτε ἄγειν, οὔτε τάττειν ὡσαύτως προσήκει. μὰ δί᾽ ἔφη οὐ διεσαφήνιζεν.

alias πάντων.

Ἐν ταυτῷ.

Ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ τῳ, τοῦ ἕνεκεν ἔφη Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι ὥσπερ τὸν ποιμένα δεῖ ἐπιμελεῖσθαι ὅπως σῶαί τε ἔσονται αἱ οἶες, καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκεν τρέφονται, τοῦτο ἔσται, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται, καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δὲ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν. ἢ τί δή ποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα εἰπὼν,

ἀμφότερον βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής.

ἆρα ὅτι αἰχμητής τε καὶ κρατερὸς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ᾽ εἰ καὶ παντὶ τοῦ στρατοπέδου τούτου αἴτιος εἴη; καὶ βασιλεὺς ἀγαθὸς, οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι, ἀλλ᾽ εἰ καὶ ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη; καὶ γὰρ βασιλεὺς αἱρεῖται, οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ᾽ ἵνα καὶ οἱ ἑλόμενοι δι᾽ αὐτὸν εὖ πράττωσι. καὶ στρατεύονται δὲ πάντες, ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος εἴη, καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο αὐτοῖς ἡγεμόνες ὦσι. δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγόν. καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν, οὔτε αἴσχιον τοῦ ἐναντίου. καὶ οὕτως ἐπισκοπῶν τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετὴ, τὰ μὲν ἄλλα περιῄρει, κατέλειπε δὲ τὸ εὐδαίμονας ποιεῖν, ὧν ἂν ἡγῆται.

[illegible]

In Græco Xenophonte hic 13. uersus interponuntur.

alias ἵππῳ.

Καὶ ἱππαρχεῖν δέ τινι ᾑρημένῳ οἶδά ποτε αὐτὸν τοιάδε διαλεχθέντα. * ἂν ἀρχήπου ἔφη. ἐφ᾽ ἧς ᾔρησαι ἱππέων τε καὶ ἀμβατῶν ἐστίν. ἔστι γὰρ οὖν ἔφη. ἴθι δὴ λέξον ἡμῖν τοῦτο πρῶτον, ὅπως διανοῇ τοὺς ἵππους βελτίους ποιῆσαι, καὶ ὃς, ἀλλὰ τοῦτο μὲν ἔφη, οὐκ ἐμὸν εἶναι τὸ ἔργον οἶμαι, ἀλλὰ ἰδίᾳ ἕκαστον δεῖν τοῦ ἑαυτοῦ * ἵππου ἐπιμελεῖσθαι. ἐὰν οὖν ἔφη ὁ Σωκράτης παρέχωνταί σοι τοὺς ἵππους, οἱ μὲν, οὕτω κακόποδας ἢ κακοσκελεῖς, ἢ ἀσθενεῖς· οἱ δὲ, οὕτως ἀτρόφους ὥστε μὴ δύνασθαι ἀκολουθεῖν· οἱ δὲ, οὕτως ἀναγώγους, ὥστε μὴ μένειν ὅπου ἂν σὺ τάξῃς· οἱ δὲ, οὕτω λακτιστὰς, ὥστε μηδὲ τάξαι δυνατὸν εἶναι· τί σοι τοῦ ἱππικοῦ ὄφελος ἔσται; ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος, ἀγαθόν τι ποιῆσαι τὴν πόλιν; καὶ ὃς, ἀλλὰ καλῶς γε λέγεις ἔφη, καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι. τί δὲ τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις ἔφη βελτίονας ποιῆσαι; ἔγωγ᾽ ἔφη. (οὐκοῦν πρῶτον μὲν ἀναβατικωτέρους ἐπὶ τοὺς ἵππους ποιήσεις; δεῖ γοῦν ἔφη.) καὶ γὰρ εἴ τις αὐτῶν καταπέσοι, μᾶλλον ἂν οὕτω σῴζοιτο. τί γὰρ ἐάν που κινδυνεύειν δέῃ, πότερον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις, ἔνθα εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις, ἐν οἵοισπερ οἱ πόλεμοι γίγνονται; βέλτιον γοῦν ἔφη καὶ τοῦτο. (τί δὲ τοῦ βάλλειν τοὺς πλείστους ἀπὸ τῶν ἵππων, ἐπιμέλειάν τινα ποιήσεις; ἔφη καὶ τοῦτο.) θήγειν δὲ τὰς ψυχὰς τῶν ἱππέων, καὶ ἐξοργίζειν πρὸς τοὺς πολεμίους, ἅπερ ἀλκιμωτέρους ποιεῖ, διανενόησαι; εἰ δὲ μὴ, ἀλλὰ νῦν γε πειράσομαι ἔφη. ὅπως δὲ σοι πείθωνται οἱ ἱππεῖς, πεφρόντικάς τι; ἄνευ γὰρ δὴ τούτου, οὔτε ἵππων, οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων οὐδὲν ὄφελος. ἀληθῆ λέγεις ἔφη ἀλλὰ πῶς ἄν τις μάλιστα ἔφη ὦ Σώκρατες ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο; ἐκεῖνο μὲν δή που οἶσθα, ὅτι ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι. καὶ γὰρ ἐν νόσῳ, ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ μάλιστα πείθονται. καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυβερνητικώτατον. καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτατον. καὶ μάλα ἔφη. οὐκοῦν εἰκὸς ἔφη, καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται, ἃ δεῖ ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι. ἐὰν οὖν ἔφη ἐγὼ ὦ Σώκρατες βέλτιστος ὢν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; ἐάν γε πρὸς τοῦτο ἔφη διδάξῃς αὐτοὺς, ὡς τὸ πείθεσθαί σοι κάλλιόν τε, καὶ σωτηριώτερον αὐτοῖς ἔσται. πῶς οὖν ἔφη

Parenthesi inclusa nō sunt in Halensi Xenoph.

Inclusa parēthesi nō sunt in Halensi.

Si igitur argentum, inquit, rapere oportet, auaros & amatores argenti primos ponendo bene ordinabimus? Ita mihi uidetur. In periculis uero subeundis, num illos præponamus necesse est, qui amatores honoris sunt? Hi tamen, ait, non sunt obscuri: sed cum ubiq; præclari sint, facile inueniri ac eligi possunt. Sed sint hæc. Vtrum autem ordinare solum te docuit, an etiam ubi, & quomodo utendum est quolibet illorum, qui ordinandi sunt? Minimè, inquit. Attamen multa sunt, ait, in quibus nec ordinare, nec ducere eodem modo oportet: nónne hæc tibi declarauerat? Minime, inquit, mehercle.

Quondam uerò cum casu quendam imperatorem electum conuenisset: Qua de causa, inquit, arbitraris Homerum nuncupasse Agamemnonem pastorem populorum? Nónne quoniam quemadmodum pastorem oportet curare ut saluæ sint oues, ac habeant unde uiuant: sic etiam Imperatorem curare necesse est ut exercitus saluus sit, illudq; perficiat cuius rei gratia militat? Militant uerò ut hostibus superatis feliciores ipsi sint. Cur nanque ita laudasset Agamemnonem, atque utrumq; eum appellasset, regemq; bonum, militemq; robustum? nisi quod probet illum esse militem fortem, qui non solum aduersus hostes fortiter luctetur, sed omni etiam exercitui huius causa sit. Regemq; bonum, qui non se solum bene regeret, sed etiam illis quos regat, felicitatis causa sit. Rex nanque eligitur, non ut sui ipsius curam habeat, sed ut per ipsum, qui eum elegerunt, in felicitate degant. Similiter militant omnes homines ut quàm optima uita fruantur: imperatores præficiunt, ut ad hoc eos conducant. Oportet igitur imperatorem prospicere, ut hoc idem eligentibus conferat. Nec etiam aliud melius isto facile est reperire, nec contrario turpius. Et ad hunc modum considerans quis sit boni præfecti uirtus, cætera quidem auferebat: illud autem solum relinquebat, uidelicet ut felices efficiat illos, quorum quisq; dux effectus est. *Ibidem.*

Cum quodam uero equitum præfecto, in hunc modum eum memini disputasse. *Ibidem.*

Principatus uero hic in quem electus es, equorum & equitum est? Ita est, inquit. Age itaque hoc primum dic nobis: Quibus artibus cogitas equos meliores efficere? At ille: Non meum hoc opus esset, sed quilibet officij sui curam habebit. At si tibi, Socrates ait, equos ducent quosdam, tam uitiatis pedibus ac tibijs, quosdam uero ita debiles ac strigosos, ut sequi non possint, & quosdam ita male educatos, ut non maneant quocunq; tu loco ordinaueris, quosdam uero tam calcitrosos, ut non sit possibile de uno in alium aciei locum eos transferre, quæ tibi utilitas erit equitatus? aut quo tandem bono, cum talibus præsis, ciuitatem afficies? At ille: Optime dicis, inquit: & ideo, prout possum, conabor equorum curam habere. Quid uerò, equites ipsos non conaberis meliores efficere? Vehementer, inquit. Primo itaque, ait, aptiores ad ascendendum equos efficies? Opportunum est, inquit: Etenim si quando quisquam eorum ab equo caderet, citius hoc modo saluus erit. Quod si pericula, inquit, oportuerit subire, utrum ad arenam iubebis hostes attrahere, ubi equitare soletis, an in talibus locis exerceri conaberis, quibus bella fieri solent? Hoc esset melius, ait. Acuere uero animos equitum, & aduersus hostes irritare, ac fortiores efficere unquam considerasti? Si non antea, nunc, ait, conabor. Vt uero tibi obediant equites cogitasti? Etenim absque hoc, nec equorum, nec equitum bonorum ac fortium ulla erit utilitas. Verum dicis, ait. Sed quo nam modo quisquam, ô Socrates, eos ad hoc hortaretur? Non ignoras illud, ait, quod in quaque re illis obedire potissimum homines uolunt, quos putant optimos esse: nam & in morbo illi potissimum obediunt, quem putant medicina excellere, & in naui qui nauigant, gubernatori, & in agricultura agricolæ. Ita profectò, inquit. Et in equitandi itaque arte, ait, quicunque sciat quæ oporteat agere, illi uerisimiliter cæteri obedient. Si ergo ego, ô Socrates, melior illis in hac re sim, sufficiet mihi ad hoc ut illi mihi obediant? Si ad hæc, inquit, doceas illos, melius & magis expediens illis fore tibi obedire. Quo autem modo

τοῦτο διδάξω. πολὺ νὴ Δί' ἔφη ῥᾷον, ἢ εἴ σε δέοι διδάσκειν, ὡς τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά ἐστι. λέγεις ἔφη σὺ τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ δύνασθαι λέγειν; σὺ δ' οὖν ἔφη χρῄζεις σιωπῇ ἱππαρχεῖν; ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα διὰ λόγου ἐμάθομεν; καὶ εἴ τι ἄλλο καλὸν μανθάνει τις μάθημα, διὰ λόγου μανθάνει. καὶ οἱ ἄριστα διδάσκοντες, μάλιστα λόγῳ χρῶνται. καὶ οἱ τὰ σπουδαιότατα μάλιστα ἐπιστάμενοι, κάλλιστα * διαλέγονται.

al. διδάσκονται.

Ηροδότου. Ὁ δὲ Ἀρτάβαζος ἀμείβετο λέγων. ὦ βασιλεῦ, οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχοι, μέμφοιτ' ἄν, οὔτε τῶν νεῶν τὸ πλῆθος. ἢν δὲ πλεῦνας συλλέξῃς, τὰ δύο ταῦτα λέγω πολλῷ ἔτι πολεμιώτερα γίνονται. τὰ δὲ δύο ταῦτα, ἐστὶ γῆ τε καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης ἐστὶ λιμὴν τοσοῦτος οὐδαμόθι, ὡς ἐγὼ εἰκάζω, ὅστις ἐγειρομένου χειμῶνος δεξάμενος σοῦ τοῦτο τὸ ναυτικὸν φερέγγυος ἔσται διασῶσαι τὰς νέας. καί τοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπειρον, παρ' ἣν δὴ * κομίζεαι. οὐκ ὦν δὴ ἐόντων τῶν λιμένων ὑποδεξίων, μάθε ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐκὶ ἄνθρωποι τῶν συμφορέων. καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου, τὸ ἕτερον ἔρχομαι ἐρέων. γῆ δὲ πολεμίη τῇδέ τοι καθίσταται, εἰ θέλει τοι μηδὲν * ἀντίζοον καταστῆναι, τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν προβαίνῃς ἑκαστέρω, τὸ πρόσω αἰεὶ * βλεπόμενος. εὐπρηξίης γὰρ οὐκ ἔστιν ἀνθρώποις οὐδεμίη πληθώρη. καὶ δή τοι ὡς οὐδενὸς ἐναντιουμένου, λέγω τὴν χώρην πλεῦνα ἐν πλεῦνι χρόνῳ γινομένην, λιμὸν τέξεσθαι. ἀνὴρ δὲ οὕτως ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀῤῥωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα: ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη.

al. κομίζειν.

al. ἀντίξοον.

al. κατιέμενος.

Θουκυδίδου. Πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς, ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν.

Δημοσθένους. Οὐ γὰρ ὁμοίως * οὐδέ. ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν, πολεμήσειεν ἂν καὶ τῶν ἑαυτοῦ. ἀλλ' ὑπὲρ μὲν ὧν ἂν ἐλαττῶνται, μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν, ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν, οὐχ οὕτως. ἀλλ' ἐφίενται μὲν, ἐάν τις ἐᾷ. ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἀδικηκέναι τοὺς ἐναντιωθέντας ἑαυτοῖς ἡγοῦνται.

lego ἐλαττῶνται.

Θουκυδίδου. Εἰώθασί τε οἱ ἰσχύος τῆς θράσους τοῖς πέλας ὥσπερ Ἀθηναῖοι νῦν ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ αὐτοῦ μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν: τὸν δὲ καὶ ἔξω ὅρων προαπαντῶντα, καὶ ἢν καιρὸς ᾖ πολέμου ἄρχοντα, ἧσσον ἑτοίμως κατέχειν.

Καὶ νομίσατε τρία εἶναι τοῦ καλῶς πολεμεῖν, τὸ ἐθέλειν, καὶ αἰσχύνεσθαι, καὶ τοῖς ἄρχουσι πείθεσθαι.

Ἐλπὶς δὲ κινδύνῳ παραμύθιον οὖσα, τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε: τοῖς δὲ ἐς ἅπαν τὸ ὑπάρχον ἀναῤῥιπτοῦσι. δάπανος γὰρ φύσει, ἅμα τε γιγνώσκεται σφαλέντων. καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν, οὐκ ἐλλείπει.

Ἐκ τῶν Νικολάου ἐθῶν. Τὸ γὰρ ἐπιὸν ὕστερον, δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος, καὶ μαχομένου.

Αὐταρχιάται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας ἀπολείπουσι.

Τριβαλλοὶ, τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται: τὴν μίαν τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων: τὴν τρίτην τῶν ἱππέων: τελευταίαν, τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι.

lego τοὺς πολεμίους. Ἀντισθένης ἔλεγεν, ὅτι δεῖ * τοὺς πολεμίους εὔχεσθαι τἀγαθὰ παρεῖναι χωρὶς ἀνδρείας. γίνεται οὕτως, οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων.

Δημοσθένους. Αἰσχρόν ἐστι φενακίζειν ἑαυτοὺς, καὶ ἅπαντα ἀναβαλλομένους, ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερεῖν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων. καὶ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων ἀξιώσειέ τις ἂν τὸν στρατηγὸν ἡγεῖσθαι, ἵν' * ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ μὴ τὰ συμβαίνοντα ἀναγκάζωνται διώκειν.

lego ἃ ἐκεῖνο.

Πλουτάρχου. Οἱ ῥήτορες Ἀθηναίων Ἰφικράτη, καὶ Τιμοθέῳ Χάρητα παρέφερον ἰσχυρὸν ὄντα, καὶ τοιοῦτον ἀξιοῦν εἶναι τὸν στρατηγόν. ὁ δὲ Τιμόθεος, οὐ μὰ τοὺς θεοὺς εἶπεν, ἀλλὰ τοιοῦτον μὲν εἶναι τὸν

μέλλοντα

istud docebo? Multo facilius, ait, per Iouem, quàm si oportuerit docere, mala meliora esse bonis atque utiliora. Vt apparet igitur, inquit, tu dicis equitum præsidem oportere etiam artem perorandi habere. Tu autem putabas, ait, tacendo posse equitibus præesse? An non recordaris, quod quæcunque optima lege didicimus, per quæ uiuere possumus, omnia ista per uerba didicimus? Et si quam aliam bonam disciplinam discat quisq;, per uerba discit: quiq; optime docent, sermone utuntur: quiq; honestissima sciunt, optima disputant.

Respondit Artabanus: Neq; hunc rex exercitum improbauerit quisquam, qui sit mentis compos, neq; hanc nauium multitudinem, etiamsi plures coegeris. Quæ autem duo dico esse tibi multo hostiliora, ea uero hæc sunt, terra & mare. Neque enim usquam maris portus est eiusmodi, ut ego coniecto, qui surgente tempestate sit capax huius tuæ classis, idoneusq; ad eam tutandam: neq; uero unum tibi portum esse oportet, sed uniuersam continentem esse portum, quò se recipiant naues. Itaq; cum portus tibi opportuni desint, intellige homines in arbitrio fortuitorum, non fortuita in arbitrio hominum. E duobus uno exposito pergam dicere alterum. Terra cum ob alia tibi hostilis est, tum eo hostilior, si nihil obstiterit, quò longius processeris, assiduè ulteriora surripiens. Nulla est hominibus rei bene gerendæ satietas. Vnde etiam ut nemo tibi occurrat, dico regionem maiori in tempore maiorem famem esse allaturam. At uir ita demum fuerit optimus, si in deliberando quidem omnẽ rem, quamcunq; pati posset, reputans extimescit: in re autem agenda est audax. *Herodoti lib. 7. historiæ.*

Solet enim humanum genus perpetuo, cedentibus imperare: cauere autem à resistentibus. *Thucydidis.*

Non enim similiter quisquam meliorem partem occupandi studio etiam contra suos bellum gesserit. Verum ne deteriorem conditionem habeant, quoad fieri potest, omnes bellum cient: ad obtinendum uero potiorem, non ita. Sed cupiunt quidem, si quis permittat: si n prohibeantur, nihil iniuriæ ab illis se passos arbitrantur, qui aduersati ipsis fuerint. *Demosthenis.*

Soliti sunt qui freti suis uiribus, ut nunc Athenienses, uicinos inuadũt, quiescentem quidem & suam regionem solum defendentem, audacius cum exercitu aggredi: illum uero qui etiam extra fines eis occurrit, & per occasionem bellum prior incipit, minus promptè sustinere. *Thucydidis.*

Existimate tria esse bellũ rectè gerendi capita, uelle, reuereri, ac obedire ducibus.

Spes, quæ in periculis solatium est, etsi offenderit eos qui secundum abundantiã rerum ipsam experiuntur, non prorsus tamen pessundat: illos uero, qui sua omnia fortunæ periculo exponunt,

(Sequentia uidentur mutila.) (pugnat.

Id enim q̃d posterius accedit plus terroris incutit hostibus, quã q̃d præsens est ac

Autarchiatæ milites imbecillos in itineribus nunquam uiuos relinquunt. *Nicolai de moribus.*

Triballi quatuor phalanges in pugnis instituunt: primam ex imbecillibus, alteram ex optimis & fortibus uiris, tertiam ex equitibus, postremã ex mulieribus, quæ ipsos in fugam conuersos conuitiis insectantes retinent.

Antisthenes inquiebat precari & optare oportere, ut bona multa citra fortitudinem hostibus contingerent. Nam ea non possidentium, sed uincentium esse. *al. Antiphanes.*

Turpe est seipsos decipere, ac omnia quæ difficilia fuerint differẽdo in rebus omnibus nimis esse tardos: & ne hoc quidem intelligere posse, quod oporteat illos, qui rectè bellum gessuri sint, non sequi res & occasiones à tergo, sed ipsas antecedere. Nam & imperatorem similiter exercitui præesse oportet, ut ea faciant quæ ipse iusserit, non autem cogantur res quomodocunq; euenerint sequi. *Demosthenis.*

Rhetores Athenis Iphicrati & Timotheo adductum Charetem hominem robustum ostendebant, atque talem imperatorem constituendum uolebant. Timotheus autem, Non per deos, dixit: sed talis ille sit qui *Plutarchi.*

μέλλοντα παρὰ στρατηγοῦ τὰ στρώματα κομίζειν· τὸν δὲ στρατηγὸν, ἅμα πρόσω καὶ ὀπίσω ὁρᾶν.

Ἀντίγονος ὑποχωρῶν ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον.

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτάνοντι. τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν, οὐκ ἔστιν εἶπεν ἐν πολέμῳ δὶς ἁμαρτάνειν.

Ἀντίγονος ἐρωτηθεὶς, πῶς ἄν τις ἐπιθοῖτο τοῖς πολεμίοις, εἶπεν:

ἢ δόλῳ, ἠὲ βίῃ, ἢ ἀμφαδὸν ἠὲ κρυφηδόν.

Δημάδης ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ, ὑπὸ Φιλίππου, καὶ συνεθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου, ποῦ ἡ δύναμις καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως; ἔγνως ἂν ἔφη ὦ βασιλεῦ, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει.

Ἀγησίλαος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐρωτηθεὶς, τίνα δεῖ τὸν στρατηγὸν ἔχειν, εἶπε· πρὸς μὲν τοὺς πολεμίους τόλμαν· πρὸς δὲ τοὺς ὑποτεταγμένους, εὔνοιαν· πρὸς δὲ τοὺς καιροὺς, λογισμόν.

Ἐπαμινώνδας ὁ Θηβαῖος ἰδὼν στρατόπεδον μέγα, καὶ καλὸν, στρατηγὸν οὐκ ἔχον· ἡλίκον ἔφη θηρίον, κεφαλὴν οὐκ ἔχει.

Ἰφικράτης ἐρωτηθεὶς, τίς ὢν ἐν ἐκκλησίᾳ μέγα φρονεῖς, πότερον ἱππεὺς, ἢ ὁπλίτης, ἢ τοξότης, ἢ πελταστής; οὐδεὶς ἔφη τούτων, ἀλλὰ τούτοις ἐπιτάττειν πᾶσιν ἐπιστάμενος.

Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν, τοὺς μάλιστα γινώσκοντας τὰ τῶν πολεμίων.

Θουκυδίδ. Ὅσοις γοῦν ἐβουλήθησαν πρὸς τοὺς ἀντιπάλους, κρείσσων δοκεῖν, ἢ μετ' ἔργων ἰσχύος, ἀνοίᾳ ὑπὲρ.

lego εὐπρεπεῖ. Ἀπάτῃ γὰρ * δυσπρεπεῖ, αἴσχιόν τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι, ἢ βίᾳ ἐμφανεῖ. τὸ μὲν γὰρ, ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν ἐπέρχεται· τὸ δὲ, γνώμης ἀδίκου ἐπιβουλῇ.

Βεβαιότατα δ' ἄν τις τοὺς πολεμίους οὕτω βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι. εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστου τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι.

Ταρέντ. Πύῤῥος ἐπιζητούντων τινῶν παρὰ πότον, πότερος κρείσσων αὐλητὴς, Ἀντιγενίδας ἢ Σάτυρος· ἐμοὶ μὲν εἶπε, στρατηγὸς Πολυσπέρχων· διδάσκων ὅτι ἀναγκαῖα δεῖ ζητεῖν, καὶ μὴ ἄχρηστα.

Ἀννίβαλ, ἀκούσας στωϊκοῦ τινος ἐπιχειροῦντος, ὅτι ὁ σοφὸς μόνος στρατηγός ἐστιν, ἐγέλασε· νομίζων ἀδύνατον εἶναι, ἐκτὸς τῆς δι' ἔργων ἐμπειρίας, τὴν ἐν τούτοις ἐπιστήμην ἔχειν.

Πύῤῥος πρὸς τὸν ὑπισχνούμενον τὰ τακτικὰ διδάξειν, ἐν δὲ παρατάξει οὐδέποτε γεγονότα, οὐκ ἔφη δεῖσθαι ἀπὸ βιβλίου σαλπίγκτου στρατηγοῦ.

Φίλιππος ἔλεγε, κρεῖττον εἶναι στρατόπεδον ἐλάφων, λέοντος στρατηγοῦντος· ἢ λεόντων, ἐλάφου στρατηγοῦντος.

lego ἔχον τὰ. Ἰφικράτης τὸ στράτευμα οὕτως ἔφασκε δεῖν συντετάχθαι, ὡς ἐν σῶμα· θώρακα μὲν * ἔχοντων φάλαγγα· χεῖρας δὲ τοὺς ψιλούς· πόδας δὲ τοὺς ἱππέας· κεφαλὴν δὲ, τὸν στρατηγόν.

Φίλιππος ἐρωτώμενος, οὕς τινας μάλιστα φιλεῖ, καὶ οὕς τινας μάλιστα μισεῖ· τοὺς μέλλοντας ἔφη προδιδόναι, μάλιστα φιλῶ· τοὺς δ' ἤδη προδεδωκότας, μάλιστα μισῶ.

Τιμόθεος πρὸς τὸν ἐρωτώμενον, ὦ διαφορὰ στρατηγικὴ ῥητορικῆς, ὁ πόλεμος ἔφη εἰρήνης.

Ξενοφῶν. Οὔτε γοῦν ἂν φίλους τις ποιήσειεν ἄλλως πως πλείονα ἀγαθὰ ἐν πολέμῳ, ἢ πολέμιος δοκῶν εἶναι. οὔτ' αὖ ἐχθροὺς πλεῖον τι βλάψειεν ἄλλως πως, ἢ φίλος δοκῶν εἶναι.

ΠΕΡΙ ΕΙΡΗΝΗΣ, ΛΟΓΟΣ νγ'.

Εὐριπίδ. ΕΙΡΗΝΗ βαθύπλουτε, καὶ καλλίστα μακάρων θεῶν,
ζῆλός μοι σέθεν, ὡς χρονίζεις,
δέδοικα δὲ μὴ πρὶν πόνων ὑπερβάλῃ με γῆρας,
malim οἰδ. πρὶν † γὰρ χαρίεσσαν * προσιδεῖν ὥραν
* malim τείλα. forte κωμάζειν. καὶ † καλλιχόρους ἀοιδὰς, φιλοστεφάνους τε κώμους.

imperatori gestaturus est stragula: imperator uero, tum quæ ante ipsum, tum quæ à tergo sunt prospiciat.

Antigonus olim hostibus ingruentibus cedēs, dixit se non fugere, sed utilitatem retro sitam persequi.

Lamachus præfectū quendā manipuli peccantē reprehendebat: & cū ille diceret, posthac se nunquam similiter peccaturū: Non licet, inquit, in bello bis delinquere.

Antigonus interrogatus quomodo oporteret hostes aggredi, dixit: Aut dolo, aut ui, aut apertè, aut per insidias.

Demades rhetor in pugna ad Chæroneam à Philippo captus, eiq; cōmendatus, cum Philippus inter pocula hæc uerba iactaret: Vbi nunc est nobilitas & præstātia ciuitatis Atheniensium? Cognosceres dixit, ô rex, ciuitatis uim, si Philippus Atheniensibus, Chares autem Macedonibus imperaret.

Agesilaus Lacedæmoniorum rex interrogatus, quas res imperatorem habere oporteat, dixit: Aduersus hostes audaciam, erga subditos beneuolentiam, in opportunitate uero, rationem & consilium.

Epaminundas Thebanus, *magno & egregio exercitu conspecto, sed sine duce: quanta bellua, dixit, absq; capite.

*Potest & ita reddi: Cōspecto magno exercitu qui bono et prudente imperatore carebat.

Iphicrates rogatus, quisnam esset, quod in concione adeò se efferret, num eques, aut grauis armaturæ miles, aut sagittarius, aut peltam gerens. Nihil horum sum, dixit, sed istis omnibus imperare noui.

Chabrias optimos imperatores esse dixit, qui res hostium notissimas haberent.

Quicunq; consilijs contra hostes iuuat, potior est, quàm qui ipsos sine prudentia pugnandi robore aggreditur. *Thucydidis.*

Turpius est uiros alicui⁹ dignitatis indecēti fraude, q̄ ui manifesta superare. Hoc em̄ ex iusta causa roboris, q̄d fortūa largita est, obtingit: illud uero p insidias iniq animi.

Hostes aliquis hoc pacto uehementissimè læserit, si rebus istis eos afficiat, à quibus sibi maximè ipsos metuere certò resciuerit. Proculdubio enim ea quæ maximè terribilia ipsis uidentur, imprimis metuunt.

Pyrrhus cum quidam inter pocula quærerent, utrū Antigenidas aut Satyrus melior esset tibicen. Mihi sanè, dixit, præstare uidetur dux, qui multos incitat: innuens quæri oportere non inutilia, sed necessaria. *Tarasio.*

Hannibal cum audisset Stoici cuiusdam argumenta, quibus probabat solum sapientem, imperatorem esse, risit: existimans fieri non posse, ut militaris scientia pareтur sine usu & experientia in rebus ipsis.

Pyrrhus ad quendam promittentem se traditurū ei aciem instruendi artificium, qui tamen in acie nunquam fuerat, dixit non opus esse sibi imperatore cuius aures tubæ sonus nunquam circumierit.

Philippus aiebat præstantiorem esse ceruorum exercitum imperante leone: quàm leonum, ductore ceruo.

Iphicrates exercitū sic oportere constitutū esse dicebat, ceu unū corpus: ita ut loco thoracis phalāgē habeat, manuū amicos, pedū equites, capitis aūt loco imperatorē.

Philippus interrogatus quos amaret præcipue, & q̄s maximè odisset, respondit: prodituros quidem imprimis amo: eos uero qui iam prodiderunt, odi maximè.

Timotheus quærenti quid inter imperatoriam artem & oratoriam discriminis esset: idem, dixit, quod inter bellum & pacem.

Neq; uel amicis beneficiū maius præstiteris in bello, quàm si inimicus ipsis esse uidearis: Vel magis hostibus ullo pacto nocueris, quàm si amicitiam ipsorū simules. *Xenophontis.*

DE PACE, SERMO LIII.

Euripidis.

Pax opulenta, & beatos inter pulcherrima diuos,
Desyderium me tui habet, ô quàm tarda moraris.
Atqui metuo, ne prius laboriosa uincar senecta,
Quàm iucundum tui tempus inspexero,
Cantusq; pulchricolores, conuiuiaq; coronis gaudentia.

ἴθι μοι πότνια πόλιν τάνδε, ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴκων,
τὰν μαινομέναν τ' ἔριν, θηκτῷ τερπομέναν σιδήρῳ.

Ἀριστοφάνους.

Εἰρήνη βαθύπλουτε, καὶ ζευγάριον βοεικόν.
εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο
σκάψαντ' ἀποκλάσαι, καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς ἄρτον λιπαρὸν, καὶ ῥάφανον φέροντι.

Βακχυλίδου παιάνων.

Τίκτει δέ τε θνατοῖσιν εἰρήνα μεγάλα,
πλοῦτον, καὶ μελιγλώσσων ἀοιδᾶν ἄνθεα,
δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν * ἔθεσθαι βοῶν ξανθῇ (malim αἴθεσθ.)
φλογὶ * μηρίων, εὐτείχων τε μήλων. (malim μηρία.)
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλειν.
ἐν δὲ σιδαροδέτοισι πόρπαξιν αἰθᾶν ἀράχναν
ἱστοὶ πέλονται. ἔγχεά τε λογχωτὰ,
ξίφεά τ' ἀμφάκεα δάμναται, χαλκέων
δ' οὐκέτι σαλπίγγων κτύπος, οὐδὲ συλᾶται μελίφρων ὕπνος
ἀπὸ βλεφάρων ἄμος, ὃς θάλπει κέαρ.
συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαί,
παιδικοί θ' ὕμνοι φλέγονται.

Εὐριπίδου.

Ἀρκείτω μοι μίτον ἀμφιπλέκειν ἀράχνα.
μετὰ δ' ἡσυχίας πολιῷ γήρᾳ συνοικοίην,
ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας.
Θρηΐκιον πέλταν πρὸς ἀθάνας.
δέλτων τ' ἀναπτύσσοιμι γῆρυν, ἂν σοφοὶ κλέονται.

Φιλήμονος.

Οἱ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα,
περὶ τοῦτο δ' ἑαυτοῖς πολὺς ἀναλοῦται χρόνος,
τί ἐστιν ἀγαθόν. καὶ οὐδὲ εἷς εὕρηκέ πω
* τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι. καὶ (malim ὁ μέν τις ἀρετὴν, ὁ δὲ φρόνησίν φησι, καὶ)
πλέκουσι ταῦτα μᾶλλον, ἢ τί τ' ἀγαθόν.
ἐν ἀγρῷ διατρίβων τήν τε γῆν σκάπτων ἐγὼ,
νῦν εὗρον εἰρήνης τίν' ὦ Ζεῦ φίλτατε,
τῆς ἐπαφροδίτου, καὶ φιλανθρώπου θεοῦ
γάμους, ἑορτὰς, συγγενεῖς, παῖδας, φίλους,
πλοῦτον, ὑγίειαν, σῖτον, οἶνον, * (Aliquid deest ad perficiendum senarium.)
αὕτη δίδωσι. ταῦτα πάντ' ἂν ἐκλίπῃ,
τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος.

Εὐριπίδου.

Ὅταν γὰρ ἔλθῃ πόλεμος εἰς ψῆφον λεὼ,
οὐδεὶς ἔτ' αὐτοῦ θάνατον ἐκλογίζεται,
τὸ δυστυχὲς δὲ τοῦτ' εἰς ἄλλον ἐκτρέπει.
εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
οὐκ ἄν ποθ' Ἑλλὰς δοριμανὴς ἀπώλλυτο.
καίτοι δυοῖν γὰρ πάντες ἄνθρωποι λόγοιν,
τὸν κρείττον' ἴσμεν, καὶ τὰ χρηστὰ καὶ κακά.
ὅσῳ τε πολέμου κρεῖττον εἰρήνη βροτοῖς,
ἣ πρῶτα μὲν μούσαισι προσφιλεστάτη,
γόοισι δ' ἐχθρὰ, τέρπεται δ' εὐπαιδίᾳ,
χαίρει δὲ πλούτῳ, ταῦτ' ἀφέντες οἱ κακοὶ
πολέμους ἂν αἱρούμεθα, καὶ τὸν ἥττονα
δουλούμεθ' ἄνδρες ἄνδρα, καὶ πόλις πόλιν.

Huc ades ô ueneranda hanc ad urbem, ædibus inimicam expelle sedi- (tionem, *Eiusdem.*
Insanamq́ litem, ferro quæ gaudet acuto.

O pax prædiues, & bubus constans iugum. *Aristophanis.*
Vtinam mihi immuni à bello contingeret
Fodere incuruato, lotoq́ diuellere
Panem opimum cum uino, & raphanum ferenti.

Res maximas mortalibus producit pax, *Bacchylidis in pœanib.*
Nempe diuitias, & suauissimorum cantuum flores,
Hæc efficit ut in pulchris deorum aris boum flauis mandentur
Flammis partes, & lanigerarũ pecudũ,
Hæc facit ut gymnasia iuuenes, & tibias conuiuiaq́ curent.
Tum in ferro ligatis scutorum * ansis nigrorum araneorum ** uel annulis.*
Telæ insunt: & hastæ præferratæ,
Ancipitesq́ gladij iacent. Non autem æneæ
Resonant amplius tubæ, neq́ dulcem aufert somnum
A genis pugnæ† tumultus, qui * tabefacit animum: *† In Græco est ἦμορ.*
Quin dulcium conuiuiorum pleni sunt uici, ** Græcè est θάλπει.*
Et amatoriæ cantilenæ flagrant.

Satis mihi fuerit filum contexere araneæ, *Euripidis.*
Modo cum tranquillitate cana senecta fruar,
Et cantem sertis redimitus canum caput,
(*Hic uersus est in Græco corruptus.*)
Librorumq́ sonos euoluam, quos sapientes celebrauerint.

Inquirunt, ut audio, philosophi, *Philemonis.*
Et multum in hoc absumunt temporis,
Quidnam sit bonum, nec dum ullus inuenit quid sit.
Alius uirtutem, alius prudentiam, inquit, &
Hæc etiam intricant magis, quàm quid bonum sit.
At rusticus ego terramq́ fodiens
Nunc bona quæ sint pacis inueni, ô Iupiter charissime,
Amabilis illius & benignissimæ Diuæ.
Nuptias, festa, cognatos, liberos, amicos,
Diuitias, sanitatem, annonam, uinum
Pax confert: quod si hæc omnia defecerint,
Perijt omnis communiter uiuentium uita.

Cum de bello suscipiendo suffragia fert populus, *Euripidis.*
Tum nullus mortem imminere sibi cogitat,
Sed istud infortunium in alium conijcit.
Quod si mors ob oculos esset dum feruntur suffragia,
Nunquam insano belli amore capta periret Græcia.
Verum enimuerò omnes homines duplici sermone proposito
Meliorem dignoscimus, item bona & mala,
Et quantum bello potior sit pax hominibus,
Quæ primum quidem Musis est gratissima,
Aduersa uero luctibus est, sobolisq́ dexteritate gaudet,
Ac delectatur opibus: illis nos mali relictis
Bella præferimus, & inferiorem
Subijcimus uiri uirum, & ciuitas ciuitatem.

Ἀριστοφάνους. Ὦ μῶρε μῶρε, ταῦτα πάντ' ἐν τῷδ' ἔνι.
οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ χωρίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβάτων βληχωμένων,
αἰγός τε φωνὴν εἰς λεκάνην ὠθουμένης.
ὄψον δὲ χρῆσθαι, πυνιδίοις τε, καὶ κίχλαις,
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια
τριταῖα, πολυτίμητα, βεβασανισμένα
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

Μενάνδρου. Ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος;
πόθεν λάβοιμ' ἂν ῥῆμα μυριάμφορον;
Εἰρήνη γεωργὸν κἂν πέτραις τρέφει καλῶς.
πόλεμος δὲ, κἂν πεδίῳ κακῶς ἔφυ.
Οὐδεὶς γὰρ οὕτως ἀνόητός ἐστιν, ὅς τις πόλεμον πρὸ εἰρήνης αἱρεῖται.

ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ ΟΤΙ ΑΓΑΘΟΝ, ΛΟΓΟΣ νδ.

Ἀριστοφάνους. ΤΗΣ πᾶσιν ἀνθρώποισιν εἰρήνης φίλης
πιστὴ τροφὸς, ταμία, συνεργὸς, ἐπίτροπος,
θυγάτηρ, ἀδελφή. πάντα ταῦτ' ἐχρῆτό μοι.
σοὶ δ' ὄνομα δὴ τί ἐστιν ὅτι γεωργία.

Ἱερωνύμου. ὦ ποθεινὴ τοῖς δικαίοις καὶ * γεωργὸς ἡμέρα.
ἀσμένος γ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους.

Μενάνδρου. Χαῖρ' ὦ φίλη γῆ, διὰ χρόνου πολλοῦ σ' ἰδὼν,
ἀσπάζομαι. τουτὶ γὰρ οὐ πᾶσαν ποιῶ
τὴν γῆν, ὅταν δὲ τοὐμὸν ἐσίδω χωρίον.
τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.

Ἀμφίδος. Εἶτ' οὐχὶ χρυσοῦν ἐστὶ πρᾶγμ' ἐρημία.
ὁ πατήρ γε τοῦ ζῆν ἐστὶν ἀνθρώποις ἀγρός.

Ἱερωνύμου. πενίαν τε συγκρύπτειν * ἐπίσταται μόνος.
ἄστυ δὲ θέατρον ἐστὶν ἀτυχίας σαφῶς γέμον.

Μενάνδρου. Ἀρ' ὅτιν ἀρετῆς καὶ βίου διδάσκαλος
ἐλευθέρου, τοῖς πᾶσιν ἀγρός.

Φωκυλίδου. Χρήζων πλούτου, μελέτην ἔχε πίονος ἀγροῦ.
ἀγρὸν γάρ τε λέγουσιν ἀμαλθείης κέρας εἶναι.

Ἀριστοφάνους. Ἀποβλέπων εἰς τὸν ἀγρὸν εἰρήνης ἐρῶν,
στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν,
ὃς οὐδὲ πώποτ' εἶπεν ἄνθρακας πρίω.
οὐκ ὄξος, ὄψον, οὐκ ἔλαιον. οὐχὶ δ' ᾔδει.
ἀλλ' αὐτὸς ἔφερε πάντα. χ' ὁ πρίων ἀπῆν.

Μενάνδρου. Ἀγροῖκος εἶναι προσποιῇ, πονηρὸς ὤν.

Ἀράτου. Οὔπω λευγαλέου * τότε νείκεος ἠπίσταντο,
alias τοῦ. οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ.
αὔτως δ' ἔζωον, χαλεπὴ δ' ἀπέκειτο θάλασσα.
καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον.
ἀλλὰ βόες, καὶ ἄροτρα, καὶ αὐτὴ πότνια λαῶν

μυελ

O stulte stulte, hæc omnia paci insunt. *Aristophanis.*
Vt ruri aliquis in prædio habitet
Immunis à forensibus negotijs,
Proprium possidens iugum boum,
Balantes & audiat oues,
Capræq; uocem*ad mulctram emulgendæ, *ἐς πυελίδ᾽ ἀμελγομένων.*
Obsonijs autem utatur conchis, & turdis,
Neq; expectet in foro uenales pisciculos
Triduanos, magni precij, contrectatos
Piscium uenditoris iniquissima manu.
O ueneranda pax, largitrix uuarum, quo te nomine appellabo, *Menandri.*
Et unde uerbum satis magnificum accipiam?
Pax agricolam uel inter saxeta bene nutrit,
Bellum autem etiam in campis malum est.
Nemo tam stultus est, qui bellum præ pace eligat.

DE AGRICVLTVRA, QVOD BONA SIT. SER. LIIII.

Cunctis hominibus gratæ pacis *Aristophanis.*
Fida nutrix, proma, opifera, procuratrix,
Filia, & soror. Hæc omnia me nominabat,
Sed quod nam tibi nomen est? Agricultura.
O dies optata bonis uiris & agricolis. *Eiusdē in pace.*
Libenter equidem intuitus affari uolo uineas.
Salue ô amica terra, post longum tempus te aspiciens *Menandri.*
Saluto. Hoc autem non erga omnem facio
Terram, sed meum intuitus agrum.
Quod enim me nutriuerit id ego iudico deum.
An non aurea res est solitudo? *Amphidis.*
Est sanè uiuendi pater hominibus ager,
Et solus nouit abscondere paupertatem.
Vrbs autem planè theatrum est infœlicitate palàm scatens.
Est sanè uirtutis, & uitæ magister *Menandri.*
Ingenuæ, cunctis hominibus ager.
Si opibus indigeas curam habeto pinguis agri. *Phocylidis.*
Agrum enim ferunt copiæ cornu esse.
Dum pacis amans intueor agrum, *Aristophanis.*
Odi ciuitatem, & rus meum desydero,
Quod nunquam mihi dixit: I carbones emptum,
Acetum, opsonium, oleum, non enim opus est.
Sed ipsum omnia producebat: nec emendum erat quicquam.
Cum improbus sis, te rusticum esse simulas. *Menandri.*
Nondum diras nouerant contentiones, *Arati.*
Neq; disceptationem querimonijs plenam, neq; tumultum aut bellum,
Sed simpliciter uiuebant: & procul aberat mare periculosum.
Necdum naues è longinquis regionibus annonam aduehebant.
Sed boues, & aratra, & ipsa domina populorum

μυρία πάντα παρέχει δίκη δώτειρα δικαίων.

Μενάνδρου. Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους ἐρημία.

Ἀριστοφάνους. Ἐμοὶ γὰρ ἦν ἀγροῖκος ἥδιστος βίος,
ἀκόρητος, ἀνόρυκτος, εἰκῇ κείμενος,
βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις.

Εὐριπίδου. Τοιαῦτ' ἄειδε, καὶ δόξεις φρονεῖν,
σκάπτων, ἀρῶν γῆν, ποιμνίων ἐπιστατῶν,
ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα.

Ἀλλὰ πρὸς ἄλλο γαῖα χρησιμωτέρα.

Φιλήμονος. Δικαιότατον κτῆμ' ἐστὶν ἀνθρώποις ἀγρός.
ὧν ἡ φύσις δεῖται γὰρ ἐπιμελῶς φέρει,
πυρούς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι.
τἀργυρώματα δ' ἐστὶν, ἥτε πορφύρα,
εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ εἰς τὸν βίον.

Ὁ Σωκράτης, τὸ περὶ ἀμαλθίας κέρας ἐξηγούμενος, τοιαύτης τινὸς ἀναφορᾶς ἠξίωσεν. εἶναι γὰρ σύμβολον, ὡς μήτις ἢ μάλθων, ἀλλὰ ἐργάτης, πάντα ἕξειν τἀγαθά. κατὰ μὲν τὴν ἀμαλθίαν, τοῦ μὴ μάλθωνος σημαινομένου: κατὰ δὲ τὸ κέρας τοῦ βοὸς ἐργατικωτάτου ὄντος, τὸν ἐργάτην ἐνσημαίνεσθαι. βότρυς δὲ, ἐν τῷ κέρατι εἶναι, καὶ τὰ ὅμοια, ὅτι ἐν τῇ γεωργίᾳ πάντα ἔνεστιν, ὧν χρείαν ἔχομεν. διὸ καὶ ἔχοντες αὐτὸ εἰσάγονται, ὅ, τι ἀγαθὸς δαίμων, καὶ ἡ ἀγαθὴ τύχη.

Ξενοφῶντος. Οἶνος τὰς μὲν λύπας, ὥσπερ μανδραγόρας ἄνδρα κοιμίζει: τὰς δὲ φιλοφροσύνας ὥσπερ ἔλαιον φλόγα ἐγείρει.

Μουσωνίου ἐκ τοῦ τίνα φιλοσόφῳ προσήκων πόρος. Ἔστι καὶ ἕτερος πόρος, οὐδὲν τούτου κακίων: τάχα δὲ καὶ ἀμείνων νομισθεὶς ἂν οὐκ ἀλόγως ἀνδρί γ' ἐρρωμένῳ τὸ σῶμα ὁ ἀπὸ γῆς, ἄν τ' οὖν ἰδίαν ἔχῃ τις, ἄν τε καὶ μή. πολλοὶ γὰρ δὴ καὶ ἀλλοτρίαν γῆν γεωργοῦντες, ἢ δημοσίαν, ἢ ἰδιωτικὴν, δύνανται τρέφειν οὐ μόνον αὐτοὺς, καὶ τέκνα δὲ καὶ γυναῖκας. ἔνιοι γε δὲ καὶ εἰς ἄγαν ἀπὸ τούτου εὐποροῦσιν, αὐτουργικοὶ καὶ φιλόπονοι ὄντες. ἀμείβεται γὰρ ἡ γῆ κάλλιστα καὶ δικαιότατα τοὺς ἐπιμελομένους αὐτῆς, πολλαπλάσια ὧν λαμβάνει διδοῦσα, καὶ ἀφθονίαν παρέχουσα πάντων τῶν ἀναγκαίων πρὸς τὸν βίον τῷ βουλομένῳ πονεῖν: καὶ ταῦτα μὲν σὺν τῷ πρέποντι, σὺν αἰσχύνῃ δ' οὐδὲν αὐτῶν. οὐ γάρ ἐστιν ἀνθρώπων οὐδεὶς, μὴ θρυπτικός τε μηδὲ μαλακὸς ὤν, ὅς ἂν φαίη

lego ἂν, vel ἦν. τῶν γεωργικῶν ἔργων * οὖν, αἰσχρὸν, ἢ ἀνάρμοστον ἀνδρὶ ἀγαθῷ εἶναι. πῶς μὲν γὰρ οὐ καλὸν τὸ φυτεύειν; πῶς δὲ τὸ ἀροῦν; πῶς δὲ τὸ ἀμπελουργεῖν; τὸ δὲ σπείρειν, τὸ δὲ θερίζειν, τὸ δὲ ἀλοᾶν, οὐ πάντ' ἐλευθέρια ταῦτα, καὶ ἀνδράσιν ἀγαθοῖς πρέποντα; καὶ μὴν τὸ ποιμαίνειν ὥσπερ Ἡσίοδον οὐ κατῄσχυνεν, οὐδὲ ἐκώλυσεν εἶναι θεοφιλῆ τε καὶ μουσικόν: οὕτως οὐδ' ἂν ἄλλον οὐδένα κωλύσειεν. ἐμοὶ μὲν δὴ καὶ ἄριστον εἶναι, πάντων τῶν ἐν γεωργίαις ἔργων, ὅτι τῇ ψυχῇ παρέχει σχολὴν πλείονα διανοεῖσθαί τι καὶ ζητεῖν παιδείας ἐχόμενον. ὅσα μὲν γὰρ ἔργα πάνυ ἐντείνει τὸ σῶμα, καὶ κάμπτει, ταῦτα καὶ τὴν ψυχὴν ἀναγκάζει πρὸς αὐτοῖς εἶναι μόνοις, μάλιστα συνεντεινομένην τῷ σώματι. ὅσα δὲ τῶν ἔργων ἐφίησι μὴ ἄγαν ἐντετάσθαι τῷ

lego εἶναι, ἢ ἀπείργει. * σώματ' αὐτῷ, κἀπείργει τὴν ψυχὴν ἐκλογίζεσθαί τι τῶν κρειττόνων, κἀκ τῶν τοιούτων λογισμῶν αὐτὴν αὑτῆς γίνεσθαι σοφωτέραν, οὗ δὴ καὶ μάλιστα πᾶς φιλόσοφος ἐφίεται. διὰ ταῦτ' ἐγὼ τὴν ποιμενικὴν ἀσπάζομαι μάλιστα. εἴγε μὴν ἅμα φιλοσοφοῖ τις καὶ γεωργοῖ, οὐκ ἄλλον ἂν παραβάλλοιμι τούτῳ βίον, οὐδὲ πορισμὸν ἕτερον προτιμήσαιμι ἄν. πῶς μὲν γὰρ οὐ κατὰ φύσιν μᾶλλον ἀπὸ γῆς, ἣ τροφός τε καὶ μήτηρ ἐστὶν ἡμῶν, ἢ ἀπ' ἄλλου του τρέφεσθαι; πῶς δ' οὐκ ἀνδρειότερον τοῦ καθῆσθαι ἐν πόλει, ὥσπερ οἱ σοφισταὶ, τὸ ζῆν ἐν χωρίοις; πῶς δ' οὐχ ὑγιεινότερον, τοῦ σκιατροφεῖσθαι τὸ ἔξω διαιτᾶσθαι; τί δὲ ἐλευθεριώτερον, αὐτὸν αὑτῷ μηχανᾶσθαι τὰ ἀναγκαῖα, ἢ παρ' ἑτέρων λαμβάνειν; ἀλλὰ φαίνεται τὸ μὴ δεῖσθαι ἄλλου πρὸς τὰς χρείας τὰς αὑτοῦ πολὺ σεμνότερον, ἢ τὸ δεῖσθαι. οὕτω δ' ἄρα καλὸν, καὶ εὐδαιμονικὸν, καὶ θεοφιλὲς τὸ ζῆν ἀπὸ γεωργίας ἐστὶ, σύν γε τῷ καλοκἀγαθίας μὴ ὀλιγωρεῖν,

ὥστε

Copiosa omnia suppeditabat Iustitia largitrix iustorum.

O quàm suauis est solitudo ei, qui malos odio habet. *Menandri.*

Plurimum me oblectabat rustica uita, *Aristophanis in nebulis.*
Squalida, inculta, temere iacens,
Plena apiculis, ouibus, & fracibus.

Huiusmodi canito, & uideberis sapere, fodiens, *Euripidis.*
Aransqꝫ terram, & greges curans,
Relinquendo alijs scitas hasce argutias.

Est alia tellus ad alium usum aptior.

Iustissima hominibus possessio est ager: *Philemonis.*
Ea enim quibus eget natura profert abunde,
Triticum, oleum, uinum, caricas, mel.
Argentea autem uasa, atqꝫ purpura,
Ad tragœdias usum habent idoneum, non ad uitam.

Socrates Amaltheæ cornu interpretatus est ad huiusmodi similitudines accommodando. Amaltheam quidem significare, illum qui minimè μάλθων, id est, dissolutus, sed gnauus & operarius esset, bona omnia consequuturum. Per cornu uero bouis, quod animal est laboriosissimum, uirum operarium innui. Botros autem & similia in cornu esse, quoniam omnia, quorum egemus, in agricultura insunt: quamobrem gestantes ipsum bonus genius, bonaqꝫ fortuna introducuntur.

Vinum mœrores ita sopit, ut mandragoras hominem: beneuolentias autem, nō aliter quàm oleum flammam, excitat. *Xenophontis.*

Est & aliud genus quæstus nihil deterius isto, sed forte etiam melius non immerito existimatum homini robusto, quod ex terra accedit: siue quis agrum proprium habeat, siue non. Multi enim etiā alienum rus colentes, uel publicum, uel priuatum, ex eo alere possunt non se solum, sed liberos quoqꝫ & uxores. Quinimò nonnulli admodum hoc studio ditescunt, dum ipsimet operantur, & assidui sunt. Respondet enim terra optimè iustissimeqꝫ colētibus ipsam, multo cum fœnore quæ accepit restituens, & copiam exhibens omnium ad uitam necessariorum ei, qui laborare uoluerit: idqꝫ honestè, nihil uero quicquam dedecorosè. Nam nemo est, saltem non mollis & effœminatus, qui dicere ausit ullum opus agriculturæ turpe aut indecens esse uiro bono. Plantare enim, arare, uites colere, quomodo nō honesta essent? Item serere, metere, triturare, an non omnia hæc studia sunt ingenua, & bonis uiris decora? Certè ut Hesiodo non turpe fuit pastorem agere, nec obfuit ei quo minus Deo charus & musicus esset: ita nec alij cuiquā impedimēto erit. Mihi sanè hoc inter omnia agriculturæ opera perplacet, quia plusculum ocij ingenio concedit, & meditari ac inquirere aliquid disciplinis incumbentem finit. Nam ea opera, quæ nimium exercent urgentqꝫ corpus, animum quoque totum sibi uendicant, ut qui maximè corporis uehemens studium sequatur: Quæ uero non nimis corpus intendi postulant, nihil prohibent animum aliquid egregium commentari, atqꝫ ex huiusmodi meditationibus sapientiam augere, quod apprimè philosophi omnes desyderant. Quapropter ego pecuariam imprimis amplector. Haud equidem ullum aliud uitæ genus, aliúmue quæstum, aut comparauerim aut prætulerim illi, quod philosophiam simul & agriculturam colit. Nam quo pacto non magis secundū naturam fuerit ex ipsa terra, quæ nutrix & parens omniū est, quàm aliunde nutriri? An non magis uirile est ruri uiuere, quā ut sophistæ in oppido desidere? Nónne salubrius est foris uitā degere, quàm in umbra educari? Vtrū uero liberalius est unumquēqꝫ sibi necessaria comparare, aut ab alijs accipere? Multò sanè honestius apparet non indigere alio ad res sibi necessarias, quàm indigere. Adeò autem egregia res, Deoqꝫ accepta est ex agricultura uiuere, modo cum honestatis studio coniuncta sit, *Musonij ex libro quis nam quæstus philosopho cōueniat.*

ὥστε μύσωνα τὸν χημαῖον ὁ θεὸς ἀνεῖπε σοφόν. καὶ τὸν ψωφίδιον ἀγλαόν, εὐδαίμονα προσαγόρευσε, χωρίτας ἑκάτερον αὐτῶν βιοῦντα καὶ αὐτουργίᾳ χρώμενον, καὶ τῶν ἐν ἄστει διατριβῶν ἀπεχόμενον. ἆρ' οὖν οὐκ ἄξιον ζηλοῦντι καὶ μιμεῖσθαι τούτους, καὶ περιέχεσθαι σπουδῆς τοῦ γεωργεῖν; τί οὖν, οὐ δεινόν, φαίη τις ἂν ἴσως, ἄνδρα παιδευτικόν, καὶ δυνάμενον προβιβάζειν νέους εἰς φιλοσοφίαν ἐργάζεσθαι γῆν, καὶ τῷ σώματι πονεῖν τοῖς χωρίταις παραπλησίως; ναί. δεινὸν ἂν τοῦτο τῷ ὄντι ἦν, εἴπερ ἐκώλυεν ἡ ἐργασία τῆς γῆς φιλοσοφεῖν, ἢ ἄλλους πρὸς φιλοσοφίαν ὠφελεῖν. νῦν δὲ καὶ μᾶλλον ἄν μοι δοκοῦσιν ὠφελεῖσθαι οἱ νέοι, οὐκ ἐν τῷ ἄστει τῷ διδασκάλῳ συνόντες, οὐδ' ἐν τῇ διατριβῇ ἀκούοντες αὐτοῦ λέγοντος· ἀλλ' ἐργαζόμενον ἐπὶ τῆς ἀγροικίας ὁρῶντες, καὶ ἔργῳ ἐνδεικνύμενον, ἅπερ ὑφηγεῖται ὁ λόγος, ὅτι χρὴ πονεῖν καὶ κακοπαθεῖν τῷ σώματι μᾶλλον, ἢ ἑτέρου δεῖσθαι τοῦ τρέφοντος. τί δὲ τὸ κωλῦον ὁμοῦ καὶ ἐργαζόμενον μετὰ τοῦ διδασκάλου τὸν μαθητήν, ἀκούειν τι ἅμα περὶ σωφροσύνης, περὶ δικαιοσύνης, ἢ καρτερίας λέγοντος; πολλῶν μὲν γὰρ λόγων οὐ δεῖ τοῖς φιλοσοφήσουσι καλῶς· οὐδὲ τὸν ὄχλον τοῦτον τῶν θεωρημάτων ἀναληπτέον πάντως τοῖς νέοις, ἐφ' ᾧ φυσωμένους τοὺς σοφιστὰς ὁρῶμεν. ταῦτα γὰρ δὴ τῷ ὄντι ἱκανὰ κατατρίψαι βίον ἀνθρώπου ἐστί. τὰ δ' ἀναγκαιότατα, καὶ χρησιμώτατα μαθεῖν, οὐκ ἀδύνατον, καὶ πρὸς ἐργασίᾳ γεωργικῇ ὄντας, ἄλλως τε καὶ οὐ διαπαντὸς ἐργασομένους, ἀλλὰ ἀναπαύλαις χρησομένους. ὀλίγοι μὲν οὖν τὸν τρόπον τοῦτον ἐθελήσουσι μανθάνειν, οἶδ' ἀκριβῶς ἐγώ· ἔστι δὲ ἄμεινον μηδὲ προσεῖναι τῷ φιλοσόφῳ τοὺς πλείονας τῶν φιλοσοφεῖν λεγόντων νέων, ὅσοι σαθροί τε καὶ μαλακοί, δι' οὓς προσιόντας ἀναπίμπλαται κηλίδων φιλοσοφία. τῶν δὲ γὰρ ἀληθινῶν ἐραστῶν φιλοσοφίας, οὐκ ἔστιν οὐδείς, ὃς οὐκ ἂν ἐθελήσειε μετ' ἀνδρὸς ἀγαθοῦ διάγειν ἐν χωρίῳ, καὶ εἰ χαλεπώτατον τύχοι ὂν τὸ χωρίον, μέλλων γε ἀπολαύειν μεγάλα ταύτης τῆς διατριβῆς, τοῦ συνεῖναι τῷ διδασκάλῳ νύκτωρ καὶ μεθ' ἡμέραν, τοῦ ἀπεῖναι τῶν ἀστικῶν κακῶν, ἅπερ ἐμπόδιον τῷ φιλοσοφεῖν, τοῦ μὴ δύνασθαι λανθάνειν εὖ, ἢ κακῶς τι ποιῶν, ὃ δὴ μέγιστον τοῖς παιδευομένοις ὄφελος. καὶ ἐσθίειν δὲ καὶ πίνειν καὶ καθεύδειν ὑφορώμενον ὑπ' ἀνδρὸς ἀγαθοῦ, μέγα ὄφελος. ἃ δὲ γίνοιτ' ἂν ἐξ ἀνάγκης ἐν τῇ συνουσίᾳ τῇ κατ' ἀγρόν, ταῦτα ἐπαινεῖ καὶ θέογνις ἐν οἷς φησι.

καὶ μετὰ τῶν γε σὺ πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
    ἷζε, καὶ ἄνδανε τοῖς ὧν μεγάλη δύναμις.

ὅτι γε μὴν οὐκ ἄλλους τινὰς ἢ τοὺς ἀγαθοὺς ἄνδρας λέγει μεγάλην ἔχειν δύναμιν, πρὸς ἀνθρώπων ὠφέλειαν, εἰ συνεσθίοι καὶ συμπίνοι τις αὐτοῖς καὶ συγκαθέζοιτο δεδήλωκεν.

ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι. ἢν δὲ κακοῖσι
    συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

μηδὲ λεγέτω τις, ὅτι τῷ μανθάνειν, ἢ τῷ διδάσκειν ἃ χρή, τὸ γεωργεῖν ἐμπόδιον· οὐ γὰρ ἔοικεν οὕτως ἔχειν, εἰ δὴ μάλιστ' ἂν οὕτω καὶ ἐπιπλεῖστον ὁ μὲν μανθάνων συνείη τῷ διδάσκοντι, ὁ δὲ διδάσκων διὰ χειρὸς ἔχοι τὸν μανθάνοντα. τούτου δὲ τοιούτου ὄντος, ὁ πόρος ὁ ἐκ γεωργίας φαίνεται ἂν τῷ φιλοσόφῳ πρεπωδέστατος.

Ξενοφῶντος. Ταῦτα δὲ ὦ κριτόβουλε, ἐγὼ διηγοῦμαι, ἔφη ὁ σωκράτης, ὅτι περὶ τῆς γεωργίας, οὐδὲ οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ αὐτῆς ἡ ἐπιμέλεια εἶναι, ἅμα τε ἡδυπάθειά τις, καὶ οἴκου αὔξησις, καὶ σωμάτων ἄσκησις, * καὶ εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. (alias abest καὶ.) πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει. ἔπειτα δὲ ὅσα βωμοὺς κοσμοῦσι καὶ ἀγάλματα καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει. ἔπειτα δὲ ὄψα πολλά, τὰ μὲν φύει, τὰ δὲ τρέφει. καὶ γὰρ ἡ προβατικὴ τέχνη, συνῆπται τῇ γεωργίᾳ, ὥστ' ἔχειν καὶ θεοὺς ἐξαρέσκεσθαι θύοντας, καὶ αὐτοὺς χρῆσθαι. παρέχουσα δὲ ἀφθονώτατα ἀγαθά, οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος, καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. καὶ τοὺς μὲν αὐτουργοὺς γυμνάζουσα διὰ τῶν χειρῶν, ἰσχὺν αὐτοῖς προστίθησι· τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει, πρωΐ τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα. καὶ γὰρ ἐν τῷ χωρίῳ, καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ, αἱ ἐπικαιρόταται πράξεις εἰσίν. ἔπειτα δὲ ἤν τε σὺν ἵππῳ ἀρήγειν τῇ

χώρᾳ

ut Apollo Mysonem Chenæum sapientem, Psophidium uero splendidum & fœlicem appellauerit, quorum uterque ruri agens, suisque manibus laborans urbana habitatione abstinebat. An non igitur decet istos æmulari imitarique, & agricolationem diligere. Sed forsan aliquis dixerit, an non absurdum est uirum docendo aptum, & qui adolescentes ad philosophiam promouere posset, rus operari, & corpore non secus quàm rustici laborare? Profectò, absurdum esset reuera si terræ cultus ipsum philosophari, aut alios ad philosophiam promouere prohiberet: iam uero etiam plus mihi iuuari uidentur adolescentes, interim dum non in ciuitate præceptori conuersantur, neque in schola ipsum differentem audiunt: sed operantem in agricultura uident, & re ipsa ostendentem, quod ratio dictat, subeundos esse potius labores & ærumnas corporis, quàm alio nos nutrituro indigendum. Quid obstat uero, quo minus laborans cum præceptore discipulus, simul aliquid audiat ipsum de temperantia, iustitia, aut patientia dicentem? Haud enim multis uerbis opus est illis, qui rectè philosophaturi sunt: neque multitudo illa istorum theorematum, qua gloriantes sophistas uidemus, discenda est adolescentibus. Hæc enim profectò integram hominis ætatem contererent. Ea uero quæ maximè necessaria & utilissima sunt, etiã in agricolatione addisci licebit, tum aliàs, tum quia non semper laborandum est, sed quiete fruentur interdum. Sat quidem scio paucos hoc modo ad discendum accessuros. Præstaret autem nunquam adire philosophum plures ex iuuenibus philosophiam profitentibus, qui pigri ac molles sunt, & aduentu suo philosophiam inquinant. Etenim ex ueris philosophiæ amatoribus nullus est, qui non cuperet cum bono uiro uiuere in agro, quamuis difficillimo, utpote fruiturus conuersatione ista magno cum fructu, dum dies noctesque cum præceptore agit, & ab incommodis urbanis, quæ philosophum impediunt, remotus est, & latere non potest siue quid bene siue malè faciat, quod maximè conducit instituendis. Ad hæc cibum potumque sumere ac dormire in boni uiri conspectu, per quàm utile est. Ea sanè, quæ ruralem conuictum necessario sequuntur, Theognis quoque laudat hisce uersibus:

Cum illis bibe ac ede, & cum iisdem
 Asside, & placeas illis quorum magna uis est.

Quod autem non alios quàm bonos uiros intelligat magnam uim habere, ad hominum utilitatem, si quis unà cum ipsis edat, bibat, & assideat, alibi exposuit, ubi ait:

A bonis quidem bona disces, si uero malis
Conuersere, pristinam quoque mentem perdes.

Nemo igitur dicat, quod ad discendum docendúmue quæ oportet, agricultura impedimento sit. Haudquaquam enim ita se habere uidetur, cum hoc pacto maximè & plurimum discipulus cum præceptore uersetur, & præceptor discipulum præsentem in potestate habeat. Quod cum ita sit, quæstum ex agricultura philosopho decentissimum esse constat.

Hæc tantum narraui ô Critobule, ut planè intelligas agriculturam, uel ab honestioribus, magnopereque potentibus posse recipi. Habet enim hæc diligentiam quandam, & animi uoluptatem: insuper domus augmẽtum, exercitationemque corporis, quantum homini libero fas est: ac fructibus quoque ipsius partim uictitamus, partim deorũ aras extruimus, partim quoque ob coronamentorũ, odorũque oblectationẽ, iucunditatẽ excipimus, *fœtus alios nutriendo, alios producẽdo. Sed & pecuariã agriculturæ annexã nemo dubitat: unde præsertim copia sacrificij ad deos placãdos suppeditatur. Hæc cum latè præbeat, citra tamẽ mollitiem, aut segnitiem præbet, operarios multa patientia, & algoris, & æstus, uel nudos operi adsuefaciendo. Quapropter corpora uegetiora, ac firmiora uiribus reddit, præterea impigros facit: & matutino surgere, properareque ad opus suadet. Enimuero ruri sicut in ciuitate actiones suis quæque temporibus ingruunt. Deinde si patriæ usibus cum equo *Xenoph. in œconomicis.* *Græcè ℌα.*

alias πόνῳ.
al. ἐπιφιλοπονεῖσθαι συνεπαίρει τῇ γῇ.
alias ὀψὲ.

* χώρᾳ βούληταί τις, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν· ἤν τε πεζῇ σφοδρὸν παρέχει τὸ σῶμα. ἐν ταῖς θήραις τε * φιλοπονεῖσθαι, συνεπαίρει τι ἡ γῆ, καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα, καὶ θηρία συμπαρατρέφουσα. ὠφελούμενοι δὲ ἀπὸ τῆς γεωργίας, καὶ οἱ κύνες, καὶ οἱ ἵπποι, ἀντωφελοῦσι τὸν χῶρον. ὁ μὲν ἵππος πρῷ τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν, καὶ ἐξουσίαν παρέχων * τῆς δείλης ἀπιέναι. αἱ δὲ κύνες, τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων, καὶ τῇ τε ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. συμπαρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ ἡ γεωργία. καὶ ἡ γῆ τοὺς γεωργοὺς ἐν τῷ μέσῳ τὸν καρπὸν τρέφουσα, καὶ κρατοῦντι λαμβάνειν, καὶ δραμεῖν τε, καὶ βαλεῖν, καὶ πηδῆσαι, τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; τίς δὲ τοῖς ἐργαζομένοις τέχνη πλείω ἀντιχαρίζεται; τίς δ' ἥδιον τὸν ἐπιμελούμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ,τι χρῄζοι; τίς δὲ ξένους ἥδιον, ἢ ἀφθονώτερον δέχεται; χειμάσαι τε πυρὶ ἀφθόνῳ, καὶ θερμοῖς λουτροῖς; * (ποῦ πολὺ πλείων εὐμάρεια ἐν χώρῳ τῳ;) ποῦ πλείων εὐχέρεια ἢ ἐν χωρίῳ; ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε, καὶ πνεύμασι, καὶ σκιαῖς, ἢ κατ' ἀγρόν; τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει, ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; τίς δὲ οἰκέταις προσφιλεστέρα ἢ γυναικὶ ἡδίων, ἢ τέκνοις ποθεινοτέρα, ἢ φίλοις εὐχαριστοτέρα; ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι, εἴ τις ἐλεύθερος ἄνθρωπος ἢ κτῆμά τι τούτου ἥδιον κτᾶται, ἢ ἐπιμέλειάν τινα ταύτης εὕρηκεν ἡδίω, ἢ ὠφελιμωτέραν εἰς τὸν βίον. ἔτι δὲ ἡ γῆ θέλουσα τοὺς δυναμένους καταμανθάνειν, καὶ δικαιοσύνην διδάσκει. τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν, πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. ἢν δ' ἄρα ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῶσιν, οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι, καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι τὰ σώματα καὶ τὰς ψυχὰς, ἐὰν μὴ θεὸς κωλύῃ, δύνανται ἰόντες εἰς τὰ τῶν κωλυόντων λαμβάνειν, ἀφ' ὧν θρέψονται. πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν ματεύειν, ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. συμπαιδεύει δὲ καὶ εἰς τὸ * ἄρχειν ἡ γεωργία. ἐπί τε γὰρ τοὺς πολεμίους, μετ' ἀνθρώπων δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία. τὸν οὖν μέλλοντα γεωργήσειν εὖ, δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν, καὶ πείθεσθαι ἐθέλοντας. τόν τε ἐπὶ πολεμίους ἄγοντα, ταῦτα δεῖ μηχανᾶσθαι, δωρούμενόν τε τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν τοὺς ἀγαθοὺς, καὶ κολάζοντα τοὺς ἀτακτοῦντας, καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν, ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις. καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐδὲν ἧττον τῶν ἐλευθέρων οἱ δοῦλοι δέονται, ἀλλὰ καὶ μᾶλλον ὅπως μένειν ἐθέλωσι. καλῶς δὲ κἀκεῖνος εἶπεν, ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι. εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔρρωνται καὶ ἄλλαι τέχναι ἅπασαι· ὅπου δὲ ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι, σχεδόν τι καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν.

Parenthesis diuersitatem lectionis indicat.

al. [illegible]

ΕΤΙ ΠΕΡΙ ΓΕΩΡΓΙΑΣ, ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ, ΛΟΓΟΣ νε'.

Εὐριπίδου.

Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος,
ταῖς ἐλπίσιν τἀλγεινὰ παραμυθούμενος.

Διφίλου.

Ἐν ὀνάριον δ' ἐξ ἀγροῦ μοι καταβαίνει,
καθ' ἕκαστον ἐνιαυτὸν ἀγαπητῶς,
ὥσπερ ἱκανοῦ μοι πάντ' ἀνεσκευασμένον
σπονδὴν, ἐλάας, ἔλαιον, ἰσχάδας, μέλι.

Μενάνδρου.

Ἐν τοῖς πολεμίοις ὑποτρέχειν τὸν ἄνδρα δεῖ,
τὸ γὰρ γεωργεῖν ἔργον ἐστὶν οἰκέτου.

Αναξίων. lego εὖ.

Πῶς ἔχεις. * εὖς ἴχανος εἶ. ἀπόλλυμαι.
τρέφω γὰρ ἐν ἀγρῷ χωρίον.

Φιλήμονος.

Ἐγὼ τὸν ἀγρὸν, ἰατρὸν ἐλελήθειν ἔχων.
τρέφει γὰρ οὗτος ὥσπερ ἀρρωστοῦντά με.

σπάνια

præsto esse cupis, hunc ager alere poterit. Si pedibus, robur ad hoc corporis præstat. Tum uenationibus insudare hortatur. Canibus tibi copiam, ac cæteris animalibus ministrat: quæ pasta, non minus & ipsa rus iuuant. Equo dominus mane in aruum festinans contendit aliquid nunciaturus, seroꝙ redeundi facultatem habet. Canes à fructuum tum pecudum uastatione prohibent feras. In solitudine ac deserta regione securitatem præstant, unaꝙ cum armis ad ferendum dominis auxilium excitant. Colonos eadem in medio fructus carpere, ac certantes currere, subsilire, iaculari inuitat. Quæ nam ars ualidiores homines præbet? Quæ colentibus maiores gratias reddit, aut auidos magis exaturat, aut hospites lautius excipit? Vbi per brumam caminus luculentior, & calida lauacra commodiora? Per æstum uero umbris, aurisꝙ moræ dulciores? Vbi dijs litaturis primitiæ decentiores, aut dies festi lætiores? Quæ amantior seruis, dulcior uxori, optatior filijs, gratior amicis? Mihi profecto mirum uideatur, si liber homo hac dulcius diligentia, aut lætius possessione, & ad uitam commodius inuenerit. Cæterum hæc colonos ad iustitiam officiumꝙ acuit, cum belli tempore ab operis uacantes, animo atque corpore ualentes per hosticum, nisi deus prohibeat, ruunt, prædasꝙ agunt, quæ operum loco uictũ præbeat. Nam tutius eo tempore armis quàm rustico instrumento cibum quærere. Instruit quoque uti mutuam præstemus utilitatem. Quippe cum ad bellum conficiendum, tum ad agrum colendum hominibus est opus: alteraꝙ harum artium alteram iuuat, ac similitudine quadam inter se conueniunt. Bonus agricola operas parere promptas, ut dux milites comparabit. Ille in bello fortiter agentes munerabit, cedentesꝙ de loco plectet. Nec minus hic pecunijs, castigationibus, adhortationibus utetur. Enimuero spe bona non minus serui, quam liberi mouentur: multoꝙ interdum magis ut sponte permaneant. Quam ob rem pulchrè ille quidem, qui agriculturam aliarum artium parentem atꝙ nutricem appellauit: qua bene habente, cætera ualeant; neglecta uerò, terra mariꝙ iacent omnia.

AMPLIVS DE AGRICVLTVRA, IN CONTRARIVM, SERMO LV.

AGricolarum uita uoluptatem capit, *Euripidis.*
Dum tristia spe futurorum solatur.
Vnus asellus ex agro mihi descendit *Diphili.*
In singulos annos sufficienter
Quantum mihi satis est omnia portans,
Vinum, hordeum, oliuum, caricas, & mel.
Virum oportet in bellis eximium esse. *Menandri.*
Agricolatio enim opus est seruile.
Vt uales? quàm macilentus es? Pereo: *Anexion.*
Colo enim prædium ruri.
Veneram habens agrum loco medici. *Philemonis.*
Nutrit enim me tanquam ægrotantem,

σπαθία μικρὰ προσφόρων, οἶνε τὶ ὅσον,
ὀσμὴν λαχάνων ἄγει τι. καὶ νὴ τὸν Δία,
τὰ πετραγεῖα ταῦτ' ὀψάρια, κάππαριν.
θύμον, ἀσπάραγον, αὐτὰ ταῦτα καὶ δέδοικα
lego ἐπιχραίνων. μὴ λίαν * ὑπερχαίνων με ποιήσῃ νεκρόν.
Κωμικοῦ ποιητοῦ. Ἐγὼ γ' ὁρῶ τὸν ἀγρόν, οὐχ ὅπως τρέφει
αὐτός με, παρ' ἐμοῦ δ' ἵνα τροφὴν προσλαμβάνῃ.
σκάπτω γὰρ αὐτὸς ἐπιμελῶς σπείρω τ' ἀεί.
καὶ πάντα ποιῶ πρὸς τὸ δοῦναι, καὶ λαβεῖν.
ὁ δὲ, λαμβάνει μὲν, ἀποδίδωσι δ' οὐδὲ ἕν.
ἀγροφυτεῖν ἔλαθον ἀγοράσας ἀγρόν.
ἔσπειρα μὲν κριθῶν μεδίμνους εἴκοσι.
τούτων ἀπέδωκεν οὐδ' ὅλους τρισκαίδεκα.
οἱ δ' ἑπτὰ ἐπὶ Θήβας ἐστράτευσάν μοι, δοκῶ
τὸ τῶν γυναικῶν σῆμα διατηρεῖν μόνον.
ἀντιφόρα γένοιτο. ὅπερ γίνεται.
ὃ γὰρ φέρει νῦν οὗτος, ὡς ὄνος φέρει.

Φιλήμονος. Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος.

Μενάνδρου. Ἔχει τι πικρὸν, τῆς γεωργίας γλυκύ.

Φαβωρίνου. Φασὶ δὲ καὶ ἑταιρικόν τινα ἀναγκαζόμενον ὑπὸ τοῦ πατρὸς γεωργεῖν, ἀπάγξασθαι, γράψαντα ἐν γραμματιδίῳ, ὅτι ἀπέραντόν τι καὶ ἀκατάστροφον ἡ γεωργία ἦν. σπείρειν ὅπως θερίσωμεν: εἶτα θερίζειν ὅπως σπείρωμεν. ἄτοπόν τι τὸ χρῆμα τῆς περιόδου.

Ξενοφῶντος. Σκάπτω, καὶ σπείρω, καὶ μάλα μικρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δικαιότατον, ὅτι γὰρ λάβοι σπέρμα, καλῶς καὶ δικαίως ἀπεδίδου αὐτό τε, καὶ τόκον οὐδέν τι πολὺν * ἐδίποτ' ἔδωκεν ὧν ἔλαβε.
forte ἐνίοτ'.

Ζήνων ὁ στωϊκὸς φιλόσοφος, ὁρῶν τινὰ τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον, εἶπεν: ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, οὗτός σε ἀπολέσει.

Ἀρίστιππος λέγοντος αὐτῷ τινος, διὰ σὲ ἀπόλωλεν ὁ ἀγρός; οὐκοῦν ἔφη κρεῖττον δι' ἐμὲ τὸν ἀγρὸν, ἢ διὰ τὸν ἀγρὸν ἐμέ.

ΠΕΡΙ ΗΣΥΧΙΑΣ, ΛΟΓΟΣ νϛ'.

Εὐριπίδου. Ὅστις δὲ πράσσει πολλὰ, μὴ πράσσειν παρὸν,
μωρὸς, παρὸν ζῆν ἡδέως ἀπράγμονα.
Ζηλῶ σε γέρον, ζηλῶ δ' ἀνδρῶν, ὃς ἀκίνδυνον βίον
al. ἀνήρ. ἐξεπέρασ' * ἀγνὼς, ἀκλεής.
aliàs ζηλῶ. τοὺς δ' ἐν τιμαῖς, ἧσσον * ἐπαινῶ.
Ὁ δὲ τᾶς ἡσυχίας βίοτος, καὶ τὸ φρονεῖν ἀσάλευτον
al. δῶμα. μένει, καὶ ξυνέχει * δώματα.
πρόσω γὰρ, ἀλλ' ὅμως αἰθέρα ναίοντες
ὁρῶσι τὰ βροτῶν οὐρανίδαι.
Καλὸν δ' ἔξω πραγμάτων ἔχειν πόδα
εὐβουλίας τυχόντα τῆς ἀμείνονος.

Αἰσχύλου. Ὁ πλεῖστα πράσσων, πλεῖστ' ἁμαρτάνει βροτῶν.

aliàs Εὐριπίδου. Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.

Ἐπιχάρμου. Ἁ δ' ἡσυχία χαρίεσσα, γυνά,
καὶ σωφροσύνας πλατίον οἰκεῖ.

Μενάνδρου. Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους

Exigua offerens cibaria, & uini quantum
Holusculo adijcitur condimenti gratia. Et per Iouem
Saxatiles istos cibos, capparim,
Thymum, asparagum, ista inquam metuo
Ne nimis extenuatum me exaniment.

Ego curo agrum, non ut nutriat — *Comici poëtæ.*
Ipse me, sed ut alimentum à me capiat.
Nam fodio diligenter, ac sero semper:
Deniq; nihil non facio ut dem, & recipiam.
Ille uero capit quidem, nihil autem restituit.
Defraudantem imprudens agrum emi.
Seminaui quidem hordei medimnos uiginti,
Pro quibus mihi non integros tredecim reddidit:
Cæteri septem Thebas in militiam profecti sunt. Videor mihi
Mulierum tantummodo signum seruare.
Sed quicquid est onesiphorum (id est prosperum) eueniat: quod & accidit:
Nam totum id quod ager producit, unus onos (id est asinus) fert.

Agricola semper in proximum annum diues est. — *Philemonis.*

Agriculturæ suauitas nonnihil amari mixtum habet. — *Menandri.*

Aiunt amatorem quẽdam à patre terram colere coactum, laqueo finiuisse uitam, cum in tabella scripsisset: agriculturam esse rem infinitã, & nunquam absolui: serendum enim ut metamus, & metendum ut seramus, absurdo rei circuitu. — *Phauorini.*

Fodio ac sero perexiguum agellum, non malum tamen, sed omnium iustissimum: quantumcunq; enim seminis acceperit, idem probè iusteq; reddit, nec unquam quod accepit cum multo fœnore restituit. — *Xenophontis.*

Zeno Stoicus philosophus cum uideret familiaremq uendam *curis agri distractum, dixit: Nisi tu agrum perdideris, ipse te perdet. — *Camers ita reddidit: ex agri laboribus incuruatum & circumflexum.*

Aristippus cum ei quidam obijceret, tua culpa interijt ager: atqui melius est, dixit, agrum propter me, quàm me propter agrum perire.

DE TRANQVILLITATE. SERMO LVI.

Quisquis multa agit, ubi cessare liceret, — *Euripidis.*
Stultus est, cum iucunde posset tranquillus uiuere.

Fœlicem te senex prędico, & unumquenq; qui uitã periculis uacuã — *Eiusdẽ in Iphigenia in Aulide.*
Transegit, ignotus, obscurus.
Minus autem laudo in honoribus constitutos.

Tranquillitatis autem Vita, & sapere, immota — *Eiusdem in Bacchis.*
Permanent, conseruantq; Domos. Quãuis enim remoti ætherem habitantes
Inspiciunt tamen res mortalium cœlicolæ.

Bonum est extra negotia pedem habere — *Eiusdem in Heraclidis.*
Meliori consilio utentem.

Qui plurima facit, is & plurimum peccat. — *Aeschyli.*

In rebus inutilibus noli frustra laborare. — *Al. Euripidis.*

Quies & tranquillitas, ô mulier, gratiosa res est, — *Epicharmi.*
Et uicina temperantiæ.

Quàm iucunda res est ei qui malos mores odit — *Menandri.*

ἐρημία. καὶ τῷ μελετῶντι μηδὲ ἓν
πονηρὸν, ἱκανὸν κτῆμ᾽ ἀγρὸς τρέφων καλῶς.
ἐκ τῶν ὄχλων δὲ ζῆλος, ὕβρις κατὰ πόλιν
αὕτη τρυφῇ λάμπει μὲν, εἰς δ᾽ ὀλίγον χρόνον.

Πινδάρου. Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ καταθεὶς,
ἐρευνασάτω μεγαλάνορος ἡσυχίας
ἱερὸν φάος. στάσιν ἀπὸ πραπίδος
ἐπίκοτον ἀνέμων, πενίας δότειραν,
ἐχθρὰν κουροτρόφον. οὐκ οἶδ᾽, οὐδ᾽
ἐπέοικεν, ἃ μὴ μάθομεν πονέεσθαι.

Ἐκ τοῦ Βίωνος Βουκολικῶν. Εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μοῦνα
κῦδος ἐμοὶ θήσοντι, τά μοι πάρος ὤπασε μοῖρα.
εἰ δ᾽ οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλείονα μοχθεῖν;
εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν,
ἢ Κρονίδας, ἢ μοῖρα πολύτροπος, ὥστ᾽ ἀνύεσθαι
τὸν μὲν, ἐν εὐφροσύνᾳ καὶ χάρματα, τὸν δ᾽ ἐνὶ μόχθῳ,
ἦν τάχα μοχθήσαντι ποθ᾽ ὕστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μήονα πάντων,
ἐς πόσον ἆ δειλοὶ καμάτως κεἰς ἔργα πονεῦμες;
ψυχὰν δ᾽ ἄχρι τίνος ποτὶ κέρδεα, καὶ ποτὶ τέχνας
βάλλομες ἱμείροντες ἀεὶ πολὺ πλήονος ὄλβω;
λαθόμεθ᾽ ἦ ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα,
χ᾽ ὡς βραχὺν ἐκ μοίρας λάχομες χρόνον.

Πλάτωνος. Οὐ γάρ ἐστιν ὅς τις ἀνθρώπων σωθήσεται, οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος, καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι. ἀλλ᾽ ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

Πλουτάρχου. Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας, πρός τε ἄλλα, καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην. λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἣ τις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γινόμεναι μελέται, γυμνάζουσι τὴν λεγομένην δριμύτητα πανουργίαν οὖσαν. ὥστε τοὺς ἐν αὐταῖς ἄκρους, οἷον, ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεποικιλμένους, πόσα δὲ ἔχει καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δὲ ἐρημία σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθὴ, καὶ πλάττει, καὶ μεταρρυθμίζει τῶν ἀνδρῶν τὰς ψυχάς. οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθὺ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί. ἀλλ᾽ ἐν ἀέρι καθαρῷ, καὶ τὰ πολλὰ ἔξω διαιτώμεναι τῶν ἀνθρώπων, ἀνιᾶσιν ὀρθαὶ καὶ πτεροφυοῦσιν, ἀρδόμεναι τῷ διαυγεστάτῳ τε καὶ λειοτάτῳ ῥεύματι τῆς ἡσυχίας, ἐν ᾧ τά τε μαθήματα τοῦ νοῦ θεῖα ἐνίδρυται, καὶ καθαρώτερον ὁρᾶν. διὰ τοῦτό σοι καὶ τῶν θεῶν
allo ἱδρυσαν. τὰ ἱερὰ, ὅσα ἐκ τοῦ πάλαι ἀρχαίου νενόμισται, τοῖς ἐρημοτάτοις χωρίοις οἱ πρῶτοι *. μάλιστα δὲ μουσῶν τε καὶ πανὸς, καὶ νυμφῶν καὶ ἀπόλλωνος, καὶ ὅσοι μουσικῆς ἡγεμόνες θεοὶ, διακρί-
lego ἀπὸ. ναντες ὡς οἶμαι τὰς παιδείας * τῆς ἐν ταῖς πόλεσι δεινῶν τε, καὶ μιαρῶν τινῶν.

ΠΕΡΙ ΝΑΥΤΙΛΙΑΣ ΚΑΙ ΝΑΥΑΓΙΟΥ ΛΟΓΟΣ κζ.

Ὁμήρου. Οὐ μὲν γάρ τί φημι κακώτερον ἄλλο θαλάσσης
ἄνδρα γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.

Εὐριπίδου. Ὅς τις διαπλεῖ θάλασσαν, ἢ μελαγχολᾷ,
ἢ πτωχός ἐστιν, ἢ θανατᾷ. τούτων τριῶν

ἑνὸς

Solitudo: & cogitanti nihil
Mali, satis magna possessio est ager bene nutriens.
Cæterum æmulatio uulgi, & urbana
Voluptas, splendida quidem est, sed breue tempus durat.
Communem ciuium statum aliquis in tranquillitate situm relinquens *Pindari.*
Diligenter inquirat per montem quietis
Sacrum lumen, seditionem à pectore
Tollens, paupertatis causam,
Liberorum educationi infensam. Ignoro neq; conuenit
Quæ non didicimus agere. *Ex Bionis bucolicis.*
Si pulchra mea sunt carmina, uel illa sola
Gloriam mihi adferent, quæ iam antea mihi fatum dedit.
Sin illa non probantur, quid est quod amplius laborem?
Nam si nobis uiuendi duo tempora dedisset
Siue Iupiter, seu Parca uersuta, ita ut ageretur
Alterum cum lætitia & gaudio: alterum in labore:
Liceret post labores aliquando bonis frui.
Si uero dij unum duntaxat tempus uiuendi annuerunt
Hominibus, idq; breue & per quàm angustum,
Quàm diu uah miseri labores & opera insumimus?
Quousq; animum ad lucra & artes
Applicamus, semper desiderando multò maiores opes?
Omnes sanè obliti sumus mortales nos esse natos,
Et breue tempus fato nobis concessum.

Non enim ullus seruari poterit, qui aut uobis aut alteri multitudini aduersetur, ac prohibeat multa iniqua & nefaria in ciuitate committi. Sed necessarium est illum qui reuera certat pro iustitia, si uel exiguum temporis uelit saluus manere, priuatum agere, non in officio publico. *Platonis.*

Cōmodissima est tranquillitas, cum ad alia, tū ad scientiam & prudentiæ exercitationem: non cauponariā & forensem dico, sed magnam illā, quæ Deo similem reddit sui participem. Exercitia enim quæ in ciuitatibus & inter hominū turbas fiunt, dicendi facultatē acriorem, quæ nihil aliud est quā calliditas, augēt, ita ut qui in ipsa excellunt, urbanis negocijs, uelut à coquis, farciti & uariati, ministeria quęuis absurda obeant. Solitudo aūt gymnasiū existens sapientię, bene instituit mores, format & & dirigit hominū animos. Nihil enim impedimenti habēt, quo minus promoueātur neq; ad leges multas & paruas offendentes à rectitudine inflectuntur, ut animi ciuitatibus inclusi, sed in aëre puro, & ut plurimum extra hominū consuetudinē agentes, in rectū surgunt, & pennas producunt, limpidissimo & leuissimo liquore tranquillitatis irrigati, in quo diuiniores mentis disciplinæ, & puriores conspiciuntur. Hanc ob causam deorum quoq; delubra antiquitus cōsecrata, in locis maximē solitarijs primi homines constituerunt, ut in primis Musarum, Panis, nympharū, Apollinis, & omnium qui Musicæ præfecti sunt dij: utpote separantes disciplinas à molestiis & nefarijs quibusdam rerum urbanarum negocijs. *Plutarchi.*

DE NAVIGATIONE ET NAVFRAGIO.

SERMO LVII.

Nihil est enim quicquam deterius, quàm mare, *Homeri.*
Ad confundendum hominem quantumuis robustum.
Quisquis mare nauigat, is aut insanit, *Euripidis.*
Aut mendicus est, aut mori cupit. Ex his tribus,

ἰνὸς τ' ἀτυχεῖν τοὐλάχιστον οὐκ ἔνι.

Σοφοκλέους. Ἡ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,
οἷς οὔτε δαίμων, οὔτε τις θεῶν νέμων,
πλούτου ποτ' ἂν νέμειεν ἀξίαν χάριν,
λεπτῆς ὑπερροπῆσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραξέοντες οἱ πολύφθοροι,
ἢς ὡς ἂν ἢ κέρδανον, ἢ διώλεσαν.

Ἀράτου. Τῆμος ὑπερρήσσουσι νότοι, ὁπότ' αἰγοκερῆϊ
al. συμφέρετ'. * ἐμφορέτ' ἠέλιος. τότε δὲ κρύος ἐκ Διός ἐστι
ναύτῃ μαλκιόωντι κακώτατον, ἀλλὰ καὶ ἔμπης
ἤδη πάντ' ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
πορφύρει. ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσι,
πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες
ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι. οἱ δ' ἔτι πόρρω
κλύζονται. ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.

Φιλήτου. Γαῖαν μὲν φαίνουσι θεοί ποτε, νῦν δὲ πάρεστιν
αἰψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.

Ἀντιφάνους. Δύστηνος ὅς τις ζῇ θαλάττιον βίον,
τῶν γὰρ πλεόντων ζητεῖν ἑκατὸν στάδια
ἐλθεῖν που δ' ἢ κρεῖττον, ἢ πλοῦσαι πλέθρον,
al. πωλουμένων. πλείστην θάλατταν χοινίων * πολουμένων.

Καλλιμάχου. Ὡς ἀδὺ τὴν θάλατταν ἐκ * γῆς ὁρᾶν,
addo τ. ὦ μᾶτερ ἐστί, μὴ πλέοντα μηδαμῶς.

Ὁμήρου. Τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φόρονται,
ἔνθ' ἀνέμων μεγάλων κῦμα διολύγιον.

Σοφοκλέους. Τί τοῦδε χάρμα μεῖζον ἂν λάβοις ποτὲ
τοῦ γῆς ἐπιψαύσαντα ὑπὸ στέγῃ πυκνῇ
ἀκοῦσαι ψακάδος εὐδούσῃ φρενί;

Εὐριπίδου. Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.

Μενάνδρου. Τὰ μεγάλα κέρδη ῥαδίως, ἢ πλουσίους
τοὺς παραβόλως πλέοντας, ἢ νεκροὺς ποιεῖ.

Ἀντιφάνους. Ἐν γῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

Εὐφορίωνος. Τὸν δ' ἐκάλυψε θάλασσα λιλαιόμενον βιότοιο,
καί οἱ πήχεων ἄκρον ὑπερφαίνοντο ταθέντες
ἀγρεῖα σπαίροντες ἅλις δολοπιονίδαο
δυστήνου, ζωὴν δὲ μεθ' ὕδατος ἔμβαλε πᾶσαν
χεῖρας ὑπερπλάζων, ἅλμη δ' ἐκάλυψεν ὀδόντας.

Ἀντιφάνους. Ἐπὶ χρήμασ' ἰδὼν ἔμπορος φρονεῖ μέγα,
ὧν ἐστὶ πάντων ἐνίοτ' ἄνεμος κύριος.

Εὐριπίδου. Μακάριος ὅς τις εὐτυχῶν οἴκοι μένει
lego καί. ἐν γῇ δ' ὁ φόρτος, * καὶ πάλιν ναυτίλλεται.

Ἐκ τῶν μόσχου Τὰν ἅλα τὰν γλαυκὰν, ὅταν ὤνεμος ἀτρέμα βάλλει,
Βουκολικῶν. τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, * οὐδέ τι μοῖσα
malim ἐδ' ὕι. ἐντὶ φίλα. ποθέει δὲ πολὺ πλέονα μεγάλαν ἅλα.
ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθός, ἁ δὲ θάλασσα
addo πάντα, uel κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα * μεμήνῃ,
δαιά. ἐς χθόνα παπταίνων, καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω,
malim ὥσμιος. γᾶ δέ μοι ἁ πιστά. τάχα δ' * ἄσμιος ἔναδεν ὕλα.

ἔνθα

Non fieri potest, quin unum saltem uerum sit.

Mare nauigantes planè sunt homines miseri, *Sophoclis.*
Quibus neq; dæmon, neq; deorum aliquis unquam
Diuitiarum dignam tribuerit gratiam.
Leuibus enim freti uentis longas negociationes
Magno cum periculo semper adeunt, homines perditi:
Propter quas aut lucrantur, aut pereunt.

Tunc ingruunt austri, cum Capricorno *Arati in Phænomenis.*
Cooritur sol. Tunc est ex aere frigus
Nautæ rigenti infestissimum. Verum tamen
Iam totum annum sub carinis mare
Agitatur. Similes autem urinantibus mergis
Sæpenumero de nauibus mare circumspectantes
Sedemus ad littora conuersi: illa uero adhuc eminus
Alluuntur: modicum autem lignum mortem prohibet.

Terram aliquando ostendent dij, nunc uero licet *Philetæ.*
Velocium uentorum duntaxat intueri templum.

Infœlix qui marinam agit uitam, *Antiphanis.*

(Sensus non est integer in Græco.)

Quàm iucundum est mare ex terra intueri *Callimachi.*
O mater, non ullum in locum nauigantem.

Parum enim declinant mortem, *Homeri.*
Vbi uehementium uentorum tempestas est ingens.

Quod nam tibi gaudium maius obtingeret, *Sophoclis.*
Quàm si terram nactus sub denso tecto
Stillicidium audires tranquillo animo?

Nauis maxima melior est, quàm parua scapha. *Euripidis.*

Magni quæstus, facile aut diuites *Menandri.*
Temere nauigantes reddunt, aut mortem inferunt.

In terra pauperem esse præstat, quàm diuitem nauigare. *Antiphanis.*

Illum autem uitæ cupidum mare submersit, *Euphorionis.*
Et cubiti supra aquam extensi apparebant,
Inutiliter nimis palpitantes filij Dolopionis
Infœlicis, omnem uero uitam in aqua dimisit
Manus temere iactans in summo: Salsugo autem ei os impleuit.

Pecunias respiciens mercator superbit, *Antiphanis.*
Quarum aliquando omnium dominus fit uentus.

Fœlix ille est, qui bona fortuna fruens domi manet, *Euripidis.*
Et merces in terra habet, nec denuo nauigat.

Cum uentus leniter mare glaucum aspirat, *Ex Moschi Bucolicis.*
Timidus me solicitat animus, nec amplius Musa
Grata est, sed multò magis desydero magnum mare.
At quando resonat canum pelagus, & unda marina
Incuruata spumet, ac plurimi fluctus agitantur,
Tunc ego respiciens terram & arbores à mari fugio:
Terraq; mihi fida uidetur, & statim opaca sylua placet.

ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ἄνεμος, ἁ πίτυς ᾄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,
καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθὺς ἀπλανῆς ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἦχον ἀκούειν,
lego ἃ τερπνὸν. * ἃ τέρπει ψοφέοισα, τὸν ἀγροῖκον οὐχὶ ταράσσει.

Δημοσθένους. Ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον, ἄν τ᾽ ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ᾽ ἄνδρα ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ᾽ ἑκὼν μήτ᾽ ἄκων μηδεὶς ἀνατρέψῃ τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δ᾽ ἡ θάλαττα * ὑπέρσχῃ, μάταιος ἡ σπουδή. al. ὑπέρσχη.

ΥΠΕΡ ΤΕΧΝΩΝ, ΛΟΓΟΣ ΝΗ.

Ἀμφιδος. ΟΥΚ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης.
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὑτοῦ, λέληθε παραπλέων τὰς συμφοράς.

Ἱππάρχου. Πολύ γ᾽ ἐστὶ πάντων κτῆμα τιμιώτατον
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.
τὰ μὲν γὰρ ἄλλα, καὶ πόλεμος, καὶ μεταβολαὶ
τύχης ἀνάλωσεν, ἡ τέχνη δὲ σώζεται.

Ἑρμοδότου. Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην πρόδιοτος ὤν·
ἀλλ᾽ αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα.

Σιμύλου. Οὔτε φύσις ἱκανὴ γίνεται τέχνης ἄτερ,
πρὸς οὐδὲν ἐπιτήδευμα παράπαν οὐδενί,
οὔτε πάλιν τέχνη μὴ φύσιν κεκτημένη.
τούτων ὁμοίως τοῖν δυοῖν συνηγμένων
εἰς ταυτὸν, ἔτι δεῖ προσλαβεῖν χορηγίαν,
ἔρωτα, μελέτην, καιρὸν, εὐφυῆ χρόνον,
κριτὴν, τὸ ῥηθὲν δυνάμενον συναρπάσαι,
ἐν ᾧ γὰρ ἂν τούτων τις ἀπολειφθεὶς τύχῃ,
οὐκ ἔρχετ᾽ ἐπὶ τὸ τέρμα τοῦ προκειμένου.
φύσις, θέλησις, ἐπιμέλεια, εὐταξία,
σοφοὺς τίθησι κἀγαθούς· ἐτῶν δέ τοι
ἀριθμὸς οὐδὲν ἄλλο πλὴν γῆρας ποιεῖ.

Μενάνδρου. Τὰ πατρῷα μὲν ποιεῖ καιρός ποτε
ἀλλότρια, σώζει δ᾽ αὐτὰ τοῦ τὰ σώματα.
Βίου δ᾽ ἔνεστι μ᾽ ἀσφάλει᾽ ἐν ταῖς τέχναις.

Πλάτωνος. Ἀλλὰ μὴν τῶν γε τεχνῶν σχεδὸν πασῶν, εἴδη δύο. πῶς; γεωργία μὲν, καὶ ὅση περὶ τὸ θνητὸν πᾶν σῶμα θεραπεία, τό, τ᾽ αὖ περὶ τὸ σύνθετον καὶ πλαστὸν, ὃ δὴ σκεῦος ὠνομάκαμεν, ἥ τε μιμητικὴ, ξύμπαντα ταῦτα δικαιότατα ἑνὶ προσαγορεύοιτ᾽ ἂν ὀνόματι. πῶς, καὶ τίνι; πᾶν ὅπερ ἂν μὴ πρότερόν τις ὂν, ὕστερον εἰς οὐσίαν ἄγῃ, τὸν μὲν ἄγοντα, ποιεῖν· τὸ δὲ ἀγόμενον, ποιεῖσθαί που φαμέν. ὀρθῶς. τὰ δέ γε νῦν ἃ δὴ διήλθομεν ἅπαντα εἶχεν εἰς τοῦτο τὴν αὑτῶν δύναμιν. εἶχε γοῦν. ποιητικὴν τοίνυν αὐτὰ συγκεφαλαιωσάμενοι, προσείπωμεν. ἔστω. τὸ δὴ μαθηματικὸν αὖ μετὰ τοῦτο εἶδος ὅλον, καὶ τὸ τῆς γνωρίσεως, τό, τε χρηματιστικὸν, καὶ ἀγωνιστικὸν, καὶ θηρευτικόν· ἐπειδὴ δημιουργεῖ μὲν, οὐδὲν τούτων· τὰ δὲ ὄντα καὶ γεγονότα, τὰ μὲν, χειροῦται λόγοις, καὶ πράξεσι· τὰ δὲ, τοῖς χειρουμένοις οὐκ ἐπιτρέπει, μάλιστ᾽ ἄν που διὰ ταῦτα ξυνάπαντα τὰ μέρη, τέχνη τις κτητικὴ λεχθεῖσα * ἐκπρέψειεν. al. ἂν διαπρέψειεν. ναί. πρέποι γὰρ ἄν. κτητικῆς δὴ καὶ ποιητικῆς ξυμπασῶν οὐσῶν τῶν τεχνῶν, ἐν ποτέρᾳ τὴν ἀσπαλιευτικὴν ὦ

 θεαί

In qua magno ſpirante uento pinus canit.
Malam profectò piſcator uitam degit, cui domus eſt nauis,
Et labor in mari, & piſcium uaga uenatio.
Mihi uero dulcis dormitur ſomnus ſub comoſa platano,
Et murmur auditum iuxta fontem delectat,
Qui ſuauiter ſonans nihil perturbat agentem ruri.

Quandiu ſalua fuerit nauis, ſiue magna, ſiue parua, tandiu & nautam, & gubernatorẽ, & quemuis deinceps ſtrenuos oportet eſſe, ac id curare ne quis uel ſponte uel inuitus nauim ſubuertat. Vbi uero mare iam ſuperauerit nauim, inanis eſt diligentia. *Platonis.*

PRO ARTIBVS, SERMO LVIII.

NOn eſt ullum humani infortunij *Amphidis.*
Solatium dulcius in uita, quàm ars.
Dum enim animus diſciplinæ uacat
Suæ, latenter præternauigat & obliuiſcitur calamitates.

Res eſt multò omnium precioſiſſima *Hipparchi.*
Omnibus hominibus ad uiuendum, ars.
Cætera enim & bellum, & mutationes
Fortunæ abſumunt, ars autem conſeruatur.

Artem non auget oratio ſuperflua, *Hermodoti.*
Sed ipſa opera exornant artem.

Neq; natura ſine arte ſufficit *Simyli.*
Cuiquam omnino quocunq; in ſtudio:
Nec ars per ſe ſine præſidio naturæ.
Quod ſi iſta duo ſimiliter conueniant
Vnà, adhuc deſyderantur ſumptus,
Amor, exercitium, opportunitas, tempus,
Iudicium, quod dicta ſtatim arripiat & intelligat.
Nam quocunq; iſtorum quiſpiam deſtituatur,
Non aſſequetur inſtitutum ſibi terminum.
Natura, uoluntas, diligentia, ordo,
Sapientes faciunt, bonosq; uiros: Annorum uero
Numerus nihil præter ſenectutem parit.

Paterna bona tempus interdum facit *Menandri.*
Aliena, ſeruans interim corpora.
Vnum autem uitæ præſidium in artibus ſitum eſt.

Artium fermè omnium ſpecies duæ ſunt. Quæ? Agricultura, & cuiuslibet mortalis corporis cura, & facultas omnium quæ circa compoſitum aliquod fictúmue uerſatur, quæ communiter ſuppellectilia dicuntur, & quæ hæc imitatur: uniuerſa inquam facultas huiuſmodi uno quodam communi nomine nuncupari debet. Quonam pacto? & quo nomine? Quoties quod antea non erat, in eſſe quis deinde perducit, quod agit, facere: quod agitur, fieri dicimus. Rectè. Cuncta quæ paulò ante retulimus, ad hoc uim habent. Habent certè. Summatim itaq; illa effectricem facultatem denominemus. Eſto. Diſciplinæ uero & cognitionis ſpecies uniuerſa, & quæſtus certaminisq; ac uenãdi peritia, ars acquirendi ſummatim uocanda uidetur: quippe cum nihil ex his quicquam fabricet: quæ uerò ſunt, & fuerunt, comparet, partim ſermonibus actionibusq; capiens, partim capientibus non cõcedens. Decet. Cum omnes artes aut in acquirendo, aut in efficiendo uerſentur, quo in genere peritiam *Platonis in Sophiſta.*

θαίτητε τιθῶμεν; ἐν κτητικῇ δή που δῆλον. κτητικῆς δὲ ἆρ' οὐ δύο εἴδη; τὸ μὲν ἑκόντων πρὸς ἑκόντας μεταβλητικὸν ὄν, διά τε δωρεῶν καὶ ἀγοράσεων, καὶ μισθώσεων. τὸ δὲ λοιπόν, ἢ κατ' ἔργα, ἢ κατὰ λόγους χειρούμενον ξύμπαν, χειρωτικὸν ἂν εἴη. φαίνεται γοῦν, ἐκ τῶν εἰρημένων. τί δὲ τὴν χειρωτικὴν ἆρ' οὐ διχῇ τμητέον; πῇ; τὸ μὲν ἀμφαδὸν ὅλον ἀγωνιστικὸν τιθέντας: τὸ δὲ κρυφαῖον αὐτῆς πᾶν, θηρευτικόν; ναί. τὴν γε μὴν θηρευτικήν, ἄλογον, τὸ μὴ οὐ τέμνειν διχῇ. λέγε, ὅπῃ; τὸ μέν, ἀψύχου γένους διελομένους, τὸ δέ, ἐμψύχου. τί μήν; εἴπερ ἐστὸν γε ἄμφω. πῶς δ' οὐκ ἔστιν; καὶ δεῖ γε ἡμᾶς τὸ μὲν τῶν ἀψύχων, ἀνώνυμον ἐᾶν: πλὴν κατ' ἔνια τῆς κολυμβητικῆς ἄττα μέρη, καὶ τοιαῦτ' ἄλλα βραχέα χαίρειν ἐᾶσαι: τὸ δὲ τῶν ἐμψύχων ζώων οὖσαν θήραν, προσειπεῖν ζωοθηρικήν. ἔστω. ζωοθηρικῆς δὲ ἆρα οὐ διπλοῦν εἶδος ἂν λέγοιτο ἐν δίκῃ; τὸ μέν, πεζοῦ γένους, πολλοῖς εἴδεσι καὶ ὀνόμασι διῃρημένον, πεζοθηρικόν: τὸ δ' ἕτερον νευστικοῦ ζώου πᾶν ἐνυγροθηρικόν; πάνυ γε. νευστικοῦ δὲ τὸ μέν, πτηνὸν φῦλον ὁρῶμεν: τὸ δέ, ἔνυδρον. πῶς δ' οὔ; καὶ τοῦ πτηνοῦ μὲν γένους πᾶσα ἡμῖν ἡ θήρα λέγεταί που ὀρνιθευτική. λέγεται γὰρ οὖν. τοῦ δ' ἐνύδρου σχεδὸν ἁλιευτικὴ τὸ σύνολον. ναί. τί δὲ ταύτην αὖ τὴν θήραν, ἆρα οὐκ ἂν κατὰ μέγιστα μέρη δύο διέλοιμεν; κατὰ ποῖα; καθ' ἃ τὸ μέν, ἕρκεσιν αὐτόθι ποιεῖται τὴν θήραν, τὸ δὲ πληγῇ; πῶς λέγεις; καὶ πῇ διαιρούμενος ἑκάτερον; τὸ μέν, ὅτι πᾶν ὅσον ἂν ἕνεκα κωλύσεως εἴργει τι περιέχον, ἕρκος εἰκὸς ὀνομάζειν. πάνυ μὲν οὖν. κύρτους δή, καὶ δίκτυα, καὶ πόρκους, καὶ βρόχους, καὶ τὰ τοιαῦτα, μῶν ἄλλο τι, πλὴν ἕρκη χρὴ προσαγορεύειν; οὐδὲν ἄλλο. τοῦτο μὲν ἄρα ἑρκοθηρικὸν τῆς ἄγρας τὸ μέρος φήσομεν, ἤ τι τοιοῦτον. ναί. τὸ δὲ ἀγκίστροις καὶ τριόδουσι πληγῇ γιγνόμενον, ἕτερον μὲν ἐκείνου, πληκτικὴν δέ τινα θήραν ἡμᾶς προσειπεῖν ἑνὶ λόγῳ νῦν χρεών, ἤ τι τίς ἄν, ὦ θεαίτητε, εἴποι κάλλιον; ἀμελῶμεν τοῦ ὀνόματος, ἀρκεῖ γὰρ καὶ τοῦτο. τῆς μὲν τοίνυν πληκτικῆς, τὸ μὲν νυκτερινὸν οἶμαι πρὸς πυρὸς φῶς γιγνόμενον ὑπ' αὐτῶν τῶν περὶ τὴν θήραν πυρευτικὴν ῥηθῆναι συμβέβηκε. πάνυ γε. τὸ δέ γε μεθημερινόν, ὡς ἐχόντων ἐν ἄκροις ἀγκίστρα, καὶ τῶν τριοδόντων, πᾶν ἀγκιστρευτικήν;

In Platone hic intersunt circiter 9. uersus.
* aliás ἢ.

† Συμπάσης * τοιγαροῦν τέχνης, τὸ μὲν ἥμισυ μέρος, κτητικὸν ἦν. κτητικοῦ δέ, χειρωτικόν. χειρωτικοῦ δέ, θηρευτικόν. τοῦ δὲ θηρευτικοῦ, ζωοθηρικόν. ζωοθηρικοῦ δέ, ἐνυγροθηρικόν. ἐνυγροθηρικοῦ δέ, τὸ κάτωθεν τμῆμα ὅλον, ἁλιευτικόν. ἁλιευτικῆς δέ, πληκτικόν. πληκτικῆς δέ, ἀγκιστρευτικόν. τούτου δὲ τὸ περὶ τὴν κάτωθεν ἄνω πληγὴν ἀνασπωμένην, ἀπ' αὐτῆς τῆς πράξεως ἀφομοιωθὲν τοὔνομα, ἡ νῦν ἀσπαλιευτικὴ ζητηθεῖσα ἐπίκλην γέγονε. παντάπασι μὲν οὖν τοῦτό γε, ἱκανῶς δεδήλωται.

Θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ, τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἡμερώτερον μὴν τρίτον συγχωρῆσαι τούτοις ἕπεσθαι δεῖν, τέχνην.

Πρῶτον μὲν τοίνυν δύο τέχνας οὔσας περὶ πάντα τὰ δρώμενα, θεασώμεθα. τίνας. τὴν μὲν τῆς γενέσεως οὖσαν συναίτιον: τὴν δέ, αὐτὴν αἰτίαν. πῶς; ὅσαι μέν, τὸ πρᾶγμ' αὐτὸ μὴ δημιουργοῦσι: ταῖς δὲ δημιουργούσαις, ὄργανα παρασκευάζουσιν, ὧν μὴ παραγενομένων, οὐκ ἄν ποτ' ἐργασθείη τὸ προστεταγμένον ἑκάστῃ τῶν τεχνῶν, ταύτας μὲν οὖν ξυναιτίους: τὰς δ', αὐτὸ τὸ πρᾶγμ' ἀπεργαζομένας, αἰτίας. ἔχει γὰρ οὖν λόγον.

Πλουτάρχου. Τῶν τεχνῶν ὡς ἔοικε, τὰς μέν, ἡ χρεία συνέστησεν ἐξ ἀρχῆς, καὶ μέχρι νῦν διαφυλάσσει. χρεία πάντ' ἐδίδαξε. * τί δὲ χρεία μὲν αἰνοῦρας;

malim τί δ' ἐχρῶν ἄνθρωποι;

τῶν ἀναγκαίων, ὑφαντικήν, οἰκοδομικήν, ἰατρικήν, γεωργίαν, καὶ ὅσαι περὶ γεωργίαν ἀναστρέφονται. τὰς δ' ἡδονή τις προσηγάγετο, καὶ κατέχει τὴν τῶν μυρεψῶν, καὶ τῶν ὀψοποιῶν, καὶ κομμωτικὴν πᾶσαν, καὶ ἀνθοβαφικήν. ἔστι δὲ ὧν τὴν πιθανότητα, καὶ τὴν ἀκρίβειαν, καὶ τὸ καθάριον ἀγαπῶντες, ἐκμανθάνουσι, καὶ περιέπουσιν: ὡς ἀριθμητικὴν καὶ γεωμετρείαν, καὶ κανονικὴν πᾶσαν, καὶ ἀστρολογίαν, ἅς φησιν ὁ πλάτων καίπερ ἀμελουμένας, βίᾳ ὑπὸ χάριτος αὔξεσθαι.

Ξενοφῶντος. Εἰσελθών ποτε πρὸς τὸν παρράσιον τὸν ζωγράφον: ἆρα ἔφη ὦ παρράσιε, ἡ γραφική ἐστιν εἰκασία τῶν ὁρωμένων; τὰ γοῦν κοῖλα, καὶ τὰ ὑψηλά, καὶ τὰ σκοτεινά, καὶ τὰ φωτεινά, καὶ τὰ σκληρά, καὶ τὰ μαλακά, καὶ τὰ τραχέα, καὶ τὰ λεῖα, καὶ τὰ νέα, καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε. ἀληθῆ λέγεις ἔφη. καὶ μὴν τά γε

καλὰ

piscandi ponemus? In eo uidelicet quod acquirit. Nónne eius quod acquirit duæ sunt species? Vna inter uolentes commutatio, dono, emptione, mercede: Altera mancipatio uel opere, uel sermone facta. Ex his quæ dicta sunt, sic esse constat. Mancipatio uero duplex. Qua ratione? Vna quidem patens, quæ certando capit: Altera latens, quæ uenando. Ita est. Venatoriam quoq; bifariam diuidere licet. Quomodo bifariam? Aut enim rem expertem anima, aut animatam uenatur. Quid ni? Siquidem ambo hæc sunt. Sunt profecto. Et oportet, quod ad inanimum pertinet, nomine carens dimittere, etiam quasdam natatoriæ facultatis partes, & alia huiusmodi exigua prætermittere: Animatorum uero capturam, animalium uenationem uocare. Sic esto. Venationis huiusmodi meritò duæ sunt species. Vna quidem gressibilium animalium uenatio, uarijs speciebus nominibusq; distincta: Altera uero agilium, quæ fluetium uenatio nominatur. Omnino. Agilium uero quædam pennis per aërem, quædam per aquam uagantur. Certè. Volantium uenatio aucupium nominatur. Proculdubio. Aquatilium uero, ferè summatim piscatio. Omnino. Piscationem autem nónne in duo maxima membra diuidimus? Quænam ista? Aut enim retinaculis, aut percussione piscamur. Quonam pacto utrumq; distinguis? Quicquid coërcendi gratia cohibet aliquid comprehendendo, retinaculum nominatur. Prorsus. Nassam, retia, láqueos, uerriculumq;, cæteraq; huiusmodi, nunquid aliter quàm retinacula uocabis? Haud aliter. Hic igitur & alius similis uenandi modus, qui cohibendo perficitur, piscationis species quædam est. Est. Extat species altera, quæ hamis & fuscinis captat. Hãc percutientem piscationem communiter appellare decet, nisi tu fortè quid pulchrius afferas. Non est mihi curæ nomen, hoc porrò sufficit. Alij quidem nocte hoc efficiunt ad ignis lumen: quapropter ignifera piscatio nuncupatur. Prorsus. Alij die in extremo uirgæ cuiusdam ferentes uncũ tridentibus usi. Vnde cõtorta & unca omnis hęc piscatoria nũcupatur.

Vniuersæ porrò artis dimidium in diuisione fuit, quæ in acquirendo uersatur: *Paulo post.* ac huius dimidium quæ capit: & huius rursum dimidium quæ mancipat: huius uenatoria: uenatoriæ animalium præda: huius agilis animalis captura, agilis uniuersaliter piscatoria: piscatoriæ percutiens atque tundens piscatio: percutientis, quæ unco piscatio fit: huius demũq; percussio quæ sursum uersus ab inferiori parte conficitur retrahendo, & inde nomen sortita retrahens & hamatoria piscatio dicitur. Abundè hoc ostensum est.

Deus quidem omnia, & fortuna opportunitasq; simul cum Deo cuncta humana gubernant. Mitius tamen est concedere, tertium superiora, artem uidelicet sequi. *Platonis lib. 4. legum.*

Imprimis artes geminas circa omnia quæ fiunt consideremus. Quas? Vnam quidem generationis, ut ita loquar, concausam: alteram uero causam ipsam. Quomodo? Quæcunque rem ipsam non fabricant, sed fabricantibus organa subministrant, sine quibus institutum opus nequaquam perficeretur, eas concausas, ut ita dixerim, nominamus: eas autem ipsas, quæ principaliter faciunt, causas appellamus. Consentaneum id quidem. *Eiusdẽ in ciuili.*

Artium, ut apparet, alias à principio necessitas constituit, & hucusq; conseruat. *Plutarchi.* Omnia docuit necessitas: quàm enim rem necessariam non inueniret necessitas? Artem texendi, ædificandi, medicinam, agriculturam, & quæcunque circa agriculturam uersantur, necessitas produxit. Alias uero uoluptas quædam, quæ occupat artes unguentariorum, opsonia parantium, & uniuersam ornatui studentem, & illam quæ floridis coloribus lanas inficit. Nonnullæ uero sunt, quarum probabilem uel exquisitam rationem, aut puritatem amplectuntur homines, easq; discunt ac excolunt, ut arithmeticã, geometriã, & canonicam omnem, & astrologiã; quas Plato ait quamuis neglectas uel inuitis nobis per propriam sibi gratiã augeri.

Cum quondam enim ad Parrhasium pictorem intrasset, atq; cum illo disputaret: *Xenoph. de dictis & factis Socratis.* Num ô Parrhasi, inquit, pictura est eorum quæ uidentur, imitatio? Nam concaua & eminentia, tenebrosa ac lucida, dura & mollia, aspera & lenia, ac noua & uetera corpora per colores imitamini. Verum dicis, inquit. Venustas itaq; species

καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι. ποιοῦμεν γοῦν ἔφη οὕτω. τί γὰρ ἔφη τὸ πιθανώτατον, καὶ ἥδιστον, καὶ φιλικώτατον, καὶ ποθεινότατον, καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος, ἢ οὐδὲ μιμητόν ἐστι τοῦτο; πῶς γὰρ ἂν ἔφη μιμητὸν εἴη ὦ σώκρατες, ὃ μήτε συμμετρίαν, μήτε χρῶμα, μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει, μηδὲ ὅλως ὁρατόν ἐστιν; ἆρ' οὖν ἔφη γίγνεται ἐν ἀνθρώπῳ * τό, τε φιλοφρόνως, καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; ἔμοιγε δοκεῖ ἔφη. οὐκοῦν τοῦτό γε μιμητὸν ἐν τοῖς ὄμμασι; καὶ μάλα ἔφη. ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς, ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα, οἵ τε φροντίζοντες, καὶ οἱ μή; μὰ δί' οὐ δῆτα ἔφη. ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς, φαιδροί· ἐπὶ δὲ τοῖς κακοῖς, σκυθρωποὶ γίνονται. οὐκοῦν ἔφη καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; καὶ μάλα ἔφη. ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ τὸ ἐλευθέριον, καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον, καὶ τὸ σωφρονητικόν τε, καὶ φρόνιμον, καὶ τὸ ὑβριστικόν τε, καὶ τὸ ἀπειρόκαλον, καὶ διὰ τοῦ προσώπου, καὶ διὰ τῶν σχημάτων, καὶ ἑστώτων, καὶ κινουμένων ἀνθρώπων * διαφαίνει. ἀληθῆ λέγεις, ἔφη. οὐκοῦν καὶ ταῦτα μιμητά; καὶ μάλα ἔφη. πότερον οὖν ἔφη νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους, δι' ὧν τὰ καλὰ, καὶ τὰ ἀγαθὰ, καὶ ἀγαπητὰ ἤθη φαίνεται, ἢ δι' ὧν, τὰ αἰσχρά τε καὶ πονηρὰ, καὶ μισητά; πολὺ νὴ δί' ἔφη διαφέρει ὦ σώκρατες. πρὸς δὲ κλίτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε καὶ διαλεγόμενος αὐτῷ, ὅτι μὲν ἔφη ὦ κλίτων ἀλλοίους ποιεῖς, δρομεῖς τε καὶ παλαιστὰς, καὶ πύκτας, καὶ παγκρατιαστὰς, ὁρῶ γε καὶ οἶδα. ὃ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριάσιν; ἐπεὶ δὲ ἀπορῶν ὁ κλίτων οὐ ταχὺ ἀπεκρίνατο, ἆρα ἔφη τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον * ζωτικώτερον ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; καὶ μάλα ἔφη. οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων * καταρτώμενα, καὶ τὰ ἀνασπώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα, καὶ τὰ διελκόμενα, καὶ * ἐκτεινόμενα, καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς, καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι; πάνυ μὲν οὖν ἔφη. τὸ δὲ καὶ τὰ * ἤθη τῶν ποιούντων τι σωμάτων ἀπομιμεῖσθαι, οὐ ποιεῖ τινα τέρψιν τοῖς θεωμένοις; εἰκὸς γοῦν, ἔφη. οὐκοῦν καὶ τῶν μὲν μαχομένων, ἀπειλητικὰ τὰ ὄμματα εἰκαστέον· τῶν δὲ νενικηκότων, εὐφραινομένων ἡ ὄψις μιμητέα. σφόδρα γ' ἔφη. δεῖ ἄρα ἔφη τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.

al. [illegible] — al. διαφαίνει. — al. ζωτικώτερα. — al. καταστελλόμενα. — al. ἐντεινόμενα. — alias πάθη.

ΕΤΙ ΠΕΡΙ ΤΕΧΝΩΝ ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ, ΛΟΓΟΣ ιθ.

Μενάνδρου.

Ὁ πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην,
πολλοὺς ἐποίησεν ἀθλίους. ἁπλοῦν γὰρ ἦν,
τὸν μὴ δυνάμενον ζῆν ἀλύπως, ἀποθανεῖν.

Ἀντιφάνης.

Ὅστις τέχνην κατέδειξε πρῶτος τῶν θεῶν,
οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν.
ὅταν γὰρ ἀπορῆταί τις, ἂν μὲν ἀργὸς ἦν
ἐλθὼν ἀποκινδυνεύουσιν ἡμέραν μίαν.
ὥστ' ἢ γεγονέναι λαμπρὸν, ἢ τεθνηκέναι.
ἡμεῖς δ' ἔχοντες ἀρραβῶνα τὴν τέχνην
τοῦ ζῆν, ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν.
ἕξειν τι μικρὸν διαπορευθῆναι χρόνον,
τὸν βίον ἅπαντα τοῦτο δρᾶν αἱρούμεθα.

Μενάνδρου.

Οὐ πάνυ τι γηράσκουσιν αἱ τέχναι καλῶς,
ἂν μὴ λάβωσι προστάτην φιλάργυρον.

Εὐριπίδου.

Οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι.
τῆς φαυλότητός τε γὰρ ἐν κοινῷ ψέγειν

cum similes reddere uelitis, ait, cumque non sit facile ad unum hominem omnia irreprehensibilia habentem, respiciendo imitari, à multis colligentes quicquid optimum quilibet habeat, sic facitis corpora uenusta apparere. Sic facimus, inquit. Quid igitur animi effigiem illam suauissimam, amantissimam atque charissimam non imitamini? an non est imitabilis ista? Quo nanque pacto, inquit, ô Socrates, imitabile hoc esset, quod neque proportionem, neque colorem, neque quicquam illorum, quæ tu paulò antea dixisti, habeat, nec simpliciter uisibile sit? Vtrum, ait, hoc fit in homine, quod modo amicè, modo inimicè quosdam intueatur? Ita, inquit. Atqui, ait, magnificum ac liberale, humile ac illiberale, moderatum ac prudens, contumeliosum ac honesti ignarum, tam per faciem, quàm etiam per gestus, tam stantium, quàm illorum quæ mouentur hominum, patescit. Ita, inquit, profectò. Quædam ergo imitationes eæ etiam sunt? Vehementer, ait. Vtrum itaque, inquit, illa libentius putas homines uidere, per quæ honesti, boni, amabilesque mores apparēt, an illa per quæ turpes, ac praui, ac odiosi? Multum interest me hercle, inquit, ô Socrates. Quondam uerò Clitonem statuarium adiens, habito cum eo sermone: ô Clito, ait, certè quidem teneo ac uideo, quod dissimiles facis cursores, luctatores, pugiles, ac pancratiastas: illud uero quod per uisum maximè delectat, uiuum scilicet apparere, quomodo statuis immittis? Cum uero hæsitans Clito respondere differebat: Vtrum, inquit, quàm maxime uiuentium formis assimilans opera tua, uiuaciores facis statuas apparere? Vehementer, inquit. Affectiones uero etiam corporum, quæ in quoquam laborant, imitari, nónne quandam delectationem uidentibus affert? Cui non, inquit. Illorum itaque oculi, ait, qui pugnant, comminaces ne, uictorum autem frontes lætæ ostendendæ sunt? Vehementer, inquit. Oportet igitur, ait, statuarium animi affectus per corporis effigiem exprimere.

CONTRA ARTES, SERMO LIX.

QVi primus inuenit artem alituram mendicum, *Menandri.*
Multos fecit miseros. Simplex enim fuerat,
Illum qui sine molestia uiuere non poterat, mori.

Quisquis deorum primus demonstrauit artem, *Antiphanis. al. Antiphōtis.*
Is maximum inuenit hominibus malum.
Cum quis enim inops est, per ocium
Abiens periclitatur per unum diem.
Ita ut uel insignis fiat, uel moriatur.
Nos uero pro pignore habentes artem
Viuendi, semper sperantes esurimus.
Et cum liceret exiguo tempore inopes esse,
Per omnem uitam id agere instituimus.

Non admodum bene consenescunt artes, *Menandri.*
Nisi dominum nanciscantur auarum.

Infœliciores sunt illi qui exercent artes. *Euripidis.*
Etenim de imperitia palàm eos uituperare

ἅπασι κεῖσθαι δυστυχὲς, οὐκ εὐτυχές.

Ξενοφῶντος. Καλῶς ἔφη λέγεις ὦ Κριτόβουλε. καὶ γὰρ αἱ βαναυσικαὶ καλούμεναι, καὶ ἐπίρρητοί εἰσι, καὶ εἰκότως μέντοι πάνυ ἀδοξοῦνται ὑπὸ τῶν πόλεων. καταλυμαίνονται γὰρ τὰ σώματα τῶν ἐργαζομένων, καὶ τῶν ἐπιμελομένων, καὶ τὰς ψυχὰς ἀναγκάζουσαι καθῆσθαι, καὶ σκιατροφεῖσθαι, ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν. τῶν δὲ σωμάτων θηλυνομένων, καὶ αἱ ψυχαὶ ἐπὶ πολὺ ἀρρωστότεραι γίνονται. καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι καὶ φίλων καὶ πόλεως συνεπιμελεῖσθαι βαναυσικαὶ καλούμεναι. ὥστε * εἰκότως οἱ κακοὶ ἂν καὶ φίλοις χρῆσθαι, καὶ ταῖς πατρίσιν ἀλεξητῆρες εἶναι. καὶ ἐν ἐνίαις μὲν τῶν πόλεων, μάλιστα δὲ ἐν ταῖς εὐπολέμοις δοκούσαις εἶναι, οὐδ' ἔξεστι τῶν πολιτῶν οὐδενὶ βαναυσικὰς τέχνας ἐργάζεσθαι.

al. οἱ τοιοῦτοι δοκοῦσι

Πλάτωνος. Ἆρ' οὖν οὐκ ἀριθμητικαὶ μὲν, καί τινες ἕτεραι ταύτῃ συγγενεῖς τέχναι, ψιλαὶ τῶν πράξεων εἰσί, τὸ δὲ γνῶναι παρέχονται μόνον; ἔστιν οὕτως. αἱ δέ γε περὶ τεκτονικὴν αὖ καὶ ξύμπασαν χειρουργίαν, ὥσπερ ἐν ταῖς πράξεσιν ἐνοῦσαν ξύμφυτον τὴν ἐπιστήμην κέκτηνται, καὶ συναποτελοῦσι τὰ γιγνόμενα ὑπ' αὐτῶν σώματα, πρότερον οὐκ ὄντα; τί μήν; ταύτῃ τοίνυν ξυμπάσας ἐπιστήμας διαίρει: τὴν μὲν πρακτικὴν προσειπὼν, τὴν δὲ, μόνον γνωστικήν. ἔστω σοι ταῦθ' ὡς μιᾶς ἐπιστήμης τῆς ὅλης εἴδη δύο.

Ἐν δὴ ταῖς χειροτεχνικαῖς διανοηθῶμεν πρῶτον εἰ τὸ μὲν, ἐπιστήμης αὐτῶν μᾶλλον ἐχόμενον, τὸ δ' ἧττον ἔνι. καὶ δεῖ τὰ μὲν, ὡς καθαρώτατα νομίζειν: τὰ δὲ, ὡς ἀκαθαρτότατα. οὐκοῦν χρή. τὰς τοίνυν ἡγεμονικὰς διαληπτέον ἑκάστων αὐτῶν χωρίς. ποίας καὶ πῶς; οἷον πασῶν που τεχνῶν, ἄν τις ἀριθμητικὴν χωρίζῃ καὶ μετρητικὴν, καὶ στατικὴν, ὡς ἔπος εἰπεῖν, φαῦλον τὸ καταλειπόμενον ἑκάστης ἂν γίγνοιτο. φαῦλον μέν τοι. τό γ' οὖν μετὰ ταῦτα εἰκάζειν λείποιτ' ἂν, καὶ τὰς αἰσθήσεις καταμελετᾶν ἐμπειρίᾳ, καί τινι τριβῇ ταῖς τῆς στοχαστικῆς προσχρωμένους δυνάμεσιν, ἃς οἱ πολλοὶ τέχνας ἐπονομάζουσι, μελέτῃ καὶ πόνῳ τὴν ῥώμην ἀπειργασμένους. ἀναγκαιότατα λέγεις.

ΠΕΡΙ ΔΕΣΠΟΤΩΝ ΚΑΙ ΔΟΥΛΩΝ, ΛΟΓΟΣ ξ.

Εὐριπίδου.
Κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν.
καὶ ξυγγέγηθε καὶ ξυνωδίνει κακοῖς.
Ἐγὼ μὲν εἴην, καὶ πέφυχ', ὅμως λάτρις
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ. κρεῖσσον γὰρ τόδ' ἢ δυοῖν κακοῖν
* ἑνὸς ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς,
ἄλλων τ' ἀκούειν δοῦλον ὄντα τῶν πέλας.

al. ἓν ὄντα

Ὡς ἡδὺ δούλοις, δεσπότας χρηστοὺς λαβεῖν,
καὶ δεσπόταισι, δοῦλον εὐμενῆ δόμοις.
Οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας
γνώμας διώκειν, οὐδ' εἰς ἀργίαν βλέπειν.

Μενάνδρου.
Λυπεῖ με δοῦλος μεῖζον οἰκέτου φρονῶν.
Ὅταν τύχῃ τις εὐνοοῦντος οἰκέτου,
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον βίῳ.
Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν,
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.

Φιλήμονος.
Ἐμοῦ γάρ ἐστι κύριος μὲν εἷς ἀνήρ.
τούτων δὲ καὶ σοῦ μυρίων τ' ἄλλων νόμος,
ἑτέρων τύραννος. τῶν τυραννούντων, φόβος.
δοῦλοι βασιλέων εἰσίν. ὁ βασιλεὺς θεῶν.
ὁ θεὸς ἀνάγκης. πάντα δ' ἂν σκοπῇς ὅλως

ἑτέρων

Omnibus licere, non beata, sed misera res est.

Pulchrè tu quidem Critobule. Nam quæ uocãtur mechanicæ, abiectæ omnino sunt, ac iure à plærisq; improbantur. Quippe quæ corpora exercentium atterant: tum assidere homines atq; umbratiles esse cogant: nonnullæ uero ex eis totos dies igni incubare compellant. Eneruatis deinde labore membris, necesse & animos debilitari, ac quodammodo ægrotare. Præterea huiuscemodi uiri uix satis commode cum amicis, tum Reipb. uacare possunt: uidenturq; inepti & ad amicorum familiaritatem, & ad opem patriæ ferendam. Quin in aliquibus ciuitatibus, ciuium nemini fas est mechanicas artes exercere. *Xenophõtis in œconomicis.*

Arithmetica porrò, & aliæ nonnullæ huius persimiles ab actione liberæ sunt, cognitionem uero tantũ exhibent. Ita certe dicendum. Quę uero ad architecturam, & manuum ministerium pertinent, scientiam innatam actionibus sortiuntur: corporaq; ab illis effecta, quę ante non erant, perficiunt. Patet. Ita cunctas scientias diuide. Agentem unam, alteram cognoscentem, solummodo nomina. Sint ergo scientiæ species duæ, cum una sit scientia tota. *Platonis de regno.*

In manuarijs primum artibus uideamus num artium alia scientia magis, alia minus sit, oporteatq; aliam purissimam, aliam impurissimam arbitrari. Decet profectò. Præcipuas utiq; à singulis discernendum. Quales, & quo pacto? Vt ecce si quis ab omnibus artibus segregaret numerandi dimetiendiq; & ponderandi peritiam, uile quiddam ut ita dicã esset, quod unius cuiusq; restaret. Vile profectò. Residuum quippe imaginatione quadam ac sensuum experientia & exercitatione, cõiecturisq; cõsequi liceret, quas plęriq; artes uocant, cura & labore uim suam omnem adeptas. Necessaria prorsus inducis. *Platonis de summo bono lib. 10.*

DE DOMINIS ET SERVIS, SERMO LX.

Malus est quicunq; domini res non colit, *Euripidis in Helena.*
Et simul cum ipsis gaudet, uel propter incommoda dolet.
Ego sanè licet seruus sim, idq; à natiuitate, ueruntamen
Inter eximios numerandus
Seruos, nomen quidem non habeo liberum,
Sed animum. Hoc enim præstat, quàm duobus malis
Victum inuolui, ac tum improbæ mentis esse,
Tum alijs obedire, seruientem proximis.

Quàm iucunda res est seruis, bonos dominos nancisci:
Et dominis, seruum beneuolum in ædibus.

Nunquam oportet seruum ingenua
Studia tractare, nec ocium sequi.

Molestus mihi seruus est, qui altius famulo sapit. *Menandri.*

Non est ulla possessio melior in uita,
Quàm beneuolum sibi famulum adipisci.

* Multò potius est bonum dominum esse nactum, ** Al' ad Philemonẽ refertur.*
Quàm uiuere liberum humiliter & male.

Mihi enim dominus est uir unus. *Philemonis.*
Istorum uero, ac tui, & plurium aliorum lex,
Quorundam tyrannus, tyrannorum uero metus.
Sui sunt famuli regum, rex autem deorum.
Et Deus necessitatis. Deniq; nihil non, si perpenderis,

ἐσθίων πέφυκεν, ἥττονων δὲ μείζονα.
τούτοις ἀνάγκη ταῦτα δουλεύειν ἀεί.

Μενάνδρου. Τί διακονεῖς εἰ χρηστός; ὁ δεσπότης
αὐτὸς ἀπόλλει πάντα, σὺ δὲ μὴ λαμβάνεις,
σεαυτὸν ἐπιτρίβεις, οὐκ ἐκεῖνον ὠφελεῖς.

Εὐριπίδου. Κρεῖσσον γὰρ οὔτε δοῦλον, οὔτ᾽ ἐλεύθερον
τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσι.
Τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;
Ἔσωσε δούλην οὖσαν. οἱ γὰρ ἥσσονες
τοῖς κρείσσοσι φιλοῦσι δουλεύειν βροτῶν.
Σοφὸς μὲν οὖν εἶ πρίαμ᾽, ὅμως δέ σοι λέγω,
δούλου φρονοῦντος μᾶλλον, ἢ φρονεῖν χρεών,
οὐκ ἔστιν ἄχθος μεῖζον, οὐδὲ δώμασι
κτῆσις κακίων, οὐδ᾽ ἀνωφελεστέρα.
Ἤλεγχον. οὕτω γὰρ κακὸν δοῦλον γένος.
γαστὴρ ἅπαντα, τοὐπίσω δ᾽ οὐδὲν σκοπεῖ.
Δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος,
πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν.
Ὦ παγκάκιστοι, καὶ τὸ δοῦλον οὐ λόγῳ
ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι.
Δούλους γὰρ οὐ   καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν.
Μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.
Δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν,
εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.
Ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,
πολλὴν παρ᾽ ἡμῖν μωρίαν ὀφλισκάνει.
Πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον,
τοιοῦτον τ᾽ εἶναι, καὶ στέργειν τὰ δεσποτῶν.
Αἰαῖ τὸ δοῦλον ὡς κακὸν πέφυκ᾽ ἀεί,
τολμᾷ θ᾽ ἃ μὴ χρὴ τῇ βίᾳ κρατούμενον.
Ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει
τοὔνομα. τὰ δ᾽ ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδεὶς κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ.

Μενάνδρου. * Ἅπαντα δουλεύειν ὁ δοῦλος μανθάνει,
al. ἃ πάντα. πονηρὸς ἔσται. μεταδίδου παῤῥησίας,
βέλτιστον αὐτὸν τοῦτο ποιήσει πολύ.

Φιλήμονος. Κἂν δοῦλος ᾖ τις, οὐθὲν ἧττον δέσποτα,
ἄνθρωπος οὗτος ἐστίν, ἂν ἄνθρωπος ᾖ.
Κακόν ἐστι δούλῳ δεσπότης πράσσων κακῶς.
μετέχειν ἀνάγκη τῶν κακῶν γὰρ γίνεται.

Σοφοκλέους. Δοῦλον γὰρ ἐν δεσμοῖσι δραπέτης ἀνὴρ
κάλον προσθεὶς, πᾶν πρὸς ἡδονὴν λέγει.

Εὐβούλου. Πολλοὶ φυγόντες δεσπότας ἐλεύθεροι
ὄντες, πάλιν ζητοῦσι τὴν αὐτὴν φάτνην.

Σοφοκλέους. Εἰ σῶμα δοῦλον, ἀλλ᾽ ὁ νοῦς ἐλεύθερος.

Μενάνδρου. Ἐμοὶ πόλις ἐστὶ καὶ καταφυγὴ, καὶ νόμος,
καὶ τοῦ δικαίου τοῦ τ᾽ ἀδίκου παντὸς κριτὴς,
ὁ δεσπότης. πρὸς τοῦτον ἕνα δεῖ ζῆν ἐμέ.

Οὔποτε

Alterius existit, maiora minoribus dominantur;
Hæc illis perpetuò seruiant necesse est.
Quid tu frugi es frustra? Dominus *Menandri.*
Ipse perdit omnia, tu uero nihil accipis.
Teipsum lædis, illum uero nil iuuas.
Melius est neque seruum, nec ingenuum *Euripidis.*
Alere domi tutum est sapientibus.
Non uides quantum sit malum seruile genus?
Seruam existentem seruaui, inferiores enim
Libenter inseruiunt præstantioribus hominum.
*Sapiens tu quidem es Priame, ueruntamen tibi dico **al. ad Philemonem refertur.*
Seruo sapiente magis, quàm sapere conuenit,
Nihil est molestius, neque in ædibus
Deterior aut inutilior possessio.
Reprehendebam. Usque adeo malum est seruorum genus.
Nihil præter uentrem sunt, nec futurum quicquam prospiciunt.
Quicunque serui heros suos amant,
Magnam sibi parant inimicitiam apud alios seruos.
O omnium pessimi, & seruitutem non re ipsa
Habentes, sed fortunæ solum obnoxij.
Seruos enim non Decet possidere dominis præstantiores.
Serui dominorum morbis inficiuntur.
Seruo enim non fas est uerum dicere,
Quod hero fuerit incommodum.
Quisquis hominum fidem habet seruo,
Perquàm stultus nobis esse uidetur.
Fidum oportet esse ministrum,
Et talis cum sit res heriles amare.
Hei hei, quàm semper improbi sunt serui,
Et audent illicita necessitate adacti.
Solum enim seruis dedecorosum est *Eiusdem in Ione.*
Nomen: in cæteris uero omnibus, liberis
Nullus est deterior seruus, si probus fuerit.
Si seruus nihil quàm per omnia seruire discat, *Menandri.*
Malus erit: at si libertatem ei permittas loquendi,
Id eum efficiet longè optimum.
Etsi quis seruus sit, nihilominus ô here, *Philemonis.*
Homo est, si saltem homo fuerit.
Malum est seruo herus malè agens.
Necessarium enim est ut participet malis.
Proculdubio enim uir fugitiuus in uinculis *Sophoclis.*
Pede detentus, omnia ad uoluptatem dicit.
Multi cum effugerunt dominos, liberi *Eubuli.*
Iam existentes, denuò idem præsepe quærunt.
Et si corpus seruum sit, mens tamen est libera. *Sophoclis.*
Mihi ciuitas est, & confugium, & lex, *Menandri.*
Et iustorum iniustorumque omnium iudex,
Dominus meus; huic soli me uiuere oportet.

Θεόγνιδος. Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιὴ, καὐχένα λοξὸν ἔχει.

Εὐριπίδου. Χρηστοῖσι δούλοις ξυμφορὰ, τὰ δεσποτῶν
al. πιτνόντα. κακῶς * πίπτοντα, καὶ φρενῶν ἀνθάπτεται.

Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθείρει.
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.

Πολλοῖσι δούλοις τοὔνομ' αἰσχρόν· ἡ δὲ φρὴν
τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.

Ἀλέξιδος. Ἀλλ' ἔστι τὸ πλῆθος ἐμφερεῖς τοὺς οἰκέτας
ἔχοντας ὄψει τοὺς τρόπους τοῖς δεσπόταις.
τοῖς ἤθεσιν γὰρ τοῖς ὑπάρχουσιν καὶ
lego πλείστοις. * προσέχουσα τούτοις ἡ φύσις κεράννυται.

Εὐριπίδου. Φεῦ φεῦ. τὸ δοῦλον ὡς ἁπανταχῇ γένος,
πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.

Βίωνος. Οἱ ἀγαθοὶ οἰκέται, ἐλεύθεροι. οἱ πονηροὶ ἐλεύθεροι, δοῦλοι πολλῶν ἐπιθυμιῶν.

Δίωνος. Χρὴ δὲ δεσπόζειν ἐπιεικῶς, καὶ ἀνθυπάγειν ποτὶ βουλομένοις ἐπιτρέπειν. αἱ γὰρ ἀνέσεις, παρασκευαστικαὶ πόνων εἰσί. καὶ τόξον, καὶ λύρα, καὶ ἄνθρωπος, ἀκμάζει δι' ἀναπαύσεως.

Ἐκ τῶν τοῦ περὶ τῶν ἀπομνημονευμάτων. Διογένης ἀποδράντος τοῦ οἰκέτου, οὐκ ἐφρόντιζε· δεινὸν εἶναι λέγων, εἰ Διογένης μὲν χωρὶς αὐτοῦ ζῆν οὐ δύναται, αὐτὸς δ' ἐκεῖνος χωρὶς δύναται.

Γελλίας ὁ ἀκραγαντῖνος ἐπιξενωθεὶς ἀνδρί τινι σκληρῷ, καὶ ἀεὶ παντὸς προΐζοντι, ὃς οὐδὲ καθεύδειν τοῖς οἰκέταις ἐπέτρεπεν, ἀλλ' ἄλλος ἄλλο τι τὴν νύκτα εἰργάζετο· ὑποδεξάμενος καὶ αὐτὸς τοῦτον εἰς ἀκράγαντα ἀφικόμενον, μετὰ δεῖπνον συνεκάλει τὰ παιδία τῶν οἰκετῶν· τὰ δὲ, ἦν πάμπολλα. καὶ τοῖς μὲν, ἐδίδου κάρυα· τοῖς δὲ, σῦκα ξηρά. ἐρομένου δ' ἐκείνου, πόθεν παιδία τοσαῦτα, ταῦτα ἔφη οἱ ἐμοὶ οἰκέται ποιοῦσι.

Πλάτωνος. Δουλεία γὰρ καὶ ἐλευθερία, ὑπερβάλλουσα μὲν ἑκατέρα, πάγκακος· ἔμμετρος δὲ οὖσα, πανάγαθον. μετρία δὲ ἡ θεῷ δουλεία. ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος.

Ὁ μὴ δουλεύσας, οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου.

Ἡροδότου. Πρὸς δὲ, ὦ βασιλεῦ, καὶ τόδε ἐν θυμὸν βάλλεο· ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων, κακοὶ δοῦλοι φιλέουσι γίγνεσθαι· τοῖσι δὲ κακοῖσι, χρηστοί.

Πλάτωνος νόμων ς'. al. διαιρέσει. Ἐπειδὴ δύσκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος, καὶ πρὸς τὴν ἀναγκαίαν διόρισιν, τὸ δοῦλόν τε ἔργῳ * διορίζεσθαι καὶ ἐλεύθερον καὶ δεσπότην, οὐδαμῶς εὔχρηστον ἐθέλειν εἶναί τε καὶ γίγνεσθαι. φαίνεται. χαλεπὸν δὴ τὸ κτῆμα. ἔργῳ γὰρ πολλάκις ἐπιδέδεικται περὶ τὰς μεσσηνίων συχνὰς εἰωθυίας ἀποστάσεις γίγνεσθαι. καὶ περί γε τὰς τῶν ἐκ μιᾶς φωνῆς πολλοὺς οἰκέτας κτωμένων πόλεις, ὅσα κακὰ ξυμβαίνει. καὶ ἔτι τὰ τῶν λεγομένων περιδίνων, τῶν περὶ τὴν ἰταλίαν γιγνομένων παντοδαπὰ κλωπῶν ἔργα τε, καὶ παθήματα. πρὸς ἅ τις ἅπαντα βλέψας διαπορήσειε τί χρὴ δρᾶν περὶ πάντων τῶν τοιούτων. δύο δὴ λείπεσθον μόνον μηχανὰ, μήτε πατριώτας ἀλλήλων εἶναι τοὺς μέλλοντας ῥᾷον δουλεύσειν, ἀσυμφώνους τε εἰς δύναμιν ὅτι μάλιστα. τρέφειν δὲ αὐτοὺς ὀρθῶς, μὴ μόνον ἐκείνων ἕνεκα, πλέον δὲ αὑτῶν προτιμῶντας. ἡ δὲ τροφὴ τῶν τοιούτων, μήτε τινὰ ὕβριν ὑβρίζειν τοὺς οἰκέτας, ἧττον δὲ εἰ δυνατὸν ἀδικεῖν, ἢ τοὺς ἴσους. διάδηλος γὰρ ὁ φύσει, καὶ μὴ πλαστῶς σέβων τὴν δίκην, μισῶν δὲ ὄντως τὸ ἄδικον ἐν τούτοις τῶν ἀνθρώπων, ἐν οἷς αὐτῷ ῥᾴδιον ἀδικεῖν. ὁ περὶ τὰ τῶν δούλων οὖν ἤθη καὶ πράξεις γιγνόμενός τις ἀμίαντος, τοῦ τε ἀνοσίου πέρι καὶ ἀδίκου, σπείρειν εἰς ἀρετῆς ἔκφυσιν ἱκανώτατος ἂν εἴη. ταὐτὸν δ' ἔστιν εἰπεῖν τοῦτο ὀρθῶς ἅμα λέγοντα ἐπί τε δεσπότῃ καὶ τυράννῳ, καὶ πᾶσαν δυναστείαν δυναστεύοντι πρὸς ἀσθενέστερον ἑαυτοῦ. κολάζειν γε μὴν ἐν δίκῃ δούλους δεῖ, καὶ μὴ νουθετοῦντας ὡς ἐλευθέρους θρύπτεσθαι ποιεῖν. τὴν δὲ οἰκέτου πρόσρησιν, χρὴ σχεδὸν ἐπίταξιν πᾶσαν γίγνεσθαι, μὴ προσπαίζοντας μηδαμῇ μηδαμῶς οἰκέταις, μήτ' οὖν θηλείαις, μήτ' ἄρρεσιν, ἃ δὴ πρὸς δούλους φιλοῦσι πολλοὶ, σφόδρα ἀνοήτως θρύπτοντες, χαλεπώτερον ἀπεργάζεσθαι τὸν βίον ἐκείνοις τε ἄρχεσθαι, καὶ ἑαυτοῖς ἄρχειν.

Nunquam rectum est seruile caput, *Theognidis.*
Sed semper intortum, & obliquum collum habet.
Boni serui calamitatem ducunt, si res heriles *Euripidis in Medea.*
Sinistre eueniant, & mens ipsorum percellitur.
Nomen sane non corrumpit bonum seruum:
Sed multi meliores sunt quàm ingenui.
Multis seruorum turpe nomen est: animus uerò
Magis est ingenuus quàm non seruientium.
Cæterum erga uulgus, seruos similes *Alexidis.*
Habere uidebis mores dominis.
Ingenio enim ad seruiendum idoneo, etiam
Præfecta alijs natura commiscetur.
Papæ, quàm ubiq; seruile genus *Euripidis.*
Deteriori sorti destinauit Deus.
Boni famuli, liberi sunt. Improbi uero liberi *Bionis.*
Multis cupiditatibus seruiunt.

Dominari igitur oportet moderatè, & recreari cupientibus id permittere. Remissiones enim ad nouos labores præparant. Et arcus, & lyra, & homo, quiete uigent. *Dionis.*

Gellias Agrigentinus hospitio exceptus apud hominem durum, & undecunq; facientem quæstum, qui ne dormire quidem famulis permittebat, sed alius aliud operabatur noctu: eundem & ipse postea cum Agrigentum uenisset suscepit, & conuocatis famulorum pueris (qui permulti erant) nuces & carycas distribuit. Interrogante autem hospite, unde tot pueri? à famulis meis, dixit, mihi generantur. *Ex Serini memorabilibus.*

Tam libertas enim quàm seruitus, si modum excedant, pessimæ sunt: moderatæ uerò, perquàm bonæ. Est autem moderata seruitus, quæ dn̄s obnoxia fuerit: immoderata, quæ hominibus. Deus uerò hominibus sobrijs lex est. *Platonis.*

Qui nunquam seruiuit, etiam dominus laude dignus fieri nequit. *Eiusdem legū 6.*

Præterea ô rex & istud consyderabis: quod bonis hominibus mali serui obtingere solent: malis uerò, boni. *Herodoti.*

Perspicuum mihi uidetur ô Clinia, quando difficile domatur homo, & ad necessariam distinctionem serui à libero & domino re ipsa deduci ægre patitur, difficilem possessionem hominem esse. Quod exemplo in crebris Messeniorum rebellionibus patuit. Ciuitates præterea, quæ multos eiusdem linguæ seruos habent, planum fecerunt, quot quantaq; hinc mala sequantur. Piratarum quoq; furta & latrocinia, quæ maxime circa Italiam abundabant, hinc oriuntur. Quæ omnia si quis animaduertat, quid de his faciendum sit, dubitabit. Duæ igitur solummodo restāt uiæ, ut qui facile seruituri sunt, nec eiusdem patriæ sint, & quàm maxime fieri possit, inter se dissoni: educenturq; rectè, non solum ipsorum gratia, sed dominorum multo magis. Est autem recta horum educatio, ut nulla ipsis contumelia inferatur, iniuriaq; his multo minus, si fieri possit, quàm æqualibus inferenda. Liquido enim cognoscitur, qui natura non fictè iustitiam colit, oditq; reuera iniquitatem, quum cauet ne ijs iniuriam faciat, quibus facile potest. Qui ergo circa mores actionesq; suorum nihil unquam facit impiè, nihil iniquè, atq; ita in his se seruat immaculatum, ad producendas uirtutis fruges erit aptissimus. Idem quoq; de domino & tyranno, omniq; potentiore aduersus imbecilliores rectè dici potest. Castigandi cædendiq; semper iure sunt serui, neq; ita monendi ut liberi, ne molliores fiant. Alloquutio omnis ad seruos quodammodo imperium sit, neq; iocus ullus cum ipsis seu fœminis siue masculis habeatur: Quod multi stultè facientes, dum delicatius eos nutriunt, difficiliorem uitam & sibi ad imperandum, & illis ad obediendū reddunt. *Platonis de legibus dialog. 6.*

ΠΕΡΙ ΑΦΡΟΔΙΤΗΣ ΠΑΝΔΗΜΟΥ ΠΑΡΕΧΟΥΣΗΣ ΤΗΝ ΑΙΤΙΑΝ ΤΗΣ ΓΕΝΕΣΕΩΣ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ, ΚΑΙ ΠΕΡΙ ΕΡΩΤΟΣ ΤΩΝ ΚΑΤΑ ΤΟ ΣΩΜΑ ΗΔΟΝΩΝ.

ΛΟΓΟΣ ξα.

Εὐριπίδου.

Η δ' ἀφροδίτη πόλλ' ἔνεστι ποικίλα,
τέρπει τε γὰρ μάλιστα, καὶ λυπεῖ βροτούς,
τύχοιμι δ' αὐτῆς, ἡνίκ' ἐστὶν εὐμενής.

Κόρος δὲ πάντων. καὶ γὰρ ἐκ καλλιόνων
λέκτροις ἐν αἰσχροῖς εἶδον ἐκπεπληγμένους.
δαιτὸς δὲ πληρωθείς τις, ἄσμενος πάλιν
φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.

Οἱ γὰρ κύπριν φεύγοντες ἀνθρώπων ἄγαν,
νοσοῦσ' ὁμοίως τοῖς διώκουσιν ἄγαν.

Ανδρὸς δ' ἐρῶντος εἰς κύπριν νεανίου,
ἀφύλακτος ἡ τήρησις, κἂν γὰρ φαῦλος ᾖ
τ' ἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος.
lego ἣ. — ἣν δ' * ἂν προσπτῇ κύπρις, ἥδιστον λαβεῖν.

al. φορητόν. — Κύπρις γὰρ οὐ * φορητόν, ἢν πολλὴ ῥυῇ.
ἣ τὸν μὲν εἴκονθ', ἥσυχῇ μετέρχεται·
al. ὃν δ' αὖ περισσόν. — * ὃν δ' ἂν περισσὰ καὶ φρονοῦνθ' εὕρῃ μέγα,
τοῦτον λαβοῦσα, πῶς δοκεῖς, καθύβρισεν.

Σοφοκλέους. — Ω παῖδες, ἥτοι κύπρις, οὐ κύπρις μόνον,
ἀλλ' ἐστὶ πάντων ὀνομάτων ἐπώνυμος.
ἔστιν μὲν ᾅδης, ἔστι δ' ἄφθιτος βία,
ἔστιν δὲ λύσσα μανιάς, ἔστιν δ' ἵμερος
ἄκρατος, ἔστ' οἰμωγμός, ἐν ἐκείνῃ τὸ πᾶν,
al. ἐσόμιον. — σπουδαῖον, * ἡσυχαῖον, εἰς βίαν ἄγον.
ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι,
forte φορά. — ψυχή. τίς οὐχὶ τῆσδε τῆς θεοῦ * βορός;
εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει,
ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ,
νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν,
ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.
τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν;
εἴ μοι θέμις. (θέμις δὲ τἀληθῆ λέγειν)
Διὸς τυραννεῖ πλευμόνων, ἄνευ δορός,
ἄνευ σιδήρου πάντα τοι συντέμνεται
κύπρις τὰ θνητῶν, καὶ θεῶν βουλεύματα.

Ἐκ τῶν τοῦ Βίωνος βουκολικῶν. — Ταὶ μοῖσαι τὸν ἔρωτα τὸν ἄγριον οὐ φοβέονται,
ἐκ θυμῶ φιλέοντι, καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κ' ἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ,
τήνου ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν.
ἢν δὲ νόον τῷ ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγών, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀληθής.

ἢν μὲν

DE VENERE VVLGARI, QVAE GENERATIONIS HVMANAE CAVSAM FOVET, AC DE AMORE VOLVPTATVM CORPORIS.

SERMO LXI.

IN Venere multa insunt diuersa. *Euripidis.*
Nam & oblectat maximè, & plurimum molestat homines.
Vtinam ego ipsa tunc fruar, cum est benigna & mitis.
Satietas est omnium rerũ. Auersatos enim pulchriores cõiuges,
Turpibus attonitos amoribus uidi quosdam,
Et epulis satiatus aliquis, libens iterum
Viliore uictu fruens delectatus est.
Homines qui nimis auersantur Venerem,
Aequè ac illi laborant, qui nimis eam persequuntur.
Iuuenis amore Venereo captus
Non obseruari aut custodiri potest. Quamuis enim ineptus fuerit
In alijs rebus, ad amorem tamen unusquisq; sapientior est.
Quod si rectè admittatur Venus, iucundissimum eius donum fit.
Intolerabilis Venus est si abundauerit,
Quæ concedentem sibi leniter sequitur, ac benignius tractat:
Illum uero, quem præ cæteris altius sapere inuenerit,
Comprehensum multò absurdius afficit.
O pueri, certè Venus, non solum Venus est, *Sophoclis.*
Sed omnium particeps nominum.
Hæc eadem est Pluto, & inuicta necessitas,
Hæc est rabies furiosa, hæc & Cupido
Mera, & luctus est. Deniq; ei insunt omnia:
Serium, tranquillum, uiolentum.
Tabescit enim illorum, in quorum pulmonibus inest,
Anima. Quis uero hanc deam non patitur?
Piscium nanq; genus natatile subit:
Et inter quadrupedes in terra existit.
Mouentur & inter uolucres ipsius alæ,
Interq; feras, & homines, deosq; superos.
Quem non deorum colluctando iterum atq; iterum prosternit?
Quod si licet mihi, licet autem uerum dicere,
Iouis pulmonum domina est. Absq; hasta,
Et absq; ferro omnia discindit
Venus tam deorum, quàm mortalium consilia.
Musæ amorem non metuunt crudelem: *Ex Bionis bucolicis.*
Quin amant ex animo, & uestigia sequuntur eius.
Quod si quis ingenio præditus inamabili ipsas comitetur,
Illum refugiunt, & docere nolunt.
At si amore captum gerens animum suauiter cecinerit,
Ad ipsum simul omnes festinæ confluunt.
Quod autem hic sermo planè uerus sit, ego testis sum.

ἂν μὲν γὰρ βροτὸν ἄλλον, ἢ ἀθάνατόν τινα μέλπω,
καμβαίνει μοι γλῶσσα, καὶ ὡς πάρος οὐκ ἔτ' ἀείδει.
ἂν δ' αὖτ' οὖν τὸν ἔρωτα καὶ οὖν Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει ᾠδά.

Ἀριστάρχου. Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν,
οὐκ οἶδ' ἀνάγκης θεσμόν· ᾧ πεισθεὶς ἐγώ,
οὕτω κρατηθείς, τάσδ' ἀποστέλλω ὁδούς.
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι, καὶ τὸν ἄπορον εὑρίσκειν πόρον.

Ἀναξανδρίδου. Ἔρως σοφιστοῦ γίνεται διδάσκαλος
σκαιοῦ πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον.

Εὐριπίδου. Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν,
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὤν,
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Ἀντιφάνους. * Εἴ τις φησὶ τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
lego Εἰ τοὺς ἐρῶντας φησί τις &c. ἢ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος.
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἕτερον, ἢ τεθνηκέναι.

Ἀλέξιδος. Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.
εἶτ' οὖν μέγιστός ἐστι τῶν θεῶν ἔρως,
καὶ τιμιώτατός γε τῶν πάντων πολύ.
οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος, οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους,
ὃς οὐχὶ τούτῳ μερίδα τῶν θεῶν νέμει.

Μενάνδρου. Τῆς οὐσίας ὅσοις μὲν οὖν πρᾴως ἔχει,
Versus non constat. forte legendum νέοις ἐστ' οὖσι. * νέοις αὐτοῖσι τοῦτο προσπέττειν ποιεῖν.
οἱ δ' εἰς τὸ γῆρας ἀναβολὰς ποιούμενοι,
lego προσαποτίνουσιν. οὗτοι * προσαποτείνουσιν ὡραίους τόκους.

† Μιμνέρμου. † Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι.

Μενάνδρου. Καὶ φύσει πως εὐάγωγός ἐστι πᾶς ἀνὴρ ἐρῶν.

Θεοκρίτου. Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

Μενάνδρου. Δίαιταν'. ἔρωτος οὐδὲν ἰσχύει πλέον·
οὐδ' αὐτὸς ὁ κρατῶν ἐν οὐρανῷ θεῶν
Ζεύς, ἀλλ' ἐκείνῳ πάντα ἀναγκασθεὶς ποιεῖ.

Εὐριπίδου. Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσι βροτῶν,
ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
οὐκ ἔστι ποίας λείπεται τῆσδ' ἡδονῆς.

Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
ἔρωτα, πάντων δυσμαχώτατον θεόν.

Σοφοκλέους. Ἔρωτι μὲν γοῦν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει.

alias Εὐριπίδου. * Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω

Ψυχὰς

Nam si hominum quempiam, aut immortalium carmine celebro,
Cessat mea lingua, nec ut ante solebat, canit.
At cum in amorem uel in Lycidam aliquid modulor,
Tunc mihi lætum ore carmen profluit.

Quisquis hominum non est expertus amorem, *Aristarchi.*
Necessitatis ignorat legem, qua ego persuasus
Tali intricatus amore, hoc iter confeci.
Nam ille deus etiam inualidum ualere
Facit, & perplexum inuenire uiam.

Amor docere potest, quàm sophista *Anaxandridæ.*
Ineptus, multò melius rationem humanæ uitæ.

Quisquis amorem non magnum iudicat deum, *Euripidis.*
Et inter dæmones omnes supremum esse,
Vel rudis ac indoctus est, uel omnis elegantiæ boniq; inexpertus,
Maximum hominibus deum ignorat.

Si quis amantes mentem habere negat, *Antiphanis.*
Ingenij nimirum est stupidi.
Nam si uitæ uoluptates abstuleris,
Nihil aliud est reliqui præter mortem.

Non est sanè pædagogus hominibus *Alexidis.*
Diligentior ullus alius, quàm amor.
Nimirum igitur maximus est diuorum amor,
Et longè omnium nobilissimus.
Nullus enim usq; adeò parcus est
Homo, neq; moribus tam exquisitis,
Qui non huic deo partem aliquam tribuat.

Quibus opes sunt ampliores *Menandri.*
Iuuenibus adhuc, amori indulgere iubeas,
Qui uero ad senectutem rem differunt,
Illi unà soluunt iuuentutis fœnus.

Qualis nam uita foret, aut quid iucundi sine aurea Venere? *Mimnermi.*
Emoriar cum ista non amplius mihi curæ fuerint.

Et natura quodammodo omnis amans tractabilis est. *Menandri.*

Est etiam in uanis osculis iucunda uoluptas. *Theocriti.*

Hera, nihil est amore potentius: *Menandri.*
Ne ipse quidem imperans in cœlo dijs
Iupiter, sed nihil non ab illo coactus facit.

Quicunq; homines amore capti fuerint, *Euripidis.*
Si commodos nanciscantur amores,
Nullum eis abest uoluptatis genus.

Habeo autem audaciæ & confidentiæ præceptorem
In rebus perplexis præsentissimum,
Videlicet amorem, qui deorum omnium impugnatu difficillimus est.

Quisquis etenim amori resistit *Sophoclis.*
Instar pugilis, fretus manibus, non rectè sapit.
Imperat enim Cupido etiam dijs pro arbitrio.

Cupido non solum uiros inuadit, *el. Euripidis.*
Et mulieres: sed deûm quoq; suprà

ψυχὰς χαράσσει, κἀπὶ πόντον ἔρχεται.
καὶ τόνδ᾽ ἀπείργειν οὐδ᾽ ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ᾽ ὑπείκει καὶ θέλων ἐγκλίνεται.

Ἐκ τοῦ Βίωνος Βουκολικῶν.

Ἁ μεγάλα μοι Κύπρις ἔθ᾽ ὑπνώοντι παρέστα,
νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα
ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον.
μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε.
ὣς λέγε. χὰ μὲν ἀπῆλθεν· ἐγὼ δ᾽ ὅσα βουκολίασδον,
νήπιος, ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον.
ὡς εὗρε πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα,
ὡς χέλυν Ἑρμάων, κίθαριν ὡς ἁδὺς Ἀπόλλων.
ταῦτά μιν ἐξεδίδασκον· ὁ δ᾽ οὐκ ἐμπάζετο μύθων,
al. ἱμερτά. ἀλλά μοι αὐτὸς ἄειδεν * ἐρωτύλα, καί μ᾽ ἐδίδασκε
θνατῶν ἀθανάτων τε πόθους, καὶ ματρὸς ἔργα.
κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτα δίδασκον,
ὅσσα δ᾽ Ἔρως μ᾽ ἐδίδασκεν ἐρωτύλα πάντ᾽ ἐδιδάχθην.

Ἕσπερε τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας,
Ἕσπερε κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,
τόσσον ἀφαυρότερον μήνας, ὅσον ἔξοχος ἄστρων,
χαῖρε φίλος καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
ἀντὶ σελαναίας τὺ δίδου φάος, ὥνεκα τήνα
al. ἱσταμένα. σάμερον * ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωρὰν
ἔρχομαι, οὐδ᾽ ἵνα νυκτὸς ὁδοιπορέοντ᾽ ἐνοχλήσω.
ἀλλ᾽ ἐράω, καλὸν δέ τ᾽ ἐρασσαμένῳ συνερᾶσθαι.

Ἐκ τῶν Μόσχου τοῦ Σικελοῦ Βουκολικῶν.

Ἤρα Πὰν Ἀχῶς τᾶς γείτονος· ἤρατο δ᾽ Ἀχὼ
σκιρτατᾶ Σατύρω· Σάτυρος δ᾽ ἐπεμαίνετο Λύδᾳ.
ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχώ,
καὶ Λύδα Σατυρίσκον, Ἔρως δ᾽ ἀνεμύχετ᾽ ἀμοιβᾷ.
ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,
τόσσον ὁμῶς φιλέων ἠχθαίρετο, πάσχε δ᾽ ἄποινα.
ταῦτα λέγω πᾶσι τὰ διδάγματα τοῖς ἀνεράστοις,
στέργετε τοὺς φιλέοντας, ἵν᾽ ἢν φιλέητε φιλῆσθε.

Πλάτωνος. Ὃ δὲ δεινότατον, ὥς γε λέγουσιν οἱ πολλοί, ὅτι καὶ ὀμνύντι μόνῳ ξυγγνώμη παρὰ θεῶν, ἐκβάντι τὸν ὅρκον. ἀφροδίσιον γὰρ ὅρκον οὔ φασιν εἶναι. οὕτω καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασι τῷ ἐρῶντι, ὡς ὁ νόμος φησὶν ὁ ἐνθάδε.

Camers legit Ἀρίστιππος. * Ἀριστοτέλης ὁ Κυρηναῖος φιλόσοφος, ἐρωτηθείς, εἰ ὁ ἔρως ἕνεκα συνουσίας γίνεται; οὔτ᾽, ἔφη, διὰ τοῦτο, οὔτ᾽ ἄνευ τούτου.

Πλουτάρχου. Τῶν μὲν Μενάνδρου δραμάτων ὁμαλῶς ἁπάντων, ἓν συνεκτικόν ἐστιν ὁ ἔρως, οἷον, πνεῦμα κοινὸν διαπεφυκώς. ὃν οὖν μάλιστα θιασώτην τοῦ θεοῦ καὶ ὀργιαστὴν τὸν ἄνδρα συμπαραλαμβάνομεν εἰς τὴν ζήτησιν· ἐπεὶ καὶ λελάληκε περὶ τοῦ πάθους φιλοσοφώτερον. ἄξιον γὰρ θαύματος φῆσαι τὸ περὶ τοὺς ἐρῶντας, ὥσπερ γένεσιν, ἅμα λαλεῖ· εἶτα ἐρεῖ καὶ ζητεῖ πρὸς ἑαυτόν.

τίνι δεδούλωταί ποτ᾽ ὄψει φλύαρος.
τῆς γὰρ αὐτῆς πάντες ἂν ἤρων. κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει.
ἀλλ᾽ ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται
συνουσίας. πῶς οὖν ἕτερος ταύτην ἔχων
οὐδὲν πέπονθεν, ἀλλ᾽ ἀπῆλθε καταγελῶν;
ἕτερος ἀπόλωλε; καιρός ἐστιν ἡ νόσος
ψυχῆς. ὁ πληγεὶς δ᾽ εἴσω δὲ τιτρώσκεται.

Animos uulnerat,& mare ingreditur
Et ipsum arcere ne omnipotens quidem potest
Iupiter:sed cedit,& uolens inclinatur.
Magna mihi Venus adhuc dormienti astitit *Ex Bionis bucolicis.*
Infantem amorem pulchra manu ducens
In terram nutantem,ac his me uerbis affata est.
En tibi chare bubulce Cupidinem,ut eum canere doceas.
Sic loquuta abijt:Ego autem mea pastoralia carmina
Stultus,tanquam discere uolentem Cupidinem docebam:
Quomodo fistulam obliquam Pan inuenerit,Minerua tibiam,
Testudinem Mercurius,& citharam dulcis Apollo.
Hæc ipsum edocebam nihil curantem mea carmina.
At ipse mihi canebat amatoria,meq; docebat
Mortalium & immortalium ignes,& genetricis opera suæ.
Tum ego oblitus illorum quæ Cupidinem docueram,
Quæcunq; me docuit Cupido amatoria cuncta didici.
O Vesper amabilis,aurea lux Veneris,
Chare uesper cœruleæ noctis imago sacra,
Tantum obscurior luna,quantum præstantior astris,
Salue dilecte,& mihi ad pastorem comessatum eunti
Tu lumen præbeto uice lunæ:hæc enim
Incipiens hodie statim occidit.Non ad furandum
Eo, nec ut nocturnum iter facientem inuadam:
Sed amo:decet autem amantem simul ab alijs amari.
Pan amabat Echo uicinam:Echo autem ardebat *Ex Moschi Siculi Bucolicis.*
Saltatorem Satyrum: Satyrus uero deperibat Lydam.
Quantum Echo Pana,tantum Satyrus ipsam urebat,
Et Satyrum Lyda. Sic amor per uices flagrabat.
Quantum enim ipsorum aliquis amantem oderat,
Tantum & ipsus amans odiosus erat,& patiebatur uindictam.
Hæc ego documenta narro ab amore alienis.
Diligite amantes,ut si ametis redamemini.

Quod uero permaximum est uulgo fertur, quod solis amatorijs periurijs dij dant ueniam. Venereum quippe iusiurandum nihil ualere aiũt. Itaq; tam dij quàm homines omnem amanti licentiã præstiterũt, ut lex nostra testatur. *Platonis in conuiuio.*

Aristoteles Cyrenęus philosophus interrogatus,an amor coitus gratia fieret: neq; eius gratia,dixit,neq; sine eo.

Menandri fabularũ ex æquo omniũ una facultas est, qua continẽtur & uigent,uidelicet amor,ceu cõmunis quidam spiritus per ipsas extensus. Hunc uirum igitur tanquam maximum cultorem & sacerdotem huius dei,in disputationem nostram assumemus. Præ cæteris enim philosophicè de hoc affectu disseruit. Nam quod in amantibus admiratione præcipua dignum est, illud in quæstionem producens,ita secum ratiocinatur. *Plutarchi.*

* Quid nugaris ac putas formam esse faciei,quæ capiat amantes? ** Hi uersus in Græco corrupti uidentur.*
Certe si id fieret,omnes eandem amarent.Idem enim oculorum iudicium est.
Voluptas ergo quædam amantes allicit
Congrediendi?Cur igitur unus eodem utens concubitu
Nihil patitur,sed irridens discedit;
Alter perditè amat? Tempus nimirum hunc morbum parit
Animæ,quo qui fuerit ictus,internum uulnus sentit.

Ταῦτα τίνα δεῖ σκεψώμεθα. καὶ γὰρ ἔχει τινὰ κρουστικὸν, καὶ κινητικὸν αἰτίαν; μήτε τὴν συνουσίαν αἰτίαν εἶναι πιθανόν ἐστι. ἀρχαὶ γὰρ αὗται τινῶν ἴσως. ἡ δὲ ἰσχὺς καὶ ῥίζωσις τοῦ πάθους, ἐν ἑτέροις. addo ἴσην. ἡ δ' ἀπόδειξις, ἐλαφρὰ, καὶ οὐδ' ἀληθής. οὐ γὰρ ἔχει κρεῖσσον τὸ βλέπειν *, ὥσπερ οὐδὲ τὸ γεύεσθαι. καὶ γὰρ ὄψις ὄψεως, καὶ ἀκοῆς ἀκοὴ, φύσει τε μᾶλλον διήρθρωται, καὶ τέχνῃ συγγεγύμνασται πρὸς τὴν τοῦ καλοῦ διάγνωσιν. ἐν μὲν ἁρμονίαις, καὶ μέλεσιν, αἱ τῶν lego ζωγράφων. μουσικῶν· ἐν δὲ μορφαῖς, καὶ ἰδέαις αἱ τῶν * ζώων φρενῶν. ὥσπερ εἶπεν ποτὲ Νικόμαχον λέγουσι πρὸς ἄνθρωπον ἰδιώτην, φήσαντα μὴ καλὴν αὐτῷ φανῆναι τὴν Ζεύξιδος Ἑλένην· λάβε τοὺς ἐμοὺς ὀφθαλμοὺς, καὶ θεός σοι φανήσεται. πολλοὶ δὲ καὶ μυρεψοὶ περὶ τὰ ὀσφραντὰ καὶ νὴ Δία ὀψοποιοὶ περὶ τὰ γευστὰ, διατριβῇ καὶ συνηθείᾳ, διαφέρουσαν ἡμῶν κρίσιν ἔχουσι. πάλιν δὲ τὸ συνουσίᾳ τὸν ἔρωτα μὴ κρατεῖσθαι, διὰ τὸ τῇ αὐτῇ συγγενόμενον ἄλλον ἀπαλλαγῆναι καὶ καταφρονῆσαι, τοιοῦτόν ἐστιν· οἷον, εἰ λέγοι τις, μηδὲ χυμῶν ἡδονῇ δεδουλῶσθαι Φιλόξενον τὸν ὀψοφάγον, ὅτι τῶν αὐτῶν Ἀντισθένης γευσάμενος, οὐδὲν ἔπαθε τοιοῦτον· μηδὲ ὑπὸ οἴνου μεθύειν Ἀλκιβιάδην, ὅτι Σωκράτης πίνων τὸν ἴσον οἶνον ἐνῆφεν. ἀλλὰ ταῦτα μὲν ἐάσωμεν, τὰ δ' ἐφεξῆς ἐν οἷς ἤδη τὴν αὐτοῦ δόξαν ἀποφαίνεται σκοπῶμεν. καιρός ἐστιν ἡ νόσος ψυχῆς. εὖ καὶ ὀρθῶς. δεῖ γὰρ ἅμα τοῦ πάσχοντος εἰς ταυτὸ καὶ τοῦ ποιοῦντος ἀπάντησιν γενέσθαι, πρὸς ἄλληλά πως ἐχόντων. ὡς ἄκυρον εἰς τὴν τοῦ τέλους ἀπεργασίαν ἡ δραστικὴ δύναμις, ἂν μὴ παθητικὴ διάθεσις ᾖ. ὥστε δὲ δυσοχίας δεῖ καιροῦ περὶ παθεῖν ἐμοί πως συνάπτοντος ἐν ἀκμῇ τὸ ποιεῖν πεφυκός.

Πλάτωνος ἐκ τοῦ συμποσίου.

Ἡ γὰρ πάλαι ἡμῶν φύσις, οὐχ αὕτη ἦν ἥπερ νῦν, ἀλλ' ἀλλοία. πρῶτον μὲν γὰρ τρία ἦν γένη τὰ τῶν ἀνθρώπων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ, ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν ἀμφοτέρων τούτων, οὗ νῦν ὄνομα λοιπὸν, αὐτὸ δὲ ἠφάνισται. ἀνδρόγυνον γὰρ τότε μὲν ἦν, καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν, τοῦ τε ἄρρενος καὶ θήλεος. νῦν δ' οὐκ ἔστιν, ἀλλ' ἢ ἐν ὀνείδει ὄνομα κείμενον. ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος στρογγύλον, νῶτόν τε, καὶ πλευρὰς κύκλῳ ἔχον, χεῖρας δὲ τέσσαρας εἶχε, καὶ σκέλη τὰ ἴσα ταῖς χερσὶ, καὶ πρόσωπα δύο ἐπ' αὐχένι κυκλοτερεῖ, ὅμοια πάντῃ. κεφαλὴν δὲ ἐπ' ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις κειμένοις μίαν, καὶ ὦτα τέτταρα, καὶ αἰδοῖα δύο, καὶ τἄλλα πάντα * ὅσα ἐκ τούτων ἄντις εἰκάσειεν. (aliàs ἄν.) ἐπορεύετο δὲ καὶ ὀρθὸν, ὥσπερ νῦν, ὁποτέρωσε βουληθείη, καὶ ὁπότε ταχὺ ὁρμήσειε * θεῖν, (al. ἰδεῖν.) ὥσπερ οἱ κυβιστῶντες, καὶ εἰς * ὀρθὰ ὄντα σκέλη περιφερόμενοι κυβιστῶσι κύκλῳ, (al. ὀρθὴν τὰ σκέλη.) τότε ὀκτὼ οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι, ταχὺ ἐφέροντο κύκλῳ. ἦν δὲ διὰ ταῦτα τρία γένη, καὶ τοιαῦτα, ὅτι τὸ μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον· τὸ δὲ θῆλυ, τῆς γῆς· τὸ δὲ ἀμφοτέρων μετέχον, τῆς σελήνης. ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων * μετέχει. (al. μετέχει.) περιφερῆ δὲ δὴ ἦν καὶ αὐτὰ, καὶ ἡ πορεία αὐτῶν, διὰ τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι. ἦν οὖν τὴν ἰσχὺν δεινὰ, καὶ τὴν ῥώμην, (al. ῥώμ.) καὶ τὰ φρονήματα μεγάλα εἶχον, ἐπεχείρησαν δὲ τοῖς * θείοις, καὶ ὃ λέγει Ὅμηρος περὶ Ἐφιάλτου τε καὶ Ὤτου, περὶ ἐκείνων λέγεται, τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων τοῖς θεοῖς. ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοί, ἐβουλεύοντο ὅ, τι χρὴ αὐτοὺς ποιῆσαι, καὶ ἠπόρουν· οὔτε γὰρ ὅπως ἀποκτείναιεν εἶχον, καὶ ὥσπερ τοὺς γίγαντας κεραυνώσαντες τὸ γένος ἀφανίσαιεν (αἱ τιμαὶ γὰρ αὐτοῖς, καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων, ἠφανίζετο) οὔτε ὅπως ἐῷεν ἀσελγαίνειν. μόλις δὲ ὁ Ζεὺς ἐννοήσας, λέγει. ὅτι δοκῶ μοι ἔφη ἔχειν μηχανὴν, ὡς ἂν εἶέν τε ἄνθρωποι, καὶ παύσαιντο τῆς ἀκολασίας, ἀσθενέστεροι γενόμενοι. νῦν μὲν γὰρ αὐτοὺς ἔφη διατεμῶ δίχα ἕκαστον, καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται, ἅμα δὲ χρησιμώτεροι ἡμῖν, διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι, καὶ βαδιοῦνται ὀρθοὶ ἐπὶ δυοῖν σκελοῖν. ἐὰν δὲ ἔτι δοκῶσιν ἀσελγαίνειν, καὶ μὴ θέλωσιν ἡσυχίαν ἄγειν, πάλιν αὖ ἔφη τεμῶ δίχα, ὥστε ἐφ' ἑνὸς πορεύσονται σκέλους, * ἀσκωλίζοντες. (al. ἀσκωλιάζοντες.) καὶ ταῦτα εἰπὼν, ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὠὰ τέμνοντες καὶ μέλλοντες ταριχεύειν, ἢ ὥσπερ οἱ τὰ ὠὰ ταῖς θριξίν· ὅντινα δὲ τέμοι, τὸν Ἀπόλλω ἐκέλευε τό, τε πρόσωπον μεταστρέφειν, καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομὴν, ἵνα θεώμενος τὴν αὑτοῦ τμῆσιν, κοσμιώτερος εἴη ὁ ἄνθρωπος, καὶ τἄλλα ἰᾶσθαι ἐκέλευεν. ὁ δὲ τό, τε πρόσωπον μετέστρεφε, καὶ ξυνέλκων πανταχόθεν τὸ δέρμα ἐπὶ τὴν γαστέρα νῦν καλουμένην, ὥσπερ τὰ σύσπαστα βαλάντια, ἐν στόμα ποιῶν, ἀπέδει κατὰ μέσην τὴν γαστέρα, ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσι.

καὶ

Istorum age uersuum sententiam consideremus. Prorsus enim habet amor uehementem & efficacem causam:cum(neque formam) neq; coitum probabiliter causari sit. Quamuis enim principia forte sint, uis tamen & confirmatio amoris alibi sita est. Cæterum demonstratio Menandri leuis, & falsa est. Haud enim omnibus uidendi idem iudicium est, ut neque gustandi. Nam uisus uisu, auditusq; auditu, uel natura perfectior est,uel exercitatior arte,ad discernendum meliora. Nempe ad harmonias & numeros Musici, ad formas speciesq; iudicandas pictores, ingenio sensuq; plus ualent. Hinc est quod Nicomachus, ad rudem quendam, qui sibi Zeuxidis Helenam non pulchram uideri dixerat, ita loquutus fertur: Sume tibi meos oculos, & deam existimabis. Quin & unguentarij multi iudicio odorum, & coqui saporum propter usum & consuetudinem nos superant. Item altera probatio, quod ex coitu amor non fiat, quoniam ex duobus cum eadem mixtis, alter irretiatur, alter contemnens abeat, perinde est ac si diceres Philoxenum heluonem uoluptate saporum non fuisse captum, quoniam Antisthenes eisdem gustatis non similiter affectus sit: aut Alcibiadem non ebrium esse uino, quia Socrates tantundem bibens sobrius fuerit. Sed hæc missa faciamus, & sequentia, quibus suam sententiam aperit, perpendamus. Tempus inquit hunc morbum parit animæ. Probè dictum. Oportet enim ut agens ac patiens unà in idem conueniant, mutuo quodam affectu inter se disposita. Nam facultas agens finem suum assequi nequit, nisi adsit dispositio ad patiendum apta. Illud autem temporis, & opportunitatis est, quæ mihi ad passionem disposito id quod agere natum est, in ipso articulo iungit.

Parenthesis non est in Græco.

Neq; enim qualis nunc est, olim erat, sed longe diuersa natura nostra. Principio tria hominum erant genera, non solum mas & fœmina, uerumetiam tertium quoddam, ex utrisq; compositum: Cuius solum nobis restat nomen, ipsum perijt. Androgynum quippe tunc erat & specie & nomine, ex maris & fœminæ sexu commixtum. Ipsum profecto defecit, nomen solum infame relictum. Præterea tota cuiusque hominis species erat rotunda, dorsum & latera circum habens manus quatuor, totidemq; crura, uultus itē duos tereti ceruice connexos, & omnino consimiles. Caput utriq; uultibus cōtrauersis, unum. Aures quatuor, genitalia duo & alia singula, ut ex his colligi potest. Incedebat hic tunc & rectus, ut nunc, in utram uellet partem: & quotiens celerius ire contenderet, instar eorum qui prono capite crura sursum circumferentes circularem choream exercent, tunc octo membris innixus celeri circulo ferebatur. Ob hanc uero causam tria genera & talia erant, quia masculum Sole genitum erat: fœmina, Terra: promiscuum denique, Luna: utriusq; enim luna est particeps. Sphærica uero erant & figura, & motu, quia parentum similia. Vnde & robusto corpore, & alato animo erant. Quare cum dijs pugnare tentabant, & in cœlum ascendere, ut de Ephialte & Oto scribit Homerus. Iuppiter igitur alijq; dij quid agendum esset consultauerunt: qua in re non parum ambigebatur. Nam neque fulminare homines illos ut gigantes placebat, extincto enim hominum genere humanus deorum cultus periret: neque in tanta insolentia permittendos eos censebant. Tandem Iuppiter sic fatus est. Inueni, inquit, uti fieri possit ut & homines, & modestiores sint, nempe si imbecilliores fiant: unumquemque nunc duas in partes diuidam: unde & debiliores erunt & nobis magis id conducet: plures enim nos colent. Recti duobus cruribus ibunt. Quod si rursus impiè insurgere uideantur, iterum in duo secabo, ut unico crure nixi, utpote claudi, saltare cogantur. Hæc fatus bifariam partitus est singulos, instar eorum, qui oua diuidunt ut sale condiant, uel qui capillo oua secant: mandauitq; Apollini, ut partitio est statim facta, cuiusq; uultū ceruicisq; dimidium in eam partem qua sectus est, uerteret, ut scissionem suam considerans modestior fieret, reliquis autem mederi iussit. Ille continuò uultum uertit, & contrahens undiq; cutem in eum qui nunc uenter uocatur tanquam contracta marsupia & os unum faciens, medio in uentre ligauit: quem quidem nexum umbilicum uocant.

Platonis in conuiuio.

καὶ τὰς μὲν ἄλλας ῥυτίδας τὰς πολλὰς ἐξελέαινε, καὶ τὰ στήθη διήρθρου, ἔχων τι τοιοῦτον ὄργα-
νον, οἷον οἱ σκυτοτόμοι περὶ τὸν καλάποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας, ὀλίγας δὲ
κατέλιπε τὰς περὶ αὐτὴν τὴν γαστέρα, καὶ τὸν ὀμφαλὸν, μνημεῖον εἶναι τοῦ παλαιοῦ πάθους.
ἐπεὶ οὖν ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαστον τὸ ἥμισυ τὸ αὐτοῦ, ξυνῄει, καὶ περιβάλλοντες
τὰς χεῖρας καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες ξυμφῦναι, ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ,
καὶ τῆς ἄλλης ἀργίας, διὰ τὸ μηδὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν. καὶ ὁπότε τι ἀποθάνοι τῶν ἡμί-
σεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπλέκετο, εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡ-
μίσει, ὃ δὴ νῦν γυναῖκα καλοῦμεν, εἴτε ἀνδρός, καὶ οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς, ἄλ-
λην μηχανὴν πορίζεται, καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν. τέως γὰρ καὶ ταῦτα
ἐκτὸς εἶχον, καὶ ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλλήλους, ἀλλ' εἰς γῆν ὥσπερ οἱ τέττιγες. μετέθηκέ
ἄλλως ἐν. τε οὖν οὕτως αὐτῶν εἰς τὸ ἔμπροσθεν, καὶ διὰ τούτων τὴν γένεσιν * νέαν ἀλλήλοις ἐποίησε, διὰ τοῦ
ἄῤῥενος ἐν τῷ θήλει τῶνδε ἕνεκα: ἵνα ἐν τῇ συμπλοκῇ ἅμα μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι γεννῷ-
ἀλ. ἄῤῥην ἄῤῥενι. εν, καὶ γίγνοιτο τὸ γένος: ἅμα δ' εἰ καὶ * ἄῤῥεν, ἄῤῥεν, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας
καὶ διαπαύοιντο, καὶ ἐπὶ τὰ ἔργα τρέποιντο, καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο. ἔστι δὴ οὖν ἐκ
τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις, καὶ τῆς ἀρχαίας φύσεως συναγωγὸς, καὶ ἐπιχει-
ρῶν ποιῆσαι ἓν ἐκ δυοῖν, καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. ἕκαστος οὖν ἡμῶν ἐστὶν ἀν-
θρώπου σύμβολον, ἅτε τετμημένος, ὥσπερ αἱ ψῆτται ἐξ ἑνὸς δύο. ζητεῖ δὴ ἀεὶ τὸ αὐτοῦ ἕκα-
ἄλλως τμῆμα. στον σύμβολον. ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ * τμήματός εἰσιν, ὃ δὴ τότε ἀνδρόγυ-
νον ἐκαλεῖτο, φιλογύναικές τέ εἰσι, καὶ οἱ πολλοὶ τῶν μοιχῶν ἐκ τούτου τοῦ γένους γεγόνασι. καὶ
ὅσαι αὖ γυναῖκες φίλανδροί τε, καὶ μοιχεύτριαι: ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσαι δὲ τῶν
γυναικῶν γυναικὸς τμῆμά εἰσιν, οὐ πάνυ αὗται τοῖς ἀνδράσι τὸν νοῦν προσέχουσιν, ἀλλὰ μᾶλ-
λον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσί, καὶ ἑταιρίστριαι ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσοι
δ' ἄῤῥενος τμῆμά εἰσι, τὰ ἄῤῥενα διώκουσι: καὶ τέως μὲν ἂν παῖδες ὦσιν, ἅτε τεμάχια ὄντα
τοῦ ἄῤῥενος, φιλοῦσι τοὺς ἄνδρας, καὶ χαίρουσι ξυγκατακείμενοι, καὶ ξυμπλεκόμενοι τοῖς ἀνδρά-
σι: καὶ εἰσὶν οὗτοι βέλτιστοι τῶν παίδων καὶ μειρακίων, ἅτε ἀνδρειότατοι ὄντες φύσει. φασὶ δὲ
δή τινας αὐτοὺς ἀναισχύντους εἶναι, ψευδόμενοι, οὐ γὰρ ὑπ' ἀναισχυντίας δρῶσι τοῦτο, ἀλλ' ὑπὸ
θάῤῥους, καὶ ἀνδρείας, καὶ ἀῤῥενωπίας, τὸ ὅμοιον αὐτοῖς ἀσπαζόμενοι. μέγα δὲ τεκμήριον. καὶ γὰρ
τελεωθέντες μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ, ἄνδρες οἱ τοιοῦτοι. ἐπειδὰν δὲ ἀνδρωθῶσι,
παιδεραστοῦσι, καὶ πρὸς γάμους καὶ παιδοποιΐας οὐ προσέχουσι τὸν νοῦν φύσει.

Ἐν ταυτῷ. Φημὶ οὖν ἐγὼ, πάντων θεῶν εὐδαιμόνων ὄντων, ἔρωτα, (εἰ θέμις καὶ ἀνεμέσητον εἰπεῖν,)
εὐδαιμονέστατον εἶναι αὐτὸν, κάλλιστον ὄντα καὶ ἄριστον. ἔστι δὲ κάλλιστος ὢν, τοιόσδε. πρῶτον μὲν
νεώτατος θεῶν ὦ φαῖδρε. μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐτὸς παρέχεται, φεύγων φυγῇ τὸ γῆ-
ρας, ταχὺ ὂν δηλονότι. θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν προσέρχεται. ὃ δὴ πέφυκεν ἔρως μισεῖν,
ἄλλως ὄντα. καὶ οὐδ' * ὄντος πολλοῦ πλησιάζειν. μετὰ δὲ νέων ἀεὶ ξύνεστί τε καὶ ἔστιν. ὁ γὰρ παλαιὸς λόγος εὖ
ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει. ἐγὼ δὲ φαίδρῳ πολλὰ ἄλλα ὁμολογῶν, τοῦτο οὐχ ὁμολογῶ,
ὡς ἔρως κρόνου καὶ ἰαπετοῦ ἀρχαιότερός ἐστιν. ἀλλὰ φημὶ νεώτατόν τε αὐτὸν εἶναι θεῶν, καὶ ἀεὶ νέ-
ον. τὰ δὲ παλαιὰ πράγματα περὶ θεοὺς, ἃ ἡσίοδος καὶ παρμενίδης λέγουσιν, ἀνάγκῃ καὶ οὐκ ἔ-
ρωτι γεγονέναι, εἰ ἐκεῖνοι ἀληθῆ ἔλεγον: οὐ γὰρ ἂν ἐκτομαὶ οὐδὲ δεσμοὶ ἀλλήλων ἐγένοντο, καὶ
ἄλλα πολλὰ καὶ βίαια, εἰ ἔρως ἐν αὐτοῖς ἦν, ἀλλὰ φιλία καὶ εἰρήνη, ὥσπερ νῦν, ἐξ οὗ ἔρως τῶν θε-
ῶν βασιλεύει. νέος μὲν οὖν ἐστὶ, πρὸς δὲ τῷ νέῳ, ἁπαλός. ποιητοῦ δ' ἐστὶν ἐνδεὴς, οἷος περ
ἦν ὁ ὅμηρος, πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπαλότητα. ὅμηρος γὰρ ἄτην, θεόν τέ φησιν εἶναι καὶ ἁ-
παλὴν: τοὺς γοῦν πόδας αὐτῆς ἁπαλοὺς φησὶν εἶναι λέγων:

τῆς μὲν θ' ἁπαλοὶ πόδες, οὐ γὰρ ἐπ' οὔδει
πίλναται. ἀλλ' ἄρα ἥγε κατ' ἀνδρῶν κράατα βαίνει.

καλῷ οὖν μοι δοκεῖ τεκμηρίῳ τὴν ἁπαλότητα ἀποφαίνειν, ὅτι οὐκ ἐπὶ σκληροῦ βαίνει, ἀλλ' ἐ-
πὶ μαλθακοῦ. τῷ αὐτῷ δὴ καὶ ἡμεῖς χρησόμεθα τεκμηρίῳ περὶ ἔρωτος, ὅτι ἁπαλός. οὐ γὰρ ἐπὶ
γῆς βαίνει, οὐδ' ἐπὶ κρανίων (ἅ ἐστιν οὐ πάνυ μαλακά) ἀλλ' ἐν τοῖς μαλακωτάτοις τῶν ὄντων
βαίνει καὶ οἰκεῖ. ἐν γὰρ ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται, καὶ οὐκ αὖ ἐν
πάσαις

Et alias quidē rugas maxima parte leuigauit, pectusq́ articulatim distinxit, organo quodā tali utēs, quali coriarij cū corij rugas sup pedis formulā poliunt: nōnullas uero circa mediū uentrē umbilicūq́ reliqt, ut quasi cicatrices quędā passionē nobis ueterē semp repręsentarēt. Postq̄ natura hominū ita diuisa fuit, cum quisq; dimidiū sui agnitū cuperet, inter se cōcurrebant, circūiactisq́ brachijs se inuicē cōplectebātur, cōflari in unū affectātes: Vnde fame, & corpore deficiebāt, eò q̄d nunq̄ seiungebantur. Et cū dimidiū unū moriebať, restabat alterū, q̄d supererat rursus aliud asciscebat, similiterq́ congrediebať, siue soli⁹ cuiusdā totiusq́ fœminę dimidiū esset, quā fœminā nūc uocamus, seu uiri: atq; ita gen⁹ hominū depibat. Quocirca miseratus Iupiter remediū aliud excogitauit, pmutauit genitalia, & quę prius retro erāt, ad anteriores partes trāstulit. Antea siquidē cū ad nates hęc haberēt, nō inuicē sed in terrā spargentes semina cicadarum instar concipiebant, atq; generabant. Cum uero ad interiora transposuisset, per hęc generationē in se inuicē expleri fecit, per masculū in fœminat hac de causa, ut si in amplexu uir fœminæ cōmisceretur, genita prole speciē hominū propagarent: Sin aūt masculus masculo, satietate ab amplexu amouerentur & ad res gerendas cōuersi uictū curarent. Hinc utiq; ex illo tēpore mutuus hominibus innatus est amor, priscæ naturæ cōciliator, annitēs unū ex duobus efficere hominūq́ naturę mederi. Est igitur quisq; nostrū dimidiū hominis, utpote sectus, quemadmodū pisces q Psettę id est passeres uocātur, scissi ex uno duo efficiūtur. Quęrit aūt sui q̄sq; dimidiū: quamobrē quicūq; ex uiris promiscui generis portio sunt, q̄d olim Androgynū uocabať, mulierosi sunt, adulteriaq́, ut plurimū, ex his patrātur. Ex hoc sanè gēere mœchi ducūt originē. Rursus quęcūq; mulieres uirorū cupidæ mœchęq́ sūt, hac stirpe nascūtur. Quæ uero mulieres mulieris pars existūt, haud multū uiros desiderāt, sed fœminas magis affectant, atq; hinc fœminæ quæ fœminas cupiūt nascuntur. At uero qui maris portio sunt, mares sequūtur. At dū pueri sunt, utpote qui maris particula sint, uiros diligūt, uirorumq́ familiaritate assidua cōgressuq́ gaudent: hiq́ sunt puerorū adolescentulorūq́ omniū generosissimi, quippe qui natura præ cæteris omnibus sunt uiriles. Hos quidā impudicos falsò appellāt. Neq; enim impudentia ulla, sed generositate, & fortitudine quadā mascula, uirilīq́ natura hoc agūt, nam simili suo congratulantur. Huius euidēs argumentū est, quod cū adoleuerint, soli ad ciuilē administrationē cōuersi, uiri pręstantes euadunt, & in ętate uirili constituti, ipsos adolescentes diligunt, matrimonium uero filiorumq́ generationē natura spernunt &c.

Assero equidem cū dij omnes beati sint, amorē, si modo fas est & tolerabile dictu, esse omniū beatissimum: quippe cū pulcherrimus omniū optimusq́ existat. Quod uero pulcherrimus sit ex eo primū patet, quod deorū omniū maximè iuuenis est: cuius ipse euidens argumentū præbet, cum senectutem fugiat uelocem, uidelicet, quæ citius quàm oportet aduētat, eamq́ amor natura odit fugitq́, iuuenibus uerò se miscet. Scitè quidē ueteri prouerbio fertur, simile simili semper hærere. Et cum multa Phædro cōcedo, in hoc uno minimè assentior, quod amor Saturno & Iapeto sit antiquior. Imò præ cęteris dijs iuuenē esse aio, sempq́ iuuenē: prisca uero deorū gesta, quę Hesiodus Parmenidesq́ describūt, necessitati potius quàm amori attribuenda, si modo illi uera narrârunt. Neq; enim castrari inuicē, & uinciri, aliaq́ uiolenta permulta dijs olim contigissent, si amor illis tunc adfuisset: sed beneuolētia, & pax summa regnasset, quemadmodū nūc, ex quo imperare dijs amor incepit. Ergò iuuenis est, & tener pręterea, mollisq́. Opus est aūt tali quodā poëta, qualis Homerus extitit, ad tenerā amoris molliciē demonstrandā. Homerus quidē Aten. i. Calamitatē, deā inquit esse, & mollē: utq́ illi⁹ pedes teneros esse ostēderet, ait eā nunq̄ pauimēta calcare, sed per capita hominū incedere. Perspicua sanè cōiectura, q̄d tenera ipsa sit, usus fuisse uideť, q̄a p dura nō gradiť, sed mollia tāgit. Eodē nobis utendū est argumēto, q̄d tener sit Amor ostēdere cupientib⁹. Neq; em̄ p terrā, & saxa uadit, quę aspa sunt, sed mollissimis omniū reb⁹ se infigit ac pmanet. In animis quippe deorū & hominū

Ibidem sub persona Agathonis

πάσαις ἑξῆς ταῖς ψυχαῖς, ἀλλ᾽ ᾗ τινι ἂν σκληρὸν ἦθος ἐχούσῃ ἐντύχῃ, ἀπέρχεται· ᾗ δ᾽ ἂν μαλακόν, οἰκίζεται. ἁπτόμενον οὖν ἀεὶ καὶ ποσὶ καὶ πάντῃ, ἐν μαλακωτάτοις τῶν μαλακωτάτων ἁπαλώτατον ἀνάγκη εἶναι. νεώτατος μὲν δή ἐστι καὶ ἁπαλώτατος· πρὸς δὲ τούτοις, ὑγρὸς τὸ εἶδος. οὐ γὰρ ἂν οἷός τε ἦν πάντῃ περιπτύσσεσθαι, οὐδὲ διὰ πάσης ψυχῆς, καὶ εἰσιὼν τὸ πρῶτον λανθάνειν, καὶ ἐξιών, εἰ σκληρὸς ἦν. συμμέτρου δὲ καὶ ὑγρᾶς * οὐσίας, μέγα τεκμήριον ἡ εὐσχημοσύνη, ὃ δὴ καὶ διαφερόντως ἐκ πάντων ὁμολογουμένως ἔρως ἔχει. ἀσχημοσύνῃ γὰρ καὶ ἔρωτι πρὸς ἀλλήλους ἀεὶ πόλεμος. χρόας δὲ κάλλος, ἡ κατ᾽ ἄνθη δίαιτα τοῦ θεοῦ σημαίνει. ἀνανθεῖ γὰρ καὶ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ, καὶ ἄλλῳ ὁτῳοῦν, οὐκ ἐνίζει ἔρως, οὗ δ᾽ ἂν εὐώδης τε καὶ εὐανθὴς τόπος ᾖ, ἐνταῦθα δὲ καὶ ἵζει καὶ μένει. περὶ μὲν οὖν κάλλους τοῦ θεοῦ, καὶ ταῦτα ἱκανά, καὶ ἔτι πολλὰ λείπεται. περὶ δὲ ἀρετῆς ἔρωτος, μετὰ ταῦτα λεκτέον. τὸ μὲν μέγιστον, ὅτι ἔρως οὔτε ἀδικεῖ, οὔτε ἀδικεῖται, οὔτε ὑπὸ θεοῦ, οὔτε θεῶν, οὔτε ὑπ᾽ ἀνθρώπου, οὔτε ἀνθρώπων. οὐδὲ γὰρ αὐτὸς βίᾳ πάσχει, εἴ τι πάσχει. βία γὰρ ἔρωτος οὐχ ἅπτεται, οὔτε βίᾳ ποιῶν ποιεῖ. πᾶς γὰρ ἑκὼν ἔρωτι πάνθ᾽ ὑπηρετεῖ. ἃ δ᾽ ἄν τις ἑκὼν ἑκόντι ὁμολογήσῃ, φασὶν οἱ τῆς πόλεως βασιλεῖς νόμοι δίκαια εἶναι. πρὸς δὲ τῇ δικαιοσύνῃ, σωφροσύνης πλείστης μετέχει. εἶναι γὰρ ὁμολογεῖται σωφροσύνη τὸ κρατεῖν ἡδονῶν καὶ ἐπιθυμιῶν· ἔρωτος δέ, μηδεμίαν ἡδονὴν κρείττω εἶναι. οἱ δὲ ἥττους, κρατοῖντ᾽ ἂν ὑπὸ τοῦ ἔρωτος· ὁ δὲ κρατεῖ, κρατῶν δὲ ἡδονῶν καὶ ἐπιθυμιῶν ὁ ἔρως, διαφερόντως ἂν σωφρονοίη. καὶ μὴν εἴς γε ἀνδρείαν ἔρωτι οὐδ᾽ ἄρης ἀνθίσταται. οὐ γὰρ ἔχει ἔρωτα ἄρης, ἀλλὰ ἔρως ἄρη, ἀφροδίτης ὡς λόγος. κρείττων δὲ ὁ ἔχων τοῦ ἐχομένου. τοῦ δὲ ἀνδρειοτάτου τῶν ἄλλων κρατῶν, πάντων ἂν ἀνδρειότατος εἴη. περὶ μὲν οὖν δικαιοσύνης καὶ σωφροσύνης καὶ ἀνδρείας τοῦ θεοῦ, εἴρηται· περὶ δὲ σοφίας λείπεται. ὅσον οὖν δυνατόν, πειρατέον μὴ ἐλλείπειν. καὶ πρῶτον μὲν ἵν᾽ αὖ καὶ ἐγὼ τὴν ἡμετέραν τέχνην τιμήσω, ὥσπερ ἐρυξίμαχος τὴν αὑτοῦ, ποιητὴς ὁ θεὸς σοφὸς οὕτως, ὥστε καὶ ἄλλον ποιῆσαι. πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν ἔρως ἅψηται. ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ χρῆσθαι, ὅτι ποιητὴς ὁ ἔρως ἀγαθὸς ἐν κεφαλαίῳ πᾶσαν ποίησιν τὴν κατὰ μουσικήν. ἃ γάρ τις ἢ μὴ ἔχει, ἢ μὴ οἶδεν, οὔτ᾽ ἂν ἑτέρῳ δοίη, οὔτ᾽ ἂν ἄλλον διδάξειε. καὶ μὲν τήν γε τῶν ζῴων ποίησιν πάντων, τίς ἐναντιώσεται, μὴ οὐχὶ ἔρωτος εἶναι σοφίαν, ᾗ γίγνεταί τε καὶ φύεται πάντα ζῷα; ἀλλὰ τὴν τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη· οὗ δ᾽ ἂν ἔρως μὴ ἐφάψηται, σκοτεινός; τοξικήν γε μὴν καὶ ἰατρικὴν καὶ μαντικήν, ἀπόλλων ἀνεῦρεν, ἐπιθυμίας καὶ ἔρωτος ἡγεμονεύσαντος. ὥστε καὶ οὗτος ἔρωτος ἂν εἴη μαθητής, καὶ μοῦσαι μουσικῆς, καὶ ἥφαιστος χαλκείας, καὶ ἀθηνᾶ ἱστουργίας, καὶ ζεὺς κυβερνήσεως θεῶν τε καὶ ἀνθρώπων. ὅθεν δὴ καὶ κατεσκευάσθη τῶν θεῶν τὰ πράγματα, ἔρωτος ἐγγινομένου, δηλονότι κάλλους. αἴσχει γὰρ οὐκ ἔπεστιν ἔρως. πρὸ τοῦ δέ, ὥσπερ ἐν ἀρχῇ εἶπον, πολλὰ καὶ δεινὰ θεοῖς ἐγίγνετο (ὡς λέγεται) διὰ τὴν τῆς ἀνάγκης βασιλείαν. ἐπειδὴ δ᾽ ὁ θεὸς οὗτος ἔφυ ἐκ τοῦ ἐρᾶν τῶν καλῶν, πάντ᾽ ἀγαθὰ γέγονε καὶ θεοῖς καὶ ἀνθρώποις. οὕτως ἐμοὶ δοκεῖ ὦ φαῖδρε ἔρως πρῶτον αὐτὸς ὢν κάλλιστος καὶ ἄριστος, μετὰ τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι. ἐπέρχεται δέ μοι τι καὶ ἔμμετρον εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν,

εἰρήνην μὲν ἀνθρώποις, πελάγει δὲ γαλήνην,
νηνεμίαν τ᾽ ἀνέμων, κοίτην τε, ὕπνον τ᾽ ἐνὶ κήδει,

οὗτος δὲ ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ, τὰς τοιάσδε ξυνόδους μετ᾽ ἀλλήλων πάσας τιθείς, ξυνιέναι ἐν ἑορταῖς, ἐν χοροῖς, * ἐν θυμίαις γιγνόμενος ἡγεμών, πρᾳότητα μὲν πορίζων, ἀγριότητα δὲ ἐξορίζων, φιλόδωρος εὐμενείας, ἄδωρος δυσμενείας, ἵλεως * ἀγαθοῖς, θεατὸς σοφοῖς, ἀγαστὸς θεοῖς, ζηλωτὸς ἀμοίροις, κτητὸς εὐμοίροις, τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου, πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν, ἀμελὴς κακῶν· ἐν πόνῳ, ἐν φόβῳ, ἐν πόθῳ, ἐν λόγῳ κυβερνήτης, ἐπιβάτης, * κατασεέτης τε καὶ σωτὴρ ἄριστος,, ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος, ἡγεμὼν κάλλιστος καὶ ἄριστος, ᾧ χρὴ ἕπεσθαι πάντ᾽ ἄνδρα ἐφυμνοῦντα καλῶς καλῆς ᾠδῆς μετέχοντα, ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα.

ἀλ. ἰδέας.

ἀλ. ἐν θυσίαις.

ἀλ. ἀγανός.

ἀλ. παραστάτης.

ΛΟΓΟΣ

sedem suam locat: neq; tamen in quibuslibet animis: nam si durum animi offenderit habitum, aufugit: sin autem mitem mollemq́;, inhabitat. Cum itaq; mollissimarum rerum mollissimas semper partes pedibus totoq́; tangat, tenerrimum esse amorem necesse est. Quapropter & iuuenis est, & tener prę cæteris amor. Quinetiã aquę instar liquidus est, & lubricus. Non enim undiq; per omnem animam circumfluere posset, & clam influere, & effluere clam, si durus ac rigidus esset. Aptæ uero, compositæ, flexibilisq́; formæ, argumento esse formositas potest, hoc est figuræ concinnitas, qua amor omnium maxime proculdubio decoratus est. Inter deformitatẽ porrò & amorem est pugna perpetua. Coloris quoq; decorẽ assidua inter flores habitatio huius dei significat. In eo siquidem q̃d floribus caret, aut defloruit, siue corpus, siue animus, seu quoduis aliud sit, Amor ipse nõ insidet. Vbicunq; uero floridus & odorifer est locus, gratissimè conquiescit. De huius dei pulchritudine permulta insuper afferri possent, sed ista sufficiunt. Deinceps de uirtute amoris est dicendũ. Quod in primis maximi faciendum est, Amor nec iniuriam infert deo, uel homini: nec à deo uel homine iniuriã patitur. Non enim ipse ui patitur, si quid patitur. Nã uiolẽtia nõ tangit amorem: neq; ui facit, si quid faciat. Quisq; enim sponte Amori in singulis paret. Quæcunq; uero uolens quispiam cum uolente ultrò contrahit, iusta habentur, ut regiæ ciuitatis leges statuunt. Nec iustus modo, sed etiam temperantissimus est. Constat enim temperantiam esse, libidinibus & uoluptatibus dominari, nullamq́; uoluptatem amori præualere: quod si uoluptates omnes amore imbecilliores sunt, ab illo utiq; superantur, ille uero dominatur. Amor itaq; ut libidinum, & uoluptatum dominus, temperantissimus est. Quod ad fortitudinem præterea, ne Mars quidem amori resistit. Neq; enim Mars amorem, sed amor Veneris, ut fertur, Martem detinet: potentius autem est quod detinet quàm quod detinetur: qui uero cæterorũ fortissimo dominatur, omnium sanè fortissimus iudicetur. De his igitur satis est dictum. De sapientia dicendum restat, quod pro uiribus exequemur. Primum, ut & ipse artem meam, uti suam Eryximachus, honorem, hic deus poëta est adeò sapiẽs, ut alios quoq; poëtas efficiat. Quiuis enim licet antea rudis, poëta euadit, cum primũ amor afflauit: ex quo constat amorẽ peritum esse poëtam, omnesq́; musicos poẽsis numeros continere. Nam quæ nec habet aliquis, neq; noscit, alteri dare uel monstrare nequit. Quod utiq; per amoris sapientiam animalia cuncta gignantur, quis dubitet? Artiũ quoq; facultatẽ, nónne ab hoc deo tradi uidemus? eumq́; hominem, cuius hic est præceptor, quauis in arte pręcellere? Contra ab amore alienum, in obscuro iacere? Sagittandi enim, medendi, & diuinandi peritiam appetitu amoreq́; duce inuenit Apollo amoris discipulus: Musicam Musæ: Fabrilem Vulcanus: Texẽdi artem Minerua: Iupiter deorũ hominũq́; gubernationem. Quocirca res deorum amore pulchritudinis interueniente dispositę sunt, deformitatẽ enim non sequitur amor. Antea uero, permulta atq; atrocia inter deos propter necessitatis regnũ, ut dicitur, cõtigerunt. At postq̃ deus hic ex pulchrorũ desiderio natus est, bona omnia ad deos, & homines peruenere. Ita mihi uidetur, ô Phædre, ipse amor primũ pulcherrimus optimusq́; esse, deinde talia cæteris cõmunicare. Succurrit mihi nunc metricũ quiddã atq; concinnũ. Hic deus est, q pacẽ largit hominibus, mari tranquillitatẽ, uẽtis requiẽ, cubile uiuentibus, somniũq́; in curis. Hic rusticitatẽ à nobis amouet, familiaritate nos cõciliat, cœtꝰ huiusmodi omnes cõgregans; in solẽnibus festisq́; diebus, choris, & sacrificijs dux nobis est: mansuetudinẽ porrigẽs, exterminans feritatem, beneuolentię largitor, maleuolentiæ omnis expulsor, propitius, beneficus, spectandus sapientibus, dijs placidus, exoptãdus expertibus, participantibus possidendus ac tenendus, delitiarum, mollium illecebrarum, gratiarũ dulcis perfusionis, & desiderij pater. Bonorum studiosus, malorum spretor: in labore, in timore, in desiderio, in sermone gubernator, perfectus adiutor, seruatorq́; præcipuus. Cunctorum deorum atq; hominum decus, dux pulcherrimus atq; optimus, quem profectò sectari debet præclarisq́; hymnis uenerari uir quisq; cantilenæ illius particeps, quam Amor ipse concinit, mentem deorum hominumq́; permulcens.

ΨΟΓΟΣ ΑΦΡΟΔΙΤΗΣ, ΚΑΙ ΟΤΙ ΦΑΥΛΟΣ Ο ΕΡΩΣ, ΚΑΙ ΠΟΣΩΝ ΕΙΗ ΚΑΚΩΝ ΓΕΓΟΝΟΣ ΑΙΤΙΟΣ.

ΛΟΓΟΣ ξβ'.

Δικαιογένους. ΟΤΑΝ δ' ἔρωτος * ἐκλεθῶμεν ἄρκυσι,
lego ἐνδεθῶμεν. θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα,
ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσι.
Μενάνδρου. Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
malim παρά τινι. † παρὰ τίνι τ' * ἀνόνητον οὗτος ὄψεται.
lego τἀνόνητον. μόνον ἐστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.
αἰὰς Εὐριπίδου. * Ηρων. τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.
Ερως γὰρ ἀργὸν κἀπὶ τοῖς ἔργοις ἔφυ.
φιλεῖ κάτοπτρα, καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους. ἓν δέ μοι τεκμήριον.
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε.
Σὺ δ' ὦ κάκιστε πάντων θεῶν τε κἀνθρώπων,
ἢ μὴ δίδασκε τὰ κακὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο.
Ερωτα δ' ἀνὸν ἔχομεν. ἐκ δὲ τῶν λόγων
ἐλοῦ τὰ βέλτισθ'. ὥστ' ἄπιστον ἐστ' ἔρως,
κἂν τοῖς κακίστοις τῶν φρενῶν οἰκεῖν φιλεῖ.
Κύπρις γὰρ, οὐδὲ νουθετουμένη χαλᾷ,
ἂν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ.
κἄπειτα τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν
δόμων περαίνει πολλάκις τὰ τοιάδε.
Η γὰρ κύπρις πέφυκε τῷ σκότῳ φίλη·
τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.
Αρχιλόχου. Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν,
lego ἐκ. κλέψας * ἐν στηθέων ἁπαλὰς φρένας.
Δύστηνος, ἔγκειμαι πόθῳ ἄψυχος, χαλεπῇσι
θεῶν ὀδύνῃσιν ἕκητι πεπαρμένος δι' ὀστέων.
Σοφοκλέους. Ερωτος γὰρ νόσημα τοῦτ' ἐφίμερον κακόν,
ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι,
ὅταν πάγου φανέντος αἰθρίου, χεροῖν
κρύσταλλον ἁρπάσωσι παῖδες ἄγκη,
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποτ' ἐνίους,
τέλος δ' ὁ χυμὸς οὐδ' ὅπως ἀφῇ θέλει.
οὔτ' ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένειν,
lego ἵμερος. * οὕτω γε τοὺς ἐρῶντας αὐτὸς ἵμερος
δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προΐεται.
Φανοκλέους. Η ὡς οἰάγροιο πάϊς θρηΐκιος ὀρφεὺς,
ἐκ θυμοῦ κάλαϊν στέρξε βορηϊάδην.
πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων
ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ.

VITVPERATIO VENERIS, ET QVOD MALVS SIT AMOR, AC MVLTORVM MALORVM AVTOR.

SERMO LXII.

CVm capti sumus retibus amoris, *Diceogenis.*
Citius alienis gratificamur,
Quàm necessarijs & cognatis.
Si quis amantem hortetur ad sapiendum, *Menandri.*
Experietur in aliquo inanem suam operam esse.
Quippe solus amor inter homines, nullo sermone consilioue mouetur.
Amabam. Amor autem hominibus furor est.
Amor ociosa res est, & inutilis ad opera.
Amat specula, & flauas comæ tincturas:
Fugit labores. Argumento mihi est,
Quia nullus mortalium mendicans uictum, amauit:
Sed inter locupletes iuuenis Cupido agit.
Tu uerò ô pessime omnium deûmq; & hominum,
Vel ne persuadeas mala iudicari bona,
Vel amantibus adsis benignus & propitius.
Grauem patimur amorem. Tu ex sermone
Optima eligito. Nam infidus est amor,
Et pessimum quemq; animum inhabitare solet.
Quandoquidem Venus admonitioni non cedit, nec relaxatur.
Et si cogas, magis solet intendi,
Deinde bellum suscitat. Ad euersionem autem
Familiarum, huiusmodi res sæpenumero exeunt.
Venus enim amica est tenebris,
Lux autem temperantiæ necessitatem adfert.
Tanta enim amoris uis sub corde meo inuoluta *Archilochi.*
Ingentem oculis caliginem offudit,
Suffurata è pectore teneram mentem:
Miser in amore iaceo, exanimis. Et mea difficiles
Dolores, uoluntate deorum, ossa penetrant.
Hæc ægritudo amoris, malum est diarium, *Sophoclis.*
Quare non ineptè ipsum comparauerim huic rei, quæ contingit,
Cum oborto gelu per aëra serenum, manibus
Glaciem pueri arripiunt.
Primum enim uoluptatem inter se capiunt,
Tandem uero neq; uolunt colliquatum gelu dimittere,
Neq; res est quæ commodè manibus retineatur.
Sic & amantes eadem cupiditas,
Nunc facere, nunc abstinere, frequenter urget.
Vt Orpheus Oeagri Thracij filius *Phanoclis.*
Ex animo Calaim Boreæ gnatum amauit.
Et sæpius in syluis sedit cantans opacis
Suum amorem, nec animus ei tranquillus erat.

ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶνες
    ἔτρυχον, θαλερὸν δερκόμενον Κάλαϊν.
τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
al. εὐήκεα.   ἔκτανον, * δυμάκη φάσγανα θηξάμεναι,
οὕνεκα πρῶτος ἔδειξεν ἐνὶ Θρῄκεσσιν ἔρωτας
    ἄρρενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
forte αὐτὴν.   τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ', * ἰαλὴν
    ἐς ἅλα Θρηικίην ῥῖψαν ὁμοῦ χέλυϊ·
ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
    ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα.
    ἠχὴ δ' ὣς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ', αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
    ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν.
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
al. στυγνὸν.   πέτρας, καὶ Φόρκου * συγνὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε, καὶ ἱμερτὴ κιθαριστὺς,
    νῆσον ἔχει, πασέων τ' ἐστὶν ἀοιδοτάτη.
al. ἀρήϊα.   Θρῇκες δ' ὡς ἐδάησαν * αἰνῆϊα ἔργα γυναικῶν
    ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροῒ σήματ' ἔχουσαι
    κυάνεα, στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ' Ὀρφῆι κταμένου, στίζουσι γυναῖκας
    εἰς ἔτι νῦν, κείνης εἵνεκεν ἀμπλακίης.

Μενάνδρου.   Τὸ δ' ἐρᾶν ἐπισκοτεῖ ὡς ἔοικε, καὶ τοῖς εὐλόγοις, καὶ τοῖς κακῶς ἔχουσιν.

Κλεινίου.   Μήτις τιμάτω θνητῶν πολύδακρυν ἔρωτα,
μηδὲ πόθον παίδων, μηδ' ἱμερτὴν φιλότητα,
τῶν ἰότητι μορφῶν κατέβη πολύκλαυστον ἐς ᾅδην.

Μενάνδρου.   Φύσει γὰρ ἐστ' ἔρως τὸ νουθετούμενος κωφόν, ἅμα δ' οὐ ῥᾴδιον νεότητα νικᾶν ἐστί, καὶ θεὸν λόγῳ.

Ὅταν δ' ἐρῶντος τόλμαν ἀφέλῃς, οἴχεται, εἰς τοὺς ἰαλέμους τὴν ὁδὸν ἔγραψε.

Ἐκ τοῦ μόσχου τοῦ σικελικοῦ.   Ἀλφειὸς μετὰ Πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα, καὶ κόνιν ἱράν,
καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι, τὴν δὲ θάλασσαν
νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ.
ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένου ποταμοῖο.
κῶρος δεινοθέτας, κακομάχανος, αἰνὰ διδάσκων,
καὶ ποταμὸν διὰ φίλτρον ἔρως ἐδίδαξε κολυμβεῖν.

Τοῦ αὐτοῦ.   Χρῶτα μὲν οὐ λευκός: πυρὶ δ' ἴκελος: ὄμματα δ' αὐτοῦ
δριμύλα καὶ φλογόεντα, κακαὶ φρένες, ἁδὺ λάλημα.
οὐ γὰρ ἴσον νοέει, καὶ φθέγγεται, ὡς μέλι φωνά.
ἦν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος, ἠπεροπευτάς.
* Ἐκ τῶν τοῦ Βίωνος σμυρναίου βουκολικῶν.   καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ' ἄλλῳ,
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
    * Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσει δενδρήεντι

ὄρνεα

Perpetuoq; ipsum uigiles in pectore curæ
Angebant, tenerum uidentem Calain.
Cæterum Bistonides mala ei molientes circumfusæ
Interfecerunt, cum enses oblongos acuissent,
Quoniam primus ostenderat inter Thraces amorem
Masculum, neq; Venerem approbauerat mulierum.
Amputarunt igitur eius caput, idq; statim
Vnà cum testudine in mare Thracium abiecerunt,
Clauo affigentes, ut per mare ueherentur
Ambo simul glaucis madida undis:
Illa uero mare canum ad Lesbum admouit sacram.
Aedebatur autem per mare sonus ueluti argutæ lyræ,
Perq; insulas, & littora salsa. Ibi uocale
Orphei caput sepelierunt uiri.
Et testudinem quoq; in tumulo posuerunt argutam, quæ etiam mutas
Petras, & Orci tristem aquam persuasione mulcebat.
Post illud tempus & cantilenæ, & iucundus citharæ lusus
Insulam occupat, quæ omnium maximè Musicis artibus oblectatur.
Porrò Thraces ut resciuerunt Martia facta mulierum
Sæua, & cunctos grauis inuasit tristitia,
Suas uxores pungebant, ut in corpore signa gerentes
Liuida, diræ cædis non obliuiscerentur.
Quinetiã ad sumendũ pœnas ꝓ Orpheo occiso, stigmata infligũt mulieribus
Adhuc hodie, propter illud flagitium.

Cæterum amor Tenebras offundit, ut uidetur, etiam illis qui secundum bonam rationem Et decenter affecti sunt. Menandri.

Nullus hominum colat lachrymosum amorem, Cliniæ.
Neq; desyderium puerile, neq; iucundam Venerem,
Propter hæc enim Moron tristem descendit in Orcum.

Est enim amor natura Surdus admonenti; simul etiam non facile Est, iuuentutem & deum ratione uincere. Menandri.

Quod si amanti audaciam abstuleris, abit,
Et in Ialemos ipsum inscribit amorem.

Alpheus post Pisam ubi mare ingressus est Ex Moscho Siculo.
Procedit in Arethusam aqua fluens oleastros uegetante,
Et dona pulchras frondes ferens, floresq; & sacrum puluerem.
Et profundus in undis manat, sub mari autem
Inferius profluit, nec eius aqua salsugini miscetur.
Cæterum mare non sentit transeuntem fluuium.
Sic puer ille grauiter afficiens, mala machinans, ardua docens
Cupido, amnem quoq; propter amoris uim natare docuit.

Corpore non albus est, sed igni similis. Oculi uero eius Eiusdem.
Acres & flammei, mala mens, eloquium suaue.
Non enim eadem sentit & loquitur: uox mellea.
Quod si irascatur, animum habet efferum, atq; dolosum.
Idem alatus, sicut auis, ad alium post alium uolat,
Viros atq; mulieres, & uiscera obsidet.

Adolescens olim auceps in nemore arboribus denso Ex Bionis Smyrnei bucolicis.

ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν ἔρωτα
Doricum pro ἰζόμενον. * ἑσδόμενον πύξοιο ποτὶ κλάδον. ὡς δ' ἐνόασε,
χαίρων, ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
τοὺς καλάμους ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
τᾷ καὶ τᾷ τὸν ἔρωτα μετάλμενον ἀμφιδόκευεν.
χ' ὁ παῖς ἀσχαλάων, ὅνεκ' οἱ τέλος οὐδὲν ἀπάντη,
τοὺς καλάμους ῥίψας, ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
ὅς νιν τάνδε τέχνην ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
καί οἱ δεῖξεν ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
μειδιάων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα.
φείδεο τὰν θήραν, μηδ' ἐς τόδε τ' ὄρνεον ἔρχευ.
φεῦγε μακράν. κακόν ἐντι τὸ θηρίον. ὄλβιος ἔσση,
εἰσόκα μή μιν ἕλης. ἢν δ' ἀνδρὸς ἐς μέτρον ἔλθης,
οὗτος ὁ νῦν φεύγων καὶ ἐπάλμενος, αὐτὸς ἀφ' αὑτῶ
ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἔπι σεῖο καθιξεῖ.

Θεοκρίτου. Νῦν ἔγνων τὸν ἔρωτα. βαρὺς θεός. ἦ ῥα λεαίνης
μασὸν ἐθήλαξεν. δρυμῷ τέ νιν ἔτραφε μάτηρ,
ὅς με κατασμύχων, καὶ ὀστέον ἄχρις ἰάπτει.

Μενάνδρου. Φεῦ φεῦ. βροτοῖς ἔρωτες, ὡς κακὸν μέγα.

Ῥαδαμάνθυος. Ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου.
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν.
τῷ δ' οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις.
ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν
λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ.
οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν. οὕτω βίοτος ἀνθρώπων πλάνη.

Ξενοφῶντος. Ὦ τλῆμον, ἔφη ὁ Σωκράτης, * καὶ τί ἂν οἴει παθεῖν καλὸν φιλήσας; ἆρ' οὐκ ἂν αὐτίκα μάλα (malum τί.) δοῦλος μὲν εἶναι ἀντ' ἐλευθέρου; πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονάς; πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ κἀγαθοῦ; σπουδάζειν δ' ἀναγκασθῆναι, ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν; Ἡράκλεις ἔφη ὁ Ξενοφῶν, ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι. Καὶ τοῦτ' ἔφη ὁ Σωκράτης θαυμάζεις; οὐκ οἶσθα ὅτι τὰ φαλάγγια οὐδ' ἡμιωβολιαῖα τὸ μέγεθος ὄντα προσαψάμενα μόνον τῷ στόματι, ταῖς ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, καὶ τοῦ φρονεῖν ἐξίστησι; Ναὶ μὰ Δί' ἔφη ὁ Ξενοφῶν. ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα. Ὦ μῶρε ἔφη ὁ Σωκράτης. τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι, ὃ σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθα ὅτι τοῦτο τὸ θηρίον ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ ἐκεῖνα ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον *. (addo βλάπτει.) ἐὰν δέ τις αὐτὸ θεᾶται ἐνίησι τι, καὶ πάνυ πρόσωθεν τοιοῦτον, ὥστε μαίνεσθαι ποιεῖν. ἴσως δὲ καὶ οἱ ἔρωτες, τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πόρρωθεν οἱ καλοὶ τιτρώσκουσιν. ἀλλὰ ξυμβουλεύω σοι ὦ Ξενοφῶν, ὁπόταν ἴδῃς τινὰ καλόν, φεύγειν προτροπάδην. σοὶ δ' ὦ Κριτόβουλε συμβουλεύω, ἀπενιαυτίσαι. μόγις γὰρ ἂν ἴσως ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὲς γένοιτο.

Φαβωρίνου. Γάβες τίμε προσέπτη τῇ ψυχῇ. καὶ τί μὲν ἐστὶν οὐκ οἶδα· ἔρωτα δὲ αὐτὸ λέγουσιν εἶναι, οἱ μεμυημένοι. Βάσκανε δαῖμον καὶ ἀλόγιστε, ἀσθενεῖ προσελήλυθας σώματι, φορεῖν σε μὴ δυναμένῳ. (lego ου.) ἐξίσταμαί * σου δαῖμον. παραχωρῶ σοι τῆς μάχης. οὐκ εἰμὶ σὸς στρατιώτης.

Θεοφράστου. Ἔρως δὲ ἐστὶν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολή, ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν.

Προδίκου. Ἐπιθυμίαν μὲν διπλασιασθεῖσαν, ἔρωτα εἶναι· ἔρωτα δὲ διπλασιασθέντα, μανίαν γίγνεσθαι.

Θεοφράστου. Θεόφραστος ἐρωτηθεὶς τί ἐστὶν ἔρως, πάθος ἔφη ψυχῆς σχολαζούσης.

Dum uenatur aues fugitiuum uidit amorem
Buxi ramo insidentem. Vt igitur animaduertit,
Gaudens (quoniam auis ei permagna uidebatur)
Et calamos simul omnes inter se coniungens,
Huc illuc transilientem obseruabat amorem.
Tandem uero indignatus, quia nihil proficiebat,
Abiectis arundinibus senem adiuit aratorem,
A quo hanc artem didicerat, eiq; rem narrauit,
Et sedentem ostendit amorem. Porrò senex
Subridens mouit caput, & respondit puero:
Abstine uenatione, nec istam auem insequitor.
Fuge procul: mala est hæc bestia, tuq; beatus
Dum non ceperis ipsam: sed cum adultus fueris in uirum,
Ille qui nunc fugit & resilit, ipse sua sponte
Accedens subito capiti tuo insidebit.

Nunc noui amorem: grauis est deus. Nimirum leænæ *Theocriti.*
Vbera suxit: & mater ipsum in sylua educauit,
Qui me exurens usq; ad ossa lædit.

Heu, heu: amores quantum pariunt mali hominibus. *Menandri.*

Varij nos amores diuersorum uitæ generum afficiunt. *Radamanthi.*
Aliquis enim nobilitatem acquirere studet:
Alius hanc negligit, sed opum
Vult appellari multarum pater in ædibus.
Est cui placeat, nihil sani ex animo
Dicendo persuadere propinquis improba audacia.
Nonnulli homines turpe lucrum, potius quàm honestatem
Quærunt. Adeò hominum uita erroribus agitur.

O miser, dixit Socrates, quidnam te passurum putas, si pulchrum puerum osculeris? An nõ statim te seruũ fore loco liberi, multa insumpturũ ad noxias uoluptates, ociũ tibi defuturum ad bona & honesta studia, deniq; cogendũ te illis rebus operã dare, quas ne insanus quidem curaret? Papæ, inquit Xenophõ, quàm grauem mihi narras osculo uim inesse. Tum Socrates: An uero id mirare? Nescis quod phalãgia, quæ magnitudine ne dimidiũ quidẽ obolũ ęquant, ubi solũ attigerũt ore homines, doloribus eos exagitant, & à mente alienant? Verum est, ait Xenophon: immittunt enim aliquid phalangia mordendo. O stulte, Socrates inquit, pulchros uero osculantes non inferere putas quidpiã, quod uisum tuum effugiat? An ignoras istud animal, quod pulchrũ & formosum appellant, uel hoc nomine phalangijs esse terribilius, quod hęc tactu solum, illud uero etsi non tangat, lædit? Nam si quis ipsum consyderet immittit aliqd etiã eminus eiusmodi, q̃d insaniã ciere possit. Fortassis & Cupidines iccirco sagittarij uocãtur, quoniã speciosi à longinquo etiã uulnerãt. Proin de cõsulo tibi ô Xenophon, ut cũ formosum aliquẽ uideris fugias quãtum potes, ita ut ne respicias quidem. Tibi uero ô Critobule consulo, ut integrum annum absis: uix enim intra hoc tempus à morsu sanari poteris. *Xenophontis.*

Affectus quidam animo meo accidit: Et quidnam sit, ignoro: dicũt autem ipsum esse amorem, qui eo initiati sunt. O inuide, & irrationalis dæmon imbecillũ corpus inuasisti, quod tibi ferendo nõ est. Absisto à te dæmon: cedo pugna: nõ tibi milito. *Phauorini.*

Est autem amor irrationalis cuiusdam cupiditatis excessus, qui uelocem habet accessum, tardum autem discessum. *Theophrasti.*

Prodicus aiebat, cupiditatem geminatam, amorem esse: amorem uerò geminatum, insaniam fieri.

Theophrastus interrogatus quid esset amor, respondit animæ ociosæ affectus. *Theophrasti.*

Ἐκ τοῦ Πλουτάρχου ὅτι οὐ κρίσις ὁ ἔρως.

Οἱ μὲν γὰρ νόσον τὸν ἔρωτα, οἱ δ᾽ ἐπιθυμίαν, οἱ δὲ μανίαν, οἱ δὲ, θεῖόν τι κίνημα τῆς ψυχῆς καὶ δαιμόνιον: οἱ δὲ, ἄντικρυς θεὸν ἀναγορεύουσιν. ὅθεν ὀρθῶς ἐνίοις ἔδοξε, τὸ μὲν ἀρχόμενον, ἐπιθυμίαν εἶναι: τὸ δ᾽ ὑπερβάλλον, μανίαν: τὸ δὲ ἀντίστροφον, φιλίαν: τὸ δὲ ταπεινότερον, ἀῤῥωστίαν: τὸ δ᾽ εὐημεροῦν, ἐνθουσιασμόν. διὸ καὶ πυρφόρον αὐτὸν οἵτε ποιηταὶ λέγουσιν, οἵτε πλάσται καὶ γραφεῖς δημιουργοῦσιν. ὅτι καὶ τοῦ πυρὸς τὸ μὲν λαμπρὸν, ἥδιστόν ἐστι: τὸ δὲ καυστικὸν, ἀλγεινότατον.

Ἐν ταυτῷ.

Ὥσπερ γὰρ τοὺς φίλους ὑγιαίνοντας μὲν, ἂν πλημμελῶσιν ἐξελέγχειν καὶ νουθετεῖν κράτιστόν ἐστιν: ἐν δὲ ταῖς παρακοπαῖς καὶ τοῖς φρενιτισμοῖς εἰώθαμεν μὴ διαμάχεσθαι, μηδὲ ἀντιτείνειν, ἀλλὰ καὶ συμπεριφέρεσθαι καὶ συνεκπονεῖν. οὕτω τοὺς δι᾽ ὀργὴν ἢ πλεονεξίαν ἁμαρτάνοντας, ἀνακόπτειν τῇ παῤῥησίᾳ δεῖ καὶ κωλύειν, τοῖς δ᾽ ἐρῶσιν ὥσπερ νοσοῦσι, συγγνώμην ἔχειν. διὸ κράτιστον μὲν ἐξ ἀρχῆς τοιούτου πάθους ἀφορμὰς μὴ παρέχεσθαι, μηδὲ ἀρχήν: ἂν δὲ ἐγγένηται ἴθι δὴ ἀποτροπαίων βωμοὺς θεῶν, κατὰ τὸν Πλάτωνα. ἴθι δὴ τὰς τῶν σοφῶν ἀνδρῶν συνουσίας. ἐξέλασον * αὐτοῦ τὸ θηρίον, πρὶν ὄνυχας φῦσαι καὶ ὀδόντας. εἰ δὲ μὴ, μαχέσῃ τελείῳ κακῷ, τὸ παιδίον τοῦτο καὶ νήπιον ἐναγκαλιζόμενος. τίνες δὲ εἰσὶν, οἱ τοῦ ἔρωτος ὄνυχες καὶ ὀδόντες; ὑποψία, ζηλοτυπία. ἀλλὰ ἔχει τι πιθανὸν καὶ ἀνθηρόν. ἀμέλει καὶ σφὶγξ εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ. καὶ

malim αὐτοῦ, uel ἑαυτοῦ.

εἰ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν,

ſorte νώτισμα θηρός.

* νότις μαθηρός. εἰ δὲ πρὸς νέφη βάλοι,
κυανωπὸν, ὥστε ἶρις, ἀνταυγεῖ σέλας.

οὕτω δὴ καὶ ὁ ἔρως, ἔχει τι χάριεν καὶ οὐκ ἄμουσον, ἀλλὰ αἱμύλον καὶ ἐπιτερπές. ἁρπάζει δὲ καὶ βίους καὶ οἴκους, καὶ γάμους, καὶ ἡγεμόνας, οὐκ αἰνίγματα προβάλλων, ἀλλ᾽ αὐτὸς αἴνιγμα δυσεύρετον ὢν καὶ δύσλυτον. εἰ βούλοιτό τις προτείνειν, τί μισεῖ καὶ φιλεῖ; τί φεύγει καὶ διώκει; τί ἀπειλεῖ καὶ ἱκετεύει; τί ὀργίζεται καὶ ἐλεεῖ; βούλεται παύεσθαι καὶ οὐ βούλεται; τί χαίρει παρ᾽ αὐτὸ μάλιστα, καὶ ἀνιᾶται. τοῦτο λῦσαι καὶ θεραπεῦσαι. τῆς μὲν γὰρ σφιγγὸς τὸ αἴνιγμα, τὰ πλεῖστα καὶ πεπλασμένα ἔχει. ὅτε γὰρ τρίπους ὁ γέρων ἀληθῶς, εἰ * προσείληφε τοῖς ποσὶ βοηθεῖν. ὅτε τετράπους ὁ νήπιος, ἐπεὶ ταῖς χερσὶν ὑποβάλλει τὴν τῶν βάσεων ὑγρότητα, καὶ ἀσθένειαν. τὰ δὲ τῶν ἐρώντων πάθη, ἀληθῆ. στέργουσιν, ἐχθραίνουσι, τὸν αὐτὸν ποθοῦσιν ἀπόντα, τρέμουσι παρόντα: κολακεύουσι, λοιδοροῦσι, προαποθνήσκουσι, φονεύουσιν, εὔχονται μὴ φιλεῖν, καὶ παύεσθαι φιλοῦντες οὐ θέλουσι: σωφρονίζουσι, καὶ πειρῶσι: παιδεύουσι, καὶ διαφθείρουσιν: ἄρχειν θέλουσι, καὶ δουλεύειν ὑπομένουσι. τοῦτο αἴτιον γέγονε μάλιστα τοῦ μανίαν ὑποληφθῆναι τὸ πάθος, ἥρων. τὸ μαίνεσθαι δ᾽ ἄρ᾽ ἦν ἔρως βροτοῖς. ἐρωτικὸς ἀνὴρ Εὐριπίδης φησίν.

addo βακτηρίαν.

Τοῦ αὐτοῦ περὶ ἔρωτος.

Ὁ ἔρως, οὔτε τὴν γένεσιν ἐξαίφνης λαμβάνει καὶ ἀθρόαν ὡς ὁ θυμός: οὔτε παρέρχεται ταχέως, καίπερ εἶναι πτηνὸς λεγόμενος. ἀλλ᾽ ἐξάπτεται μαλακῶς, καὶ σχεδὸν, οἷον ἐντήκων ἑαυτόν: ἁψάμενός τε τῆς ψυχῆς, παραμένει πολὺν χρόνον, οὐδ᾽ ἐν γηρῶσιν ἐνίοις ἀναπαυόμενος, ἀλλὰ ἐν πολιαῖς ἀκμάζων ἔτι πρόσφατος καὶ νεαρός. ἂν δὲ καὶ λήξῃ καὶ διαλυθῇ χρόνῳ μαρανθεὶς, ἢ λόγῳ τινὶ κατασβεσθεὶς, οὔπω παντάπασιν ἐξαπήλλακται τῆς ψυχῆς: ἀλλ᾽ ἐναπολείπει πυρίκαυστον ὕλην, καὶ σημεῖα θερμὰ, καθάπερ οἱ κεραυνοὶ τυφόμενοι. λύπης μὲν γὰρ οὐδὲν ἀπαλλαγείσης ἴχνος ἐν τῇ ψυχῇ παραμένει σύνοικον, οὐδ᾽ ὀργῆς τραχείας πεσούσης. στέλλεται δὲ καὶ φλεγμονὴ, ἐπιθυμίας παρεχούσης τραχὺ κίνημα. τὰ δὲ ἐρωτικὰ δήγματα, κἂν ἀποστῇ τὸ θηρίον, οὐκ ἐξανίησι τὸν ἰόν. ἀλλὰ ἐνιδρῦσι τὰ ἐντὸς ἀραγμάτα, καὶ ἀγνοεῖται, τί ἦν, πῶς συνέστη, πόθεν εἰς τὴν ψυχὴν ἐνέπεσεν.

Σωστράτου ἐν δευτέρῳ κυνηγετικῶν.

Κυάνιππος τὸ γένει θεσσαλὸς, γήμας λευκώνην, τὰ πολλὰ διὰ φιλοκύνηγον ἐνέργειαν ἐν ὕλαις διέτριβεν. ἡ δὲ νεόνυμφος ὑπολαμβάνουσα συνήθειαν αὐτὸν ἔχειν μεθ᾽ ἑτέρας γυναικὸς, κατ᾽ ἴχνος ἠκολούθησε τούτῳ, καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ, τὸ μέλλον ἀπεκαραδόκει. τῶν δὲ περὶ ἐξ κλάδων αἰφνιδίως σεισθέντων, οἱ στιβευταὶ κύνες, * δόξαντες καὶ αὐτὴν τὴν ἀλόγου ζώου δίκην διεσπαράξαν. τῆς δὲ πράξεως αὐτόπτης γενόμενος κυάνιππος, ἑαυτὸν συγκατέσφαξεν.

malim δόξαντες αὐτήν.

Ἐκ τοῦ Θεοδώρου μεταμορφώσεων.

Σμύρνα κινύρου θυγάτηρ εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ γεννήσαντος, τῇ τροφῷ τὴν ἀνάγκην ἐδήλωσεν

Nonnulli amorem prædicant esse mentem, alij cupiditatẽ, alij insaniam, sunt qui diuinum quendam & dæmonium animæ motum, quidam planè deũ faciunt. Quo circa rectè aliquibus uisum est, à principio cupiditatem solum esse, si uero excedat, furorem. Et similem ei esse amicitiam. Quod si humilis sit amor, ægritudinem: prosperè uerò auctus, diuinum quendam furorem parit. Quamobrem ipsum gerere facem & poetæ dicunt, & figuli seu statuarij, atq; pictores cum face ipsum formant. Nam & ignis pars splendida, suauissima est: urens uero, molestissima. *Ex Plutarcho, quod amor non sit iudicium.*

Quemadmodum amicos dum sani sunt, si peccauerint, redarguere & admonere optimum est: in delirijs autem & phrenitide non pugnare illis nec aduersari solemus, sed assentire & annuere. Ita eos qui propter iram aut auaritiam delinquunt, libertate sermonis coërcere ac inhibere oportet: amantibus uero utpote ægris danda est uenia. Proinde optimum fuerit statim ab initio amoris semini locum non dare: quod si tamen innascatur, adito altaria deûm aueruncorum, iuxta Platonem. Frequentato sapientium uirorum conuersationes. Expelle feram abs te, priusquam ungues & dentes producat. Sin minus iam adultum malum impugnandum tibi erit, cum ipsum adhuc paruulum & infantem amplexeris. Sed quinam amoris ungues ac dentes sunt? Suspicio, zelotypia. At habet quidpiam illex ac floridum. Sphinx etiam uarietatem alarum illecebrosam habuit. Et *Ibidem.*

Ad solis radios conuersæ, aureus erat
Bestiæ color: aduersus nubes autem,
Cœruleus: quale iubar iridis relucet.

Sic etiam amor habet quiddam gratiosum, nec inelegans, sed blandum & iucundũ. Rapit autem hominum uitas familiasq;, & nuptias, & imperatores, non ænigmata proponens, sed ipse met ænigma inuentu solutuq; difficile existens. Vt si quis huius modi ęnigma componat. Quid sit quod oderit simul & amet, fugiat & persequatur, minetur & supplicet, irascatur & misereatur, desinere uelit ac nolit, eadẽ re maximè tum gaudeat tum tristetur. Hic sanè scirpus ægrè solui & conciliari posset. Porrò Sphingis ænigma permulta quoq; conficta habet. Non enim reuera tripes est senex si baculo innitatur: Neq; infans est quadrupes, quia gressus molles & infirmos manibus fulcit. Amantium autem affectus, ueri sunt: amant, oderunt: eundem absentem desyderant, præsentem metuunt: adulantur, conuicia dicunt: pro amato moriuntur, occidunt: optant non amare, abstinere amore nolunt: emendant, & obcœcant: docent, ac perdunt: imperare uolunt & seruitutem tolerant. Hæc est causa cur hic affectus maximè pro insania reputetur. Hinc amatorius uir Euripides inquit: Amabam: amor autem hominibus furor est.

Amor neq; subito & uniuersim gignitur, ut ira: neq; statim transit, quamuis alatum esse fama fit. Sed paulatim accenditur, & ueluti consumens sese lento igne: & si animum inuaserit permanet diutissime, ita ut in nonnullis ne senibus quidem desinat, adhuc in canis durans uegetus atq; recens. Quod si etiam cessauerit, & longo tempore solutus emarcuerit, aut ratione quapiam extinctus fuerit, nõ tamen omnino deserit animam: sed exustam igne materiam relinquit, & signa præteriti caloris, quemadmodũ fulmina ardẽtia. Doloris quidem præteriti nullũ uestigiũ animæ adhęrens remanet, neq; asperæ iræ ubi semel dilapsa est: sed statim etiam inflãmatio cupiditatis motum asperum excitantis, subsidit. Amatorij uero morsus, quamuis bestia discesserit, non emittunt uirus: sed exudant interna uulnera, & quid rei sit, quomodo nata, undéue animum illapsa sint, ignoratur. *Eiusdẽm de amore.*

Cyanippus natione Thessalus cum uxorem duxisset Leuconam, propter uenandi studium, in syluis plærunq; degebat. Noua autem nupta suspicans ipsum cum alia conuersari, sequuta est ipsius uestigia, & occultata sub quodam fruticeto, euentum expectabat. Ramis uero motis repente canes indagatores accurrerũt, ipsamq; morsibus instar bestiæ dilaniarunt. Cyanippus autem oculis quod factum erat intuitus, seipsum quoq; trucidauit. *Sostrati lib. 2. de uenatione.*

Smyrna Cinyræ filia amore patris capta, nutrici suam necessitatem aperuit: quæ *Ex Theodori transformationibus.*

ἐδήλωσεν. ἡ δὲ, δι' ἄλλου τὸν δεσπότην ἐνεδρεύουσιν. ἐπεὶ γὰρ ἐρᾶν τινὰ αὐτοῦ γείτονα παρθένον, ἀσεβῶς οὖν κατ' ἄγνοιαν ἀναστρεφόμενος, καὶ γνοὺς ὕστερον, ξιφήρης τὴν ἀσελγεστάτην ἐδίωκεν. ἡ δὲ περὶ καταπνὴν προσγινομένη, κατὰ πρόνοιαν ἀφροδίτης, εἰς ὁμώνυμον δένδρον μετεμορφώθη.

Ἀριστοκλέους ἐν δευτέρῳ παραδόξων.

Ἐφέσιος περὶ γένει, νεανίας τῶν ἐπισήμων, υἱὸς δημοστράτου, ταῖς δ' ἀληθείαις ἄγριος, ὥσπερ τὸ θῆλυ μισῶν γένος, νυκτὸς βαθείας, εἰς τὰς πατρῴας ἔτρεχεν ἀγέλας, καὶ ὄνῳ συνεγίνετο θηλείᾳ. ἡ δὲ, ἔγκυος γενομένη, ἔτεκε κόρην εὐειδεστάτην, ὀνοσκελίαν τοὔνομα, τὴν προσηγορίαν λαβοῦσαν, ἀπὸ τοῦ συμπτώματος.

Πλάτωνος. al. βέλτιστον.

Καὶ μὲν δὴ βέλτιόν σοι προσήκει γίνεσθαι ἐμοὶ πειθομένῳ, ἢ ἐραστῇ. ἐκεῖνοι μὲν γὰρ καὶ παρὰ τὸ * βέλτιον, τά τε λεγόμενα καὶ τὰ πραττόμενα ἐπαινοῦσι: τὰ μὲν δεδιότες μὴ ἀπέχθωνται: τὰ δὲ, καὶ αὐτοὶ χεῖρον διὰ τὴν ἐπιθυμίαν γιγνώσκοντες. τοιαῦτα γὰρ ὁ ἔρως ἐπιδείκνυται. δυστυχοῦντας μὲν, ἃ μὴ λύπην τοῖς ἄλλοις παρέχει, ἀνιαρὰ ποιεῖ νομίζειν. εὐτυχοῦντας δὲ, καὶ τὰ μὴ ἡδονῆς ἄξια, παρ' ἐκείνων ἐπαίνων ἀναγκάζει τυγχάνειν. ὥστε πολὺ μᾶλλον ἐλεεῖν τοὺς ἐρωμένους, ἢ ζηλοῦν αὐτοὺς προσήκει.

Τοῦ αὐτοῦ ἐν ταὐτῷ.

Ἄγετε δὴ ὦ μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ λιγὺ ὄν, ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμμοι λάβεσθε τοῦ μύθου, ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν.

Hic μῦθος omittitur quem narrandum promittit

* Ὅτι μὲν οὖν δὴ ἐπιθυμία τις ὁ ἔρως, ἅπαντι δῆλον. ὅτι δ' αὖ καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν καλῶν, ἴσμεν. τῷ δὴ τὸν ἐρῶντά τε καὶ μὴ, κρινοῦμεν. δεῖ αὖ νοῆσαι, ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινέ ἐστον ἰδέα, ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα, ᾗ ἂν ἄγητον. ἡ μὲν, ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν. ἄλλη δὲ ἐπίκτητος δόξα ἐφιεμένη τοῦ ἀρίστου. τούτω δὲ ἐν ἡμῖν, τότε μὲν ὁμονοεῖτον, ἔστι δὲ ὅτε στασιάζετον. καὶ τοτὲ μὲν, ἡ ἑτέρα, ἄλλοτε δὲ ἡ ἑτέρα κρατεῖ. δόξης μὲν οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατούσης τῷ κράτει, σωφροσύνη ὄνομα. ἐπιθυμίας δὲ ἀλόγως ἑλκούσης ἐπὶ ἡδονὰς, καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ, ὕβρις ἐπωνομάσθη. ὕβρις δὲ δὴ πολυώνυμον. πολυμελὲς γὰρ καὶ πολυειδές. καὶ τούτων τῶν ἰδεῶν ἐκπρεπὴς, ἣ ἂν τύχῃ γενομένη, τὴν αὑτῆς ἐπωνυμίαν ἐπονομαζόμενον τὸν ἔχοντα παρέχεται, οὔτε τινὰ καλὴν, οὔτε ἐπαξίαν κεκλῆσθαι. περὶ μὲν γὰρ ἐδωδὴν, κρατοῦσα τοῦ λόγου τε τοῦ ἀρίστου, καὶ τῶν ἄλλων ἐπιθυμιῶν ἐπιθυμία, γαστριμαργία τε καὶ τὸν ἔχοντα ταὐτὸν τοῦτο κεκλημένον παρέξεται. περὶ δὲ αὖ μέθας τυραννεύσασα, τὸν κεκτημένον ταύτῃ ἄγουσα, δῆλον οὗ τεύξεται προσρήματος. καὶ τἆλλα δὴ τὰ τούτων ἀδελφὰ, καὶ ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα, τῆς ἀεὶ δυναστευούσης, ᾗ προσήκει καλεῖσθαι, πρόδηλον. ἧς δ' ἕνεκα πάντα τὰ πρόσθεν εἴρηται, σχεδὸν μὲν ἤδη φανερόν. λεχθὲν δὲ ἢ μὴ λεχθὲν, πάντως σαφέστερον. ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης κρατήσασα ἐπιθυμία πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους, καὶ ὑπὸ αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων * κάλλος ἐρρωμένως ῥωσθεῖσα νικήσασα ἀγωγῇ, ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη.

al. ἰδίας καλῶν.

Hic apud Platonem circiter 6. uersus adhuc leguntur, hic omissi.

* Εἶεν ὦ φέριστε. ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ βουλευτέον, εἴρηταί τε καὶ ὥρισται. βλέποντες δὲ δὴ πρὸς αὐτὸ, τὰ λοιπὰ λέγωμεν, τίς ὠφέλεια, ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ μὴ, τῷ χαριζομένῳ, ἐξ εἰκότος συμβήσεται. τῷ μὲν δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ, δουλεύοντί τε ἡδονῇ, ἀνάγκη που τὸν ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν. νοσοῦντι δὲ πᾶν ἡδὺ τὸ μὴ ἀντιτεῖνον. κρεῖττον δὲ, καὶ ἴσον, ἐχθρόν. οὔτε δὴ κρείττω οὔτε ἰσούμενον, ἑκὼν ἐραστὴς παιδικὰ ἀνέξεται. ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάζεται. ἥττων δὲ ἀμαθὴς σοφοῦ, δειλὸς ἀνδρείου. ἀδύνατος εἰπεῖν, ῥητορικοῦ. βραδὺς, ἀγχίνου. τοσούτων κακῶν καὶ ἔτι πλειόνων κατὰ τὴν διάνοιαν τοῦ ἐραστοῦ ἐρωμένῳ ἀνάγκη γιγνομένων τε καὶ φύσει ἐνόντων, τῶν μὲν, ἥδεσθαι, τὰ δὲ, παρασκευάζειν, ἢ στέρεσθαι τοῦ παραυτίκα ἡδέος. φθονερὸν δὴ ἀνάγκη εἶναι, καὶ πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων, ὅθεν ἂν μάλιστ' ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης. μεγίστης δὲ τῆς, ὅθεν ἂν φρονιμώτατος εἴη. τοῦτο δὲ, ἡ θεία φιλοσοφία τυγχάνει ὂν, ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν, περίφοβον ὄντα τοῦ καταφρονηθῆναι: τά τε ἄλλα μηχανᾶσθαι, ὅπως ἂν ᾖ πάντα ἀγνοῶν, καὶ πάντ' βλέπων εἰς τὸν ἐραστὴν, οἷος ἂν τῷ μὲν ἥδιστος, ἑαυτῷ δὲ βλαβερώτατος εἴη. τὰ μὲν οὖν κατὰ διάνοιαν, ἐπίτροπός τε καὶ κοινωνὸς,

dolo & insidijs dominũ decepit, asserens uirginem in uicinia ipsum amare. Hac fraude Cinyras imprudens impiè cum filia noctu congressus est: At ueritate post cognita, stricto gladio libidinosissimam Smyrnam persequutus est: quæ cũ ad Catanem fugiens uenisset, prouidentia Veneris in arborem sui nominis mutata est.

Nobilis quidam iuuenis Ephesius, filius Demostrati, reuera autem Martis, genus mulierum exosus, noctu ad patris greges currens cum asina congressus est: quę grauida facta puellam formosissimam peperit, Onosceliam ab euentu dictam. *Aristoclis lib. 2. paradoxorum.*

Quinetiam melior euades, si mihi credideris, quã si amatori prębueris aures. Nã amantes præter modũ dicta & facta tua laudibus efferunt, partim quia uerẽtur ne te offendant, partim qa propter cupiditatis ardorẽ in iudicando falluntur. Talia enim quædã amor designat: infortunatos quidẽ, ea etiã quæ alijs molestiã nullã prębent, tristia putare compellit: fortunatos autẽ & uoti sui compotes, quę lætitia digna non sunt, cogit tanq̃ iucũda laudare. Quapropter miserari magis eos oportet, q̃ diligere. *Platonis in Phædro.*

Iam agite ô Musæ dulces, siue propter cãtus speciẽ, siue propter Musicum genus illud suauium & stridularum cognomẽ habetis, meum adiuuate sermonem, quem me dicere optimus iste compellit. *Ibidem.*

Quod igitur cupiditas quædã sit amor, omnibus manifestũ: quod uerò etiã qui non amant, pulchra seu bona cupiunt, nón ignoramus. Vt igitur quo amans à non amante discernitur, intelligamus, scire oportet duas in unoquoq; nostrũ ideas esse dominantes atq; ducentes, quas sequimur quocũq; ducunt. Altera quidẽ est innata nobis uoluptatũ cupiditas. Altera uerò acquisita opinio optimi affectatrix. Hæ aũt in nobis quandoq; consentiunt, quandoq; in seditione & discordia sunt. Et modo hæc, modo altera peruincit. Quãdo igitur opinio ad id quod optimũ est, rationem ducit, ac superat, hæc ipsa uiuendi potestas temperantia nominatur. Quando uerò cupiditas absq; ratione ad uoluptates trahit, nobisq; imperat, imperium hoc libido uocatur. Libido autem cum multiformis sit, multarumq; partium, multas utiq; appellationes habet, & harum formarũ quę maxime in aliquo exuberat, sua illũ appellatiõe nominatũ reddit, nec ullũ suis decorũ aut dignũ tribuit cognomẽtũ. Circa cibos eñ superatrix rationis & aliarũ cupiditatũ cupiditas, ingluuies appellaĩ: & eũ q hãc habet, hac ipsa appellatione nuncupatũ reddit. Rursus quę circa ebrietatẽ tyrannidem exercet, ac eum quem possidet hac ducit, patet quod habebit cognomẽ, atq; alia horum germana, & germanarum cupiditatum nomina, ubi aliqua maximè dominatur, quomodo ponẽda sint, manifestum est. Cuius autem gratia superiora omnia diximus, ferè iam patet: siue tamen dicatur, siue nõ, magis, q̃ si prætermissum sit patebit. Nã cupiditas absq; ratione, quę supat opinionẽ ad recta tendentẽ, rapitq; ad uoluptatẽ formæ, & à cognatis cupiditatib⁹ circa corporis formã uehemẽter corroborata puincit & supat, ἀπ' αὐτῆς τῆς ῥώμης, i. robore & uehemẽtia ἔρως. i. amor appellata est. *Ibidẽ paulo post.*

Age igitur ò optime, quid sit de quo cõsulitur, dictũ & definitũ est. Respicientes ergo ad hoc q̃d reliquũ est, uideamus quid emolumenti uel damni ab amãte & non amante, ei qui obsequitur sit meritò prouenturũ. Hominẽ libidini mancipatũ & uoluptatibus seruientẽ necesse est amatũ suũ pro uiribus sibi quàm iucundissimũ reddere. Aegrotãti uero quicqd nõ repugnat, iucundũ: quod uero melius, aut æquale, molestum. Quare neq; pręstantiorẽ, neq; parem amator amatũ sponte unq̃ patietur esse. Inferiorẽ aũt indigentiorẽq;, quoad poterit, semp efficiet. Deterior ignorans sapiente, forti timidus, ineptus ad dicendũ rhetorico, hebes acuto. Hæc & plura insuper animi mala cũ natura insunt uel fiunt amatis gaudet amator, atq; alia insup inferre conaĩ. Alioquin uoluptate priuaĩ. Inuideat ergo necesse est amator amato, atq; eũ ab omni cõsuetudine studioq; unde uir excellẽs euadere possit, amouẽs, uehemẽter officiat. Maximè tamen ex priuatione illius obest, quod prudentissimum efficit. Prudentissimũ uero diuina facit philosophia, à qua amator procul abducere amatũ cõpellitur, metuẽs ne ab eo, si fiat sapientior contẽnatur. Denique omnia efficit, qbus ille omniũ ignarus euadat, admireturq; amantẽ. Qualis cũ fuerit amatori quidẽ iucũdissimus erit, sibi aũt ipsi pniciosissimus. Atq; ita in his quę ad intelligentiã ptinent, *Ibidẽ paulo post.*

νωνός, οὐδαμῇ λυσιτελὴς ἀνὴρ ἔχων ἔρωτα. τὴν δὲ τοῦ σώματος ἕξιν τε καὶ θεραπείαν οἵαν τε, καὶ ὡς θεραπεύσει, οὗ ἂν γένηται κύριος, ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγκασται διώκειν, δεῖ μετὰ ταῦτα ἰδεῖν. ὀφθήσεται δὲ μαλθακόν τινα καὶ οὐ στερεὸν διώκων, οὐδ' ἐν ἡλίῳ καθαρῷ τεθραμμένον, ἀλλ' ὑπὸ συμμιγεῖ σκιᾷ, πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον, ἔμπειρον δὲ ἁπαλῆς καὶ ἀνάνδρου διαίτης, ἀλλοτρίοις δὲ χρώμασι καὶ κόσμοις, χήτει οἰκείων κοσμούμενον, ὅσα τε καὶ ἄλλα τούτοις ἕπεται, πάντα ἐπιτηδεύοντα, ἃ δῆλα, καὶ οὐκ ἄξιον περαιτέρω προβαίνειν. ἀλλ' ἓν κεφάλαιον ὁρισαμένους ἐπ' ἄλλο ἰέναι. τὸ γὰρ τοιοῦτον σῶμα, ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις ὅσαι μεγάλαι, οἱ μὲν ἐχθροί, θαρροῦσιν. οἱ δὲ φίλοι, καὶ αὐτοὶ οἱ ἐρασταί, φοβοῦνται. τοῦτο μὲν οὖν ὡς δῆλον, ἐατέον. τὸ δ' ἐφεξῆς ῥητέον, τίνα ἡμῖν ὠφέλειαν, ἢ τίνα βλάβην περὶ τὴν κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπεία παρέξεται. σαφὲς δὴ τοῦτό γε παντὶ μέν, μάλιστα δὲ τῷ ἐραστῇ, ὅτι τῶν φιλτάτων, καὶ εὐνουστάτων, καὶ θειοτάτων
al. πάντων ὕστατ. πραγμάτων, ὀρφανὸν * πρὸ πάντων εὔξαιτ' ἂν εἶναι τὸν ἐρώμενον. πατρὸς γὰρ καὶ μητρὸς, καὶ συγγενῶν καὶ φίλων στέρεσθαι ἂν αὐτὸν δέξαιτο, διακωλυτὰς καὶ ἐπιτιμητὰς ἡγούμενος τῆς ἡδίστης πρὸς αὐτὸν ὁμιλίας. ἀλλὰ μὴν οὐσίαν γ' ἔχοντα χρυσοῦ, ἢ τινὸς ἄλλης κτήσεως, οὔτε εὐάλωτον ὁμοίως, οὔτε ἁλόντα εὐμεταχείριστον ἡγήσεται, ἐξ ὧν πᾶσα ἀνάγκη ἐραστὴν παιδικοῖς φθονεῖν μὲν οὐσίαν κεκτημένοις, ἀπολλυμένοις δὲ, χαίρειν. ἔτι τοίνυν, ἄγαμον, ἄπαιδα, ἄοικον, ὅτι πλεῖστον χρόνον παιδικὰ ἐραστὴς εὔξαιτ' ἂν γενέσθαι, τὸ αὑτοῦ γλυκὺ ὡς πλεῖστον χρόνον καρποῦσθαι ἐπιθυμῶν. ἔστι μὲν δὴ καὶ ἄλλα κακά, ἀλλά τις δαίμων ἔμιξε τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονήν, οἷον κόλακι δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέμιξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον. καί τις ἑταίραν ὡς βλαβερὸν ψέξειεν ἄν, καὶ ἄλλα πολλὰ τῶν τοιουτοτρόπων θρεμμάτων τε καὶ ἐπιτηδευμάτων, οἷς τό γε καθ' ἡμέραν ἡδίστοις εἶναι ὑπάρχει. παιδικοῖς δὲ ἐραστής, πρὸς τῷ βλαβερῷ καὶ εἰς τὸ συνημερεύειν πάντων ἀηδέστατον. ἥλικα γὰρ δὴ καὶ ὁ παλαιὸς τέρπει τὸν ἥλικα. ἡ γὰρ οἶμαι χρόνου ἰσότης ἐπὶ ἴσας ἡδονὰς ἄγουσα, δι' ὁμοιότητα φιλίαν παρέχεται. ἀλλ' ὅμως κόρον γε καὶ ἡ τούτων συνουσία ἔχει, καὶ μὴν τό γε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ πᾶν λέγεται.

Οὐκ ἄρα ἔδει ποτὲ ἐρῶντι καὶ ὑπ' ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι, ἀλλὰ πολὺ μᾶλλον μὴ ἐρῶντι καὶ νοῦν ἔχοντι. εἰ δὲ μή, ἀναγκαῖον εἶναι ἐνδοῦναι αὑτὸν ἀπίστῳ, δυσκόλῳ, φθονερῷ, ἀηδεῖ, βλαβερῷ μὲν πρὸς οὐσίαν, βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν, πολὺ δὲ βλαβερωτάτῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν, ἧς οὔτε ἀνθρώποις, οὔτε θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον, οὔτε ἔστιν, οὔτε ποτὲ ἔσται. ταῦτά τε οὖν χρὴ ὦ παῖ ξυννοεῖν καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν, ὅτι οὐ μετ' εὐνοίας γίγνεται, ἀλλὰ σιτίου τρόπον χάριν πλησμονῆς.

ΥΠΕΡ ΚΑΛΛΟΥΣ, ΛΟΓΟΣ ξγ.

Εὐριπίδου. Ἴδοιμι δ' αὐτῆς ἔκγον' ἄῤῥεν' ἀῤῥένων.
πρῶτον μὲν εἶδος ἀξίους τυραννίδος.
πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ,
τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν.

Μενάνδρου. Ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπος
χρηστός, διπλασίως ὁ προσιὼν ἁλίσκεται.

Ὁμήρου. Νιρεὺς αὖ Σύμηθεν ἄγεν τρεῖς νῆας ἐΐσας.
Νιρεὺς Ἀγλαΐης υἱὸς, Χαρόποιό τ' ἄνακτος,
Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε.

Ἐκ τῶν τοῦ Βίωνος Βουκολικῶν. Μορφὰ θηλυτέρῃσι πέλει καλόν, ἀνδράσι δ' ἀλκά.

* Οὐκ ἔστιν οὔτε ζωγράφος μὰ τοὺς θεούς,
οὔτ' ἀνδριαντοποιὸς * τις ἂν πλάσαι
* Φιλήμονος. κάλλος τοιοῦτον, οἷον ἡ ἀλήθεια ἔχει.
lego ἔτι. οὔτ' ἀνδριάντος γὰρ καλῶς πεπλασμένου,

εὖ μὴ

noxia est cum amatore cõsuetudo. Posthac uidendum quo pacto is qui bono dulce anteponere cogitur, corpus illius quem amat, si cõmissum sibi fuerit, sit curaturus. Optabit profecto corpus non solidum, sed molle & delicatum, non sub sole sed umbra nutritum, quod procul à periculis & laboribus, siccisq; sudoribus muliebri & delicato uictu fuerit educatum, coloribus alienis extraneisq; ornamẽtis ex propriorum defectu ornatum, cæterisq; horum similibus consuetum. Quæ omnia cum prolixius recensere indignum sit, summatum in præsentia concludemus, ut reliqua prosequamur. Talem sanè corporis habitum in prælijs, & quauis alia ingenti necessitate, hostes quidem audacter inuadunt, amici autem ipsiq; amatores huic maximè metuunt. Sed hoc iam tanquam manifestum, dimittendum est. Deinceps uerò dicendum quid nobis emolumenti uel damni in rebus externis, amantis familiaritas & custodia præbeat. Atqui hoc omnibus, amatori præsertim, est manifestum, quod amicissima charissimaq; & diuinissima possessione orbum fieri amatum desiderat. Parentibus enim, necessarijs, & amicis, priuari eum exoptat, existimans eos dulcissimæ ipsius cum amato consuetudini impedimento fore. Puerum præterea uel auri uel cuiusuis possessionis ditissimum, neq; facile capi posse putat: neq; si captus fuerit, detineri. Quamobrẽ necesse est amatorem tanquam inuidum amati prosperitate dolere, aduersitate gaudere. Quinetiã sine uxore, sine filijs, sine domo, diu exoptat uiuere adolescentem, cupiens plurimũ tempus propria dulcedine perfrui. Sunt alia quoq; mala, sed horum plurimis in ipso statim principio dæmon aliquis uoluptatem immiscuit: ueluti adulatori grauissimæ bestiæ maximeq; calamitati inseruit natura oblectamentum aliquod non inconcinnum. Vituperabit quoq; scortum aliquis utpote noxium, & alia huiusmodi animalia atq; studia, quæ nos ad præsens delectare consueuerunt. Amans uero præterquàm quod noxius, est etiam sua cõsuetudine omnium molestissimus. Pares enim cum paribus, ueteri prouerbio, iucundissimè congregantur. Nam æqualitas temporis cũ ad æquales uoluptates propter similitudinem trahat, amicitiam parit. Veruntamen his etiam nimiam satietatem affert. Siquidem necessitas omnibus in rebus cuiq; grauis est &c.

Non conuenit igitur unquam amanti necessario amenti gratificari, imò homini multò magis ab amore libero mentemq; habenti. Alioqui necessariũ fuerit seipsum committere homini infido, moroso, inuido, molesto, pernicioso ad rerum possessionem, pernicioso ad corporis habitum, longè uero ad animi disciplinam perniciosissimo, qua nihil apud deos & homines reuera aut est, aut erit unquam uenerabilius. Hæc ô puer consideranda sunt, atq; illud insuper animaduertendum, amatoris amicitiã non beneuolentia ulla, sed auiditate quadã expletionis quasi fame cõstare. *Ibidẽ paulo post.*

LAVS PVLCHRITVDINIS.

SERMO LXIII.

Euripidis.

VTinam uidere contingat mihi ipsorum nepotes nepotum,
Primum quidem forma dignos regno.
Hæc enim summa uirtus existit in uita,
Corpus habere quod res pulchras mercatur.

Menandri.

Si naturæ decus mores exornent
Boni, duplo amore accedens capitur.

Homeri Iliad. B.

Nireus etiam ex Symo ducebat tres naues æquales,
Nireus Aglaiæ filius, & Charopi domini,
Nireus qui formosissimus uirorum ad Ilium uenit.

Bionis in bucolicis.

Forma mulieres ornat, uirum autem robur.

Philemonis.

Non per deos aut pictor posset,

αὖ μὴ τὸν αἰσθησόμενον ἡ τέχνη λάθῃ.

Μιλωφίλου Δαμασκηνοῦ.

Εὐρώπην Λιβύην τε καὶ Ἀσίδα πᾶσαν ἀμείψας,
θαύματα μυρία καλὰ πολυπλανέης ὑπὸ λυγρῆς,
ἀλλ' οὔπω τοιοῦτον ἴδον σέλας, οὐδ' ἐν Ὀλύμπῳ
αὐτοὺς ἀθανάτους περ οἴομαι ἶσον ἰδέσθαι,
οἷον ἄελπτον ἄπιστον ἐμὸν νόον ἥρπασε φάσμα
καρτερόν, οὔτι φάτειον, ὑπ' ἀφασίῃ δ' ἀλεγεινῇ
θυμὸς ἄδην πεπότητο, λύθεν δέ μοι ἄψεα πάντα,
ἐκ κεφαλῆς εἰς ἴχνος, ἀπώλετο δ' * ἔλασε πᾶσα
ἐκ στηθέων. καὶ πάντα χαμαὶ πέσεν, ὅσσα περ ἔτλην
* ἀγρῇ τε τραφορῇ κυλινδόμενος περὶ νόσον.
τόσσον γὰρ περὶ θυμὸν ἀπείρατον ἵκετο θάμβος.
μέλψαι δὲ μνήστειας ἀεθλείας πλοκαμίδας,
οἷα κυδιόωσιν ἀπ' ὀλβίστων σε λοετρῶν
φαιδρὴν εἶδον ἅπασαν, ἐειδομένην χαρίτεσσιν
ἐρχομένας πρὸς Ὄλυμπον ἀκιδαλίης ἀπὸ πηγῆς.

Vox est corrupta. lego ἠγῇ τι παρ... εἶπε.

Φαβωρίνου.

Ἱκανὸν μὲν ἴσως καὶ τὸ περὶ ὄψεως, ἂν δὲ ὁ καλὸς, καὶ αἱμύλος ᾖ, καὶ λεκτικός: λέγε ὦν νεανίσκε. λέγε Ἀντίλοχε: γλυκερώτερον νέστορος ἐρεῖς. λέγε Τηλέμαχε: σφοδρότερον Ὀδυσσέως ἐρεῖς. λέγε Ἀλκιβιάδη: κἂν μεθύῃς ἀκουσόμεθα τοῦ μεθύοντος ἡδέως. τοιοῦτον δεῖ τὸ καλὸν εἶναι. εὐφραίνει μὲν βλεπόμενος. εὐφραίνει δὲ, ἀκουόμενος. εἰ δ' ἔτεμ κατὰ Πλάτωνα τὸ θάρρος ἦν, εἶπον ἂν ὅτι καὶ πάσας τὰς αἰσθήσεις, ὁ καλὸς εὐφραίνει. καὶ οὐκ ἂν ἔδεισα τὴν εὐωχίαν τὴν τῶν καλῶν. τί γὰρ ἄλλο ποιοῦσιν οἱ τῷ στόματι ψαύοντες, συνάπτουσι τὰς ψυχάς; εἰ γὰρ θέμις ἦν τὸ σῶμα ὑπερβῆναι. νῦν δὲ ἐοίκασιν περὶ τὸ σῶμα λιπαρεῖν, ὡς περὶ θύρας.

Ἐκ τοῦ μελαγκομίου.

Ἐγὼ οὖν πρῶτον αὐτὸν εὐδαιμονίζω τοῦ κάλλους, ὃ δὴ τῶν ἀνθρωπίνων ἐστὶν ἀγαθῶν, ἀειδηλότατον μὲν καὶ ἥδιστον θεοῖς: ἥδιστον δὲ ἀνθρώποις: ἀλυπότατον δὲ τῷ ἔχοντι, καὶ ἀπογνῶσθῆναι ἄριστον. τὰ μὲν γὰρ ἄλλα ἀγαθὰ κἂν λάθοι προσόντα, καὶ ἀνδρεία καὶ φρόνησις, εἰ μὴ τύχοι ἔργου τινὸς ἀποδεικνύντος. τὸ δὲ κάλλος, οὐχ οἷόν τε λαθεῖν. ἅμα γὰρ τῷ ἔχοντι φαίνεται. ἔπειθ' ἄν τις ὅτι καὶ πρότερον οὕτως ὀξεῖαν αἴσθησιν ἑαυτοῦ παρέχει. ἔτι δὲ τοῖς μὲν ἀγαθοῖς, οἱ πλεῖστοι φθονοῦσι, καὶ δυσμενεῖς γίνεσθαι. τὸ δὲ κάλλος τοὺς αἰσθανομένους ἑαυτοῦ, φίλους ποιεῖται, καὶ οὐδένα ἐχθρὸν ἐᾷ γίνεσθαι.

Ἀγησίλαος πυθομένου τινὸς διατί κομῶσιν, ὅτι τοῦ κόσμου ἀδαπανώτατός ἐστι.

Ἀριστοτέλης ἔφη, τὸ κάλλος πάσης ἐπιστολῆς συστατικώτερον εἶναι.

Πλουτάρχου.

Τί γὰρ, οὐ σύνθετον φύσις ἀνθρώπων, ἐκ σώματος καὶ ψυχῆς; ἢ θάτερον ἀρκοῦν ἡμῖν; καὶ πῶς οἷόν τε; τὸ μὲν γὰρ, οὐκ ἂν εἴη μὴ χρώμενον ψυχῇ: ψυχὴ δ' οὐκ ἂν εἴη μὴ ἔχουσα τὸ συνορεῖσθαι. τί οὖν ὥσπερ ἐξ ἴσου κοσμεῖται ἑκατέρα τοῖς συγγενέσιν: ἡ μὲν δικαιοσύνῃ, καὶ σωφροσύνῃ, καὶ φρονήσει: τὸ δὲ, ἰσχύϊ, καὶ κάλλει, καὶ ὑγείᾳ; καὶ πῶς οὐ θαυμαστὸν, λέγειν τὰ περὶ ψυχῆς καλὰ, τὰ τοῦ σώματος ὑπερορῶντας;

Ἡ γοῦν τοῦ σώματος εὐμορφία, ψυχῆς ἐστὶν ἔργον σώματι χαριζομένης δόξαν εὐμορφίας: πεσέτω γοῦν θανάτῳ τὸ σῶμα, καὶ τῆς ψυχῆς μετῳκισμένης, οὐ στάσις, οὐ χρῶμα, οὐκ ὀφθαλμὸς, οὐ φωνὴ, οὐδὲν ἔτι καταλείπεται τῶν ἐρασμίων προδεδομένον ὑπὸ τῶν ἀρχαίων οἰκητόρων. ὥστε καὶ ψυχὴν συνυβρίζεις λανθάνων, ἧς ἐστὶν ἀνθρώπου κάλλος.

Ἀριστοτέλης ἐρωτηθεὶς, διατί τῶν καλῶν ὁ ἔρως, τυφλοῦ εἶπεν ἡ ἐρώτησις.

Διογένης τὰς εὐμόρφους τῶν ἑταιρῶν ἐκάλει βασιλίσσας. πολλοὺς γὰρ πράττειν, ἃ ἂν προστάττωσι.

Δίου Πυθαγορείου.

Τίς ἀγὼν, ἢ βιοτᾶς ὄντως ναμέρτας εὐδαίμων ζωά; καὶ τίνας ποτὲ χρὴ κρίνειν εὐδαίμονας; ἢ νὴ δία τοὺς σκήνεος καλλοναὶ ἔχοντας, δώρημα φύσιος. τούτως γὰρ ὡς * ἐνὶ μακαριστότερον οἱ πλεῦνες ὡς θεὼς ἢ θεῶν ἱδρύματα ὑπερέχουσι, καὶ θεραπεύουσι θρησκεύοντες οὐ καλαὼ

lego ἐν.

θρησ-

ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίνεται.

Ἀλέξιδος. Τίς δῆθ' ὑγιαίνων, νοῦν τ' ἔχων τολμᾷ ποτὲ
γαμεῖν διαπραξάμενος ἥδιον βίον;
ἔστ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον, ἢ γυναῖκ' ἔχειν
πτωχῷ γε; τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας.
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι. τὰς γὰρ εὐθύνας μόνον
ἐφημερινὰς τοῦ βίου κεκτήμεθα.

Φιλήμονος. Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

Μενάνδρου. Ὦ τρὶς κακόδαιμον ὅστις ὢν πένης γαμεῖ,
καὶ παιδοποιεῖθ'. ὡς ἀλόγιστός ἐστ' ἀνήρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ' αὖ ἀτυχήσας εἰς τὰ λοιπὰ τοῦ βίου,
ἐπαμφιάσαι τοῦτο δύναιτο χρήμασιν.
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ, τῶν ἀνιαρῶν ἔχων
τὸ μέρος ἁπάντων, τῶν δ' ἀγαθῶν οὐ δυνάμενος.

Ναυμαχίου. Καλὸν μὲν δέμας ἁγνὸν ἔχειν, ἀδμῆτά τε μίμνειν
παρθενικήν, καθαροῖσί τ' ἀεὶ μελεδήμασι χαίρειν·
μήτε βαρυτλήτων λαγόνων ποτὶ φόρτον ἄγουσαν,
μήτε πόνον τρομέουσαν ἀγάστονον εἰλειθύης.
ἀλλ' ἤθεα βασίλειαν ἀφαυρῶν θηλυτεράων,
al. ξίνεας. ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βιότοιο * χέασαν,
ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μεγίστοις
θεσπεσίοις ἐπέεσσι νοήματα φάεα τίκτει.
εἰ δέ σε καὶ ξεινοῖο πόθος βιότοιο κιχάνοι,

Porrò quod nuptias attinet his uerbis consolari debemus: quod naturæ perpetuitatem promouere oporteat, & filios filiorum relinquẽdo semper Deo ministros pro seipso tradere. *Platonis legũ. 6*

Gignere debemus & educare liberos, uitã ceu lampadem alijs post alios tradẽdo. *Ibidem.*

QVOD VXOREM DVCERE NON BONVM SIT, SER. LXVI.

Q Visquis uxorem ducere deliberat, non deliberat *Anaxandridæ.*
Recte: nam ubi deliberauit, statim ducit.
Quod multorum uitæ malorum initium est.
Nam si quis pauper, pecuniosam uxorem
Duxerit, non uxorem sed dominam habet,
Cuius famulus est, & seruus. Quod si duxerit
Nihil ei afferentem dotis, iterum fit seruus.
Oportet enim deinceps unius loco duos alere.
Duxit aliquis turpem, non amplius ei iucunda est uita,
Neq; omnino domum ingredi libet.
Formosa ducitur: non est illa
Magis mariti sui quàm uicinorum.
Itaq; nullo modo malum cauere potes.

Quis quæso sanus & mente constans unquam audet *Alexidis.*
Vxorem ducere, cum uitam ante multò suauius egerit?
An non satius est homini prudenti
Infamem fieri potius, quàm uxorem ducere,
Si pauper fuerit? Infames enim non sinit
Lex, magistratum nactos imperare proximis.
Postquam uero duxeris uxorem, ne tui quidem ipsius dominum
Esse tibi licet: sed pœnas solum & litigia
Quotidiana uitæ possidemus.

Perpetuum & necessarium malum est mulier. *Philemonis.*

O ter infœlix quisquis in paupertate ducit uxorem, *Menandri.*
Et liberos gignit. Stolidus sanè uir est
Qui necessarias quoq; res non custodit.
Neq; si quid acciderit infortunij, in reliqua uita
Emendare aut obtegere id potest pecunijs:
Sed uitam omnibus detectam & miseram
Degit tempestate oppressus: tristium habens
Partem omnium, bona uero consequi non ualens.

Pulchrum sanè est corpus habere castum, indomitamq; manere *Naumachij.*
Virginem, & puris cogitationibus perpetuo gaudere:
Nec onus laboriosa circa ilia ferentem,
Neq; trementem suspiriosas Lucinæ parturigines:
Sed permanere quasi reginam inter imbecillas mulieres,
Splendidum animæ oculum ad illam uitam emittendo,
In qua gloriosæ & ueræ sunt nuptiæ, ubi commixta
Diuinis uerbis lumine plenas meditationes parit.
Quod si & alienam desyderes uitam,

καὶ τοῦτο πρὸς ἅπασιν ἐρῶ, πῶς χρή σε προσθεῖναι
τὸν πλοῦν, ὥς φασι, τὸν δεύτερον εὔφρονι θυμῷ.

Φιλιππίδου. Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ᾽ ἡδέως.
al. εἰδύναι. τὸ πλάτωνος ἀγαθόν ἐστι τοῦτο * φίλε δέ,
μὴ λαμβάνειν γυναῖκα, μηδὲ τῇ τύχῃ
διὰ πλειόνων αὐτὸν παραβάλλειν πραγμάτων.

Ἱππώνακτος. Δύ᾽ ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τις, κἀκφέρῃ τεθνηκυῖαν.

Ἐπιχάρμου. Οὐδὲν γυνὴ κλαίουσα γυναικὸς βαρύτερον.
οἶδ᾽ ὁ συντυχών. μακάριος δ᾽ ὃς ἀγνοεῖ.

Μενάνδρου. Μηδέποτε γάμει μὴ δὲ εἷς δύνους ἐμοί.
Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι
ἀγαθὸν μὲν ἕξεις, ἂν λάβῃς μικρὸν κακόν.

Εὐριπίδου. Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι.
χρὴ γὰρ τὸν εὐτυχοῦνθ᾽, ὅτι πλείστας ἔχειν
addo ἦ. γυναῖκας, εἴπερ * τροφὴ δόμοις παρῆν.
ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων.
τὴν δ᾽ οὖσαν ἐσθλήν, ἡδέως ἐσώζετο.
νῦν δ᾽ εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν
al. τ πίτνον. ῥίπτοντες. οὐ γὰρ * τὸν τρόπον πειρώμεναι
νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί.
Ζηλῶ δ᾽ ἀγάμους ἀτέκνους τε βροτῶν.
al. ψυχῇ δὲ μιᾷ δ᾽. * μία γὰρ ψυχή, τὸ ὑπεραλγεῖν μέτριον ἄχθος.
Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον, ἢ λυπεῖν.
Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους,
γυνὴ κατέσχεν ἐν δόμοισι νηπία.

Φιλήμονος. Τὸν * μόνον ὄντα ἡ κακὴ τύχη τρέφει.
addo ἡ. Ἰδοὺ δίδωμι τήνδ᾽ ἐγὼ γυναῖκά σοι,
Ἀριστοφάνους. φαίδραν. ὅτι πῦρ δὲ πῦρ ἔοιχ᾽ ἥξειν ἄγων.

Μενάνδρου. Τὸ γυναῖκ᾽ ἔχειν εἶναί τε παίδων πατέρα,
πατέρα, μερίμνας τῷ βίῳ πολλὰς φέρει.

Σοφοκλέους. Νῦν δ᾽ οὐδέν εἰμι χωρίς, ἀλλὰ πολλάκις
ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,
ὡς οὐδέν ἐσμεν. αἳ νέαι μὲν γὰρ πατρὸς
ἥδιστον οἶμαι ζῶμεν ἀνθρώπων βίον.
al. τυφλὸς. * τερπνῶς γὰρ ἀεὶ πάντας ἡ ἄνοια τρέφει.
ὅταν δ᾽ ἐς ἥβην ἐξικώμεθ᾽ εὔφρονες,
ὠθούμεθ᾽ ἔξω, καὶ διεμπολούμεθα
θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο.
αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους.
αἱ δ᾽ εἰς ἀληθῆ δώμαθ᾽, αἱ δ᾽ ἐπίρροθα.
καὶ ταῦτ᾽, ἐπειδὰν εὐφρόνη ζεύξῃ μία,
χρεὼν ἐπαινεῖν, καὶ δοκεῖν καλῶς ἔχειν.

Φιλήτου. Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς.
Διφίλου. Γυναικὸς ἀγαθῆς ἐντυχεῖν οὐ ῥᾴδιον.
Χαιρήμονος. Γυναῖκα θάπτειν, κρεῖττόν ἐστιν, ἢ γαμεῖν.
Ἱπποθόου. Ζευχθεὶς γάμοισιν οὐκ ἔτ᾽ ἐστ᾽ ἐλεύθερος.
Θεοδέκτου. Παραπλήσιον πρᾶγμ᾽ ἐστὶ γῆρας καὶ γάμος.

De iſta quoq; præſciens tibi dicam, quomodo conficienda ſit
Nauigatio, ut aiunt, ſecunda animo læto.

Dicebam tibi ne duceres uxorem, ſed ſuauiter uiueres. *Philippidæ.*

Bonum eſt Platonis dogma illud Phidyle:
Non eſſe ducendam uxorem, neq; fortunæ
Oportere ſe pluribus negocijs auctum obijcere.

Bini ſunt cum uxore iucundiſſimi dies, *Hipponactis.*
Alter quo ducitur, alter quo mortua effertur.

Nihil eſt in inclyta terra muliere grauius. *Epicharmi.*
Noui expertus, fœlix ille qui ignorat.

Nullus unquam mihi amicus uxorem ducat. *Menandri.*

Tu qui uxorem ducere ſtatuiſti, ſcito quod
Bonum habebis, ſi minus malum delegeris.

Nuptiales leges non bene conditæ ſunt. *Euripidis.*
Oporteret enim hominem fœlicem quàm plurimas habere
Vxores, ſi modo uictus domi ſuppeteret;
Vt malam expelleret foras,
Bonam uerò libenter ſibi ſeruaret.
Nunc autem ad unam ſolum reſpiciunt, uehementer
Periclitantes; Inexperti enim morum
Sponſas in ædibus conſtituunt homines.

Fœlices aio homines innuptos & ſine liberis. *Eiuſdem in Alceſtide.*
Vna enim eſt anima, cui pro ſeipſa dolere, onus eſt mediocre.

Nunquam plus exhilarare nuptias, quàm grauare dixerim. *Ibidem.*

Multos diuitijs & genere gloriantes,
Dedecore ſtulta domi mulier affecit.

Hominem ſolum quantumuis anguſta fortuna alit. *Philemonis.*

En uxorem hanc ego tibi trado *Ariſtophanis.*
Phædram. Videor autem mihi additurus ignem igni.

Vxorem habere, & liberorum eſſe parentem *Menandri.*
O Parmeno, multas in uita ſolicitudines adfert.

Nunc uero nihil ſum ſola. Verum ſæpius *Sophoclis.*
In hunc modum conſyderaui muliebrem naturam,
Quod nihili ſit: puellæ quidem adhuc cum parente
Suauiſſimam omnium uitam agimus.
Semper enim omnes iucundè ſtultitia nutrit.
Vbi uerò ad pubertatem hilares peruenimus,
Pellimur foras, atq; diuendimur,
Procul à dijs patrijs & parentibus,
Aliæ uiris peregrinis, aliæ barbaris,
Aut in ueras familias, aut auxiliares.
Et hæc, ubi nox una tantum nos coniunxerit,
Approbanda nobis ſunt, & rectè habere exiſtimanda.

Egregiè uiues ſi non habueris uxorem. *Philetæ.*

Bonam uxorem conſequi non facile eſt. *Diphili.*

Sepelire uxorem quàm ducere melius eſt. *Cheremonis.*

Aſtrictus nuptijs non amplius liber eſt. *Hippothoi.*

Similes res ſunt ſenectus & nuptiæ. *Theodectis.*

τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν,
ὅταν δὲ τύχωμεν ὕστερον λυπούμεθα.

Ἀντιφάνους. Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

Μενάνδρου. Πατρῷ᾽, ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα,
τὰ δὲ μετὰ γυναικὸς εἰσιόντ᾽ εἰς οἰκίαν,
οὔτ᾽ ἀσφαλῆ τὴν κτῆσιν, οὔθ᾽ ἱλαρὰν ἔχει.

Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ, ὅπου καιρὸς ἔλεγεν· εἶτα παρελθούσης, οὐκέτι καιρός.

Πλάτων ἐρωτηθεὶς, εἰ γήμας φιλοσοφήσει; οὐκ εἰδὼς ἔφη οὐδὲ μόνον σαυτὸν σώζειν, καὶ γυναῖκα ἤδη τῶν ὁμοίων συνδιασώσεις;

Λυσίου. Η γὰρ ἂν ἡμέρα γυνὴ προδῷ τὸ σῶμα, καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν, ὥστε νομίζειν τοὺς μὲν οἰκείους ἐχθροὺς, τοὺς δὲ ἀλλοτρίους, πιστοὺς, περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχειν τὴν γνώμην.

Λυκούργου. Οταν γυνὴ ὁμονοίας ἡ πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος.

Επαμινώνδας ἐρωτηθεὶς, τί ἀνεῖται ὁ μὴ γήμας, τὸ μὴ ὀκνεῖν εἶπεν ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν.

Ἀντιφάνους. Φέρε δὴ προσελθέτω ὁ βίος εἰς τὸ πρόσθεν, καὶ γάμων καὶ γυναικὸς ἐπιθυμησάτω. αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ, καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου. μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. εἰ γὰρ τύχοι μὴ ἐπιτηδεία γενομένη, τί χρὴ τῇ συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαὶ, τοὺς φίλους ἐχθροὺς ποιῆσαι, ἴσα φρονοῦντας, ἴσα πνέοντας ἐξισώσαντα καὶ ἀξιωθέντα. χαλεπὸν δὲ κεκτῆσθαι κτῆμα τοιοῦτον δοκοῦντα ἡδονὰς κτᾶσθαι, λύπας ἄγεσθαι. φέρε δὴ μὴ τὰ παλίσκοτα λέγωμεν, λεγέσθω τὰ πάντων ἐπιτηδειότατα. τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί δαὶ γλυκύτερον ἄλλως τι καὶ νέῳ; ἐν τούτῳ αὐτῷ δέ γε τούτῳ, ἔνθα τὸ ἡδὺ φύεσι, πλησίον που καὶ τὸ λυπηρόν. αἱ γὰρ ἡδοναὶ, οὐκ ἤδη σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ᾽ ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. ἐπεὶ καὶ ὀλυμπιονίκαι, καὶ πυθιονίκαι, καὶ οἱ τοιοῦτοι ἀγῶνες, καὶ σοφίαι, καὶ πᾶσαι ἡδοναὶ, ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παραγίνεσθαι. τιμαὶ γὰρ, ἆθλα, δελέατα, ἃ ὁ θεὸς ἔδωκεν ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστᾶσιν. ἐγὼ γὰρ εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, οἷον ἐγὼ, ἐμαυτοῦ οὐκ ἂν δυναίμην ζῆν, οὕτως ἐμαυτῷ πολλὰ πράγματα παρέχων, ὑπέρ τε τῆς ὑγείας τοῦ σώματος, ὑπέρ τε τοῦ καθ᾽ ἡμέραν βίου εἰς τὴν ξυλλογὴν, ὑπέρ τε δόξης, καὶ σωφροσύνης, καὶ εὐκλείας, καὶ τοῦ εὖ ἀκούειν. τί οὖν εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, ὅ γε μοι οὕτως ἐπιμελὲς εἴη; οὐκοῦν δῆλον, ὅτι γυνὴ ἀνδρὶ, ἐὰν ἢ καταθυμία, οὐδὲν ἐλάττους τὰς φιλότητας παρέχεται, καὶ τὰς ὀδύνας, ἢ αὐτὸς αὑτῷ· ὑπέρ τε τῆς ὑγείας διττῶν σωμάτων, ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς, καὶ ὑπέρ τε τῆς σωφροσύνης, καὶ τῆς εὐκλείας. φέρε δὴ καὶ παῖδες γενέσθωσαν, φροντίδων ἤδη πάντα πλέα, καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς γνώμης· καὶ πρόσωπον οὐκέτι τὸ αὐτό.

ΟΤΙ ΤΟΙΣ ΜΕΝ, ΕΠΩΦΕΛΗ ΤΟΝ ΓΑΜΟΝ, ΤΟΙΣ ΔΕ, ἀσύμφορον ὁ τῶν συναπτομένων ἀπετέλεσε τρόπος.

ΛΟΓΟΣ ξζ΄.

Θεοδέκτου. Ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις,
οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον,
ὁμοῦ δὲ τῇδε τ᾽ εἰσκομίζεται λαβὼν,
καὶ δαίμον᾽ ἢ χρηστὸν, ἢ τοὐναντίον.

Σουσαρίωνος. Ακούετε λεῴ, Σουσαρίων λέγει τάδε.
κακὸν γυναῖκες. ἀλλ᾽ ὅμως ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.
καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι, κακόν.

Εὐριπίδου. Οὐ πάντες οὔτι δυστυχοῦσιν ἐν γάμοις,

οὔτ᾽

Vtramq; enim consequi desyderamus,
Postquam uero nacti fuerimus, tristamur.
Infortunium extremum nuptiæ sunt. *Antiphanis.*
Paternæ opes uerè beato possidendæ sunt. *Menandri.*
Quæ uero domum ingrediuntur cum uxore,
Neq; tutam sui possessionem, neq; lætam præbent.

Thales roganti matri ut uxorem duceret, Nondum esse tempus dixit: deinde maior natu, non amplius esse tempus.

Plato interrogāti cuidam, an uxore ducta philosophari deberet: Cum nescias dixit te solum seruare, an uxorem quoq; super humeris te seruaturum speras?

Mulier enim eo die quo prostituerit corpus, & pudicitiæ modum deseruerit, statim animum immutat, ita ut familiares pro inimicis habeat, alienos autē sibi fidos reputet, ac de honestis & turpibus contrariam opinionem induat. *Lysiæ.*

Cū semel uxor beneuolētia in maritū priuata est, minimè uitalis ei reliqua uita est. *Lycurgi.*

Epaminundas interrogatus quidnam utilitatis caperet uir innuptus: respondit, pro patria mori non dubitare.

Age progrediatur uita ulterius, & nuptias uxoremq; cupiat. Iste dies, ista nox noui genij principium affert, & nouæ sortis. Magnum profectò homini certamen nuptiæ sunt. Nam si uxor incommoda contigerit, quo pacto leuabis calamitatem? * *Antiphanis.* *Hic obscura quædam omisimus.*

Graue autem est rem huiusmodi possidere, & uoluptates comparare sibi existimantem, dolores asciscere. Verum age tacendo * deteriora, ea quę omnium commodissima sunt recēseamus. Quid enim homini suauius fuerit quàm uxor grata? Quid inquam dulcius cum aliâs, tum in ætate iuuenili? Sed eidem rei cui iucunditas inest, in uicino est molestia. Nam uoluptates non solæ accedunt, sed comites earum sunt tristitię & labores. Quandoquidē & qui in Olympijs, & Pythijs, alijsq; huiusmodi certaminibus uictores euadunt, aut sapientiam, aut quoduis genus uoluptatum sibi comparant, multas prius molestias & labores subeunt. Honores enim, præmia, & eiusmodi illecebræ, quas Deus humano generi largitus est, magnos labores atq; sudores necessario requirunt. Certè si mihi tale corpus alterum, quale meum est, accederet, non uiuere possem tantum negociorum mihi exhibens pro sanitate corporis, & uictu indies colligendo, & pro gloria, ac temperantia, celebrisq; famæ ac bene audiendi grátia. Quid igitur fieret si alterum quoq; tale corpus similiter mihi procurandum esset? Itaq; constat quod uxor etsi uiro charissima fuerit, non minus tamen ei facessit negocij circa amores aut dolores quàm ipse met sibi. Itaq; pro duobus corporibus, quod sanitatem, uictum, temperantiā, bonamq; famam attinet, curam gerat oportet. Quod si in super liberi nascantur, iam omnia curis plena sunt, & iuuenilis animi exultatio disperit: & facies haud amplius eadem est. ** κακίονα.*

QVOD PRO DIVERSIS COÑIVGVM MORIBVS NVNC PROSINT, NVNC OBSINT NVPTIAE, SER. LXVII.

Qvando maritus uxorem domum ducit, *Theodectis.*
Non solum, ut uidetur, uxorem accipit:
Sed unà cum ipsa quoq; introducit
Aut bonum sibi dæmonem aut contrarium.

Audite populus, hæc inquit Susarion: *Susarion.*
Malum sunt mulieres: Veruntamen ô populares,
Hoc sine malo domum inhabitare non licet,
Nam & uxorem ducere, & non ducere malum est.

Non omnes aut infortunati sunt in nuptijs, *Euripidis.*

Aut fortunati. Calamitosus est autem qui inciderit
In malam mulierem, fœlix qui in bonam.
Mulier sumptuosa, res est molesta, neq; sinit *Menandri.*
Maritum pro arbitrio uiuere. Fit tamen aliquid
Boni ex ipsa ô iuuenes: affectum enim ægritudine
Virum magna diligentia curat,
Infortunatum non deserit, & defunctum
Sepelit, ornatq; familiariter. Respicienda tibi
Hæc sunt ubi quid ex rebus quotidianis molestum fuerit.
Sic enim omnia feres: At si recensueris
Id semper quod molestum est, non uicissim consyderans
Bona simul narranda, ferre tandem non poteris.
Haud etenim uxore melius quicquam uir acquirit *Hesiodi in operibus.*
Bona: Mala uero nihil est deterius
Clanculum abliguriente, quæ uirum utcunq; egregium
Vrit sine torre, & ad crudam impellit senectam.
Deformem uxorem duxisti, uerum diuitem. *Philippide.*
Cubes igitur iniucundè, suauiter epulans.
Quisquis omnes uno sermone uituperat *Euripidis.*
Mulieres simul, rudis est, non sapiens.
Multæ enim cum sint, aliam inuenies malam:
Aliam uero ut hæc est animo præditam generoso.
Vxorem ducere, si quis ueritatem consyderet, *Menandri.*
Malum quidem est, sed necessarium malum.
Nihil sanè deterius existit mala *Euripidis.*
Muliere: bona uero eximiè, nihil
Est melius: differunt autem ingenia.
Quid enim uiro calamitosius fuerit, quàm non potiri fida uxore? *Eiusdem in Alceste.*
Quibuscunq; hominibus bene constitutæ sunt nuptiæ,
Illorum beata est uita: quibus autem malè cesserint, *Eiusd. in Oreste*
Tum domi, tum foris infortunati sunt.
Adeo nullum incommodum maius muliere *Sophoclis.*
Mala uir habere potest: neq; moderata
Melius. Vnusquisq; autem, quæ sibi contigerunt expertus, narrat.
Sic etiam malum uiris mortalibus mulieres *Hesiodi in Theogonijs.*
Iupiter altitonans fecit socias operum
Molestorum, & alterum malum pro bono largitus est.
Quicunq; nuptias fugiens, & plena curis mulierum opera
Vxorem ducere noluerit, & perniciosam senectam attigerit
Sine liberis curantibus eum, hic alimoniæ non inops
Viuit: defuncti autem opes diuidunt
Alieni raptores: ille uero qui nuptias celebrauit,
Et uxorem duxit solicitam, & prudentem,
Aequalia bona malis in uita sortitur.
Ne quid agas temere, neq; tuis malis *Euripidis.*
Comparans adeò accuses uniuersum genus mulierum,
Multæ enim de nobis æmulatione dignæ sunt,
Aliæ uero ex numero malarum.

Ἐπιχάρμου. Τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ τρεῖς ἓξ
ἢ τρεῖς κύβους ἀεὶ τύχης βαλεῖν.
ἐὰν μὲν γὰρ λάβῃς τεταγμένην τοῖς τρόποις,
καὶ τἄλλ' ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ.
εἰ δὲ καὶ φιλέξοδόν τι καὶ λάλον καὶ δαψιλῆ,
οὐ γυναῖκ' ἕξεις, διὰ βίου δ' ἀτυχίαν κεκοσμημένην.

Εὐριπίδου. Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή.
ἡ δὲ μὴ σώφρων, ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος.
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἶσχος γυναιξί, καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί. τὰ δ' εἰς γάμους,
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσι φρονεῖν.

Γαΐου ὑπὲρ Ἀκύλλης. Φυλάττομαι δέ τι πικρότερον εἰπεῖν, διὰ τὸ τῆς μητρυιᾶς ὄνομα. πολλὰ γὰρ προείληπται τῶν ὀνομάτων εἰς πίστιν ἀπεχθείας· καὶ μητρυιαὶ δυσκόλως ἀληθεύειν πιστεύονται. δεῖ δὲ, οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγχεσθαι τοὺς τρόπους. πολλοὶ γὰρ ἤδη διαβεβλημένας προσηγορίας ἔχοντες, ἔσχον οὐ πονηρὰν διάνοιαν. πάλιν ἕτεροι καὶ καλοῖς ὀνόμασιν ἐκ τῆς φύσεως κεκοσμημένοι, ψυχαῖς ἀνομοίαις προσέρχονται πρὸς τὰ ἔργα.

Μουσωνίου. Βίου καὶ γενέσεως παίδων κοινωνίαν, κεφάλαιον εἶναι γάμου. τὸν γὰρ γαμοῦντα ἔφη καὶ τὴν γαμουμένην, ἐπὶ τούτῳ συνιέναι χρὴ ἑκάτερον θατέρῳ, ὥσθ' ἅμα μὲν ἀλλήλοις βιοῦν, ἅμα δὲ * ποιεῖσθαι, καὶ κοινὰ δὲ ἡγεῖσθαι πάντα, καὶ μηδὲν ἴδιον, μηδ' αὐτὸ τὸ σῶμα. μεγάλη μὲν γὰρ γένεσις ἀνθρώπου, ἣν ἀποτελεῖ τοῦτο τὸ ζεῦγος. ἀλλ' οὔπω τοῦτο ἱκανὸν τῷ γαμοῦντι, ὃ δὴ καὶ δίχα γάμου γένοιτ' ἂν συμπλεκομένων ἄλλως, ὥσπερ καὶ τὰ ζῷα συμπλέκεται αὐτοῖς. δεῖ δὲ ἐν γάμῳ πάντως, συμβίωσίν τε εἶναι καὶ κηδεμονίαν ἀνδρὸς, καὶ γυναικὸς περὶ ἀλλήλους, καὶ ἐρρωμένους, καὶ νοσοῦντας, καὶ ἐν παντὶ καιρῷ, ἧς ἐφιέμενος ἕκαστος, ὥσπερ καὶ παιδοποιΐας * εἴσιν ἐπὶ γάμον. ὅπου μὲν οὖν ἡ κηδεμονία αὕτη τέλειός ἐστι, καὶ τελέως αὐτὴν οἱ συνόντες ἀλλήλοις παρέχονται ἁμιλλώμενοι νικᾶν ὁ ἕτερος τὸν ἕτερον, οὕτω μὲν ὁ γάμος ᾗ προσήκει ἔχει, καὶ ἀξιοζήλωτός ἐστι. καλὴ γὰρ ἡ τοιαύτη κοινωνία. ὅπου δ' ἑκάτερος σκοπεῖ τὸ ἑαυτοῦ μόνον ἀμελῶν θατέρου, ἢ καὶ νὴ Δί' ὁ ἕτερος οὕτως ἔχει, καὶ οἰκίαν μὲν οἰκεῖ τὴν αὐτήν, τῇ δὲ γνώμῃ βλέπει ἔξω μὴ βουλόμενος τῷ ὁμόζυγι συντείνειν τε καὶ συμπνεῖν, ἐν ταῦθ' ἀνάγκη φθείρεσθαι μὲν τὴν κοινωνίαν, φαύλως δὲ ἔχειν τὰ πράγματα τοῖς συνοικοῦσιν, καὶ ἢ διαλύονται τέλεον ἀπ' ἀλλήλων, ἢ τὴν συμμονὴν χείρω ἐρημίας ἔχουσιν.

malim κοινωνεῖν.

lego ἄνε.

ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ, ΕΤΙ ΚΑΙ ΠΕΡΙ ΓΑΜΟΥ, ΛΟΓΟΣ ξη.

Εὐριπίδου. al. τῷ. Γαμοῦσι δ' ὅσοι συνδέδουσι μὴ πεπρωμένους
μάτην πονοῦσιν. ἡ δὲ * τῷ χρεὼν πόσει
μένουσα, κἀσπούδαστος ἦλθεν εἰς δόμους.

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.

Ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους,
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασι
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἐστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων,
al. ἄ. ἀνόνητος, αἱ * γὰρ διαλύσεις ῥᾴδιαι.

Μενάνδρου. Ὅταν πένης ὤν, καὶ γαμεῖν τις ἑλόμενος,
al. παρά. τὰ * μετὰ γυναικὸς ἐπιδέχηται χρήματα,

αὑτὸν

Vxorem ducere perinde est ac ter senas *Epicharmi.*
Aut tres tesseras fortuitò iacere,
Nam si compositam moribus acceperis,
Et cætera non molestam, fœlices habebis nuptias,
At si frequenter exeuntem domo, loquacem, & sumptuosam duxeris,
Non uxorem habebis, sed instructum per uitam infortunium.

Quæuis mulier proba marito suo inseruit: *Euripidis.*
Improba uero, per uecordiam contemnit uirum.

Miserrimum est muliebre genus postquam odio haberi cœpit.
Nam quæ peccarunt etiam immeritis
Dedecori sunt mulieribus. Et communicant uituperium
Malæ non malis. Et quantum nuptias attinet
Nihil beneuolentiæ uidentur erga uiros gerere.

Abstineo ne quid grauius dicam propter nouercæ nomen: multa enim nomina ad confirmandum odium præoccupantur: & nouercam uera dicere uix creditur. Verum non oportet ex significatione nominum de moribus iudicari: quandoquidem non pauci hactenus, qui infames nomenclaturas habebant, ingenio præditi fuere non malo. Alij rursus honestis à natura nominibus ornati, animis dissimilibus ad opera accedunt. *Gaij pro Lucilla*

Vitæ ac generationis liberorum communionem, caput esse nuptiarum dicebat. Siquidem sponsum & sponsam hoc nomine inter se conuersari oportet, ut simul & uiuant, & unà liberos gignant, & omnia existiment cõmunia, nihil uero proprium, ne corpus quidem suum. Permagni enim facienda est hominis generatio, quæ tali coniugio producitur. Verum hoc non satis est ad nuptias, cum & aliter ipsis citra nuptias coniunctis fieri posset: sed omnino communis uita in matrimonio requiritur, & mutua uiri uxorisq́ cura, alterius pro altero, tũ in secũda tũ aduersa ualetudine, deniq; omni tempore. Huiusmodi curã & procreationẽ liberorũ unusquisq; desyderans nuptias contrahit. Vbi igitur hæc procurãdi diligentia perfecta est, & perfectè à coniugibus exercetur, dum alter alterum superare contendit, tum nuptiæ se habent ut conuenit, & æmulationem merentur. Optima enim est huiusmodi communio. Vbi uero uterq; suam rem solum consyderat, altero neglecto, aut alter saltem ita affectus est: & licet eandem domum habitet, animo tamen foras prospicit, non uolens adiuuare coniugem, & consentire, ibi necessariò societas perit, & res coniugum malè se habent, ita ut uel omnino dirimantur, uel conuersatione, quæ deterior solitudine fit, utantur. *Musonij.*

DE VXORIS PETITIONE, ET AMPLIVS DE NVPTIIS, SER. LXVIII.

QVicunq; nuptias fato sibi non destinatas ambiunt, *Euripidis.*
Frustra laborant. Vxor autem uiro fatali
Manens, etiam absq; omni cura domum ingreditur.

Ne gignas liberos dijs inuitis.

Quicunq; nuptias aut genere præstantiores contrahunt,
Aut multarum opum gratia, uxorem ducere nesciunt.
Vxor enim imperans domi
Subijcit maritum, ita ut non sit liber amplius.
Opes autem nuptijs acquisitæ uxoris
Inutiles sunt, ac cito dissoluuntur.

Si quis pauper nuptias instituerit, *Menandri.*
Et allatas ab uxore pecunias acceperit,

αὐτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.

Δύ' ἐστ' ἃ κρῖναι τὸν γαμεῖν μέλλοντα δεῖ,
ἤ τοι προσηνῆ ὄψιν, ἢ χρηστὸν τρόπον.
τὴν γὰρ ὁμόνοιαν τὴν πρὸς ἀλλήλους ποιεῖ.

Ἡσιόδου. Παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς,
πάντα μάλ' ἀμφὶς ἰδών, μὴ γείτοσι χάρματα γήμῃς.

Θεόγνιδος. * Κύνας μὲν δὴ νῶϊ διζήμεθα κύρνε καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι. γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ φέρῃ.

Diuersam lectionem uide in fine sermonis 86.

Εὐριπίδου. Πᾶσι δ' ἀγγέλλω βροτοῖς
ἐσθλῶν ἀπ' ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα,
οὐ γάρ ποτ' ἂν πράξειαν εὖ τέλος κακῶς.

Ἔχει δὲ τὸ ἴχνος ἴσον τᾶς διακοσμάσιος πρᾶτον καὶ αὐτὸς ὁ ἄνθρωπος, ἐν τᾷ διαιρέσει τᾶς ψυχᾶς ταύτας. ὃ μέν τι, ἐντὶ λογισμός, ὃ δὲ θυμός, ὃ δὲ, ἐπιθυμία. ὁ μὲν ὦν λογισμός, οἷα δεσπότᾳ καὶ ἄρχοντι ποταμφορής ἐντι, πρεσβύτερός τε γὰρ ἐν τᾷ φύσει, καὶ τᾷ γνώσει διανοητικώτατος, καὶ διακριτικώτατος. ἁ δ' ἐπιθυμία, θῆλυ, καὶ νεαρόν, καὶ ὑγρὸν πάθος ὑπάρχοισα ψυχᾶς, τᾷ γυναικὶ ποτιφορής ἐντι. ὁ δὲ θυμός, ὁρμᾶς, καὶ ζέσιος μεστὸς ἐών, καὶ συνακούων καὶ συνεπακολουθῶν πολλάκις τῷ λογισμῷ, ἢ τῷ νῷ, καὶ νεανίᾳ προσωμοίωται. ἁ μὲν γὰρ μονάς ἐντι, τὸ γεννῶν καὶ ὁρίζον· ἁ δὲ δυάς, τὸ ὁριστόν, καὶ ὁριζόμενον. καὶ τὸ μὲν περιττόν, ἐκ τᾶς καθ' αὐτὸ φύσιος. τὸ δὲ ἄρτιον, ἐκ τᾶς πρός τι. διότι τὸ μέν, * καθ' αὐτὸ φύσιος περαίνει· τὸ δὲ ἄρτιον, ἐκ τᾶς πρός τι. καὶ τὸ μὲν κατὰ περισσὰς χώρας συντάσσειν, ἐξομοιάζει αὐτῷ. τὸ δέ, μόνον, ὥσπερ ὕλα καὶ ὑποκείμενον. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ γραμμᾶν, καὶ χωρίων. τὸ μὲν γὰρ τετράγωνον ὁρίζει καὶ συντάσσει. τὸ δ' ἑτερόμακες, ὥσπερ ὕλα ὑποκειμένα ὁρίζεται, καὶ συντάσσεται, τετραγωνιζόμενον καὶ ἐξισούμενον. δεῖ δὲ τὸν μουσικὸν μιμεῖσθαι τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθόντα, οὕτω πειρᾶσθαι τὰν μέσαν καθιστάνειν, ὅπως καὶ ἐπὶ τὰ βαρέα, καὶ ἐπὶ τὰ ὀξέα διαρκέσαι δύναται, καὶ μήτε ῥήξῃ, μήτε ἐκλίπῃ τὴν στάσιν. οὕτω δεῖ καὶ γάμον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶς, ὅπως μὴ μόνον ἐν εὐτυχίαις συντρέχειν ἀλλάλοις δυνατὸν ὦντι. καὶ γὰρ αὐλὰς ὁ αὐλητὰς ποτὶ τὸν ἴδιον τόνον διαρκέσαι δυναμένας λαμβάνει, καὶ πηδάλια ὁ κυβερνάτας ποτὶ τὸ μέγεθος τᾶς ναός.

addo ἐκ τᾶς.

Νικοστράτου περὶ γάμου. Ταῦτ' εἰ μὲν οὖν τὰ θρυλλούμενα σὺ οἶσθα, μήτε εὐγένειαν προσέχειν, μήτε δόξαν τῶν πατέρων, οὕτως τε ὡς αὐτῇ τῇ γυναικί. πολλαὶ γὰρ δὴ πάνυ καλῶν καὶ ἀγαθῶν πατέρων, φαῦλαι ἐφωράθησαν, καὶ οὐκ ἐσωφρόνησαν. χρήματα δέ, οἱ μέν, οὐδὲ πάμπαν φιλοπραγμονεῖν εἰώθασιν. ἔνιοι δέ, οὐδ' ἂν γῆμαι ἔφασαν, ἄλλως τε εἰ μὴ πλουτοίη καὶ προῖκα ἐπάγοιτο πολλήν. ἀλλ' ἐνταῦθά που καὶ τὸ λαμπρὸν τῶν διαλύσεων ἐξῆν, ἰδίᾳ μὲν τῇ γυναικί, ὑπὸ τοῦ πλούτου διατεθρυμμένην, ἰδίᾳ δὲ χρήμασιν ὑποβαπτόντα αὐτόν τινα, καὶ ἣν συμβαίνῃ μάλιστα λαμβάνοντα ἐκεῖθεν ἀναλίσκειν. εἰ δὲ κατ' ἐμέ τις εἴη, καὶ σμικρὰν ἡδέως ἂν πείθοιο. κρεῖττον ἄρα ἦν ἀνδρικόν τι γύναιον, καὶ κατ' ἀγροὺς τεθραμμένον ἀναζητεῖν τε καὶ πολυπραγμονεῖν· ἱκανὸν μὲν πονεῖν, ὁπότε ὕδωρ ἀνιμᾶν δέοι, καὶ πῦρ ἐναῦσαι, ἦν τούτου καιρός. οὐκ ἀνελεύθερον δὲ οὔτε ἀρτοποιόν, χρυσόν γε μήν, καὶ ἀράξαι ποτὶ μύλην, καὶ ἐπαφήσας αὐτῇ, διεδοῦσαν ὥσπερ ἐπὶ λύρας. ταῦτα μὲν δὴ ῥώμη τε γυναικί, ταῦτα δὲ τῷ οἴκῳ, ὄφελος. ἐπειδὴ δὲ οὐκ εὔδηλόν ἐστιν ἄρτι γαμοῦντι, ὁποῖαι δή τινες τοῖς τρόποις αἱ γυναῖκες ἅμα φανήσονται, Ἰνδοὶ οὕτω γαμοῦσι, καὶ οἱ σοφοὶ αὐτῶν, καὶ οὐδὲ πώποτε ψευσθῆναι λέγονται. ἐκεῖνοι τοίνυν οἱ Ἰνδοί, οὐχ ὅπως πλούτῳ καὶ δόξῃ ἔγημαν ἐνδόξου ἀνδρὸς καὶ πλουσίου θυγατέρα, ἀλλὰ αὐτὴν τὴν κόρην, τήν τε ὄψιν αὐτῆς, καὶ τὸ κάλλος ἐπολυπραγμόνησαν, σοφίᾳ δή τινι τοῦτο τρόπῳ οὐκ ἀκολασίᾳ οὐδεμιᾷ, οὐδὲ κατὰ τὰ αὐτὰ ἡμῖν. αἱ γὰρ δὴ ὄψεις αἱ χρησταὶ ἔχοιεν ἂν τι πλεῖστον τοῦ κάλλους τῆς ψυχῆς, καὶ ἔνι οὔτε θυμούμενον, οὔτε ὀργιζόμενον, οὔτε χολῶντα, τὸ πρόσωπον φαιδρὸν ἔχειν τε καὶ καθαρόν. εἰ δέ τις πανοῦργος καὶ κρύψινους, εὐθὺς μὲν καὶ τῶν ὀφθαλμῶν

παρα-

Hic dat seipsum, non illam ducit.

Res duæ potissimum uxorem ducturo consyderandæ sunt,
Nempe aut facies blanda, aut boni mores.
Hæc enim alunt beneuolentiam mutuam.

Ducas autem uirginem, ut bonis moribus ipsam instituas, *Hesiodi in operibus.*
Omnia diligenter circumspiciens, ne uicini tuas nuptias irrideant.

Canes & equos nobis ô Cyrne quærimus *Theognidis.*
Nobiles: & libet ex bona progenie
Suos iniri. Malam uero uxorem maliq́ patris filiam ducere non curat
Vir bonus, modo ei magnam dotem adferat.

Adhortor autem omnes homines, *Euripidis.*
Vt ex bonis uiris bonos liberos gignant.
Sic enim nunquam malus euentus accidet.

Habet autem hoc primum dispositionis uestigium etiam ipse homo in animę suę partibus. Sunt enim animæ partes ratio, animositas, & cupiditas. Ratio quidem patrisfamiliâs & principi consimilis est, utpote natura senior, & generatione sua ad cogitandum diiudicãdumq́ maximè apta. Cupiditas uero, cum sit muliebris, tenera, & mollis animæ affectus, mulierem repręsentat. Animositas autẽ, impetu & feruore plena, & rationi aut menti sæpius obediens & sequens, iuuenem refert. Animositatis affectus unitas est quæ generat & definit: cupiditas uero binarius est, quæ finitur ac terminatur: illa suapte natura impar est, hic uero par & aliunde pendens: propterea illa per se perficitur, hic ab alio. Et illa per locos impares disponẽs, sibi assimilat: hic uero materiæ solum & subiecti rationem implet. Itidem res se habet in lineis & spacijs. Figura quadrata finit & determinat: quę uero in alteram partem longior est, instar materiæ subiectæ terminatur, conformatur, ad figuram quadratam & æqualitatem redigitur. Oportet autem imitari Musicum, qui postquam proprium uocis tonum didicit, tum demum conatur mediã constituere, ut et grauibus & acutis conueniat, & neq; abrumpat, neq; ut inferior relinquat locum suum: Eodem modo nuptiæ concinnandæ sunt iuxta proprium animæ tenorem, ut non solum in læta fortuna inuicem unanimes degere possint. Nam & tibicen deligit tibias, quæ ad proprium tenorem sufficiant, & nauclerus gubernacula pro magnitudine nauis.

Vulgaria ista præcepta haud latere te puto, non tam respiciendam esse nobilitatem, & gloriam parentum, quàm ipsam uxorem. Multæ enim perquam honestis & bonis parẽtibus natæ, deprehensæ sunt malæ, & impudicæ. Pecunias autẽ alij prorsus non solent morari: alij uxorem omnino aliter non ducendam existimarunt, nisi diues esset ac dotem magnam afferret. Verum hic apparet egregia seruitus, si quis seipsum tũ uxori opum luxuria diffluenti, tũ pecunijs adulatoriè submittat, etsi maximè liceat pecunias ab ea acceptas insumere. Quod si quis meę sententiæ fuerit, uel paruam dotem libenter capiet. Multò enim præstat uxorem uiraginem, & ruri nutritam inquirere sibi, & studiosè accersere, quæ idonea sit, si oportuerit uel aquam haurire, uel ignem accendere suo tempore, non tamen illiberalis aut mechanici ingenij: quinetiam commoda ad molendum fuerit, (& molæ stridentis sono non minus quàm lyra delectabitur.) Etenim hæc exercitia mulierem robustam reddunt, & in rem sunt familię. Quoniam uero qui uxores ducunt, initio nesciunt quales tandem futuræ sint moribus, Indi & ipsorum sapientes hoc modo uxores ducunt, & nunquam se falsos aiunt. Nempe non propter opes & gloriam uiri Indi ac diuitis filiam ducunt, sed ipsam puellam eiusq́ faciem & pulchritudinem studiosè consyderant, idq́ non ita ut nos, nec intemperantes, sed arte quadam sapienter faciunt. Benigni enim oculi summam animi pulchritudinem comitantur: & contingit ut qui non excandescit, irascitur, aut bile mouetur, faciem splendidam serenamq́ habeat. Qui uero malignus & dolosus fuerit, is statim & oculis

Nicostrati de nuptijs.

Inclusa parenthesi ex cõtextu ra uertimus.

παραβλέπει, καὶ δεινὸν δέδορκεν. ὅστις δὲ μωρίᾳ σύνηθες, ταῖς κόραις, καὶ τοῖς ὀφθαλμοῖς ἀναπέπταται. ὄνων ὀφθαλμοί, καὶ προβάτων τοιοῦτοι. ὁ δέ γε συνάγων τὰς ὀφρῦς, σκαιός ἐστι. καὶ ὅτῳ ἐπανθεῖ οὐκ ἐρύθημα, ἀλλὰ σκότος τε καὶ νέφος, τούτου τε ἡ ψυχὴ, οὐδαμῇ οὐδαμῶς εὐφραίνεται. ταυτὶ μὲν τὰ γνωρίσματα καὶ σημεῖα, οὐ παρθένοις ἄρα καὶ γυναιξὶν, ἀλλὰ καὶ αὐτοῖς πρόσεστι τοῖς ἀνδράσι. περὶ μὲν οὖν τῶν ἰνδῶν, οὕτως ὁ λόγος κρατεῖ, ὡς καταμαντεύονται περὶ τῶν γυναικῶν πόρρωθεν, ὁποῖαί τινες ἔσονται. μηδὲ μου δὲ καταγνώτω μη- malim μετιέναι. δεὶς, ἐπεὶ κοινότερον τῷ κάλλει καταχρήσομαι συμβουλεύων αὐτὸ * μεταθεῖναι. οὐ γὰρ τοὺς καλοὺς καὶ τὰς καλὰς ἐγὼ προξενῶ, ἀλλ' ἑτέρως οὐκ ἔνι εἰπεῖν, ἑπόμενον τῷ ἰνδῶν λόγῳ. ἔνι δὲ lego φυῆς. καὶ ἀπὸ τῆς φωνῆς τὰ ἀπὸ τῆς * τύχης ἑκάστου εἰδέναι. καὶ τοίνυν φωνὴν μετὰ ταῦτα τῆς γυναικὸς ἐξεταστέον. τάχα μὲν γὰρ ἡδίων ἡ ᾠδική, ἔνθεν δὲ καὶ μετ' ἄριστον. μᾶλλον δὲ συνεστάλθω αὕτη ἡ φωνὴ εἰς τὸ πρᾶον, καὶ τραχὺ πώποτε μήτε βοήσαι μήτε φθέγξαιτο. τὰ γὰρ τοιαῦτα ἀνδρωδεστέρας τὰς γυναῖκας ἀποφαίνει.

Μουσωνίου. Διὸ χρὴ τοὺς γαμοῦντας, οὐκ εἰς γένος ἀφορᾶν, εἰ ἐξ εὐπατριδῶν: οὐδ' εἰς χρήματα, εἰ πολλὰ κέκτηνταί τινες: οὐδ' εἰς σώματα, εἰ καλὰ ἔχουσιν. οὔτε γὰρ πλοῦτος, οὔτε κάλλος, οὔτ' εὐγένεια, κοινωνίαν μᾶλλον αὔξειν πέφυκεν, ὥσπερ οὐδ' ὁμόνοιαν. οὐδ' αὖ τὴν παιδοποιίαν κρείττω ταῦτα ἀπεργάζεται. ἀλλὰ σώματα μὲν πρὸς γάμον ἀρκοῦντα τὰ ὑγιῆ, καὶ τὴν ἰδέαν μέσα, καὶ αὐτουργεῖν ἱκανά, ἃ δὴ καὶ ἐπιβουλεύοιτ' ἂν ὑπὸ τῶν ἀκολάστων ἧττον: καὶ ἐργάζοιτο μᾶλλον ὡς τὰ σώματος ἔργα, καὶ παιδοποιοῖτο μὴ ἐνδεῶς. ψυχὰς δὲ ἐπιτηδειοτάτας εἶναι νομιστέον, τὰς πρὸς σωφροσύνην, καὶ δικαιοσύνην, καὶ ὅλως πρὸς ἀρετὴν εὐφυεστάτας. ποῖος μὲν γὰρ γάμος χωρὶς ὁμονοίας καλός; ποία δὲ κοινωνία χρηστή; πῶς δ' ἂν ὁμονοήσειαν ἄνθρωποι πονηροὶ ὄντες ἀλλήλοις; ἢ πῶς ἀγαθὸς πονηρῷ ὁμονοήσειεν; οὐδέν γε μᾶλλον, ἢ ὀρθῷ ξύλῳ στρεβλὸν συναρμόσειεν ἄν; ἢ στρεβλὰ ἄμφω ὄντα ἀλλήλοιν. τὸ γὰρ δὴ στρεβλὸν, τῷ τε ὁμοίῳ τῷ στρεβλῷ, ἀνάρμοστον, καὶ τῷ ἐναντίον τῷ εὐθεῖ ἔτι μᾶλλον. ἔστι δὴ καὶ ὁ πονηρὸς τῷ τε πονηρῷ, οὐ φίλος, οὐδ' ὁμονοεῖ, καὶ πολὺ ἧττον τῷ χρηστῷ.

Χίλωνος. Γάμους εὐτελεῖς, καὶ ἰσοτίμους ποιεῖν.

Κλεόβουλος ἔφη, δεῖν συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας, τὴν μὲν ἡλικίαν, παρθένους: τὸ δὲ φρονεῖν, γυναῖκας.

Περικλῆς ὁ τῶν ἀθηναίων στρατηγὸς, δυεῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν, πλουσίου καὶ ἀπαιδεύτου: τοῦ δὲ, πένητος καὶ φιλολόγου, τούτῳ αὐτὴν ἐξέδωκεν, εἰπὼν, ὅτι ἄμεινόν ἐστι τοῦ ὄντος, ὁ δυνάμενος γενέσθαι πλούσιος.

Δημόκριτος ἔφη: ὡς ὁ γαμβροῦ μὲν ἐπιτυχὼν, εὗρεν υἱόν: ὁ δὲ ἀποτυχὼν, ἀπώλεσε καὶ θυγατέρα.

ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ, ΤΑΣ ΤΩΝ ΣΥΝΑΠΤΟΜΕΝΩΝ ΗΛΙΚΙΑΣ ΧΡΗ ΣΚΟΠΕΙΝ. ΛΟΓΟΣ ξθ'.

Θεόγνιδος. Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι,
οὐ γὰρ πηδαλίῳ πείθεται, ὡς ἄκατος.
οὐδ' ἄγκυραι ἔχουσιν, ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν, ἄλλον ἔχει λιμένα.

Εὐριπίδου. Κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον.
μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρσένων μένει,
θηλείας δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.

Σαπφοῦς. Ἀλλ' ἐὼν φίλος ἄμιν λέχος ἄρνυσο νεώτερον,
οὐ γὰρ τλάσομ' ἐγὼ ξυνοικεῖν οὖσα γερατέρα.

Εὐριπίδου. Ἐγὼ μὲν ἔξω λέκτρα αὐτοῖς καλῶς ἔχειν,

δίκαιον

transuersè implacideq; intuetur: qui stolidus ac simplex est, pupillas & oculos patentes gerit, ut asini & oues. Cui supercilia coniunguntur, improbus est: Cuius superficies in uultu non rubet, sed obscura caliginosaq; est, huius anima nunquam ullo modo exhilaratur. Cæterum eiusmodi notæ non modo uirginibus & mulieribus, sed etiam uiris insunt. De Indis igitur sic fama fert, quod multò ante de mulieribus, quales sint futuræ uaticinetur. Nullus autem me reprehendat, quod pulchritudinis nomine communius accipiens abutar, dum ipsam ambiendam esse cõsulo: non enim pulchros & pulchras commendo, sed aliud uocabulum non habeo ad exprimendum sermonem Indorum. Porrò licet etiam ex uoce de singulorum ingenio pronunciare. Proinde post superiora signa uocem quoq; mulieris cõsyderato. Nimirum enim suauior est uox canora, tum mane, tum à prandio. Debet autem magis ad lenitatem contrahi: asperum uero neq; clamorem neq; sermonem ædat. Nam huiusmodi signa magis uiriles mulieres indicant.

Quamobrem oportet uxorem ducturos nõ respicere nobilitatem generis, neq; dotis magnitudinem, neq; corporum formositatẽ. Non enim opes, aut forma, aut nobilitas magis possunt uel societatem uel concordiam promouere: neq; ad meliorem liberorum procreationem quicquam faciunt. Verum corpora quidem nuptijs sat idonea sunt, quæ sana fuerint, formę mediocris, & ad laborẽ ualida, huiusmodi quoq; minus exposita sunt lasciuorum hominum insidijs, & corporis labores fortius subeunt, & liberos sufficienter procreant. Ingenia uero habenda sunt optima, quæ ad temperãtiam, iustitiam, omnem deniq; uirtutem habilissima sunt. Nam quę nuptiæ quæso citra concordiã honestæ sunt? aut quę societas utilis? Quomodo autem concordes inter se fuerint homines improbi? Vel quo pacto bonus cum malo consentiet? Nihilo certè magis, quàm ligno recto cum incuruo, aut duobus curuis inter se conueniet. Nam curuum & simili suo adaptari non potest, & cõtrario, nempe recto, longè minus. Itaq; malus etiam malo, nec amicus esse neq; consentire potest, & multò minus homini bono. *Musonij.*

Nuptias frugales, & æquales opibus celebrato. *Chilonis.*

Cleobulus dixit, filias uiris elocãdas esse ætate uirgines, sed prudẽtia matronas.

Pericles Atheniensium imperator, duobus filiam eius ambigentibus, quorum alter diues ac imperitus erat, alter uero pauper & studiosus: elocauit eam pauperi, inquiens illum qui diues fieri possit, meliorem esse quàm qui iam sit.

Democritus dixit, quod ille qui bonum generum nactus sit, inuenerit filium: qui uero malum, simul & filiam perdiderit.

QVOD IN NVPTIIS VTRIVSQVE AETAS CONSYDERANDA SIT.

SERMO LXIX.

INcommoda est uxor iuuenis uiro seni. *Theognidis.*
Non enim gubernaculo instar nauis regi potest,
Nec anchoris detineri, sed abruptis funibus
Sæpius de nocte alium portum habet.

Malum est iuuenem uxorem uiro iuueni coniungere. *Euripidis.*
Diuturnior enim est marium uigor.
Fœmineum uero corpus citius pubertate destituitur.

Si nobis amicus es, lectum iuuenilem sequere. *Sapphus.*
Ego enim iam natu grandis non sustinebo tibi conuersari. *Euripidis.*

*Ego enim coniugem habeo, qua cum honestè uiuere **Græca nõ sunt integra.*

δίκαιόν ἐστιν, οἷσι συγκράσομαι.

Ἡσιόδου.

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά, γάμος δέ τοι ὥριος οὗτος.
ἡ δὲ γυνὴ τέτορ' ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.

Εὐριπίδου.

Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις,
μὴ πρὸς τὸ γῆρας εἰς γάμους ποιουμένους,
σχολῇ τεκνοῦσθαι παῖδας. οὐ γὰρ ἡδονή,
γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ.

ΟΤΙ ΕΝ ΤΟΙΣ ΓΑΜΟΙΣ, ΟΥ ΤΗΝ ΕΥΓΕΝΕΙΑΝ, ΟΥΔΕ ΤΟΝ ΠΛΟΥΤΟΝ ΧΡΗ ΣΚΟΠΕΙΝ, ΑΛΛΑ ΤΟΝ ΤΡΟΠΟΝ.

ΛΟΓΟΣ ό.

Διοδώρου. lego ποιεῖν.

ΕΓΩ μὲν οὖν τὸν νόμον ἐμαυτῷ * τοῦτον
τίθημαι δοκιμάζων, ὥσπερ εἴρηται ποεῖν.
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον, ἢ κακῶς μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

Μενάνδρου.

Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει
ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνούμεθα.
οὐκ ἐξετάζειν μὲν τὰ μηδὲν χρήσιμα,
τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τίτθη δὲ τίς,
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς
βιώσεται, μήτ' ἐξετάσαι μήτ' ἰδεῖν·
ἀλλ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖκ', ἵνα
ἔτ' ἀργύρειον καλόν ἐστι δοκιμαστὴς ἴδῃ,
ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται.
τῆς διὰ βίου δ' ἔνδον καθεδουμένης ἀεὶ
μὴ δοκιμάσασθαι μηδέν, ἀλλ' εἰκῇ λαβεῖν
ἀγνώμον', ὀργίλην, χαλεπήν, ἐὰν τύχῃ,
λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα
τὴν πόλιν ὅλην. οἱ βουλόμενοι ταύτην λαβεῖν,
λαλεῖτε. προσκοπεῖσθε, πηλίκον κακὸν
λήψεσθ'. ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν,
ἀλλ' εὐτυχὴς ἔσθ' ὁ μετριώτατον λαβών.

Εὐριπίδου.

Εἰ χρὴ γαμεῖν δεῖ τ', ἔκ τε γενναίων γαμεῖν,
δοῦναί τ' ἐσθλοῖς, ὅστις εὖ βουλεύεται.
κακῶν δὲ λέκτρων, μὴ 'πιθυμίαν ἔχειν,
μηδ' εἰ ζαχρύσους οἴσεται * φερνὰς δόμοις. (lego φερνάς.)

Γαμεῖτε νῦν, γαμεῖτε, κᾆτα θνήσκετε
ἢ φαρμάκοισιν ἐκ γυναικός, ἢ δόλοις.
ὅστις δὲ πλοῦτον, ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηράν, μωρός ἐστι. μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρον' * εἰ δόμοις ἔχειν. (lego ἔχειν.)

Ἱππώνακτος.

Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,

τρόπον

Iustum est ad senectutem usque.

Aetate matura uxorem domum ducito. *Hesiodi.*

Neque multo minor natu triginta annis:

Neque multo maior. Istæ enim tempestiuæ sunt nuptiæ.

Virgo autem pubescens anno decimoquarto, nubat decimo quinto.

Et nunc iuuenes adhortor omnes, *Euripidis.*

Ne in senectute nuptias celebrent,

Sed paulatim in iuuentute liberos procreent. Nihil enim uoluptatis habet,

Et res est inimica mulieri uir senex.

IN CONTRAHENDIS NVPTIIS NON OPORTERE NOBILITATEM NEQVE DIVITIAS SPECTARE, SED MORES, SER. LXX.

EGo mihi hanc legem *Diodori.*

Sancio, & approbo iuxta hanc sententiam facere.

Melius enim est bene educatam ducere

Vxorem sine dote, quàm cum pecunijs malè,

Præsertim cum uitæ particeps futura sit.

Hoc sanè modo uxores nos ducere oporteret *Menandri.*

Omnes, ô Iupiter seruator, ut fructum inde perciperemus.

Non quidem res inutiles inquirere,

Quisnam eius, quam ducit, auus, aut quæ fuerit auia.

Ipsius autem sponsæ futuræ mores,

Qua cum uicturus est non examinare, neque inspicere,

Sed ad mensam proferre dotem, ut

Bonúmne sit argentum trapezita uideat,

Quod non per quinque menses domi mansurum est.

Eam uero quæ per omnem uitam intus perpetuò sedebit

Nullo modo consyderare, sed temere sibi ducere

Ingratam, iracundam, molestam, si ita contigerit,

Et loquacem. Filiam meam circumducam

Per totam ciuitatem. Vos qui ipsam ducere uultis,

Dicite, præmeditantes quantum malum

Accepturi sitis. Necessum enim est mulierem esse malam.

Fortunatus autem ille qui minimum malorum sumpserit.

Quod si ducenda uxor est, ex claro genere ducat *Euripidis.*

*Et bono, quisquis sibi consultum uolet, *Verba Græca hic uidentur corrupta.*

Malum uero coniugium non appetat,

Neque si dotes aureas secum adferret uxor.

Nunc uxores ducite, ducite inquam, & mortem obite

Aut ueneno ex mulieribus, aut fraude.

Quicunque uero diuitiarum aut nobilitatis respectu

Malam duxerit, stolidus est: parua enim mala

Prudentem potius quàm magna domi habere oportet.

Nuptiæ optimæ sunt uiro prudenti, *Hipponactis.*

τρόπον γυναικὸς χρυσὸν ἔνδον λαμβάνειν.
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη.
ego νικῶσαν γυναῖκ'. ὅς τις δὲ * τρυφερὸς τὴν γυναῖκ' ἄγει λαβὼν,
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει,
δύναιτ' ἂν βεβαίαν εἰς ἅπαντα τὸν βίον.

Εὐριπίδου. Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους,
γυνὴ κατήσχυν' ἐν δόμοισι νηπία.
Εἰ νοῦς ἔνεστιν. εἰ δὲ μή, τί δεῖ καλῆς
γυναικὸς, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;

Ἀντιφάνους. Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως, γυναικὸς προῖκα πολλὴν φερούσης.

Εὐριπίδου. Φίλτρον δὲ καὶ τόδ', οὐ τὸ κάλλος ὦ γύναι,
ἀλλ' αἱ ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.

Μενάνδρου. Ὅστις γυναῖκ' ἐπίκληρον ἐπιθυμεῖ λαβεῖν
πλουτοῦσαν, ἤτοι μῆνιν ἐκτίνει θεῶν,
ἢ βούλετ' ἀτυχεῖν μακάριος καλούμενος.

Εὐριπίδου. Κύδιον βροτοῖς πέφυκε χρυσόν, ἢ κακὸν καὶ πλούσιον
γαμβρὸν πεπᾶσθαι καὶ φίλον. σὺ δ' οὐδὲν εἶ.

Πλουτάρχου. Ὥσπερ ἐσόπτρου κατεσκευασμένου χρυσῷ καὶ λίθοις ὄφελος οὐδέν ἐστιν, εἰ μὴ δείκνυσι τὴν μορφὴν ὁμοίαν· οὕτως οὐδὲ πλουσίας γαμετῆς ὄνησις, εἰ μὴ παρέχει τὸν βίον ὅμοιον τῷ ἀνδρὶ καὶ σύμφωνον τὸ ἦθος.

ΨΟΓΟΣ ΓΥΝΑΙΚΩΝ, ΕΤΙ ΚΑΙ ΠΕΡΙ ΓΑΜΟΥ, ΛΟΓΟΣ οά.

Εὐριπίδου. ΔΕΙΝΗ μὲν ἀλκὴ κυμάτων θαλασσίων,
malim δειναὶ δὲ ποταμοί. * δειναὶ δὲ ποταμοῦ, καὶ πυρὸς θερμαὶ πνοαί.
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία.
ἀλλ' οὐδὲν οὕτω δεινόν, ὡς γυνὴ κακόν.
οὐδ', ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ,
al. λέξαι. οὐδ' ἂν λόγος * δείξειεν. εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴστω, καὶ βροτοῖσι δυσμενής.
al. Ὄλοιντο. * Ὄλλυσθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
γυναῖκας, οὐδ' εἰ φησί τις μ' ἀεὶ λέγειν.
al. νῦν γὰρ. ἀεὶ γὰρ * οὕτως εἰσὶ κἀκεῖναι κακαί.
ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.
Ἄλλων δὲ πάντων δυσμαχώτατον γυνή.
Ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν.
Γυνὴ γάρ ἐστι τ' ἄλλα μὲν φόβου πλέα,
κακή δ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
Ὅς τις γυναῖκας τῶν πρὶν εἴρηκε κακῶς,
ἢ νῦν λέγει τις, ἢ πάλιν μέλλει λέγειν,
ἅπαντα ταῦτα συντιθεὶς ἐγὼ φράσω.
γένος γὰρ οὔτε πόντος, οὔτε γῆ τρέφει

πλόνδ'

Qui mulierem bonis moribus præditam domi accipit.
Hæc enim dos sola domum conseruat.
Quicunque uero uxorem huiusmodi duxerit,
Hic pro domina laboris sociam habet
Beneuolam & constantem per omnem uitam.
Multos autem diuitijs & genere gloriantes *Euripidis.*
Stulta domi mulier infames fecit.
Si mentem habeat, bene est: sin minus, quid opus est formosa
Vxore, nisi probo fuerit ingenio prædita?
Haud ullum est onus grauius *Antiphanis.*
Reuera, quàm uxor dotem ferens copiosam.
Hæc etiam illecebra est. Non forma ô mulier, *Euripidis.*
Sed uirtutibus oblectantur mariti.
Quisquis uxorem ex asse hæredem ducere cupit *Menandri.*
Diuitem, is uel pœnam iratis luit dijs,
Vel infœlix esse uult sub nomine fortunati.
Honestius est hominibus pauperem bonum, quàm malum & diuitem *Euripidis in Andromache.*
Generum habere & amicum: tu uero nihil es.

Quemadmodum speculi ex auro gemmisque constructi nulla fuerit utilitas, nisi formam similem repræsentet: ita neque diuitis uxoris fructus ullus est, nisi uitam exhibeat marito similem, & ingenium concors. *Plutarchi.*

VITVPERATIO MVLIERVM, ET AMPLIVS DE NVPTIIS, SER. LXXI.

Dira quidem uis est marinorum fluctuum: *Euripidis.*
Et uehemens fluuij, feruentis & impetus ignis
Est dira paupertas, & alia innumera.
Sed nullum immanius est malum muliere,
Neque huiusmodi malum aut scribi posset,
Aut uerbis exprimi. Quod si deûm aliquis
Mulierem formauit, opificem se malorum esse
Sciat maximum, & hominibus inimicum.
Dispereatis. Nunquam equidem saturitas me capiet odij *Eiusdem in Hippolyto.*
In mulieres, etiamsi quis dicat eadem semper à me repeti:
Nam & illæ semper similiter malæ sunt.
Aut igitur aliquis eas resipiscere doceat,
Aut me quoque sinat eis insultare semper.
Inter omnes alias res maximè inexpugnabilis est mulier.
Hostibus eueniat inimicas habere uxores.
Mulier enim in cæteris quidem meticulosa est, *Eiusdem in Medea.*
Viribus imbellis, ad ferri faciem timida:
Cum autem offensa fuerit in re matrimonij,
Non est alia mens crudelior muliebri.
Si quis mulieribus ex antiquis malè dixit,
Aut nunc id facit, aut facturus est olim:
Illorum ego omnium maledicta breuiter comprehendam.
Nam neque pontus, neque terra genus alit

παιόνθ', ὃ δ' ἀεὶ συντυχὼν, ἐπίσταται.
Πλὴν τῆς τεκούσης, θῆλυ πᾶν μισῶ γένος.
Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων,
οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.
Γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.
Γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς,
δύστηνος ἆρα, κοὐ σοφὸς κεκλήσεται.
Πέφυκε γάρ πως πᾶσι πολέμιον γυνὴ
τοῖς πρόσθεν, ἢ ζυγεῖσα δευτέρῳ πόσει.
Πολλὰς ἂν εὕροις μηχανάς. γυνὴ γὰρ εἶ.
Δειλῶν γυναικῶν δ' ἀπὸ τῶν θρασύστομοι.
Γυναικὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.
al. τοιοῦτ' ἔφυ. Ἐπίφθονόν τι χρῆμα * θηλείας φρενός,
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.
Πέποιθα. δεινὸν δ' ἑρπετῶν ἐστ' ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα.
ἀλλ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδ' εἷς γυναικὸς φάρμακ' ἐξεύρηκέ που
κακῆς. τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν.
Ὦ παγκακίστη, καὶ γυνή. τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν;
Ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
al. ὑπέρτεροι. μέλλουσι. λόγχῃ δ' ἄνδρες * εὐσχέστεροι.
εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.
Συμμαρτυρῶ σοι. πανταχοῦ λελείμμεθα
πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.
Ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐβλαστοῦμεν
γυναῖκες πολὺ δυσμαχώτερον.
Φεῦ. ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος,
πέφυκεν ἀνδρῶν. ἔν τε τοῖσι γὰρ καλοῖς
πολλῷ λέλειπται, κἀπὶ τοῖς αἰσχροῖς πλέον.
Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες,
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.
Πάντων δ' ὅσ' ἔστ' ἔμψυχα καὶ γνώμην ἔχει,
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι, δεσπότην τε σώματος
al. τοῦτ' ἔτ'. λαβεῖν. κακοῦ γὰρ * τοῦτό γ' ἄλγιον κακόν.
Εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος,
γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί.
ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες,
κεῖνοί τ' ἂν οὐδὲν εἶσιν, οὐδ' ὑμεῖς ἔτι.
Ὦ Ζεῦ. τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,

Huiusmodi: quod nouit qui id semper experitur.
Muliebre genus unum, excepta parente, odi.
Mulier paternam egressa domum,
Non amplius parentum est, sed mariti.
Mulier mulierem defendere solet.
Quisquis mulieri maledicere desinit,
Infœlix profectò, & non sapiens uocabitur.
Fit enim quodammodo mulier inimica
Omnibus qui prius familiares erant, ubi coniuncta est secundo marito.
Multa inuenire poteris machinamenta: mulier enim es.
Timidorum dominorum uxores audaciam habent oris. *Eiusdem in Andromache.*
Mulierem oblectat præsentia mala
Semper in ore & lingua habere.
Muliebris mens inuidiosa res est, *Eiusdem in Andromache.*
Et maximè infensa maritis semper.
Credo. Miserum autem est reptilium ferarum
Remedia hominibus deorum quempiam constituisse:
Quod uero grauius est malum quàm uipera & ignis,
Mulieris nullus dum inuenit pharmaca
Malæ. Tanta sumus calamitas hominibus.
O pessima, & mulier. Quid enim aliud dicens
Quàm hoc, maiori quis opprobrio te afficeret?
Sic enim dici solet, mulieribus artes
Curæ esse: uiros autem plus ualere hasta.
Nam si dolis acquirere uictoriam liceret,
Nos sanè uiris imperaremus.
Tecum sentio. Vbiq; sumus inferiores
Semper si destituamur uiris omnes mulieres.
Ignis enim loco alium ignem maiorem producimus
Nos mulieres, multò difficiliorem impugnatu.
Papæ, quanto infœlicius mulierum genus est
Quàm uirile. Nam in bonis rebus
Multum inferius est, malis autem superat.
O res mortalium, ô muliebres animi,
Quanta nos ægritudo Venus afficit.
Omnium quæ animata sunt, & mente prædita, *Eiusdem in Medea.*
Mulieres miserrima stirps sumus:
Quas primum oportet magnis opibus
Maritum comparare, & corporis dominum
Accipere, quod omni malo deterius est.
Quod si uiris curæ essent radij textorij,
Mulieres uero delectarentur armis,
Vtriq; sua scientia amissa,
Tum illi, tum nos nihil essemus amplius.
O Iupiter, cur adulterinum malum hominibus *Eiusdem in Hippolyto coronato.*
Mulieres in lucem solis constituisti?
Nam si genus humanum producere uolebas,
Non ex mulieribus gignendum erat ipsum,

ἀλλ' ἀντιθέντας σφίσιν ἐν ναοῖς βροτοὺς,
ἢ χαλκὸν, ἢ σίδηρον, ἢ χρυσοῦ βάρος,
παίδων πρίασθαι σπέρμα τοῦ τιμήματος.
Μισῶ γυναῖκας ἐκ πασῶν δὲ σε πλέον,
ἥτις πονηρὰ τἄργ' ἔχουσα εὖ λέγεις.
Γυναῖκες ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων, τέκτονες σοφώταται.
Αἱ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
al. λυπηρότερον. ἔφυσαν ἀνδρῶν πρὸς τὸ * δυστυχέστερον.
Ὡς οὐδὲν ὑγιές φασι μητρυιὰς φρονεῖν
νόθοισι παισὶν, ὧν φυλάξομαι ψόγον.
al. φιλόψογον δὲ χρῆμα θηλειῶν γένος. * Φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ.
σμικρὰς δ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
πλείους ἐπεσφέρουσιν. ἡδονὴ δέ τις
γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν.
Μενάνδρου. Ἔστι δὲ γυνὴ λέγουσα χρῆσθ' ὑπερβάλλων φόβος.
Ἔργον γυναικὸς ἐκ λόγου πίστιν λαβεῖν.
Ὡς ἔστ' ἄπιστον ἡ γυναικεία φύσις.
Ὁμήρου. Οἶσθα γὰρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίει.
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνειότος, οὐδὲ μεταλλᾷ.
Ἡσιόδου. Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φιλήτῃσιν.
Ἀλέξιδος. Οὐκ ἔστ' ἀναισχυντότερον οὐδὲν θηρίον
γυναικὸς, ἀπ' ἐμαυτοῦ ἐγὼ τεκμαίρομαι.
Μενάνδρου. Καί τοι λογίζομαι ὁ κακοδαίμων προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι, μὴ μόνον
κακόν τι προσλάβοιμι, καὶ καλῶς ἔχει.
οὐκ ἐν γυναικὶ φύεται [illegible] χάρις.
Ἀλέξιδος. Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα,
οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν, ὡς γυνή.
Μενάνδρου. Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
ὅταν περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.
Πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν, ἢ κύνα.
Οὐδέποθ' ἑταίρα τοῦ καλῶς προφέρ[illegible],
ἢ τὸ κακόηθες πρόσοδον εἴωθε ποιεῖν.
Φύσει γυνὴ δυσνίκιόν ἐστι καὶ πικρόν.
Ἡσιόδου. Τῆς γὰρ ὀλώϊόν ἐστι γένος, καὶ φῦλα γυναικῶν,
πῆμα μέγα θνητοῖσι σὺν ἀνδράσι ναιετάουσι,
al. σύμφορα. οὐλομένης πενίης οὐ * σύμφοροι, ἀλλὰ κόροιο.
Ἀντιφάνους. Ἐγὼ γυναικὶ δ' ἓν τι πιστεύω μόνον,
ἐπὰν ἀποθάνῃ, μὴ βιώσεσθαι πάλιν.
τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ', ἕως ἂν ἀποθάνῃ.
Ἡσιόδου. Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος.
Ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος ἀργειφόντης
ψεύδεά θ' αἱμυλίους τε λόγους, καὶ ἐπίκλοπον ἦθος.

Ὦ πῶ

Sed homines oportebat tuis in templis ponentes
Aut æs, aut ferrum, aut auri pondus,
Semen liberorum pretio redimere.
Odi mulieres: te uero præcipuè,
Quæ cum malè egeris, blandè loqueris.
Mulieres in rebus bonis imperitissimæ sumus, *Eiusdem in Medea.*
Malorum uero omnium artifices doctissimæ.
Mulieres semper in calamitatibus impediunt *Eius. in Oreste.*
Viros, ita ut infœliciores fiant.
Nam nihil boni aiunt nouercas cupere
Liberis spurijs, quarum reprehensionem uitabo.
Mulieres natura sunt ad uituperandum pronæ. *Eiusdem in Phœnissis.*
Quod si exiguam dicendi ansam nactæ fuerint,
Plurima adijciunt. Volupe enim est
Mulieribus, nihil sani inuicem loqui.
Vehementer metuenda est mulier, cum benignis uerbis utitur. *Menandri.*
Difficile est ex mulieris sermone aliquid fide dignum accipere.
O quàm infidum est ingenium muliebre.
Nosti enim qualis sit mens in pectore mulieris, *Homeri.*
Illius uult domum augere, qui ipsam duxerit uxorem.
Priorum uero liberorum, & primi mariti
Defuncti non meminit amplius, neque moratur.
Quisquis mulieribus credit, furibus aut impostoribus credit. *Hesiodi.*
Non est impudentius ullum animal *Alexidis.*
Muliere: ex meipsa coniecturam facio.
Atqui cogito miser ego, qui expectabam *Menandri.*
Beneficium ex muliere accepturum me, ne modo
Mali quidpiam patiar, & bene res habebit.
Rarum enim est mulieris beneficium.
Non est uel murus, uel pecuniæ, *Alexidis.*
Vel aliud quicquam custoditu tam difficile, quàm mulier.
Mulieres tum imprimis timendæ sunt, *Menandri.*
Cum blandam orationem fingunt.
Multo deterius est irritare anum, quàm canem.
Meretrix nunquam curauit honestatem,
Quæ ex ingenij malignitate lucrum facit.
Mulier natura effrenis est & amarulenta.
Ex hac enim ortum est exitiale genus, & muliebris sexus, *Hesiodi in Theogonijs*
Qui damnum ingens cum uiris mortalibus habitat,
Non miseræ paupertatis, sed tantum saturitatis comes.
Ego mulieri hoc unum credo, *Antiphoni.*
Quod à morte non reuiuiscat:
In cæteris uero omnibus diffido, donec mortua fuerit.
His ego loco ignis malum dabo, quo omnes *Hesiodi in operibus.*
Animo delectantur suum diligentes malum.
Et animũ impudentem moresque fraudulẽtos inserere Vulcano præcepit.
Imposuit eius pectori nuncius deorum Argicida
Mendacia blandosque sermones, & ingenium subdolum.

Σοφοκλέους. Ὦ παῖ σὺ τολμήσασα, καὶ πρὸς γύναι.
κάκιον ἀλλ' οὐκ ἔστιν, οὐδ' ἔσται ποτὲ
γυναικὸς, ἔτι πῆμα γίνεται βροτοῖς.

Ἀντιφάνους. Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
ὅτ' οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.

Φιλίσκου. Εἰς τὸ μεταπεῖσαι ῥᾳδίως, ἃ βούλεται
πιθανὸς ἔχειν εἴωθεν ἡ κλίνη λόγους.

Μενάνδρου. Ὅπου γυναῖκές εἰσι, πάντ' ἐκεῖ κακά.
Οὐ πάνυ εἴωθ' ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή.

Φωκυλίδου. Καὶ τόδε φωκυλίδεω. τέτορων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων, ἡ μὲν κυνὸς· ἡ δὲ, μελίσσης·
ἡ δὲ, συὸς βλοσυρῆς· ἡ δ', ἵππου χαιτηέσσης,
εὔφορος, ὠκὲ ταχεῖα περίδρομος, εἶδος ἀρίστη.
ἡ δὲ, συὸς βλοσυρῆς, οὔτ' ἂρ κακὴ, οὐδὲ μὲν ἐσθλή.
ἡ δὲ κυνὸς, χαλεπή τε, καὶ ἄγριος. ἡ δὲ μελίσσης,
οἰκονόμος τ' ἀγαθὴ, καὶ ἐπίσταται ἐργάζεσθαι,
ἧς εὔχου φίλ' ἑταῖρε λαχεῖν γάμου ἱμερόεντος.

Σιμωνίδου. Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον,
τὰ πρῶτα, τὴν μὲν, ἐξ ὑὸς τανύτριχος.
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί.
αὐτὴ δ' ἄλουτος, ἄπλυτές τ' ἐν εἵμασιν,
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἴδριν, οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν, γὰρ αὐτῶν εἶπε πολλάκις κακὸν,
τὸ δ' ἐσθλόν. ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ κυνὸς λιτοεργὸν αὐτομήτορα,
ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντῃ δὲ παπταίνουσα, καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδὲν ἀνθρώπων ὁρᾷ.
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνὴρ,
οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ' ἂν μειλίχως μυθεύμενος,
οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχῃ.
ἀλλ' ἐμπέδως ἄπρηκτον αὔονὴν ἔχει.
Τὴν δὲ πλάσαντες γηΐνην ὀλύμπιοι,
ἔδωκαν ἀνδρὶ πονηρόν. οὔτε γὰρ κακὸν,
οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή.
ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται.
χ' ὅταν κακὸν χειμῶνα ποιήσῃ θεὸς,
ῥιγῶσα δίφρον ἄσσον ἕλκεται πυρός.
Τὴν δ' ἐκ θαλάσσης ἣ δύ' ἐν φρεσὶν νοεῖ.
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει μὲν ξεῖνος ἐν δόμοις ἰδών,
οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνὴ

O mulier omne facinus ausa, & plus quàm omne. *Sophoclis.*
Verum nihil est peius, nec erit unquam
Muliere, inter hominum calamitates.
Homo ualde lippiens, dum mala *Antiphanis.*
Plurima patitur, unum hoc boni habet,
Quod interea mulierem non uidet.
Ad quælibet facile persuadendum negocia *Philisci.*
Probabiles habere solet coniugium sermones.
Vbi mulieres, ibi omnia mala sunt. *Menandri.*
Non admodum solet quicquam ueri dicere mulier.
Hæc Phocylidis est sententia. Ex quatuor hisce animalibus natum est *Phocylidis.*
Genus mulierum, cane, apicula,
Torua sue, aut equo iubato.
Ex equo nata agilis est, uelox, discurrens, pulchritudine præstans.
Ex torua autem sue, neq; mala, neq; bona est.
Ex cane uero, molesta & fera est. Ex apicula autem,
Bene regit rem familiarem, & nouit operari,
Cuius amabiles nuptiæ, chare sodalis, optandæ tibi sunt.
Mulieris mentem seorsim fecit Deus, *Simonidis.*
Primum aliquam ex sue setosa produxit,
Cui omnia domi luto inquinata
Inornataq; iacent, & humi deuoluuntur.
Ipsa illota cum uestibus immundis
In stercore sedens pinguescit.
Aliam uero Deus fecit ex maligna uulpe
Mulierem omniscium, neq; ipsam mali
Neq; boni quicquam latet.
Nunc autem bona est sæpenumero,
Nunc mala rursus, aliâs aliis prædita moribus.
Aliam ex cane, *maledicam, parenti suæ persimilem, *αὐτομήτορα, [illegible]*
Quæ omnia audere, & omnia scire uult:
Vndequaq; autem circumspiciens, & oberrans
Latrat, etsi neminem uiderit.
Ipsam uero compescere neq; minis uir potest,
Nec si iratus excusserit ei saxo
Dentes, neq; si benigniter alloquatur,
Etiamsi iuxta hospites consederit.
Sed pertinaciter inutilem clamorem exercet.
Aliam ex tellure formatam cœlicolæ
Marito dederunt in damnum. Nam neq; mali
Neq; boni quidpiam callet huiusmodi mulier.
Sed comedere solum nouit, haud aliud opus.
Et cum duram hyemem deus fecerit,
Ipsa frigens ad ignem propius sellam attrahit.
Mulierem aut ex mari genitam nunc mihi consydera.
Interdum ridet, & hilarem se præbet:
Ita ut hospes eam domi uidens laudaret, inquiens:
Haud est mulier ulla melior, quàm ista

ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων.
τὴν δ' οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ' ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον, ὥσπερ ἀμφὶ τέκνοισιν κύων.
ἀμείλιχος δὲ πᾶσι, κἀποθυμία,
ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἕστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη.
ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνὴ
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
Τὴν δ' ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ' ἀνάγκῃ, σύν τ' ἐνιπῇσιν μόγις
malim ὦν. ἔρξεν * ὧν ἅπαντα, καὶ πονήσατο
ἀρεστά. τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
προνὺξ προῆμαρ. ἐσθίει δ' ἐπ' ἐσχάρῃ.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον,
ἐλθόνθ' ἑταῖρον ὁντινοῦν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς δύστηνον οἰζυρὸν γένος.
κείνῃ γὰρ οὔτι καλὸν, οὐδ' ἐπίμερον
πρόσεστιν, οὐδὲ τερπνὸν, οὐδ' ἐράσμιον.
al. ἀληνώς. εὐνῆς δ' * ἀληνῆς ἐστὶν ἀφροδισίης.
τὸν δ' ἄνδρα τὸν παρόντα, ναυσίῃ διδοῖ.
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά.
ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.
al. ἀβρηχαιτέεις. Τὴν δ' ἵππος * ἀκρηχαιτέεις ἐγείνατο,
ἣ δοῦλ' ἔργα καὶ δύην περιτρέπει,
κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι.
lego ἴπνον. οὔτε πρὸς * ἵππον ἀσβόλην ἀλευμένη
ἵζοιτ', ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπον
δὶς, ἄλλοτε τρὶς, καὶ μύροις ἀλείφεται.
ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ,
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν οὖν θέαμα τοιαύτη γυνὴ,
ἄλλοισι. τῷ δ' ἔχοντι γίνεται κακὸν,
ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
Τὴν δ' ἐκ πιθήκου, τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσι μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα τοιαύτη γυνὴ
εἶσιν δ' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
ἐπ' αὐχένα βραχεῖα κινεῖται μόγις.
malim ὢ τάλας. ἄπυγος, αὐτόκωλος. * αὐτάλας ἀνὴρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,

ὥσπερ

Inter omnes homines, neque elegantior.
Interdum contra intolerabilis est tum uisu,
Tum accessu. Tunc enim furit
Adeò ut appropinquare nemo sustineat, ueluti canis circa suos catulos.
Omnibus est implacida, infensaque,
Ac similis in amicos & hostes.
Quemadmodum mare aliquando tranquillum
Et innoxium stat, ingens gaudium nautis
Aestiuo tempore: aliquando autem furibundum
Grauisonis procellis agitatur.
Huic maximè similis est huiusmodi mulier
Ingenio. Variam enim naturam pontus habet.
Aliam ex cinere & dossuario asino constituit:
Quæ uix necessitate minisque adacta,
Tandem omnia facit & operatur
Quæ uiro placent. Interim autem furtim aliquid deuorat
Noctu & interdiu: quinetiam in foco comedit.
Ad opus autem Venereum
Quemuis aduenientem suscipit socium.
Aliam ex mustela creauit, miserum & triste genus.
Huic enim nihil pulchrum, desyderandum,
Iucundum, aut amabile prorsus inest:
Sed aliena est à Venereo complexu,
Et præsentem maritum fastidio habet,
Et furando multum damni uicinis infert.
Quin & hostias sæpe nondum immolatas deuorat.
Aliam equus ceruice iubatus genuit,
Quæ seruilia opera & laborem abhorret,
Neque molam attingeret, neque cribrum
Leuaret, neque stercus foras proijceret,
Neque iuxta furnum, ad euitandam fuliginem,
Sederet. Necessario autem uirum amat.
Abluit autem sordes quotidie
Bis aut ter, & unguentis ungitur:
Et comas perpetuo pexas gerit,
Densas, & floribus obumbratas,
Talis sanè mulier pulchrum est spectaculum
Alijs: habenti uero damnosa,
Nisi rex fuerit, aut princeps aliquis,
Quem eiusmodi res oblectent.
Natam autem de simia præcipue omnium
Iupiter uiris maximum malum contulit.
Talis mulier faciem turpissimam habens
Per urbem ingreditur, nulli non irrisa.
Ad ceruicem uix potest flecti ob breuitatem,
Nates exiles habet. *O miserum uirum *In Græco additur, δύστηνος.
Qui malum huiusmodi amplectitur.
Nouit enim omne genus consiliorum, & mores,

ὥσπερ πίθηκος, οὐδ' οἱ γέλως μέλει.
οὐδ' ἄν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τι χ' ὡς μέγιστον ἔρξειεν κακόν.
Τὴν δ' ἐκ μελίσσης, τήν τις εὐτυχεῖ λαβών.
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει.
θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος,
φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος.
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι. θεία δ' ἀμφιδέδρομεν χάρις,
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη,
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσι χαρίζεται
Ζεὺς τὰς ἀρίστας, καὶ πολυφραδεστάτας.
τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ Διὸς,
ἔστι τε πάντα, καὶ παρ' ἀνδράσι μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησε κακόν,
γυναῖκας: ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντι τῷ μάλιστα γίνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅς τις σὺν γυναικὶ πέλεται.
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται,
ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεῶν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον, ἢ θεοῦ μοῖραν, ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίαν
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη,
κεχηνότος γὰρ ἀνδρός. οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται.
ἴσην δ' ἔχοντες μοῖραν οὐ γινώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησε κακόν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδης.
ἐξ οὗ τε, τοὺς μὲν ἀΐδης ἐδέξατο,
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

Δημοκρίτ. Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

Γαΐῳ ὑπὲρ λυκίλλης. Εὐάγωγον γάρ ἐστιν εἰς πίστιν γυνή, καὶ μάλιστα ὅταν τὸ ἀτυχεῖν προσῇ.

ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ, ΛΟΓΟΣ οβ.

Ἀναξανδρίδου. ΧΑλεπὰ λέγω σοι, καὶ προσάντης, ὦ τέκνον,
ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε
παρ' ἀνδρός, ἥτις ἐστὶ κοσμία γυνή.
ὁ γὰρ δίαυλός ἐστιν αἰσχύνην ἔχων.

Instar simiæ, neq; ridere solet.
Neminem beneficijs demeretur: sed illud spectat,
Et quotidie consultat secum,
Vt malum aliquod facinus, idq; maximum, ædat.
Cæterum ex apicula natam qui duxerit fœlix est,
Vt quæ sola nihil reprehensione dignum habeat.
Floret autem eius opera & augetur res familiaris,
Amansq; cum amato senescit marito,
Enixa pulchram & celebrem progeniem.
Hæc excellit inter mulieres
Cunctas, & diuina quædam gratia circumdat eam.
Non gaudet cum mulieribus considere,
Vbi Venereos narrant sermones.
Eiusmodi uxores uiris largitur
Iupiter optimas, & prudentissimas.
Sed etiam reliqua genera consilio Iouis
Omnia existunt, & apud uiros manent.
Iupiter enim malorum maximum creauit
Mulieres, etsi forte prodesse uideantur:
Habenti uero maximè sentitur malum.
Nunquam enim hilaris diem transigit
Totum, quisquis cum uxore degit.
Nec cito famem à familia arcebit,
Inimicam contubernalem, hostem deorum.
Imò quando uir sibi maximè lætari uidetur
In domo, siue diuinitus, siue alicuius hominis gratia,
Tum uero mulier inuento quod culpet ad pugnam armatur.
Vbi enim mulier est, ne hospes quidem
Ad domum ueniens beneuolè suscipitur.
Porrò quæ maximè bona esse uidetur,
Ea plurimum obesse solet
Hianti & stupido marito. Vicini autem
Etiam illum uidere gaudent aberrantem.
Nam unusquisq; suam collaudat memor
Vxorem, alterius uero reprehendit.
Nec agnoscimus æqualem nobis obtigisse sortem.
Iupiter enim hoc ipsum fecit maximum malum,
Et uinculo constrinxit indissolubili.
Quamobrem aliqui mortem obierunt
Pro uxore pugnantes.

Mulier multò quàm uir promptior est ad astutias & malignitatem. Democriti.

Mulier ad credendum facilis est, præsertim in calamitatibus. Gaij pro Lucillo

NVPTIALIA PRAECEPTA, SER. LXXII.

Difficile tibi dico, & arduum ô filia Anaxandridæ.
Iter est, ad patrem abire domum
A marito, cuius honestæ mulieri.
Reciproca enim ista uia infamis est.

Εὐριπίδ᾽ς. Οὐ γάρ ποτ᾽ ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
δοῦναι χαλινοὺς, οὐδ᾽ ἀφέντ᾽ ἐᾶν κρατεῖν.
πιστὸν γὰρ οὐδὲν ἐστίν. εἰ δέ τις κυρεῖ
γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.

Ἀντιφάνης. Μὴ * ὄμμασιν τὸ σῶμα λαμπρύνων θέλε,
forte χρώμασιν. ἔργοις δὲ καθαροῖς, καὶ τρόποις τὴν καρδίαν.

Εὐριπίδ᾽ς. Ἀλλ᾽ οὔποτ᾽, οὔποτ᾽, οὐ γὰρ ἅπαξ ἐρῶ,
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἐστὶ γυνὴ,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον εἰσφοιτᾶν ἐᾶν
γυναῖκας. αὗται γὰρ διδάσκαλοι κακῶν.
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος.
ἡ δ᾽ ἀμπλακοῦσα, συννοσεῖν αὐτῇ θέλει.
πολλαὶ δὲ μαργότητι. κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ᾽ εὖ φυλάσσετε
κλῄθροισι καὶ μοχλοῖσι δωμάτων πύλας.
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

Τί σπεῦδε τήνδε. καὶ γὰρ ἐνταυθοῖ νοσεῖ
τὰ τῶν γυναικῶν. αἱ μὲν ἢ παίδων πέρι,
ἢ συγγενείας οὕνεκ᾽ οὐκ ἀπώλεσαν
lego ἃ. κακὴν λαβόντες. εἶτα δ᾽, * οὐ τότ᾽ ἔδοξεν,
πολλοῖς ὑπερρύηκε, καὶ χωρεῖ πρόσω,
ὥς ἐξίτηλος ἡ ἀρετὴ καθίσταται.

Ναυμαχίο. Ἔστω σοι πόσις οὗτος, ὃν ἂν κρίνωσι τοκῆες,
κἂν μὲν ἴῃ πινυτὸς, σὺ μακαρτάτη. εἰ δέ κεν ἄλλως
ἀνδρὶ μοιρήσαιο, φέρειν καὶ τοῦτον ἀνάγκη.
ἀλλ᾽ ἢν μέν τις σοι ἐπιπνύμενος ἤπιον εἴπῃ,
πείθεο. μὴ δ᾽ ἔστω βίος ἄνδιχα. γίνεο δ᾽ αὐτῷ
μειλιχίη μᾶλλον, ὅταν τι ἑ κῆδος ἱκάνῃ.
ἀνδρὶ γὰρ ἀχαλέοντι παραίφασις ἐστὶν ἄκοιτις.
λεῖπε δὲ οἱ τὰ θύραζε, τὰ καὶ δυνάται ποιεῖσθαι.
σοὶ δ᾽ οἰκωφελίη μελέτω, μέγα ὄν τι φυλάσσειν.
μηδ᾽ ἐμὶν ἐξερέεινε, τὰ μὴ θέμις ἐστὶ γυναῖκας
ἴδμεναι. εἰ δ᾽ αὐτὸς ἐθέλει συμφράδμονα θέσθαι,
σιώπα μὲν τάχα μύθω, ἀμείβεο δ᾽ ὀψὲ σὺν αὐτῷ
φραζομένη, καὶ μηδὲν ἐπίσχεο, μηδὲ κελεύειν,
σὸν ῥέξειν ἰότητι, τὸ γὰρ τέλος ἐστὶν ἀφαυρόν.
lego κουρίδιο σοι * κουρίδιος πινυτὴ πόσις ἄρκιος, οὐδέ τ᾽ ἐκείνῳ
δεύτερος ἀθρήσει λεχέων ἀκηγυμενωθεῖσαν.
al. ἀνέχευ. πρῶτα μὲν ἀφραίνοντος * ἀνέχεο, καὶ γὰρ ἀνάγκη.
πολλάκι καὶ νοῦσον ἀνέχεο κηδομένη περ.
ἴσχεο δ᾽ ἐν στέρνοις τὰ σὰ κήδεα, μηδ᾽ ἀγόρευε
πᾶσιν ὅσα πρήσσει, μηδ᾽ ἐνέπε πάντα τοκεῦσι.
μούνη δ᾽ ἀφραδέοντα πινύσσεο μὲν, ἀλλὰ κατ᾽ αἶσαν.
καὶ πινυτὸν δεδάηκ᾽ ἐρεθιζέμεν ἄνδρα λάβῃ.
πολλάκι δ᾽ ἤπιος ἄνδρα καὶ ἄφρονα μῦθος ἔθελξεν.
εἰ δ᾽ ὀλοοῖς ἑτάροισιν ἐφεσπόμενος κακὸς εἴη,
μὴ σὺ μὲν ἀντιβίην κείνῳ τέκος εἰς ἓν ἔλθῃς.

ἐκ᾽

Nunquam oportet uirum sapientem mulieri *Euripidis.*
Remittere frenum, neq; sinere ut liberè imperet.
Nihil enim fide dignum habet. Si quis uero consequitur
Bonam uxorem, fortunatus est accepto malo.
Ne coloribus ornare corpus uelis: *Antiphanis.*
Sed potius animum factis & moribus syncerís.
Sed nunquam, nunquam (non enim semel tantum dicam) *Euripdis in Andromache.*
Mentem habentes permittere oportet, quibus uxor est,
Vt domum ad ipsam ingrediantur aliæ
Mulieres: docent enim res malas.
Alia quæstus gratia matrimonium corrumpit:
Alia cum peccauerit, multas morbi sui uellet habere socias.
Multæ autem ex stultitia. Hinc est quod domus
Virorum malè habeant. Aduersus hæc igitur bene munite
Seris & pessulis ædium fores.
Nihil enim bonum aut sanum introitus externi
Mulierum efficiunt, sed uaria & mala.
Quin istam punite. Hac enim parte laborant *Antiphanis.*
Res mulierum. Aliqui propter liberos,
Alij cognatorum gratia non perdiderunt
In crimine deprehensam uxorem. Ita ubi iniustitia
Multis impune abit, & succedit,
Planè uirtus ipsa euanescit.
Hic tibi sit maritus, quemcunq; parentes decreuerint. *Naumachij.*
Et si fuerit prudens, fœlicissima es: sin aliter
Virum sortita fueris, istum quoq; ferre necesse est.
Quod si quis prudens aliquid tibi dixerit,
Obedias: nec ab ipso dissentias. Esto autem ei
Magis blanda, cum aliqua cura afficitur.
Viro enim indignanti consilium & solatium est coniunx.
Externa negocia, quæ conficere potest, ipsi relinques.
Tibi uero cura rei familiaris sit, & custodia domus.
Nec ipsum interroges de rebus, quas nefas est mulieres
Nosse. Si tamen uelit te in consilium adhibere,
Statim quidem eius sermoni ausculta, serò autem responde cum ipso
Deliberans. Et nihil promitte, nec adhortare,
Tanquam æqualiter cum ipso rem gestura: exitus enim uanus est.
Prudenti mulieri, quæ uirgo nupsit, sat est maritus: neq; ipsam
Videbit alter lecto nudatam.
Principio stultè agentem tolera: est enim necessarium.
Sæpius & morbum sustine quantumuis anxia:
Cælatoq; in pectore tuas curas, neq; dicas
Omnibus quæ facit, nec omnia parentibus indices.
Sed sola desipientem instituas, idq; leniter ut decet.
Nam contumelia prudentem quoq; uirum irritare potest.
Sæpius autem oratio lenis etiam insipientem uirum demulcet.
At si malis socijs coniunctus, malus euadat,
Ne aduersus ipsum ô filia contendas,

ἀλλ' ἑτάρους ὄτρυνε μετὰ σφίσι νείκεα βάλλειν.
ῥηΐδιον δ' ὀλοὸς ἦε διακρῖναι φιλότητα
λευγαλέην, ἑτάροις δὲ φίλον ἀγαθοῖσι γενέσθαι,
malim καὶ πινυτῷ. * σῷ πινυτῷ. τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο;
καὶ σὺ μὲν ὡς φίλον ἄνδρα καὶ ἀτρεκέως ἀγάπαζε,
γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις, ὅττι κε τέκνα
ἐκ θυμοῦ φιλέεις. ἐπεὶ αὐτὶ γε πῶς κεν ἐτύχθη
οἷς ἔχειν φιλότητα, καὶ ἤθεα πιστὰ δαῆναι;
παρθενική σὺ δ' ἄκουε, τά σε χρὴ πάντα φυλάσσειν.
μήτε φιλομειδὴς μάλα γίνεο, μήτε κατηφής.
μήτ' ἔσο πάμπαν ἀεργός, ἅλις δ' ἔχε καὶ πόνου ἔργον.
μήτε κακὴ δμώεσσι τεοῖς ἔσο, μήτε μάλ' ἐσθλὴ
φαίνεο. ῥηΐτεροι γὰρ ἀεί που πῆμα φέρονται.
θάρσει δ' ἀιδίοισιν μέλ' ὑπερκρατέουσιν ἀνακτες.
ὀθνείων φιλότητας ἀναίνεο, πρίν κεν ἀπ' ἄλλων
εἰδείης ἐτύμως μελεδήματα, καὶ νόον αὐτῶν.
μήτε γραῦν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις.
πολλῶν γρῆες ἔπερσαν ἐΰκτιτα δώματα φωτῶν.
μηδέ μιν ἀκριτόμυθον ἑταιρίσσαιο γυναῖκα.
κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι.
μὴ σύ ποτε χρυσῷ περιμαίνεο, μήτ' ἐπὶ δειρῆς
πορφυρέην ὑάκινθον ἔχοις, ἢ χλωρὸν ἴασπιν,
τοῖς ὑπερφυσιόωσι δαλίφρονες, ἀλλὰ σὺ κόσμοις
παρθένε τηΰσίου μὴ δίνεο, μηδὲ κάτοπτρον.
χερσὶ διακρίνουσα τεὴν αὐγάζεο μορφήν,
μηδὲ κόμης περὶ ἀλλὰ πολυχρίστας πλέκε σπείρας,
μηδὲ μέλαινε τεοῖσιν ὑπὸ βλεφάροισιν ὀπωπάς.
οὐ γὰρ θηλυτέραις δέμας ὤπασεν ἠμιτέλεστον
μορφήν, ὄφρα καὶ ἄλλα περὶ χροῒ τεχνήσαιντο.
πῶς δ' ἂν κούρα δύναιο δαήμονι φωτὶ φανῆναι,
θνητὸν ἐφημερίη κομιδῇ χρόα ποικίλλουσα;
ἢ ἑτέρης ἑτέρην σε, καὶ ἄλλην ἄλλοτε λεύσσω
φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα.

Αντιφάνους. Τί φής; λαθεῖν ζητῶν τι πρὸς γυναῖκα
ἐρεῖς τὸ πρᾶγμα; καὶ τί τῶν διαφορά,
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

Ευριπίδου. Μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος.
malim ὑδικ. ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν * ἔνδοθεν.
τί δεῖ φυλάσσειν, κἀξαμαρτάνειν πλέον;

Μενάνδρου. Τοὺς τοῦ γαμετοῦ ὅρους ὑπερβαίνεις γύναι
διὰ τὴν αὐλαίαν. πέρας γὰρ αὔλιος θύρα
ἐλευθέρᾳ γυναικὶ νενόμισ' οἰκίας.
τὸ δ' ἐπιδιώκειν, εἰς τε τὴν ὁδὸν τρέχειν,
al. ἔτ' ἔργον. ἔτι λοιδορουμένην κυνός * ἔστ' ἔργον ῥόδη.

Ενδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν
ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός.

Γυναικὶ δ' ὄλβος ἂν πόσιν στέργοντ' ἔχῃ.

Σοφοκλέους. Σύγγνωτε κἀνάσχεσθε σιγῶσαι. τὸ γὰρ

γυναι-

Sed instiga socios ut inter se dissentiant,
Facilis autem est ratio dissipandæ societatis
Malæ: ac socijs amicum reddi bonis
Et prudentibus. Quis enim sponte stultum sibi uellet amicum?
Sic igitur charum uirum ex pectore ames.
Et intelligat maritus tuus euidenter, quod liberos
Ex animo diligas. Haud enim talis existit,
*Vt non sentiat amorem, nec fidele ingenium agnoscat. *Græci carminis initium corruptum est.
Sed audi ô uirgo, hæc omnia tibi obseruanda sunt,
Neq; procliuis ad risum, neq; tristis esto:
Nec ociosa prorsus, sed labores subi moderatos,
Neq; tuis famulis duram aut ualde lenem
Te præbeas: negligentiores enim domini semper damnum patiuntur.
Timentibus autem seruis domini facile cum confidentia imperant.
Externos amores reijce, priusquam ab alijs
Reuera cognoscas studia & mentem ipsorum.
Improbam anum domi nunquam receperis,
Multorum bene conditas familias pessundederunt anus,
Sed neq; loquacem mulierem tibi associes:
Egregios mulierum mores improbi sermones corrumpunt.
Nunquam nimis afficiaris auri studio, neq; in collo
Purpureum hyacinthum geras, uiridémue iaspin,
Quibus stulti superbiunt. Tu uero ornatu
O uirgo inani non indiges, neq; in speculo
Manu discernens tuam contempleris formam:
Sed neq; circa comam multiplices contexe nodos,
Neq; sub genis tuis oculos colore nigro inficias.
Haud enim mulieribus natura dedit corpus imperfectæ
Formæ, ut & alia opus esset in corpore machinari.
Quomodo autem ô filia sustineres à prudente uiro conspici,
Mortalis mortale corpus tam uarijs modis ornans?
Ex alia aliam te factam, teq; tibi dissimilem uideo,
Vnam mulierem sub multis mihi formis apparentem.

Quid ais? Cum latere uelis aliquod negocium, mulieri *Antiphanis.*
Ipsum aperies? At quid inter est, siue mulieri,
Siue omnibus in foro præconibus narrare?

Frustra laboramus muliebre genus custodiendo *Euripidis.*
Nam quæ non ultrò iusta fuerit,
Quid opus est illam custodire, ac amplius delinquere?

Excedis ô mulier limites uxoris, *Menandri.*
Per atrium. Nam uestibuli fores, ultra
Domum esse ab ingenua matrona existimantur.
Vlterius autem persequi, & in uiam currere,
Canis est opus idq; conuicijs affecti ô Rhode.

Intus manere mulierem oportet
Bonam: egrediuntes autem foras, nullius pretij sunt.

Mulieris fœlicitas est, si diligatur à marito.

Date ueniam & sustinete tacitæ, Nam quod *Sophoclis.*

γυναιξὶν αἰσχρὸν ἐν γυναικὶ χρὴ στέγειν.

Εὐριπίδης. Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γάμον
φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
σφάλλουσιν οἴκους τῶν παρημελημένων.

Οὐδὲν γὰρ καλὸν δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν.
ἀλλ' εἰς μίαν βλέποντες εὐναίαν κύπριν,
στέργουσιν, ὅς τις μὴ κακῶς οἰκεῖν θέλει.

Φιλήμονος. Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρεῖττον εἶναι τἀνδρός, ἀλλ' ὑπήκοον.
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστι μέγα.

Εὐριπίδης. Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρείᾳ γύναι
ζήτει παρελθεῖν. τῶν κακῶν γὰρ μητέρων
φεύγειν τρόπους χρὴ τέκνα, αἷς ἔνεστι νοῦς.

Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα προσθεῖναι κακά.
οὐδ' εἰ γυναικῶν ἐστι μὲν ἀτηρὸν κακόν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.

Τὰ μὲν γὰρ ἄλλα δεύτερ' ἂν πάσχοι γυνή.
ἀνδρὸς δ' ἁμαρτάνουσ' ἁμαρτάνει βίου.

Καὶ μὴν ἴσον γ' ἀνήρ τε καὶ γυνὴ φθόνει
al. ἐν δ' αὖτ. — ἀδικουμένη πρὸς ἀνδρός, * ὡσαύτως ἀνὴρ
γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
καὶ τῷ μὲν ἐστὶν ἐν χεροῖν μέγα σθένος.
τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
al. τῆς γ' ἐμοῖς ἐπωφελεῖν. — οὐκοῦν δίκαιον * τοῖς ἐμοῖς ἐμ' ὠφελεῖν.

Κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν.

Αἰνῶ, διδάξαι δ', ὦ τέκνον, σε βούλομαι,
ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν.
ἐν παρθένοις δὲ, παρθένου τρόπους ἔχειν.
ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,
τὰ δ' ἄλλ' ἀφεῖναι, μηχανήματ' ἀνδράσιν.

Μενάνδρου. * Μὴ γαμεῖν γάρ, ἂν δ' ἅπαξ λάβῃς, φέρειν,
al. οὐ μή: ego malim οὐ καί. — μύσαντα πολλὴν προῖκα, καὶ γυναῖκα δεῖ,
ἐκπυνθάνεσθαι τ' ἀρσένων δ' ἡμᾶς σέθεν.
lego καί — τὸ μὲν μέγιστον, οὔποτ' ἄνδρα * οὐ σοφόν,
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων.
ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς,
ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρεφομένη,
βλέπουσά τ' εἰς πᾶν καὶ παροῦσα πανταχοῦ,
τὴν ὄψιν ἐμπλήσασά τ', ἀπήλλακται κακῶν.
τὸ τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.
ὅς τις δὲ μοχλοῖς, καὶ διὰ σφραγισμάτων
Parenthesi notata uidentur corrupta. — σώζει δάμαρτα, (δ' αὐδ' εἰ δὴ δοκῶν σοφός,)
μάταιός ἐστι, καὶ φρονῶν οὐδὲν φρονεῖ.
ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει,
θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χωρίζεται.
λάθοι δ' ἂν Ἄργου τὰς πυκνοφθάλμους κόρας,
καὶ πρὸς κακοῖσιν ἔστι δὴ μέγας γέλως,
ἀνήρ τ' ἀχρεῖος χ' ἡ γυνὴ διοίχεται.

Σίγα

Mulieribus turpe est, in muliere tolerari debet.

Quid est quod magno labore muliebres nuptiæ Custodiantur? Nam quę bene educatæ sunt, amplius Peccant in familias, quàm quæ neglectæ. — *Euripidis.*

Non enim decet Duabus mulieribus uirum unum imperare. Sed unicam spectantes furtiuam Venerem Contenti sunt coniuges, qui bene conuersari uoluerint. — *Eiusdem in Andromache.*

Bonæ matronæ est ô Nicostrata, Non imperare uiro, sed obedire. Mulier autem uincens uirum ingens malum est. — *Philemonis.*

Ne matrem tuam ô mulier amoribus uirorum Vincere studeas. Parentis enim malæ Fugiendi mores sunt prudentibus liberis. — *Euripidis.*

Non leuem ob causam graue malum mouendum est. Neq; si mulieres noxium sumus malum, Viros mulieribus consimiles natura fieri decet. — *Eiusdem in Andromache.*

In cæteris enim minus offendi potest mulier. At si marito priuetur, uita frustratur. — *Ibidem.*

Aequalis est uis & uxori Quæ iniuriam à uiro patitur: & marito Qui uxorem desipientem domi habet. Hic enim plurimum ualet manibus: Illa uero per parentes & amicos rem suam agit. Quocirca iustum est ut feram opem meis. — *Ibidem.*

Malarum mulierum introitus me perdiderunt.

Probo. Sed docere te ô filia uolo, In puerili ætate non ultra illam sapiendum esse: Inter uirgines autem uirgineos mores seruandos: Cum uero sub egregij uiri lænam ueneris, †Reliqua studia uiris sinito. — *†Videtur aliquid deesse.*

Ne ducas uxorem, si uero semel acceperis magnam Dotem, & uxorem ferre tacitum oportet. — *Menandri.*

* — *Versus iste in Græco obscurus est.*

Plurimum autem refert ne unquam uir sapiens Nimis custodiat uxorem in penetralibus ædium. Desyderant enim oculi rerum externarum uoluptatem. In quibus si abunde uersetur, Aspiciens omnia & ubiq; præsens, Visumq; saturans, liberatur crimine. Nam & mares semper appetunt quod latet. Quisquis autem uectibus & seris Custodit uxorem, cum sibi sapiens uideatur, Stultus est, & nihil sapit. Si qua enim mulier animo foras spectat, Vel telo & penna citius abscedit: Ita ut etiam Argi plurimis oculis præditi pupillas latere posset. Vnde præter malum, ingens quoq; ludibrium fit, Et uir simul & uxor inutiles pereunt.

Εὐριπίδου. Σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβῃς

al. κακοβουλ. διακονοῦσα κρυπτά, * καὶ βολῆ λόγος,
οὐχ ἥπερ αὐτὸν ἡμεῖς διελίσσομεν.
τὰ γὰρ γυναικῶν, δυσχερῆ πρὸς ἄρσενας.
κἂν ταῖς κακαῖσιν αἱ ἀγαθαὶ μεμιγμέναι
μισούμεθ', οὕτω δυστυχεῖς πεφύκαμεν.

Αὕτη δὲ πάντα συμφέρουσ' ἰάσεται,
ἥπερ μεγίστη γίνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.

Θεανὼ ἐρωτηθεῖσα ἡ πυθαγόρειος, πῶς ἔνδοξος ἔσται, ἔφη:
ἱστὸν ἐποιχομένη, καὶ ἐμὸν λέχος ἀντιόωσα.

Ὑπερίδου. Δεῖ τὴν ἐκ τῆς οἰκίας ἐκπορευομένην, ἐν τοιαύτῃ καταστάσει εἶναι τῆς ἡλικίας, ὥστε τοὺς * ἀπαντῶντας

malim ἀποκείσαντας. πυνθάνεσθαι, μὴ τίνος ἐστὶ γυνή, ἀλλὰ τίνος μήτηρ.

Τὰς μὲν πρὸς τὸν ἄνδρα τῇ ἑαυτοῦ γυναικὶ καλλωπισμὸς ὅπως βούλοιτο χρὴ γίγνεσθαι: τοὺς μέντοι περὶ τὰς ἐξόδους, οὐκέτι πρὸς τὸν ἄνδρα, ἀλλὰ πρὸς τοὺς ἑτέρους.

Φοβητέον οὐκ ἄνδρες ἀπειλήν, ἀλλὰ νόμου φωνήν.

Ἡροδότου. Ἅμα δὲ χιτῶνι ἐκδυομένῳ, συνεκδύεται καὶ τὴν αἰδῶ γυνή.

Ἐπιχάρμου. Σώφρονος γυναικὸς ἀρετά, τὸν συνόντα μὴ ἀδικεῖν ἄνδρα.

Δημοκρίτου. Κόσμος ὀλιγομυθίη γυναικί. καλὸν δὲ καὶ κόσμου λιτότης.

Ὑπὸ γυναικὸς ἄρχεσθαι, ὕβρις ἀνδρὶ ἐσχάτη.

Ἱπποκράτους. Ἀλλ' ὅμως χρήζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν ἑαυτῇ, ὅπερ εἰ μὴ καθ' ἡμέραν ἀποκόπτοιτο, ὡς τὰ δένδρα καθυλομανεῖ.

Εὐσεβίου. Γάμου ἀρίστη ξυμφωνίη, ἀμφοτέρους σωφροσύνην ἀσκέειν.

Οὔτε ὁρᾶν, οὔτε ὁρᾶσθαι γυναῖκα, καὶ ταῦτα διεσκεμμένην πρὸς κάλλος. ἐπίσταται γὰρ ἀμφότερα, πρὸς ἃ μὴ δεῖ.

Πλουτάρχου ἐκ τῶν γαμικῶν παραγγελμάτων. Ὁ Πλάτων φησίν, εὐδαίμονα καὶ μακαρίαν εἶναι πόλιν, ἐν ᾗ τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν ἥκιστα φθεγγομένων ἀκούουσι, διὰ τὸ κοινοῖς ὡς ἔνι μάλιστα χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας. πολὺ δὲ μᾶλλον ἐκ γάμου δεῖ τὴν τοιαύτην φωνὴν ἀνῃρῆσθαι.

Αὕτη τοίνυν καὶ χρημάτων κοινωνία προσήκει μάλιστα τοῖς γαμοῦσιν εἰς μίαν οὐσίαν κατακεχεαμένους, καὶ ἀναμίξαντας, μὴ τὸ μὲν ἴδιον, καὶ τὸ μὲν ἀλλότριον, ἀλλὰ πᾶν ἴδιον ἡγεῖσθαι, ὥσπερ τὸ κρᾶμα καίτοι ὕδατος μετέχον πλείονος, οἶνον καλοῦμεν. οὕτω τὴν οὐσίαν δεῖ καὶ τὸν οἶκον τοῦ ἀνδρὸς λέγεσθαι, κἂν ἡ γυνὴ πλέον ᾖ συμβάλληται.

al. τὸ κάτιον. Ὁ ῥωμαῖος ὑπὸ τῶν φίλων νουθετούμενος, ὅτι σώφρονα γυναῖκα καὶ πλουσίαν, καὶ ὡραίαν ἀπεπέμψατο, * τὸ καλλίγιον αὐτοῖς προτείνας, καὶ γὰρ τοῦτο ἔφη καλὸν ἰδεῖν καὶ καινόν, ἀλλ' οὐδεὶς οἶδεν ὅπου με θλίβει. δεῖ τοίνυν, μὴ προικὶ μηδὲ γένει μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ' ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρός, ὁμιλίᾳ, καὶ ἤθει, καὶ συμπεριφορᾷ. ταῦτα μὴ σκληρά, μηδὲ ἀνιῶντα καθ' ἡμέραν, ἀλλ' εὐάρμοστα, καὶ ἄλυπα, καὶ προσφιλῆ παρέχειν.

Ὥσπερ οἱ ἰατροί, τοὺς ἐξ αἰτιῶν ἀδήλων, καὶ κατὰ μικρὸν συλλεγομένων γενομένους πυρετούς, μᾶλλον δεδοίκασιν, ἢ τοὺς ἐμφανεῖς καὶ μεγάλας προφάσεις ἔχοντας: οὕτω τὰ λανθάνοντα τοὺς πολλούς, μικρὰ καὶ συνεχῆ καὶ καθημερινὰ προσκρούσματα γυναικὸς καὶ ἀνδρός, μᾶλλον διΐστησι, καὶ λυμαίνεται τὴν συμβίωσιν.

al. λαμαν. * Ἀμήχανον οὖν τι πρᾶγμα γίνεται γαμετὴ γυνὴ καὶ νόμιμος, ἂν ἐν ἑαυτῇ πάντα θεμένη, καὶ προῖκα, καὶ γένος, καὶ φάρμακα, καὶ τὸν κεστὸν αὐτόν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν.

Κόσμος γάρ ἐστιν ὡς ἔλεγε Κράτης, τὸ κοσμοῦν. κοσμεῖ δέ, τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν. ποιεῖ δὲ τοιαύτην, οὔτε χρυσός, οὔτε σμάραγδος, οὔτε κόκκος: ἀλλ' ὅσα σεμνότητος, εὐταξίας, αἰδοῦς ἔμφασιν περιτίθησι.

Καθάπερ ὁ Φωκίων τοῦ Ἀντιπάτρου πρᾶξιν οὐ καλὴν προστάττοντος, οὐκ οὖσαν δὲ πρέπουσαν

Tace apud uirum, ne quid dedecoris mihi pariam *Euripidis.*
Subseruiens furtim, & occurrant uerba,
Non eam in partem qua à nobis emittuntur.
Difficiles enim res mulierum sunt apud uiros,
Et bonæ etiam cum malis mixtæ
Odio habemur, adeò sumus infœlices.

Ipsa autem in omnibus Iasoni consentiens, *Eiusdem in Medea.*
Quippe ad salutem præcipuum est,
Vxorem à uiro non dissentire.

Theano Pythagoræ dogmatum studiosa interroganti, quomodo celebris euasura esset, respondit: Contexens telam, & meum curans coniugium.

Oportet mulierem egredientem domo hunc ætatis terminum attigisse: ut qui nō cognoscunt ipsam, cuiusnam sit mater, non autem cuius uxor, interrogent. *Hyperidæ.*

Domi coram uiro liceat uxori ornare se ut libet: ornamenta autem quæ sumit egressura domum, non ad maritum, sed ad alios spectant.

Timere conuenit non tam uiri minas, quàm legis uocem.

Mulier cum ueste simul & pudicitiam exuit. *Herodoti.*

Bonæ mulieris uirtus est maritum conuersantem non offendere. *Epicharmi.*

Sermo parcus mulierem ornat: & ipsius ornamenti parcitas ei decora est. *Democriti.*

Parere mulieri, extremum dedecus est uiro.

Verumtamen aliquo opus habet mulier, à quo castigetur. Habet enim in natura lasciuiam, quæ nisi quotidie amputetur, luxuriatur & syluescit instar arborum. *Hippocratis.*

Optimus consensus est nuptiarum, si uterq; coniunx temperantiam exerceat. *Eusebij.*

Mulier nec alios uidere, nec ipsa uideri debet, præsertim quæ eleganter ornata fuerit. Vtrumq; enim ad res inhonestas incitamentum est.

Plato fœlicem & beatam esse ciuitatem inquit, in qua istæ uoces meū & nō meum minimè proferri audiantur, eò quod cōmunibus quoad fieri potest rebus, quæ quidem alicuius æstimationis sunt, uti ciues debeant. Sed multo magis huiusmodi uox è connubio eximenda est. *Plutarchi ex nuptialibus præceptis.*

Talis quoq; pecuniarum societas connubio iunctis maximè conuenit, ut unam in substantiam rebus omnibus confusis ac mixtis, non hanc partem propriam, illam alienam, sed omnia propria, ac nihil alienum arbitrentur. Vt potionem temperatam, & si plus insit aquæ, uinum tamen appellamus: ita substantiam & rem familiarem, quamuis plus uxor contulerit, mariti dici oportet.

Romanus quidam, cum eum amici reprehenderent, quod pudicam uxorem, locupletem, & formosam repudiasset, calceum protendit: nam & hic, inquit, nouus est & pulcher, sed nemo uestrum nouit ubi me premat. Oportet igitur non doti, non generi, non formæ uxorem credere, sed operam dare, ut quibus uir maximè tangitur, consuetudine, moribus, & obedientia, ea non dura, nec molesta, sed composita, iocunda, & grata præstet.

Enimuero ut medici eas febres, quæ ab incertis causis paulatim collectis eueniunt, magis suspectas habent & timent, quàm quę manifestas magnasq; causas habent: sic latentes plærosq; paruæq;, & frequentes ac quotidianæ uiri atq; uxoris offensæ, magis eos disiungunt, & uitæ consortium labefactant.

Inexpugnabilis igitur res est uxor legitima, si omnia in seipsa collocans, dotem, genus, pharmacum, & cestum ipsum, moribus atque uirtute comparet beneuolentiam.

Ornamentum est, ut inquit Crates, quod ornat. Ornat autem, quod honestiorem mulierem facit: talem uero præstat non aurum, non smaragdus, non coccus, sed quæcunq; grauitatis, moderationis, & pudoris specimen adhibent.

Phocion, cū ab eo Antipater rem minus honestam indecentéq; postularet: nō po

εἶπεν· οὐ δύνασαί μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι, οὕτω λογίζεσθαι περὶ τὴν σώφρονα, καὶ ἀνδρὸς γυναικὸς· οὐ δύναμαι τῇ αὐτῇ καὶ ὡς γαμετῇ καὶ ὡς ἑταίρᾳ συνεῖναι.

Η θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον. εἰπόντος δέ τινος καλὸς ὁ πῆχυς, ἀλλ' οὐ δημόσιος ἔφη. δεῖ δὲ μὴ μόνον τὸν πῆχυν, ἀλλὰ μηδὲ τὸν λόγον δημόσιον εἶναι τῆς

al. ἀνδ. σώφρονος. * καὶ τὴν φωνὴν, ὡς ἀπογύμνωσιν αἰδεῖσθαι καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτὸς. ὁρᾶται γὰρ ἐν αὐτῇ καὶ πάθος, καὶ ἦθος, καὶ διάθεσις λαλούσης.

Τὴν ἠλείων ὁ φειδίας ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν, οἰκουρίας σύμβολον ταῖς γυναιξὶ καὶ σιωπῆς. δεῖ γὰρ ἢ πρὸς τὸν ἄνδρα λαλεῖν, ἢ διὰ τοῦ ἀνδρὸς, μὴ δυσχεραίνουσαν,

al. adcitur σεμνότερον. εἰ δι' ἀλλοτρίας γλώττης ὥσπερ αὐλητὴς φθέγγεται *.

Καὶ γὰρ ὁ ῥωμαῖος νομοθέτης ἐκώλυσε δῶρα διδόναι καὶ λαμβάνειν παρ' ἀλλήλων τοὺς γεγαμηκότας, οὐχ ἵνα μηδενὸς μεταλαμβάνωσιν, ἀλλ' ἵνα πάντα κοινὰ νομίζωσιν.

Τοῖς περὶ τὸν κῦρον ἕλλησι παρήγγειλαν οἱ στρατηγοὶ, τοὺς πολεμίους, ἐὰν μὲν βοῶντες ἐπί-

al. μετὰ βοῆς ἀντελαύνειν. ωσι, δέχεσθαι μετὰ σιωπῆς. ἐὰν δ' ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς * μέγα βοήσαντας ἐξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν, κεκραγότων μὲν, ἡσυχάζουσι· σιωπώντας δὲ, προσλαλοῦσαι καὶ παραμυθούμεναι πραΰνουσιν.

Η ἑρμιόνη δοκεῖ τι λέγειν, ἀληθὲς λέγουσα,

κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν.

τοῦτο δὲ, οὐχ ἁπλῶς γινόμενόν ἐστιν. ἀλλ' ὅταν αἱ πρὸς τοὺς ἄνδρας διαφοραὶ καὶ ζηλοτυπίαι

al. ἀνοίγουσι. ταῖς τοιαύταις γυναιξὶ, μὴ τὰς θύρας μόνον, ἀλλὰ καὶ τὰς ἀκοὰς * οἴγωσι. τότε οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν, ἀποκλείειν τὰ ὦτα, καὶ φυλάττεσθαι τὸν ψιθυρισμὸν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γίνηται, καὶ πρόχειρον ἔχειν τὸ τοῦ φιλίππου. λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τοὺς ἕλληνας, ὡς εὖ πάσχοντας, καὶ κακῶς αὐτὸν λέγοντας, εἰπεῖν. τί οὖν ἂν καὶ κακῶς ποιῶμεν αὐτούς; ὅταν οὖν διαβάλλουσαι λέγωσιν, ὅτι λυπεῖ σε φιλοῦσαν ὁ ἀνὴρ καὶ σωφρονοῦσαν· τί οὖν ἂν καὶ μισεῖν αὐτὸν ἄρξωμαι καὶ ἀδικεῖν;

Θεανὼ ἐρωτηθεῖσα ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει, ἀπὸ μὲν τοῦ ἰδίου εἶπε, παραχρῆμα· ἀπὸ δὲ τοῦ ἀλλοτρίου, οὐδέ ποτε.

Η φίλωνος γυνὴ ἐρωτηθεῖσα, διὰ τί μόνη τῶν ἄλλων ἐν συνόδῳ οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη· ὅτι αὐτάρκης κόσμος μοι ἐστὶν ἡ τοῦ ἀνδρὸς ἀρετή.

Θεανὼ ἐρωτηθεῖσα, τί πρέπον εἴη γυναικὶ, τὸ τῷ ἰδίῳ ἔφη ἀρέσκειν ἀνδρί.

Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι.

Ιαμβλίχου. Οὐκοῦν καὶ παρὰ τὸ ἄρχειν μὲν τὸν ἄῤῥενα, ἄρχεσθαι δὲ τὴν θήλειαν, ὁμογνωμονήσουσι· τὸ δὲ σχῆμα τῆς ἀρχῆς ἔσται, οὐχ οἷον τὸ δεσποτικὸν, θεραπεῦον τὸ τοῦ κρείττονος συμφέρον. οὐδ' οἷον τὸ τῶν τεχνῶν, μόνου τοῦ ἥττονος ἐπιμελούμενον· ἀλλ' οἷον τὸ πολιτικὸν κηδόμενον ἐξ ἴσου τοῦ κοινοῦ συμφέροντος.

Σωκράτους. Τοὺς μὲν ἄνδρας, τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι· τὰς δὲ γυναῖκας, τοῖς τῶν συνοικούντων ἀνδρῶν ἤθεσι.

Δίωνος ἐκ τοῦ οἰκονομικοῦ. Εὐσέβεια γυναικεία, ὁ πρὸς τὸν ἄνδρα ἔρως. γέλως δὲ συνεχὴς, καὶ μέγας, θυμοῦ κακίων. διὰ τοῦτο μάλιστα ἑταίραις ἀκμάζων καὶ παίδων τοῖς ἀφροντιστοῖς. ἐγὼ δὲ κοσμεῖσθαι πρόσωπον ὑπὸ δακρύων ἡγοῦμαι μᾶλλον, ἢ ὑπὸ γέλωτος. δάκρυσι μὲν γὰρ, ὡς ἐπὶ τὸ πλεῖστον σύνεσι καὶ μάθημά τι χρηστόν· γέλωτι δὲ, ἀκολασία. καὶ κλαίων μὲν οὐδεὶς πρoυτρέψατο ὕβριν· γελῶν δὲ, ηὔξησεν αὐτοῦ τὰς ἐλπίδας.

Φιντύος τῆς καλλικράτεος θυγατρὸς πυθαγορείας, ἐκ τοῦ περὶ γυναικὸς σωφροσύνης.

Τὸ μὲν ὅλον, ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν. ἄνευ γὰρ ἀρετᾶς, οὐδέποκα γένοιτο τις τοιαύτα. ἑκάστῳ γὰρ ἀρετὰ περὶ ἕκαστον γινομένα, τὸ αὐτᾶς δεκτικὸν ἀποδίδωσι σπουδαῖον. ἁ μὲν τῶν ὀφθαλμῶν, τὼς ὀφθαλμώς. ὁ δὲ τὰς ἀκοὰς, τὰν ἀκοάν. καὶ ἁ μὲν ἵππω, τὸν ἵππον. ἁ δ' ἀνδρὸς, τὸν ἄνδρα. οὕτω δὲ καὶ γυναικὸς, τὰν γυναῖκα. γυναικὸς δὲ μάλιστα ἀρετὰ, σωφροσύνα. διὰ γὰρ ταύτας, τὸν ἴδιον ἄνδρα καὶ τιμᾶν καὶ ἀγαπᾶν δύνα-

tes me, inquit, & amico uti, & adulatore. Ita de uxore pudica & seuera cogitandum est: Non possum eadem & coniuge & amica uti.

Theano uestem induens brachium nudauit, & cum quidam dixisset: ô pulchrum cubitum: at non publicũ, inquit. Pudicæ aũt mulieris non cubitus modo, uerum neq; oratio publica esse, nec minus sermo quàm nudatio corporis formidari, & ab externis caueri debet: propterea quod affectus, & mores, ac dispositio animi in sermone planè conspiciuntur.

Eliensibus Phidias Venerem fecit testudinem calcantem, indicans, mulierum esse munus, & ædes custodire, & silentium. Debet autem uxor aut cum marito, aut per maritum loqui, non ægrè ferens, si aliena lingua, tanquam tibicen, loquatur grauius. Nam & Romanorũ legumlator munera uicissim dare & capere coniuges uetuit, haud quidem ne rei cuiusquam participes forent, uerum ut omnia communia esse existimarent. Græcis qui erant cum Cyro, duces iubebant, ut si hostes uociferantes impetum facerẽt, cum silentio exciperent: quod si illi silerent, contra ipsi inuaderent cum clamore. At mulieres prudentes, cum irati mariti clamant, silentium agunt: cum silent, eos alloquuntur, & consolantes mitigant. Hermione uerum dicere uidetur, cum ait: Fœminarum me malarũ perdiderunt ingressus. Sed non fit hoc simpliciter, uerum quãdo dissidia & zelotypiæ aduersus maritos existunt, huiusmodi fœminis nõ ianuas modo, sed etiam auditum patefaciunt. Tunc igitur potissimum sana mente præditam uxorem occludere aures, & insusurrationes cauere, ne ignis addatur igni, oportet, illudq; Philippi dictum in promptu habere. Fertur enim ille, cum ab amicis contra Græcos concitaretur, quod bene ab eo affecti ei obloquerentur, dixisse: Quid facient igitur, si malè afficiamus ipsos? Quãdo itaq; obtrectatrices deferunt tibi: Vir tuus & amanti & pudicæ iniuriam facit: dices: Quid si ipsum odisse atq; lacessere cœpero?

Theano interrogata quot diebus mulier post uiri congressum pura fieret; à proprio quidem uiro dixit, confestim: ab alieno autem, nunquam.

Philonis uxor interrogata quamobrem sola ex alijs in conuentu non gestaret ornatũ aureũ, dixit: quoniã pro ornamento mariti uirtus mihi sufficit.

Theano quærenti quod officiũ esset matronæ, respondit: uiro suo placere.

Demades aiebat pudorem in muliere pulchritudinis arcem esse.

Itaq; in hoc etiam conuenient, ut mas imperet, obediat mulier. Erit autem imperij genus, non quale dominorum est, ubi superioris utilitas curatur: nec quale artium, ubi inferioris tantum cura est: Sed simile ciuili, in quo communis utilitas ex æquo promouetur. *Iamblichi.*

Viros oportet ciuitatis legibus obedire: uxores autem maritorũ ingenijs. *Socratis.*

Pietas muliebris est, amor eius erga maritum. Risus autem continuus & intentus, deterior est iracundia. Iccirco maximè uiget in scortis, & pueris stolidioribus. Mihi sanè facies magis ornari uidetur lachrymis quã risu. Lachrymis em̃ ut plurimũ bona aliqua doctrina coniungitur: risui uero, lasciuia. Et flendo quidẽ nemo sibi cõcitauit autorẽ cõtumeliæ: ridẽdo aũt, spẽ eius auxit. *Dionis ex Oeconomico.*

Phintyos filiæ Callicratis Pythagoræ dogmatum studiosæ, ex libro de temperantia mulieris.

Omnino bona & modesta sit. Nam sine uirtute nunquam talis fieri potest. Omnis uirtus enim, id cui contingit laudabile reddit: Videndi uirtus, oculos: audiendi, aures: equi, equum: uiri, uirum, sic & mulieris mulierem. Est autem prima uirtus mulieris, temperantia, qua uirum suum colere &

δυνασεῦται. πολλοὶ μὲν ἴσως δοξάζοντι, ὅτι οὐχ ἁρμόσδον γυναικὶ φιλοσοφῆν, ὥσπερ οὐδ' ἱππεύεν, οὐδὲ δαμαγορῆν. ἐγὼ δέ, τὰ μέν, τινα νομίζω ἀνδρὸς ἦμεν ἴδια· τὰ δέ, γυναικός: τὰ δέ, κοινὰ ἀνδρὸς καὶ γυναικός: τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικός: τὰ δέ, μᾶλλον γυναικός, ἢ ἀνδρός. ἴδια μὲν ἀνδρός, τὸ στραταγῆν, τὸ πολιτεύεσθαι, καὶ δαμαγορῆν. ἴδια δὲ γυναικός, τὸ οἰκουρῆν, καὶ ἔνδον μένειν, καὶ ἐκδέχεσθαι, καὶ θεραπεύειν τὸν ἄνδρα. κοινὰ δὲ φαμί, ἀνδρείαν, δικαιοσύναν, καὶ φρόνασιν. καὶ γὰρ τὰς τῶ σώματος ἀρετάς, ἔχεν πρέπον καὶ ἀνδρὶ καὶ γυναικί, καὶ τὰς ψυχᾶς, ὁμοίως. καὶ ὡς ὑγιαίνεν περὶ σώματι ἀμφοτέροις ὠφέλιμον, οὕτως ὑγιαίνεν τᾷ ψυχᾷ. σώματος δὲ ἦμεν ἀρετάς, ὑγίειαν, ἰσχύν, εὐαισθησίαν, κάλλος. τὰ δὲ μᾶλλον, ἀσκῆν καὶ ἔχεν οἰκεῖον * ἔντι: τὰ δέ, μᾶλλον γυναικί. ἀνδρότατα μὲν γὰρ καὶ φρόνασιν, μᾶλλον ἀνδρί, καὶ διὰ τὰν ἕξιν τῶ σώματος, καὶ διὰ τὰν δύναμιν τᾶς ψυχᾶς, σωφροσύναν δέ, γυναικί. διὸ δεῖ περὶ σωφροσύνας παιδευομέναν γνωρίζεν, ἐκ πόσων τινῶν, καὶ ποίων τῶν τἀγαθὸν τᾷ γυναικὶ παραγίνεται. φαμὶ δ' ἦ ἐκ πέντε τούτων. Πρᾶτον μέν, ἐκ τᾶς περὶ τὰν εὐνὰν ὁσιότατός τε καὶ εὐσεβείας. Δεύτερον δέ, ἐκ τῶ κόσμω τῶ περὶ τὸ σῶμα. Τρίτον, ἐκ τᾶν ἐξόδων τᾶν ἐκ τᾶς ἰδίας οἰκίας. Τέταρτον δ' ἐκ τῶ μὴ χρέεσθαι τοῖς ὀργιασμοῖς καὶ ματρωσμοῖς. Πέμπτον δ' ἐν τᾷ θυσίᾳ τᾷ πρὸς τὸ θεῖον εὐλαβέα ἦμεν καὶ μετρίαν. τούτων δὲ μέγιστον αἴτιον καὶ συνεκτικώτατον τᾶς σωφροσύνας, τὸ περὶ τὰν εὐνὰν ἦμεν ἀδιάφθορον, καὶ ἄμικτον θυραίω ἀνδρός. Πρᾶτον μὲν γὰρ εἰς τὼς παρανομοῖσα, ἀδικεῖ γενεθλίους θεούς, οἴκῳ καὶ συγγενείᾳ οὐ γνασίους ἐπικούρους, ἀλλὰ νόθως παρεχομένα. ἀδικεῖ δὲ τὼς φυσικὼς θεὼς οὓς περ ἐπομόσασα μετὰ τῶν αὐτᾶς πατέρων τε καὶ συγγενῶν συνελεύσεσθαι ἐπὶ κοινωνίᾳ βίω τε καὶ τέκνων γενέσει τε, κατὰ νόμον. ἀδικεῖ δὲ καὶ τὰν αὐτᾶς πατρίδα, μὴ ἐμμένουσα τοῖς ἐνδιατεταγμένοις. ἔπειτα ἐπὶ τούτοις ἁμπλακίσκεν, ἐφ' οἷς τὸ μέγιστον τῶν προστίμων ὥρισται θάνατος, διὰ τὰν ὑπερβολὰν τῶ ἀδικήματος, ἔκθεσμον, καὶ ἀσυγγνωμονέστατον εἶμεν, ἀδονᾶς ἕνεκεν ἁμαρτάνεν, καὶ ὑβρίζεν. ὕβριος δὲ πέρας, ὄλεθρος. κἀκεῖνο δὲ χρὴ διαλογίζεσθαι, ὡς οὐδὲν καθάρσιον εὑρίσκει τᾶς ἁμπλακίας ταύτας ἄκος, ὥστε ἐν ἱερὰ θεῶν καὶ βωμὼς ποτερχομέναν, εἶμεν ἁγνὰν καὶ θεοφιλατάν. ἐπὶ γὰρ ταύτᾳ τᾷ ἀδικίᾳ μάλιστα, καὶ τὸ δαιμόνιον ἀσυγγνωμόνατον γίνεται. κάλλιστος δὲ κόσμος γυναικὸς ἐλευθέρας πράττεν, εὐτ' εἶδος τὸ διὰ τῶν αὐτᾶς τέκνων ἐπιμαρτύρασθαι τὰν σωφροσύναν τὰν ποτὶ τὸν ἄνδρα, αἴκα τὸν τύπον τᾶς ὁμοιότατος ἐπιφέρωντι τῶ κατασπείραντος αὐτὼς πατρός. καὶ περὶ μὲν εὐνᾶς, οὕτως ἔχει. περὶ δὲ τῶ κόσμω τῶ περὶ τὸ σῶμα, δοκεῖ μοι * οὕτω δεῖ λευχείμονα εἶμεν καὶ ἁπλοϊκάν, καὶ ἀπερίεργον. ἐσεῖται δὲ τῶν, αἴκα μὴ διαφανέσι, μηδὲ διαποικίλοις, μηδὲ ἀπὸ βέμβικος ὑφασμένοις χρᾶται τοῖς περὶ τὸ σῶμα: ἀλλὰ μετρίοις καὶ λευκοχρωμάτοις. οὕτω γὰρ τὸ μᾶλλον κοσμεῖσθαι καὶ τρυφὰν καὶ καλλωπισμὸν φεύξεται, καὶ ζᾶλον οὐκ ἐμποιήσει μοχθηρὸν ταῖς ἄλλαις. χρυσὸν δὲ καὶ σμάραγδον ἁπλῶς μὴ περιτίθεσθαι. καὶ γὰρ πολυχρήματον, καὶ ὑπερηφανίαν ἐμφαῖνον ποτὶ τὰς δαμοτικάς. δεῖ δὲ τὰν εὐνομουμέναν πόλιν, ὅλαν αὐτὰν δι' ὅλας τεταγμέναν, συμπαθέα τε καὶ ὁμοιόνομον εἶμεν: ἀπερύκεν δὲ καὶ δαμιοργὼς ἐκ τᾶς πόλιος τὼς ἐργαζομένως τὰ τοιαῦτα. χρώματι δὲ φαιδρύνεσθαι τὰν ποτῶπαν, μὴ ἐπακτῷ καὶ ἀλλοτρίῳ, τῷ δ' οἰκείῳ τῶ σώματος δι' αὐτῶ τῶ ὕδατος ἀπολουομέναν, κοσμῆν δὲ μᾶλλον αὐτὰν αἰσχύνᾳ. καὶ γὰρ τὸν συμβιῶντα καὶ αὐτὰν ἔντιμον παρέξεται. τὰς δὲ ἐξόδως ἐκ τᾶς οἰκίας ποιεῖσθαι τὰς γυναῖκας τὰς δαμοτελέας θυηπολεύσας τῷ ἀρχαγέτᾳ θεῷ τᾶς πόλιος ὑπὲρ αὐτᾶς καὶ τῶ ἀνδρός, καὶ τῶ παντὸς οἴκω. ἔπειτα μήτε ὀρφνᾶς ἀνισταμένας μήτε ἑσπέρας, ἀλλὰ πλαθούσας ἀγορᾶς καταφανέα γινομέναν τὰν ἔξοδον ποιεῖσθαι, θεωρίας ἕνεκά τινος, ἢ ἀγορασμῶ οἰκήω μετὰ θεραπαίνας μιᾶς, ἢ κατὰ τὸ πλεῖστον δύο εὐκόσμως χειραγωγουμέναν. τὰς δὲ θυσίας, λιτὰς παριστάμεν τοῖς θεοῖς, καὶ κατὰ τὰν δύναμιν. ὀργιασμῶν δὲ καὶ ματρωσμῶν τῶν κατ' οἶκον ἀπέχεσθαι. καὶ γὰρ ὁ κοινὸς νόμος ἀπερύκει τᾶς πόλιος ταύτας τὰς γυναῖκας ἐπιτελεῖν καὶ ἄλλως, καὶ ποτὶ μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεύσιες αὗται. τὰν δ' οἰκοδέσποιναν καὶ προκαθεζομέναν οἴκω, δεῖ σώφρονα καὶ ἀνέπαφον ἦμεν.

Ἐξέλθω

lego ἀνδρί.

malim ἔντι, aut post ἔντι punctus notetur.

amare poterit. Multi fortassis existimant philosophari non decere mulierem, ut nec equitare, neq; concionari. Ego autem sentio, opera quædam propria uiri esse: alia mulieris: nonnulla utrisq; communia: Item alia potius ad mulierem quàm uirum pertinere, alia contrà. Viri propria sunt, exercitum aut rempub. gubernare, & concionari. Mulieri autem peculiare est, custodire domum, manere domi, expectare & bene tractare maritum. Vtrisq; communia nomino, fortitudinem, iustitiam, & prudentiam. Quippe tum corporis uirtutes & uirum & mulierem possidere decet, tum animæ similiter. Et ut corpus habere sanum utrisq; prodest, sic etiam animę sanitas. Corporis uirtutes appello, sanitatem, robur, sensuum integritatem, pulchritudinem. Cæterum sunt ex uirtutibus quæ magis uiro conueniant, ut fortitudo, prudentia, cum propter corporis habitum, tum animæ facultatem. Aliæ mulierem magis decent, ut temperantia. Quocirca hac uirtute instituendam scire opus est ex quot quibusq; rebus hoc bonum mulieri confletur. Cõstat igitur ex istis quinq;, & primum ex sanctitate ac pietate circa matrimonium: Deinde ex ornatu corporis: Tertio ex egressibus è domo propria: Quarto, abstinendo Bacchanalibus, & matris deûm festis: Quinto, ut in sacrificijs erga Deum cauta sit, & moderata. Ex iam dictis maxima & præcipua causa temperantiæ est, quæ facit ut circa coniugium incorrupta sit uxor, nec alieno uiro commisceatur. Principio enim hac parte si peccet, offendit natalitios deos, ut quæ domui & cognationi non germanos auxiliatores, sed spurios exhibeat: Quinetiam perfida est erga naturæ deos, per quos iurauerat unà cum parentibus & cognatis suis, se conuicturam legitimè cum marito ad uitæ communionem, & liberorum procreationem. Et in patriam quoq; peccat non persistens in eius statutis. Deinde in hisce rebus delinquere, quibus maxima pœna constituta est mors ipsa, propter magnitudinem sceleris, quod uoluptatis causa & petulantiæ committitur, omnino nefarium, omniq; uenia prorsus indignum est. Petulantiæ autem finis pernicies est. Considerandum & istud, quod nullum inuentura sit remedium purificatorium huius delicti, ut templa deûm ingrediens arasq; accedens, casta & amabilis Deo esse possit. Nam huic sceleri maximè Deus etiam infensissimus est, ac ignoscit minimè. Imprimis uero honestum est matronæ pudicitiam suam erga uirum per formam liberorum suorum testari, quod fit si liberi referant typum similitudinis sui genitoris. Et hactenus de ipso coniugio. Cæterum quod ad corporis ornatum, illum probo qui albus, simplex, & minimè superfluus fuerit: uestes translucidas, uarias, discolores, & à bombyce contextas corpori non induat. Sic enim nimium ornatum, luxuriam, & comptum effugiet, nec improbo zelo alios afficiet. Aurum uero & smaragdum omnino non usurpet. Nam & nimio constat, & superbiam præ popularibus arguit. Ciuitatem autem bene institutam per omnes sui partes ex ęquo rectè constitui, afficiq; mutuo consensu, & similibus uti legibus, ac huiusmodi rerum opifices expellere, oportet. Facies uero non ascititio & alieno colore decoretur, sed genuino & proprio corporis, & aqua simplici abluatur, ac pudore potissimum ornetur. Ita enim tum uirum tum seipsam honorabilem magis efficiet. Egrediantur autem domo matronæ populares, sacra facturæ deo ciuitatis principi & custodi pro se, & maritis suis, totaq; familia. Verum nec instante nocte, neque uespera, sed foro hominibus pleno palàm exeat mulier, uel ad spectandum aliquid, uel emendum, ab una ancilla, aut plurimum duabus honestè deducta. Fiant autem sacrificia dijs frugalia, & pro facultatibus. Cæterum Bacchi & matris deûm sacris domi celebrandis abstineat. Etenim ciuitatis publica lege constitutum est alioqui, ne festis huiusmodi intersint. Et sanè inducunt ebrietates, mentemq; alienant istæ ceremoniæ: matrem familiâs autem, quæ domui regendæ præest, temperantem pudicam & intactam esse conuenit.

[Νικοστράτου.] [ergo ἦ.] [lego ὀκνήσεις. * lego ἀναπείσεις. † lego οὐ. * malim δευτέρα]

λιστα ἀεὶ πρεσβεύειν, δαπάνης τε τῆς διδομένης ὑπὸ τύχης, τὸ μέτεον τοῖς κεκμηκόσι νέμοντα. ταῦτα οὖν ποιεῦντες, καὶ περὶ ταῦτα ζῶντες ἑκάστοτε ἕκαστοι τὴν ἀξίαν παρὰ θεῶν, καὶ ὅσοι κρέττονες ἡμῶν κομιζοίμεθα, ἐν ἐλπίσιν ἀγαθαῖς διάγοντες τὸ πλεῖστον τοῦ βίου.

Περικτιόνης πυθαγορείας, ἐκ τοῦ περὶ γυναικός.

Οὔτε λέξαι δεῖ κακὸν γονέας, οὔτε ἔρξαι. πείθεσθαι δὲ μικροῖσί τε καὶ μεγάλοισι γονεῦσιν. ἐν πάσῃ δὲ ψυχῆς τε καὶ σώματος τύχῃ, καὶ τῇ ἔξωθεν, καὶ ἔν τε εἰρήνῃ ἢ πολέμῳ καὶ ὑγιείῃ, καὶ πλούτῳ καὶ χρείῃ, καὶ δόξῃ καὶ ἀδοξίῃ, καὶ ἰδιώτῃσι καὶ ἄρχουσιν, ὁμουρέειν δεῖ καὶ φεύγειν μηδέποτε. πείθεσθαι δὲ μονονουχὶ καὶ μανίῃ. πεπνυμένα γὰρ ταῦτα καὶ χρήγυα τοῖσιν εὐσεβέουσιν. εἰ δέ τις γονέας ὑπερφρονέοι, ἰδέῃ κακῶν ταύτῃ καὶ ζώσῃ καὶ θανούσῃ ἁμαρτία παρὰ θεοῖσι γράφεται, ὑπό τε ἀνθρώπων μισέεται, καὶ ὑπὸ γῆν μετὰ τῶν ἀσεβῶν ἐν τουτέῳ τῷ χώρῳ δι' αἰῶνος κακοῖσιν ἀπτομένη ὑπὸ δίκης καὶ τῶν ἔνερθεν θεῶν, οἳ τούτων ἐπίσκοποι ἐτάχθησαν τῶν πρηγμάτων. θεῖη γὰρ καὶ καλὴ ὄψις γονέων. καὶ ἡ τουτέων ὄψις καὶ θεραπείη, ὁκόσῃ οὐδὲ ἡλίου, οὐδὲ πάντων ἄστρων, τὰ οὐρανὸς ἐναψάμενος † ἀμφιλοχορεύει, καὶ εἴ τι ἄλλο δοκέει τις χρῆμα μέζον εἶναι, * καὶ θεωρίην ἐόντων. δοκέω δὲ μὴ θεοὺς φθονέειν, ὁκότε τοῦτο ὁρέωσι γιγνόμενον. καὶ ζῶντας οὖν καὶ ἀποιχομένους σέβειν χρή, καὶ μηδέποτε ἀντιλεγαίνειν. ἀλλ' ἢν καὶ ἀγνοῶσι νούσῳ, ἢ ἀπάτῃ, παρηγορέειν καὶ διδάσκειν. ἐχθραίνειν δὲ μηδαμῇ. μέζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων, οὐκ ἂν γένοιτο, ἢ ἐς πατέρας ἀσεβεῖν.

forte ἱμειρόμενα
*Locus apparet corruptus.

Μουσωνίου.

Νεανίας τις, ὃν ὁ πατὴρ φιλοσοφεῖν βουλόμενον ἐκώλυεν, ἤρετο αὐτὸν ὧδέ πως. ἆρά γε ὦ Μουσώνιε χρὴ πάντα πείθεσθαι τοῖς γονεῦσιν, ἢ ἔστιν ἃ καὶ παρακουστέον αὐτῶν; καὶ ὁ Μουσώνιος: πείθεσθαι μὲν ἔφη μητρὶ ἢ πατρὶ τῷ ἑαυτοῦ ἕκαστον φαίνεται καλόν, καὶ ἐπαινῶ ἔγωγε. τί μέντοι τὸ πείθεσθαί ἐστι, θεασώμεθα. μᾶλλον δὲ πρότερον τὸ ἀπειθεῖν, ὁποῖόν τι, καὶ ὁ ἀπειθὴς ὅστις, καταμάθωμεν, εἶθ' οὕτως ὀψόμεθα τὸ πείθεσθαι ὁποῖόν τί ἐστι. φέρε δή, εἰ τῷ νοσοῦντι ὁ πατὴρ οὐκ ὢν ἰατρός, οὐδὲ ἔμπειρος ὑγιεινῶν τε καὶ νοσερῶν, προστάττοι τι ὡς ὠφέλιμον, τὸ δὲ, εἴη βλαβερὸν καὶ ἀσύμφορον, καὶ μὴ λανθάνοι τὸν νοσοῦντα τοιοῦτον ὄν, ἆρά γε μὴ πράττων ἐκεῖνος τὸ προσταχθέν, ἀπειθεῖ τε καὶ ἀπειθής ἐστιν; ἀλλ' οὐκ ἔοικε. τί δέ, εἴ που ὁ πατὴρ νοσῶν αὐτὸς οἶνον ἢ τροφὴν αἰτεῖ παρὰ καιρόν, μέλλων εἰ λάβοι τὴν νόσον μείζω ποιεῖν, ὁ δὲ παῖς τοῦτο εἰδὼς μὴ διδοίη, ἆρά γε ἀπειθεῖ τῷ πατρί; οὐκ ἔστιν εἰπεῖν. καὶ πολύ γε τούτου ἧττον ἐκεῖνον οἶμαι φαίη ἄν τις ἀπειθῆ εἶναι, ὅστις πατέρα φιλοκερδῆ ἔχων, κελευόμενος ὑπ' αὐτοῦ κλέπτειν, ἢ παρακαταθήκην ἀποστερεῖν, οὐχ ὑπουργεῖ τῷ προστάγματι. ἢ οὐκ οἴει σύ τινας εἶναι πατέρας, οἳ τοιαῦτα τοῖς ἑαυτῶν παισὶ προστάττουσιν; ἐγὼ μὲν οἶδά τινα οὕτω πονηρόν, ὅς γε υἱὸν ἔχων ὡραῖον, τὴν ὥραν ἀπέδοτο αὐτοῦ. εἰ οὖν ἐκεῖνο τὸ μειράκιον τὸ * πεπραγμένον, πεμπόμενον ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν αἰσχύνην, ἀντέλεγε καὶ οὐκ ἀπῄει, πότερον ἀπειθὲς αὐτὸ μειράκιον ἔφαμεν εἶναι, ἢ σωφρονεῖν; ἢ οὐδὲ ἐρωτᾶν τουτό γε ἄξιον. καὶ γὰρ δὴ τὸ μὲν ἀπειθεῖν καὶ ὁ ἀπειθής, λοιδορία ἐστὶ καὶ ὄνειδος: τὸ δὲ μὴ πράττειν ἃ μὴ χρὴ οὐκ ὄνειδος, ἀλλ' ἔπαινος. ὥστε εἴτε πατρός, εἴτε ἄρχοντος, εἴτε καὶ νὴ Δία δεσπότου προστάγματι μὴ ὑπουργεῖ τις κακὰ προστάττοντος, ἢ ἄδικα ἢ αἰσχρά, οὐκ ἀπειθεῖ οὐδαμῶς, ὥσπερ οὐδ' ἀδικεῖ, οὐδ' ἁμαρτάνει. ἀλλ' ἐκεῖνος ἀπειθεῖ μόνος ὁ τῶν εὖ καὶ καλῶς καὶ συμφερόντως προσταττομένων, ἀφροντιστῶν καὶ παρακούων. ὁ μὲν οὖν ἀπειθής, τοιοῦτός τίς ἐστιν. ὁ δὲ εὐπειθής, ἔχει μὲν ἐναντίως τούτῳ, καὶ ἔστιν ἐναντίος: εἴη δ' ἄν, ὁ τῷ τὰ προσήκοντα παραινοῦντι, κατήκοος ὤν, καὶ ἑπόμενος ἑκουσίως, οὗτος εὐπειθής. ὅθεν καὶ γονεῦσι τοῖς ἑαυτοῦ τότε πείθεταί τις, ὅταν χρηστὰ παραινούντων αὐτῶν, ταῦτα πράττῃ ἑκών. ἐγὼ μέντοι κἂν μὴ παραινούντων τῶν γονέων, πράττῃ τις ἃ χρὴ καὶ συμφέρει αὐτῷ, φημὶ τοῦτον πείθεσθαι τοῖς γονεῦσι. καὶ ὅτι ὀρθῶς φημί, σκόπει οὕτως. ὁ γὰρ δὴ πράττων ἃ βούλεται ὁ πατήρ, καὶ ἐν τῇ βουλήσει τοῦ πατρὸς ἑπόμενος, πείθεται οἶμαι τῷ πατρί. ὁ δέ, πράττων ἃ δεῖ, καὶ ἃ κρεῖττόν ἐστι, τῇ βουλήσει ἕπεται τοῦ πατρός. τίνα τρόπον; ὅτι πάντες οἱ γονεῖς εὐνοοῦσι δήπου τοῖς ἑαυτῶν παισίν. εὐνοοῦντες δέ, βούλονται ἃ χρὴ καὶ συμφέρει πράττεσθαι ὑπ' αὐτῶν. ὅστις οὖν πράττει τὰ προσήκοντα, καὶ τὰ συμφέροντα, πράττει οὗτος ἃ βούλονται οἱ γονεῖς. ὥστε πείθεται τοῖς γονεῦσι ταῦτα πράττων,

lego πεπραμένον.

καὶ

& noua quotidie repetita memoria semper parentes summopere honorare, impendio moderatè pro fortuna utentes. Si hæc seruabimus, uitamq́ semper ita agemus singuli, digna à dijs cæterisq́ natura nostra superioribus omnibus præmia reportabimus, plurimum bona cum spe uiuentes.

Mali quicq̃ parentibus nec dicto neq; facto exhibere oportet: sed obedire cuiuscunq; conditionis fuerint. Item in quacunq; corporis, animi, rerúmue externarum fortuna, in pace, bello, sanitate, morbo, diuitijs, paupertate, gloria, infamia, siue priuatis, siue in magistratu constitutis parentibus, adesse ipsis oportet, nec unquã deserendi sunt: obediendumq́ tantum non etiam insanis. Hæc enim sapienter & rectè fieri à pijs hominibus existimantur. Contemptus autem parentum, peccati genus eiusmodi est, quod in uiuis simul atq; defunctis diuinitus damnatur, ab hominibus odio habetur, & sub terra in loco impiorum unà cum reliquis improbis perpetuò punitur à iustitia & infernalibus dijs, qui his rebus inspiciendis destinati sunt. Honestissima enim est, imò diuina parentum facies. Et aspectus cultusq́ eorũ tanti fieri debet, quanti nec Solis fit, neq; omnium syderũ, quæ gratissimas cœli choreas constituunt: aut si qua alia res istis maior à quoquam æstimatur. * Deos equidem arbitror, si contemni parentes uiderint, haudquaquã id esse toleraturos. Quamobrem & uiuos & mortuos colere par est, nec unquã eis contradicere. Verum si quid ignorent, morbi aut animi deceptionis uitio, consolari atq; docere oportet: odisse nequaquã. Maius em̃ inter homines peccatũ admitti nequit, quàm erga parentes impietas. *Perictyones Pythagoricæ ex libro de muliere.* ** Græcus codex hic mancus est.*

Iuuenis quidam, quem pater philosophandi cupidum prohibebat, Musonium interrogauit his ferè uerbis: An ô Musoni per omnia obsequendum parẽtibus, aut in aliquibus rebus id non faciendum est? Cui ille respondit: Parere quidem unumquenq; suis parentibus decorum uidetur, & abs me commendatur. Sed quidnam sit parere, uideamus: aut primum potius quid sit immorigerum esse, & quis inobediens dispiciamus, postea uero quid obedire. Age si pater, qui medicus non est, neq; salubrium & contrariorum peritus, filiũ ægrotantem aliquid facere iusserit ceu conducibile, quod tamen noxium sit & inutile, ac ipsum ægrum huiusmodi esse non lateat, dicetúrne filius non obtẽperare ac inobediens esse, nisi iussa fecerit? Non equidem uidetur. Item si ipse pater alicuius morbo laborans, uinum aut cibum intempestiuè petierit, ut quibus assumptis ęgritudinem aucturus sit: filius autẽ id sciens non exhibuerit, patríne immoriger ille est? Nemo hoc dixerit. Et multò minus illũ quis inobedientem appellauerit, qui patrem auarum habens, ab eo furari aut deposito fraudare quempiã iussus, non exequitur imperata. An nõ putas aliquos esse patres, qui filijs suis talia imperent? Ego certe quẽdam noui adeò sceleratum, ut filij, quem formosum habebat, pulchritudinem uendere ausus fuerit. Quod si hic adolescentulus à patre uenditus, & missus ad turpe facinus, contradixerit neq; iuerit, an potius inobedientem eum, aut castum & sobrium esse dicemus? Sed fortè huiusmodi ne interrogari quidem merentur: Nam contumacem esse, & non parere, conuiciũ ac opprobrium est: non facere autẽ ea quę non facienda sunt, laudem meretur, non dedecus. Itaq; siue patris, siue magistratus, seu domini præceptis mala, iniusta, uel turpia impantis, nõ obsequẽs qs fuerit, nequaq̃ inobediẽs est, uti etiã neq; iniustè, neq; ppe rã facit. Verũ ille duntaxat im̃origer est, q bene honestè utiliterq́ imperata negligit, & nõ obtẽperat. Talis igitur est inobediẽs. Moriger aũt illi cõtrarius, & cõtrario modo affect⁹ est. Is aũt hoc noĩe appellãdus erit, q obtẽperat & ultrò obsequit recta monẽti. Quamobrẽ & parẽtibus suis tũ demũ aliqs obedit, cũ spontè facit quę ipsi rectè iusserint. Ego sanè illũ qui quæ decẽt & cõducunt fecerit, quãuis sine iussu parentũ, morigerũ parẽtibus esse dixerim. Quod aũt iure ita sentiã, hinc colligere potes. Qui facit quæ pater uult, patrisq́ uoluntatẽ sequitur, patri obedit: faciens aũt quæ oportet & potiora factu sunt, uoluntati patris obsequitur. Quo nam modo? Quoniam parentes omnes liberis suis proculdubio bene uolunt: beneuoli autem cum sint, ea fieri ab ipsis uolunt, quę decora proficuaq́ sunt. Quisquis igitur agit conuenientia & utilia, ea quæ parentes uolunt, agit. Itaque parentibus ista faciens obtemperat, *Musonij.*

κἂν μὴ τῷ λόγῳ κελεύωσιν αὐτὰ πράττειν οἱ γονεῖς. τοῦτο δὴ μόνον προσήκει σκοπεῖν, εἴ τις βούλεται πείθεσθαι τοῖς γονεῦσιν ἐφ᾽ ἑκάστῳ τῶν πραττομένων, εἰ καλὸν καὶ συμφέρον ὃ μέλλει πράξειν ἐστὶν, ἕτερον δὲ οὐδὲν, ὡς ἂν ὑπάρχῃ τοιοῦτον εὐθὺς καὶ τοῦ πράττοντος αὐτὸ πειθομένου τοῖς γονεῦσι. μὴ τοίνυν σύ γε δείσῃς ὦ νεανίσκε, ὡς ἀπειθήσεις τῷ πατρί, ἂν ἢ ἃ μὴ προσήκει δρᾶν κελεύοντος τοῦ πατρὸς ἀπέχῃς τοῦ ταῦτα δρᾶν, ἢ ἃ προσήκει ἀπαγορεύοντος, ταῦτα μὴ δρᾷς. μηδέ σοι πρόφασις ἔστω τοῦ ἁμαρτάνειν ὁ πατὴρ, ἢ κελεύων τι τῶν πράττεσθαι μὴ καλῶν, ἢ ἀπαγορεύων τι τῶν καλῶν. οὐδεμία γὰρ ἀνάγκη σοι, τὰ μὴ εὖ προστεταγμένα ὑπουργεῖν. καὶ τοῦτό μοι δοκεῖς, οὐδ᾽ αὐτὸς ἀγνοεῖν. οὔκουν ἀνέξῃ τοῦ πατρὸς ἐν μουσικοῖς, ἐὰν ἐκεῖνος οὐκ ἐπαΐων μουσικῆς, προστάττῃ κρούειν ἀμούσως τὴν λύραν, ἢ ἐπιστάμενον γράμματα οὐκ ἐπιστάμενος κελεύῃ σε γράφειν, καὶ ἀναγινώσκειν, μὴ ὡς ἔμαθες, ἀλλ᾽ ἑτέρως. οὐδ᾽ εἴ γε ἂν ἐπιστάμενον κυβερνᾶν, οὐκ ἂν κυβερνητικὸς κελεύῃ σε κινεῖν τὸ πηδάλιον, ὡς οὐ προσήκει, οὐ πείσεις αὐτῷ. τί οὖν ταῦτα μὲν ταύτῃ ἔχει· ἂν δέ σε κωλύῃ φιλοσοφεῖν ὁ πατὴρ, εἰδότα καὶ ἀκηκοότα, ὁποῖόν τι φιλοσοφία ἐστὶν αὐτὸς ἀγνοῶν, ἆρά γε πειστέον αὐτῷ, ἢ μεταδιδακτέον μᾶλλον αὐτὸν, ὡς οὐκ εὖ σοι παραινεῖ; ἐμοὶ μὲν οὕτω δοκεῖ. τάχα μὲν οὖν τις καὶ λόγῳ χρώμενος μόνῳ, πείσειεν ἂν τὸν αὐτὸς αὑτοῦ πατέρα διανοεῖσθαι, ἣ προσήκει περὶ φιλοσοφίας, ἄν γε μὴ τέλεον ᾖ σκληρὸς τὴν φύσιν ὁ πατήρ. ἢν οὖν μὴ πείθοιτο τῷ λόγῳ, μηδὲ ἕποιτο· ἀλλὰ τά γε ἔργα πάντως τὰ τοῦ παιδὸς ὑπάξεται αὐτὸν, εἰ φιλοσοφεῖ τῇ ἀληθείᾳ ὁ παῖς. ἔσται γὰρ δὴ φιλοσοφῶν, προθυμότατος μὲν θεραπεύειν τὸν πατέρα θεραπείαν ἅπασαν· κοσμιώτατος δὲ καὶ πρᾳότατος, ἐν τῇ συνουσίᾳ ἥκιστα φιλέρις ὢν, ἢ φίλαυτος, καὶ οὔτε προπετὴς, οὔτε παραχώδης, οὔτ᾽ ὀργίλος. ἔτι δὲ ἐγκρατὴς μὲν εἴη ἂν γλώσσης, γαστρὸς, ἀφροδισίων, καρτερικὸς δὲ πρὸς τὰ δεινὰ καὶ τοὺς πόνους. καὶ νοῆσαι μὲν ὅ, τι καλὸν ἱκανώτατος· οὐχ ὑπερβαίνων δὲ τὸ φαινόμενον καλόν. ὅθεν καὶ τῶν μὲν ἡδέων ὑφήσεται τῷ πατρὶ πάντων ἑκών· τὰ δὲ ἐπίπονα περὶ ἐκείνου δέξεται αὐτός. τοῦτον οὖν υἱόν τις μὲν οὐκ ἂν ἔχειν εὔξαιτο τοῖς θεοῖς; τίς δ᾽ αἰεὶ ἔχων οὐκ ἀγαπήσει; εἰ δ᾽ αὐτὸν ὑπάρξειν αὐτῷ ζηλωτὸν εἶναι καὶ μακαριστὸν πατέρα, παρὰ τοῖς εὖ φρονοῦσι πᾶσιν. εἰδ᾽ οὖν, ὦ νεανίσκε, * καὶ τοιοῦτος ὢν ὁ ποῖος ἔσῃ πάντως, ἄν γε ἀληθῶς φιλοσοφῇς, οὐχ ὑπάξῃ τὸν πατέρα τὸν σὸν, οὐδὲ πείσεις ἐπιτρέπειν σοι καὶ συγχωρεῖν ταῦτα πράττειν. ἐκεῖνο λόγισαι. ὁ πατὴρ ὁ σὸς, κωλύει σε φιλοσοφεῖν. ὁ δέ γε κοινὸς ἁπάντων πατὴρ ἀνθρώπων τε καὶ θεῶν Ζεὺς, κελεύει σε καὶ προτρέπει. πρόσταγμά τε γὰρ ἐκείνου καὶ νόμος ἐστὶ, τὸν ἄνθρωπον εἶναι δίκαιον, χρηστὸν, εὐεργετικὸν, σώφρονα, μεγαλόφρονα, κρείττω πόνων, κρείττω ἡδονῶν, φθόνου παντὸς καὶ ἐπιβουλῆς ἁπάσης καθαρόν. ἵνα δὲ συντομώτερον εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ θεοῦ. τὸ δέ γε εἶναι ἀγαθὸν, τῷ φιλόσοφον εἶναι ταυτόν ἐστιν. εἰ δὴ τῷ πείθεσθαι πατρὶ, τῷ ἀνθρώπῳ ἕπεσθαι μέλλεις, εἰ δὲ φιλοσοφοίης τῷ Διὶ, δῆλον ὡς φιλοσοφητέον σοι μᾶλλον, ἢ οὔ. ἀλλὰ νὴ Δία εἴρξει σε ὁ πατὴρ, καὶ κατακλείσας ἕξει, ἵνα δὴ μὴ φιλοσοφῇς. ταῦτα μὲν ποιήσει ἴσως, τοῦ δέ γε φιλοσοφεῖν, οὐκ ἀπείρξει σε μὴ βουλόμενον. οὐ γὰρ χειρὶ, ἢ ποδὶ φιλοσοφοῦμεν, οὐδὲ τῷ ἄλλῳ σώματι· ψυχῇ δὲ, καὶ ταύτης ὀλίγῳ μέρει, ὃ δὴ οἶμαι διάνοιαν καλοῦμεν. ταύτην γε μὴν ἐν ὀχυρωτάτῳ ἵδρυσεν ὁ θεὸς, ὥστε ἀόρατον εἶναι καὶ ἄληπτον, καὶ ἀνάγκης πάσης ἐκτὸς, ἐλευθέραν καὶ αὐτεξουσίαν. ἄλλως τε ἐὰν τύχῃ οὖσα χρηστὴ, οὐ δυνήσεταί σε κωλύειν ὁ πατὴρ, οὔτε χρῆσθαι τῇ διανοίᾳ, οὔτε ἃ χρὴ διανοεῖσθαι, οὔτε ἀρέσκεσθαι μὲν τοῖς καλοῖς, μὴ ἀρέσκεσθαι δὲ τοῖς αἰσχροῖς. οὐδ᾽ αὖ τὰ μὲν, αἱρεῖσθαι, τὰ δὲ, ἐκκλίνειν. ταῦτα μὲν ποιῶν, εὐθὺς φιλοσοφοίης ἂν, καὶ οὔτε τρίβωνα πάντως ἀμπέχεσθαι δεήσει σε, οὔτε ἀχίτωνα διατελεῖν, οὐδὲ κομᾶν, οὐδ᾽ ἐκβαίνειν τὸ κοινὸν τῶν πολλῶν. πρέπει μὲν γὰρ καὶ ταῦτα τοῖς φιλοσόφοις. ἀλλ᾽ οὐκ ἐν τούτῳ τὸ φιλοσοφεῖν ἐστιν, ἀλλ᾽ ἐν τῷ φρονεῖν ἃ χρὴ καὶ διανοεῖσθαι.

malim ὅ.

Ἱεροκλέους ἐκ τοῦ πῶς χρηστέον γονεῦσι. malim ἴσως.

Μετὰ τὸν περὶ θεῶν καὶ πατρίδος λόγον, τίνος μᾶλλον ἂν προσώπου μνησθείη τις πρῶτον ἢ γονέων; ὅθεν λεκτέον περὶ τούτων. τοὺς δευτέρους καὶ ἐπιγείους τινὰς θεοὺς εἰπὼν, οὐχ ἁμάρτοι τις, ἕνεκά γε τῆς ἐγγύτητος, εἰ θέμις εἰπεῖν, καὶ θεῶν ἡμῖν τιμιωτέρους. προλαβεῖν δὲ ἀναγκαῖόν ἐστι, καὶ ἀνένδοτος προθυμία πρὸς τὸ ἀμείβεσθαι τὰς εὐεργεσίας αὐτῶν. * ἐπεί τε γὰρ πολὺ καταδεέστερα, κἂν πάνυ πολλὰ πράξωμεν ὑπὲρ αὐτῶν, ἀλλ᾽ ὅμως κινδυνεύει

καὶ

etsi parentum uerbis iussus non fuerit. Proinde solum hoc illi qui parentibus obedire uolet, ubiq; consyderetur, an quod agit, honestum & utile sit, tanquã si tale fuerit, statim is à quo agitur, parentibus obediat. Quocirca ne time adolescens ne patri fias imoriger, si uel indecorũ quid pręcipiente ipso non facias, uel prohibente honesta, facere pergas. Nam pater in istorũ neutro prætextus peccandi tibi esse debet. Non enim cogeris malè imperata exequi. Sed neq; tu mihi uideris hoc ignorare. Nam in Musicis institutus haud sustineres patrẽ, Musicæ imperitum, & lyram ineptè pulsari iubentem. Neq; si te gubernandi peritum ipse inscius clauum mouere perperã præciperet. Hæc igitur si ita se habent, num patre philosophari te prohibente, qui nosti & audiuisti quid philosophia sit, quod ipse ignorat, obediendum ei? an potius aliter docendus est, quod non rectè tibi præcipiat? Mihi profectò id uidetur. Fieri enim potest ut sola oratione pater persuadeatur de philosophia dignam opinionẽ concipere, nisi planè duro fuerit ingenio. At si uerbis non adduci queat: filij saltem opera omnino ei persuadebunt, si modo filius uerè philosophetur. Talis enim omnibus officijs parentẽ colet: modestissimus & perbenignus erit, minimè contentiosus in colloquio, non sui nimiũ amans, præceps, turbulentus, iracundusq; non erit: continebit linguam, gulam, & libidinẽ: fortis & patiens erit in rebus terrorẽ aut dolorẽ parientibus. Honesta omnia cõmodissimè trutinabit: item ea quæ specie huiusmodi esse uidentur. Quocirca patri quæ iocũdiora sunt libẽter omnia cõcedet: laboriosa ipse prę illo suscipiet. Talẽ sanè filiũ quis nõ diuinitus sibi dari optauerit? Et quis præsentẽ nõ diligeret, ut propter quẽ apud omnes rectè sapiẽtes, fœlicis & beati patris existimationẽ habiturus sit? Vide igit adolescẽs an patrẽ tuũ nõ adducturus sis, neq; persuasurus ut te sinat hæc facere, si talẽ te prębueris, qualis omnino futurus es si rectè philosopheris. Sed hoc tecũ cogita: Pater tuus philosophia tibi interdicit: at Iupiter cõmunis hominũ deũq; pater, iubet ac hortatur. Pręceptũ eñ & lex eius, iubet hominẽ iustũ esse, probũ, beneficũ, temperantẽ, magnanimũ, dolores ac uoluptates superare, ab omni inuidia, fraude, insidijsq; purum esse: in summa, bonum esse hominem diuina lex præcipit. Bonum autẽ & philosophum esse non differunt. Ergo cũ patri obediẽdo hominẽ sequuturus sis, philosophando aũt Iouẽ, sine dubio philosophandũ tibi potius est quã nõ. Sed forte dices, coërcebit me pater, & inclusum à philosophiæ studio prohibebit. Forsan hæc faciet, non tamẽ inuitũ te à philosophia arcebit. Non eñ manu aut pede, neq; reliquo corpore philosophamur: uerũ anima, nec illa quidẽ tota, sed exigua eius parte, quã uocamus mentẽ. Hãc Deus in munitissima sede locauit, ita ut neq; uisu neq; aliter queat percipi, & extra omnẽ uim sita, libera suiq; arbitrij sit. Pręcipuè aũt si bona fuerit anima, pater te prohibere nõ poterit, quĩ utaris mẽte, aut opportuna nõ cogites, probes honesta, improbes turpia: & illa eligas, hæc declines. Hoc faciẽs, mox philosophaberis, neq; palliũ tibi sumendũ, neq; sine tunica degendũ, nec alẽda coma, deniq; nullo modo publica cõsuetudo deserẽda. Licet eñ & hæc philosophos deceãt, at nõ in ipsis sita est philosophia, sed in rectè sapiendo, & meditando.

Hierodis, ex libro quomodo erga parẽtes agendum sit.

Post sermonẽ de dijs & patria, quã psonã prius aliqs memorauerit, et potius q̃ parẽtes? De ipsis igit nobis differendũ est. Si qs ergo parẽtes secũdos ac terrestres quosdã deos dixerit, non errabit, cũ nobis propter uicinitatẽ, si dicere fas est, uel ipsis dijs honorabiliores sint. Necessariũ aũt est ita existimare, & ppetua animi prõptitudine conandũ ut beneficijs ipsorũ paria faciamus. Quantũuis enim multa in eorũ gratiã fecerimus, semper tamen inferiora erunt omnia, quàm esse deberent. Quinetiam

καὶ ταῦτ' ἐκείνων ἔργα τυγχάνειν, ὅτι καὶ ἡμᾶς τοὺς ταῦτα πράττοντας ἐκεῖνοι πεποιήκασιν. ὥσπερ οὖν τὰ ὑπὸ Φειδίου καὶ τῶν ἄλλων τεχνιτῶν ἀπεργασθέντα, εἴπερ καὶ αὐτὰ ἕτερά τινα κατεσκεύαζεν, οὐκ ἂν ὠκνήσαμεν καὶ ταῦτα τῶν τεχνιτῶν ἔργα φάσκειν· οὕτως εἰκότως καὶ τὰ ὑφ' ἡμῶν δρώμενα, λέγοιμεν ἂν εἶναι τῶν γονέων ἡμῶν ἔργα, δι' οὓς καὶ ἡμεῖς γεγόναμεν. πρὸς οὖν τὴν εὐμαρῆ τῶν ἐπ' αὐτοὺς καθηκόντων αἵρεσιν, κεφαλαιώδη τινὰ χρὴ προβαλλομένους λόγον, τοῦτον ἐν προχείρῳ διηνεκὲς ἔχειν· ὡς οἱ γονεῖς θεῶν ἡμῖν εἰκόνες, καὶ νὴ Δία θεοὶ ἐφέστιοι καὶ εὐεργέται, καὶ συγγενεῖς, δανεισταί τε καὶ κύριοι, καὶ φίλοι βεβαιότατοι. θεῶν τε γὰρ εἰκόνες βεβαιόταται, καὶ ὑπὲρ τὰς τῶν τεχνῶν δυνάμεις, κατ' ἐναργὲς τῆς ἐμφερείας. θεοί τε γὰρ ἑστιοῦχοι, καὶ συνδίαιτοι ἡμῖν. ἔτι δ' εὐεργέται μέγιστοι, καὶ παρεσχημένοι τὰ μέγιστα, καὶ μὰ Δί' οὐχὶ μόνον ἃ ἔχομεν, ἀλλὰ καὶ ὁπόσα παρέχειν ἐβουλήθησαν, ἅ τε καὶ εὔξαντο. πρὸς δὲ τούτοις, συγγενεῖς ἔγγιστα, καὶ τῆς πρὸς ἑτέρους αἴτιοι συγγενείας. δανεισταὶ δὲ τῶν τιμιωτάτων, μόνα ἀπαιτοῦντες, ὧν καὶ ἡ ἀπόδοσις πάλιν εὖ ἡμῶν εὐεργεσία. τί γὰρ τηλικοῦτον παιδὶ κέρδος, ἡλίκον εὖ τὸ πρὸς τοὺς γειναμένους εὐσεβὲς καὶ εὐχάριστον; κύριοί γε μὴν δικαιότατα. τίνος γὰρ κτῆμα μᾶλλον εἴημεν ἢ ἐκείνων, δι' οὓς ἐσμέν; οὐ μὴν ἀλλὰ καὶ φίλοι καὶ παραστάται διηνεκεῖς καὶ αὐτόκλητοι, παντὸς καιροῦ, καὶ πάσης περιστάσεως
malim ἰδίᾳ. ἐπίκουροι. * ἰδὶ δὲ τῶν προκατειλεγμένων ἁπάντων τὸ ἐξοχώτατον ἦν ὄνομα γονεῦσι, καθὸ θεοὺς αὐτοὺς ἀπεκαλοῦμεν, τῇ τοιᾷδε ἐπινοίᾳ προσθετέον ἕτερον· καὶ νομιστέον ἑαυτοὺς καθάπερ ἐν ἱερῷ τῇ οἰκίᾳ ζακόρους τινὰς καὶ ἱερέας, ὑπ' αὐτῆς κεχειροτονημένους καὶ καθιερωμένους τῆς φύσεως, ἐγκεχειρίσθαι τὴν τῶν γονέων θεραπείαν. ὅθεν καὶ διελόντες τὰς ἐπιμελείας, τὸ μὲν εἰς σῶμα, τὸ δ' εἰς ψυχήν, καθ' ἑκάτερον αὐτῶν μετ' ἑκάστης προθυμίας, πειθαρχεῖν τε περὶ λόγῳ τι βουλόμενοι, τὸ καθῆκον ἐκπληρώσομεν. τῆς μὲν οὖν σώματος ἕνεκα, βραχὺς ὁ λόγος, εἰ καὶ ἀναγκαῖος. παρασκευαστέον γὰρ τροφῆς αὐτοῖς ἐλευθερίου, καὶ πρὸς τὴν ἀσθένειαν τοῦ γήρως ἡρμοσμένης. ἔτι δὲ κοίτης, καὶ ὕπνου, ἀλείμματός τε καὶ λουτροῦ, καὶ ἐσθῆτος, καὶ ἁπαξαπλῶς τῶν ἕνεκα τοῦ σώματος ἀναγκαίων· ὡς περὶ μηδὲν τούτων ἐνδεεῖς ποτὲ γενέσθαι, μιμούμενοι τὴν αὐτῶν ἐκείνων περὶ τὴν ἡμε-
potius ἀνατροφὴν τέραν * ἀναστροφήν.

Ξενοφῶντος ἐν δευτέρῳ ἀπομνημονευμάτων.

Αἰσθόμενος δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν αὐτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, εἰπέ μοι ἔφη ὦ παῖ. οἶσθα τινὰς ἀνθρώπους ἀχαρίστους καλουμένους; καὶ μάλα ἔφη ὁ νεανίσκος. καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; ἔγωγ' ἔφη· τοὺς γὰρ εὖ παθόντας ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; ἔμοιγ' ἔφη. ἤδη δέ ποτε ἐσκέψω, εἰ ἄρα ὥσπερ τὸ ἀνδραποδίζεσθαι, τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον· οὕτω καὶ τὸ ἀχαριστεῖν, πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον; καὶ μάλα ἔφη· καὶ δοκεῖ μοι ὑφ' οὗ ἄν τις εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου, μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. οὐκοῦν, εἰ οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία, ἡ ἀχαριστία. συνωμολόγει. οὐκοῦν, ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη. συνέφη καὶ τοῦτο. τίνας οὖν ἔφη ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐεργετημένους, ἢ παῖδας ὑπὸ γονέων, οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι· τοσαῦτα δὲ καλὰ ἰδεῖν, καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώ-
al. παντὸς ποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ * πάντων ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτά, πάντων μάλιστα φεύγομεν. καὶ αἱ πόλεις ἤδη τοῖς μεγίστοις ἀδικήμασι ζημίαν, θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ, φόβῳ τὴν ἀδικίαν παύσοντες. καὶ μήν, οὐ τοῦ γε ἀφροδισίων ἕνε-
al. τῶν γε. κα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνεις. ἐπεὶ * τούτου γε τῶν ἀπολυσόντων, μεσταὶ μὲν αἱ ὁ-
al. σκοπούμενοι. δοί, μεσταὶ δὲ οἰκήματα. φανεροὶ δ' ἐσμὲν καὶ * σκοποῦμεν, ἐξ ὁποίων ἂν γυναικῶν, βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. καὶ ὁ μὲν γ' ἀνήρ, τήν τε συντεκνοποιοῦσαν ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα. ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς τροφῆς, ἧ καὶ αὐτὴ

τρέφεται

propemodũ actiones nostræ omnes illorũ uideri possunt, ut qui nos etiã hæc agentes produxerint. Quemadmodũ enim Phidiæ aut aliorũ artificũ opera, si & ipsa rursus alia quæpiã facerent, ea quoq; non dubitaremus opera nominare artificum: eodem modo actiones etiã nostræ parentũ nostrorum opera esse dicentur, per quos & nos nati sumus. Vt igitur in promptu habeamus, quibus officijs erga parentes obstringamur, summariã hanc sententiã, semp animo uersare oportet: Quod parentes deorũ nobis imagines sint, & per Iouẽ dij lares, seu domestici beneficiorũ autores, cognati, creditores, domini, & amici constantissimi. Sunt enim deorũ imagines certissimæ, & similitudinẽ eorũ nobis referunt melius, quàm ullius artis facultas exprimere possit: cũ tanquã dij, domus patroni & nobis familiares sint. Beneficiorũ itẽ maximorũ nobis autores sunt, & maxima quæq; præstant, non quidẽ ea solum quę habemus, sed quicquid nobis exhibere & optare uoluerint. Ad hęc proximè cognati, & autores cognationis ad alios. Præterea creditores rerũ pretiosissimarũ, ex quibus ea solum repetũt, quorum ipsa redditio iterum nobis beneficiũ est. Quod enim tantum esset filio lucrum, quantũ pietas et gratitudo in parentes? Domini uero iure optimo sunt: nam cuius possessioni potius cederemus, quàm illorum per quos sumus? Deniq; amici, & auxiliarij perpetui spontaneiq; sunt, quouis tempore & casu ferentes opem. Sed quoniam inter omnia hactenus enumerata præstãtissimum est parentis nomen, cuius gratia ipsos appellamus deos, adijciemus quod ad hanc sententiam sequitur: nempe filios existimare debere, se in domo patria, ueluti fano quodam, æditouos & sacerdotes ab ipsa natura creatos & consecratos esse, ut parentum cultui operam darent. Quandoquidem uero duplex cultus est, alter corporis, alter animi, quicquid ad utrumq; pertinet alacriter exequentur, si modo quod ius & ratio iubet facere uoluerint. Est autem minor ratio corporis, necessaria tamen. Itaque liberali uictu, & qui senectutis imbecillitati conueniat, prospiciendum eis est: item lecto, somno, unctione, balneo, & ueste: in summa rebus omnibus corporis curæ necessarijs, ut nulla earum inopia laborent, quemadmodum etiam ipsi à puero nos educauerunt.

Sentiens aũt aliquando suũ filiũ Lamprocleũ, qui maior natu erat, matri suę iratum: Dic mihi ô fili, ait, cognouisti ne unquã homines quosdã qui appellãtur ingrati? Ita prorsus, inquit. Considerasti igitur quos homines, & cũ quid agãt, hoc nomine appellãt? Consideraui, ait: illos nanq; qui beneficijs acceptis nõ reddũt gratias, cũ possint, ingratos appellãt. Hos uero ingratos cum iniuriosis cõnumerandos esse putas? Ita, inquit. Quid uerò, considerasti ne unquã, mancipare amicos iniustũ esse, inimicos iustũ? Sic etiã ingratũ esse erga quidẽ amicos iniustũ, erga uerò inimicos iustum? Omnino, ait, cõsideraui: ac mihi apparet à quocũq; quispiã beneficijs affectus, siue amico, siue inimico, non conatur gratias reddere, iniustus esse. Si igitur hæc tibi uera uidentur, manifesta iniuria ingratitudo esset profecto. Cõcessit. Quãto ergo maioribus quisq; beneficijs acceptis nõ reddit gratias, tanto iniustior esset. Et hoc etiã cõcessit. Quos igitur, aut à quibus putas maioribus beneficijs affici, quàm liberos à parentibus? quibus primo ut sint, & uiuãt, deinde ut tot bona uideãt, illorũq; participes fiãt, quęcunq; dij hominibus præbẽt, parẽtes causa fuerũt: quę tã magna existimatione digna omnes arbitramur, ut priuationẽ illorũ, magis quàm alia fugiamus. Ciuitates quoq; pro maxima pœna delictis in maximis mortẽ sanxerunt, tanquam maioris mali timore nõ possint iniurias coërcere. Nam non putes uelim propter Venereas res homines filios procreare, cũ ad hunc seruorẽ libidinis soluendũ, nõ parua sine labore munereq; uxorio facultas existat. Quapropter nõ parũ cogitamus à quibus mulieribus quàm optimi filij nobis propagari possint: quibus, cũ tales inueniantur conuenientes, prolem procreamus. Et uir quidem ipsam uxorem ex qua suscepturus est liberos, alit, futuris quoq; liberis omnia præparat, quæcunque conductura eis ad uitam putet, & hæc quàm plurima possit. Mulier uerò concipiens tolerat hoc onus cum grauamine & periculis uitæ, alimento suo nutriens

Xenophõtis lib. 2. de factis & dictis Socratis.

τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενεγκοῦσα, καὶ τεκοῦσα, τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν, οὔτε γινῶσκον τὸ βρέφος, ἀφ' ὅτου εὖ πάσχει· οὐδὲ σημαίνειν δυνάμενον, ὅτου δεῖται· ἀλλ' αὐτὴ στοχαζομένη τά τε συμφέροντα, καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον καὶ ἡμέρας καὶ νυκτὸς ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα, εἴ τινα τούτων χάριν ἀπολήψεται. καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον· ἀλλὰ καὶ ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι. πρὸς ταῦτα ὁ νεανίσκος εἶπεν· ἀλλά τοι εἰ ταῦτα πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν αὐτῆς δύναιτο ἀνασχέσθαι τὴν χαλεπότητα.

καὶ ὁ Σωκράτης, πότερα δὲ ἔφη οἴει, θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι, ἢ μητρός. ἐγὼ μὲν οἶμαι ἔφη μητρός γε τοιαύτης. ἤδη ποτὲ οὖν ἢ δάκνουσα κακόν τί σοι ἔδωκεν, ἢ λακτίσασα οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον; ἀλλὰ νὴ Δία ἔφη, λέγει, ἃ οὐκ ἄν τις ἐθέλοι διὰ βίου παντὸς ἀκοῦσαι. σὺ δὲ πόσα ἔφη ὁ Σωκράτης οἴει ταύτῃ δυσάνεκτα, καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων, καὶ ἡμέρας καὶ νυκτὸς πράγματα παρασχεῖν; πόσα δὲ λυπῆσαι

al. ἠχθέσθη κάμνων· ἀλλὰ οὐδὲ πώποτε αὐτὴν ἔφη, οὔτε εἶπα, οὔτε ἐποίησα οὐδὲν, ἐφ' ᾧ * ᾐσχύνθη. τί δαί, οἴει, ἔφη χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὕτη λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις ἀλλήλοις τὰ ἔσχατα λέγωσιν; ἀλλὰ οἶμαι ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων, οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. σὺ δ' εὖ εἰδὼς, ὅ, τι ἃ λέγει σοι ἡ μήτηρ οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει· ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι, οἷα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις, ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι; οὐ δῆτα ἔφη, τοῦτό γε οὐκ οἶμαί γε. καὶ ὁ Σωκράτης, οὐκοῦν ἔφη σὺ ταύτην εὔνουν τέ σοι οὖσαν, καὶ ἐπιμελουμένην, ὡς μάλιστα δύναται κάμνοντος, ὅπως ὑγιαίνῃς τε, καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ, καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φῄς; ἐγὼ μὲν οἶμαι εἰ τοιαύτην μὴ δύνασαι φέρειν μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν. εἰπὲ δή μοι ἔφη, πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν, ἢ παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, μήτε * πείθεσθαι, μήτε στρατηγῷ, μήτε ἄλλῳ ἄρχοντι; ναὶ μὰ

al. ἕπεσθαι Δία ἔγωγε ἔφη. οὐκοῦν ἔφη ὁ Σωκράτης τῷ γείτονι βούλῃ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίνηται συλλήπτωρ, καὶ ἀντισφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθήσῃ; ἔγωγε ἔφη. τί δαὶ συνοδοιπόρον, ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἂν σοι διαφέρει φίλον ἢ ἐχθρὸν γίνεσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι; ἔγωγε ἔφη. εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα, τὴν πάντων μάλιστά σε φιλοῦσαν, οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶδα ὅτι καὶ ἡ πόλις, ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας; ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον. ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξαντος. καὶ νὴ Δία ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις, ἐν

al. παραιτήσῃ ταῖς τῶν ἀρχόντων δοκιμασίαις. σὺ οὖν ὦ παῖ ἐὰν σωφρονῇς, τοὺς μὲν θεοὺς * παραιτήσῃ συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, μή σε οὗτοι νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν

al. πάντες εὖ ποιεῖν· τοὺς δὲ ἀνθρώπους οὐ φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα, * πάντες ἀτιμάσωσιν. εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι,

Parēthesi inclu- οὐδεὶς ἂν νομίσειεν εὖ σε ποιήσας, χάριν ἀπολήψεσθαι (σοφίας τῶν δὲ φιλοσοφησάντων ἔνιοι εὑρεῖν
sa corrupta sunt φασι τὸ θήραμα, ὡς Ἐπίκουρος καὶ οἱ Στωϊκοί. οὕτως ἔλεγε Σωκράτης καὶ Πύρρων.)
& apud Xeno-
phontem non le-
guntur.

ΠΕΡΙ ΘΕΩΝ, ΛΟΓΟΣ οη'.

Πλάτωνος.

ΕΑΝ οὖν ὦ Σώκρατες, πολλὰ πολλῶν εἰπόντων περὶ θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως μὴ δυνατοὶ γιγνώμεθα πάντῃ πάντως αὐτοὺς ἑαυτοῖς ὁμολογουμένους λόγους καὶ ἀπηκριβωμένους ἀποδοῦναι, μὴ θαυμάσῃς. ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας, ἀγαπᾶν χρὴ, μεμνημένους, ὡς ὁ λέγων * ἡμεῖς τε καὶ οἱ κριταὶ, φύσιν ἀνθρωπίνην ἔχομεν.

al. ἡμεῖς τε οἱ κριταὶ

ὥστε περὶ (τούτων

puerum, magno multoq; cum labore usq; ad partū perueniens. Postea etiam nutrit, atq; pro eo procurat, à quo tamen nunquā antea beneficij quippiā acceperat, quiq; nō modo ignorat qui ei benefacit, sed neq; declarare potest quibus indigeat. Mater uero per coniecturā quæ conducant, quæq; grata sint eis, conatur adimplere: Multoq; tempore nutrit die noctuq; laboribus affecta, ignorās quàm istorum omnium mercedem habitura sit. Et non sufficit solum nutrire, sed cum uidentur filij posse dis cere quicquam, quæcunq; ipsimet parentes ad uitā utilia habent, docent. Quę uero putant aliū magis posse docere, pro his ad illū liberos ut doceantur, mittunt cū sumptibus, omnibusq; modis procurant, ut quàm optimi liberi eis efficiantur. Ad hæc adolescentulus ait: Etsi hæc omnia cæteraq; his multò fecerit plura, nullus tamē posset profectò duritiem matris meæ sufferre. Tum Socrates: Vtrū, ait, feræ immanitatē putas difficiliorem ad sufferendum esse, an matris? Ego quidē, inquit, matris puto, quæ talis sit. Nū igitur unquā aut momordit, aut recalcitrauit tibi, quemadmodum multi à feris affecti sunt? Nō ista: sed ea dicit, inquit, me hercle, quę nullus unq̃ audire uelit. Tu aūt quot, Socrates ait, ei molestias tū dicto, tū facto, à prima ætate, die noctuq; præstitisti? aut quantū doloris attulisti ægrotationibus uexatus? Nihil tamen, ait, unq̃ aut feci aut dixi, cuius * illā puderet. Quid uerò, inquit, difficilius tibi putas *al. me. esse, quæcūq; illa dicit audire, an histriones, cū in tragœdijs alter alteri maximas contumelias dicāt? Sed tamē, ut arbitror, quoniā nō putant nec illum qui redarguit, propterea redarguere, ut damnū inferat, nec illū qui minatur propterea minari ut mali quicquā faciat, æquo animo ferunt. Tu aūt cū haud ignores, quod quicquid mater dicit, nō modo nō ut maleuola tibi dicit, sed uolens tot tibi bona fore, q̃t nulli alij, ęgre feres, aut opinaberis maleuolā tibi matrem esse? Minime, inquit, hoc opinor. Si itaq;, Socrates ait, istā cū beneuola tibi sit, & q̃ maxime potest pro te procuret ut sanus sis, nulloq; priueris necessario, & ad hæc tibi multa bona fieri deos oret & uota red dat, difficilē esse ais, nec potes talē matrē sufferre, ego quidē arbitror bona te nō posse sufferre. Dic autem mihi, inquit: Vtrū aliū quenq̃ putas oportere colere, an arbitraris te nulli hominū unquā oportere placere, neq; sequi, neq; parere neq; duci, neq; alicui principi? Imò quidē, inquit, me hercle. Ergo uicino quoq;, Socrates ait, tu uelis placere, ut & ignē tibi accendat, cū opus fuerit, in aliquoq; bono te iuuet? & si fortuitò in aliquā incideris aduersitatem, tanquā beneuolus & propinquus tibi possit prodesse? Ita equidē, ait. Quid uerò comitē siue in terra, siue in mari, aut alium quenquam, nō arbitraris interesse, amicū aut inimicum habere? an opportunū esse iudicabis amicitiā potius illorū consequi? Ita, inquit. Si itaq;, Socrates ait, istorū omniū amicitiam magni existimandā esse putas, nónne matrē etiam quæ plus te omnibus istis amat, putas oportere colere? An ignoras, quod ciuitas quoq; aliā quidem non nimiū curat ingratitudinē, nec in iudiciū cōpellit, sed despicit, si quis beneficijs acceptis non reddat gratias? si quis uerò parentes non obseruet, hūc in iudiciū cōpellit, ac reprobat, magistratibusq; omnibus indignū existimat, tanquā ab illo nō possint neq; sacrificia pie sacrificari, nec aliud quicq̃ bene aut iustè agi. Nec solū hoc, sed etiā si quis parentū defunctorū sepulchra nō ornet, hoc etiā ciuitas inuestigat in electionibus magistratuū. Tu itaq; fili, si compos es mentis, & deos ut tibi ignoscant exorabis, si quid matrē neglexisti, ne ingratū te esse existiment, nec benefacere uelint. Ab hominibus quoq; cauebis, ne sentientes q̃d contēnas parētes, pro nihilo te habeāt, & priuatus amicis omnib⁹ effectus fueris. Si eīm te arbitrabūtur erga parētes ingratū esse, nullus putabit te pro susceptis beneficijs fore in referenda gratia memorem.

DE DIIS, SERMO LXXVIII.

CVm ergò ô Socrates multa de dijs mūdiq; generatione à multis dicta sint, *Platonis in Timæo.* ne mireris obsecro, si ratiōes de ijs probatissimas afferre nō possī. Satis eīm factū putare debes, si nō min⁹ probabiles q̃ quis ali⁹ ratiōes attulerim. Aequū est meminisse, & me q differā, & uos q iudicabitis, homines esse: ut si

τούτων τὸν εἰκότα μῦθον ἀποδεχομένους, πρέπει τούτου μηδὲν ἔτι πόρρω ζητεῖν.

Βίων ἔλεγε, γελοιοτάτους εἶναι τοὺς ἀστρονομοῦντας, οἳ τοὺς πὰρ ποσὶ τοὺς ἐν τοῖς αἰγιαλοῖς ἰχθῦς οὐ βλέποντες, τοὺς ἐν τῷ οὐρανῷ φάσκουσιν εἰδέναι.

Πινδάρου. Τοὺς φυσιολογοῦντας ἔφη Πίνδαρος, ἀτελῆ σοφίας καρπὸν δρέπειν.

lego Θρᾷσσα. Θαλῆν εἰς τὸν οὐρανὸν ὁρῶντα, καὶ ἐμπεσόντα εἰς τὸ βάραθρον ἡ θεράπαινα, * θᾶττα οὖσα, δίκαια παθεῖν ἔφη· ὃς τὰ παρὰ ποσὶν ἀγνοῶν, τὰ ἐν οὐρανῷ ἐσκόπει.

Διογένους. Ἀστρολόγου δέ τινος κατ' ἀγορὰν ἐπιδεικνύντος ἔν τινι πινακίῳ καταγραφὰς τῶν ἀστέρων, καὶ φάσκοντος ὅτι οὗτοί εἰσιν οἱ πλανώμενοι τῶν ἀστέρων, ἐπακούσας· μὴ ψεῦδου εἶπεν, ὦ ἑταῖρε. οὐ γὰρ οὗτοί εἰσιν οἱ πλανώμενοι, ἀλλὰ οὗτοι, δείξας αὐτῷ τοὺς παρακαθεζομένους.

Ἀρίστων ἔφη τῶν ζητουμένων παρὰ τοῖς φιλοσόφοις, τὰ μὲν εἶναι πρὸς ἡμᾶς, τὰ δὲ μηδὲν πρὸς ἡμᾶς, τὰ δ' ὑπὲρ ἡμᾶς. πρὸς ἡμᾶς μὲν, τὰ ἠθικά. μὴ πρὸς ἡμᾶς δὲ, τὰ διαλεκτικά· μὴ γὰρ συμβάλλεσθαι πρὸς ἐπανόρθωσιν βίου. ὑπὲρ ἡμᾶς δὲ, τὰ φυσικά. ἀδύνατα γὰρ ἐγνῶσθαι, καὶ οὐδὲ παρέχει χρείαν.

Εὐσεβίου. Θεοὶ ὅτι εἰσὶν, οὐ χρὴ διζῆσθαι. αὐτόθεν δὲ ἄριστον πεπιστευκέναι. ζητήσιος γὰρ προτιθέσης, καὶ ὁ τῷ ἀνοσιωτάτῳ τῶν λόγων τῷ μὴ εἶναι αὐτοὺς συνιστάμενος, ἐθέλει κρατεῖν.

Ἑρμοῦ πρὸς Τάτ. melius τὸ. Θεὸν μὲν νοῆσαι χαλεπόν· φράσαι δὲ, ἀδύνατον. τὸ γὰρ ἀσώματον σώματι σημῆναι ἀδύνατον. καὶ τὸ τέλειον τῷ ἀτελεῖ καταλαβέσθαι, οὐ δυνατόν. καὶ τὸ ἀΐδιον τῷ ὀλιγοχρονίῳ συγγίνεσθαι, δύσκολον. * ὁ μὲν γὰρ, ἀεί ἐστι· τὸ δὲ, παρέρχεται. καὶ τὸ μὲν, ἀληθείᾳ ἐστί· τὸ δὲ, ὑπὸ φαντασίας σκιάζεται. τὸ δὲ ἀσθενέστερον τοῦ ἰσχυροτέρου, καὶ τὸ ἔλαττον τοῦ κρείττονος διέστηκε τοσοῦτον, ὅσον τὸ θνητὸν τοῦ θείου. ἡ δὲ μέση τούτων διάστασις, ἀμαυροῖ τὴν τοῦ καλοῦ θέαν. lego νοεῖ. ὀφθαλμοῖς μὲν γὰρ τὰ σώματα θεατά. γλώττῃ δὲ τὰ ὁρατὰ * λεκτά. τὸ δὲ ἀσώματον καὶ ἀφανὲς καὶ ἀσχημάτιστον, καὶ μήτε ἐξ ὕλης ὑποκείμενον, ὑπὸ τῶν ἡμετέρων αἰσθήσεων καταληφθῆναι οὐ δύναται. ἐννοοῦμαι ὦ Τάτ ἐννοοῦμαι, ὃ ἐξειπεῖν οὐ δυνατόν, τοῦτό ἐστιν ὁ θεός.

Πλάτωνος. Τὴν δὲ πρὸ τῆς οὐρανοῦ γενέσεως, πυρὸς ὕδατός τε, καὶ ἀέρος, καὶ γῆς φύσιν, θεατέον αὐτὴν, καὶ τὰ πρὸ τούτου πάθη. νῦν γὰρ οὐδείς πω γένεσιν αὐτῶν μεμήνυκεν. ἀλλ' ὡς εἰδόσι πῦρ ὅ, τι ποτέ ἐστιν, καὶ ἕκαστον αὐτῶν λέγομεν ἀρχὰς αὐτὰ τιθέμενοι στοιχεῖα τοῦ παντὸς, προσῆκον αὐτοῖς, οὐδ' ὡς ἐν συλλαβῆς εἴδεσι μόνον εἰκότως ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος ἀπεικασθῆναι. νῦν δ' οὖν τόγε παρ' ἡμῶν ὧδε ἐχέτω, τὴν μὲν οὖν ἁπάντων, εἴτε ἀρχὴν, εἴτε ἀρχὰς, εἴτε ὅπῃ δοκεῖ, τούτων πέρι τὸ νῦν οὐ ῥητέον. δι' ἄλλο μὲν οὐδὲν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα. μήτε οὖν ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτε αὐτὸς ἂν πείθειν ἐμαυτὸν ἂν εἴην δυνατός, ὡς ὀρθῶς ἐγχειροῖμ' ἂν, τοσοῦτον ἐπιβαλλόμενος ἔργον. τὸ δὲ κατ' ἀρχὰς ῥηθὲν, διαφυλάττων τὴν τῶν εἰκότων λόγων δύναμιν, πειράσομαι μηδενὸς ἧττον εἰκότα, μᾶλλον δὲ καὶ ἔμπροσθεν ἀπ' ἀρχῆς περὶ ἑκάστων καὶ ξυμπάντων λέγειν.

Τοῦ αὐτοῦ. Περὶ θεῶν ὦ Τίμαιε, λέγοντά τι πρὸς ἀνθρώπους, δοκεῖν ἱκανῶς λέγειν ῥᾷον, ἢ περὶ θνητῶν πρὸς ἡμᾶς. ἡ γὰρ ἀπειρία καὶ σφόδρα ἄγνοια τῶν ἀκουόντων, περὶ ὧν ἂν οὕτως ἔχωσι, πολλὴν εὐπορίαν παρέχεσθον τῷ μέλλοντι λέγειν τι περὶ αὐτῶν.

Ξενοφῶντος ἐκ τῆς πρὸς Αἰσχίνην ἐπιστολῆς. Συντυχών μοι Ἑρμογένης, τά τε ἄλλα διεξῄει, καὶ περὶ σοῦ δὲ πυνθανομένου, ἥν τινα ἔχοις φιλοσοφίας ἐπιμέλειαν, ἀπεκρίνατο, τὴν αὐτὴν Σωκράτει. ἐγὼ δὲ καὶ ἡνίκα Ἀθήνησι διέτριβες, τῆς γνώμης σε ἠγάσθην. ὥσπερ οὖν ἠρξάμην σε θαυμάζων, οὕτω καὶ νῦν, παρ' ὀντινοῦν τῶν σοφίαν ἀσπασαμένων, τεθαύμακα τὸ ἀμετάκλαστόν σου τῆς γνώμης. μέγιστον γὰρ ὡς ἐγῷμαι τεκμήριον ἀρετῆς, ἁλόντος ὑπό τ' ἀνδρὸς ἐκείνου, ὅπερ θνητὸν καλεῖν τὸν Σωκράτους ἡγοῦντο βίον. ὅτι μὲν γὰρ τὰ θεῖα ὑπὲρ ἡμᾶς, παντὶ δῆλον. ἀπόχρη δὲ τὸ κρεῖττον τῆς δυνάμεως αὐτοῦ σέβειν. οἳ δ' εἰσὶν, οὔτε εὑρεῖν ῥᾴδιον, οὔτε ζητεῖν θεμιτόν. οὐδὲ γὰρ δεσποτῶν φύσιν ἢ πρᾶξιν δούλους δεῖ εἰδέναι, οἷς οὐδὲν πλέον ὑπηρεσίας προσήκει. πότε γὰρ ὦ Αἰσχίνη Σωκράτους ἀκήκοέ τις οὐρανίων πέρι λέγοντος, ἢ γραμμὰς εἰς ἐπανόρθωσιν παραινοῦντος μανθάνειν; μουσικῆς γὰρ ἴσμεν αὐτὸν μέχρις ὤτων ξυνιέντα. διετέλει δὲ ἑκάστοτε

αὐτὸς

probabilia dicentur, nihil ulterius requiratis.

Bion aiebat maximè ridiculos esse astronomos, qui cum non uideant pisces iuxta se nantes in littoribus, illos qui in cœlo sint uidere se dicant.

Pindarus naturę speculationibus uacātes imperfectū sapiētię fructū cape dicebat. *Pindari.*

Thalem dum cœlū contēplatur in fossam illapsum, ancilla eius natione Thracia, iure id pati dixit, qui cum iuxta pedes posita ignoraret, cœlestia intueretur.

Cum astrologus quidam in foro stellas in tabella quadā depictas monstraret, atq; diceret: en tibi hic stellas errantes, audiens Diogenes: Ne mētiaris inquit, bone uir: Stellæ enim non errant, sed illi, ostensis qui assidebant. *Diogenis.*

Ariston dicebat, eorum quæ philosophi scrutantur, quædā ad nos pertinere, alia nihil, alia supra nos esse. Nam disciplinam morum ad nos spectare. Dialectica nihil nos attinere, cum emendationi uitæ nihil conferant. Physica uero supra nos esse: cognosci enim non posse, & nihil utilitatis afferre.

Nō quærendū est an dij sint, sed protinus credere præstat. Nā quæstione proposita etiā ille qui impijssimam opinionem defendit, nēpe deos nō esse, superare conatur. *Eusebij.*

Deum cogitare animo difficile est: eloqui impossibile. Res enim incorporea non potest corpore significari: & quod æternū est, cū tēporaneo ægrè coniungitur. Hoc enim præterit, illud semper existit. Item hoc per imaginationem adumbratur: illud reuera est. Imbecillius autem à fortiore, & inferius à præstantiore tantū distat, quantum à diuino mortale. At medium inter ista interuallum, pulchritudinis spectaculum obscurat. Etenim oculis corpora usurpari queunt, & uisibilia per linguā enunciari. Quod autem incorporeum, inconspicuum, & sine omni figura est, neq; materia constat, à sensibus nostris percipi non potest. Intelligo ô Tati, intelligo, rem ineffabilem Deum esse. *Mercurij ad Tatium.*

Naturam ergo & passiones ignis, aquæ, aëris, generationem cœli præcedētes consyderemus. Nullus profecto ad hoc usq; tempus eorum generationem ostendit, sed quasi notum sit quid sit ignis & reliqua, sic de illis uerba facimus, eaq; mundi primordia constituimus, cum nec syllabarum quidem, nedum elementorum uicem tenere apud homines mentis quoquo modo compotes debeāt. Nos uero in præsenti nihil de principio uniuersorū, siue principijs, siue quomodocunq; aliter id appelletur, dicendū putamus: Cui quidē disputationi nihil aliud impedimēto est, nisi quod difficile sit præsenti disputādi modo, quæ de his uidētur exprimere. Neq; igitur uos id expectabitis, neq; ego mihi persuadebo rectè me tantū opus aggredi posse. Quod autem ab initio dixi, uerisimilitudinis uim seruabimus, studebimusq; in rationibus uerisimilibus circa hęc assignādis nulli cedere: atq; & singula & uniuersa à principio exponemus. *Platonis in Timeo.*

De dijs aliquid ô Timæe apud homines disserentem, facilius est approbari tanquam recta dicentem, quàm de mortalibus rebus apud uos. Imperitia enim & omnimoda ignorantia auditorum, in quacunq; re fuerint rudes, de illa dicturo plurimum copiæ ministrant. *Eiusdem.*

Hermogenes me conueniens tum alia quædam mihi narrauit, tum de te interrogatus, an aliquam philosophiæ curam haberes, eandē dixit cum Socrate. Cæterum ego etiam cum Athenis ageres, propter studiū te admiratus sum. Quemadmodum tunc igitur in admirationē tui tractus sum, ita & nunc præ quouis alio philosophiæ studioso animi tui cōstantiam demiror. Maximū enim ut mihi uidetur argumētum est uirtutis tuę, q̄d illi⁹ uiri cōsuetudine gaudeas, si modo mortalis uocāda est Socratis uita. Quod nāq; res diuinæ supra nos sint, cuiuis cōstat: & q̄d uirtutis ipsarū excellentiā uenerari sufficiat. Quinā uero dij sint, nec inueniri facile potest, nec inquiri fas est. Quippe seruorū etiā nō interest scire naturā aut facta dn̄orum suorū, ut quibus nihil cōueniat quā inseruire. Nā quādo audiuit quisq; ô Aeschines, Socratē de rebus cœlestibus disserentē, aut ad figuras emendādæ uitę gratia discēdas hortantem? Musicam enim scimus ipsum intellexisse non ultra iudicium aurium: Quin semper *Xenophontis ex epistola ad Aeschinem.*

αὐτὸς λέγων τί καλὸν, καὶ τί ἀνδρεία τε, καὶ δικαιοσύνη, καὶ αἱ ἄλλαι ἀρεταί. ἀνθρωπίνην γοῦν ἀγαθὰ αὐτὰ ἐκάλει. τὰ δ᾽ ἄλλα, ἢ ἀδύνατα ἀνθρώποις ἁλῶναι ἔφασκεν, ἢ μύθων εἶναι συγγενῆ, μετὰ ὀφρύος σοφιστῶν δεξιόντων. καὶ οὐκ ἔλεγε μὲν ταῦτα, οὐκ ᾔδει δὲ πράττειν. παιστάθωσαν οὖν ἐλεγχόμενοι πρὸς τὸ εἰκὸς ἴσως ἂν, οἷς Σωκράτης οὐκ ἤρεσκεν, ᾧ ζῶντι μὲν ὁ θεὸς σοφίαν ἐμαρτύρησεν: οἱ δὲ κτείναντες, τῆς μετανοίας ἀκκάθαρσιν οὐχ εὗρον. τὸ δὲ καλὸν ἄρα, Αἰγύπτιον γὰρ ἠράσθησαν, καὶ τῆς Πυθαγόρου τερατώδους σοφίας, ὧν τὸ περιττὸν καὶ τὸ μὴ μόνιμον ἐπὶ Σωκράτει ἤλεγξεν ἔρως τυραννίδος, καὶ ἀντὶ λιτῆς διαίτης, σικελιώτις γαστρὸς ἀμέτρου τράπεζα.

Τοῦ αὐτοῦ. Οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως, ὥσπερ τῶν ἄλλων οἱ πλεῖστοι, διελέγετο σκοπῶν, ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος * ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα, μωραίνοντας ἀπεδείκνυεν. καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερα ποτὲ νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι, ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν: ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν. ἐθαύμαζε δ᾽ εἰ μὴ φανερὸν ἐστὶν αὐτοῖς, ὅτι ταῦτα ἀδύνατόν ἐστιν ἀνθρώποις εὑρεῖν, ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. τῶν τε γὰρ μαινομένων, τοὺς μὲν, οὐδὲ τὰ δεινὰ δεδιέναι: τοὺς δὲ, καὶ τὰ μὴ δεινὰ φοβεῖσθαι: καὶ τοῖς μὲν, οὐδ᾽ ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν, ἢ ποιεῖν ὁτιοῦν: τοῖς δ᾽ οὐκ ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν: καὶ τοὺς μὲν, οὐθ᾽ ἱερὸν, οὔτε βωμὸν, οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾶν: τοὺς δὲ, καὶ λίθους, καὶ ξύλα τὰ τυχόντα, καὶ θηρία σέβεσθαι. τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων, τοῖς μὲν, δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δ᾽ ἄπειρα τὸ πλῆθος: καὶ τοῖς μὲν, ἀεὶ πάντα κινεῖσθαι: τοῖς δ᾽ οὐδὲν ἄν ποτε κινηθῆναι: καὶ τοῖς μὲν, πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι: τοῖς δ᾽ οὔτ᾽ ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτε ἀπολεῖσθαι.

al. ἱερ.

Ἀρριανοῦ ἐπικτητίου. Τί μοι μέλει φησί πότερον ἐξ ἀτόμων, ἢ ἐξ * ἀμέρων, ἢ ἐκ πυρὸς καὶ γῆς συνέστηκε τὰ ὄντα; οὐ γὰρ ἀρκεῖ μαθεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ κακοῦ, καὶ τὰ μέτρα τῶν ὀρέξεων καὶ ἐκκλίσεων: καὶ ἔτι ὁρμῶν καὶ ἀφορμῶν, καὶ τούτοις ὥσπερ κανόσι χρώμενον, διοικεῖν τὰ τοῦ βίου: τὰ δ᾽ ὑπὲρ ἡμᾶς ταῦτα χαίρειν ἐᾶν; ἃ τυχὸν μὲν, ἀκατάληπτά ἐστιν ἀνθρωπίνῃ γνώμῃ. εἰ δὲ καὶ τὰ μάλιστα θείη τις εἶναι καταληπτὰ, ἀλλ᾽ οὖν τί ὄφελος καταληφθέντων; οὐχὶ δὲ διακενῆς τὰ πράγματα ἔχειν φατέον τοὺς ταῦτα ὡς ἀναγκαῖα τῷ τοῦ φιλοσόφου λόγῳ προσνέμοντας; μή τι οὖν καὶ τὸ ἐν Δελφοῖς παράγγελμα περιττόν ἐστι, τὸ γνῶθι σαυτόν; τοῦτο δὲ μὲν οὔ φησι. τίς οὖν ἡ δύναμις αὐτοῦ; εἰ χορευτῇ τις παρήγγελλε τὸ γνῶναι ἑαυτὸν, οὐκ ἂν ἐν τῇ προστάξει προσεῖχε τὸ ἐπιστραφῆναι;

malim ὁμοιομερῶν

Πάντες δ᾽ αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
Ἰθείῃσι δίκῃσιν, ὁ δ᾽ ἀσφαλέως ἀγορεύων
Αἶψά τι καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.
Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
Βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελοῦσι,
Ῥηϊδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
Ἐρχόμενον δ᾽ ἀνὰ ἄστυ, θεὸν ὣς ἱλάσκονται
Αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ, ΛΟΓΟΣ ιθ.

Αἰσχύλου.

Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
ἐξηῦρον αὐτοῖς, γραμμάτων δὲ συνθέσεις
μνήμην ἁπάντων μουσομήτορ᾽ * ἐργάνην.

al. ἐργάτιν.

Φιλήμονος.

Ἆρ᾽ ἐστὶ λόγος τοῖς νοσοῦσι χρήσιμος,
ὡς σπλήνιον πρὸς ἕλκος οἰκείως τεθέν,

τὴν

aliquid honestum dicere pergebat, & quid fortitudo esset, quid iustitia, aliæq; uirtutes, explicare. Vocabat autem hæc bona humana: cætera uero aut homines assequi non posse, aut fabulis esse proxima dicebat, qualia superciliosi sophistæ commemorant. Sed neq; uerbis solum hæc docebat, faciendi autem ignarus erat. Desinant igitur qui rationibus, ut sibi uidetur, probabilibus Socratem arguentes improbāt, cū ei uiuo sapientiæ testimoniū deus exhibuerit: occisores uero eius, pœnitudinis suæ purgationē non inuenerint. Illi uero egregij uiri Aegypti & admirabilis Pythagoricæ sapientiæ amore capti sunt, quorum superuacuum & inconstans circa Socratem studium tyrannidis amor redarguit, & Sicula uentris immoderati mensa frugalitati uictus anteposita.

Non enim de rerū omniū natura, ut quamplurimi alij, disputabat: nec quemadmodum, qui à sophistis mundus uocatur, se habeat, ille cōsiderabat: imò uero illos qui huiuscemodi contemplandis uacant, stolidos esse mōstrabat. Primo nanq; istud in ipsis considerabat: Vtrum quoniā arbitrantur satis res humanas cognoscere, ad illa rimanda ueniant: an humanis dimissis, diuinas res contemplantes, rectè sese agere opinentur. Admirabatur uero nō constare eis impossibilia hæc inuenire esse hominibus, cum hi quoq; qui hac gloriantur scientia, contraria de eisdem opinentur, ac sicut insani alter ad alterum se habeant. Quemadmodum enim insanientiū quidam, nec illa quæ horrida sunt abhorrent, quidam uero & ea quæ timenda nō sunt, pertimescunt: & his quidem nec publicè agere aut facere quodcunq; cōtigerit, turpe esse uidetur, his uero nec conuersandū cū hominibus esse: & quidem nec templum, nec arā, nec quicq̄ aliud adorāt diuinū, quidā aūt lapides, ligna, ac feras colūt: sic etiā eorum qui in rerū omnium natura contemplanda uacant, quibusdam unum solum uidetur esse quod est, quibusdam uero infinita multitudo. Et his quidē omnia semper moueri, his uero nihil unquam moueri. Et quibusdam omnia gigni atque corrumpi, quibusdam autem nihil unquam aut gigni, aut corrumpi posse. *Xenoph. de fac. & dictis Socratis lib. 1.*

Quid, ad me inquit, an ex atomis, aut homœomerijs, aut igne & aqua res omnes consistant? Nónne sufficit boni maliq; essentiam cognoscere, & fines eorū quæ appetenda fugiendáue sunt: quæ autē supra nos sunt relinquere? quæ fortassis humana mens complecti non ualet. Et si maximè uero alicui comprehendi posse uideantur, quid nam cognita iuuabunt? An non frustra laborare dicendum est illos, qui hæc tanquam necessaria ad philosophi rationem pertinere putant? Num igitur etiā Delphicum præceptum superfluum est, quod seipsum nosse iubet? Nequaquam id, inquit. Quid nam igitur sibi uult? *Si quis choream agenti sese cognoscere præciperet, nónne statim iussus se conuerteret? *Arriani Epictetij.* ** Græca uidentur hic obscura.*

Hesiodi in Theogonijs.

Omnes illum respiciunt causas discernentem
Recto iure. Ipse uero cautè differens,
Statim licet magnam controuersiam prudenter diremit.
Hanc enim ob causam cordati reges sunt, quoniam hominibus
Offensis, ius suum in iudicio restituunt, & malè facta auertunt,
Facile uerbis alloquentes lenibus.
Per ciuitatem igitur ingredientem regem, ueluti deum placant
Placida reuerentia, ille uero inter congregatos excellit.

DE LITERIS, SER. LXXIX.

Aeschyli.

Quin etiam insignem numerum sophismatum
Inueni per literas: Literarum autem compositio
Memoriam produxit omnium opificem Musarum matrem.

Philemonis.

Oratio sanè utilis est ægrotantibus.
Veluti splenium ulceri aptè impositum

τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος.

Εὐριπίδου. Καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει.
λόγος γὰρ ἐσθλὸς, φάρμακον φόβου βροτοῖς.

Φιλήτου παί- Οὐ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης
γνια. αἱρήσει κλήθρην, αἰρόμενος μακέλην.
ἀλλ' ἐπέων εἰδὼς κόσμον, καὶ πολλὰ μογήσας
μύθων παντοίων οἶμον ἐπιστάμενος.

Εὐριπίδου. Οὐ παύσομαι τὰς χάριτας ταῖς μούσαις
συγκαταμιγνὺς ἡδίσταν συζυγίαν.
μὴ ζώην μετ' ἀμουσίας.
Ω τλῆμον, ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς
ἔδωχ' ὁ δαίμων: μέγα φρονοῦσι δ' οἱ λόγοι.
Τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνον
ἄφωνα καὶ φωνοῦντα συλλαβὰς τιθεὶς,
ἐξεῦρον ἀνθρώποισι γράμματ' εἰδέναι.
al. πλακὸς. ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ * πλακὸς
τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς,
παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον
γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.
ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ
δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν.

Καλλιμάχου. Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσσα καρήατι τῆμος ἔδωκα
ξανθὰ σὺν εὐόδμοις ἁβρὰ λιπῆ στεφάνοις,
ἄπνοα πάντ' ἐγένοντο παραχρῆμ' ὅσσα τ' ὀδόντων
ἔνδοθι, νειαίραν τ' εἰς ἀχάριστον ἔδυ.
καὶ τῶν οὐδὲν ἔμεινεν ἐπ' αὔριον, ὅσσα δ' ἀκουαῖς
εἰσεθέμην, ἔτι μοι μοῦνα πάρεστι τάδε.

Φιλήμονος ἐξ Οὐχὶ μόνον οὗτος εὗρε πῶς λαλήσομεν
Ἀπόλλωνος. αὐτοῖς, ἀπέχοντες † πολλοὺς ἀπ' ἀλλήλων * χρόνους.
† al. πολλῷ. οὐδ' ὃν τρόπον μηδέποτε μηδὲ εἷς πάλιν
* al. χρόνον. † ἐπιλήψεσθ' ἡμῶν μηδὲν, ἐμβλέψας δ' ἔπου
† malim ἐπιλήσεσθ'. τάχα τοῦ χρόνου τοῦ παντὸς εἰσεῖτ', ἀλλὰ καὶ
ψυχῆς ἰατρὸν κατέλιπε τὰ γράμματα.

Ἰσοκράτους. Ἐγὼ δὲ ὦ Νικόκλεις, ἡγοῦμαι μὲν εἶναι καλὰ μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας: πολὺ μέντοι πλείονος ἀξίας τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειεν.

Δημοκράτους. Ἰσχυρὸν εἰς πειθὼ λόγος γίγνεται.
al. Δημοκρίτου.

Σωκράτους. Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων: ἐν δὲ τῷ ζῆν, ὁ λόγος τοῦ πλούτου.

Πλάτωνος. Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα.

Ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν, εἴτε τις θεὸς, εἴτε τις θεῖος ἄνθρωπος, ὡς ὁ λόγος ἐν Αἰγύπτῳ Θεὺθ τινὰ λέγων τοῦτον γενέσθαι, ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ ἀπείρῳ κατενόησεν, οὐχ ἓν ὄντα, ἀλλὰ πλείω, καὶ πάλιν ἕτερα, φωνῆς μὲν * οὔ, φθόγγου δὲ μετέχοντά τινος. ἀριθμὸν δέ τινα καὶ τούτων εἶναι. τρίτον δὲ εἶδος γραμμάτων διεστήσατο τὰ νῦν λεγόμενα ἄφωνα ἡμῖν. τὸ μετὰ τοῦτο * διῄρει, τά τε ἄφθογγα καὶ ἄφωνα, μέχρις ἑνὸς ἑκάστου, καὶ τὰ φωνήεντα καὶ τὰ μέσα κατὰ τὸν αὐτὸν τρόπον, ἕως ἀριθμὸν αὐτῶν λαβὼν ἑνί, τε ἑκάστῳ καὶ ξύμπασι, στοιχεῖον ἐπωνόμασε. καθορῶν δὲ ὡς οὐδεὶς ἡμῶν, οὐδ' ἂν ἓν αὐτὸ καθ' αὑτὸ ἄνευ πάντων αὐτῶν μάθοι, τοῦτον δὲ δεσμὸν αὖ λογισάμενος ὡς ὄντα ἕνα, καὶ πάντα ταῦτα ἕν πως ποιοῦντα, μίαν ἐπ' αὐτοῖς ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών.

al. ἔνια. (margin, beside "οὐχ ἓν ὄντα")
al. διῄρει, τα. (margin, beside "φωνα ἡμῖν")

Inflammationem ſedat, ſic & oratio.
Multa ueterum carmina bene prolata ſunt. *Euripidis.*
Nam oratio commoda remedium timoris eſt hominibus.
Nullus me ex montibus rudis ruſticus *Philetæ in iocis.*
Auferet alnum ſublato ligone.
Sed qui callet uerborum elegantiam, & poſt multos labores
Variorum ſermonum rationem nouit.
Non deſinam Gratias Muſis *Euripidis.*
Commiſcere ſuauiſſima coniunctione,
Ne uiuam alienus à Muſis.
Ah miſer, quàm debilem tibi fortunam
Dedit dæmon: ſermones tui autem ualde ſapiunt.
Ego remedium obliuionis ſtatuens, ſolum
Ex conſonis & uocalibus literis ſyllabas iungens,
Autor fui hominibus ut literas ſcirent.
Ita ut abſens ultra maris æquora,
Res quæ illic gerantur in ædibus omnes rectè intelligat,
Et moriens liberis aliquot literas,
Scribendo animum aperiat, qui acceptis literis cognoſcitur.
Mala autem quæ contentionibus hominum agitantur
Codicillus dirimit, nec falſa loqui ſinit.
Etenim ego quæcunque capiti olim largitus ſum *Callimachi.*
Flaua cum odoratis * unguenta corollis, ** ἀμάρακον Græcum nuſquam inuenio.*
Omnia ſtatim odorem amiſerunt: & quæ dentes
Intra, & uentrem ingratum ſubiuerunt,
Eorum quoque nihil in craſtinum remanſit: Quæcunque uero in aures
Recondi, ea mihi ſola adhuc adſunt.
Ille non ſolum inuenit, quomodo colloquamur *Philemonis ex Apolline.*
Inuicem, longo tempore alter ab altero abſentes:
Neque quo modo nullus unquam in poſterum
Ex nobis quicquam obliuiſcatur, ſed inſpiciens
Quæ quouis tempore geſta ſunt cognoſcat, uerum etiam
Medicum animę reliquit literas.

Arbitror equidem ô Nicocles, pulchra monumenta eſſe corporum etiam imagines: uerum multo pluris faciendas mentis & actionũ icones, quas in ſolis orationibus artificioſè compoſitis ſpectare licet. *Iſocratis.*

Plurimum ad perſuaſionem ſermo ualet. *Democriti.*

In bello quidẽ ferrũ auro præſtat ad defendendũ ſe: in uita aũt eruditio diuitijs. *Socratis.*

Oratio tanquam bonus figulus, eleganti ſpecie animam ornat. *Platonis.*

Poſtquam infinitam uocẽ cogitauit, ſiue deus aliquis, ſiue homo diuinus, qualis apud Aegyptios Theuth fuiſſe fertur, primo in ipſa uocis infinitate uocales literas cõſiderauit, quæ non una res ſunt, ſed plures: rurſusque alias, quę non uocis, ſed ſoni participes eſſent, atque harum numerum certum ſimiliter definiuit: tertiã deinde ſpeciem literarum diſtinxit, earum quas nunc mutas uocamus, poſtremo liquidas mutasque diſcreuit, uſque ad ſingula quædam, uocalesque & medias eodẽ modo, donec earum numero in ſingulis ſpeciebus, & in uniuerſis reperto, elemẽta uocauit: cumque uideret neminem noſtrum quicquam ſeorſim percepturum, niſi uniuerſa perciperet, hoc uelut uinculum unum quiddam exiſtens, & in unũ diſperſa redigens meditatus, quam unam in his eſſe artẽ grammaticã animaduertit, eo nomine appellauit. *Eiuſdem in Philebo.*

Τοῦ αὐτοῦ.

Ὀνομάτων γὰρ συμπλοκὴν εἶναι λόγου οὐσίαν. οὕτω δὴ τὰ μὲν στοιχεῖα, ἄλογα καὶ ἄγνωστα εἶναι, αἰσθητὰ δέ. τὰς δὲ συλλαβάς, γνωστάς τε καὶ ῥητάς, καὶ ἀληθεῖ δόξῃ δοξαστάς. ὅταν μὲν οὖν ἄνευ λόγου τὴν ἀληθῆ δόξαν τινός τις λάβῃ, ἀληθεύειν μὲν αὐτοῦ τὴν ψυχὴν περὶ αὐτό, γιγνώσκειν δ' οὔ. τὸν γὰρ μὴ δυνάμενον δοῦναί τε καὶ δέξασθαι λόγον, ἀνεπιστήμονα εἶναι περὶ τούτου. προσλαβόντα δὲ λόγον, δυνατόν τε ταῦτα πάντα γεγονέναι, καὶ τελείως πρὸς ἐπιστήμην ἔχειν.

ἀλ. εἰδῶν.

Φέρε δὴ καθάπερ * περὶ τῶν εἰδῶν καὶ τῶν γραμμάτων ἐλέγομεν, περὶ τῶν ὀνομάτων πάλιν ὡσαύτως ἐπισκεψώμεθα. φαίνεται γάρ πῃ ταύτῃ τὸ νῦν ζητούμενον. τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων ὑπακουστέον; εἴτε πάντα ἀλλήλοις ξυναρμόττει, εἴτε μηδέν, εἴτε τὰ μὲν ἐθέλει, τὰ δὲ μή. δῆλον τοῦτό γε, ὅτι τὰ μὲν ἐθέλει, τὰ δ' οὔ. τὸ τοιόνδε λέγεις ἴσως ὅτι τὰ μὲν ἐφεξῆς λεγόμενα καὶ δηλοῦντά τι, ξυναρμόττει· τὰ δὲ τῇ * συντυχίᾳ μηδὲν σημαίνοντα, ἀναρμοστεῖ. πῶς; τί τοῦτ' εἶπες; ὅπερ ᾠήθην ὑπολαβόντα σε προσομολογεῖν. ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων, διττὸν γένος. πῶς; τὸ μέν, ὀνόματα· τὸ δέ, ῥήματα κληθέν. εἰπὲ ἑκάτερον. τὸ μέν, ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα, ῥῆμά που λέγομεν. ναί. τὸ δέ γε ἐπ' αὐτοῖς τοῖς ἐκείνας πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθέν, ὄνομα. κομιδῇ μὲν οὖν. οὐκοῦν ἐξ ὀνομάτων μὲν μόνων συνεχῶς λεγομένων, οὐκ ἔστι ποτὲ λόγος· οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων. ταῦτ' οὐκ ἔμαθον. δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων ἄρτι ξυνωμολόγεις. ἐπεὶ τοῦτ' αὐτὸν ἐβουλόμην εἰπεῖν, ὅτι ξυνεχῶς ὧδε λεγόμενα ταῦτ', οὐκ ἔστι λόγος. πῶς; οἷον, βαδίζει, τρέχει, καθεύδει, καὶ τἄλλα ὅσα πράξεις σημαίνει, ῥήματα, κἂν πάντα τις ἐφεξῆς αὐτὰ εἴπῃ, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται. πῶς γάρ; οὐκοῦν καὶ πάλιν ὅταν λέγηται, λέων, ἔλαφος, ἵππος, ὅσα τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη, καὶ κατὰ ταύτην δὴ τὴν συνέχειαν οὐδείς πω ξυνέστη λόγος. οὐδεμίαν γὰρ οὔτε οὕτως, οὔτ' ἐκείνως πρᾶξιν, οὔτ' ἀπραξίαν· οὐδὲ οὐσίαν ὄντος, οὐδὲ μὴ ὄντος δηλοῖ τὰ * φωνήεντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ. τότε δ' ἥρμοσέ τε καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκή, σχεδὸν τῶν λόγων, ὁ πρῶτός τε καὶ σμικρότατος. πῶς; ἆρ' ὧδε λέγεις; ὅταν εἴπῃ τις, ἄνθρωπος μανθάνει. λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον; ἔγωγε. δηλοῖ γὰρ ἤδη που τότε περὶ τῶν ὄντων ἢ γιγνομένων ἢ γεγονότων, ἢ μελλόντων. καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαίνει, συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι. διὸ λέγειν τε καὶ αὐτόν, ἀλλ' οὐ μόνον ὀνομάζειν εἴπομεν· καὶ δὴ καὶ τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐπεφθεγξάμεθα λόγον. ὀρθῶς. οὕτω δὴ καθάπερ τὰ πράγματα, τὰ μέν, ἀλλήλοις ἥρμοττε· τὰ δ' οὔ. καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα, τὰ μέν, οὐχ ἁρμόττει· τὰ δὲ ἁρμόττοντα αὐτῶν, λόγον ἀπειργάσατο. παντάπασι μὲν οὖν.

ἀλ. συνεχείᾳ.

ἀλ. φωνηθέντα.

Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς πρὸς Δέξιππον.

addo δεῖ.

Θεὸς ἦν τις ὡς ἀληθῶς ὁ καταδείξας τὴν διαλεκτικήν, καὶ καταπέμψας ἀνθρώποις, ὡς μὲν λέγουσί τινες, ὁ λόγιος Ἑρμῆς, ὁ φέρων ἐν ταῖν χεροῖν τὸ σύνθημα αὐτῆς, τῶν εἰς ἀλλήλους ἀποβλεπόντων δρακόντων· ὡς * ἀεὶ δεδοκιμασμένοι καὶ πρόκεινται τῶν ἐν φιλοσοφίᾳ διατείνονται, ἡ τῶν μουσῶν πρεσβυτάτη Καλλιόπη, τὴν ἄπταιστον ἀσφάλειαν τοῦ λόγου καὶ ἀνέλεγκτον, αἰδοῖ μειλιχίῃ διαπρέπουσαν παρέσχηκεν. ὡς δὲ τὰ ἔργα αὐτὰ δείκνυσιν, αὐτὸς ὁ ἐν Δελφοῖς θεός, οὔτε λέγων καθ' Ἡράκλειτον, οὔτε κρύπτων, ἀλλὰ σημαίνων τὰς μαντείας, ἐγείρει πρὸς διαλεκτικὴν διευκρίνησιν τοὺς ἐπηκόους τῶν χρησμῶν, ἀφ' ἧς ἀμφιβολία τε καὶ ὁμωνυμία ἐκρίθησαν. καὶ δῆλον πᾶν ἀνευκρινηθὲν φῶς ἐπιστήμης ἀνάψειν ὁ κατιδών. καὶ Θεμιστοκλῆς καλῶς διευκρινήσας * δεόντως τὸ ξύλινον τεῖχος, αἴτιος ἀναμφισβητήτως κατέστη τῆς σωτηρίας τοῖς Ἕλλησιν. ἀδελφὰ δὲ τούτων καὶ ὁ ἐν Βραχίδι θεὸς ἐκφαίνει τῆς διαλεκτικῆς ἔργα, περιφανῆ τὴν ἐπαγωγὴν παραδεικνύων, ὅταν λέγῃ· οὔτ' ἂν ὠκυπέτης ἰός, οὔτε λύρη, οὔτε ναῦς, οὔτ' ἄλλο οὐδέν, ἄνευ ἐπιστημονικῆς χρήσεως γένοιτ' ἄν ποτε ὠφέλιμον.

addo ὡς.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Σώπατρον ἐπιστολῆς.

Πάντες ἄνθρωποι χρῶνται τῷ διαλέγεσθαι, ἔμφυτον ἐκ νέων ἔχοντες τὴν δὲ τῆς δύναμιν, καὶ μέχρι τινός, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον αὐτῆς μετέχοντες. τὸ δὴ τῶν θεῶν δῶρον, οὐδ' ὅνα τρόπον δεῖ περιϊδεῖν· ἀλλὰ καὶ ἐν μελέταις, καὶ ἐμπειρίαις, καὶ τέχναις, αὐτὸ κρατύνειν ἄξιον. ὅρα γὰρ ὅτι καὶ παρ' ὅλον τὸν βίον διατελεῖ χρησιμώτατον ὂν διαφερόντως, ἐν μὲν ταῖς ἐν

πράξεσι

Nominũ quippe copulationẽ orationis esse substantiam. Quocirca elementa sine ratione rationeue, & incognita esse, sensibus tamen percipienda: syllabas aũt & cognosci & dici posse, & uera opinione cõprehendi. Quãdo ergo absq; ratione opinionẽ de aliquo uerã aliquis adipiscitur, uera quidẽ de illo ei⁹ sentire animũ ferũt, nosse uero nequaq̃. Nã eũ qui accipere & reddere rationẽ neq̃t, insciũ esse: Cũ uero rationem consequitur, hæc omnia cognoscere posse, perfectamq; scientiam adipisci. *Eiusdem in Theæteto.*

Age quemadmodũ circa species & literas diximus, similiter circa nomina rursus excogitemus. Videtur enim q̃d nũc quæritur, ita sese habere. Quid potissimũ de nominibus uis intelligi? Vtrũ omnia inuicẽ congruãt, aut nullũ: aut quædam consonent, alia dissonẽt. Patet quod quędã congruũt, quędã minimẽ. Forte tale quiddam ais, q̃d quę cõsequẽter dicta aliquid exprimũt, inuicẽ congruũt: quę uero continuata nihil significãt, non conueniunt. Quomodo? Quidue dicebas? Quod intelligere te & fateri putaui. Duo nanq; sunt genera declarationũ earũ, quæ circa essentiam uoce fiunt. Quo pacto? Vnũ quidẽ nominũ genus, uerborum alterũ. Dic utrumq;. Declarationẽ qua actiones significantur, uerbũ dicimus. Sanẽ. Signũ aũt uocis agentibus ipsis impositũ, nomen. Prorsus. Ex solis nominibus ordine prolatis oratio nunquã efficitur, neq; rursus ex uerbis absq; nominibus pronunciatis. Hæc nõ intellexi. Cõstat utiq; quod alio intendẽs animũ paulò ante assentiebare. Nã hoc ipsum est quod dicere uolebã, quod ista si solũ ita continuata pronunciantur, orationẽ non faciũt. Quomodo? Vt uadit, currit, dormit, & alia uerba quæcunq; actiones significãt: quę si quis subiungat omnia, nihilo magis orationẽ facit. Sic est. Rursusq; cũ dicitur leo, ceruus, equus, cæteraq; nomina, quæ ipsos agentes significãt, nondum hac continuatione oratio ulla conficitur. Nã quæ proferũtur, haud ante actionẽ, uel actionis impedimentũ, aut essentiã, siue existentis rei, seu nõ existentis ostendunt, quã uerba nominibus misceantur. Tunc uerò primũ conueniunt, statimq; fit oratio: & prima horum complexio, prima oratio est, etiã si sit breuissima. Quinsthuc inquis? Quãdo quis dicit, homo discit, orationem hanc esse ais primam atq; breuissimam? Equidẽ. Tunc sanẽ declarat aliquid de his quæ sunt, uel fiunt, aut fuerunt iã, aut erunt. Neq; nominat tantum, sed & definit aliquid, uerba nominibus copulans. Ideoq; nõ modo nominare, uerum etiam loqui ipsum dicimus, taliq; contextui nominum, orationis nomen indidimus. Rectẽ. Enimuero quemadmodum res aliquæ consonant inuicem, ut supra diximus, aliquæ dissonant: ita & signa uocum quædam nequaquam conueniunt, quædam congruentia orationem conficiunt. *Platonis in sophista.*

Reuera deus quispiam fuit qui hominibus dialecticam monstrauit, & cœlitus demisit: siue, ut nonnulli dicunt, doctus Mercurius, qui manibus dialecticæ symbolum gestat, nempe dracones se mutuo inspicientes: siue ut illi contendunt, qui semper in philosophiæ studio primas tenuerunt, Calliope maxima natu Musarum constantem orationis firmitatem, quæ redargui non potest, blanda grauitate excellentem, mortalibus exhibuit. Vt autem res ipsa ostendit, Delphicus deus, neq; dicens secundum Heraclitum, neq; abscondens uaticinia, ad dialecticam inuestigationem oracula audientes excitat, cuius opera, quicquid ambiguum & æquiuocum est diiudicatur. Et qui ambiguum quidpiam scrutatus id perspexit, scientiæ lumen sibi accendit. Themistocles certe lignei muri sensum rectẽ ut oportebat consequutus, publicæ Græcorum salutis indubiẽ autor fuit. Istis similia Dialecticæ opera Deus qui in Brachide uaticinatur proponit, euidenti inductione quid sibi uelit indicans his uerbis: Non aërea sagitta, non lyra, neq; nauis, nec aliud quicquam absq; artificiali usu unquam utile fieri potest. *Ex Iamblichi epistola ad Dexippum.*

Omnes homines disputatione utuntur, insitã hanc facultatem à pueris habentes & aliquatenus omnes, alij magis, alij minus, eius participes sunt. Quamobrem deorum munus haudquaq̃ negligendum est: sed meditatione, experientia & arte confirmandum. Consydera quæso quàm sit eximius in omni uita ipsius usus. Nam in *Eiusdem ex epistola ad Sopatrum.*

τεύξεσθαι προσομιλοῦν τοῖς ἀνθρώποις, κατὰ τὰς κοινὰς ἐννοίας, καὶ δόξας· ἐν δὲ ταῖς εὑρέσεσι τῶν τεχνῶν, τὰς πρώτας ἀρχὰς αὐτῶν ἀνευρίσκον· λογιζόμενον δὲ περὶ τῶν ἔργων, ὅπως αὐτὰ χρὴ πράττειν· προγυμνασίαν δὲ καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας θαυμασίας, οἵας μεθόδους παρεχόμενον. εἰ δὲ δεῖ καὶ τὰ περὶ τούτων ἐννοεῖν, οὐκ ἔστιν οὐδὲν μόριον φιλοσοφίας, ἄνευ τοῦ κατὰ διαλεκτικὴν λόγου παραγιγνόμενον. ἀλλὰ καὶ ἔτι φυσικὸν δόγμα ἀνευρίσκομεν, λογικῶς αὐτὸ βεβαιούμεθα. καὶ ὅσα περὶ θεῶν σκεπτόμεθα, λόγος διαλεκτικός ἐστιν ὁ συγκατασκευάσας. ὅλως δὲ οὐδὲν οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι δυνατὸν, ἀπαλλαγέντας τῆς μεθόδου ταύτης. καὶ γὰρ αὐτὸ τὸ μὴ χρῆναι δεῖν ἀσκεῖν διαλεκτικὴν, διαλεκτικῶς ἐπιχειροῦντας δεῖ καταμανθάνειν. εἴτε οὖν ἐπιτηδευτέον, εἴτε μὴ, διαλεκτικὴν ἀσκεῖν. καὶ γὰρ ἐστὶν ἄτοπον εἰ τὰ μὲν ἄλλα πάντα λόγῳ κρινόμεθα, αὐτὴν δὲ ἀφήσομεν τὴν ἀκριβεστάτην τοῦ λόγου θεωρίαν· καὶ λόγῳ προέχοντες τῶν ἄλλων ζώων, καὶ τοῦτ' ἐξαίρετον ἀγαθὸν κεκτημένοι τῆς ἀνθρωπείας φύσεως, εἰκῆ καὶ ὡς ἔτυχε κατ' αὐτὸν ἐνεργήσομεν· καὶ τὴν συμμεμιγμένην διάσκεψιν τοῦ λόγου, καθ' ἣν ἀφέμενος τῶν ἄλλων τὴν περὶ αὐτοῦ ἐπιστήμην κατεστήσατο σεμνοτάτην οὖσαν καὶ τιμιωτάτην, ὡς μαρτυρεῖ καὶ τὸ ἐν Πυθοῖ γράμμα, ἀποδοκιμάσομεν ὡς ἀπόβλητον.

Τοῦ αὐτοῦ. Μετίωμεν δὴ οὖν ἤδη τὰς κατὰ φιλοσοφίαν διατριβάς. πασῶν πρῶταί εἰσιν, αἱ πρὸς ἀνάμνησιν ἀναγόμεναι, ταύτας δὴ οὖν καὶ ὁ Σωκράτης ὑποδεικνύει [illegible] μένοι, διὰ τοῦ καλῶς ἐρωτᾶν † ὁρῶμεν ἐκφαινόμεναι. δεύτεραι δ' ἂν εἶεν, αἱ μὲν * ίας ἕνεκα προσαγόμεναι, καὶ τὰ γεννηθέντα εἰς φῶς προάγουσαι, καὶ διακρίνουσαι τίνα μὲν αὐτῶν ἀληθῆ, τίνα δὲ ψευδῆ. ἀλλὰ καὶ αὗται πᾶσαι διὰ τῆς διαλεκτικῆς τὸ κῦρος ἔχουσιν. ἐπειδὴ αὖ τρίταί εἰσιν, αἱ διὰ τῶν ἐλέγχων * καθάρσεις τῆς διανοίας παρατιθεῖσαι τἀναντία δοξάσματα τῶν προσδιαλεγομένων, καὶ συγκρούουσαι αὐτὰ πρὸς ἄλληλα. ἄλλαι δὲ πείρας ἕνεκα καὶ γυμνασίας προσφερόμεναι τοῖς ἐπηκόοις, ἢ ὅσαι εἰς θέσιν ἐπιχειροῦσιν, ἢ εἴ τινες ἐξετάζουσι τὰς τῶν παλαιῶν ἀκροάσεις· ὧν οὐδεμία ἄνευ διαλεκτικῆς περαίνει τὸ ἑαυτῆς ἔργον. ὅλως δὲ, οὐχ οἷόν τε λόγον διδόναι καὶ λαμβάνειν δεόντως, εἰ μή τις κτήσαιτο ταύτην τὴν περὶ τὸν λόγον ἐπιστήμην.

Abundat haec uox.
lego μαιεύσεως καὶ [illegible].
forte καθαιρόμεναι.

ΕΙΣ ΤΟ ΕΝΑΝΤΙΟΝ ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ, ΛΟΓΟΣ πʹ.

Εὐριπίδου.

ΦΕΥ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
φωνὴν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λόγοι.
νῦν δ' εὐρύθμοις στόμασι τἀληθέστατα
κλέπτουσιν, ὥστε μὴ δοκεῖν, ἃ χρὴ δοκεῖν.

Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἂν, εἰ λέγειν εἴη σοφός.

Εὐβούλου.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως.
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος ὡς ὁ παλαιός,
σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστιν, ἐμοὶ δὲ τάδε.

Ἀρκεσίλαος ὁ φιλόσοφος ἔφη τοὺς διαλεκτικοὺς ἐοικέναι τοῖς ψηφοπαίκταις, οἳ τινὰς χαριέντως παραλογίζονται.

Ζήνων τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς δικαίοις μέτροις, οὐ πυρὸν, οὐδ' ἄλλο τι τῶν σπουδαίων μετροῦσιν, ἀλλ' ἄχυρα καὶ κόπρια.

Πυθαγόρου. Κενὸς ἐκείνου φιλοσόφου λόγος, ὑφ' οὗ μηδὲν ἀνθρώπου πάθος θεραπεύεται. ὥσπερ γὰρ ἰατρικῆς οὐκ ὄφελος, μὴ τὰς νόσους ἐκβαλλούσης ἐκ τῶν σωμάτων, οὕτως οὐδὲ φιλοσοφίας, εἰ μὴ τὸ τῆς ψυχῆς κακὸν ἐκβάλλει.

Ἐκ τῶν τοῦ Ἀρίστωνος. Οἱ ἐν διαλεκτικῇ βαθύνοντες, ἐοίκασι καρκίνους μασωμένοις, οἳ δι' ὀλίγον τρόφιμον περὶ πολλὰ ὀστᾶ ἀσχολοῦνται.

Οὐκ

colloquijs iuxta communes notiones ac opiniones cū hominibus agit: In artium inuentionibus prima ipsarum principia constituit: Antequam res aggrediaris, quo modo administrandæ sint ratiocinatur. Item admirabiles in philosophia scientias præexercitamentū atq; methodum exhibet. Imò, quod maius est, nulla philosophię pars absq; dialectica ratione comparatur. Enimuero & cum naturale quodpiam dogma inquirimus, rationes ad eius cōfirmationem adhibemus: Et omnia quæ considerantur de dijs, dialectica ratione astruuntur. Deniq; nihil dici audiríue potest, hac methodo dimissa. Nam & hoc ipsum, Dialecticam non discendam esse, dialecticis argumentis probandum est. Omnino igitur exercenda est, siue incumbendum ei fuerit, siue non. Absurdum enim esset, cętera quidē omnia ratione iudicare, ipsam uero absolutissimam rationis consyderationem relinquere: Et cum ratione animalibus alijs antecellamus, eximium istud humanæ naturæ bonum possidentes, temere & obiter excolere ipsam: & adhærentem ei disquisitionem, qua homo relictis omnibus dignissimam & pretiosissimam scientiam constituit (ut testatur inscriptio illa Delphica) uelut improbandam reijcere.

Sed transeamus ad philosophiæ studia. Omnium prima sunt, quæ ad reminiscentiam referuntur (hæc & Socrates ostendit Menoni) & rectè interrogando apparent. Secundum locum obtinent quæ speculandi meditandiq; gratia exercentur, & in animo nata in lucem proferunt, ac uera distinguunt à falsis. Cæterum & hæc omnia à dialectica perficiuntur. Argumentis enim & rationibus animum illustrantia contrarias differentium opiniones mutuò conferunt, ac inter se conciliant. Sunt quę discipulis experiundi causa, & ut aliquod specimen ædant, proponuntur, quibus aut aliquod thema tractatur, aut ueterum obscuriora dicta explicantur. Ex illis omnibus in philosophia studijs nullum sine dialectica munere suo fungitur. Deniq; ritè interrogando ac respondendo colloqui non potest, qui istam orationis scientiam non habuerit. *Eiusdem.*

ADVERSVS LITERAS, SERMO LXXX.

Ei hei, cur non res ipsæ inter homines ædunt *Euripidis.*
Vocem, ut nihili fierent artificiosi sermones?
Nunc autem compositis argumentis etiam quæ uerissima sunt
Fraudulenter inuoluūt, ita ut nō iudicetur, sicut iudicari debebat.

Nihil non in utramq; partem aliquis
Defenderit, si fuerit dicendi peritus.

Multis quidem mos est in omnibus ex æquo contradicere, *Eueni.*
Rectè uero contradicere non solent.
Et aduersus illos satis est antiquum sermonem respondere,
Hæc mihi uidentur, illa uero tibi.

Arcesilaus philosophus dialecticos aiebat similes esse ludentibus alea, qui non sine delectatione decipiuntur.

Zenon dialecticorum artes iustis mensuris comparabat, quæ non triticū, nec aliud quidpiam alicuius pretij, sed paleas & stercora metiuntur.

Vana est illius philosophi oratio, quæ nullam in homine passionē curat. Quemadmodū enim medicinæ nullus est usus, nisi morbos à corporibus exterminet: ita neq; philosophiæ, nisi animæ uitia expellat. *Pythagoræ.*

Qui dialecticæ studium profundè rimantur, cancros edentibus similes sunt, qui propter exiguum alimentum, circa crustas plurimas occupantur. *Ex Aristonis scriptis.*

Αντισθένης. Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν. οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται.

Κλεάνθης ἐρωτώμενος, διὰ τί παρὰ τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων, ὅμως πλείους διέλαμψαν ἢ νῦν; ὅτι εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος.

Αρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν, τῷ ἐν ταῖς ὁδοῖς πηλῷ. πρὸς οὐδὲν γὰρ οὐδ᾽ ἐκεῖνον χρήσιμον ὄντα, καταβάλλειν τοὺς βαδίζοντας.

malim συντεταμένως. Θεόκριτος πρός τινα διαλεκτικὸν * συντεταγμένως αὐτῷ καὶ ἐριστικῶς ἀποκρινόμενον, ἔφη·
Ως ἔρις ἔκ τε θεῶν ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο.

Καρνεάδης τὴν διαλεκτικὴν ἔλεγε πολύποδι ἐοικέναι. καὶ γὰρ ἐκεῖνον αὐξηθέντας τὰς πλεκτάνας κατεσθίειν· καὶ τούτους προϊούσης τῆς δυνάμεως, καὶ τὰ σφέτερα ἀνατρέπειν.

Κλειτόμαχος εἴκαζε τὴν διαλεκτικὴν τῇ σελήνῃ· καὶ γὰρ ταύτην οὐ παύεσθαι φθίνουσαν καὶ αὐξομένην.

Αρίστων τοὺς λόγους τῶν διαλεκτικῶν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν εἴκαζεν, οὐδὲν μὲν χρησίμους, λίαν δὲ τεχνικούς.

Ο ἐλλέβορος ὁλοσχερέστερος μὲν ληφθεὶς, καθαίρει· εἰς δὲ πάνυ μικρὰ τριφθεὶς, πνίγει. οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία.

ΟΠΟΙΟΥΣ ΤΙΝΑΣ ΧΡΗ ΕΙΝΑΙ ΤΟΥΣ ΠΑΤΕρας περὶ τὰ τέκνα, καὶ ὅτι φυσική τις ἀνάγκη ἀμφοτέρους εἰς διάθεσιν ἄγει.

ΛΟΓΟΣ πε΄.

Μενάνδρου. ΟΥΚ ἔστ᾽ ἄκουσμ᾽ ἥδιον, ἢ ῥηθεὶς λόγος
πατρὸς πρὸς υἱὸν περιέχων ἐγκώμιον.
Οὐδ᾽ ἔστιν ἀληθὲς οὐδὲν οὐθ᾽ ὑπὸ πατρὸς
εἴωθεν ἀπειλεῖν, οὔτ᾽ ἐρᾶν ἐρωμένης.
Οστις δ᾽ ἀμείλικτον πατὴρ ἔχει νεανίας
τυγχάνοντ᾽ ἐν οἴκοις, μεγάλα κέκτηται κακά.
Ο σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν,
τοῖς μὲν λόγοις, πικρός ἐστι· τοῖς δ᾽ ἔργοις πατήρ.
Υἱῷ προθύμως τἀξιούμενον ποιῶν,
κηδεμόν᾽ ἀληθῶς, οὐκ ἐφεδρον ἕξεις βίου,
Εὐριπίδου. Δεινόν τι τέκνων φίλτρον ἔθηκε θεὸς ἀνθρώποις.
Πατὴρ δ᾽ ἀπειλῶν, οὐκ ἔχει μέγαν φόβον.
Ηδὺς πατὴρ, φρόνησιν ἀντ᾽ ὀργῆς ἔχων.
Υἱὸς δ᾽ ἀμείνων ἐστὶν εὐνοίᾳ πατρός.
Μενάνδρου. Οὐ λυποῦντα δεῖ παιδάριον ὀρθοῦν, ἀλλὰ καὶ πείθοντά τι.
Χαιρήμο. Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.
Ιππόθου. Παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς.
Εὐριπίδου. Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν
potius ἐκβαλόντ᾽. φίλους ἔρωτας, * ἐκβάλλοντ᾽ αὐθαδίαν,
παῖδάς τε πατρί. καὶ γὰρ οὐκ αὐθαίρετος
βροτοῖς ἔρωτες, οὐδ᾽ ἑκουσία νόσος.
σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ,
θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.
Εἷς γάρ τις ἐστὶ κοινὸς ἀνθρώποις νόμος,
καὶ θεοῖσι τοῦτο δόξαν, ὃ σαφῶς λέγω,
θηρσί τε πᾶσι τέκνα τίκτουσι φιλεῖν.

τὰ δ᾽

Contradicentem docere oportet, non contradicendo compescere. Nam neq; insano, si uicissim insaniat, aliquis medebitur. *Antisthenis.*

Cleanthes interrogatus cur inter ueteres cum nō multi philosophati essent, plures tamen quàm nunc clari euasissent: Quoniam, respondit, tunc quidem res ipsa exercebatur, nunc autem uerba solum.

Ariston dialecticam aiebat luto uiarum similem esse. Nam & lutum inutile cum sit, transeuntes prosternit.

Theocritus ad dialecticum quendam acriter & cōtentiose respondentem ei, istud Homeri carmen dixit: Lis utinam pereat inter homines'q; deos'q;.

Carneades dialecticam inquiebat polypo similem esse. Vti polypus enim cirros suos auctos deuorat: ita dialecticos iam peritiores factos suas quoq; opiniones refutare.

polypus

Clitomachus dialecticam Lunæ comparabat: ut quæ similiter augeri & decrescere non cessaret.

Ariston dialecticorum sermones aranearum telis conferebat: ut qui subtiles admodum, sed inutiles essent.

Veratrum crassiusculè sumptum, purgat: in pollinem uero læuigatum, suffocat. Sic & nimis anxia subtilis'q; in philosophia disputatio.

QVALES NAM OPORTEAT ESSE PATRES ERga liberos, & quod utriq; naturali quadam necessitate mutuò afficiantur.

SERMO LXXXI.

Non est auditu suauior sermo, quàm qui prolatus *Menandri.*
A patre ad filium, laudem eius continet.
Nunquam reuera neq; filio suo pater
Solet minari, nec amans amatæ.
Quicunq; durum patrem habet adolescens,
Et odiosum domi, magnum malum possidet.
Qui durissimus filio uidetur in admonendo,
Verbis quidem asper est: re ipsa uero pater.
Si filio quod petit promptè exhibeas,
Habebis eum uerè tutorem uitæ tuæ, non insidiatorem.
Vehementem in liberos amoris affectum deus dedit hominibus. *Euripidis.*
Patris minæ non ualde terrent.
Suauis est pater prudentior quàm iracundior.
Filium beneuolentiâ patris meliorem facit.
Emendandi sunt liberi, non tā duriter tractando quàm uerbis suadendo. *Menandri.*
Bonus pater non fouet iram contra filium. *Chæremonis.*
Sapientes oportet liberos natu minores castigare. *Hippothoi.*
Et patrem oportet facile ferre *Euripidis.*
Liberos amoribus captos, absq; contumacia:
Et filios patris amores. Non enim spontaneus est
Hominibus amor, neq; uoluntarius morbus.
Est autem ualde ineptus ille,
Qui deorum necessitatibus mederi uult.
Vna quædam est communis hominum lex,
Et diuinitus institutum, quod apertè iam dico:
Vt uidelicet nullum non animal natum ex se fœtum amet.

τὰ δ᾽ ἄλλα χωρὶς χρώμεθ᾽ ἀλλήλων νόμοις.

Ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνον,
παισί τε τοὺς τεκόντας, οὐδὲ συμμάχους
ἄλλους γενέσθαι φήμ᾽ ἂν ἐνδικωτέρους.

Ἀνάχαρσις ὁ σκύθης ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οὐ παιδοποιεῖ, ἔφη, διὰ φιλοτεκνίαν.

Εὐριπίδου. Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους,
καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,
ἔχθραν μεγίστην σοῖσιν συμβάλλων τέκνοις.

Σωκράτους. Γαστρὸς ἐπιτίμησις, ἡδὺ φάρμακον. ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ δάκνοντος.

Θεμιστίου ἐκ τοῦ φιλοτεκνοπαθοῦς. Εὖ ἴστε ὦ ἄνδρες, ὅτι ὁ φιλότεκνος, ἀξιέπαινον πάθος ἐστί: καὶ οὐκ ἔοικε τῷ φιλοχρηματίᾳ, ἢ τῷ φιλαργυρίᾳ. ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται, καὶ ἔστιν. οὐ γὰρ ποιεῖ αὐτὰ ἡ φύσις, ἀλλ᾽ ἡ μοχθηρία ἡ ἡμετέρα. τοῦτο δὲ ἄνωθεν αὐτῇ ἐνδέδεται ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, ἣν ξυρράπτουσα ἀεί, καὶ ξυγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον,

addo ἡ φύσις. * οὐκ ἀπολισθαίνει εἰς τὸ μὴ εἶναι. ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ.

Δημοκρίτου. Τοῖς παισὶ μάλιστα χρὴ τῶν αὐτέων δατέεσθαι τὰ χρήματα, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες. ἅμα μὲν γὰρ πολλὸν * φειδωλότεροι γίγνονται ἐς τὰ χρήματα, καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν. ἐν γὰρ τῷ ξυνῷ τὰ τελεύμενα, οὐκ ἀνιᾷ, ὥσπερ ἰδίῃ, οὐκ εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον.

malim φειδωλότεροι.

Ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας, παιδεῦσαί τε τοὺς παῖδας, καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι, τοῖς τε χρήμασι, καὶ τοῖς σώμασιν αὐτῶν.

Πλάτωνος. Ἦ περὶ σμικροῦ οἴεσθε, νυνὶ κινδυνεύειν καὶ σὺ καὶ Λυσίμαχος, ἀλλ᾽ οὐ περὶ τούτου τοῦ κτήματος, ὃ τῶν ὑμετέρων μέγιστον ὂν τυγχάνει; υἱέων γάρ που ἢ χρηστῶν, ἢ τἀναντία γενομένων, καὶ πᾶς ὁ οἶκος ὁ τοῦ πατρὸς οὕτως οἰκήσεται, ὁποῖοι ἂν τινὲς οἱ παῖδες γένωνται. ἀληθῆ λέγεις. πολλὴν ἄρα δεῖ προμήθειαν αὐτοῦ ἔχειν.

Γαΐου. Ἀλλ᾽ ὅταν ἡ σωφροσύνη τὸ κρινόμενον, πάντες μὲν οἱ πρεσβύτεροι πατέρες: πάντες δὲ συγγενεῖς οἱ νεώτεροι: πᾶσαι δὲ αἱ κυήσασαι πάποτε μητέρες. τὸ γὰρ κοσμίους εἶναι τοὺς παῖδας καὶ σώφρονας, μίαν καὶ κοινὴν ἁπάντων ἔχει συγγένειαν.

Ξενοφῶντος ἐκ τοῦ πρὸς Κρίτωνα ἐπιστολῆς. Εὖ γὰρ ἴσθι Σωκράτην πρὸς ἡμᾶς πολλάκις εἰπόντα, ὅτι οἱ τῶν υἱέων, ἵνα πολλὴν μὲν ἔχωσιν οὐσίαν φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένωνται ἀμελοῦντες, ἴσον πεπόνθασι τοῖς ἱπποτροφοῦσι, καὶ τὰ μὲν πολεμικὰ οὐ διδάσκουσι, τροφὴν δὲ παμπόλλην παρεχομένοις.

lego εὐσπόροις. οὕτω γὰρ * πλουτηροῖς μὲν τοῖς ἵπποις χρήσονται, ἀπείροις δὲ ὧν χρή. εἶναι γὰρ ἵππου ἀρετὴν, οὐ τὴν εὐσαρκίαν: τὴν δὲ κατὰ πόλεμον εὐτολμίαν, καὶ ἐμπειρίαν. τὰ αὐτὰ δ᾽ οὖν ἐξαμαρτάνειν, καὶ τοὺς γῆν πολλὴν κτωμένους τοῖς υἱέσιν, αὐτῶν δὲ μὴ ἐπιμελουμένους. ἃ γὰρ κεκτήσονται,

lego πολλοῦ. * πολλὰ ἄξια νομισθήσονται: αὐτοὶ δὲ, ὀλίγου. προσήκει δὲ τὸ φυλάττον τοῦ κτηθέντος, ἀξιοτιμότερον εἶναι. καὶ τοίνυν ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ δέδωκε. γνώμη γὰρ ἢ πλείω ἢ ἐλάττω γίνεται: ἀγαθῇ μὲν ἔμμετρα: ἐκμελεῖ δὲ καὶ ἀπαιδεύτῳ ὀλίγα.

addo ἄν. Σὺ δὲ * οὐδὲν πλείω τῶν ἀναγκαίων παρέχεις, αὐτοῖς μὲν, διὰ παιδεύσεως ἰοῦσιν, ἀναγκαῖά τε καὶ πλούσια νομίζεται: τοῖς δ᾽ ἀμαθέσι, τὸ μὲν ἀλγεινὸν τῆς σπάνεως ἐκλύει: τὴν δὲ περὶ τοῦ μέλλοντος δυσελπιστίαν, οὐ μειοῖ.

ΟΤΙ ΚΑΛΛΙΣΤΟΝ Η ΦΙΛΑΔΕΛΦΙΑ, ΚΑΙ Η ΠΕΡΙ τοὺς συγγενεῖς διάθεσις, καὶ ὅτι ἀναγκαῖα.

ΛΟΓΟΣ πβ.

In cæteris autem peculiares sunt singulis leges.

Equidem autumo patri charissimos esse liberos,
Et liberis parentes, nec auxiliares
Alios sibi fieri posse iustiores aio.

Anacharsis Scytha interrogatus qua de causa non operam daret proli, respondit: Quia nimis amaturus essem liberos.

Cum liberi tibi sint, & familia parata, *Euripidis.*
Nouam domi prolem procreare uis,
Maximam inimicitiam tuis liberis concitans. (citatis habet.

Patris increpatio, suaue remedium est. Plus enim utilitatis quàm morda- *Socratis.*

Non uos latet ô uiri, amorem in liberos affectũ esse laudabilem, & longè alium quàm pecuniæ & diuitiarũ amorem. Hæc enim nomina apud homines iure uitia & appellantur, & sunt: quippe suã originẽ nõ ex natura, sed improbitate nostra deducũt. At liberorũ amor cœlitus naturæ alligatus est, & planè ab aurea illa infractaq; catena pendet, quã natura perpetuo cõtexens, & obeuntibus nascentia coniungens, ne in nihilum relabatur sibi cauet. Quamobrem philosophus propter philotecniam, hoc est prolis amorem, nõ erubescit, ut neq; propter philosophiam & philologiam. *Themistij ex libro de moderatione affectuũ.*

Pueris maximè* oportet distribuere pecunias, & simul ipsorũ habere curam, ne quid in manibus habeant incustoditum. Sic enim multo magis parci, promptioresq; ad acquirendũ fiunt, ac mutuo certant. (Sequentia obscura sunt.) *Democriti. * In Græco additur τῶν ἀνίων.*

Licet pueros non magno sumptu ita instituere, ut tum pecuniæ tum corpora ipsorum, custodia instar muri, & salute muniantur.

An exigua quadã de re nunc uos periclitari cẽsetis tu & Lysimachus, potius quã de uestrarũ possessionũ omnium pretiosissima? Filijs nanq; bene maléue institutis uniuersa domus paterna eodẽ modo gubernabitur, quo & filij affecti sunt. Vera loqueris. Diligenter igitur huic rei inuigilandum. *Platonis in Lachete.*

Cum de tẽperantia agitur, omnes seniores patres sint: iuniores omnes, cognati: mulieres quæcunq; pepererunt aliquando, matres. Modestia enim temperantiaq; puerilis, omnium refert, ac unam & cõmunem cognationẽ facit. *Gcij.*

Scias enim Socratem frequenter ad nos dixisse, quod illi qui filijs de multis opibus prospiciunt, ut autẽ boni ac egregij euadant negligunt, simile quid agant equos alentibus, quos belli disciplinam non docent, multũ uero pabuli exhibent. Sic enim equos habituri sunt pinguiores, sed rerum quas præstare oportebat, imperitos. Nam equi laudem non in corpulentia, sed audacia peritiaq; in bello, sitam esse. Eodẽ modo peccare illos, qui filijs multos agros comparant, ipsos met uero negligunt. Possessiones enim magni pretij æstimationem habebunt, ipsi autem uiles erunt: cum contrà oporteret custodientem re possessa pretiosiorem esse. Itaq; si quis filium suum magni pretij hominẽ effecerit, quãuis paucas opes ei relinquat, multa tamen largitus est. Animus enim facit ut res multæ, aut paucæ appareant: quippe bono quicquid possidet moderatum est: rudi autem & inepto, modicum. Tu sanè licet nõ plura necessarijs largiare tuis filijs, si rectè instituti sint, eadẽ quæ necessaria sunt, satis esse sibi copiosa existimabunt: Imperitis autem, (necessariorum duntaxat suppeditatio) præsentem quidem corporis molestiam remittit: futuri uerò temporis expectationem metu plenam, nihil imminuit. *Xenophontis ex epistola ad Crıtonem.* *Parenthesi inclusa de nostro addidimus.*

HONESTISSIMVM ESSE FRATERNVM AMOREM, & animi affectũ erga cognatos, quodq; necessarij sint. SER. LXXXII.

Μενάνδρου. Ὡς ἡδύ γ' ἐν ἀδελφοῖς ἐστὶν ὁμονοίας ἔρως.

Εὐριπίδου. Τὸν τῇ φύσει οἰκεῖον, οὐδεὶς καιρὸς ἀλλότριον ποεῖ.

Δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους,
μάχας θ' ὅταν ποτ' ἐμπέσωσιν εἰς ἔριν.

Διφίλου. Ἀνδρὸς φίλου γὰρ καὶ συγγενοῦς οἰκίαν,
αὐτοῦ νομίζειν δεῖ τὸν ὀρθῶς συγγενῆ.

Ἦ τι κασιγνήτοις ἐπιμέμφεται, οἷσί περ ἀνὴρ
μαρναμένοισι πέποιθε καὶ εἰ μέγα νεῖκος ὄρηται.

Σωτίωνος. Οἱ ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες, παραπλήσιοι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

Πλουτάρχου. Ὅτι χωρὶς ἀδελφῶν οὔτε πλοῦτόν φασιν, οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς ἐστί τις χάρις καὶ ὄνησις.

lego ὁ τὸν ἀδελφόν. † Ὁ διοάδελφον μὴ φιλῶν, οὐδὲ γονέας, οἳ εἰς ἀμφοῖν συνεβάλλοντο *.

* addo γνήσιον. Οἱ χρηστοὶ παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἑαυτοὺς ἀγαπήσουσιν· ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἑαυτούς. ὀφείλοντες γὰρ τοῖς γονεῦσι διὰ πολλὰ χάριν, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσι.

Πολυδεύκης τὸν καταψιθυρίζοντα τοῦ ἀδελφοῦ πρὸς αὐτὸν κονδύλῳ παίσας, ἀπέκτεινε. καὶ οὐδὲ θεὸς ἠθέλησε μόνος, ἀλλ' ἡμίθεος μᾶλλον σὺν τῷ ἀδελφῷ γενέσθαι.

Θεόφραστός φησιν, ὅτι τοὺς μὲν ἀλλοτρίους, οὐ φιλοῦντα δεῖ κρίνειν· ἀλλὰ κρίναντα φιλεῖν· τοὺς δὲ ἀδελφοὺς, ἔμπαλιν.

Σκίλουρος ὀγδοήκοντα παῖδας ἄῤῥενας ἀπολιπὼν, ἐπειδὴ τελευτᾶν ἔμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνων, ἐκέλευε καταθραῦσαι. πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἕλκων ἀκόντιον, πάντα ῥᾳδίως ἔκλασε, διδάσκων ἐκείνους, ὅτι συνεστῶτες καὶ ὁμονοοῦντες ἰσχυροὶ διαμενοῦσιν· ἀσθενεῖς δ' ἔσονται διαλυθέντες.

Σωτίωνος. Φιλάδελφον καὶ πένητα λέγεσθαι κρεῖσσον, ἢ μισάδελφον καὶ πλούσιον.

Κύνα μὲν χαλεπὸν ὄντα, ἐπιχειρεῖς πραΰνειν, ὅπως σοι πρᾶος ᾖ· τὸν ἀδελφὸν δὲ οὔ.

Ἱεροκλέους ἐκ τοῦ περὶ φιλαδελφίας. Ἀρίστιππος ἔφη πρὸς τὸν ἀδελφὸν, μέμνησο ὅτι τῆς μὲν διαστάσεως σὺ ἦρξω, τῆς δὲ διαλύσεως ἐγώ.

Πρώτη μὲν οὖν ὑποθήκη μάλα σαφὴς, ἐπιεικῶς τε εὔπορος· πρὸς δὲ, κοινή. κατὰ πάντος μὲν γὰρ εἰπεῖν προσώπου ὑγιὴς ὁ λόγος, ὡς σαφής. καὶ γὰρ οἰκέτῃ χρῶντ' ἄν τις καλῶς, φέρε μηδεὶς πῶς ἂν ἠξίωσεν ἐκεῖνον αὐτῷ προσφέρεσθαι, εἴπερ ἐκεῖνος μὲν ἦν δεσπότης, αὐτὸς δὲ δοῦλος. ὁ δ' ὅμοιος λόγος καὶ γονεῦσι περὶ τέκνων· καὶ παισὶ περὶ τῶν γεγεννημένων· καὶ συνόλως πᾶσι περὶ πάντων. ἐξαιρέτως δὲ ἐστὶν εὔπορος ἡ παραίνεσις κατὰ τὸν τῶν ἀδελφῶν τρόπον. ἐπειδή περ οὐδὲν δεῖ προϋποθέσθαι τὸν σκεπτόμενον, πῶς ἀδελφῷ χρηστέον· λαβεῖν δ' ἐξ ἑτοίμου παρὰ τῆς φύσεως τοῦ προσώπου ταυτότητα. καὶ δῆτα καὶ πρῶτος οὗτος εἰρήσθω λόγος. ὡς τοῦτον χρὴ προσφέρεσθαι τὸν τρόπον ἀδελφῷ, ὅνπερ ἄν τις ἐκεῖνον ἀξιώσειεν ἂν ἑαυτῷ. νὴ Δία φήσει τις· ἀλλ' ἐγὼ μὲν εἰμὶ μέτριος καὶ ἐπιεικής· ὁ δ' ἀδελφὸς, σκαιὸς καὶ δυσομίλητος. οὐκ ὀρθῶς δὲ ἐρεῖ. πρῶτον μὲν ἴσως, οὐδ' ἀληθεύσει. ἱκανὴ γὰρ ἡ φιλαυτία, τὰ μὲν ἴδια μεγαλοποιῆσαι καὶ ἀρχυδάναι· τὰ δὲ τῶν ἄλλων, κατασμικρῶσαι καὶ διαφαυλίσαι. * πολλὰ γοῦν διὰ ταύτην οἱ κακίους σφᾶς αὐτοὺς προκρίνουσι τῶν κατὰ πολὺ βελτιόνων. ἔπειτα κἂν ὄντως τοιοῦτος ᾖ ἀδελφος, ἀλλὰ σύ γε φαύλῳ ἂν ἀμείνων εὑρέθητι, καὶ νίκησον αὐτοῦ τὴν ἀγριότητα ταῖς εὐποιΐαις. ἐπεί τοι γε οὐδὲ πολλὴ χάρις τοῖς εὐγνώμοσι προσενεχθῆναι μετρίως· ἀλλ' ἀνδρὸς ἔργον, καὶ πολλῆς ἄξιον ἀποδοχῆς, τὸν ἀβέλτερον καὶ σκαιὸν, πραΰναι, τοῖς εὖ αὐτὸν πραττομένοις. καὶ γὰρ οὐδὲν πάμπαν ἐπ' ἀδύνατον ἡ παράκλησις. ἀλλ' ἔνεστι γὰρ κἂν τοῖς ἀτοπώτατα διακειμένοις σπέρματα μεταβολῆς τῆς ἐπὶ τὸ κρεῖττον, τιμῆς τε καὶ ἀγαπήσεως τῶν εὐεργετησάντων. οὐ γὰρ δὴ ζῶα μὲν ἄγρια καὶ φύσει πρὸς τὸ γένος ἡμῶν ἐκπεπολεμωμένα, πρὸς βίαν ἀχθέντα, καὶ τὴν πρώτην κατακλεισθέντα δεσμοῖς ἢ γαλεάγραις, χρόνοις ὕστερον τιθασσὰ γίνεται καθημερούμενα ποιαῖς τημε-

λείαις,

lego πολλοί.

Quàm suauis est inter fratres concordes amor. *Menandri.*

Quem natura alicui Cõiunxit, ille nullo tẽpore alienus fieri potest. *Euripidis.*

Indigna res est fratrum contentiones fieri seu uerbis,
Seu pugnis, ubi in mutuam inciderunt discordiam.

Nam uiri amici & cognati familiam *Diphili.*
Veluti propriam reputare oportet uerè cognatum.

Num fratres aliqua in re accusat? in quibus unusquisq;
Pugnantibus fiduciam collocat, licet magna lis appareat.

Qui relictis fratribus alios amicos quærunt, similes illis sunt qui suum rus incultum sinunt, & alienum excolunt. *Sotionis.*

Neq; diuitiarum, neq; regni, quod apud homines imperium est diuinissimum, sine fratribus ulla potest aut gratia aut fructus esse. *Plutarchi de amore fratrum.*

Qui fratrem suum non amat, is ne parentes quidem, qui amborum generationis communes autores fuerunt, amat.

Boni probiq; filij non solum propter parentes amore mutuo se prosequentur: sed etiam parentes propter sese. Cum enim multas ob causas parentibus gratitudinem debeant, plurimum eis fratrum nomine debent.

Pollux quendam, qui fratrem apud ipsum clam deferebat, pugno percussum occidit: ac ne deus quidem solus esse uoluit, sed potius cum fratre semideus agere.

Theophrastus ait alienos homines non amantem iudicare oportere, fratres autem contrà.

Scilurus octoginta filiorum pater iam uicinus morti, fasciculum ex iaculis porrigens unicuiq; confringere iussit. Cum autem omnes defessi nihil effecissent, ipse singulatim extrahens iacula omnia facile fregit, docens ipsos hoc argumento, quod uniti & concordes, robusti permansuri essent: dissoluti autem, imbecilles futuri.

Fratrum amantem & pauperem dici præstat, quàm fratrum osorem ac diuitem. *Sotionis.*

Canem tibi infensum mitigare conaris, ut fiat benignior: erga fratrem uero idem non facis.

Aristippus ad fratrem dixit: Memineris te dissensionis, me reconciliationis autorem fuisse. *Hieroclis ex libro de amore fraterno.*

Primum sanè consilium clarissimum, omnino in promptu situm, & omnibus commune est. Nam cuiuis personæ hic sermo, utpote sanus ac euidens, dici potest. Siquidem etiam seruo aliquis rectè uti poterit, reputans secum quomodo se ab illo accipi uellet, si ipse seruiret, ille dominaretur. Idem hoc de parentibus quales præstare se debeant erga liberos, & uicissim de liberis erga parentes, quibusuis deniq; erga quoslibet dicendum est. Promptissima uero & hæc admonitio, & fraternæ conditioni aptissima est. Nihil enim præsupponere opus est, illum qui considerat, quo pacto agendum sit cum fratre: sed statim in promptu quod eadem sit utriusq; uestrũ conditio, natura te docebit. Itaq; primum hoc consiliũ iam dictum sit, scilicet eo modo cum fratre uiuendum esse, quo ipsum aliquis secum agere uellet. Per Iouem aliquis dixerit: At ego modestus & æquus homo sum, frater uero rudis & difficilis in conuersatione. Sed non rectè ita loquetur. Primum fortè, non ait quod res est. Nimius enim est amor sui in extollendis & laudandis rebus proprijs, alienis contra imminuendis ac eleuandis. Quamobrem multi deteriores, alijs longè præstantioribus semet anteponunt. Deinde, quamuis reuera talis sit frater: tu tamen, dixerim, melior appareas, & beneficijs agrestes illius mores uincas. Haud enim magna gratia illis debetur, qui faciles ac moderati sunt erga prudentes ac benignos. Rudem uero molestumq;, suis factis mitiorem reddere, uiro dignum & laudabile opus est. Non enim omnino frustra adhortatio, & prouocatio per beneficia fiet. Quãdoquidem uel efferatissimę quæq; animãtes, & suapte natura humano generi omnino infensæ, quamuis adductæ fuerint magna cum uiolentia, & à principio uinculis aut instrumentis quibusdam constrictæ, postea mansuefiunt certis cultibus, ui-

λέαις, καὶ τῇ καθ' ἡμέραν τροφῇ. οὐχ ὅπως δὲ ἄνθρωπος ἀδελφὸς, ἀλλὰ κἂν μηδὲν προσήκον τύχοι, οὕτω παντὶ μᾶλλον ἐπιμελείας ἀξιούμενος, μεταβάλλει πρὸς τὸ ἡμερώτερον, κἂν ὑπερβολὴν μὴ ἀπολίπῃ σκαιότητος. μιμητέον οὖν ἐστὶ παντὸς μὲν ἀνθρώπου: πολὺ δὲ διαφερόντως ἐπ' ἀδελφοῦ, τὸ τοῦ Σωκράτους. ἐκεῖνος γὰρ πρὸς τὸν εἰπόντα ἀποθανοῦμαι, εἰ μή σε τιμωρησαίμην, ἔφη: ἀποθανοῦμαι εἰ μή σε φίλον ποιήσω. μετὰ ταῦτα δ' ἐνθυμητέον ὅτι τρόπον τινὰ οἱ ἀδελφοὶ τὰ αὐτοῦ μέρη τυγχάνουσιν, ὥσπερ * οἱ ὁμοιόφθαλμοι ἐμοῦ: καὶ ὡσαύτως μέλη τε καὶ χεῖρες, καὶ τὰ λοιπά. καὶ γὰρ οὗτοι, τοῦτον ἔχουσι τὸν τρόπον, εἴτε πρὸς τὸν οἶκον * διεξετάζοντες. ὥσπερ οὖν οἱ ὀφθαλμοί, καὶ αἱ χεῖρες, εἴπερ ἕκαστον ἰδίαν ψυχὴν καὶ νοῦν λάβοι, προσέποι ἂν τὰ λοιπὰ πάσῃ μηχανῇ, διὰ τὴν εἰρημένην κοινωνίαν, * τὸ μὴ δι' αὐτὰ τὸ ἴδιον ἔργον οἷά τε εἶναι παρέχειν καλῶς δίχα τῆς τῶν ἑτέρων παρουσίας: οὕτω δὴ καὶ ἡμᾶς ἀνθρώπους γε ὄντας, καὶ τὴν ψυχὴν ὁμολογοῦντας ἔχειν, μηδὲν παραλιπεῖν σπουδῆς, ὑπὲρ τοῦ δεόντως προσφέρεσθαι τοῖς ἀδελφοῖς. καὶ γὰρ ἂν καὶ πλεῖόν τι παρὰ τὰ μέρη συλλαμβάνειν ἀλλήλοις ἀδελφοὶ πεφύκασιν. οἵ τε ὀφθαλμοὶ μὲν ὁρῶσιν ἀλλήλους, παρὸν παρόντα: καὶ χεὶρ συνεργάζεται παρούσῃ, χειρὶ παρούσῃ. ἡ δ' ἀδελφῶν σύμπραξις ἀλλήλοις, πολυχουστέρα πῶς ἐστι. πράττουσι γὰρ τὰ κοινὰ διαφέροντα, καὶ διεστηκότες πάμπαν: μέγα θ' ὑπάρχουσιν ἀλλήλων ὄφελος, κἂν μυρίον ᾖ τὸ διάστημα. ὅλως δὲ ἐνθυμητέον, ὡς βίος ἡμῖν κινδυνεύει μακρός τις εἶναι καὶ † πολυέτης πόλεμος: τοῦτο μὲν, διὰ τὴν * ἑαυτῶν τῶν πραγμάτων φύσιν, ἐχόντων τι ἀντίτακτον: τοῦτο δὲ, διὰ τὰς ἐξαιφνιδίους καὶ ἀπροσδοκήτους ἐπιδρομὰς τῆς ψυχῆς: πολὺ δὲ μάλιστα δι' αὐτὴν τὴν κακίαν, οὔτε βίας τινὸς * ἀπεχόμενον, οὔτε δόλου κακῶν στρατηγημάτων. οὐδεὶς οὖν ἐστι μόνος, οὐδ' ἀπὸ δρυὸς, οὐδ' ἀπὸ πέτρης, ἀλλ' ἐκ γονέων, καὶ μετ' ἀδελφῶν καὶ συγγενῶν, καὶ ἄλλων οἰκείων. μέγας δὲ βοηθὸς ὁ λόγος, καὶ τοὺς ὀθνείους καὶ μηδὲν καθ' αἷμα προσήκοντας διεξιόμενος, ἀφθονίαν γε παρέχων συμμάχων. διὰ τοῦτο καὶ τὴν φύσιν ἡμῖν σπουδή, καὶ ὁπωσοῦν προσαγαγέσθαι καὶ φιλοποιήσασθαι. γίνεται γοῦν ἤδη τὸ πρᾶγμα, τελεωτάτη μανία, * τοὺς μὲν οὖν ἐκ φύσεως ἔχοντας φίλτρον πρὸς ἡμᾶς ἐθέλειν συγκραθῆναι, καὶ τῇ γνώμῃ εἰς ἔφοδον ἐνδέχεται πλεῖστον χέαι τὴν οἰκειότητα: τῶν δὲ ἐξ ἑτοίμου καὶ παρ' αὐτῆς χορηγουμένων τῆς φύσεως, καταμεμεληκέναι βοηθῶν κἀπικούρων, οἵους δὴ συμβέβηκεν εἶναι τοὺς ἀδελφούς.

forte αἱ ὁμόφθαλμοι ἐμοί. Locus uidetur mutilus. lego ὡ. malim πολυετής. lego αὐτ. malo ἀπεχομένην. lego πε.

Παιδοκτονία. Ὃ δή μοι δοκεῖ δεινότατον, οὐδὲ πενίαν ἔνιοι προφασίζεσθαι ἔχοντες, ἀλλ' εὔποροι χρημάτων ὄντες, τινὲς δὲ καὶ πλούσιοι, ὅμως τολμῶσι τὰ ἐπιγινόμενα τέκνα μὴ τρέφειν, ἵνα τὰ προγενόμενα εὐπορῇ μᾶλλον, διὰ ἀνοσίου μηχανώμενοι τὴν εὐπορίαν τοῖς παισίν, διὰ ἀδελφῶν φόνου, οἵγε ἀναιροῦσιν αὐτῶν τοὺς ἀδελφούς: ἵν' ἐκεῖνοι μερίδα μείζω τῶν πατρῴων ἔχωσι: κακῶς εἰδότες, ὅσῳ κρεῖττον πολλοὺς ἔχειν ἀδελφοὺς, τοῦ πολλὰ ἔχειν χρήματα. χρήματα μὲν γὰρ ἐπιβουλὰς ἐγείρει παρὰ τῶν πλησίον: οἱ δ' ἀδελφοὶ τοὺς ἐπιβούλους ἀνείργουσι. καὶ τὰ μὲν αὐτὰ δεῖται βοηθείας: οἱ δ' ἀδελφοὶ βοηθοί εἰσι κράτιστοι. (καὶ οὔτε φίλον ἀγαθὸν ἀδελφῷ παρὰ τῶν ἀνθρώπων ἑτέρων ὁμοίων τε καὶ ἴσων, τῇ ἀπ' ἀδελφῶν.) τί δ' ἄν τις παραβάλλοι καλὸν εὐνοίᾳ τῇ ἐξ ἀδελφοῦ εἰς ἀσφαλείας λόγον; τίνα δὲ κοινωνὸν ἀγαθὸν εὐμενέστερον σχοίη τις ἂν, ἢ ἀδελφὸν ἐπιεικῆ; τίνος δὲ παρουσίαν ἐν συμφοραῖς μᾶλλον ποθήσειεν ἄν, ἢ τοιούτου ἀδελφοῦ; ἐγὼ μὲν ἀξιοζηλότατον ἡγοῦμαι τὸν ἐστὶ πλήθει ἀδελφῶν ὁμονοούντων βιοῦντα: καὶ θεοφιλέστατον εἶναι νομίζω, τὸν ἄνδρα τοῦτον, οἴκοθεν ἔχοντα τἀγαθά. διὸ καὶ νομίζω δεῖν ἕκαστον ἡμῶν τοῖς αὐτοῦ παισὶ πειρᾶσθαι χρημάτων μᾶλλον ἀπολείπειν ἀδελφούς, ὡς ἀφορμὰς ἀγαθῶν * ἀπολείψοντας μείζονας.

Inclusa parenthesi si sensum non absoluunt. malim ἀπολείψοντα.

Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρεκράτην, εἰπέ μοι ἔφη ὦ Χαιρέκρατες, ἦ δή που καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα, ἢ * ἀδελφούς; καὶ ταῦτα τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου: καὶ τῶν μὲν, βοηθείας δεομένων: τοῦ δὲ, βοηθεῖν δυναμένου. καὶ πρὸς τούτοις, τῶν μὲν, πλειόνων ὑπαρχόντων. τοῦ δὲ, ἑνός. θαυμαστὸν δὲ, καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς, ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται. τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει. ἀλλ' ἐνταῦθα μὲν δύναται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς ἀρκοῦντα ἔχειν

*Ξενοφῶντος ἐν δευτέρῳ ἀπομνημονευμάτων. * malim ἀδελφόν.*

ctuq; quotidiano cicuratæ. Non solum autem homo frater, sed etiam alienus, si ita omni officiorum genere colatur, licet pessimus fuerit, mansuetior euadit. Proinde cum erga omnes homines, tum fratres multò maximè, Socratis animum imitari ac referre debemus. Hic enim ad illum qui se moriturum exclamauerat, nisi de ipso se ulcisceretur: At ego, dixit, nisi te mihi effecerim amicum, moriar. Deinde cogitandum est, quod fratres quodammodo corporis tui partes sint, quemadmodũ oculi tui, pedes, manus, & reliqua membra. Nam & fratres aliquo modo ita se habent, si communem generis originem spectes. Sicut igitur oculi manusq;, si animæ & mentis per se compotes fierent, reliquas partes omni studio curarēt propter intercedentem ipsis communionem: quoniam ne ipsæ quidem functionem suam rectè administrare possunt citra præsentiam aliarum partium: Ita nobis etiam, qui homines sumus, & animam habere nos fatemur, omnibus uiribus annitēdum est, ut fratribus decenter utamur. Magis enim, quàm partes corporis, ad auxilium mutuum fratres compositi esse uidentur. Siquidem oculi se inuicem spectant, præsens præsentem: & manus præsenti manui subuenit: fratrum uero opera mutua multò latius patet. Negotia enim communia peragunt, quamuis magno loci interuallo disiuncti: & commoda sua sedulò inuicem promouent, licet longissimo interstitio separētur. In summa, æstimandũ est, quàm longæ tædiosæq; uitæ, & perpetuæ inimicitiæ periculũ immineat: partim, propter ipsarum rerum naturam, nescio quid aduersæ contumaciæ habentium: partim, propter subitas & inopinatas animæ perturbationes: maximè uero propter ipsam malitiam, quæ nec ulla ui, nec dolo malorum stratagematũ abstinet. Quocirca nemo solus est, nec ex quercu saxóue natus, sed ex parentibus, & cũ fratribus, & cognatis, aliisq; familiaribus agit. Plurimũ autem nos iuuat ratio, alię nos etiam, & sanguine nihil iunctos concilians, ac sociorũ copiam exhibens. Proinde naturali quodam studio quoslibet allicere, & amicos nobis parare cupimus. Verum enimuero extremæ insanię argumentum est, cum illis coniungi uelle, quorum amorem nulla uis naturæ nobis commendat, & quàm fieri potest latissimè familiaritatem propagare: auxiliatores uero & socios in promptu existētes, & ab ipsa natura suppeditatos, quales nimirum fratres sunt, negligere.

Nōnulli homines, q̃d mihi grauissimũ esse uidetur, cũ paupertatē prætexere nequeant, & pecuniæ sat habētes, alij uero diuites apertè, audent tamē liberos post nascentes nõ educare, ut qui prius nati sunt ditiores fiāt. Ita per nefas ex cæde fratrum opes suis liberis parāt, occidendo fratres ut cæteri patrimoniũ amplius habeāt. Nę illi non intelligunt, quāto sit potius multos habere fratres, quàm multas pecunias. Nam pecunię insidias à proximis struendas cientĩ à fratribus insidiatores arcentur. Itē illæ ad sui custodiā alienũ auxiliũ requirunt: ipsi uero fratres, optimi sunt auxiliatores. *Sed quodnā bonũ, quod securitatem attinet, fraternæ beneuolentiæ cõparauerit aliquis? Quē sociũ bonũ beneuolentiorem acquireret aliquis, quàm fratrē cõmodum? Aut cuius præsentiā in calamitatibus desyderaret potius, quā huiusmodi fratris? Ego sanè fœlicissimũ esse iudico, illũ q in magno & concordi fratrũ numero uitā degit: eundēq; Deo charissimũ arbitror, ut qui bonis domesticis affluat. Quam obrem & suadeo ut unusquisq; nostrum liberis suis fratres potius quàm pecunias relinquat: utpote maiores bonorum occasiones hoc pacto eis relicturus.

Musonij.

** In Greco hic interponuntur quædam mutila.*

Cum quondam uero Chęrephontem atq; Chærecratem inter se germanos, sibi autem familiares, sentiret altercari: Cumq; uidisset Chærecratem: Dic mihi ô Chęrecrates, inquit, num etiam tu ex illis hominibus es, qui chariorem pecuniā quàm fratres esse arbitrantur? præsertim cum illa quidem insipiens sit, is uerò sapiens: & illa quidem indigeat adiutorio, is uero iuuare possit: & ad hoc, illa quidem ad multitudinem augeatur, is uero unus sit? Mirum autem hoc quoque profectò, si quis germanos quidem propterea damno sibi esse putabit, quoniā partem illorum non possidet: Ciues uero damni sibi esse nõ putabit, eo quod bonis ciuiũ priuetur. Sed hic quidem potest iudicare, quod melius sit cũ multis securè habitare, paucaq;

Xenoph. de fac. & dictis Socratis lib. 1.

ἔχειν, ἢ μόνον διαιτώμενον, τὰ τῶν πολιτῶν ἀκινδύνως πάντα κεκτῆσθαι: ἐνταῦθα δὲ τῶν ἀδελ-
φῶν, τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. καὶ οἰκέτας μὲν, οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι,
καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι: τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν
γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ, οὐ γιγνομένους. καὶ μὴν πρὸς φιλίαν, μέγα μὲν ὑπάρ-
χει, τὸ ἐκ τῶν αὐτῶν φῦναι: μέγα δὲ τὸ ὁμοῦ τραφῆναι. ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίνεται
τῶν συντρόφων. πρὸς δὲ τούτοις, καὶ οἱ ἄλλοι ἄνθρωποι, τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους
ὄντας τῶν ἀναδέλφων, καὶ ἧττον τούτοις ἐπιτίθενται. καὶ ὁ χαιρεκράτης, εἶπεν: ἀλλ' εἰ μὲν
ὦ σώκρατες μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφὸν, καὶ μὴ μικρῶν ἕνεκα
φεύγειν. ἀγαθὸν γὰρ ὥσπερ καὶ σὺ λέγεις ἀδελφὸς ὢν, οἷον δεῖ. ὁπότε μέντοι παντὸς ἐνδέ-
οι, καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις; καὶ ὁ σωκράτης ἔφη: πό-
τερα δὲ ὦ χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται χαιρεφῶν, ὥσπερ οὐδὲ σοί: ἢ ἔστιν, οἷς καὶ πά-
νυ ἀρέσκει; διὰ τοῦτο γάρ τοι ἔφη ὦ σώκρατες ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτὸν, ὅτι ἄλλοις μὲν
ἀρέσκειν δύναται, ἐμοὶ δὲ ὅπου ἂν παρῇ, πανταχοῦ καὶ λόγῳ καὶ ἔργῳ ζημία μᾶλλον, ἢ ὠφέ-
λειά ἐστιν. ἆρ' οὖν ἔφη ὁ σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μὲν, ἐγχειροῦντι δὲ χρῆσθαι,
ζημία ἐστίν: οὕτω καὶ ἀδελφὸς, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστίν;
πῶς δ' ἂν ἐγὼ ἔφη ὁ χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέ-
γειν τὸν εὖ λέγοντα, καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα. τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώ-
μενον ἐμὲ ἀνιᾶν, οὐκ ἂν δυναίμην, οὔτ' εὖ λέγειν, οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι. καὶ
ὁ σωκράτης ἔφη, θαυμαστὰ λέγεις ὦ χαιρέκρατες. εἰ κύων μέν σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδει-
al. ἀμελήσας. ος ὤν, καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσιόντι ἐχαλέπαινεν, * ἠμέλησας ἂν τοῦ ὀρ-
γίζεσθαι, ἐπειρῶ εὖ ποιήσας πραΰνειν αὐτὸν, τὸν δὲ ἀδελφὸν φὴς μὲν μέγα ἀγαθὸν εἶναι, ὄντα
πρός σε οἷον δεῖ, ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι,
ὅπως σοι ὡς βέλτιστος ᾖ; καὶ ὁ χαιρεκράτης, δέδοικα ἔφη ὦ σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ το-
σαύτην σοφίαν, ὥστε χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ, οἷον δεῖ. καὶ μὴν οὐδέν γε ποικίλον
ἔφη ὁ σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτὸν, ὡς ἐμοὶ δοκεῖ, μηχανήσασθαι: οἷς δὲ καὶ σὺ ἐπίστα-
σαι αὐτὸς, οἶμαι ἂν αὐτὸν ἁλόντα, περὶ πολλοῦ ποιεῖσθαί σε. οὐκ ἂν φθάνοις ἔφη λέγων,
ἔτι ᾔσθησαί με φίλτρον ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; λέγε δή μοι ἔφη, εἴ τινα
τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποιοῖς; δη-
al. ἂν ἔ. λονότι κατάρχοιμι * αὐτοῦ αὐτὸς, ὅτε θύοιμι καλεῖν ἐκεῖνον. εἰ δὲ βούλοιο τῶν φίλων τινὰ
προτρέψασθαι, ὁπότε ἀποδημοίης ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης; δηλονότι πρότερος ἂν
ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη. εἰ δὲ βούλοιο ξένον ποιῆσαι, ὑποδέ-
χεσθαι σεαυτὸν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; δηλονότι καὶ τοῦτον πρότερος ὑπο-
δεχοίμην ἂν, ὁπότε ἔλθοι ἀθήναζε. καὶ εἴγε βουλοίμην ἂν αὐτὸν προθυμεῖσθαι διαπράττειν
μοι ἐφ' ἃ ἥκοιμι, δηλονότι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν. πάντ' ἄρα σύγε
καὶ σπουδάζεται ταῦτα πάντα, τοῦ μὲν σκίμποδος οὐδὲν κακίω παρεχομένου κατάκλισιν ἡμῖν τῆς ἀργυρᾶς, ἢ τῆς ἐλεφαντίνης κλίνης· τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑποστρῶσθαι, ὥστε μὴ δεῖσθαι πορφυρίδος, ἢ φοινικίδος. ἐσθίειν δὲ ὑπάρχοντος ἡμῖν ἀβλαβῶς, ἀπὸ τραπέζης ξυλίνης, ὡς μὴ ποθεῖν μηδαμῶς τὴν ἀργυρᾶν· καὶ πίνειν γε νὴ Δία ἐκ κεραμείων ποτηρίων παρὸν, ἅ τό, τε δίψος σβεννύειν παραπλησίως πέφυκε τοῖς χρυσοῖς, καὶ τὸν ἐγχεόμενον αὐτοῖς οἶνον οὐ λυμαίνεται, ὀσμὴν δέ γε ἡδίω τῶν χρυσῶν παρέχεται καὶ τῶν ἀργυρῶν. καθόλου δ᾽ ἀρετὴ καὶ κακία σκευῶν * καὶ θείη ἂν ὀρθῶς, ἐκ τριῶν τούτων, τῆς κτήσεως, καὶ τῆς χρήσεως, καὶ τῆς τηρήσεως. ὅσα μὲν γὰρ κτήσασθαι δύσκολά ἐστιν, ἢ χρήσασθαι μὴ εὐπετῆ δὲ, ἢ φυλάξαι μὴ ῥᾴδια, ταῦτα χείρω. ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς, καὶ χρώμενοι ἥπαι ὀυμὲν, καὶ φυλάττομεν ῥᾳδίως, ταῦτα ἀμείνω. διόπερ τὰ κεράμεα καὶ τὰ σιδηρᾶ, καὶ ὅσα τοιαῦτα πολλὰ, κρείττω τῶν ἀργυρῶν τε καὶ χρυσῶν. ὅτι ἡ κτῆσις τούτων, εὐμαρεστέρα, ὅσῳ καὶ εὐτελεστέρα. ἥ τε χρῆσις πλείων, ὅτι καὶ πυρὶ ῥᾳδίως ταῦτ᾽ ἐμβάλλομεν· ἐκεῖνα δὲ, οὔ. ἥ τε φυλακὴ ἥττων· τὰ γὰρ εὐτελῆ τῶν πολυτελῶν ἐπιβουλεύεται ἧττον. μέρος δέ τι τῆς φυλακῆς οὖσα καὶ ἡ ἐκκάθαρσις, περὶ τὰ πολυτελῆ πλείων ἐστίν. ὥσπερ οὖν ἵππος, ὁ τιμῆς μὲν ἐωνημένος ὀλίγης, χρείας δὲ παρεχόμενος πολλὰς, ἀρετώτερος τοῦ ὀλίγα μὲν ὑπουργοῦντος, πολλὰ δ᾽ ἠγορασμένου, κατὰ τὰ αὐτὰ καὶ σκεύη τὰ εὐτελέστερα καὶ πολυχρηστότερα κρείττω τῶν ἐναντίων. τί ποτ᾽ οὖν διώκεται τὰ σπάνια καὶ πολυτελῆ πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν; ὅτι ἀγνοεῖται τὰ καλὰ καὶ τἀγαθά· καὶ ἀντὶ τῶν ὄντων, τὰ δοκοῦντα σπουδάζεται παρὰ τοῖς ἀνοήτοις. ὥσπερ δὴ καὶ οἱ μαινόμενοι πολλάκις λευκὰ τὰ μέλανα νομίζουσιν, ἄνοια δὲ μανίας συγγενέστερον. ἐπεὶ τῶν γε νομοθετῶν τοὺς ἀρίστους, καὶ ἐν πρώτοις Λυκοῦργον εὕροιμεν ἂν, πολυτέλειαν μὲν ἐξελαύνοντα τῆς Σπάρτης, ἀντεισάγοντα δ᾽ εὐτέλειαν, καὶ τὸ ἐνδεὲς τῆς διαίτης, τοῦ περιττοῦ προτιμῶντα πρὸς ἀνδρείαν· καὶ τὴν μὲν τρυφὴν, ὡς λύμην ἐκτρεπόμενον· τὸ δ᾽ ἐθελόπονον, ὡς σωτήριον ζηλοῦν ἀξιοῦντα. τεκμήρια δὲ τούτων, αἱ τῶν ἐφήβων ἐκεῖ καρτερήσεις, ἐθιζομέναι φέρειν λιμόν τε καὶ δίψος, καὶ μετὰ τούτων, ῥῖγος· ἔτι δὲ πληγὰς καὶ πόνους ἄλλους. † σεμνοῖς ἔθεσιν οἱ πολλοὶ Λακεδαιμόνιοι * χραφέντες, ἄριστοι τῶν Ἑλλήνων ἦσάν τε καὶ ἐνομίζοντο· καὶ τὴν πενίαν τὴν ἑαυτῶν ζηλωτοτέραν τοῦ βασιλέως πλούτου κατέστησαν. ἐγὼ δ᾽ οὖν καὶ αὐτὸς δεξαίμην ἂν νοσῆσαι μᾶλλον, ἢ τρυφῆσαι. τὸ μὲν γὰρ νοσεῖν, μόνον βλάπτει τὸ σῶμα· τὸ δὲ τρυφᾶν, ἄμφω διαφθείρει, ψυχήν τε καὶ σῶμα· σώματι μὲν ἀσθένειαν καὶ ἀδυναμίαν, ψυχῇ δὲ ἀκολασίαν καὶ ἀνανδρείαν ἐμποιοῦν. καὶ μὴν καὶ ἀδικίαν τίκτει τρυφὴ, ὅτι καὶ πλεονεξίαν. οὔτε γὰρ τρυφῶντά τινα, δυνατὸν μὴ πολυτελῆ εἶναι, οὔτε πολυτελῆ ὄντα, ὀλίγα βούλεσθαι ἀναλίσκειν. βουλόμενον δὲ πολλὰ, μὴ καὶ πορίζειν πολλὰ ἐπιχειρεῖν, οὐδ᾽ αὖ πορίζειν ἐπιχειροῦντα πολλὰ, μὴ πλεονεκτεῖν καὶ ἀδικεῖν, οὐ γὰρ ἂν ποριεῖ τις ἐκ δικαίων πολλά. ἔτι καὶ ἄλλον τρόπον, ἄδικος ἂν εἴη πάντως ὁ τρυφῶν. καὶ γὰρ ὑπὲρ πόλεως τῆς αὐτοῦ πονεῖν τοὺς προσήκοντας πόνους, ὀκνήσειεν ἂν, ἢ οὐκ ἂν ἔτι τρυφῴη. κἂν * ὑπὸ φίλων ἢ συγγενῶν κακοπαθῆσαι δέον, οὐκ ἂν ὑπομείνειεν. οὐ γὰρ ἐάσει αὐτὸν ἡ τρυφή. καὶ μὴν καὶ διὰ θεοὺς ἔστιν ὅτε πονητέον τῷ δικαίῳ εἶναι βουλομένῳ πρὸς θεοὺς, ὅτι θυσίας, ἢ τελετὰς, ἢ τινὰ ἄλλην ὑπηρεσίαν τελέσει τοῖς θεοῖς· ὁ δὲ τρυφῶν, ἐνδεήσει κἀνταῦθα. διόπερ ἄδικος ἂν εἴη πάντως καὶ περὶ πόλιν, καὶ περὶ φίλους, καὶ περὶ θεοὺς, ἃ χρὴ πράττειν αὐτὸν, οὐ πράττων. ὡς οὖν καὶ ἀδικίας αἰτίαν οὖσαν τὴν τρυφὴν, φευκτέον τρόπῳ παντί.

lego πλείω ἄν.
Videtur hic aliquid desyderari
* lego τραφέντες.
lego δεῖν.

Ἱεροκλέους ἐκ τοῦ οἰκονομικοῦ.

Πρὸ πάντων γε περὶ τῶν ἔργων ὑφ᾽ ὧν οἶκος συνέχεται ταῦτ᾽ οὖν διαιρετέον μὲν ἐπὶ τὸ πλεῖστον. τῷ μὲν ἀνδρὶ, τὰ κατ᾽ ἀγρὸν καὶ τὰ περὶ τῆς ἀγορᾶς καὶ τῆς ἀστυπολίαν ἀνακείσθω· τῇ δὲ γυναικὶ, τὰ περὶ ταλασίαν καὶ σιτοποιίαν, καὶ ὅλως τὰ κατοικίδια τῶν ἔργων, οὔτε

μὴν

Deniq; eadem dulcia & amara iudicabit, quæ maritus suus, nisi planè inconcinna mulier sit.

Atqui ad hoc institutũ & argumentũ de sumptuositate domus, supellex etiã domestica pertinere uidetur, lecti, mensę, stragula, pocula, & reliqua huiusmodi, quando usus ac necessitatis modum excesserũt. Vt si lecti eburnei, aut argentei fiant, & inaurentur: item ex simili materia mensæ: & stragula murice, aliisq; coloribus paratu difficilibus infecta comparẽtur: & pocula auro & argẽto fabricata, aut gemmis, aut simili materia, cuius pretiũ cũ auro argentóue certare possit. Et hæc omnia tanto studio parantur, cũ tamen nihilò deterius in uili grabato, quàm aureo uel eburneo lecto cubare liceat: & rheno substerni cõmodissimus sit, ita ut purpureis aut puniceis stragulis nihil egeamus: & in lignea mensa sine detrimẽto uescamur, nec opus sit argenteã quærere: deniq; ex testaceis poculis bibere in promptu sit, quę quidem sitim non minus aureis extinguunt, & infusum sibi uinũ non lædũt, ac insuper aureis argenteisq; suauius olẽt. Sed in uniuersum laus & improbatio supellectilis tribus modis diiudicari potest, ex acquisitione, usu, & custodia. Nã quæ uix acquiruntur, aut minus cõmodè usurpantur, aut nõ facile seruantur, deteriora sunt: Cõtra quæ non difficulter cõparamus, utendo laudamus, & facile custodimus, meliora. Proinde uasa testacea, ferrea, & huius generis multa, aureis & argenteis præferãtur. Quoniã eò facilius acquirũtur, quo uiliora sunt: & copiosiorẽ sui præstãt usum, cũ etiã igni facile imponãtur, quod in illis nõ licet: & minori seruãtur negotio: Nã uilia minus insidiarũ alliciũt quàm pretiosa. Purgatio etiã seu expolitio, quæ custodiæ pars est, laboriosior est in pretiosis. Quemadmodũ igitur equus paruo pretio emptus & multis usibus seruiens, præferendus est illi qui magno constiterit, & ad pauca utilẽ operam præstet: sic etiã supellex uilior, sed multis usibus cõmodior, maioris faciẽda est, quã cõtraria. Quid est igitur quod rara & pretiosa poti⁹ expetãtur, quàm quæ parabilia sunt & uilis pretii? Quoniã honesta bonaq; ignorãtur, & pro ueritate opinio apud stultos locũ habet. Sicut insani quoq; alba frequẽter existimãt esse nigra: stultitia uero insaniæ cognata est. Quinetiã legislatores optimos, ac in primis Lycurgũ uidemus relegata sumptuositate extra Spartam, in eius locũ frugalitatẽ constituisse: ac uictũ tenuẽ superfluo ad comparandã fortitudinẽ prætulisse: deniq; mollitiem instar pestis auersatũ esse, spontaneis aũt laboribus utpote rei saluberrimæ operã dari uoluisse: Cuius rei testimoniũ fuerit epheborũ tolerantia apud ipsos, qua famẽ, sitim, & frigus pati assuescũt, itẽ uerbera aliosq; labores. Itaq; in grauissimis moribus Lacedæmonii plæriq; nutriti, Gręcorũ optimi erãt ac existimabãtur: & paupertatẽ suã opibus regiis beatiorẽ effecerũt. Atqui & ego ægritudinẽ prę mollitie deligerẽ. Morbus eñ corpori solũ nocet: at mollities utrũq; corrũpit, & animã & corpus: huic imbecillitatẽ ac debilitatẽ, illi uero luxuriã et mulierosum habitũ producẽs. Insuper iniustitiã quoq; mollitia parit, nã & auaritiã auget. Haud eñ fieri potest ut mollis & delicatus homo sumptuosus non sit: neq; ut sumptuosus pauca insumere uelit. Multa uero insumptur⁹, acquirere multa conetur oportet: qui aũt id conatur, auarus & iniustus fit necesse est. Nec enim magnę opes iustè parari possunt. Quin & alia ratione quiuis effœminatus mollisq; iniustus est. Nã pro ciuitate sua debitis laboribus satisfacere cũctabitur, aut satisfaciẽs nõ ampli⁹ mollis erit. Itẽ si pro amicis aut cognatis sustinendũ aliqd fuerit, ille nihil tolerabit: non eñ id ei pmittet sua mollities. Ad hęc in deorũ gratiã aliquãdo laborandũ est illi, q erga deos iustus esse uoluerit: sacrificia eñ, solẽnitates, & alios cultus diis celebrabit. Mollis aũt uir, etiã in istis deficiet. Quocirca apparet huiusmodi hominẽ prorsus & in ciuitatẽ, & amicos, ac erga deos iniustum esse, non faciendo ea quæ facere sui officii erat. Itaq; mollitiam manibus pedibusq; fugere conuenit, ut quæ iniustitiæ quoq; causam contineat. *Musonii ex lib. de supellectile.*

Ante omnia dicendũ est mihi de operib⁹, quę familiã sustentãt. Hęc igiť diuidanť, ut fieri solet, ita ut uiro opera rustica, forensia, & ciuilia tribuantur: mulieri autem quæ lanificium & frumenti apparatum attinent, omnia deniq; domestica negotia. *Hieroclis ex œconomico.*

μὴν ἀγεύστους ἀξιωτέον εἶναι οὐδὲ ἑτέρους τῶν ἑτέρων. γένοιτο γὰρ ἂν ποτὲ καὶ γυναικὶ κατ'
ἀγρὸν γενομένῃ καθῆκον, τὸ τοῖς ἐργαζομένοις ἐπιστῆναι, καὶ τὴν τοῦ οἰκοδεσπότου τάξιν ἐκ-
πληρῶσαι: καὶ ἀνδρὶ περὶ τὴν κατὰ τὴν οἰκίαν ἐπιστροφὴν ποιεῖσθαι, καὶ τὰ μὲν, διαπυ-
θέσθαι: τὰ δὲ, καὶ ἐπιδεῖν τῶν γινομένων. οὕτω γὰρ ἐπισυνδέοιτο μᾶλλον τὰ τῆς κοινωνίας,
forte δῆτα. εἰ συμμετέχοιεν ἀλλήλοις τῶν ἀναγκαίων φροντίδων. * δεύτερος μέν τοι τοῦ λόγου γενόμε-
lego ἰδ' ἀπονή- νος, οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ, καὶ περὶ αὐτουργίας ποιήσασθαί τινα γνώμην * ἀπονὴς τοῖς ὑ-
ρεῖς. πὲρ τῶν ἔργων εἰρημένοις καὶ τοῦτο προστιθεὶς. ὡς μὲν τοίνυν τἀνδρὶ καθήκει τῶν γεωργι-
δεῖ abundat. κῶν ἅπτεσθαι πόνων, τί καὶ λέγειν * δεῖ χρή; οὐ πολὺς γὰρ ὁ περὶ τοῦτο δυσπειθής. ἀλλὰ καί περ το-
σαύτης τρυφῆς καὶ ἀεργίας τὸν νῦν κατεχούσης βίον, ὅμως σπάνιός ἐστι, μὴ καὶ δι' ἑαυτοῦ προθυμούμε-
νος ἔργων κοινωνῆσαι τῶν ὑπὲρ σπόρου καὶ φυτείας, καὶ τῶν ἄλλων τῶν κατὰ γεωργίαν.
forte δυσπειθέστε- * δυσπειθέστερα δ' ἴσως ὁ περὶ θάτερα τῶν ἔργων, ὅσα γυναιξὶν ἀπονένεμηται, παρακαλῶν τὸν
ρος. ἄνδρα λόγος. καὶ πάσχουσί γε οὐ κατ' εἰκὸς οἱ καθαριώτεροι μὴ καθ' ἑαυτοὺς εἶναι νομίζοντες
ἅψασθαι ταλασίας. ἐπεὶ γὰρ ὡς ἐπὶ τὸ πλῆθος εὐτελεῖς ἀνθρωπίσκοι, καὶ τὸ τῶν κατεχόντων
καὶ γυννίδων φῦλον, ὡς τὴν ἐρίων ἐργασίαν καταφέρεται ζήλῳ θηλύτητος, οὐ δοκεῖ κατά τὸν
ἀληθινώτερον ἄνδρα τυγχάνειν, τὸ εἰς ταῦτα συγκαθιέναι. ὥστ' ἔγωγε τάχ' ἂν οὐδ' αὖ
αὐτὸς συμβουλεύσαιμι, τοῖς μὴ τελείαν παρεσχημένοις πίστιν, ὑπὲρ τῆς ἑαυτῶν ἀρρενότητος καὶ
σωφροσύνης, ἅπτεσθαι τοιοῦδέ τινος. εἰ μέν τοι διὰ τοιοῦδε βίου πεποίηκοι τις ἂν ἑαυτὸν
lego καθάπερ. πάσης ὑπονοίας ἀτόπου * καθάπερ ὄντα, τί κωλύσει καὶ περὶ ταῦτα τῇ γυναικὶ κοινωνῆσαι τὸν
ἄνδρα; τῶν μὲν γὰρ ἄλλων κατοικιδίων ἔργων, μὴ καὶ τὸ πλέον ἀνδράσι προσήκειν ἡγητέον, ἤ-
περ γυναιξίν; ἔστι γὰρ καματωδέστερα καὶ ῥώμης δεόμενα σωματικῆς, οἷον ἀλέσαι καὶ στῆ-
μάξαι, διασχίσαι τε ξύλα, καὶ ὕδωρ ἀνιμῆσαι, καὶ σκεύη μεταθεῖναι, καὶ διατινάξαι στρώμα-
τα, καὶ πᾶν τὸ τούτοις παραπλήσιον. καὶ τὰ μὲν ὑπὲρ ἀνδρῶν ἀρκέσειεν ἄν, ἐπιμετρῆσαι δ'
ἔτι καὶ τὴν γυναῖκα πρέπον: ὥστε μὴ περὶ ταλασίας κοινωνεῖν μόνον ταῖς θεραπαίναις, ἀλλὰ
καὶ τῶν ἄλλων ἔργων τῶν ἐπανδροτέρων. καὶ γὰρ σιτοποιίας ἅψασθαι κατὰ τὴν ἐλευθέραν
εἶναί μοι δοκεῖ, καὶ ὕδωρ ἀνιμῆσαι, πῦρ ἀνακαῦσαι, κλίνην καταστρῶσαι, καὶ πᾶν τὸ τούτοις
ἐοικός. πολλὰ δ' ἂν ἀνδρὶ φαίνοιτο καλλίων γε ἑαυτῇ, καὶ μάλιστα νέα ἔτι οὖσα, καὶ μὴ δι' ὅ-
πως τετρυμμένη κυοφορίαις, εἰ καὶ τρύγης ἀμπέλων αὐτουργοῦσα συμμετέχοι, καὶ συλλογῆς
ἐλαιῶν. εἰ δὲ παρήκοι, καὶ σπόρου καὶ ἀρόσεως, καὶ προσδόσεως ἐργαλείων, τοῖς σκάπτουσιν ἢ
φυτεύουσι. τοῦτον γὰρ τὸν τρόπον οἰκονομουμένων τῶν ἔργων, οἶκος προστατούμενος ὑπ' ἀνδρὸς καὶ
γυναικὸς, ἄριστά μοι δοκεῖ κατά γε ταῦτα διεξάγεσθαι.

Ξενοφῶντος ἀ- Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρησίμους, παιδεύειν ἔμοιγε ἐδόκει, οἵας χρὴ
πομνημονευ- οἰκοδομεῖσθαι. ἐπεσκόπει δὲ ὧδε. ἆρα γε τὸν μέλλοντα οἰκίαν, οἵαν χρὴ ἔχειν, τοῦτο δεῖ μηχα-
μάτων. νᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται; τούτου δὲ ὁμολογουμένου: οὐκοῦν ἡδὺ
μὲν θέρους ψυχεινὴν ἔχειν: ἡδὺ δὲ χειμῶνος ἀλεεινήν. ἐπειδὴ δὲ καὶ τοῦτο συμφαῖεν: οὐκοῦν
al. παστάδας. ἐν ταῖς πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις, τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς * παραστάδας
ὑπολάμπει: τοῦ δὲ θέρους, ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος, σκιὰν παρέχει. οὐκοῦν εἴ-
γε καλῶς ἔχει ταῦτα οὕτω γίνεσθαι, οἰκοδομεῖν δεῖ, ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ
χειμερινὸς ἥλιος μὴ ἀποκλείηται: χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον, ἵνα μὴ οἱ ψυχροὶ ἐμπίπτω-
σιν ἄνεμοι. ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι, καὶ τὰ
al. ἀσφαλέστατα. ὄντα * ἀσφαλέστερα τιθοῖτο, αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη. γραφαὶ δὲ καὶ
ποικιλίαι πλείονας εὐφροσύνας ἀποστεροῦσιν, ἢ παρέχουσι. ναοῖς γε μὴν καὶ βωμοῖς χώραν ἔφη
al. ἐμφανεστάτη. εἶναι πρεπωδεστάτην, ἥτις † ἀσφαλεστάτη οὖσα, * ἀστιβεστάτη εἴη. ἡδὺ μὲν γὰρ ἰδόντας προ-
* al. ἀτιμεστάτη. σεύξασθαι: ἡδὺ δὲ ἁγνῶς ἔχοντας προσιέναι,

Τοῦ αὐτοῦ ἐκ τοῦ Οὐκοῦν ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἐδόκει ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία.
οἰκονομικοῦ. ἡ δ' ἐπιστήμη αὕτη ἐφαίνετο, ᾗ οἴκους αὔξειν δύνανται ἄνθρωποι. οἶκος δ' ἡμῖν ἐφαί-
νετο, ὅπερ κτῆσις ἡ σύμπασα. κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι, ὅ, τι ἑκάστῳ εἴη ὠφέλιμον εἰς τὸν
βίον. ὠφέλιμα δὲ πάντα εὑρίσκετο, ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι. πάσας μὲν οὖν
τὰς ἐπιστήμας, οὔτε μαθεῖν ἡμῖν οἷόν τε ἐδόκει εἶναι, συναποδοκιμάζομέν τε ταῖς πόλεσι
τὰς

Non tamen alter ab operibus alterius omnino immunis esse debet. Nam & mulierem aliquando decebit, ut rus egressa operarijs præsit, & patrisfamiliâs uicem gerat: & contra uiro rerum domesticarum habere curam laudi dabitur, partim sciscitando, partim ea quæ fiunt inspiciendo. Sic enim mutua communio magis stabilietur, si necessarias curas inter se communicent. Sed cum oratio mea huc peruenerit, non omittam spontanei laboris mentionem, nec indecens fuerit hæc illis adiungere, quæ de operibus dicta sunt. Quod igitur uiro decorum sit rei rusticæ labores exercere, quid est quod multis asseratur? Paucos enim esse opinor, qui nobis hac in re non credant. Verum etsi tanta mollities & dementia præsentem uitæ statum occupat, rarus est tamen qui suo corpore nolit serendi plantandiq; opus subire, itemq; aliarum rerum quæ ad agriculturam pertinent. At ille sermo fortè minus facile persuadebit, qui uiros ad opera muliebria hortatur. Nam qui puriores lautioresq; sunt, non rectè existimant opus lanificij nihil ad se pertinere. Quandoquidem enim ut plurimum uiles homuntiones, ac mollium & mulierosorum genus lanis elaborandis incumbit æmulatione quadam muliebri, non uidetur uerum uirum decere ut ad huiusmodi operas se demittat. Atqui nec ego forte consuluerim illis, qui non integram de uirilitate ac temperantia existimationem habent, ut tale quicquam agant. At si quis uita honestè acta ab omni uitiosa suspitione immunis purusq; sit, quid illum prohibet etiam istis in rebus uxoris operum participem fieri? præsertim cum inter cætera domestica negotia, quicquid laboriosius est, uiris potius exequendum relinquatur, quàm mulieribus. Plus autem laboris, & uirium corporis hæc requirunt, molere, farinam subigere, findere ligna, aquam extrahere, uasa transponere, excutere stragula, & quicquid eiusmodi est. Et hæc quidem de uiris dicta satis sint, restat adhuc de mulieris officio dicendum. Mulier igitur non solum cum ancillis lanificium tractet, sed etiam alias quasdam magis uiriles operas. Nam & frumenti apparatum curare ingenuæ mulieris officium reor, & aquam haurire, ignem suscitare, lectum sternere, & alia his similia. Multo autem marito suo formosior esse uidebitur uxor, præsertim quæ iuuenis est ac nondum effœta, si uindemiando etiam & oliuas colligendo laborum socia fuerit: uel quod amplius est, ad serendum usq; & arandum progrediatur, ac fodientibus aut plantantibus operarijs instrumenta porrigat. Quippe familia quæ hoc modo instituta fuerit, quantum opera attinet, patris matrisq; familiâs exemplis, prosperrime actura hac quidem in parte mihi uidetur.

Domos quoq; cum diceret easdem esse bonas atque utiles, docere mihi uidebatur quales oporteat ædificare. Vtrum enim, aiebat, illum qui habiturus est, qualem deceat domum, hoc considerare oportet, ut quàm maximè delectabilis & utilis habitantibus sit? Cum uerò hoc concederetur, delectabile itaq; dicebat est, æstate frigidam illam habere, hyeme calidam. Cum aũt etiam in hoc consentiretur: In domos igitur, aiebat, respicientes meridiem, in hyeme solares radij ingrediuntur: tempore uerò æstiuo cum sol supra nos & per tecta eat, umbram reddit. Si itaq; bonũ est sic ista fieri, oportet altiora quidem quæ meridiem respiciunt ędificare, ut sol hyemalis non excludatur: Humiliora uerò, quę aquilonem, ut frigidi non incidant uenti. Et, ut uno uerbo dicam, ubi omnibus horis ipse libenter refugiat, suamq; supellectilem securè deponere possit, ista profectò maximè delectabilis, ac optima domus esset. Picturæ autem ac uarietates plures delectationes auferũt, quàm afferũt. Templis uerò atq; aris locum esse aiebat in primis decorum & conuenientem, qui cum eminentissimus sit, non facillimũ aditum habeat. Confert etenim hoc tum ut aspicientes orent, tum ut casti adeant. *Xenophōtis lib. 3. de factis & dictis Socratis.*

Igitur scientię cuiusdam nomen œconomia nobis uisa est, eaq; in augenda domo consistere: domus autem quicquid possidetur appellari: possessionem esse quamcunque rem uictui utilem diximus: utilia uero omnia quibus uti quis sciret. Cunctas autem artes neque posse quenquam scire, neque sanè à republica probari, *Eiusdem ex Oeconomico.*

τὰς βαναυσικὰς καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα λυμαίνεσθαι δοκοῦσι, καὶ τὰς ψυχὰς καταγνύναι.

ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ. ΟΤΙ ΕΥΓΕΝΕΙΣ ΟΙ κατ' ἀρετὴν ζῶντες, κἂν μὴ λαμπρῶν εἰσι γεγονότες πατέρων καὶ ἀγαθὸν τὸν τρόπον.

ΛΟΓΟΣ πδ'.

Εὐριπίδου.

ΠΕΡΙ δ' εὐγενείας, ὀλίγ' ἔχω φράσαι καλά.
ὁ μὲν γὰρ ἐσθλὸς, εὐγενὴς ἔμοιγ' ἀνήρ.
ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς
Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ.

Περισσόμυθος ὁ λόγος εὐγένειαν εἰ βρότειον εὐλογήσομεν.
τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα,
διὰ δ' ἔκρινεν ἁ τεκοῦσα γᾶ βροτοὺς,
ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν.
ἴδιον οὐδὲν ἔχομεν. μία δὲ γονὰ,
τό, τ' εὐγενὲς καὶ τὸ δυσγενές.
νόμῳ δὲ γαῦρον αὐτὸ κρανεῖ χρόνος.
τὸ φρόνιμον, εὐγένεια, καὶ τὸ συνετὸν
ὁ θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος.

Ἀναξανδρίδου.

Γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος,
κατ' ἄνδρ' ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ,
τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν.
* οὕνεκα τῶν ἐστὶν εὑρεῖν ἄνδρ' ἕνα,
καὶ τοῦτον οἱ ζητοῦντες, εἰσὶ μυρίοι.

Legerem τοῦτον δὲ χαλεπὸν εὑρεῖν ἄνδρ' ἕνα.

Εὐριπίδου.

Οὐ μὴ φρονήσεθ', οἱ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε; τῇ δ' ὁμιλίᾳ βροτοὺς
* κρίνετε, καὶ τοῖς ἤθεσι τοὺς εὐγενεῖς;
οἱ γὰρ τοιοίδε τὰς πόλεις οἰκοῦσιν εὖ,
καὶ δώματ', αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν
ἀγάλματ' ἀγορᾶς εἰσιν. οὐδὲ γὰρ δόρυ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει.
ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ.

malim κρίνετε.

Θεοδέκτου.

Ἐγὼ μὲν * ἂν οὔποτ' εὐγένειαν ἤνεσα,
τὴν προστέτουσι χρωμένην ἀναξίοις.

ἂν hic abundat.

Ἐπιχάρμου.

Ἀπολεῖ με τὸ γένος. μὴ λέγ' εἰ φιλεῖς ἐμὲ,
μῆτερ ἐφ' ἑκάστῳ τὸ γένος, οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσὸν,
ἐκεῖσε καταφεύγουσιν εἰς τὰ μνήματα,
καὶ τὸ γένος, ἀριθμοῦσί τε τοὺς πάππους ὅσοι.
οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἂν, οὐδ' εἰπεῖν ὅτῳ
οὐκ εἰσὶ πάπποι. πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
εἰ μὴ λέγειν δ' ἔχουσι * τούτων, διά τινα
τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθὰ,
κἂν Αἰθίοψ ᾖ μήτηρ, ἐστὶν εὐγενής.

al. τίνα.

Σκύθας

quas uocant Mechanicas, quæ corpora pariter & animum corrumpunt.

DE NOBILITATE, QVOD NOBILES ILLI SINT, qui secundum uirtutem uiuunt, etsi non claris nec bonis moribus præditis parentibus orti sint.

SERMO LXXXIIII.

DE nobilitate parum laudis prædicare possum. *Euripidis.*
Bonus enim uir mihi nobilis uidetur,
Qui uero non iustus est, licet à patre meliore,
Quàm Iupiter sit, genus deducat, ignobilis mihi censetur.
Superflua est oratio, nobilitatem
Si mortalem laudauerimus.
Olim enim cum primum nati sumus
Et mater tellus homines formauit,
Omnibus consimilem largita est faciem.
Peculiare nihil habemus. Sed una generis eademq; origo
Nobiles ac ignobiles produxit.
Tempus autem legibus arbitrarijs nobilitatem efficit mage gloriosam.
Sed in prudentia nobilitas sita est: ac intellectus
Non à diuitijs, sed diuinitus datur.
Tutissima generis laus est *Astydamantis.*
Virum collaudare, qui iustus fuerit
Et moribus optimus, ac eundem uocare nobilem.
Sed huiusmodi uel unum inuenire difficile est,
Et inquirentes ipsum infiniti sunt.
Non tandem sapietis uos qui uanis opinionibus *Euripidis.*
Pleni erratis, ex conuersatione autem homines
Iudicabitis, & ex moribus nobiles?
Tales enim fœliciter inhabitant ciuitates,
Ac domos. Carnes uero hominum inanes,
Simulachra fori sunt. Neq; enim hastam
Forte brachium magis expectat quàm imbecillum.
Nam in animo istud situm est, & alacritate.
Equidem nunquam laudaui nobilitatem, *Theodectis.*
Quæ dominis uteretur indignis.
Perdet me genus. Ne nomines si me amas *Epicharmi. al. Menandri.*
Mater ad singula genus tuum. Quibus enim natura
Nullum adfuerit bonum proprium,
Illi confugiunt ad monumenta,
Et genus suum: ac auos enumerant quot habuerint.
At ne unum quidem uideris aut nominaueris, cui
Non sint aui: aliter enim quomodo nati essent?
Quod si tamen indicare id nequeunt propter aliquam
Loci mutationem, aut amicorum penuriam,
Quid propter hoc ignobiliores habendi sunt illis, qui auuos suos nrumerāt?
Quisquis suapte natura procliuis ad bona fuerit,
Nobilis est, quamuis matre genitus Aethiope.

σκύθης τις ὄλεθρος, ὁ δ' ἀνάχαρσις οὐ σκύθης;

Εὐριπίδου. φρονούμεθ' ἀνδρῶν εὐγενῶν, φρονούμεθα·
κακοὺς δ' ἀπεπτύομεν, ὥσπερ ἄξιοι.

Ἐγὼ μὲν οὐκ οἶδ' ὅπως δεῖ σκοπεῖν χρεὼν
τὴν εὐγένειαν· τοὺς γὰρ ἀνδρείους φύσιν,
forte κενῶν. καὶ τοὺς δικαίους τῶν * τέκνων δοξασμάτων,
κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.

Μενάνδρου. Οὐδὲν γένος γὰρ οἶμαι διαφέρειν.
al. γνήσιος. ἀλλ' εἰ δικαίως ἐξετάσεις καὶ * γνήσιος
ὁ χρηστός ἐστιν· ὁ δὲ πονηρός, καὶ νόθος.

Εὐριπίδου. Ἥπου κρεῖσσον τῆς εὐγενείας, τὸ καλῶς πράσσειν.

Σοφοκλέους. Ἓν φῦλον ἀνθρώπων μί' ἔδειξε πατρὸς καὶ ματρὸς
ἡμέρα τοὺς πάντας. οὐδεὶς ἔξοχος
ἄλλος ἔβλαστεν ἄλλου. βόσκει δὲ τοὺς μέν,
μοῖρα δυσαμερίας· τοὺς δ' ὄλβος ἡμῶν·
τοὺς δὲ δουλείας ζυγὸν ἔσχεν ἀνάγκης.

Βίωνος. Ἀντίγονος ὁ βασιλεὺς Βίωνα τὸν φιλόσοφον διαβληθέντα ὡς δυσγενῆ, ἤρετο.
τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
κἀκεῖνος εἶπεν· ἀλλ' ὀρθῶς ἔχει ὦ βασιλεῦ, ὅταν τοξοτῶν χρείαν ἔχῃς, οὐκ ἐρωτῶντα τὸ γένος, ἀλλὰ τιθέντα τὸν σκοπόν, τοὺς ἀρίστους τοξεύοντας παραλαμβάνειν· οὕτως οὖν καὶ ἐπὶ τῶν φίλων ἐξέταζε, οὐ πόθεν εἰσίν, ἀλλὰ τίνες.

Σώστρατος ὁ αὐλητής, ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι, εἶπε· καὶ μὴν διὰ τοῦτο ὀφείλω μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται.

Ἀνάχαρσις ὀνειδιζόμενος ὅτι σκύθης ἐστίν, εἶπε· τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ.

Φιλάειδης. Σεμνύνεσθαι μὲν ὥσπερ ἄλλῳ τινὶ τῶν καλῶν ἐπ' εὐγενείᾳ, οὐκ ἀπεικός ἐστιν. ἐγὼ δὲ μόνην εὐγένειαν ἀρετὴν οἶδα· τὰ δὲ ἄλλα πάντα τύχην. καὶ γένοιτ' ἄν, ὁ μὲν ἐκ φαύλων, ἀγαθός, καὶ βασιλέων καὶ πάντων εὐγενέστατος· ὁ δέ, ἐξ ἀγαθῶν, φαῦλος, αὐτός τε αὐτοῦ, καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε ψυχῆς ἔπαινον αὔχει, μὴ προγόνων τεθνηκότων εἰς ἐπιδοξοτέρους εὐγένειαν.

Δημοκράτης. Κτηνέων μὲν εὐγένεια, ἡ τοῦ σκήνεος εὐσθένεια· ἀνθρώπων δέ, ἡ τοῦ ἤθεος εὐτροπίη.

Διογένης, πυνθανομένου τινός, τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, οἱ καταφρονοῦντες εἶπε, πλούτου, δόξης, ἡδονῆς, ζωῆς· τῶν δ' ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου.

Σωκράτης ἐρωτηθεὶς τί εὐγένεια, εὐκρασία ἔφη ψυχῆς καὶ σώματος.

Πλουτάρχου ἐκ τοῦ περὶ εὐγενείας. Τί γὰρ ἄλλο νομίζομεν εἶναι τὴν εὐγένειαν, εἰ μὴ παλαιὸν πλοῦτον, ἢ παλαιὰν δόξαν, οὐδέτερον ἐφ' ἡμῖν ὄν; ἀλλὰ τὰ μὲν τύχης ἀδήλου, τὰ δ' ἀκρασίας χάριν ἀνθρωπίνης· ὥστ' ἐκ δυεῖν ἀλλοτρίων κρέμαται τὸ πεφυσημένον ὄνομα ἡ εὐγένεια. καὶ ὁ πλοῦτος μέν, οὐχ ὁμοίους αὐτῷ τοὺς γεννηθέντας ποιεῖ· ἀλλ' ὁ ἐξ ἀρετῆς γεννηθείς, εἰκονίζει ἀεὶ τὴν ἐπὶ τῆς ψυχῆς δικαίαν εἰς τοὺς ἐκγόνους διαχεομένην, καὶ τοῦτ' ἐστὶν ἡ ὄντως εὐγένεια, ὁμοίωσις δικαιοσύνης.

Ἆρ' οὖν εὐγενέστερος ἦν ὁ μίδου πλοῦτος τῆς ἀριστείδου πενίας; καίτοι ὁ μὲν οὐδ' ἐντάφια καταλιπών· τῇ δὲ φυγῇ, πάντ' ἂν ἐδύνατο εἶναι τάφος. ἀλλ' οὐκ ἐν πλουσίῳ τὸ εὐγενές. (πυρὸς ἔχει τινὰ τρόπον πᾶσα πονηρία. ἀμφότερα χωρὶς τροφῆς ἀφανίζεται σβεννύμενα.) ἡ δὲ σωκράτους ἀδοξία, μαίας καὶ ἑρμογλύφου πατρός, οὐκ ἦν εὐγενεστέρα τῆς σαρδαναπάλου δόξης; μὴ σύ γε νομίζῃς, ὅτι ξέρξης εὐγενέστερος ἦν κυναιγείρου. καίτοι ὁ μὲν ὑπὲρ τῆς ἰδίας πατρίδος ἀπεκόπη τὴν χεῖρα· ὁ δ' ὑπὲρ τοῦ ζῆν, ἔφυγεν, ἀντὶ τῆς μεγάλης βασιλείας, μεγάλην προικάμενος δειλίαν.

Σωκράτους. Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν· οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον [illegible], τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπερέχοντα τῷ τρόπῳ κρίνοντες.

Ολως

Ex Scythia putas damnum fieri, Anacharsis autem an non Scytha fuit?

Parcamus uiris nobilibus, parcamus: *Euripidis.*
Malos autem, ut merentur, respuamus.

Haud equidem scio qua ratione consyderanda sit
Nobilitas. Fortes enim natura,
Et iustos, quamuis è seruis natos,
Nobiliores esse dico, quàm inani gloria tumidos.

Nullum enim opinor esse generis discrimen. *Menandri.*
Sed si rectè consyderaueris, genuinus
Idem qui bonus: malus autem nothus est.

Nimirum in agendo fœlicitas nobilitate præstantior est. *Euripidis.*

In hominum genere una produxit ex patre & matre *Sophoclis.*
Lux nos omnes: neq; præstantior
Alius alio natus est. Sed sequitur aliquos
Sors infortunij, alios nostrum opes & fœlicitas.
Sunt qui necessario seruitutis iugo premantur.

Antigonus rex Bionem philosophum de ignobilitate criminatum, interrogauit: Quis & cuias es? ubi tua ciuitas est? ubi sunt parentes? Cui Bion respondit: Atqui ô rex bene facis, cum indiges sagittarijs, quod nõ interrogando genus, sed scopum proponendo, optimos illorum tibi deligis: Sic igitur amicos etiam explora, non unde nati, sed qui & quales sint. *Bionis.*

Sostratus tibicen cum ei parentum obscuritas à quodam obijceretur: Atqui, dixit, propter hoc ipsum admirationi magis esse debebã, quoniã genus à me incipit.

Anacharsis cum per conuicium Scytha nominaretur: Genere, dixit, non ingenio aut moribus.

De nobilitate, non minus quàm de alijs bonis, gloriari non indignum est. Ego autem præter uirtutem, nullam agnosco nobilitatem: reliqua uero cũcta fortunam æstimo. Nam humili genere natus, ut bonus, ita regum & omnium hominum nobilissimus fieri potest. Contrà, aliquis parentibus bonis ortus, malus euadere potest, ac tum seipso, tum uilissimis quibusq; ignobilior. Glorieris igitur de laudibus animæ, non de maiorum nobilitate in obscuriori posteritate iam extincta. *Phalaridis.*

Pecudum nobilitas in bono ualidoq; corporis habitu sita est: hominum autem, in bonitate morum. *Democrates.*

Diogenes interrogante quodam qui hominum nobilissimi essent: Contemptores, dixit, opum, gloriæ, uoluptatis, & uitę: contrarijs autem, paupertate, obscuritate famæ, labore, ac morte superiores.

Socrates nobilitas qd esset sciscitãti: Animæ, respõdit, & corporis bona tẽperies.

Quid enim aliud nobilitatem esse putamus quàm opes antiquas, aut ueterẽ gloriam? quorum neutrum in nostro arbitrio est: sed alterum inconstantis fortunæ, alterum propter humanam intemperiem est. A duobus igitur alienis superbum istud nobilitatis nomen pendet. Atqui diuitiæ, non reddunt nascentes sibi similes: uirtutis autem à iusto animi habitu profectæ facultas, ad posteros diffundi potest. Et hæc uerissima nobilitas est, similitudo secundum iustitiam. *Ex Plutarchi libro contra nobilitatem.*

An uero Midæ regis diuitiæ, nobiliores Aristidis paupertate fuerunt? Quamuis hic ne sepulturæ quidem sumptus reliquerit: Phrygis autem sepulchro omnia cedere potuerint. Verum nobilitas in opibus sita est: (cum opes potius pabulũ sint malitiæ.) Omnis sanè malitia rectè comparatur igni. Vtrumq; enim pabulo destitutum extinguitur. Socratis uero generis humilitas ex obstetrice & statuario nati, an non Sardanapali gloria nobilior fuit? Xerxen quoq; non æstimare debes nobiliorẽ Cynægyro fuisse, cui propter patriam suam amputata manus est: ille autem uitę suę fuga consuluit, magni regni uice magna timiditate præditus. *Inclusa parenthesi de nostro addidimus.*

Neq; frumentum optimum iudicamus quod in pulcherrimo agro natum est, sed quod commodè nutrit: neq; uirum bonum & studiosum, aut amicum beneuolum, qui genere clarus, sed qui moribus egregijs fuerit. *Socratis.*

Ἀριστοτέλους. Ὅλως δὲ περὶ εὐγενείας ἐγὼ ἀπορῶ, τίνας χρὴ καλεῖν τοὺς εὐγενεῖς. εἰκότως γὰρ ἔφην τοῦτο σὺ διαπορῶν. καὶ γὰρ καὶ παρὰ τῶν σοφῶν, τὰ μὲν, ἀμφισβητεῖται: τὰ δ' οὐ λέγεται σαφῶς εὐθὺς τὰ περὶ τῆς δυνάμεως: λέγω δὲ τοῦτο πότερον τῶν τιμίων ἐστὶ καὶ σπουδαίων, ἢ καθάπερ λυκόφρων ὁ σοφιστὴς ἔγραψε κενόν τι πάμπαν. ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτὴν, εὐγενείας μὲν οὖν ἧς ἀφανὲς τὸ κάλλος, ἐν λόγῳ δὲ τὸ σεμνὸν, ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς: κατὰ δ' ἀλήθειαν, οὐθὲν διαφέροντας τοὺς ἀγεννεῖς τῶν εὐγενῶν.

Ἀμφισβητεῖται δὲ καθάπερ καὶ περὶ τοῦ πηλίκον ἀγαθόν ἐστιν, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς. οἱ μὲν γὰρ, τοὺς ἐξ ἀγαθῶν γονέων, εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ καὶ σωκράτης. διὰ γὰρ τὴν ἀριστείδου ἀρετὴν, καὶ τὴν θυγατέρα αὐτοῦ γενναίαν εἶναι. σιμωνίδην δέ φασιν ἀποκρίνασθαι διερωτώμενον τίνες εὐγενεῖς, τοὺς ἐκ πάλαι πλουσίων φάναι, καίτοι κατὰ τοῦτον τὸν λόγον, οὐκ ὀρθῶς ὑποτιμῶσι. θέογνις δ' ὁ ποιητὴς ὁ ποιήσας,

ὡς τὴν μὲν εὐγένειαν αἰνοῦσι βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖσι πλουσίοις.

ἢ πρὸς Διὸς οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς, ἢ οὗ ὁ πρόπαππος, ἢ τῶν προγόνων τις πλούσιος ἦν, αὐτὸς δὲ πένης; πῶς γὰρ οὐκ εἶπε, καὶ δέοιτ' ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον, ἢ τοῖς εὐγενέσιν; εὐγενεῖς γὰρ οἱ παλαιοί: κρείττους δὲ οἱ νῦν. οὐκοῦν ὁμοίως κἄν τις ὑπολαμβάνῃ, οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἐκ πάλαι πλουσίων, * ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι. κρείττων γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς, πρόσφατος: καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς ἢ προπάππου. αἱρετώτερον δ' * αὐτὸν εἶναι σπουδαῖον, ἀλλ' οὐ τὸν πρόπαππον, ἢ τινὰ τῶν ἄλλων προγόνων.

malim ὁ κ.

lego αὐτὸν.

ὀρθῶς ἔφη λέγειν. ἆρ' οὖν οὐκ ἐπεὶ ἐν μηδετέρῳ τούτων ὁρῶμεν τὴν εὐγένειαν σκεπτέον ἄλλον τρόπον; τίνα τοῦτον; ἐνίοτε σκεπτέον δ' ἔφη τὸ εὖ σημαίνει τί δήπου τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τὸ εὐπρόσωπον, καὶ τὸ εὐόφθαλμον. ἀγαθὸν γάρ τι καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. πάνυ γὰρ εἶπεν. οὐκοῦν εὐπρόσωπον μέν ἐστι, τὸ ἔχον ἀρετὴν προσώπου. εὐόφθαλμον δὲ, τὸ ὀφθαλμοῦ ἀρετήν. οὕτως εἶπεν. ἀλλὰ μήν ἐστι γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ, φαῦλον, ἀλλ' οὐ σπουδαῖον. πάνυ γ' εἶπε. σπουδαῖον δέ γε φαμὲν ἕκαστον κατὰ τὴν αὐτοῦ ἀρετὴν εἶναι. ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. οὕτως εἶπε. δῆλον ἄρ' ἔφην, ὅτι ἐστὶν ἡ εὐγένεια, ἀρετὴ γένους.

Πλάτωνος. Πότερον εἰκὸς ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένεσιν, ἢ μή; δῆλον ὅτι ἐν τοῖς γενναίοις. οὐκοῦν τοὺς εὖ φύντας, ἂν καὶ εὖ τραφῶσιν, οὕτω τελέους γίνεσθαι πρὸς ἀρετήν; ἀνάγκη. σκεψώμεθα δὴ τοῖς ἐκείνων τὰ ἡμέτερα ἀντιτιθέντες. πρῶτον μὲν εἰ δοκοῦσι φαυλοτέρων γενῶν εἶναι οἱ λακεδαιμονίων καὶ περσῶν βασιλεῖς. ἢ οὐκ ἴσμεν, ὡς οἱ μὲν, ἡρακλέους, οἱ δ' ἀχαιμένους ἔκγονοι; τὸ δ' ἡρακλέους γένος καὶ τὸ ἀχαιμένους, εἰς περσέα τὸν διὸς ἀναφέρεται. καὶ γὰρ τὸ ἡμέτερον ὦ σώκρατες εἰς εὐρυσάκην: τὸ δὲ εὐρυσάκους, εἰς δία. καὶ γὰρ τὸ ἡμέτερον ὦ γενναῖε ἀλκιβιάδη, εἰς δαίδαλον: ὁ δὲ δαίδαλος, εἰς ἥφαιστον τὸν διός. ἀλλὰ τὰ μὲν τούτων ἀπ' αὐτῶν ἀρξάμενα, βασιλεῖς εἰσὶν ἐκ βασιλέων μέχρι διός, οἱ μὲν, ἄργους τε καὶ λακεδαίμονος: οἱ δὲ, τῆς περσίδος τὸ ἀεὶ, πολλάκις δὲ καὶ τῆς ἀσίας, ὥσπερ καὶ νῦν. ἡμεῖς δὲ, αὐτοί τε ἰδιῶται, καὶ οἱ πατέρες. εἰ δὲ καὶ τοὺς προγόνους σε δέοι καὶ τὴν πατρίδα εὐρυσάκους ἐπιδεῖξαι σαλαμῖνα, ἢ τὴν αἰακοῦ τοῦ ἔτι προτέρου αἴγιναν, ἀρταξέρξῃ τῷ ξέρξου, πόσον δὴ οἴει γέλωτα ὀφλεῖν; ἀλλ' ὅρα μὴ τοῦ γένους ὄγκῳ ἐλαττώμεθα τῶν ἀνδρῶν, καὶ τῇ ἄλλῃ τροφῇ. ἢ οὐκ ᾔσθησαι τοῖς τε λακεδαιμονίων βασιλεῦσιν, ὡς μεγάλα τὰ ὑπάρχοντα, ὧν αἱ γυναῖκες δημοσίᾳ φυλάττονται ὑπὸ τῶν ἐφόρων, ὅπως εἰς δύναμιν μὴ λάθῃ ἐξ ἄλλου γενόμενος ὁ βασιλεὺς, ἢ ἐξ ἡρακλειδῶν. ὁ δὲ περσῶν τοσοῦτον ὑπερβάλλει, ὥστ' οὐδεὶς ὑποψίαν ἔχει, ὡς οὐκ ἐξ ἄλλου ἂν βασιλεὺς γένοιτο, ἢ ἐξ αὐτοῦ. διὸ οὐ φρουρεῖται ἡ τοῦ βασιλέως γυνὴ, ἀλλ' ἢ ὑπὸ φόβου. ἐπειδὰν δὲ γένηται ὁ παῖς ὁ πρεσβύτατος, οὗπερ ἡ ἀρχὴ, πρῶτον μὲν ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως ὧν ἂν ἄρχῃ. εἶτα εἰς τὸν ἄλλον χρόνον ταύτῃ τῇ ἡμέρᾳ. βασιλέως γενέθλια πᾶσα θύει, καὶ ἑορτάζει ἡ ἀσία. ἡμῶν δὲ γενομένων, τὸ τοῦ κωμῳδοποιοῦ, οὐδὲ οἱ γείτονες σφόδρα τι αἰσθάνονται ὦ ἀλκιβιάδη. μετὰ τοῦτο τρέφεται ὁ παῖς, οὐχ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας, ἀλλ' ὑπὸ εὐνούχων, οἳ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι, οἷς τἄλλα προστέτακται ἐπιμέ-

λεσθαι

De nobilitate autem planè dubito, quosnam oporteat appellare nobiles. Nec im merito dubitare me dixi. Nã & apud sapientes quædã in dubiũ uocantur, & quædã non euidenter, quã facultatẽ habeant, declarantur. Videlicet an pretiosa, & studio digna sint, uel, ut Lycophron sophista scripsit, aliquid omnino nouũ. Idem ubi cum alijs bonis nobilitatem confert, formam ipsius obscuram esse dicit: in uerbis autem magnificentiam eius haberi: tanquam nobilitatis laus, propter quã appetitur, gloriosa quidem sit, reuera autem ignobiles nihil à nobilibus differant. *Aristotelis.*

Dubitatur autem, quemadmodum de ipsius boni essentia, ita & quosnam oporteat appellari nobiles. Aliqui enim nobiles putant esse, qui ex bonis parentibus nati sint, ut etiam Socrates. Nam propter Aristidis uirtutem, etiam filiam eius generosam esse dicunt. Simonidem uero interrogatum, nobiles qui essent, respondisse aiũt, illos qui maioribus lõgo tempore locupletibus nati fuissent: quod dictum quidam non rectè reprehendunt. Theognis autem dixit, homines laudare quidem nobilitatem, affinitatem autem potius inire cum ditioribus. An obsecro non præstat ille qui diues ipse fuerit, quàm qui proauum aut alium inter maiores suos diuitem habuerit, at ipse pauper sit? Sed cur non dixit, quod oporteret affines fieri diuitum potius, quã n nobilium? Nobiles enim sunt prisci homines, nostri uero temporis meliores. Atqui similiter ita secum aliquis reputauerit, non esse nobiles ex maioribus olim diuitibus natos, * sed ex bonis iam longo tempore. Virtus enim recens antiquiori melior esse uidetur, & unumquẽq; plus à patre suo quàm auo accepisse. Præstat autem si quis ipse uirtutis amator sit, quàm si talem auum, aut alium ex maioribus habuerit. Rectè loqui me dixit. Nónne igitur, inquam, quandoquidem in istorum neutro nobilitatem deprehendimus, alia ratione eam inquiremus? Qua nam ista? Quoniam nobilitas Græcè εὐγένεια uocatur, considerandum quod εὖ dictio aliquid laude studioq; dignum significet, ut * εὐπρόσωπον, † εὐόφθαλμον. Bonum enim aut pulchrum aliquid his uerbis indicatur. Maximè uerò. Videlicet εὐπρόσωπον est, quod faciei: εὐόφθαλμον, quod oculi uirtutem habet. Sic est. Porrò genus aliud laudabile est, aliud uile, studioq; indignum. Ita profectò. Laude autem studióue dignam rem quãlibet uirtutis suæ merito uocamus. Itaq; genus etiã laudabile similiter nominandũ est. Nominandũ. Constat igitur, inquã, eugeniã siue nobilitatẽ, generis uirtutẽ esse.

** malim neq;.*

** faciem pulchram habens.*

† pulchris oculis ornatum.

Vtrum consentaneum est, meliores esse naturas nobili in genere quàm ignobili? Manifestum quod in nobili. Nónne bene nati, si bene etiam educantur, ita demum ad uirtutem perueniunt? Necesse est. Consideremus itaq; illis nostra comparantes, primum quidem utrum Lacedæmoniorũ Persarumq; reges ignobiliori quàm nos genere orti uideantur. An ignoramus illos quidem ab Hercule, hos autem ab Achęmene genus ducere? Herculis autem & Achæmenis origo ad Persem Iouis filium refertur. Et nostrum quidem ô Socrates in Eurysacen, Eurysacis in Iouem. Atqui nostrum ô generose Alcibiades in Dædalum etiam, Dædalus autem in Vulcanum Iouis filium. Verum istorum maiores ab ijs incipientes reges sunt ex regibus usq; ad Iouem: Illi quidem Argiuorum & Spartæ: hi uero Persidis semper, sæpe etiam, ut & nunc, Asiæ. Nos autem superioresq; nostri priuati. Quod si te oportet progenitores ac patriam Eurysacis ostendere Salaminam, uel Aeaci etiã prioris Aeginam Artaxerxi Xerxis filio, quo te risu exceptum iri putas? Sed uide ne & generis dignitate & educatione pręterea, illis inferiores simus. Nunquid audisti quanta sit Lacedæmoniorum regum dignitas? quorum uxores publicè obseruantur ab Ephoris, ut quoad fieri potest, rex non ex alio quàm Heraclidarum genere, lątenter oriatur. Persarum uero rex adeò excellit, ut nemo suspicetur regẽ ex alio, quàm ex ipso genitum esse: quamobrem regis uxor nõ ab alio quàm metu custoditur. Postq̃ uero natus est primogenitus, qui succedit in regno, primo quidem eũ diem oẽs, qui sub regno sunt, celebrãt, atq; ita in posterũ quotannis natalem regis diem sacris ac festis omnis Asia colit. Cũ uerò apud nos qs nascitur, ne uicini quidẽ, ut ait Comœdus, sentiũt ô Alcibiades. Deinceps nutritur puer, nõ à muliere nutrice parũ honorifica, uerũ ab Eunuchis, qui reliquorũ circa regẽ optimi uideantur, quib9 & alia quę spe- *Platonis in primo Alcibiade.*

λεῖσθαι τοῦ γενομένου, καὶ ὅπως ὅτι κάλλιστος ἔσται μηχανᾶσθαι, ἀναπλάττοντας τὰ τε μέλη τοῦ παιδὸς, καὶ κατορθοῦντας. καὶ ταῦτα δρῶντες, ἐν μεγάλῃ τιμῇ εἰσιν. ἐπειδὰν δὲ ἑπτέτεις γένωνται οἱ παῖδες, ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσι, καὶ ἐπὶ τὰς θήρας ἄρχονται ἰέναι. δὶς δ' ἑπτὰ γενόμενον ἐτῶν τὸν παῖδα παραλαμβάνουσιν, οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς * νομίζουσιν, εἰσὶ δὲ ἐξειλεγμένοι Περσῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ τέσσαρες, ὅ, τε σοφώτατος, καὶ ὁ δικαιότατος, καὶ ὁ σωφρονέστατος, καὶ ὁ ἀνδρειότατος: ὧν ὁ μὲν σοφώτατος μαγείαν τε διδάσκει τὴν Ζωροάστρου τοῦ Ὡρομάζου. ἔστι δὲ τοῦτο θεῶν θεραπεία. διδάσκει δὲ καὶ τὰ βασιλικά. ὁ δὲ δικαιότατος, ἀληθεύειν διὰ παντὸς τοῦ βίου. ὁ δὲ σωφρονέστατος, μηδὲ ὑπὸ μιᾶς ἄρχεσθαι τῶν ἡδονῶν, ἵν' ἐλεύθερος εἶναι ἐθίζηται, καὶ ὄντως βασιλεύς: ἄρχων πρῶτον τῶν ἐν αὑτῷ, ἀλλὰ μὴ δουλεύων. ὁ δὲ ἀνδρειότατος, ἄφοβον καὶ ἀδεᾶ παρασκευάζων, ὡς ὅταν δείσῃ, δοῦλον ὄντα.

al. ὠνομάζειαν.

ΟΤΙ ΟΥΚ ΑΕΙ ΤΟΙΣ ΕΥΓΕΝΕΣΙ ΚΑΙ ΧΡΗΣΤΟΙΣ ΤΩΝ ΠΑΤΕΡΩΝ ΕΟΙΚΕ ΤΑ ΤΕΚΝΑ.

ΛΟΓΟΣ πε'.

Φωκυλίδου. ΚΑΙ τόδε Φωκυλίδου, τί πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις, οὔτ' ἐνὶ βουλῇ.

Σοφοκλέους. Πολλῶν δ' ἐν πολυπληθίᾳ τέλεται,
οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς, οὔτ' ἀχρείων
τὸ λίαν κακὸς, βροτῶν δὲ πιστὸν οὐδέν.

Μενάνδρου. Ἀπολεῖ με τὸ γένος. μὴ λέγ' εἰ φιλεῖς ἐμὲ,
μῆτερ ἐφ' ἑκάστῳ τὸ γένος, οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσὸν
ἐκεῖσε καταφεύγουσιν εἰς τὰ μνήματα,
καὶ τὸ γένος, ἀριθμοῦσί τε τοὺς πάππους ὅσοι.
Οὐδ' ἕνα δ' ἔχοις ἰδεῖν ἂν, οὐδ' εἰπεῖν ὅτῳ
οὐκ εἰσὶ πάπποι. πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
al. ἔτ. εἰ μὴ λέγειν δ' ἔχουσι * τούτους διά τινα
τόπου μεταβολὴν, ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;

Εὐριπίδου. Μόνον δ' ἂν αὐτὰ * χρημάτων οὐκ ἂν λάβοις,
forte σωμάτων. γενναιότητα κἀρετήν: καλὸς δέ τις
κἂν ἐκ πονηρῶν σωμάτων γένοιτο παῖς.

Σοφοκλέους. Οὐκ ἄν ποτ' ἀνδρῶν ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει,
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.

Ἐπιχάρμου. Οὐκ ἔστιν οὐδεὶς ἀποδεδειγμένος τόπος,
ὃς ἢ πονηροὺς πάντας, ἢ χρηστοὺς ποιεῖ.

Εὐριπίδου. Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶ πατρίς.
Ἀλλ' εὐγενεῖς μὲν, ἐν δὲ κιβδήλῳ τόδε.
πολλοὶ γὰρ ὄντες εὐγενεῖς, εἰσὶ κακοί.
Ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστὰ δ' ἐκ κακῶν τέκνα.

Ὁμήρου. Οἱ πλέονες κακίους: παῦροι δέ τε πατρὸς ἀρείους.

Ἀντίγονος, ἐπεὶ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης, ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἐπιφοράς: ἀλλ' ἐγὼ εἶπεν, ὦ μειράκιον, ἀνδραγαθίας οὐ πατρα-

stant ad curam pueri demandantur, ac præcipuè ut natum quàm pulcherrimum reddant, componentes membra eius atque dirigentes: Et hæc facientes magno in honore habentur. Cum autem pueri septimum ætatis annũ impleuerunt, ad equestris artis magistros proficiscuntur: deinde in uenationem tendunt. Anno uero quartodecimo puerum suscipiunt hi, quos regios pædagogos appellant. Sunt ij profectò ex omnibus Persis ea ætate electi præcipuiq; quatuor, sapientissimus, iustissimus, temperantissimus, atq; fortissimus aliquis uir. Quorum primus magicam Zoroastri Oromansi filij docet: est autem illa deorum cultus: atq; idem tradit instituta regia. Secundus admonet, ut in omni uita sit uerax. Tertius ne ulla cupiditate superetur, ut liber uiuere consuescat, ac reuera rex, imperans ijs ante omnia, quæ in ipso sunt, nec ulli seruiens. Quartus deniq; impauidum illum & intrepidum reddit, ne quando quippiam metuens seruus fiat.

LIBEROS NON SEMPER EVADERE SIMILES NOBILIBVS AC BONIS PARENTIBVS,

SERMO LXXXV.

HOc quoq; Phocylides dixit, plurimos esse genere nobiles, *Phocylidis.*
Quos neq; dicendo, neq; consulendo ulla gratia sequitur.
In copiosa hominum multitudine aliquando reperitur *Sophoclis.*
Bonus ignobili genere natus, & rursus claro
Aliquis ualdè malus. Ita nihil constans aut fidum est homini.
Exitiale mihi genus erit. Ne quæso mater commemores, si chara tibi sum, *Menandri, al. Epicharmi.*
Genus tuum in singulis. Nam quicunq; natura
Nullum habuerint sibi bonum proprium,
Illi confugiunt ad monumenta
Genusq; suum, & auorum recensent numerum.
At ne unum quidem uidere est aut nominare, qui
Non habuerit auos. Nam aliter quomodo natus esset?
Quod si tamen illos enumerare nequeant, propter aliquam
Loci mutationem, aut amicorum solitudinem,
Quid hanc ob causam ignobiliores iudicandi sunt auos suos recensentibus?
Hæc sola pecunijs comparari non possunt, *Euripidis.*
Generositas inquam & uirtus: formosus autem
Puer, etiam ex malis parentibus gigni potest.
Nunquam amplius ô uiri admirabor hominem, *Sophoclis.*
Qui obscuro genere natus, alicubi peccat:
Cum illi, qui uidentur esse nobiles,
Huiusmodi uerba loquendo delinquant.
Nullus est locus usquam definitus, *Epicharmi.*
In quo omnes aut improbi gignantur, aut probi.
Vnicuiq; natura generis est patria. *Euripidis.*
Nobiles quidem sunt, sed degeneres.
Multi enim nobiles, mali sunt.
Iam enim uidi hominem generoso parente natum,
Nullius esse pretij: & rursus ex malis boni filij generantur.
Plures fiunt deteriores: pauci uero patre meliores. *Homeri Odyss. β.*

Cũ iuuenis quidã strenuo patre natus, ipse uero parum bonus miles existimatus, patris stipendia peteret, Antigonus ad eũ dixit: Atqui ego adolescẽs,

πατραγαθίας μισθὸν καὶ δωρεὰς δίδωμι.

ΟΤΙ ΕΥΓΕΝΕΙΣ, ΟΙ ΑΠΟ ΧΡΗΣΤΩΝ ΠΑΤΕΡΩΝ Η ΔΥΝΑΤΩΝ Η ΕΝΔΟΞΩΝ ΓΕΝΟΜΕΝΟΙ.

ΛΟΓΟΣ πϛ′.

Εὐριπίδου.

Ἐν τοῖς ἐν οἴκῳ χρήμασι λελείμμεθα,
ἡ δ᾽ εὐγένεια καὶ τὸ γενναῖον μένει.
Φεῦ φεῦ, τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο,
ὅσην ἔχει φρόνησιν, ἀξίωμά τε.
κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγώς,
τιμήν ἔχει τιν᾽, ἀναμετρούμενος δέ πως
τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.
Ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων.
πατρῴων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.
Φρόνει δὲ καὶ τοῦτ᾽ οὐ μικρὸν εὐγενὴς
ἀνὴρ στρατηγῶν, εὐκλεᾶ τ᾽ ἔχων φάτιν.
Ἐν τοῖς τέκνοις γὰρ ἡ ἀρετὴ τῶν εὐγενῶν
ἐν ἔλαβε· κρείσσων τ᾽ ἐστὶ πλουσίου γάμου.
Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς,
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.
Οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
γαμεῖν τ᾽ ἀπ᾽ ἐσθλῶν. ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω
τέκνοις ὄνειδος οὕνεχ᾽ ἡδονῆς λιπεῖν.
τὸ δυστυχὲς γὰρ ηὑγένει᾽ ἀμύνεται,
τῆς δυσγενείας μᾶλλον. ἡμεῖς γὰρ κακῶν
εἰς τοὔσχατον * πλέοντες, εὕρομεν φίλους.
Τοσόνδε * παῖδας σωφρονοῦν ἐπίσταμαι,
χρηστοῖς θ᾽ ὁμιλοῦντ᾽ εὐσεβεῖν ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ᾽ ἄν; οὐδεὶς τοῦτό μ᾽ ἂν πείθοι ποτέ.
Τότ᾽ εὐγενὴς   πον ἣν δίδωσιν ἐλπίδ᾽ ὡς ἄρξουσι γῆς.
Τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,
τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,
τό, τ᾽ ἀξίωμα μᾶλλον, ἢ τὰ χρήματα.
Ἀλλ᾽ εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,
σήμαιν᾽ ὅταν εἶ ὁπόθεν. τὸ γὰρ καλῶς
πεφυκὸς, οὐδεὶς ἂν μιάνειεν λόγος.

ἢ, πεσόντες. malim παῖδα σωφρονοῦντα.

Πλουτάρχου ὑπὲρ εὐγενείας

* forte εἰ μὴ καὶ τὰ

Ἄπιστος ἡ τῶν σοφιστῶν συκοφαντία κατὰ τῆς εὐγενείας, * εἰ μὴ καὶ τὰ ἐν μέσῳ καὶ πᾶσι γνώριμα σκοποῦσιν· ὅτι πρὸς τὰς ὀχείας τοὺς εὐγενεῖς ἵππους καὶ κύνας ὠνοῦνται, καὶ κτῶνται· καὶ ἀμπέλων εὐγενῆ σπέρματα, καὶ ἐλαιῶν, καὶ τῶν ἄλλων δένδρων. ἀνθρώπου δέ, οὐδὲν ὄφελος νομίζουσιν εὐγένειαν εἰς τὰς μελλούσας διαδοχάς· ἀλλ᾽ αὐτὸ πάσχουσι βάρβαρον εἶναι καὶ ἑλληνικὸν σπέρμα. καὶ οὐκ οἴονται λεληθέναι τινὰς ἀρχὰς καὶ σπέρματα ἀρετῆς συγκαταβάλλεσθαι τοῖς γεννωμένοις, ὥσπερ περὶ Τηλεμάχου τοῦ Ὀδυσσέως, ἐφ᾽ οὗ καὶ πάνυ περὶ ὀνόματι ὁ ποιητὴς εἴρηκεν. φύεται μὲν οὖν ὡς ἂν ἐν ταῖς σπερμάτων ὀλίγαις

σταγόσι

non paternæ, sed propriæ fortitudinis, mercedem ac præmia largior.

NOBILES ILLOS ESSE, QVI PARENTIBVS bonis, aut potentibus, aut claris orti sunt, SERMO LXXXVI.

PEcuniæ quidem domesticæ nos deficiunt, *Euripidis.*
Nobilitas autem & generositas manent.
Papæ, nobili patre nasci
Quantam uim habet ac autoritatem.
Quamuis enim pauper sit, qui honesto loco natus est,
Honore tamen afficitur: & animo suo reuoluens
Patris nobilitatem, suis moribus proficit.
Certè opera nostra indiges.
Videris enim natus esse bonis parentibus.
Non parum adfert momenti, si nobilis
Exercitus dux fuerit, & gloriosa fama insignis.
In liberis etenim uirtus nobilium
Concipitur: & generosæ nuptiæ præstant opulentis.
Egregia & insignis est inter homines nota
Bona stirpe nasci: & successus augetur
Propter nobilitatis nomen hominibus dignis.
Nihil est tam honorificum liberis, *Eiusdem in Heraclidis.*
Quàm honesto & bono patre natos esse:
Et ingenuas uxores ducere. At si quis amore uictus
Obscuram affinitatem contraxerit, illum non laudo,
Vt qui uoluptatis gratia proli suæ dedecus relinquat.
Calamitatibus enim nobilitas subsidio est
Multo magis ignobilitate: Nos enim in mala
Delapsi extrema, inuenimus amicos.
Hunc ego puerum tanta modestia præditum noui,
Et bonis conuersando pietatem coluisse.
Quo pacto igitur ex tali homine malus
Nasceretur? Nullus hoc mihi persuadebit unquam.
Et ipsa generis nobilitas spem facit, quod futuri sint domini regionis.
Nobilitatem etiam deformium coniugum,
Liberorum gratia non pauci colunt:
Et dignitati magis quàm pecunijs student.
Quod si generosus es, ut ais,
Indicato quis, & unde sis oriundus. Nam honestum
Genus nullo sermone potest contaminari.

Absurda est sophistarum cõtra nobilitatem calumnia, qui uulgaria etiam & omnibus notissima non considerant: nẽpe quod generandæ sobolis gratia generosi equi & canes emantur: item uitium, olearum, & reliquarũ arborum optima quæq; semina. Homini aũt nihil ad futuram successionem, generis nobilitatem conferre putant: sed tantundem ualere siue barbaram siue Græcam originem. Neq; credũt latentia quędã principia & semina uirtutis in generatione liberis cõmunicari, ut Telemacho Vlyssis, de quo Homerus clarissimo uocabulo utẽs, dixit: Instillata patris uirtus tibi: tanq̃ assereret ad paucas semi- *Plutarchi pro Nobilitate.*

παγόσι, καὶ τῶν ἀρετῇ συνεζευγότων ἀγαθῶν.

lego ἐκ πάλαι. Φανερὸν τοίνυν ἔφην ἐγὼ, περὶ ὧν πάλαι διηπορήσαμεν διὰ τί ποτε οἱ * ἔκπαλαι πλουσίων, ἢ οἱ ἔκπαλαι σπουδαίων, εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον τῶν σύνεγγυς τἀγαθὰ κεκτημένων. αὐτὸς γὰρ ἐγγύτερος σπουδαῖος ἂν, ἢ πάππος σπουδαίου τετυχηκὼς, ὥστ' εἴη ἂν εὐγενὴς, ὁ ἀγαθὸς ἀνήρ. καί τινες εἰρήκασιν οὕτως ἐκ τοῦ διελέγχειν προσποιούμενοι τὸν συλλογισμὸν τῆς εὐγενείας, ὥσπερ φησὶ καὶ Εὐριπίδης. οὐχὶ τὸν ἔκπαλαι σπουδαίων, εὐγενείαν φάμενος εἶναι:

lego ἐν.

* lego ἀγαθοί. ἀλλ' ἐν οἷς τις ἀνὴρ * ἀγαθοὶ ἁπλῶς. τὸ δ' οὐκ ἔστιν: ἀλλ' ὀρθῶς ζητοῦσιν, οἱ τὴν ἀρχαίαν ἀρετὴν προτιθέντες, τὰ δ' αἴτια ἐπομένων. τουτέστιν, ὅτι ἡ μὲν εὐγένειά ἐστιν, ἀρετὴ γένους: ἡ δ' ἀρετὴ, σπουδαῖον. σπουδαῖον δ' ἐστὶ γένος, ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. συμβαίνει δὲ τὸ τοιοῦτον, ὅταν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει. ἡ γὰρ ἀρχὴ, τοιαύτην ἔχει τὴν δύναμιν, πολλὰ παρασκευάζειν οἷα περ αὐτή. τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον, ποιῆσαι οἷον αὐτὴ, ἕτερα πολλά. ὅταν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει, καὶ οὕτω σπουδαῖος, ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεὰς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι, ἄντε ἀνθρώπων ἢ τὸ γένος: ἄντε ἵππων, ἵπποι: ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζώων. ὥστ' εὐλόγως, οὐχ οἱ πλούσιοι οὐδ' οἱ ἀγαθοί: ἀλλ' οἱ ἔκπαλαι πλουσίων, ἢ ἔκπαλαι ἀγαθῶν, εὐγενεῖς ἂν εἶεν. ζητεῖ γὰρ ὁ λόγος τἀληθῆ. ἀρχὴ γὰρ ἄνωθεν πάντων. οὐ μὴν, ἀλλ' οὐδ' οἱ ἐκ προγόνων ἀγαθῶν, εὐγενεῖς πάντως, ἀλλ' ὅσοι τυγχάνουσιν ἀρχηγοὶ τῶν προγόνων ὄντες. ὅταν μὲν οὖν αὐτὸς

potius ἀρχή. ἀγαθὸς, μὴ ἔχει δὲ τοιαύτην δύναμιν τῆς φύσεως, ὡς τίκτειν πολλοὺς ὁμοίους, οὐκ ἔχει * ἀρχὴν τοιαύτην δύναμιν ἐν τούτοις. ἀρχὴ τοῦ γένους καὶ εὐγενεῖς, οἱ ἀπὸ τούτου τοῦ γένους ὄντες. (οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ' ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους. οὐ γὰρ δι' αὐτὸν ὁ πατὴρ ἐγέννησεν ἀγαθὸν, ἀλλ' ὅτι ἐκ τοιούτου γένους ἦν.)

Diuersam lectionem uide in sermone 62.

* Κριοὺς μὲν καὶ ὄνους διζήμεθα Κύρνε καὶ ἵππους
    εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
κτήσασθαι, γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
    ἐσθλὸς ἀνὴρ, ἤν τις χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
    πλουσίου. ἀλλ' ἀφνειὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε,
    καὶ κακὸς ἐξ ἀγαθοῦ πλοῦτος ἔμιξε γένος.

ΟΠΟΙΟΝ ΧΡΗ ΕΙΝΑΙ ΤΟΝ ΕΥΓΕΝΗ, ΛΟΓΟΣ πζ.

Μενάνδρου. Τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς,
κἂν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

Εὐριπίδου. Δός τὴν χάριν μοι τήνδε, καὶ μιμοῦ τρόπους
πατρὸς δικαίου. παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς,
εἰς ταυτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.

Δημοσθένους. Τοῖς εὐγενέσι καὶ καλοῖς μάλιστα καταπρέπει, κάλλος μὲν ἐπὶ τῆς ὄψεως: σωφροσύνην δὲ, ἐπὶ τῆς ψυχῆς: ἀνδρείαν δὲ, ἐπ' ἀμφοτέρων: χάριν τε ἐπὶ τῶν λόγων διατελεῖν ἔχουσιν.

Μενάνδρου. Ἐλευθέρῳ τὸ καταγελᾶσθαι πολὺ
αἴσχιόν ἐστι. τὸ δ' ὀδυνᾶσθ', ἀνθρώπινον.
Οὐκ ἐλευθέρου φέρειν νενόμικα κοινωνοῦσαν ἀδικίαν ὕβρει.

Δεῖ uidetur abundare in uersu. Ἐχθρὸν γὰρ εἶναι τὸ καλὸν εὐγενέστατον:
τὸν ἐλεύθερον δὲ * δεῖ πανταχοῦ φρονεῖν μέγα.

Σοφοκλέους. Ἀλλ' ἀξίως ἔλεξας, οὐδὲ μὲν πικρῶς
γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλόν.

* Εὔκλειαν &c. uidetur ad superiorem sententiã pertinere. * Εὔκλειαν ἂν κτήσαιτο μᾶλλον, ἢ ψόγον.

Ἐπιστ-

num guttas paternæ uirtutis bona confluere.

Nunc igitur de illis cōstat, quæ pridem in dubium uocauimus, quam ob causam ex maioribus olim aut diuitibus aut bonis nati, nobiliores uideantur esse illis, qui bona propinquiora possident. Propinquius autē bona possidet, qui ipse bonus fuerit, quàm qui auū habuerit uirtutis studiosum. Itaq; nobilis fuerit, quicunq; bonus est. Sic em̄ aliqui syllogismo colligunt, redarguere uolentes illos qui aliter sentiunt. Euripides etiam nobilem esse ait, non qui maioribus longo iam tempore bonis natus sit, sed qui uir bonus ipse fuerit simpliciter. Verum non ita se res habet, sed rectè quæstionem prædictam mouent, qui uirtutem antiquam præponun. Causas iam diximus: quoniam uidelicet nobilitas, uirtus est generis. Virtus autem res laudabilis studioq; digna est. Item genus, in quo multi studiosi boniq; fuerint, laudem studiumq; meretur. Fit autem tale genus, cum principium eius laudabile fuerit. Principium enim hanc facultatem habet, ut multa efficiat quale ipsum est. Hoc opus, hæc uis est principij, ut plurima sibi reddat similia. Cum igitur unus talis in aliquo genere fuerit, adeoq; bonus, ut uirtus ab ipso in multas ætates transfundatur, hoc certe genus omni laude studioq; dignissimum erit. Sic enim permulti fient studiosi homines, si genus humanum sit: nam in equis etiam, & canibus, alijsq; animalibus eadem ratio est. Proinde merito non diuites, neq; boni, sed qui à priscis diuitibus, aut antiquis bonis descenderint, nobiles iudicādi sunt, si ueritatem inquiras. omnium enim principiū longa retro origine deducitur. At neq; simpliciter nobiles sunt, qui à bonis maioribus nati fuerint: sed illi tantum qui progenitores seu generandi autores esse possunt. Si quis igitur ipse bonus est, non pollet autem hac naturæ facultate ut multos sibi similes generet, principij rationem ad posteritatem non habet. Principium itaq; generis tale sit, & nobiles inde oriundi.* *Aliquot sequētia uerba subobscura sunt.*

Arietes, asinos, & equos ô Cyrne quærimus *Theognidis.*
Generosos. Et unusquisq; cupit hæc animalia ex bono genere
Parare sibi. Vxorem uero malam maliq; generis ducere parui facit
Vir bonus, si modo pecuniarum addatur copia.
Neq; mulier uiri mali recusat nuptias,
Modo sit diues. Bono enim præfert opulentum.
Adeò coluntur opes, ut illarum gratia bonus mali generis uxorem ducat,
Et malus bonum sibi genus asciscat.

QVALEM OPORTEAT ESSE NOBILEM, SERMO LXXXVII.

HOnesto loco natos, & bene educatos *Menandri.*
Etiam in aduersa fortuna rationem habere decet bonæ famæ.
In hoc obsecro mihi gratificare, & imitare mores *Euripidis.*
Iusti genitoris. Hæc enim liberis est gloria
Pulcherrima, si quis bonis parentibus natus,
Moribus eos similibus referat, & patrisset.

Nobiles ac honestos imprimis decet ut perseuerēt habere, pulchritudinē in facie, temperantiā in anima, in utrisq; fortitudinem, & in uerbis gratiam. *Demosthenis.*

Hominem ingenuum ludibrio esse, multò *Menandri.*
Turpius est: dolere autem, humanum.

Voluptas contumeliæ iuncta hominē liberū, mea quidē sententia, neutiquam decet.

Formosi debebant esse nobilissimi,
Liberi autem ubiq; magnanimi.

Dixisti ut decebat te, & non acerbè. *Sophoclis.*
Pulchrum est enim genus, sui specimen honestum præbens.

Nobilis famæ honestatē potius, quàm plausum popularē sibi comparat.

Εὐριπίδου. Ἐπίσταμαι δὲ πάνθ᾽ ὅσ᾽ εὐγενῆ χρεών,
σιγᾶν ὅπου δεῖ, καὶ λέγειν ἵν᾽ ἀσφαλές·
ὁρᾶν θ᾽ ἃ δεῖ με, κοὐχ ὁρᾶν ἃ μὴ χρεών·
γαστρὸς κρατεῖν δέ. καὶ γὰρ ἐν κακοῖσιν ὤν,
ἐλευθέροισιν ἐκπεπαίδευμαι τρόποις.

ΠΕΡΙ ΔΥΣΓΕΝΕΙΑΣ, ΛΟΓΟΣ πή.

Εὐριπίδου. Τὸ μωρὸν αὐτῷ τοῦ πατρὸς νόσημ᾽ ἔνι·
φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.
Ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα,
ἐσθλῶν ἀπ᾽ ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα·
κακῶν δ᾽, ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.
Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Φεῦ φεῦ παλαιὸς αἶνος ὡς καλῶς ἔχει,
οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.
Μέγιστον ἆρ᾽ ἦν ἡ φύσις. τὸ γὰρ κακὸν
οὐδεὶς τρέφων εὖ, χρηστὸν ἂν θείη ποτέ.
Οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτο σκότος,
ὃ δῶμα γαίας κλειστὸν ἔνθα τὴν φύσιν
ὁ δυσγενὴς κρύψας ἂν εἴη σοφός.
Ἐπιχάρμου. Πνίγομ᾽ ὅταν εὐγενέα μὲν, οὐδὲν ὄν, * κακῶς
lego κακὸς. λέγῃ τις, αὐτὸς δυσγενὴς ὢν τῷ τρόπῳ.
τίς γὰρ κατόπτρου καὶ τυφλῷ κοινωνία;
Ἐκ λόγου. Μορφῆς ἀτόπως ὄψει κεκτημένος,
παρεμφερεῖς ταύτῃσι τοὺς τρόπους ἔχεις.
ἐκ τοῦ κακοῦ γὰρ ἡ φύσις τίκτει κακόν.
ὡς δ᾽ ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίγνεται.
Εὐριπίδου. Οὐκ ἂν γένοιτο χρῆμα, ὅστις ἐκφύσει
θάμνοις ἐλαίας, οὐδ᾽ ἂν ἐκ μητρὸς κακῆς
ἐσθλοὶ γένοιντο παῖδες, εἰς ἀλκὴν δορός.
Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά.
μόνον δέ φασι τοῦθ᾽ ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθήν, ὅτῳ παρῇ.
κακοὺς δὲ θνητῶν ἐξέφην᾽ ὅταν τύχῃ
προθεὶς κάτοπτρον ὥστε παρθένῳ νέᾳ.

Σωκράτης ὀνειδιζόμενος ἤδη δυσγένειαν ὑπό τινος εὐγενοῦς, μοχθηροῦ δέ, ἐμοὶ μὲν τὸ γένος ὄνειδος ἔφη· σοὶ δὲ τοῦ γένους.

ΕΠΑΙΝΟΣ ΠΛΟΥΤΟΥ, ΛΟΓΟΣ πθ'.

Θεόγνιδος. Οὐ σὲ μάτην ὦ πλοῦτε * θεῶν τιμῶσι μάλιστα.
al. βροτοί. σὺ γὰρ ῥηιδίως τὴν κακότητα φέρεις.
Πᾶσιν δ᾽ ἀνθρώποις ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν. τῶν δ᾽ ἄλλων, οὐδὲν ἄρ᾽ ἦν ὄφελος.
al. τις. οὐδ᾽ εἰ σωφροσύνην * μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ᾽ εἰδείης Σισύφου Αἰολίδεω.

καὶ

Omnia scio, quæ nobilem scire conuenit, *Euripidis.*
Tacere, ubi opus est: & loqui, ubi tutum:
Et uidere, quæ fas est: & non uidere, quæ nefas aspici:
Et moderari uentrem. In malis enim uersatus
Ingenuos didici mores.

DE IGNOBILITATE, SER. LXXXVIII.

STultitia hæreditarius morbus à patre est, *Euripidis.*
Sic enim solent mali generare malos.
O fili Creontis, quàm uerum est hoc dictum,
Ex bonis uiris liberos gigni bonos:
Ex malis autem, patris naturæ similes.
Vbi fundamentum generis non iactum fuerit
Rectè, necessum est prolem infœlicem fieri.
Dij boni, quàm uera est uetus hæc sententia,
Ex malo patre probum filium nasci non posse.
Ingens profectò naturæ uis est. Malum enim hominem
Nullus bene educando bonum reddiderit.
Nusquam tantæ sunt apud homines tenebræ,
Nec ullum tale hypogeum, ubi suum ingenium
Homo ignobilis abscondens, sapiens fieri posset.
Tantum non suffocor, cum nobilitatem aliquis homo nihili & malus *Epicharmi.*
Nominat, qui moribus ignobilis est.
Quid enim commercij speculo cum cæco?
Faciem aspectu deformem possidens, *Ecdori.*
Mores etiam eiusmodi habes.
Ex malo enim natura malum producit.
Quemadmodum ex uipera, rursum uipera nascitur.
Vulnus infligi non potest, si quis feriat *Euripidis.*
*Iuncis palustribus, nec ex matre mala *Ἰάμνοις*
Filij nascuntur qui fortiter hastam tractent.
Seruilis euadit etiam magnanimus uir,
Qui conscius fuerit parentum malis.
Vnicè uerò uitam adiuuari dicunt,
Cum animus adfuerit iustus ac bonus.
Cæterum improbos homines fortuna redarguit,
Ceu speculum admotum puellæ faciem arguit.

Cum nobilis quidam, sed improbus, ignobilitatem obijceret Socrati: Mihi quidem, dixit, genus dedecori est, tu uero generi.

LAVS DIVITIARVM, SER. LXXXIX.

NOn frustra te ô Plute diuitijs præfecte magis quàm reliquos deos eo- *Theognidis.*
Tu enim facile calamitatem fers. (lunt,
Omnibus hominibus una hæc uirtus est,
Possidere diuitias: aliorum uero nullus est usus:
Neq; si quis prudentiam ipsius Rhadamanthi haberet,
Et plura sciret quàm Sisyphus Aeoli filius.

καὶ γὰρ Ζεὺς πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔδωκεν,
ἡ πενίη δὲ σοφῷ σύμφορον ἀνδρὶ φορεῖν.

Εὐριπίδου. Πάλαι μὲν οὖν ὕμνηθέν, ἀλλ' ὅμως ἐρῶ·
τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
al. τὴν. δύναμίν τε πλείστην * τὴν ἐν ἀνθρώποις ἔχει.

Ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὐδὲ μήτηρ ἡδονὰς τοίας ἔχει,
οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ,
εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν.

Ἐν τοῖς τοιούτοις ἡνίκ' ἂν γνώμης πέσω,
σκοπῶ τὰ χρήμαθ' ὡς ἔχει μέγα σθένος,
φίλοις τε δοῦναι, σῶμά τ' εἰς νόσον πεσὸν
δαπάναισι σῶσαι. τῆς δ' ἐφ' ἡμέραν βορᾶς
εἰς μικρὸν ἥκει. πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ,
ὁ πλούσιός τε καὶ πένης ἴσον φέρει.

Ἐπίσταμαι δὲ καὶ τὸ πατέρα καὶ λίαν,
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

Οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον,
τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει.
ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.

Μενάνδρου. Τοῦτο μόνον ἐπισκοτεῖ
καὶ δυσγένειαν καὶ τρόπου πονηρίαν,
καὶ πᾶσιν οἷς ἔσχηκεν ἄνθρωπος κακοῖς,
τὸ πολλὰ κεκτῆσθαι· τὰ δ' ἄλλ' ἐλέγχεται.

Θεόγνιδος. Ἀλλὰ χρὴ ταύτην γνώμην πάντας κατάθεσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Χαιρήμονος. Πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰδὼν,
οὐκ ἔσχεν ὄγκον, ὥστε καὶ δόξης τυχεῖν.
addo τι, vel lego προσδίου. ἀλλ' ἐστὶ σεμνὸς, ἐν δὲ * δόσει βροτῶν,
ἡδὺς συνοικεῖν, καί τιν' ἀληχὰς χαίρειν.

Φιλήμονος. Τὸ τῆς Ἀμαλθείας δοκεῖς εἶναι κέρας,
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι, τοῦτ' ἐὰν ἔχῃς λέγε,
malim ἃ. πρὸς τοῦτ' * εἰ βούλει, πάντα σοι γενήσεται,
φίλοι, βοηθοὶ, μάρτυρες, συνοικίαι.

Ἀντιφάνους. Ἄρ' ἐστὶ λῆρος πάντα πρὸς τὸ χρυσίον.
μόνον γὰρ ἀεὶ διαμένειν εἴωθ' ἀεὶ,
τὸ χρῶμα δ' αὐτὸ, τῶν φίλων δὲ σοὺς τρόπους
οὐδέποθ' ὁμοίους ζωγραφοῦσιν αἱ τύχαι.
πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἐκρέμαστ' ἂν οὐκ οἴει ποιεῖν;

Τιμοκλέους. Τἀργύριόν ἐστιν, αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅστις δὲ μὴ ἔχει τοῦτο, μηδ' ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.

Διφίλου. Ἰσχυρότερον κρίνω τὸ χρυσίον πολὺ,
τὰ πάντα τούτῳ τέμνεται καὶ πράττεται.

Εἰ

Iupiter enim opes bonis possidendas dedit,
Paupertas autem uiro sapienti commodè fertur.
Iam olim quidem uulgo iactatur hoc dictum, non tacebo tamen. *Euripidis.*
Pecunias hominibus pretiosissimas esse,
Et momenti plurimum inter mortales habere.
O aurum pulcherrima fœlicitas hominibus,
Nam neque mater huiusmodi uoluptatem habet,
Non tam liberi hominibus, neque tam charus pater est.
Quod si Venus tales habet oculorum radios,
Non mirum est infinitos amores eam alere.
Cum forte animum ad huiusmodi appello consyderanda,
Cogito quanta sit pecuniarum uis,
Ad largiendum amicis, & corpus morbo laborans
Sumptibus restituendum. Quod autem uictum attinet quotidianum,
Parum excellunt. Quiuis enim cibo satur,
Tum diues tum pauper, æqualem habet sortem.
Scio autem, & nimis expertus sum,
Quod omnes amici diuitum sint.
Non solum enim poculorum & epularum gratia
Pecuniæ hominibus uoluptatem pariunt,
Sed in calamitatibus non parum subsidij præstant.
Hoc solum obscurat *Menandri.*
Ignobilitatem, & morum malitiam,
Omnia denique mala, quæ quis habuerit,
Multarum opum possessio: Cætera uero redarguuntur.
Omnes ita sentire oportet, *Theognidis.*
Quod omnibus maxima uis & potestas ex diuitijs accedat.
Diuitiæ etiam cum summis honoribus potiuntur, *Cheremonis.*
Non habent fastum, itaque gloriam assequuntur:
Sed uenerabiles sunt, & elargiendo hominibus
Suauem sui conuersationem faciunt, & nescio qua gratia pollent.
Putásne Amaltheæ cornu huiusmodi esse, *Philemonis.*
Quale pictores cornu bouinum depingunt?
Argentum est, quod si habueris, petas
Ab ipso quicquid uoles, omnia tibi addentur,
Amici, auxiliatores, testes, domuum multitudo.
Omnia sanè nugæ sunt auro comparata, *Antiphanis.*
Hoc enim solum semper durare solet,
Idemque color eius: Amicorum autem mores
Nunquam eodem modo depingunt fortunæ.
Opes uero, humanos mores, uelut index, arguunt.
Nam si quis diues turpia facinora committat,
Quid illum non facturum putas, si pauper esset?
Argentum hominibus sanguis & anima est. *Timocl.s.*
Id quisquis non habet, neque possidet,
Ille inter uiuos mortuus obambulat.
Aurum longè ualidissimum esse puto, *Diphili.*
Per ipsum enim omnia scinduntur & conficiuntur.

Εὐριπίδου. Μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ἂν,
ταπεινὸς ἔσται, κεῖνο δ' ἰσχύει μέγα,
πλοῦτος, λαβών τε τοῦτον, εὐγενὴς ἀνήρ.

al. βίον μ' ἐν δόμοις. Χρυσὸν μάλιστα * βούλομαι δόμοις ἔχειν.
καὶ δοῦλος ὢν γάρ, τίμιος πλουτῶν ἀνήρ.
ἐλεύθερος δέ, χρεῖος ὤν, οὐδὲν σθένει.
malim νόμιζε σαυτόν. χρυσοῦ * νόμιζ' αὐτὸν οὕνεκ' εὐτυχεῖν.

Τὴν δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε.
ἐν χρήμασι τόδ' ἐστί, μὴ γαυροῦ πάτερ.
κύκλῳ γὰρ ἕρπει, τῷ μὲν ἔσθ', ὁ δ' οὐκ ἔχει.
κοινοῖσι δ' αὐτοῖς χρώμεθ'· ὃς δ' ἂν ἐν δόμοις
χρόνον συνοικεῖ πλεῖστον, οὗτος εὐγενής.

al. τοῦτό τ' εὐγενές. Ἔχειν τι πειρῶ, * τοῦτο γάρ, τοῦτ' εὐγενές,
καὶ τοὺς γάμους διδοῦσι τοὺς πρώτους ἔχειν.
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥτ' ἀδοξία,
al. μόνη. κἂν ᾖ σοφός τις, ἥτ' ἀτιμία * βίου.

Ἆρ' οἶσθ' ὅθ' οὕνεχ' οἱ μέν, εὐγενεῖς βροτῶν
πένητες ὄντες, οὐδὲν ἐμφαίνουσ' ἔτι;
οἱ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν,
al. συμπλέκουσι. καὶ * συμπλέκοντες σπέρμα, καὶ γάμους τέκνων.
Δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ
πρόθυμός ἐστιν, ἢ πένητι κἀγαθῷ.
κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.

Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι
μορφὴν ἔχουσι, συντρέχει δ' εἰς χρήματα.
τούτου δὲ πάντων, οἵ τε μουσικῆς φίλοι,
ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ
μοχθοῦσιν. ὃς δ' ἂν πλεῖστ' ἔχῃ, σοφώτατος.

Ἡσιόδου. Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.

Θεόγνιδος. Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί.
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις·
ὣς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται· θυμὸν δ' οὐ δύναται κορέσαι.

Σοφοκλέους. Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
αὖθις δὲ τιμάς, εἶτα τῆς ὑπερτάτης
τυραννίδος ἥκουσιν ἀγχίστην ἕδραν.
ἔπειτα δ' οὐδεὶς ἐχθρὸς ἔστι φύεται
πρὸς χρήμαθ', οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.
δεινὸς γὰρ ἕρπει πλοῦτος ἔς τε τἄβατα,
καὶ πρὸς τὰ βατά. χ' ὁπόθεν πένης ἀνήρ,
μὴ δ' εὐτυχῶν, δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν;

Καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν, εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ, κἀποκρύψασθαι κακά.

Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους ἄναξ
ὧδ' ἀντέχεσθαι. καὶ γὰρ οἱ μακρὸν βίον

Ne reddideris eum diuitem. Nam si pauperior sit, *Euripidis.*
Humilis erit. Ingens autem uis est
Diuitiarum: quas qui nactus est, nobilis statim euadit.
Aurum præcipuè domi possidere uelim.
Nam uel seruus, si diues sit, in pretio habetur,
Liber autem egenus, nihil efficere potest.
Itaque fœlicitatem in auro tibi sitam existimes.
Nobilitatis mentionem amabo ne mihi feceris.
Hoc in pecunijs situm est, ne gloriare pater.
Vertuntur hæc in orbem, hic habet, alter indiget:
Rebusque ipsis communiter utimur. Cui autem domi
Diutissimè fortuna conuersatur, ille fœlix est.
Da operam opibus. Nam illæ nobilitatem donant,
Et nuptijs primarijs potiri in causâ sunt.
In paupertate uerò obscuritas inest,
Vtcunque sapias, & ignominia uitæ.
Scisne, quod nobiles quidem mortalium,
Dum pauperes sunt, non amplius clari existant?
Qui uero prius nihil erant, nunc diuites facti
Gloriam assequuntur propter numos,
Genusque & nuptias suis liberis excellentes comparant.
Porrò quilibet diuiti malo potius donare
Promptus est, quàm pauperi & bono:
Infœlix autem qui nihil habet, fortunati habentes.
O Agamemnon mortalibus cunctis fortuna
Certam habet speciem, quæ ad pecunias concurrit,
Cæterum omnes, & qui Musicam amant,
Et qui sine hoc studio degunt, pro pecunijs
Laborant: qui autem plurimum habuerit, sapientissimus iudicatur.
Pecuniæ anima sunt miseris hominibus. *Hesiodi.*
Opes & sapientia nunquam superari possunt hominibus. *Theognidis.*
Nam neque diuitijs animum saturaueris,
Nec sapientissimus aliquis sapientiam relinquit,
Sed amat, atque animum non satiare potest.
Pecuniæ mortalibus comparant amicos, *Sophoclis.*
Deinde honores, tandem uerò supremæ
Tyrannidis ad sedem proximè perueniunt.
Præterea nemo inimicus fit
Diuitum, & qui inimici sunt, negant se odisse.
Peregrinæ enim diuitiæ & ad inuia loca procedunt,
Et trita uijs: unde uir pauper,
Quamuis fortunatus, desyderio potiri non posset.
Hominem enim deformem, & inauspicati corporis,
Lingua disertum, uisuque pulchrum efficiunt opes.
Soli autem gaudendi & ægrotandi facultas
Diuiti permittitur, & mala cælandi.
Non est quod mireris ô domine, lucrum à me
Tantopere quæri. Nam & qui longa uita

θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
ἀπρὶξ ἔχονται, κἄστι πρὸς τὰ χρήματα
θνητοῖσι τἄλλα δεύτερ᾽, εἰσὶ δ᾽ οἵ τινες
δοκοῦσιν ἄνοσον. ὃν δ᾽ ἐμοὶ δ᾽ οὐδεὶς δοκεῖ
εἶναι τοιοῦτος ἂν ἄνοσος, ἀλλ᾽ ἀεὶ νοσεῖν.

Μενάνδρου. Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει,
ἀνέμους, ἥλιον, γῆν, ὕδωρ, πῦρ, ἀστέρας,
ἐγὼ δ᾽ ὑπέλαβον χρησίμους εἶναι θεούς,
τὸ ἀργύριον ἡμῶν καὶ τὸ χρυσίον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν,
εὔξαι τί βούλει, πάντα σοι γενήσεται,
ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταί, μάρτυρες, μόνον δίδου.
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

Δημοσθένους. * Δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων, οὐδὲν ἔστι τῶν δεόντων γενέσθαι.

al. δεῖ δή. Σιμωνίδης ἐρωτηθεὶς πότερον αἱρετώτερον πλοῦτος, ἢ σοφία: οὐκ οἶδα ἔφη: ὁρῶ γὰρ τοὺς σοφούς, ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας.

Βίων ἔλεγεν, ὥσπερ τὰ φαῦλα τῶν βαλαντίων, κἂν μηδενὸς ᾖ ἄξια, τοσοῦτόν ἐστιν ἄξια, ὅσον ἐν ἑαυτοῖς τὸ νόμισμα ἔχουσιν: οὕτω καὶ τῶν πλουσίων τοὺς οὐδενὸς ἀξίους, καρποῦσθαι τὰς ἀξίας ὧν κέκτηνται.

Ἐκ τοῦ περὶ συγκρίσεως πλούτου καὶ ἀρετῆς ἀνωνύμου.

Αὐτὸς μὲν οὖν ὁ πλοῦτος ἐσεμνύνετο χρείας ἀνθρώπων διορθοῦν, ἢ τελεῖν ἐπιθυμίας, ἢ βλάβαις ἀντέχειν, ἐπιμελεῖσθαι σώματος, ψυχὴν χαρίζεσθαι. πρέπειν μὲν εἰρήνῃ, πολέμοις δὲ παρέχειν, θεραπεύειν δ᾽ ἐκ νόσων, παρέχειν δὲ ταῖς ὥραις βοηθήματα, ἀλέας μὲν ἐν τοῖς πάγοις, ἐκτροπὰς δ᾽ ἐκ θέρους, αὐξάνειν δ᾽ οἴκους, καὶ διαδοχὰς μεγάλων γενῶν, γάμους ποιεῖν μείζονας, παιδοποιίᾳ βοηθεῖν. κοσμεῖ δ᾽ ἔτι γ᾽ ἱερά, καλλίονας δ᾽ ἐξ ἐμοῦ καὶ πόλεις. ἐμὰ δὲ ἔργα καὶ τείχη, καὶ λιμένων καὶ στόλοι. ποταμοὺς δὲ ἀβάτους γεφύραις σκέπω, καὶ τὴν κεχωρισμένην ἁρμόσαι. ἐμοῦ δ᾽ ἐμπορίαι δέονται. καὶ γεωργία δ᾽ αὐτή, δαπάνας ἀπαιτεῖ ἐκ τῶν ἐμῶν ταμιείων. γῆ γὰρ οὐδὲ αὐτὴ δίδωσιν αὐτόματον, ἂν μὴ προλάβῃ: λαβεῖν δὲ ἐκ μόνων ἔχει τῶν ἐμῶν.
ἄλλο τι. δίδωμι δὲ ἀφορμὰς καὶ τοῖς ἄλλοις ἅπασι. κάλλει μὲν ἐκ κόσμου πλεῖστα συλλαμβάνω, * διακονοῦμαι. παιδείᾳ δ᾽ ἀπείροις διδασκάλους ἐγὼ παρέχομαι. πόθεν δ᾽ ἄλλαι γυναιξὶν εἰς ταλασίας; πόθεν δ᾽ ὅπλα τοῖς ἀνδράσιν; ἐλέφας δὲ καὶ χρυσὸς ὁ τοῖς ἀγάλμασιν ἁρμόσας, ἐμός ἐστι, καὶ πάντα ἀναθήματα. δι᾽ ἐμοῦ, μεγάλαι πόλεις, βασιλεῖαι δ᾽ ἐξ ἐμοῦ δυνατώτεραι: ποιῶ δὲ ἑορτὰς ἐγώ: τράπεζα δέ μοι φιλόξενος: προχειρότεραι δ᾽ εὐεργεσίαι: δι᾽ ἐμοῦ μεγάλαι ἀμοιβαί. δύναται δ᾽ ὁ ἔχων ἐμὲ μὴ μόνος εὐτυχεῖν, ἀλλ᾽ εὐτυχίας χαρίζεσθαι. τέχνας δὲ πάσας ποιῶ κρείττονας ἐκ τῆς ἐλπίδος. μισθὸς γὰρ αὐτὰς ὁ μέγας τρέφει. γίνεται δ᾽ ἐξ ἐμοῦ. καὶ
lego σῖτον. σὺ δ᾽ αὐτὸς ὦ Ζεῦ πλοῦτον ἀνθρώποις ἀναγκαῖον ἀπέφηνας, ὃς * σῖτον δέδωκας ἐσθίειν
lego δεόμενον, & paulo post σκεπόμενον. * δεομένοις, οὐ θρέψειν ὡς τὰ ἄλλα καὶ δοραῖς σκεπομένοις: τροφὴν δέ, οὐ πόαν, οὐδὲ ταὐτόματα. ἀλλ᾽ ἀεὶ δεῖ τινα πορίσασθαι εἰς τὸ ζῆν. οἴκου δὲ ἀνάγκην ἔδωκας, πόλεις δ᾽ † ἡρμόσας. νόσοι δ᾽ ἐν ἀνθρώποις εἰσίν, ἐφ᾽ ἃ πάντα δεῖ χρημάτων. διὰ τί με μὴ καλῶς δυσδαίμονα, δι᾽ οὗ
† al. ἥρμοσας. τὰς ἤδη πάντα χρείας ἔχεις; ταῦθ᾽ ὁ πλοῦτος εἰπών, ἐδόκει νενικηκέναι, καὶ περιέβλεπεν ὡς
al. ὁ τύχη. μακαριζόμενος. ἐβοήθει μὲν αὐτῷ κρατοῦσα * ἡ τύχη, κρίνεσθαι μετ᾽ αὐτοῦ δοκοῦσα. τὸ γὰρ μέγιστον αὐτῆς ἀπώλλυτο, εἰ πλοῦτος οὐκ ἀγαθόν ἐστιν. ἦγε δὲ καὶ θεὰς ἄλλας μετ᾽ αὐτοῦ, συνηγόρους τε καὶ μάρτυρας, ἡδονάς, ἐλπίδας, εὐχάς, ἐπιθυμίας. ἔρως αὐτῷ συνέπραττεν, ὡς πολ-
al. non habetur χρώμενος. λαχοῦ * χρώμενος. ὑγεία καὶ αὐτὴ χαίρειν εἶχεν, ὡς δι᾽ αὐτοῦ νόσοις μαχομένη. δύο δ᾽ ἦλθον ἐναντίαι μὲν ἀλλήλαις, οἰκονομία, καὶ τρυφή: πλούτου δὲ ἀμφότεραι. σὺν αὐτῷ δ᾽ ἐδόκουν ἀπόλλυσθαι. τοσοῦτος δὲ ὁ πλοῦτος ἦν.

Mortales fruuntur, lucrandi tamen studio
Assiduo tenentur, & pecunijs
Nihil non postponunt homines. Sunt autem nonnulli qui
A morbis immunem laudant. At mihi nullus uidetur,
Qui pauper sit, uacare morbo, sed ægrotare perpetuo.

Epicharmus quidem deos esse dicit Menandri.
Ventos, solem, terram, aquam, ignem, stellas,
Ego autem utiles esse deos arbitror, Argentum nostrum & aurum.
Nam illos si collocaueris in domum,
Pete quicquid uoles, assequeris omnia,
Agrum, domus, seruos, argentea pocula,
Amicos, iudices, testes, largire solum.
Sic enim uel ipsos deos habebis ministros.

Omnino opus est pecunijs, & sine illis nulla res necessaria fieri potest. Demosthenis.

Simonides interrogatus, utrũ diuitiæ aut sapientia pręstaret. Ignoro, dixit, uideo enim sapientes diuitum limina frequentare.

Bion aiebat, quemadmodum uilia marsupia, etsi nullius pretij fuerint, tanti tamen æstimantur, quantum in se numismatis continent: ita diuites etiam homines uani & nihili, bonorum, quæ possident, ęstimatione ac pretio fruuntur.

Ex libro de comparatione diuitiarum & uirtutis, autoris incerti.

Diuitiarum igitur deus iactabat se hominum necessitates sustentare, ac emendare, desyderia perficere, damnis resistere, curare corpus, animæ gratificari, splendere in pace, militiæ suppeditare sumptus, à morbis restituere: singulis anni temporibus magnas commoditates præbere, nempe calorem in frigore: & contrà, declinationem æstuum: augere domos, & successiones magnarum familiarum, nuptias magnificè struere, & liberorum generationem promouere. Ad hæc, orno inquit templa, ciuitates per me pulchriores fiunt. Opera mea sunt, mœnia, portus, classes. Amnes profundos pontibus operio, terramq; diuulsam coniungo. Me indiget negotiatio. Agricultura quoq; sumptus ex penoribus meis postulat. Nihil enim sponte terra producit, nisi antea aliquid acceperit: nõ potest autem aliunde accipere quàm ex meis. Quinetiam alijs rebus omnibus non parum commoditatis præsto. Nam ornamentis plurimum formam iuuo, & colo. Omnibus disciplinis præceptores exhibeo. Vnde mulieribus ancillæ ad lanificium? Vnde uiris arma? Ebur ac aurum quę simulachris destinãtur, mea sunt, item anathemata omnia. Per me magnæ sunt ciuitates, & regna propter me potentiora. Ego festa celebro, mihi hospitalis est mensa, beneficia prompta, retributiones amplæ. Qui me possidet, non ipse solum fortunatus agere potest, sed etiam alijs fortunam suam communicare. Ego artes omnes meliores facio, dum illis spem inijcio. fouentur enim magnitudine mercedis à me suppeditãdæ. Atqui tu ipse ô Iupiter diuitiarũ usum hominibus necessarium fecisti. Corpus enim dedisti nobis, quod nõ ut reliqua animalia pilis ac pellibus munitur, sed uestibus indiget: & alimentum nobis non herbas, aut alia sponte nascentia produxisti: sed perpetuò aliquid emendum est ad uictum. Item domus habitari necessario, & ciuitates constitui uoluisti. Morbis quoq; tentãtur homines: propter hæc omnia pecunijs opus est. Cur igitur nõ uocas me fœlicem, cum per me rerum omnium usibus fruaris? His dictis diuitiarũ deus superasse uidebatur, & circumspiciebat tanquam expectans circumstãtes fœlicitati suæ applausuros. Et modis omnibus ipsum adiuuabat fortuna, cõmunem etiã sibi hanc esse causam rata. Nã si diuitijs inter bona locus nõ daret, maxima fortunæ gloria periret. Quin & alias deas comites habebat, quæ patrocinabãtur ei, ac testimonijs iuuabant: Voluptatẽ, Spẽ, Votum, Cupiditatẽ. Amor quoq; partes eius sequebatur, ut qui diuitiarũ opera sæpius uteretur. Et Sanitas ei gratiã habebat, utpote beneficio pecuniarũ morbos impugnãs. Sequebãtur & aliæ duæ, Oeconomia & Luxuria, inter se quidẽ inimicæ, at eiusdem dei comites, quamuis ab illo perdi uiderentur. Tanta turba diuitiarum præsidem comitabatur.

ΟΣΑ ΠΛΟΥΤΟΣ ΠΟΙΕΙ, ΔΙΑ ΤΗΝ ΤΩΝ ΠΛΕΙΣΤΩΝ ΑΝΟΙΑΝ.

ΛΟΓΟΣ Ενενηκοστός.

Εὐριπίδου. Ἀλλ' οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα.
τὸν γὰρ κάκιστον, πλοῦτος εἰς πρώτους ἄγει.
Πλούτου δ' ἀπορρυέντος, ἀσθενὴς γάμει.
τὴν μὲν γὰρ εὐγένειαν, αἰνοῦσι βροτοί
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.
Ἐστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
ἡ ψυχίας δίκαιος. οἰόμεσθα γὰρ,
τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι χρεών.
Νῦν δ' ἄν τις οἶκον πλουσίαν ἔχῃ φάτνην,
πρῶτος γέγραπται τῶν ἀμεινόνων κράτει.
τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν.

Μενάνδρου. Πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν,
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Θεόγνιδος. Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δὲ, τὰ καλὰ
ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται.
εἴργει τοὺς μὲν δ' ἡ χρήματα, τοὺς δὲ νόος.

Ὑψαίου. Ὥσπερ ὑπὸ χειρὸς τρεμούσης, χρυσίον ἐάν τις θῇ, τρέμει· οὕτω καὶ ὁ πλοῦτος, ἐὰν φοβουμένης ἢ
forte συνεχομένη. * συνεχομένης ὑποσυρθείη τῇ ψυχῇ, συγκραδαίνεται καὶ συμπεριπίπτει.

Πλουτάρχου. Μὴ παιδὶ μάχαιραν ἡ παροιμία φησίν. ἐγὼ δὲ φαίην ἄν, μὴ παιδὶ πλοῦτον, μηδὲ ἀνδρὶ ἀπαιδευσίαν.

Ἰσοκράτους. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ μὴ δυναμένων τοῖς ὑπάρχουσι. παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος.

Διογένους. Τοὺς δὲ πολλοὺς τῶν πλουσίων ὁμοίους τοῖς ὑπὸ τῶν δυσβάτων καὶ ἀποκρήμνων φυομένοις δένδροις, καὶ ἀμπέλοις. τόν τε γὰρ τούτων καρπὸν, ἀνθρώπους μὴ λαμβάνειν· κόρακας δὲ καὶ παραπλήσια τούτων ζῶα κατεναλίσκειν. ἐκείνους τε τὸν πλοῦτον εἰς μὲν τὰ ὑπεικῆ τῶν πραγμάτων οὐ κατατίθεσθαι, κόλαξι δὲ, καὶ πόρναις, καὶ ταῖς αἰσχροτάταις ἡδοναῖς, καὶ κενοτάταις δόξαις χορηγεῖν.

Δημοκρίτου. Ὥσπερ ἐν μὲν τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι τὸ μὴ προσ-
ἴσως μή. αρμόζειν, καὶ * τὸ συνεχές.

Πλάτωνος. Ἐγὼ δὴ ὥσπερ ἀρξάμενος ἐρυξίαν τοῦτον ἡδέως ἐροίμην ἂν, εἰ δοκοῦσιν αὐτῷ εἶναι ἄνθρωποι ἄδικοι καὶ δίκαιοι. νὴ Δία ἔφη ἐκεῖνος· καὶ σφόδρα μέντοι. τί δὲ τὸ ἀδικεῖν, πότερόν σοι κακὸν δοκεῖ εἶναι, ἢ ἀγαθόν; κακὸν ἔμοιγε. δοκεῖ δ' ἄν σοι ἄνθρωπος, εἰ μοιχεύοι τὰς τῶν πέλας γυναῖκας ἐπ' ἀργυρίῳ ἀδικεῖν ἄν, ἢ οὔ; καὶ ταῦτα μέντοι καὶ τῆς πόλεως καὶ τῶν νόμων κωλυόντων. ἀδικεῖν ἄν ἔμοιγε δοκεῖ. οὐκοῦν ἔφη, εἰ δὴ πλούσιος ὢν τυγχάνει, καὶ ἀργύριον δυνατὸς ὢν ἀναλῶσαι, ὁ ἄδικός τε ἄνθρωπος καὶ ὁ βουλόμενος, ἐξαμαρτάνοι ἄν. εἰ δέ γε μὴ ὑπάρχοι πλουσίῳ εἶναι τῷ ἀνθρώπῳ, οὐκ ἔχων ὁπόθεν ἀναλίσκοι, οὐδ' ἂν διαπράττεσθαι δύναιτο ἃ βούλεται· ὥστ' οὐκ ἂν οὐδ' ἐξαμαρτάνοι. διὸ καὶ λυσιτελοῖ ἂν τῷ ἀνθρώπῳ μᾶλλον μὴ εἶναι πλουσίῳ, εἴπερ ἧττον διαπράξεται ἃ βούλεται, βούλεται δὲ καὶ μοχθηρά. καὶ πάλιν αὖ τὸ νοσεῖν, πότερον ἂν φαίης κακὸν, ἢ ἀγαθὸν εἶναι; κακὸν ἔγωγε. τί δὲ, δοκοῦσί τινές σοι ἀκρατεῖς εἶναι ἄνθρωποι; ἔμοιγε. οὐκοῦν εἰ βέλτιον εἴη πρὸς ὑγίειαν τούτῳ τῷ ἀνθρώπῳ ἀπέχεσθαι σίτων καὶ ποτῶν, καὶ τῶν ἄλλων ἡδέων τῶν δοκούντων εἶναι· ὁ δὲ μὴ οἷός τ' εἴη δι' ἀκράτειαν, βέλτιον ἂν εἴη τούτῳ τῷ ἀνθρώπῳ μὴ ὑπάρχειν, ὁπόθεν ἂν ἐκποριεῖται ταῦτα, μᾶλλον

ἢ πολ-

QVANTVM DIVITIAE VALEANT, PROpter uulgi stultitiam, SERMO XC.

Sed nihil est nobilitas comparata pecunijs. *Euripidis.*
Nam uel pessimus propter diuitias inter primos recensetur.
Diuitiæ si absunt, imbecilles fiunt nuptiæ.
Laudant enim nobilitatem homines,
Magis autem affinitatem sequuntur diuitum.
Hoc etiam in diuitijs non rectè habet,
*Quod ingeniosi putantur diuites. Arbitramur enim *
Diuitem hominem oportere omnia scire.
Nunc si quis præsepe diues domi habuerit,
Inter primos refertur à malis promotus.
Res autem pecunijs posthabemus.
Vbi stultæ diuitiæ potestatem nactæ sunt, *Menandri.*
Illos etiam, qui sapere uidentur, stolidos reddunt.
Multi imperiti diuites sunt: alij uero res egregias *Theognidis.*
Studiosè inquirunt dira paupertate afflicti.
Vtrique autem faciendi aliquid eximium potestate priuantur.
Illos enim animus prohibet, hos pecunia.

Vt aurum trementi manui impositũ, tremit: sic & diuitiæ ab animo, metu curisque detento accumulatæ, unà concutiuntur, & eodẽmodo afficiuntur. *Hypsei.*

Ne puero gladium, prouerbio dicitur: Ego autem dixerim, ne puero diuitias, neque uiro imperitiam. *Plutarchi.*

Contemne illos, qui nimium operam dant diuitijs, præsentibus autem uti nequeunt. Nam isti non secus afficiuntur, quàm qui bonum equum possidens, equitandi artem ignoret. *Isocratis.*

Plærosque autem diuites comparabat arboribus & uitibus, quæ in locis inuijs ac præruptis nascuntur. Quod istarum fructus non usui sint hominibus, sed à coruis & similibus animalium consumantur: Itemque diuites non ad honestas res opibus utantur, sed adulatoribus, meretricibus, & turpissimis uoluptatibus, uanissimæque gloriæ pecunias præbeant. *Diogenis.*

Quemadmodum inter ulcera pessimus est affectus phagedænæ, ita in pecunijs animus non contentus & sibi inæqualis. *Democriti, al. Demosthenis.*

Libenter equidem, ut incœpi, ab hoc Eryxia interrogarem, an homines ei uideantur iusti iniustique esse. Per Iouem, dixit ille, omnino mihi uidentur. Iniuriari autem, malúmne tibi uidetur aut bonum esse? Malum profectò. Quod si quis uxores uicinorum argẽto corruptas in adulterium trahat, (præsertim si ciuitas & leges id fieri prohiberent.) Iniuriámne tibi uidetur facere, aut non? Iniurius planè mihi uidetur. Itaque, dixit, si uir iniustus & promptus ad cupiendũ, diues sit, & pecuniã expendere ualeat, procliuis erit ad peccandũ: contra, si diues nõ fuerit, non habens unde sumptus faciat, exequi ea quæ cupit nõ poterit, itaque ne peccauerit quidẽ. Quare magis homini profuerit nõ esse diuitẽ, siquidẽ ita minus efficiet ea quæ uult: Vult aũt mala. Cęterũ ęgrotare bonúmne malúmue dixeris? Malũ equidẽ. Nónne tibi homines aliqui uidentur intẽperantes? Maximè. Ergo si tali homini ad sanitatẽ, cibo ac potu & alijs quę iucũda uidẽtur, abstinere pręstiterit: ipse uero propter intẽperantiam abstinẽs esse nõ possit, melius ei fuerit opes unde ista cõparet non adesse, po- *Platonis in Eryxia, seu de diuitijs.*

ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων. οὕτω γὰρ ἂν αὐτῷ, οὐκ ἐξουσία εἴη ἐξαμαρτάνειν, οὐδ' εἰ σφόδρα βούλοιτο.

Οὐκοῦν ἔφην ἐγὼ ὁ αὐτὸς λόγος, ὅτι φάρμακον παντὶ ἀνθρώπῳ χρήσιμον εἶναι, ἀλλὰ τούτῳ ὅστις τυγχάνει εἰδὼς, ὡς δεῖ χρῆσθαι αὐτῷ; φημί. οὐκοῦν καὶ τἆλλα πάντα ὁμοίως; ἔοικε. χρυσίον τοίνυν καὶ ἀργύριον καὶ τἆλλα τὰ δοκοῦντα χρήματα εἶναι, τούτῳ ἂν μόνῳ χρήσιμα εἴη, ὅστις τυγχάνει ἐπιστάμενος, ὡς χρηστέον τούτοις; οὕτως. οὐκοῦν πρότερον ἐδόκει τοῦ καλοῦ κἀγαθοῦ ἀνθρώπου εἶναι εἰδέναι, ὅπου γε καὶ ὅπως τούτων ἑκάστοις χρηστέον ἐστί; φημί. τοῖς ἄρα καλοῖς καὶ ἀγαθοῖς τῶν ἀνθρώπων τούτοις ἂν μόνοις καὶ χρήσιμα ταῦτ' εἴη, * εἴπερ γε οὗτοι ἐπιστήμονες ὡς χρηστέον. εἰ δὲ τούτοις μόνον χρήσιμον, τούτοις ἂν μόνον καὶ χρήματ' εἶναι ταῦτα φαίνοιτο. ἀτὰρ ὡς ἔοικε ἐπὶ τὸν ἀνεπιστήμονα ἱππικῆς, κεκτημένον δὲ ἵππους, οἳ τυγχάνουσιν αὐτῷ ἀχρεῖοι ὄντες, εἴ τις τοῦτον ἱππικὸν ποιήσειεν, ἆρ' ἅμα καὶ πλουσιώτερον πεποιηκὼς εἴη, εἴπερ γε αὐτῷ ἃ ἐτύγχανε πρόσθεν ἀχρεῖα ὄντα, χρήσιμα πεποίηκεν. ἐπιστήμην γάρ τινα παραδιδοὺς τῷ ἀνθρώπῳ, ἅμα καὶ πλούσιον αὐτὸν πεποίηκεν.

al. ἅπερ γε τούτοις ἐπιστημόνως χρηστέον

ΨΟΓΟΣ ΠΛΟΥΤΟΥ.

ΛΟΓΟΣ ἐνενηκοστὸς α.

Ἀλέξιδος.

Τύχην ἔχειν δεῖ πλουσίαν. τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

Εὐριπίδου.

Δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον,
σκαιοῖσιν εἶναι. τί ποτε τοῦτο αἴτιον;
ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ,
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης;

Ὕβριν τε τίκτει πλοῦτος, οὐ φειδὼ βίου.

Καὶ νῦν ἐφέλκετ' ὦ κακοὶ τιμὰς βροτοί,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
σύμμικτ' ἅμ' οὐ δίκαια καὶ ἄδικα ὁμοῦ.
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

al. πικρὸς.

Μή μοι γένοιτο * λυπρὸς εὐδαίμων βίος,
μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.

Μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ
κακῷ γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς.

Σκαιὸν τὸ πλουτεῖν, κἄλλο μηδὲν εἰδέναι.

Μὴ πλοῦτον εἴπῃς, οὐχὶ θαυμάζω θεὸν,
ὃν χὼ κάκιστος ῥᾳδίως ἐκτήσατο.

Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
ὅν γ' ἐξαλείφει ῥᾷον, ἢ γραφὴ θεός.

Πλουτεῖς; ὁ πλοῦτος δ' ἀμαθία, δειλόν θ' ἅμα.

Ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.

Σκαιόν τι χρῆμα πλοῦτος, ἥ τ' ἀπειρία.

Πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.

Ὦ πλοῦτ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν,
πόνοι δὲ κἀν σοὶ, καὶ φθοραὶ πολλαὶ βίου
ἔνεισ'. ὁ γὰρ πᾶς ἀσθενὴς δίαιτ' βροτοῖς.

al. τυφλὸν π.

Εἰσορῶ. * δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

Σμικρὰν θέλοιμ' ἂν καὶ καθ' ἡμέραν ἔχων
τροφὴν, ἀνοικεῖν μᾶλλον, ἢ πλουτῶν νοσεῖν.

Ἀριστοφάνους. al. Ἀντιφάνους.

Οὐπώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα

tius, quàm copiosam rerum possessionem habere: Sic enim ipsi peccare non li cebit, etsi ualde cupiat.

Eadem igitur ratione, dixit, ne pharmacũ quidem prodesse potest cuiuis, sed illi tantum qui norit quomodo sit utendum ipso. Fateor. Ergo & reliqua omnia similiter. Apparet. Itaq; aurum & argentum, & reliqua quæ pecuniæ nomine ueniunt, Græcis χρήματα propter usum sui dicta, illi solum utilia fuerint, qui modum ipsis utẽdi nouerit. Ita est. Prius autem statuebamus honesti probiq; uiri esse, quãdo & quo pacto istorum singulis utendũ sit, cognoscere. Memini. Honestis igitur bonisq; hominibus, ijsq; solis hæc profuerint, siquidem eis cum scientia uti oportet. Quod si istis solum utilia sunt, ijsdem solis χρήματα esse, diciq; debere, uidentur. Etenim, ut apparet, hominem equestris artis imperitum, equos autem possidentem, qui tamen inutiles ei sint, si quis huius artis doctum efficiat, eadem opera ditiorem ipsum effecerit: siquidem res ei prius inutiles, iam utiles reddidit. Nam qui scientiam alicui tradit, simul & diuitem ipsum facit. *Ibidẽ paulo post.*

VITVPERIVM DIVITIARVM, SERMO XCI.

ANimam habere diuitem oportet: pecuniæ autem *Alexidis, al.*
Nihil quàm ostentatio sunt, & uelamentum quoddam uitæ. *Antiphanis.*
Res mala, sed innata diuitibus est, *Euripidis.*
Improbe uiuere. Quænam huius rei causa est?
An quia cæcæ diuitiæ ipsis conuersantur,
Mentem quoq; cæcam habent propter fortunam?
Diuitiæ aut contumeliam & luxuriam pariunt, aut parcitatem in uita.
Nunc age ô improbi homines captate honores,
Et diuitias undecunq; uenantes uobis acquirite,
Siue per fas, siue per nefas id fiat,
Deinde messem earum infœlicem metite.
Non mihi contingat tristis & molesta alijs opulenta uita, *Eiusdem in*
Neq; diuitiæ, quæ mihi meum animum angant. *Medea.*
Nunquam eueniat mihi, ut à pecunijs uictus
Malus euadam, neq; consuetudinem habeam cum malis.
Ineptum est esse diuitem, & aliud nihil scire.
Ne * Plutum mihi nominaueris, haud magni facio illum deum, ** id est diuitiarũ deum.*
Quem uel pessimus quisq; facile sibi asciscit.
Non probo usquam inter homines illas opes,
Quæ facilius delentur à deo, quàm scribuntur.
Diues es? At diuitiæ imperitiam timiditati coniunctam habent.
Iniustæ sunt diuitiæ, & multa perperam committunt.
Sinistra res est opulentia cum imperitia.
Pecuniæ multorum malorum causas præbent hominibus.
O diuitiæ, facilè quidem gestatu est onus uestrum,
Sed labores, & plurima uitæ damna uobis
Insunt. Omnis enim * ætas hominibus imbecillis est. *† βίος.*
Opes, ut uideo, & timidum sunt malum, & uitæ cupidum. *Eiusdem in*
Malim tenuem habens & quotidianum *Phœnissis.*
Victum habitare domi, quàm cum diuitijs ægrotare.
Nunquam sanè fœlicem æstimaui prędiuitem *Aristophanis.*

ἄνθρωπον ἀπελαύνοντα μηδὲν ὃν ἔχει.
ὁ δὲ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακὸς,
τυφλοὺς, βλέποντας παραλαβὼν, πάντας ποιεῖ.

Μενάνδρου. Τυφλὸν ὁ πλοῦτος, καὶ τυφλοὺς ἐμβλέποντας εἰς αὐτὸν δεικνύει.

Ὑπερήφανον γίνεθ' ἡ λίαν τρυφὴ,
ὅτι πλοῦτος ἐξώκειλε τὸν κεκτημένον
εἰς ἕτερον ἦθος, οὐκ ἐν ᾧ τὸ πρόσθεν ἦν.

Ναυμαχίου. Χρυσός τοι κόνις ἐστὶ καὶ ἄργυρος· * ἠδὲ καὶ αὐτοὶ
al. οἱ δ. λᾶες ἐπὶ ῥηγμῖνι πολυψηφῖδι θαλάσσης.
πολλοὶ δ' ἐρρίφαται ποταμῶν παρὰ χείλεσιν αὐτοῖς.
εἵματα δ' εἰναλίης ἐρυθαίνεται αἵματι κόχλου,
al. ἀλίφρονε. τοῖς ὑπερφυσόωσι * δ' ἀλίφρονες ἀπαλινῶν.

Ἰσοκράτους. Πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστίν· ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων· ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν.

Ἀνακρέων δ' ἀργύριον παρὰ Πολυκράτους λαβὼν πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ' αὐτοῖς δυοῖν νυκτοῖν, ἀπέδωκεν αὐτά, εἰπὼν, οὐ τιμᾶσθαι αὐτὰ τῆς ἐπ' αὐτοῖς φροντίδος.

Πλάτωνος. Ἀγαθὸν δὲ ὄντα διαφόρως, καὶ πλούσιον εἶναι διαφερόντως, ἀδύνατον. εὐδαίμονας μὲν ἅμα καὶ ἀγαθοὺς, ἀνάγκη γίγνεσθαι, πλουσίους δ' αὖ σφόδρα καὶ ἀγαθοὺς ἀδύνατον, οὕς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσιν.

Ὁ λόγος ἡμῖν ὀρθὸς, ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί. εἰ δὲ μὴ ἀγαθοί, οὐδ' εὐδαίμονες.

Ὁ δὲ τοὺς πλουσίους, εὐδαίμονας ὀνομάζων λόγος, αὐτός τε ἄθλιος, γυναικῶν καὶ παίδων ὢν λόγος· καὶ ἀνθρώπους τοὺς πειθομένους ἀπεργάζεται τοιούτους.

Ἑώρων γὰρ καὶ τότε, καὶ νῦν ὁρῶ, τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τ' ἰδιωτῶν καὶ τῶν μονάρχων, σχεδὸν ὅσῳπερ ἂν μείζους ὦσι τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετ' ἀγρίας βλάβης ὁμιλοῦντας τρεφούσας, οὗ κακὸν οὐδὲν μεῖζον γίγνεται πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις.

Τοὐντεῦθεν τοίνυν εἶπον, προϊόντες εἰς τὸ πρόσθεν τοῦ χρηματίζεσθαι, ὅσον ἂν τοῦτο τιμιώτερον ἡγῶνται, τοσούτῳ ἀρετὴν ἀτιμοτέραν. ἢ οὐχ οὕτω πλούτου ἀρετὴ διέστηκεν, ὥσπερ ἐν πλάστιγγι ζυγοῦ κειμένου ἑκατέρου, ἀεὶ τοὐναντίον ῥέποντος; καὶ μάλα ἔφη. τιμωμένου δὲ πλούτου ἐν πόλει καὶ τῶν πλουσίων, ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί; δῆλον. ἀσκεῖται δὲ τὸ ἀεὶ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. οὕτω.

Δημοκράτους. Αἱ μὲν ποδήρεις ἐσθῆτες, τὰ σώματα· αἱ δὲ ὑπέρμετροι περιουσίαι, τὰς ψυχὰς ἐμποδίζουσι.

Ἐκ τοῦ περὶ συγκρίσεως πλούτου καὶ ἀρετῆς.

Καθ' αὑτοὺς μὲν ἄνθρωποι πρὸς ἀρετὴν γεγόνασιν· οὗτος δὲ ἐπ' αὐτὸν τρέπει. φάρμακα δὲ εἰς κακίαν ἔχει μυρία. καὶ δόξαν ἀγαθοῦ περιθεὶς, οὐκ ἔχοντας ἀπάγει τῶν ἀληθεστάτων. οὐκ ἐᾷ δὲ ἐπ' αὐτῷ φρονεῖν τὸν ἄνθρωπον, ἀλλ' εἰς τὰ ἔξω φέρει, κἀκ τῶν τυχαίων καὶ αὐτομάτων ἀναρτᾷ. θρασύτατος δέ ἐστιν ὁμοῦ καὶ δειλότατος, ἐπαιρόμενος μὲν ὡς ἐπὶ μεγίστοις· φοβούμενος δὲ, ὡς ἐπὶ ἀσθενεῖ πράγματι. ὑπερήφανος ἅμα ἐξ ἀλαζονείας· ταπεινὸς ἐκ φροντίδος. χρώμενος μὲν, ἄσωτός ἐστι· μὴ χρώμενος δὲ, ἄθλιος. δυστυχεῖ μέν τις δι' αὐτόν, ἐν ταῖς εἰς τὸ πορίζειν ταλαιπωρίαις. φθείρεται δὲ ἄλλος εἰς ἡδονὰς ἀπὸ τῶν περιττῶν. κόρον δὲ οὐκ ἔχει τοῖς κτησαμένοις. ἀεὶ δ' ἀνία τις αὐτῷ πάρεστιν, ὅπως ἂν γένηται. καὶ ὥσπερ ἡ τῶν ὑδεριώντων νόσος αὔξεται, πρὸς τὸ μᾶλλον ποθεῖν, ἀφ' ὧν πίμπλαται. κακὸς μέν ἐστι τῷ φιλοπόνῳ πλοῦτος, ἀναλίσκει γὰρ αὐτοῦ τὴν φιλοπονίαν εἰς χρήματα, ἀλλαχοῦ δυναμένην †. * κακῶς δὲ ῥᾳθύμῳ, διδοὺς ἀφορμὰς ἁμαρτημάτων. ἀμφοτέροις δ' ὀλέθριος. τὸν μὲν γὰρ εἰδότα κάμνειν, ἀσχολεῖ· τὸν δ' εἰς τρυφὴν νοσοῦντα, καὶ περιτρεπτὸν ποιεῖ. ποιεῖ δὲ, ἅμα μὲν κόλακας ἀνθρώπους, εἰς ἐλπίδα χρημάτων· ἅμα δ' ὑπὸ πολλῶν κολακευομένους διὰ χρήματα. ὁμοῦ δὲ ἀγαθὸν μὲν οὐκ ἔστιν ὁ πλοῦτος· φθόνον δὲ ἀγαθῶν μέγιστον ἔχει. μυρίαι δ' ἐπιβουλαὶ δι' αὐτὸν, ἐκ βασιλέων, ἐξ ὁμόρων, ἀπ' οἰκείων. οὐκ ἔχει δέ τις πλουτῶν ἀσυλίαν ἰδίου

† Aliquid deest.
* malim κακῶς.

βίου

Hominem, nulla re quam habet fruentem.
Verum diuitiæ nos, ceu malus medicus,
Videntes assumptos, omnes excæcant.

Cæcæ sunt diuitiæ, ac se inspicientes excæcant. *Menandri.*

Nimiæ deliciæ in superbiam incidunt,
Ac opes dominum suum afficiunt
Alijs moribus, quàm affectus erat antea.

Aurum & argentum nihil quàm puluis sunt, & qui reperiuntur, *Naumachij.*
Lapilli in calculosa crepidine maris.
Multi autem iacent ad ripas fluuiorum temere.
At uestes marinæ purpuræ cruor inficit,
Quibus inhiare solent *marini nautæ. **uel stolidi.*

Diuitiæ nõ tam honestati quàm improbitati seruiunt, dum socordiæ hominum licentiam parant, & iuuenes instigant ad uoluptates. *Isocratis.*

Anacreon quinq; talentis à Polycrate donatus, cũ per duas noctes pro ipsis sollicitus fuisset, reddidit ea, inquiens: Nõ tanti esse quãta ipsorũ nomine cura laboraret.

Hominem uero insigniter bonum, diuitem quoq; præ cæteris esse fieri non potest. Nam fœlices quidem ac bonos unà fieri necesse est: prędiuites autem & bonos, impossibile, ita ut uulgus diuites appellat. *Platonis legũ 5.*

Rectè à nobis dictum est prędiuites non esse bonos: quod si boni non sunt, ne fœlices quidem fuerint. Sermo aũt qui diuites nominat fœlices, tũ ipse miser est, ut qui à mulieribus & pueris effutiri soleat, tum homines ei fidem habẽtes miseros reddit. *Ibidem.*

Nam & tunc uidebam, & adhuc uideo, magnas immensasq; opes & priuatorum & monarcharum, ferè quo maiores fuerint, eò plures maioresq; calumniatores, & uoluptatis causa cum turpi damno conuersantes alere, quo nihil deterius uel diuitiæ producunt, uel alterius potestatis facultas.

Deinde aũt, qui magis magisq; accumulandę pecunię dediti sunt, quo maioris eã faciunt, eò minoris uirtutem. An non ita uirtus distat à diuitijs, tanquã si utraq; in lance stateræ posita essent, & alterum semper inclinaret in contrariũ? Maximè dixit. Igitur si diuitiæ & diuites magni fiant in ciuitate, ipsa uirtus boniq; uiri in minori æstimatione erunt? Apparet. Studium autem rebus honoratis maximè impẽditur, contraria negliguntur. Sic est.

Vestes talares corpora, opes autem immensæ animas impediunt. *Democratis.*

Ex libro de collatione diuitiarum & uirtutis, incerti autoris.

Homines natura quidem ad uirtutem nati sunt, sed diuitiæ illos ad se conuertunt, infinita ad malitiam habẽtes pharmaca. Diuitiæ falsa boni opinione proposita à uerissimis abducunt. Hominem cui hærent, sapere non permittunt, sed rapiunt eum ad externa, & à fortuitis temerarijsq; euentibus animos suspendunt. Audacissimæ simul ac timidissimæ sunt, superbientes tanquam de rebus maximis, & timentes tam quam imbecillibus. Inflatæ sunt arrogantia, curis humiles. Si rebus suis utuntur, luxuriosæ fiunt: si abstinent, miseræ. Alium multæ in acquirendo ærumnæ infœlicem reddunt, alius propter abundantiam in uoluptatibus perit. Nulla satietate possidentes capiuntur. Nunquam uacant molestia aut dolore, utcunq; acciderit: Et ueluti aqua intercus magis magisq; impleri sitiens, augescit earum cupiditas. Homini ignauo nocent, diligentiam enim quæ ad meliora conferri poterat, in exigua numismata consumunt. Obsunt etiam ignauo, dum occasiones delinquẽdi præbent. Sic utrisque perniciosæ sunt: nam laborandi gnarum, occupant: delicijs autem emollitum, magis effœminant. Eædem adulatores spe pecuniarum allectos faciunt, & pecuniarum gratia diuites à multis deliniri fictis huiusmodi blanditijs in causa sunt. Ad hæc quamuis bonæ non sint, multi tamen illis ceu propter maxima bona inuident. Ipsarum causa infinitæ struuntur insidiæ, à regibus, uicinis, & familiaribus etiam. Præterea nullus diues ne de uita quidem sua securus

βίου, πάρεργον δέ που χρημάτων καὶ τὸ σῶμα συναπόλλυται. πρῶτον μὲν ἀμελεῖ τῶν ἐκ διανοίας ἀγαθῶν, ὡς καὶ χωρὶς ἐκείνων εὐτυχῶν: εἶτα τὸ σῶμα λυμαίνεται ταῖς τρυφαῖς. ἐθίζει μὲν εἰς πλησμονὰς ἀπὸ τῶν ἀφορμῶν, καὶ πλείστας νόσους συλλέγει: τὴν δὲ αὐτουργίαν τῶν ἀνθρώπων ἀφαιρεῖται, τὸ πάντων ὑγιεινότατον. γυμνάσιον γάρ ἐστιν οὐχ ὡρισμένον, ὡς παλαίστρα καὶ κυνηγεσία. ἀλλ' οὖν τὸν βίον διακονούμενός τις ἑαυτῷ, πολὺ κρείττων ἐστὶ τῶν ζώντων δι' ἄλλων. θρύπτει δ' ὁ πλοῦτος καὶ μαλάττει λαβὼν * πολλὰ πολλάκις καὶ τὰς ὑγιεινὰς φύσεις, καὶ περιήγαγεν εἰς ἀσθένειαν, ἐξ ἐθῶν πολυτελῶν. πάντα μὲν ἐφ' ὕπνῳ παρασκευαζόμενος, δυσκολωτέρους ἔχει διὰ τοῦτο τοὺς ὕπνους: ἑτοιμότεροι δ' εἰσὶν οἱ κατὰ φύσιν. οὐ γὰρ ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκευασμέναι κλίναι, καὶ πορφυροῖ τάπητες, οὐδὲ ὑπόβαθρα καὶ παστάδες ὕπνους ποιοῦσιν. ἀλλ' ἔργα καὶ νόμιμοι πόνοι, καὶ τὸ τῆς φύσεως αὐτῆς ἀναγκαῖον. οὐκ ἐᾷ δ' ὁ πλοῦτος αὐτομάτων μετασχεῖν καλῶν: λυμαίνεται δὲ τοῖς ἰδίοις ἔθεσι, καὶ φαρμακεύει τὰ πεφυκότα. ταῖς δὲ ὥραις οὐκ ἀφίησι χρῆσθαι καὶ μελετᾶν πρὸς τὰ γινόμενα. ποιεῖ δὲ καὶ πρὸς θάλπος ἀσθενέστερον τὸν εὐτυχοῦντα, καὶ πρὸς κρύος, καὶ δι' ὧν ὤοντο δεῖν μὴ παθεῖν ταῦτα, εὐπαθέστερος αὐτοῖς γίνεται: κατισχύει δὲ μᾶλλον αὐτῶν ὁ κεχρημένος. μένει γὰρ ἐν τῇ τοῦ βίου τάξει, καὶ πρὸς ἀσφαλῆ ἐπίσταται, καὶ οὐκ ἀγανακτεῖ τοῖς τοῦ θεοῦ πράγμασιν, ἀλλὰ δι' αὐτῶν ἅπασιν ἐρρωμένος. οὕτω μὲν ὁ πλοῦτος, καὶ τὰ σώματα βλάπτει. τὰ δὲ ἄλλα μείζω πάθη: στασιάζει μὲν οἴκους, καὶ κοινὸν ἆθλον ἀδελφοῖς πρόκειται. τέκνα δὲ χείρω ποιεῖ πατράσιν, ἐπιθυμοῦντα τῆς περὶ τὸν πλοῦτον ἐξουσίας: αὐτοῖς δὲ τοῖς τέκνοις, τοὺς γονεῖς βαρυτέρους. φίλοι δὲ ὕποπτοι διὰ πλοῦτον. ὁ μὲν ἀληθὴς, ἀπιστεῖται διὰ τὸν κόλακα: νικᾷ δὲ ὁ κόλαξ τὸν ἀληθεύοντα μιμούμενος. λαφύρῳ δ' ὅμοιόν ἐστιν, ἐλπιζομένων νόσων πλουσίοις. καὶ τοῖς ἐλευθεριωτέροις, ὅτι μὴ κολακεύουσιν, ὀργίζεται: τοὺς δὲ κολακεύοντας, ὑφορᾶται, καὶ ἐφ' ἁρπαγὴν παρεῖναι δοκεῖ. τελευτήσαντι δὲ, οὐ γίνεται πλουσίῳ πένθος, οὐδὲ παρὰ τῶν δεδεγμένων. ἐπιχαίρουσι γὰρ εἰληφότες. οὔτε παρὰ τῶν μὴ λαβόντων: ἐπεὶ μισοῦσιν, ὡς ἐκ τοσούτων ἄτιμοι. ἔτι πρὸς τούτοις, ὃ μάλιστα * τῇ πόλει προσήκειν δοκεῖ, τὸ δοῦναι χάριν, οὐχ ἁπλοῦν ἐστιν, ἀλλ' ἔχει * συμφορὰς πλείονας. ἔστι μὲν οὐδὲ εὐπρεπὴς ἡ χάρις, ἡ δ' ἀργυρίου δοθέντος, ἐράνῳ δ' ἔοικεν. οἱ δ' ἄνευ χρημάτων ἀπ' εὐνοίας ὑπουργοῦντες καὶ βοηθοῦντες, ἐλευθέριον τὴν εὐεργεσίαν ἔχουσι, καὶ τοῖς τυγχάνουσι * καὶ τοῖς κεχαρισμένοις. εἶτα ὁ μὲν λαβὼν παρὰ τοῦ πλουσίου, πάλιν ἀπαιτεῖ: καὶ τὸ πρῶτον ἀπόλωλεν, ἂν μὴ γένηται. πάλιν * ὁ τυχὼν ἐγκαλεῖ, κἂν ἄλλοι τυγχάνωσι. καὶ πλείονας οὕτως ὁ χαριζόμενος τοὺς μεμφομένους ἔχει. πᾶσι γὰρ οὐκ ἀρέσκει, πάντες δ' ὡς ἐκ προαιρέσεως ἀπαιτοῦσι. ταῦτα ἐν τῷ πλούτῳ πρόσεστι, καὶ ἐκ τῶν δοκούντων καλῶν. τἄλλα δ' ἄφορητα, ἀλαζονεία, θρασύτης, ὑπεροψία, φροντίδες αἰσχραὶ, κακαὶ μὲν ὀρέξεις, κακαὶ δ' ἡδοναὶ, πόθος δ' ἀκόρεστος αὐτῷ πρόσεστιν, ἐξ αὐτοῦ δὲ αἱ πλεῖσται πονηρίαι, καὶ μυρία τῶν κακῶν οὐκ ἂν ἦν, εἰ μὴ πλοῦτος * ἦδιον. γίνεται φόνος διὰ κέρδος, ἱερὰ συλᾶται, φιλία παραβαίνεται, πίστις ἀμελεῖται, φθορούσης ἤδη κέρδος ἀπιστίας, προδίδονται πατρίδες, οὐδὲ ἓν ἀκίνητον κακόν.

ποιὰ uidetur expungendum.

malim τὸ πλεῖστα.

lego διαφοράς.

lego κεχαρισμένην.

malim ὁ μὴ τυχὼν

lego κακόν.

Πλουτάρχου.

Φύσει μὲν γὰρ δυσχαλίνωτος ὄρεξις: προσλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν, ἀχαλίνωτον.

Ἀλλ' ἀπληστία, καὶ ἄπιστός ἐστιν ἐν αὐτοῖς μανία. τοιούτῳ μὲν ἐνθουσιασμῷ χρῶνται περὶ τὴν κτῆσιν, ὡς εἰ κτήσαιντο, μηκέτι κακουμένους: * τοσαύτη δὲ ἀμέλεια περὶ τὰ ληφθέντα, ὡς μὴ γενόμενα. δυσερωτιῶσι δὲ τῶν ἀπόντων, ὑπεροροῦντες ὧν ἔχουσιν. οὐδὲν γὰρ οὕτως ἀγαπῶσιν, ὡς δὲ ἐλπίζουσιν. οὐκ οἶδα πότερον αὐτοῖς ἄμεινόν ἐστιν, ἔχειν, ἢ προσδοκᾶν. ἔχοντες γὰρ, οὐ χρῶνται: προσδοκῶντες δὲ, κάμνουσι. τί οὖν ἐπαινοῦμεν τοιοῦτον ἀγαθὸν, οὗ πέρας οὐδὲν οὐδὲν, ἀλλὰ τὸ ληφθὲν, ἑτέρων ἀρχή;

lego τοσαύτη δὲ ἀμέλεια.

Βίων ἔλεγε, καταγελάστους εἶναι τοὺς σπουδάζοντας περὶ πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται.

Διογένης ἔλεγε, μήτε ἐν πόλει πλουσίᾳ, μήτε ἐν οἰκίᾳ, ἀρετὴν οἰκεῖν δύνασθαι.

Τὸν πλοῦτον εἶπε, τύχης ἔμετον εἶναι.

Σωκράτης εἶπε: πολλοῦ ἂν ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαρίζειν αὐτῷ συνῆν. νῦν δὲ

ἄμφω

esse potest, sed unà cum pecuniis ipse met etiam forte perit. Item diues, primū animi bona negligit, tanq̃ & sine illis fœliciter agat: deinde corpus delicijs corrūpit, & propter abundantię occasionem plenitudini assuescit, unde morbos plurimos colligit. Quinetiā laborē, quo corpus exercetur, omniū saluberrimum omittit. Est eñ huius modi exercitiū, quod tempore certo non definitur, ut palæstra & uenatio. Qui autē sua opera uictum parat, præstātior est illo, qui id per alios facit. Diuitiæ uero, etiam saluberrima corpora nactæ, ea frangunt, molliunt, ac propter sumptuosas consuetudines infirmant. Vides ut ille qui nihil non somni gratia molitur, ob hoc ipsum somnis difficilioribus utatur: naturales aūt multò faciliores sunt. Somni enim non accersuntur lectis auro & ebore ornatis, neq; tapetibus purpureis, nō deniq; fulcris & thalamis pretiosis, sed operib⁹ & laboribus iustis, & ipsa naturæ necessitate. Cæterum diuitiæ spontaneis naturæ bonis frui non sinunt, sed consuetudines proprias corrupunt, & naturales consuetudines inficiunt. Anni quoq; temporibus non sinunt uti, nec ad præsentē cœli statū se accōmodare: Sed tū æstu imbecillior fit diues, tum frigore: imò per hæc ipsa magis utriq; iniuriæ patet, quibus se tutū efficere moliebatur: assuetus autem facilius tolerat. Persistit enim in ordine uitæ, sub dio uiuere nouit, Deiq; operibus non indignatur, sed ualidè per ipsa transit. Hoc sanè modo corpora quoq; lædunt diuitiæ, reliqua uero incōmoda maiora sunt. Domesticas seditiones mouent, quarum infœlix præmium inter fratres proponitur. Liberos deteriores parentibus reddunt, propter cupiditatē opibus licentiosè utendi: item parentes proli suę molestiores faciunt. Amici per diuitias suspecti fiunt: Verus eñ propter adulatorē amittit fidem: uincit adulator imitando uerū (est aūt simile quiddam spolijs, cum semper expectentur diuitū morbi.) Et illis qui ingenio sunt liberaliore diues succenset, quod non adulentur: assentantes cōtrà suspectos habet, & rapiendi gratia adesse putat. Præterea defunctū diuitē nemo luget, ne successores quidē. gaudent enim illi propter hæreditatē: Nec alij, qui nihil acceperunt: Nam odio potius eum habent, ut qui ex tantis opibus nihil nacti sint. Porrò quod maximè diuitias cōmendare uidetur, beneficiorū collatio, non simplex est, sed uaria. Beneficium eñ pecuniariū parū liberale est, & *gratuitum in pauperē donū præ se fert: Illi uero qui sine pecunijs merā beneuolentiā exhibent, iuuantq;, liberalē beneficētiam præstāt, eaq; affectis gratam. Itē qui à diuite quid acceperit, denuò postulat: & nisi consequatur, prius quoq; beneficiū perit. Rursus q nihil accepit, diuitē incusat si dederit alijs: ac ita qui gratificatur aliquibus, plures accusatores sibi acquirit. Nō enim omnibus placet: interim uero omnes tanquā ex aceruo abundante petūt. Hæc sunt quæ in diuitijs, etiā ex illis rebus quibus ornari uidētur, culpari possunt: cætera planè intolerabilia sunt, arrogantia inquā, audacia, superbia, curæ turpes, malæ cupiditates, prauæ uoluptates, desyderiū insatiabile. Deniq; uitia plurima & infinita mala haud nascerentur ex eis, nisi ipsæ diuitiæ malæ essent. Cōmittitur cædes lucri gratia, spoliantur templa, amicitia uiolatur, fides negligitur lucro perfidiam gignente, produntur patriæ: in summa, nihil non malorum perpetratur.

Notata parenthesi non esse uidentur huius periodi: sed ad proxime sequentis finē pertinere.

* [Greek]

Suapte natura uix frenari potest cupiditas: quod si diuitiarum quoq; suppeditationem assumpserit, planè fit infrenis. *Plutarchi.*

Insatiabilitas aūt, mirāda quædā in eis est insania. Tanto eñ furore ad acquirēdas opes rapiūtur, tanq̃ illis partis nihil amplius molestū sensuri sint. Absentium amore grauissimo capiūtur, ea quæ possidēt negligētes. Nihil eñ adeò diligūt, quàm auidè sperāt. Quare dubito, an habere an expectare satius sit ipsis. Siquidē habentes non utuntur: expectantes autem, anxij sunt. Quid igitur tale bonum laudamus, cuius finis nullus, sed quod acquisitum fuerit, alia cupiendi principium fit?

Bion inquiebat diuitijs operam dantes ridiculos esse: cum eas porrigat fortuna, illiberalitas seruet, benignitas auferat.

Diogenes aiebat: neq; in ciuitate opulenta, neq; in domo, habitandi locum esse uirtuti.

Idem diuitias fortunæ uomitum appellabat.

Socratis dictū. Magni faciendæ essent diuitiæ, si lætitiam sibi coniunctā haberēt.

ἄμφω ταῦτα κεχώρισται. ἐὰν γὰρ θέλωσι χρῆσθαι τῷ πλούτῳ, τῇ ἡδυπαθείᾳ διαφθάρονται· ἐάν τε τὸ πλουτεῖν φυλάττειν, τῇ φροντίδι· ἐάν τε κτήσασθαι, τῇ ἐπιθυμίᾳ.

Ἰδίακος. Ἢ πῶς ἂν ἡ τοῦ πλούτου κτῆσις ἐπὶ δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετάς τινος ἡγήσαιτο; τὰ γὰρ ὑπηρετοῦντα πρὸς τὰ χείρω, ἐναντία πρὸς τὴν τῶν βελτίστων κτῆσιν. τὰ χρήματα δὲ, παρακαλεῖ μὲν ἐπὶ ῥαθυμίαν· ζωπυρεῖ δὲ τὰς ἡδονάς. ἐπιβουλὰς δὲ, διχῇ συντίθησι· κατὰ μὲν τῶν εὐπόρων, διὰ τῶν φθονούντων· κατὰ δὲ τῶν πενήτων, διὰ τῶν δυνατωτέρων. ἃ τοίνυν ἄλλους μὲν τοῖς κεκτημένοις ἐπιβουλεύειν ποιεῖ, τοὺς δὲ ἔχοντας ἰσχυροὺς πρὸς ἀδικίαν παρασκευάζει, πῶς ἂν εἰς δικαιοσύνην συντελέσειεν;

ΟΤΙ ΤΑ ΧΡΗΜΑΤΑ ΑΒΛΑΒΗ, ΣΥΜΜΕΤΡΩΣ καὶ δικαίως πορισθέντα· καὶ ὅτι τῶν μέσων ὁ πλοῦτος.

ΛΟΓΟΣ Ἐννενηκοστὸς Β´.

Εὐριπίδου. Ω τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος,
ὁ μικρὸς εὔκρατος, ἐγγύθεν δ' ὄγκος κακόν.
forte βίος. Κρείσσων δὲ * βίος ὄλβος ἀβλαβὴς βροτοῖς,
ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον.
Καὶ δὴ τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,
ἐφ' οἷσι μέλλει μὴ ποθ' ὕστερον στένειν.
μή μοι ποτ' εἴη χρημάτων νικωμένῳ,
κακὸν γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς.
Ἀδίκως δὲ μὴ κτῶ χρήματ' ἂν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν. τὰ γὰρ κακῶς
οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.
Ὁ δ' ὄλβος ἀδίκως καὶ μετὰ σκαιῶν συνὼν,
ἐξέπτατ' οἴκων βραχὺν ὁμιλήσας χρόνον.
Κέκτησο δ' ὀρθῶς, ἃ ἂν ἔχῃς, ἄνευ ψόγου.
καὶ σμικρὰ σώζων τοὔνεχ' ὧν σέβειν πρέπει.
μηδ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ,
ζητῶν τὰ πλείον' εἶτα πάντ' ἀπώλεσεν.
Μενάνδρου. Μακάριος ὅς τις οὐσίαν καὶ νοῦν ἔχει.
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.
οὕτω μαθεῖν δεῖ πάντα καὶ πλοῦτον φέρειν.
ἀσχημοσύνης γὰρ γίνετ' ἐνίοις αἴτιος.
Σοφοκλέους. Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
Οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί.
τὰ τῶν θεῶν δ' ἔχοντες, ἐπιμελούμεθα.
ὅταν δὲ χρῄζωσ' αὔτ' ἀφαιροῦνται πάλιν.

Σωκράτους. Ὁ μὲν οἶνος συμμεταβάλλει τοῖς ἀγγείοις· ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις.

Οὔτε τὸν ἄρρωστον ἡ χρυσῆ ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

Ἰσοκράτους. Τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθαι μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν. μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δὲ ἀναλῶσαι ζημίαν. οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν. ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελεῖ τοὺς ποιοῦντας.

Ἀριστοτέλους. Κρεῖττον πρὸς εὐδαιμονίαν ἐλάττω κεκτῆσθαι, ἢ πολλὰ μετὰ φθόνου. καὶ γὰρ καλλίων καὶ ἡδίων οὗτος ὁ βίος.

Οὐ τὸ πλουτεῖν καλὸν, ἀλλὰ τὸ ἐκ καλῶν πλουτεῖν. (λαυσιν.

Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν, μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπό-

Τίμα

Nunc autem plurimum dissident. Nam si diuites suis opibus frui uelint, præ nimia uoluptate corrumpuntur: sin custodire, curis: si uero acquirere, nimio desyderio pessum eunt.

Qua quæso ratione possessio diuitiarum quenq̃ ad iustitiã aut alias uirtutes perduxerit? Nam quæ deterioribus studijs inseruiunt, optimis acquirendis contraria sunt. Pecuniæ uero ignauiam fouent, uoluptates cient, ac insidias bifariam struunt, primum aduersus diuites inuidorum opera: deinde contra pauperes ui potentiorũ. Quæ igitur alios ad moliendum insidias ipsis possidentibus instigant, & habentes ad iniustitiam roborant, quomodo ista quicquam ad iustitiam conferrent? Hieraclis.

QVOD PECVNIAE MODERATE AC IVSTE COMPARATAE, innoxiæ sint: & diuitias ex mediorum esse numero.

SERMO XCII.

O Fili. Victus hominum qui fuerit Euripidis.
Exiguus, ac mediocris, laudandus est. Nimia uero moles, causa mali sit.
Præstat uita fruens opibus innoxijs,
Quàm domus impiè diuitijs inflata.

Huiusmodi lucra hominem comparare decet,
Propter quæ nunquam in posterum doliturus sit:
Nunquam mihi eueniat ut à pecunijs uictus
Malus euadam, neq; conuerser cum improbis.

Iniustè autem pecunias ne comparato, si uoles longo
Tempore in ædibus tuis manere. Nam quæ malè parta
Domi accumulantur, nihil salutis habent.

Diuitiæ iniustæ, & malis hominibus adiunctæ,
Postquam breui tempore usum sui præbuerunt, statim auolant domo.

Iustè possideas ea quæ habes, sine culpa.
†Nam licet exigua seruare & colere par est. †Versus in Græco obscurus est.
Neq; ut malus nauclerus agas, qui aliquando fœlicem expertus fortunam,
Deinde plura desyderans, cuncta simul amisit.

Fœlix qui simul opes ac mentem habet. Menandri.
Hic enim opibus, ubi conuenit, rectè utitur.
Sic discenda sunt omnia, & * diuitiæ ferendæ. *Id est, ut diuitias bene feras, & administres.
Nonnullis enim causa fiunt indecentium facinorum.

Pecuniæ hominibus amicos conciliant. Sophoclis.

Pecunias non proprias homines possident,
Sed res deorum habentes, eas procuramus:
Et cum opus illis habuerint, iterum nobis auferunt.

Vinũ immutatur cũ uasis: diuitiæ uero pro moribus possidentiũ uariant. Socratis.

Vt ægrotum lectus aureus nihil iuuat, sic neq; stolidum insignis fœlicitas fortunæ.

Pecuniarum collectiones præter ius quæsitas existimato non diuitias, sed pericula allaturas esse. Ne putetis accipere lucrum esse: insumere damnum. Neutrum enim istorũ eiusdem effectus perpetuo est: sed utrumlibet suo tempore & cum uirtute factum fuerit, id facientes adiuuat. Isocratis.

Melius est ad fœlicitatem pauciora possidere, quàm multa cum inuidia. Nam ista uita laudabilior & suauior est. Aristotelis.

Diuitem esse non honestum est, sed ex honestis diuitem esse.

Diligas opum tuarum non abundantẽ possessionẽ, sed moderatum usum.

Τίμα τὴν ὑπάρχουσαν οὐσίαν, δυοῖν ἕνεκεν, τοῦ τε ζημίαν μεγάλην ῥᾳδίως ἐκτίσαι, καὶ τοῦ φιλοσπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. πρὸς δὲ τὸν ἄδηλον βίον, μηδὲν ὑπερβάλλοντος, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

Πλάτωνος. Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον, πῶς οἴεται κακὸν εἶναι τὸ πλουτεῖν, καὶ ὅπως ἀγαθόν. ὁ δ' ὑπολαβὼν, ὥσπερ καὶ σύ, νῦν δή ἔφη, τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων, ἀγαθόν. καὶ τοῖς ἐπισταμένοις ὅπου δεῖ χρῆσθαι τοῖς χρήμασι, τούτοις μὲν, ἀγαθόν. τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι, κακόν. ἔχει δ' ἔφη καὶ τἄλλα πράγματα οὕτω πάντα. ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. καλῶς δ' ἔφη δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι. καὶ φρονοῦσι † τοι ἄοικοι, οἷς ἐγκυρέωσιν * ἔργμασιν.

al. τοῖα, ὁκοίοισ. * al. ἐργμασι.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρώτου τῶν πολιτειῶν. Τούτου ἕνεκα ἠρόμην, ἦν δ' ἐγώ, ὅτι μοι ἔδοξας οὐ σφόδρα ἀγαπᾶν τὰ χρήματα. τοῦτο δὲ ποιοῦσιν ὡς τὸ πολὺ, οἳ ἂν μὴ αὐτοὶ κτήσωνται. οἱ δὲ κτησάμενοι, διπλῇ ἢ οἱ ἄλλοι ἀσπάζονται αὐτά. ὥσπερ γὰρ οἱ ποιηταὶ τὰ αὑτῶν ποιήματα, καὶ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσι, ταύτῃ δὴ καὶ οἱ χρηματισάμενοι τὰ χρήματα σπουδάζουσι, ὡς ἔργον ἑαυτῶν, καὶ κατὰ τὴν χρείαν, ᾗπερ οἱ ἄλλοι. χαλεποὶ οὖν καὶ συγγενέσθαι εἰσὶν, οὐδὲν ἐθέλοντες ἐπαινεῖν ἄλλο, ἢ τὸν πλοῦτον. ἀληθῆ ἔφη λέγεις. πάνυ μὲν οὖν, ἦν δ' ἐγώ. ἀλλά μοι ἔτι τοσόνδε εἰπέ. τί μέγιστον οἴει ἀγαθὸν ἀπολελαυκέναι τοῦ πολλὴν οὐσίαν κεκτῆσθαι; ὃ ἢ δ' ὅς, ἴσως οὐκ ἂν ἄλλους καὶ πολλοὺς πείσαιμι λέγων. εὖ γὰρ ἴσθι ἔφη ὦ Σώκρατες, ὅτι ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς, περὶ ὧν ἐν τῷ πρόσθεν οὐκ εἰσῄει. οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τῶν ἐν Ἅιδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν, μὴ ἀληθεῖς ὦσι. καὶ αὐτὸς, ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας, ἢ καὶ ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ, μᾶλλόν τι καθορᾷ αὐτά. ὑποψίας οὖν καὶ δείματος μεστὸς γίγνεται, καὶ ἀναλογίζεται ἤδη καὶ σκοπεῖ, εἴ τινά τι ἠδίκηκεν. ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα, καὶ ἐκ τῶν ὕπνων ὥσπερ οἱ παῖδες θαμὰ ἐγειρόμενος, δειμαίνει, καὶ ζῇ μετὰ κακῆς ἐλπίδος. τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι, ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι, καὶ ἀγαθὴ γηροτρόφος, ὥσπερ καὶ Πίνδαρος λέγει. χαριέντως γάρ τοι ὦ Σώκρατες τοῦτ' ἐκεῖνος εἶπεν, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγῃ, γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος ξυναορεῖ ἐλπὶς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ. εὖ οὖν λέγει, θαυμαστῶς ὡς σφόδρα. πρὸς δὴ τοῦτ' ἔγωγε τίθημι, τὴν τῶν χρημάτων κτῆσιν πλείστου ἀξίαν εἶναι, οὔτι τῷ παντὶ ἀνδρὶ, ἀλλὰ τῷ ἐπιεικεῖ. τὸ γὰρ μηδὲ ἄκοντά τινα ἐξαπατῆσαι, ἢ ψεύσασθαι, μηδ' αὖ ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς ἢ ἀνθρώπῳ χρήματα, ἔπειτα ἐκεῖσε ἀπιέναι δεδιότα, μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. ἔχει δὲ καὶ ἄλλας χρείας πολλάς. ἀλλά γε ἓν ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς τοῦτο, ἀνδρὶ νοῦν ἔχοντι ὦ Σώκρατες, πλοῦτον χρησιμώτατον εἶναι. παγκάλως ἦν δ' ἐγὼ λέγεις ὦ Κέφαλε.

Μουσωνίου. Τῶν μὲν Κροίσου καὶ Κύρου θησαυρῶν, πενίαν ἐσχάτην καταψηφισάμεθα: ἕνα δὲ καὶ μόνον πιστεύομεν εἶναι πλούσιον, καὶ σοφὸν, τὸν δυνάμενον κτήσασθαι τὸ ἀνενδεὲς πανταχοῦ.

Δημοκρ. Χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελές: ξὺν ἀνοίῃ δὲ, χορηγίη ξυνή.

Χρήματα πορίζειν μὲν, οὐκ ἀχρεῖον: ἐξ ἀδικίης δὲ, πάντων κάκιον.

Πυθαγόρ. Οὔτε ἵππον χωρὶς χαλινοῦ, οὔτε πλοῦτον δίχα φρονήσεως δυνατὸν κρατεῖσθαι.

Πλάτων ἐρωτηθεὶς πόσην δεῖ οὐσίαν ἔχειν, εἶπεν: ὅσην ἔχων, οὔτ' ἐπιβουλευθήσῃ, οὔτε τῶν ἀναγκαίων ἀπορήσεις.

Κλεάνθης ἐρωτώμενος, πῶς ἄν τις εἴη πλούσιος, εἶπεν: εἰ τῶν ἐπιθυμιῶν εἴη πένης.

Φαβωρίνου. Οὐδεὶς γοῦν οὕτω πλουτεῖ, ὅστις οὐκ ἐλάττω ἔχει, ὧν βούλεται. τὸν δὲ εὐθυμεῖσθαι θέλοντα, χρὴ ἐν μὲν τοῖς ἀγαθοῖς, ἀφορᾶν εἰς τοὺς ἐλάττω ἀγαθὰ κεκτημένους: ἐν δὲ τοῖς κακοῖς, εἰς τοὺς μᾶλλον δυστυχοῦντας. ἐὰν δ' ἔγε ἢ ἐν τοῖς ἀγαθοῖς εἰς τὸ ὑπερέχον: ἢ ἐν τοῖς κακοῖς εἰς τὸ ἐνδεέστερον ἀποβλέπῃς, ἀεὶ λυπήσῃ. ἔστι δὲ λύπη, ἀνία ἐπὶ τοῖς οἰκείοις κακοῖς.

Ἀρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐκταῖον, ἢ πλοῦτον ἀνοήτοις σφαλερόν. ὑπὸ γὰρ χρημάτων, αὔξεται κακία. καὶ ὅσῳ τις ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτῷ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων.

Οὐχ

Opes tuas duplici nomine colito: nēpe ut à magna iactura facile te expedias, & ut bono ac studioso hoi infortuniū patiēti succurras. Quod aūt uitā incertā attinet, nō nimis, sed mediocriter opes dilige. Præsentibus qdem acquiesce, inqre aūt meliora.

Adolescēs enim ipsum interrogabat quomodo diuitias malū esse putaret, & quo modo bonū. Tum ille respondit: Nō secus q̄ tu nūc honestis quidē bonisq; homini bus bonas esse iudicas: Itē scientibus quo loco pecunijs utendū sit, ijs cōmodas esse: improbis uero & imperitis, malas. Quinetiam, dixit, omnes aliæ res similiter se habent. Nam quales fuerint ipsi utētes, tales etiam res eis euadere necessum est. Rectè autem, dixit, etiam hæc Archilochi sententia mihi habere uidetur: *Platonis in Eryxia, aut de diuitijs.*

Talia sapiunt, quales res fuerint, & opera quibus utuntur.

Hæc ideò interrogaui inquam, quia mihi uidebaris parum diuitias mirari, quod plurimum ij faciunt, qui sibi eas non peperere: qui autē illas parauerunt, duplò magis, quàm alij amant. Vti enim & poëtæ poëmata sua, & filios patres diligūt, ita qui acquisiuere pecunias, illis student ceu operi suo, non ad usum necessitatemq; ut alij ex quo difficilis eorū est familiaritas, cum nihil quàm diuitias laudēt. Vera, inquit, narras. Omnino, inquā ego: sed hoc etiam mihi dic: Quid boni maximè ex diuitijs te putas consequutum? Quod, inquit, nō multis fortè persuaderem si dixerim. Certò scias ô Socrates, quod postquam eò quis deuenit, ut breui iam moriturum se opinetur, incidit in eum timor, & cura quædam eorum quæ in superiori uita neglexit. Fabulæ enim quæ de inferis dicuntur, quomodo eos qui iniustè egerunt, pœnas dare oporteat, irrisæ hactenus, mouent tunc animum, ne fortè ueræ sint suspicantem: atq; ipse siue propter senectutis debilitatem, siue quod alteri uitæ propinquior illa acutius inspicit, solicitus & anxius redditur, atq; reputat examinatq;, si quem iniuria affecerit. Qui ergò inuenerit multas suæ uitæ iniquitates, ex ipso somno, tanquā pueri, frequenter excitus extimescit, & pessima in spe uiuit: nullius aūt iniuriæ sibi conscio iucunda spes semper adest, optima senectutis nutrix, ut Pindarus ait. Scitè enim ille sic cecinit: Quicunq; iustè sanctèq; uitam exigit, dulcis eum spes comitatur cor nutriens, senectamq; fouens, quæ maximè hominum uolubilem gubernat animum. Bene igitur & apprimè mirandum dicit. Ad hæc ego existimo pecuniæ possessionem, plurimi faciendam, nō cuiuis homini, sed modesto & æquo. Plurimum ad id confert pecuniarum possessio, ut quis illuc intrepidus proficiscatur, cū neq; inuitum quempiam circūuenerit, neq; mentitus fuerit, neq; debeat uel uotas Deo uictimas, uel pecunias homini. Habet & utilitates alias permultas. Sed si unū uni cōferat ô Socrates, nō minimū ego ponerē ad hoc hoi prudēti, imò plurimū cōferre pecūias. *Platonis lib. 1. de Republica.*

Crœsi quidem et Cyri thesauros extremę paupertatis damnabimus: unum uero & solum credimus esse diuitem, ac sapientem, qui habitum nulla re indigentē ubiq; sibi comparare potuerit. *Musonij.*

Pecuniarum usus cum prudentia, utilis est ad exercendum liberalitatem, & populum adiuuandum: cum stultitia uero, communis largitio fit. *Democriti.*

Pecunias comparare, non inutile: iniustè autem id facere, multò pessimum est.

Nec equum sine freno, neq; diuitias sine prudentia gubernare licet. *Pythagoræ.*

Plato interrogatus quantas opes habere conueniret, dixit: Quantæ possidenti neque insidias pariunt, neq; rerum necessariarum inopiam.

Cleanthes quærenti quomodo quis diues euadere posset, respondit: si cupiditatum fuerit inops.

Nemo sanè adeò diues est, qui nō pauciora habeat quàm desyderet. At illum qui animo futurus est tranquillo & bene composito, oportet in læta fortuna alios respicere, qui pauciora bona possident: in sinistra autem, infœliciores. Si uero in prospera fortuna, meliorem: aut in aduersa, minus malam spectaueris, perpetua tristitia laborabis. Est autem tristitia, dolor propter mala propria. *Phauorini.*

Virtus omnibus optanda potius est, quàm diuitiæ, quæ stolidis periculosæ sunt. Malitia nāq; pecunijs augetur: Et quo quis stultior fuerit, eò procliuior ad luxuriā, contumeliamq; fit, ut qui habeat unde uoluptatum suarum rabiem explere possit.

Ἀριστίππου. Οὐχ ὥσπερ ὑπόδημα τὸ μεῖζον δύσχρηστον, οὕτω καὶ ἡ πλείων κτῆσις. τοῦ μὲν γὰρ ἐν τῇ χρήσει τὸ περιττὸν ἐμποδίζει· τῇ δὲ, καὶ ὅλῃ χρῆσθαι κατὰ καιρὸν ἔξεστι καὶ μέρει.

Σωκράτους. Ἱδρὼς μὲν ὁ ἐκ γυμνασίων, εὐσχημονέστερος· πλοῦτος δὲ ἐκ τῶν ἰδίων πόνων.

Τὸν πλοῦτον ὥσπερ φίλον ἐκτενῆ καὶ ἀπροφάσιστον, εἰς τὰς καλὰς δεῖ παραλαμβάνειν πράξεις.

ΠΕΝΙΑΣ ΕΠΑΙΝΟΣ, ΛΟΓΟΣ Ἐνενηκοστός γ'.

Ἀντιφάνους. Ἅπανθ' ὁ λιμὸς * γλυκέα πλὴν αὑτοῦ ποιεῖ.
al. ἰδία. Πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.
Μενάνδρου. Τὸ κουφότατόν σε τῶν κακῶν πάντων λέγω,
πενίαν. τί γὰρ τοῦτ' ἐστιν, ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας, ἰατρὸς ῥᾳδίως;
Διφίλου. Πένητος ἀνδρὸς, οὐδέν ἐστ' εὐτυχέστερον,
τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.
Μενάνδρου. Ἀεὶ νομίζονθ' οἱ πένητες τῶν θεῶν.
ἐπεί τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς σώφροσι.
Πολυίδου. Πλουτεῖς; τὰ δ' ἄλλα μὴ δοκεῖς ξυνιέναι,
ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις.
πενία δὲ σοφίαν ἔλαχε, διὰ τὸ δυστυχές.
Ἀλέξιδος. Τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει.
ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα.
τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.

Ἀπολλωνίου. Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν· ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι, ὄνειδος.

Αἰλιανοῦ ἐκ τῆς συμμίκτου ἱστορίας. Πενέστατοι ἐγένοντο, οἱ ἄριστοι τῶν Ἑλλήνων· Ἀριστείδης ὁ Νικομάχου, καὶ Φωκίων ὁ Φώκου, καὶ Ἐπαμινώνδας ὁ Πολύμνιδος, καὶ Πελοπίδας ὁ Θηβαῖος, καὶ Λάμαχος ὁ Ἀθηναῖος, καὶ Σωκράτης ὁ Σωφρονίσκου, καὶ Ἐφιάλτης ὁ Σοφωνίδου.

Διογένης τὴν πενίαν αὐτοδίδακτον ἔφη εἶναι ἐπιχείρημα πρὸς φιλοσοφίαν. ἃ γὰρ ἐκείνη πείθει τοῖς λόγοις πειρᾶσθαι, ταῦτ' ἐν ἔργοις τὴν πενίαν ἀναγκάζειν.

Διογένης, ὀνειδίσαντος αὐτῷ τινος πενίαν μοχθηροῦ, ἔφη· διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμενον εἶδον· διὰ δὲ κακίαν, πολλούς.

Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου.

Diuersam lectionem uide in Epicteti ench. cap. 48. Μέτρον κτήσεως, τὸ σῶμα ἑκάστῳ ὡς ὁ πούς ὑποδήματος. ἐὰν μὲν οὖν ἐπὶ τούτου στῇς, ἕξεις τὸ μέτρον καὶ τὴν ὑπερβάθραν. ἐὰν δὲ ὑπερβῇς, ἀφήκας ὡς κατὰ κρημνοῦ σεαυτόν. οὕτω γίνεσθαι κατὰ χρυσοῦν ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν. ὑπερβᾶσι γὰρ τὴν χρείαν τοῦ ποδός. τὸ αὐτὸ καὶ ἐπὶ τῆς κτήσεως, ἐὰν ὑπερβῇ σῶμα, ὅρος οὐδείς ἐστι.

Φαβωρίνου. Πενίας διττὸν εἶδος· ἢ γὰρ διὰ τὴν γνώμην ἄνθρωποι πένονται, ἢ διὰ τὴν τύχην. ἀλλὰ τὴν μὲν τύχην, ἔστι θεραπεῦσαι, καὶ δόσει, καὶ εὑρέσει, καὶ ἐργασίᾳ, καὶ αὐταρκείᾳ· τὴν δὲ γνώμην, οὐκ ἔστιν. οὐ γὰρ ὁμοίων δέονται οὗτός τε κἀκεῖνος· ἀλλ' ὁ μὲν περιέρχεται αἰτίζων ἀκόλους· ὁ δὲ, οὐκ ἀκόλους, οὐδὲ ψωμόν.

Πλουτάρχου. Ἀρχύτας ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν, τοῦτον ἐπήνεγκε τὸν στίχον.
χρειὼ πάντ' ἐδίδαξε. τί δ' οὐ χρειώ κεν ἀνεύροι; καὶ τοῦτο,
ὀρθοῦσι καὶ μᾶλλον ἐπωδίνουσι μέριμναι.

Οὐδέποτε λιμὸς ἐγέννησε μοιχείαν. οὐδέποτε ἀχρεία χρημάτων, ἀσωτίαν. βραχεῖα τίς ἐστι σωφροσύνη τὸ πενιτεύειν· ὀλίγη τις εὐνομία, τὸ ἀχρεῖσθαι.

Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ κουροτρόφον· ἐθίζουσαν συνεῖναι λιτότητι, καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον.

Non quemadmodum calceus maior ineptus est ad usum, ita & possessio copiosior. Calcei enim magnitudo superflua utentem impedit: opibus autem uel uniuersis uel ex parte aliqua suo tempore uti licet. *Aristippi.*

Sudor prouocatus exercitijs, decentior est: sic etiam diuitiæ proprijs laboribus acquisitæ. *Socratis.*

Diuitias, ueluti amicum liberalem ac promptum, ad honestas actiones assumere oportet.

PAVPERTATIS LAVS, SERMO XCIII.

Fames omnia reddit dulcia præter seipsam. *Antiphanis, al. Menandri.*

Paupertas enim magistra morum est.

Res leuissima omnium malorum te cruciat

Paupertas. Quid enim ea mali esset, cui uel unus

Amicus opem ferens, facile mederetur?

Homine paupere nihil fortunatius est. *Diphili.*

Mutationem enim in deteriorem statum non expectat.

Pauperes semper existimantur deorum esse, *Menandri.*

Nam homines frugi moderatis & necessarijs rebus contenti sunt.

Diues quidem es: cætera uero non intelligere uideris. *Polyidæ.*

Inest enim diuitijs aliquid uitij.

Paupertas autem sortita est sapientiam, propter infortunia.

Diuitias inter postrema bona collocato. *Alexidis.*

Nulla enim possessio inconstantior est.

Reliqua uero ut par est cum habentibus perseuerant.

Paupertas secundum naturam, non turpis est: illa uero, quæ propter turpem causam accidit, infamiam inurit. *Apollolyci.*

Pauperrimi fuerunt optimi Græcorum: Aristides Nicomachi filius, Phocion Phoci, Epaminundas Polymodis, Pelopidas Thebanus, Lamachus Atheniensis, Socrates Sophronisci filius, & Ephialtes Sophonidæ. *Aeliani ex uaria historia.*

Diogenes paupertatem dicebat subsidium esse ad philosophiam sponte doctum. Nã quæ philosophia uerbis psuadere conatur, ea paupertatẽ in ipsis rebus cogere.

Diogenes cum improbus quidam paupertatẽ ei exprobraret, dixit: Propter paupertatem nullum unquam torqueri uidi: propter malitiam uero, plures.

Ex Epicteti enchiridio. cap. 48. (Vertimus iuxta Arriani exemplar.)

Modus possessionis unicuiq; corpus est, uelut pes calcei. Si in hoc ergo consistas, modum seruabis: si excedas, in præceps feraris necesse est: uelut in calceo, si supra pedem extẽdas, fit aureus calceus, deinde purpureus, deinde punctatus. Nullus enim terminus est ubi modum semel excesseris.

Paupertatis genera duo sunt: aut enim animi, aut fortunæ culpa, homines fiunt pauperes. Sed fortunæ quidem mederi licet dando, inueniendo, operando, & ipsa frugalitate: Animo autem non ita. Non enim eisdem rebus utriq; indigent: sed alter circumit panis frusta petens: alter non offas neq; buccellas panis petit. * *Phauorini.* **Videtur aliquid deesse*

Archytas cum Eratosthenis Mercurium legisset, hunc uersum protulit: *Plutarchi.*
Necessitas omnia docuit: quid enim illa non inueniret? Et illud:
Curæ emendant, & plura parturiunt.

Fames nunquam produxit adulterium: neq; pecuniarum inopia luxuriam. Breuis quædam est temperantia, paupertas: & compendiosa legũ obseruatio, penuria.

Arcesilaus paupertatem aiebat asperam quidem esse, quemadmodum & Ithacam, sed bonam prolis nutricem, ut quæ assuefaciat frugalitati & abstinentiæ, & in uniuersum efficax uirtutis gymnasium sit.

Διογένης τὴν πενίαν ἔλεγεν αὐτοδίδακτον εἶναι ἀρετήν.

Ὑψαίου. Θρασύπολι τὸ φοβεῖσθαι, καὶ οὐ φοβεῖσθαι πενίαν.

Τέλητος. addo μᾶλλον. Ἡ πενία κωλύει πρὸς τὸ φιλοσοφεῖν· ὁ δὲ πλοῦτος εἰς ταῦτα χρήσιμον. οὐκ εὖ. πόσους γὰρ οἴει δι' εὐπορίαν * ἢ δι' ἔνδειαν κεκωλῦσθαι σχολάζειν; ἢ οὐχ ὁρᾷς ὅτι ὡς ἐπὶ τὸ πολὺ οἱ πτωχότατοι φιλοσοφοῦσιν; οἱ δὲ πλούσιοι διὰ ταῦτ' αὐτά, ἐν πάσῃ ἀσχολίᾳ εἰσίν; οὐ κακῶς δὲ καὶ Θέογνις λέγει.

πολλῷ τοι πλέονας λιμοῦ, κόρος ὤλεσεν ἄνδρας.

Ἐπεὶ ποῦ ἂν δείξειας δι' ἔνδειαν κεκωλυμένους φιλοσοφεῖν, ὥσπερ διὰ πλοῦτον; ἢ οὐχ ὁρᾷς ὅτι διὰ μὲν ἔνδειαν καρτερεῖν βιάζονται, διὰ δὲ πλοῦτον τὰ ἐναντία; ὅταν γάρ οἶμαι τῶν ἀνθρώπων προσγένηται δυνάμεως πορίζεσθαι ὧν ἂν ἐπιθυμῇ, οὐκέτι οὗτος πρὸς τὸ πονεῖν ἄξει τῶν ἐπιτηδείων· ἀλλ' ἔχων συνεργὸν τὸν πλοῦτον τῇ αὐτοῦ κακίᾳ, οὐδεμιᾶς ἡδονῆς ἀπέχεται. ἢ πάλιν οὐχ ὁρᾷς, διότι οἱ μὲν πλούσιοι πλείω πράττοντες, κωλύονται τοῦ σχολάζειν· ὁ δὲ πένης οὐκ ἔχων τί πράττῃ, πρὸς τὸ φιλοσοφεῖν γίνεται. Ζήνων ἔφη Κράτητα ἀναγινώσκειν ἐν σκυτίῳ καθήμενον τὸν Ἀριστοτέλους προτρεπτικόν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα λέγων, ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι. πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν, ὥστε δαπανᾶν εἰς ταῦτα· ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ. ἀναγινώσκοντος δὲ αὐτοῦ, τὸν σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα, καὶ τὸν Κράτητα εἰπεῖν. ἐγώ μοι δοκῶ ὦ Φιλίσκε γράφειν εἰς σὲ προτρεπτικόν. πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι, ὧν ἔγραψεν Ἀριστοτέλης.

malim αὐτὰ. ἢ πάλιν, οἰκέται μὲν οἱ τυχόντες * αὐτοὺς τρέφουσι, καὶ μισθὸν τελοῦσι τοῖς κυρίοις· ἐλεύθερος δὲ ἀνὴρ αὑτὸν τρέφειν οὐ δυνήσεται; ἐπεὶ καὶ τῶν τοιούτων φροντίδων μοι δοκεῖ † ὁ ἄσιος λελυμένος, πολὺ δυσχολώτερος εἶναι τῶν μηδὲν ὑπάρχειν *. οἷον δή που ἐν τῷ νῦν πολέμῳ, περὶ οὐδενὸς φροντίζει, ἢ περὶ αὑτοῦ· ὁ δὲ πλούσιος, καὶ περὶ ἑτέρων.

Ἄσιος forte nomen propriũ alicuius pauperis. * addo αὐτοῖς. οὐ κακῶς οὖν οὐδὲ Σοφοκλῆς πεποίηκε λέγοντα τὸν Οἰδίπουν.

τὸ μὲν γὰρ ὑμῶν ἄλγος, εἰς ἕν' ἔρχεται.

ἐγὼ δὲ ἐμαυτὸν, καὶ πόλιν, καὶ σὲ στένω.

ἀλλ' ὅμως ταῦθ' ὁρῶντες γινόμενα, οὐδὲν ἧττον κακοδαιμονεῖν οἴονται, κἂν πένητες ὦσι. φασὶ δὲ καὶ ἐν ταῖς πόλεσιν ἐντιμοτέρους εἶναι μᾶλλον τοὺς πλουσίους τῶν πενήτων. οἱ τοιοῦτοι δέ μοι δοκοῦσιν οὐκ ἀκούειν, διότι Ἀριστείδης πτωχότατος ὢν πάντων Ἀθηναίων ἐντιμότερος ἦν, καὶ ὅτι τοὺς φόρους ταῖς πόλεσιν ἤθελον τάξαι Ἀθηναῖοι, ἐκεῖνον κατέστησαν, οὐδένα οἰόμενοι * δι-

malim δικαιότερον τάξαι. καιότατ' ἂν τάξαι. καὶ ὅτι Καλλίας πλουσιώτατος ὢν Ἀθηναίων, μᾶλλον προσεποιεῖτο Ἀριστείδου οἰκεῖος εἶναι, ἢ Ἀριστείδης Καλλίου. καὶ πολὺ μᾶλλον, ἐγκώμιον Ἀριστείδης ἦν τῷ πλούτῳ Καλλίου, ἢ Καλλίας ἦν τῇ Ἀριστείδου πενίᾳ. ἢ πάλιν Λυσάνδρου τοῦ Σπαρτιάτου, τίς ἐντιμότερος γέγονεν, ἢ τιμῶν πλειόνων ἠξιώθη; καὶ οὗτος τὰς θυγατέρας οὐκ ἐδύνατο

Aliquid deesse uidetur. lego igitur μετὰ προικὸς ἐκδιδόναι. προῖκα * ἄλλους δὲ ὁπόσους θέλῃς ἄν τις εἴποι, οἳ πένητες ὄντες, ἐν μείζονι τιμῇ ἐγένοντο τῶν πλουσίων. οὐκ ἀπὸ τρόπου δέ μοι δοκεῖ οὐδ' ὁ Εὐριπίδης ἐγκωμιάζων λέγειν τὸν Ἐτεοκλέα, διότι νεανίας μὲν ἐνδεὴς ἦν,

πλείστας δὲ τιμὰς ἔσχεν Ἀργείων πόλει.

Ξενοφῶντος ἐκ τοῦ συμποσίου. Τί γὰρ σὺ ἔφη ὦ Χαρμίδη, ἐπὶ τίνι μέγα φρονεῖς; ἐγὼ αὖ, ἔφη, ἐπὶ πενίᾳ μέγα φρονῶ. νὴ δί' ἔφη ὁ Σωκράτης, ἐπ' εὐχαρίστῳ γε πράγματι. τοῦτο γὰρ δὴ ἥκιστα μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον, καὶ ἀφύλακτον ὂν σώζεται· καὶ ἀμελούμενον, ἰσχυρότερον γίνεται.

ΠΕΝΙΑΣ ΨΟΓΟΣ, ΛΟΓΟΣ Ενενηκοστὸς δ'.

Εὐριπίδου.

ὍΣτις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων,
βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστίν, ἐν δ' ἀλγύνεται,
φρονῶν δ' ὑπ' αἰδοῦς ἔργ' ἀπωθεῖται χερῶν.

Πενία διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.

οὐ γὰρ

Diogenes paupertatem inquiebat uirtutem esse per se doctam.

Animæ timiditati medere, & non metues paupertatem. *Hypsel.*

Paupertatem philosophiæ impedimento esse: diuitias aũt ad eã promouere non recte dicitur. Quot em̃ putas propter abundantiã potius quàm inopiam prohiberi à literarum studio? An nõ uides pauperrimos ut plurimũ philosophari? Diuites uero propter pecunias magnis occupationibus detinentur. Quamobrem non ineptè Theognis: Multò sanè plures uiri satietate quàm fame perierunt. *Teletis.*

Vbi enim demonstraueris aliquos, quibus propter inopiã philosophari nõ licuerit, ut propter diuitias? Nõne uides quod à paupertate ad temperantiã, à diuitijs aũt ad cõtraria cogantur homines? Nimirum em̃ is cui licet statim quę libet assequi, nõ amplius quicq̃ laborare aut inquirere solet: sed opera diuitiarũ utens ad suã malitiã nulla uoluptate abstinet. Hoc etiã nõ uides, q̃d multis negocijs occupati diuites, studijs sapiẽtię uacare nequeãt: paup uero nihil habẽs q̃d agat, ad philosophiã se cõuertit? Zenon ait Cratetẽ in sutrina sedentẽ Aristotelis orationẽ hortatoriã legisse, quã ille scripsit ad Themisonem Cypriorũ regem, inquiens nemini tot cõmoditates ad philosophandum obtigisse. Nam opes eum habere plurimas unde sumptus facere possit ad excolendum ingenium, & gloria celebrem esse. Hæc eo legente sutorem auscultasse calceos interim suendo: tum Cratetem dixisse: Operæpretium facturus mihi uideor Philisce, si ad te sermonẽ hortatoriũ scripsero. Quoniã plus cõmoditatum tibi ad philosophandũ esse uideo, quàm Themisoni Aristoteles obtigisse scripserit. An uero quilibet serui sese alunt, ac dominis mercedẽ pendunt: liber autẽ homo seipsum alere non poterit? Quinetiam uarijs curis pauper solutus, longè plus ocij habere uidetur cum nihil possideat, agendúmue habeat. Veluti in hoc bello, Asius pauper nullius quàm sui tantum curam gerit: diues aũt pro alijs quoq; solicitus est. Quamobrem Sophocles non ineptè Oedipum ita loquentem fecit:

Vester quidem dolor in unum colligitur:
At ego meipsum, & ciuitatem, & te quoq; lugeo.

Plæriq; tamen licet uidentes quomodo hæc fiant, nihilominus se infœlices reputãt paupertatis ergò. Et in ciuitatibus diuites magis quàm pauperes honorari dicunt. Verum illi ignorare mihi uidentur, quod Aristides fortuna pauperrimus, omnium Atheniensium honoratissimus fuerit: quare cũ Athenienses tributa ciuitatibus constituere uellent, illũ huic negocio præfecerunt, neminem ipso iustius constituturum arbitrati: Et quod Callias cum ditissimus esset Atheniensium, magis operam dederit Aristidis amicitiæ, quàm Aristides Calliæ: ac multò magis Aristidem Calliæ diuitiarum puduerit, quàm Aristidis penuriæ Calliam. Cæterũ Lysandro Spartano fuitne quisquam honoratior, aut omni honorum genere cumulatius affectus? At idem hic non habuit unde filiabus suis dotem largiretur. Permultos alios afferre possem, qui in paupertate diuitibus honoratiores fuerunt. Atqui & Euripides non temere mihi uidetur Eteoclem commendando dicere, quod iuuenis fuerit egenus, plurimis autem honoribus in Argiuorum urbe affectus.

Tu uero ô Charmides, qua de re potissimum gloriaris? Ego, inquit, ob paupertatem mihi placeo. Per Iouem, Socrates ait, ob rem gratiosam. Est enim paupertas minimè inuidiosa, & de acquirenda ea minimè certatur: sed licet incustodita seruatur, & neglecta augetur. *Xenophontis in conuiuio.*

PAVPERTATIS VITVPERIVM, SERMO XCIIII.

Euripidis.

QVicunq; splendidam & generosam originem habens
Indiget uictu, is genere quidem fœlix est,
Paupertate uero inferior, propter quam dolet,
Et præ animi pudore manuum opera detrectat.

Paupertas mala docet hominem ui necessitatis.

οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν δυνάμεθ᾽.
ἔτι γὰρ θάλλει πενία, κακὸν ἔχθιστον, φεύγει δ᾽ ὄλβος.

lego ἐν ἴσα. * Οὐκέτι πενίας ἱερὸν αἴσχιστος θεῶν.
μισῶ γὰρ ὄντως, οἳ πένητι φρονοῦσι μὲν,
φρονοῦσι δ᾽ οὐδενὸς τι χρημάτων ὕπερ.

Εὐκαταφρόνητόν ἐστι γοργία πένης,
κἂν πάνυ λέγῃ δίκαια. τοῦτον γὰρ λέγειν
ἕνεκα μόνου νομίζεθ᾽ οὗτος τοῦ λαβεῖν.
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον
ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ.

Φιλήμονος. Ὅστις πένης ὢν * ζῆν παρὸ ζῆν βούλεται.

lego ζῆν, παραζῶν βίον. Η γὰρ ἀπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.

Ερημος ἐστ᾽ ἄνθρωπος ἀπορούμενος.

Διφίλου. Πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
ἀξόλην ἀνεῖλε, καὶ κατέστρεψε βίον.

Σοφοκλέους. Πενία δὲ τοῖς ἔχουσιν, οὐ σμικρὰ νόσος.
πενίας οὐδεὶς ἐστὶ μείζων πόλεμος.

Μενάνδρου. Πρὸς ἅπαντα δειλὸν ὁ πένης ἐστὶ γάρ.
καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει.
ὁ γὰρ μετρίως πράττων, περισκελέστερον
ἅπαντα τ᾽ ἀνιαρὰ λαμπρεία φέρει.

Καλλιμάχου. Ἀεὶ τοῖς μικροῖς, μικρὰ διδοῦσι θεοί.

Κράντωνος. Οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον

al. Κράτωνος. ἐν τῷ βίῳ σύμπτωμα. καὶ γὰρ ἂν φύσει
al. κατάγελαστος ἔσῃ. σπουδαῖος ᾖς, πένης δὲ, * καταγέλαστος εἶ.

Θεόγνιδος. Α δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις,
σῶμα καταισχύνεις, καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ᾽ οὐκ ἐθέλοντα βίῃ κακὰ πολλὰ διδάσκεις,
ἐσθλὰ μετ᾽ ἀνθρώπων καὶ καλ᾽ ἐπιστάμενον.

al. καί. * πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν,
οὔθ᾽ ἔρξαι δύναται· γλῶσσα δέ οἱ δέδεται.

Τοῦ αὐτοῦ. Μή ποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ * χαλεφθεὶς,

al. χολωθείς. μηδὲ ἀχρημοσύνην κύρνε κακὴν πρόφερε.

al. ζεὺς. Ζεὺς μὲν γὰρ τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε * ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

al. χρὴ δὲ ὁμῶς ἐπὶ γῆν τε. * χρὴ δ᾽ ἀεὶ κατὰ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζεσθαι χαλεπῆς κύρνε λύσιν πενίης.

Τοῦ αὐτοῦ. Χρὴ πενίην φεύγοντα, καὶ ἐς μεγακήτεα πόντον
ῥιπτεῖν, καὶ πετρῶν κύρνε κατ᾽ ἠλιβάτων.

Αλκαίου. Αργαλέον πενία, κακὸν ἄσχετον, ἃ μέγαν
δάμνησι λαὸν ἀμηχανίᾳ σὺν ἀδελφεᾷ.

Ησιόδου. Μηδέ ποτ᾽ οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ᾽ ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.

Αριστοφάνους. Σαφὴς ὁ χειμών ἐστι. τῆς πενίας ὁ λύχνος,
ἅπαντα φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ.

Μενάνδρου. Ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται,
ἀθυμότερον ἑαυτὸν ἐπιθυμεῖ ποιεῖν.
ὅταν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν

δυνά-

Non enim superare possumus fluctuum altitudinem.
Nam uiget adhuc paupertas, malum nobis infensissimum; fugiunt aűt opes.
Nullum extat paupertatis templum odiosissimæ deæ.
Odi enim reuera illos qui sapiunt quidem,
Ad pecuniam uero comparandam nil sapiunt.
Facile ô Gorgia contemnitur pauper,
Et si planè iustam causam dixerit. Nam dicere
Aliquid accipiendi gratia duntaxat existimatur.
Et sycophanta statim qui uestem attritam
Induit uocatur, etsi ipsemet iniuriam patiatur.
Quisquis in paupertate uiuit, angustè ac tenuiter uiuere uult. *Philemonis.*
Inopia enim prompta est in perpetrandis malis.
Vir inops, solitarius est.
Paupertas impijs admixta moribus *Diphili.*
Funditus perdit, ac subuertit uitam.
Paupertas non parua ægritudo est se possidentibus. *Sophoclis.*
Nullus homini maior hostis est quàm paupertas.
Pauper ad omnia formidolosus est, *Menandri.*
Et se putat ab omnibus sperni.
Nam cui fortuna mediocris est, hic * æquius **[Greek], &c. durus, ægrus.*
Omnes molestias fert ô Lampria.
Dij semper tenuiter largiuntur tenuis fortunæ hominibus. *Callimachi.*
Non est paupertate miserior ullus *Crantonis.*
In uita casus. Quamuis enim natura
Studiosus & bonus fueris, sed pauper, ludibrio habeberis.
Vah misera paupertas, quid meis incumbens humeris *Theognidis.*
Dedecore tum corpus afficis, tum mentem nostram?
Et me turpia nolentem, malaq; multa ui doces,
Bona inter homines & honesta scientem?
Quilibet enim paupertate astrictus, neq; dicere,
Neq; facere quicquam potest, sed uincta ei lingua est.
Paupertatem animum corrumpentem nunquam indignatus alicui, *Eiusdem.*
Neq; malam ô Cyrne pecuniarum inopiam obijcias.
Iupiter enim bilancem aliâs aliter inclinat,
Modo ad diuitias, modo ad inopiam pecuniarum.
Semper autem oportet tum in terra, tum in amplo mari
Molestæ paupertatis ô Cyrne solutionem quærere.
Oportet fugiendo paupertatem uel in pontum ingentia cete nutrientem *Eiusdem.*
Præcipitem se dare ô Cyrne, aut ab excelsis rupibus cadere.
Dirum quiddam paupertas est, intolerabile malum, quæ magnum *Alcæi.*
Populum domat cum perplexitate sorore.
Nunquam homini noxiam paupertatem & animum corrumpentem *Hesiodi in operibus.*
Obijcere sustineas, utpote donum deorum immortalium.
Manifesta fit tempestas. Lux enim paupertatis *Aristophontis.*
Omnia in se mala & grauia cunctis ostendit.
Quicunq; pauper in ciuitate uult uiuere, *Menandri.*
Hic se ipsum tristiorem reddere cupit.
Nam ubi aliquem delicijs & otio uacare

δυνάμενον ἐμβλέψαι, τότ' αὐτὸν ἐς ἰδεῖν
forte ζῇ. ὡς ἄθλιον * ζῇ καὶ ταλαίπωρον βίον.
κακῶς ὁ δασύτης βεβάλλονται πάνυ.
ἐν ἀγρῷ γὰρ οἰκῶν, οὐ σφόδρ' ἐξηλέγχετο
τῷ μείζονς ἂν τῷ οὐδ' ἀμοῦ πεπραγμένης,
al. ῥαθυμίαν. ἔχων δὲ παραπέτασμα τὴν * ἐρημίαν.
Ἀριστοφῶντος. Αἰσχρὸν γενέσθαι πτωχόν, ἀσθενῆ θ' ἅμα.
τὸ τέλος ἅπασιν ἐστὶ τοῖς πτωχοῖσι, νύξ.
ὑποσκοτεῖ γὰρ τοῖς κακοῖσι πανταχοῦ.

ΣΥΓΚΡΙΣΙΣ ΠΕΝΙΑΣ ΚΑΙ ΠΛΟΥΤΟΥ.

ΛΟΓΟΣ Ἐνενηκοστὸς ἐ.

Ἀντιφάνους. Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς.
τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει.
Μενάνδρου. Κρεῖττον γάρ ἐστιν, ἂν σκοπῇ τις κατὰ λόγον,
μὴ πόλλ' ἀηδῶς, ὀλίγα δ' ἡδέως ἔχειν,
πενίαν τ' ἄλυπον μᾶλλον, ἢ πλοῦτον πικρόν.
Εὐριπίδου. Κακόν τι βούλευμ' ἦν ἄρ' εἰς εὐανδρίαν
ὁ πλοῦτος ἀνθρώποισιν, αἵ τ' ἄγαν τρυφαί.
πενία δὲ δύστηνον μὲν, ἀλλ' ὅμως τρέφει
μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια.
Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.
Λαμπροὶ γὰρ εἰς γένος γε, χρημάτων γυμνοὶ
πένητες, οὐδὲν ἡ εὐγένει' ἀπόλλυται.
Θεόγνιδος. Ἶσόν τοι πλουτοῦσιν ὅσοις πολὺς ἄργυρός ἐστι,
καὶ χρυσός, καὶ γῆς πυροφόρου πεδία,
al. τὰ δέοντα πάρ. ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ * τάδε πάντα πάρεστι,
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν
παιδός τ' ἠδὲ γυναικός, ὅταν δέ κε τῶν δ' ἀφίκηται
ὥρη, σὺν δ' ἥβη γίνεται ἁρμοδία,
ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς ἀΐδην.
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας
νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.
Ἀντιφάνους. Ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν,
ὦ μῆτερ, ἡ πενία περιφανές τε καὶ ταπεινόν.
Θεόγνιδος. Οἱ μὲν, γὰρ κακότητα κατακρύψαντες ἔχουσι
πλούτῳ· τοὶ δ' ἀρετὴν οὐλομένη πενίη.
Εὐριπίδου. Ὁ δ' οὐδὲν οὐδείς· διατέλους δὲ δυστυχῶν,
τοσῷδε νικᾷ. τοῦ γὰρ εὖ τητώμενος
οὐκ οἶδεν ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.
al. ἄκαν. οὕτως * ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν.
ἐκεῖνο γὰρ μεμνήμεθ', οἷος ἦν ποτε,
κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' εὐτύχουν ποτέ.
Κριτίου. Σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν
κρεῖττον συνοικόν ἐστιν ἐν δόμοις ἔχειν.
Εὐριπίδου. Μικρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων

ἄλυπος

Potentem inspexerit, tum demum sese uidet
Quàm infœlicem & miseram agat uitam.
Herus omninò malè sibi consuluit.
Ruri enim habitans non admodum deprehensa aut redarguta fuisset
Humilis ipsius & nihili conditio:
Sed solitudinem pro uelamine habuisset.
Turpe est simul & pauperem ac imbecillum reddi. *Aristophontis.*
Pauperum omnium finis est nox.
Obumbrat enim ipsorum mala ubiq;.

COMPARATIO PAVPERTATIS, ET DIVITIARVM,

SERMO XCV.

Potius est honestè pauperem esse, quàm diuitem malè. *Antiphanis.*
Illud enim misericordiam, hoc reprehensionem meretur.
Satius est, si quis consyderet ut par est, *Menandri.*
Non multa iniucundè, sed pauca iucundè possidere,
Et paupertatem sine molestia potius, quàm diuitias acerbas.
Malum sanè consilium ad fortitudinem sunt *Euripidis.*
Diuitiæ hominibus, ac nimiæ deliciæ.
Paupertas autem, licet infœlix alioqui, nutrit tamen
Laborantes liberos præstantiores & fortiores.
Nemo pauperes sibi comparare uult amicos.
Sunt illi quidem genere clari, pecuniarum uero
Inopes, unde nobilitas perit.
Aequè diuites sunt, quibus multum argenti est, *Theognidis in*
Et auri, & agri feraces tritici, *gnomis.*
Equiq; & muli: & is cui omnia contigerunt
Vnde uenter, latera, & pedes iucundè afficiuntur
A puero & muliere. Hæc quidem suo
Tempore, & pubertate uigente idonea,
Mortalibus diuitias præstant. Omnes enim abundantes
Pecunias gerens secum nemo ad inferos uenit.
Neq; muneribus datis mortem effugerit quisquam, neq; graues
Morbos, aut ingruentem malam senectutem.
Diuitijs mala uelantur *Antiphanis.*
O mater, paupertas autem res conspicua & humilis est.
Alij malitiam possident obuelatam *Theognidis.*
Diuitijs, alij uirtutem perniciosa paupertate obnubilatam.
Homo nihili, & perpetuò infœlix, *Euripidis.*
Melius illo habet qui aliquando fœlix fuit. Cum eñ hactenus bonorũ expers (uixerit,
Nescit se infortunatum semper fuisse, ac malè affectum.
Ita satius est bona nunquam expertum esse.
Experti enim memores apud se cogitant: Qualis eram olim,
Cum etiam ego inter homines aliquando fœliciter agerem.
Sapiente paupertate diuitem ruditatem *Critiæ.*
Contubernalem habere domi præstat.
Malim pauca possidens, & in diem sufficientia *Euripidis.*

ἄλυπος οἰκεῖν μᾶλλον, ἢ πλουτῶν νοσεῖν.

Ἱππώνακτος. Εἴ τις καθείρξει χρυσὸν ἐν δόμοις πολὺν,
addo καὶ. καὶ σῦκα βαιὰ * δύο ἢ τρεῖς ἀνθρώπους,
γνοίη χ' ὅσῳ τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω.

Μενάνδρου. Ὤμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία,
οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
τὰς νύκτας, οὐδὲ στρεφομένους ἄνω κάτω,
οἴμοι λέγειν· ἡδὺν δὲ καὶ πρᾶόν τινα
ὕπνον καθεύδειν, ἀλλὰ τῶν πτωχῶν τινά.
νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους
ὑμᾶς, ὁρῶ πάσχοντας ἡμῖν ἐμφερῆ.

Τοῦ αὐτοῦ. Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
σοφοὺς ἡγεῖσθαι τοὺς λόγους· ὅταν δέ τις
λεπτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνὴρ,
γελᾶν. ἐγὼ δὲ πολλάκις σοφωτέρους
πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων:
malim θεοῖς τι δι- * καὶ θεοῖς μικρὰ χερὶ θύοντας τέλη,
κρῶ. τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.

Θεόγνιδος. Πολλ' ἐν ἀμηχανίῃ κυλίνδομαι ἀχνύμενος κῆρ.
ἄκρην γὰρ πενίην οὐχ ὑπεκδράμομεν.
πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν.
πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Εὐριπίδου. Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλλούμενον
κράτιστον εἶναί φημι μὴ φῦναι βροτῷ.
τρισσῶν δὲ βροτῶν ἐνὶ κρίνω νίκην μίαν.
πλοῦτός τε, καὶ ὅτῳ σπέρμα γενναῖον πρόσῃ,
lego πενίας τε. * πενίας τ'. ἀριθμὸν γὰρ τοσόνδε προὐθέμην.
ὁ μὲν ζάπλουτος, εἰ γένος δ' οὐκ εὐτυχὴς,
ἀλγεῖ μὲν ἀλγεῖ, παγκάλως δ' ἀλγύνεται,
ὄλβου δι' οἴγων θάλαμον ἥδιστον χερί.
ἔξω δὲ βαίνων τόνδε τὸν πάρος χρόνον
forte ἂν ἀχάλλει. πλουτῶν ὑπ' ἄτης, ζεύς τ' * ἀνασχάλλει πικρόν.
ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων
βίου σπανίζει, τοῦ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστὶν, ἐν δ' ἀλγύνεται,
φρονῶν ὑπ' αἰδοῦς δ' ἔργ' ἀπωθεῖται χερῶν.
ὁ δ' οὐδὲν οὐδεὶς, διὰ τέλους ἢ δυστυχῶν,
τοσῷδε νικᾷ. τοῦ γὰρ εὖ τητώμενος,
οὐκ οἶδεν ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.
d. ἄμεινον. οὕτως * ἄριστον μὴ πεπειρᾶσθαι καλῶν.
ἐγὼ γὰρ, εἰ νῦν εἶχ' ἔμ' ὁ σπείρας πατὴρ,
ἐπιστάμην ἂν μουσικὴν παρεσπονεῖν,
ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ.
πρῶτον μὲν, ἐξ ὧν πάντα γίγνεται βροτοῖς,
εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ,
στέργειν θ' ὑδρηροῖς ὥστε θὴρ ἀεὶ ποτοῖς,
χειμῶνι τ' ἀσκεῖν σῶμα, θερμάθ' ἡλίου
τοξεύματ' αἰνεῖν μὴ σκιατραφούμενος.

Sine molestia uiuere, quàm diues ægrotare.

Si quis multum auri in domo clauserit, *Hipponactis.*
Et paucas ficus cum duobus aut tribus hominibus,
Cognoscet quanti ficus præ auro æstimaturi sint.

Diuites ego putabam, ô Phania, *Menandri.*
Quos mutuari nihil opus est, non lugere
Noctu, neq; hinc inde iactantes se per noctem
Dicere, hei mihi: sed suauem & placidum quendam
Somnum dormire: pauperes uero solum ita affici.
Nunc autem etiam uos qui fœlices
Vocamini, similia nobis facere uideo.

Solent enim homines diuitum quidem *Eiusdem.*
Sermones iudicare sapientes: cum uero aliquis
Ex tenui familia uir pauper bene dixerit,
Ridere. At ego frequenter sapientiores
Diuitibus uiros pauperes uideo:
Et aliquos modica manu dijs sacra facientes
Magis esse pios, quàm qui boues immolant integros.

In magna perplexitate uoluitur mihi tristis animus: *Theognidis.*
Summam enim paupertatem nondum euasimus.
Vnusquisq; uirum diuitem colit, pauperem negligit:
Et omnibus hominibus eadem planè mens est.

Ego, secundum uulgo celebratam sententiam, *Euripidis.*
Optimum homini esse dico, non nasci.
Ex tribus autem hominum generibus suam unicuiq; uictoriam tribuo.
Alius diues, alius genere nobilis est,
Alius pauper. de istis enim tribus dicere proposui.
Vir igitur prædiues, genere autem obscurus,
Doloribus afficitur, sed pulchrè dolet,
Manibus interim aperiens iucundissimum thalamum diuitiarum.
*Quod si præsenti tempore omisso præteritum reputet **Hic uersus & sequens in Græco corrupti sunt.*

Quisquis uero splendidam & generosam originem habens
Indiget uictu, is genere quidem fœlix est,
Paupertate uero inferior, propter quam dolet,
Et præ animi pudore manuum opera detrectat.
Cęterum homo nihili, & perpetuo infœlix,
In hoc cæteros uincit, quod cum hactenus bonorum omniũ expers uixerit,
Nesciat se infortunatum ac malè affectum semper fuisse.
Ita satius est bona nunquam expertum esse.

Ego enim si pater meus mente præditus fuisset,
*Musicam ita temperare nouissem, **Id est, animi disciplinam.*
Tanquam & læta & rursus sinistra fortuna usurus aliquando.
Primum illa didicissem, quorum studio nihil non comparatur ab hominibus,
Videlicet agilis esse uentre non impleto,
Et semper, ut fera, aquæ potu contentus uiuere,
Et hyeme corpus exercere, feruidosq; solis
Radios laudare, umbratili educationi non assuetus.

νῦν δ᾽ οὐκ ἐθισθεὶς ταῦτ᾽ ἐπίσταμαι μὲν οὔ,
φέρειν δ᾽ ἀνάγκη. τὸν γὰρ ὀρφικὸν λαβὼν
ἅπαντ᾽ ἔτι μεστὸν ἐντεάφθογγον μέλος,
οὐκ ἂν πίθοιμι γαστέρ᾽, ἀλλὰ δεῖ βίου.

al. φιλήμων. * Νὴ δία τὸν μέγιστον ἦμεν, σωσία,
ἐγὼ πρότερον τοὺς πένητας ζῆν μόνον
ὀδυνωμένους. τῶν πλουσίων δὲ τὸν βίον
ἱλαρόν τιν᾽ εἶναι, καὶ φέρειν εὐθυμίαν.
νῦν δὲ διαφέροντα τοῖς καθ᾽ ἡμέραν
δαπανήμασιν δὴ τὸν βίον ὁρῶ μόνον.
λύπας δ᾽ ἔχοντας μείζονας τοὺς μείζονας.

Αεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
φθόνον τε, κἀπήρειαν, καὶ μῖσος πολύ,
πράγματά τε πολλά, καὶ ὀχλήσεις μυρίας,
πράξεις τε πολλάς, συλλογάς τε τοῦ βίου.
εἶτα μετὰ ταῦτ᾽ εὐθὺς εὑρέθη θανών,
ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἥδιον ἔχω,
ἔχειν τε μέτρια, κἀμίεμπον ζῆν βίον,
καὶ μήτ᾽ ἔχειν μοι πλοῦτον, μήτε πράγματα.
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

Εκ τῆς ἐπιτομῆς τῆς περὶ φιλίας.

Εν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, ὡς ἥκιστα ἐν πλούτῳ, καὶ ἀρχαῖς. τοσοῦτον ὑπεραίρει πενίας ἀγαθόν, ὥστ᾽ αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ οὐδ᾽ εἰς ἀλλάξαιτ᾽ ἂν πενίαν.

Αναξιμένης. Οὐ γὰρ οὕτως οἱ πλουτοῦντες, ὡς οἱ πένητες τοὺς ἀτυχοῦντας οἰκτείρειν εἰώθασι. δεδιότες γὰρ περὶ αὐτῶν, τὰς τῶν ἄλλων συμφορὰς ἐλεοῦσιν.

μικρὸν expungē Η γὰρ πενία, καὶ πρὸς τὰς τέχνας δεινοτέρους, καὶ πρὸς τὸν βίον τεχνικωτέρους τοὺς ἀνθρώπους
dum uidetur. καθίστησι. χαλεπὴ γὰρ διδάσκαλος ἡ πενία τοῦ * μικρὸν φρονεῖν.

Δημοκρίτου. Πενίη, πλοῦτος, ὀνόματα ἐνδείης καὶ κόρου. οὔτε οὖν πλούσιος ὁ ἐνδέων, οὔτε πένης ὁ μὴ ἐνδέων.

Ην μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει.

Διογένης ὀνειδίζοντος αὐτῷ τινὸς πενίαν: κακόδαιμον εἶπεν, οὐδένα τυραννοῦντα διὰ πενίαν ἑώρακα: διὰ δὲ πλοῦτον, τοὺς πάντας.

Εκ τῶν ἀρριανοῦ. Αλλὰ διὰ σωκράτης ἀρχελάου μεταπεμπομένου αὐτὸν ὡς ποιήσοντος πλούσιον, ἐκέλευε
malim διότι. σιν ἀπαγγεῖλαι αὐτῷ, * διὰ τι ἀθήνησι τέσσαρες εἰσὶ χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν. εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοί, ἀλλ᾽ ἐγὼ τούτοις ἱκανός, καὶ οὕτω κἀκεῖνα ἐμοί. ἢ οὐχ ὁρᾷς ὅτι οὐκ εὐφωνότερον οὐδὲν, δι᾽ ὧν ὁ πῶλος τὸν τύραννον οἰδίποδα ὑπεκρίνατο, ἢ τὸν ἐπὶ κολωνῷ ἀλήτην καὶ πτωχόν; εἶτα χείρων πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς; οὐδὲ τὸν ὀδυσσέα μιμήσεται, ὃς καὶ ἐν τοῖς ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν, ἢ ἐν τῇ οὔλῃ χλαίνῃ τῇ πορφυρᾷ;

Εκ τῶν ἀρίστωνος ὁμοιωμάτων. Οτι πλοῖῳ ἔοικε μὲν παρὰ γῆν ὁ τῶν πενήτων βίος: ὁ δὲ τῶν πλουσίων, τῷ διὰ πελάγους. τοῖς μὲν γὰρ ῥάδιόν ἐστι, καὶ πεῖσμα βαλεῖν, καὶ προσχεῖν, καὶ νεωλκῆσαι: τοῖς δ᾽ οὔ.

Υψαίου. Μὴ φεῦγε πενίαν, ἀλλ᾽ ἀδικίαν. οὐδεὶς γὰρ ὅτι πένης μετήλλαξεν, ἀλλ᾽ ὅτι ἄδικος. οὐκοῦν οὐδὲ πλούσιος ὢν βιοῖ ἐπαινετῶς, ἀλλ᾽ ὅτι δίκαιος.

Εκ τῆς τέλητος ἐπιτομῆς. Δοκεῖ μοι ἡ τῶν χρημάτων κτῆσις, σπάνεως καὶ ἐνδείας περιαλύειν. καὶ πῶς; οὐχ ὁρᾷς ἐνίους
al. πλούτῳ ἐν τῷ παρεσκευάσθαι πλέον τε καὶ πενίας. κεκτημένους μὲν πολλὰ ὡς δοκοῦσιν, οὐ χρωμένους δὲ τούτοις δι᾽ ἀνελευθερίαν, καὶ ῥυπαρίαν; ἀλλ᾽
ὥσπερ ὁ πρίαμος οὐδ᾽ ἔτλη ἕζεσθαι ἐπὶ θρόνου, πολλῶν κατὰ οἶκον ἐόντων,
ἀλλὰ χαμαὶ ἐκάθητο κυλινδόμενος κατὰ κόπρον:

Nunc uero insuetus horum inscius sum,
Ferre tamen cogor. Quamuis enim ipsum Orpheum assumerem,
Et uniuersum Musarum melos ex nouem sonis constitutum,
Non persuaderem tamen uentri, sed opus est ei uictu.

Per Iouem maximum, ô Sosia, putabam *Eiusdem, al. Philemonis.*
Ego hactenus pauperes solum uiuere
In mœrore: diuitum autem uitam
Planè hilarem esse, lætitiamq; afferre.
Nunc uero differre quotidianis
Sumptibus duntaxat utrorumq; uitam uideo:
Molestias uero plures habere, qui maiores diuitias possident.

Diuitiæ semper multas calamitates afferunt,
Inuidiamq;, & contumeliam, & odij plurimum patiuntur,
Multaq; negotia, & molestias infinitas habent,
Et plurimum in agendo, ac uictum colligendo occupantur.
Deinde post hæc mala diues statim moritur,
Ac opes suas ad deliciandum alijs relinquit.
Proinde iucundior mihi paupertas fuerit,
Et possessio mediocris, uitaq; solicitudine uacua,
Quæ tum diuitijs, tum molestijs careat.
Omnis enim pauper magna mala lucratur, & securus ab eis euadit.

Ex epitome de amicitia.

In paupertate aliquis fœlix manere poterit, in diuitijs autem & magistratibus, minimè. Tantum excellit paupertatis bonum, ita ut nullus uir bonus & mentis compos paupertatem inhonestis diuitijs mutare uellet.

Diuites nō adeò misereri solent infœlicium quàm pauperes. Nam suis rebus metuentes, interim aliorum calamitatis miserentur. *Anaximenis.*

Paupertas nāq; homines & in artibus prȩstātiores, & in rebus ad uitam pertinentibus prudentiores reddit. Grauis enim est sapiendi magistra, paupertas.

Paupertas, diuitiæ, nomina sunt indigentiæ & saturitatis. Quamobrem neq; diues dicendus est, uir indigus: neq; pauper, non indigus. *Democriti.*

Nisi multa desyderes, pauca tibi multa uidebuntur.

Diogenes cum ei paupertas à quodā uitio daretur: Infœlix, dixit, quid ais? At ego neminem uidi tyrannidē gerere propter paupertatē, omnes uero propter diuitias.

Socrates ab Archelao uocatus, ut qui ipsum ditare uellet, ei renunciari iussit, q̄d farinæ chœnices quatuor obolo uenirent Athenis, & fontes aquam funderēt. Nā si res meæ, inquiebat, mihi non sufficiunt, at ego ipsis sufficio, & sic etiam ipsȩ mihi. An non uides quod Polus histrio personam Oedipi tyranni non concinnius expresserit, quàm eundem Oedipum in Colono exulem & mendicum. Vir aūt ingenuus eritne Polo deterior, ita ut non quamuis à numine sibi destinatam personam decorè possit agere? Neq; imitari poterit Vlyssem, qui etiam laceris pannis indutus nō minus decorȩ grauitatis prȩ se ferebat, quā ubi crispā & purpureā lȩnā gestabat? *Ex Arriani scriptis.*

Pauperum uita similis est nauigationi iuxta littus: diuitum autem, ei quæ in profundo pelago fit. Illis enim facile est funem eijcere, appellere, & nauim extrahere: diuitibus non item. *Ex Aristonymi scriptis.*

Ne fugias paupertatem, sed iniustitiam. Nullus enim eò quod pauper esset mortem obijt, sed quia iniustus. Neque uitam laudabilem aliquis degit quatenus diues est, sed quatenus iustus. *Hypsei.*

Pecuniarū possessio ab inopia & indigentia mihi liberare uidetur. Quonā id modo? Nónne uides aliquot magnarū, ut putant, opū dominos, non utentes tamen eis propter illiberalitatem & sorditiē? Sed quemadmodum Priamus in solio sedere nō sustinebat, quamuis multa domi essent solia, Sed humi sedebat in luto se uoluens: *Ex Teletis commentario epitome.* *Iliad. ω.*

οὕτως ἔνιοι πολλῶν ὑπαρχόντων αὐτοῖς, διʼ ἀνελευθερίαν, οὐδενὸς γεύονται, οὐδὲ ἅπτονται. ἀλλὰ πλείω οἱ μῦς κατεσθίουσι καὶ οἱ μύρμηκες, ἢ αὐτοί. ὥσπερ ὁ Λαέρτης, ἀγροῦ ἐπʼ ἐσχατιῇ σὺν ἀμφιπόλῳ, ἢ οἱ βρῶσίν τε πόσιν τε παρτίθει, εἰς ἀγρὸν ἀπελθὼν μόνος μετὰ γραιδίου, κακουχεῖ αὐτὸν καὶ ξηραίνει· οἱ δὲ μνηστῆρες, τὰ ἐκείνου. καὶ ὥσπερ ὁ Τάνταλος ἐν λίμνῃ ἑστήκει, κατὰ κρατὸς δὲ καρποί, ἀλλʼ ὁπότʼ ἰθύσει ὁ γέρων πιεῖν, ἢ τῶν καρπῶν ἅψασθαι, ἡ μὲν λίμνη ξηρὰ ἐγίνετο,

τοὺς δʼ ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα.

οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία, καὶ τὸν οἶνον, καὶ τὸν σῖτον, καὶ τὴν ὀπώραν ῥίπτασκεν, οὐ ποτὶ νέφεα· ἀλλʼ ἃ μὲν εἰς τὴν ἀγοράν, ἃ δὲ εἰς τὸ καπηλεῖον. καὶ ἐπιθυμοῦντες, οὐδενὸς γεύονται. καὶ ἐὰν μὲν πρὸς ἑτέρων κλεφθῇ, ἐκπαθῶς ἀποκλαίει· αὐτὸς δὲ ἔχων, οὐθενὶ ἂν παρέχοι· ἀλλʼ ἐπιθυμῶν † στρατεύεται. καὶ εἰ μέν τις αὐτὸν * ὀξίζοι, τὸν τοιοῦτον πολέμιον ἂν ἡγοῖτο· ἑαυτὸν δὲ ὀξίζων, οὐ δοκεῖ εἶναι πολέμιος. οὐκ ἀηδῶς δʼ ἔμοιγε δοκοῦσι καὶ οἱ ἀρχαῖοι πρὸς ταῦτα ἐρωτᾶν. ὃ μὴ ἀπολύει ἀπληστίας καὶ ἀνελευθερίας καὶ ἀλαζονείας ἀνθρώπων, οὐδὲ ἐνδείας, οὐδὲ σπάνεως ἀπολύει. οὐθὲν δὲ τῆς τοιαύτης ἀπληστίας τε καὶ ἀνελευθερίας ἀπολύει. τὸν γὰρ τρόπον οὐ μετατίθησιν. ὥσπερ οὐδὲ τῶν σωφρονούντων ἡ πενία, ἐὰν ἐκ πλουσίων πένητες γίνωνται. θᾶττον γὰρ ἂν ἔμοιγε δοκεῖ τις εἰπεῖν, ὡς τὴν χρόαν, ἢ μέγεθος, ἢ τὴν ὄψιν μετατίθησιν ἡ τῶν χρημάτων κτῆσις, ἤπερ τὸν τρόπον. ἕως δʼ ἂν ᾖ οὗτος ἄπληστος, ἀνελεύθερος, ἀλαζών, δειλός, ἐν ἐνδείᾳ καὶ σπάνει ἔσται. καὶ πῶς σπανίζουσιν οὗτοι τούτων ἃ ἔχουσι; πῶς δὲ οἱ τραπεζῖται, φησὶν ὁ Βίων, χρημάτων, ἔχοντες αὐτά; οὐ γὰρ αὐτῶν ὄντα ἔχουσιν· οὐδὲ γὰρ αὐτοὶ αὐτῶν. εἰ δὲ καὶ ὥσπερ τίς σοι δίδωσιν ἤδη τοῦ παρόντος· ἀλλʼ ὅμοιόν ἐστι τὸ οὕτως ἔχειν *, ὅταν ἀδυνατῇς αὐτοῖς χρῆσθαι. ἢ τί διαφέρει μὴ ἔχειν, ἢ οὕτως ἔχειν, ὡς αἱ φορκίδες τὸν ὀφθαλμὸν ἀποκείμενον, αὐτὰς δὲ εἰς φραγμοὺς καὶ βόθρους καὶ βόρβορον ἐμπίπτειν, μηθὲν προορωμένας, ἀλλʼ ἐῶσαι * ἀποκλεῖσθαι, ἕως ὅτε καὶ αὐτὸν τὸν ὀφθαλμὸν ὁ Περσεὺς ὑφείλετο. ἢ τί διαφέρει μὴ ἔχειν τροφὴν *, ἢ τοιαύτην ἔχειν, ἰχθῦς τε ποσειδεῖα, ὡς οὐ μὴ γεύσονται, ἢ αἰγυπτίου κύνα, ἢ Ἑλλήνων κρανίον ἀνθρώπου; ὁμοίως γὰρ σπανεῖ τροφῆς, καὶ ἔχων ταύτην, καὶ μὴ ἔχων. τί οὖν ὄφελος τὸ οὕτως ἔχειν; ἐπεὶ καὶ σὺ ἀργύριον ἔχεις, ἀλλʼ οὐ μὴ χρήσῃ διὰ ῥυπαρίαν καὶ δειλίαν. διὸ καὶ οἱ ἀρχαῖοι ἔλεγον οὐκ ἀηδῶς. ἔφασαν γοῦν τῶν ἀνθρώπων, οὓς μὲν χρήματα ἔχειν, οὓς δὲ κτήματα. οὓς μὲν γοῦν χρῆσθαι τοῖς ὑπάρχουσιν, οὓς δὲ μόνον κεκτῆσθαι. οὔτε ἑαυτοῖς, οὔτε ἄλλοις μεταδιδόντας καὶ προϊεμένους. καὶ ὃν τρόπον ὅταν βασιλεὺς ἢ δυνάστης τὰ ὑπάρχοντα παρασφραγίσηται, οὐκ ἔστιν ἅψασθαι, οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία, τὰ ὑπάρχοντα παρεσφράγισται, οὐκ ἐῶσα ἅψασθαι, ἀλλὰ σπανίζουσι καὶ ἐν ἐνδείᾳ εἰσίν· ἐπιθυμοῦντες μὲν πολλῶν, χρῆσθαι δὲ οὐ δυνάμενοι. διὸ καὶ ὁ Κράτης πρὸς τὸν ἐπιζητοῦντα, τί οὖν μοι ἔσται φιλοσοφήσαντι; δυνήσῃ φησὶ τὸ φασκώλιον ῥᾳδίως λῦσαι, καὶ τῇ χειρὶ ἐξελὼν, διαλύτως δοῦναι, καὶ οὐχ ὥσπερ νῦν, στρέφων καὶ μέλλων, καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας. ἀλλὰ καὶ πλῆρες ὂν ἂν τὸ οὕτως ὄψει, καὶ κενούμενον ἰδὼν, οὐκ ὀδυνήσῃ· καὶ χρῆσθαι προαιρούμενος, ῥᾳδίως δυνήσῃ· καὶ μὴ ἔχων, οὐκ ἐπιποθήσεις, ἀλλὰ βιώσῃ ἀρκούμενος τοῖς παροῦσι, τῶν ἀπόντων οὐκ ἐπιθυμῶν· τοῖς συμβεβηκόσιν, οὐ δυσαρεστῶν. καὶ εἴ τις βούλεται, ἢ αὐτὸς ἐνδείας καὶ σπάνεως ἀπολυθῆναι, ἢ ἄλλον παραλῦσαι, μὴ χρήματα αὐτῷ ζητείτω. ὅμοιον γάρ φησιν ὁ Βίων, ὡς εἴ τις τὸν ὑδρωπικὸν βουλόμενος παῦσαι τοῦ δίψους, τὸν μὲν ὕδρωπα, μὴ θεραπεύοι· κρήνας δὲ καὶ ποταμοὺς αὐτῷ παρασκευάζοι. † κἂν μὲν ὅς τε γοῦν ἂν πρότερον πίνων διαρραγείη, ἢ παύσαιτο τοῦ δίψους. * οὕτω τε οὐκ ἄν ποθʼ ἱκανωθείη, ὅταν ᾖ ἄπληστος καὶ δοξοκόπος καὶ δεισιδαίμων. διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι, μὴ πρὸς τὸν Πτολεμαῖον πέμπε, ὅπως χρήματα κτήσηται· εἰ δὲ μὴ, ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται, περανεῖ δὲ οὐδέν. ἀλλʼ εἰς Ἀκαδημίαν πρὸς Κράτητα, ἐκεῖνος ἐδύνατο ἐξ ἀπλήστων καὶ πολυτελῶν, ἐλευθερίους καὶ ἀφελεῖς κατασκευάζειν. καὶ Μητροκλῆς δὲ ἐκεῖνος ἔφη, ὡς ἔοικεν, ὅτι μὲν παρὰ Θεοφράστῳ καὶ Ξενοκράτει σχολάζοι, πολλῶν αὐτῷ ἐξ οἴκου ἀποστελλομένων, φοβεῖσθαι μὴ τῷ λιμῷ ἀποθάνοι, καὶ ἀεὶ σπανίζειν, καὶ ἐνδεὴς εἶναι· μεταβὰς δὲ ὕστερον πρὸς Κράτητα κἂν ἄλλον προστρέφειν,

μηδ-

lego [illegible].
* forte ὀξύνοι, & paulo post ὀξύνων.
Addo ἢ μὴ ἔχειν.
al. [illegible].
Hic statim subdo ἰχθῦς καὶ πιεῖν, deinde sic lego, ἢ τοιαύτην ἔχειν ἐὰν μὴ, &c.
al. ἐὰν ὅς τε
* al. ὅτι ὅς τε

Ita nonnulli in magna rerum copia propter auaritiam nihil gustant, nec attingunt: Imò plura à muribus & formicis absumũtur, quàm ab ipsis. Et ueluti Laërtes in angulo ruris cũ una ancilla, quæ cibũ ei potumq; apponebat, solus in agrũ cũ anicula profectus, sese macerabat & exhauriebat: res aũt ipsius, proci: Item ut Tantalo seni in palude stanti fructus supra caput dependebant, at quando cupiebat uel potum uel fructus arripere, statim palus exiccabatur, Fructus aũt à uentis ad nubes opacas reijciebantur: Ita quorundam illiberalitas ac diffidentia, uinũ, fruges, & fructus abijcit, non quidẽ ad nubes, sed partim in forũ, partim in cauponã: & quamuis cupiunt, non quicquã gustant. Quod si quis illorũ ab alio inuitetur, ualde se ingurgitat: ea uero quę ipse habet, nemini cõmunicare uult: sed plura cupiendo angitur. Et si quis eũ exulatũ ire iuberet, illum planè sibi hostẽ putaret: seipsum uero exulem faciens, nõ opinatur se sibi hostem esse. Porrò ueteres etiã non ineptè mihi super eadẽ hac re ita ratiocinari uidentur. Quod hominem insatiabilitate, illiberalitate, ac arrogantia nõ liberat, id quoq; ab indigentia & penuria eũ non soluit. * Nihil aũt istorũ auaritia & inexplebilitate liberat: mores eñ ingeniumq; nõ immutat: Sicuti neq; temperantium frugiq; hominũ mores à paupertate mutantur, si ex diuitibus pauperes fiant. Probabilius eñ assertu mihi uideretur, colorem, staturámue, aut faciem à possessione diuitiarũ immutari, quàm mores. Quamdiu aũt insatiabilis fuerit diues, arrogans, aut timidus, tamdiu indigentia & inopia laborabit. Sed quomodo illi possunt indigere rebus omnibus, quas habẽt? Nimirũ ut numularij, Bion ait, pecunijs egẽt, quas tamen habẽt. Nõ proprias eñ possidentes: imò nec ipsi seipsos. Sed esto hoc tibi cõcedatur nũc. At hoc modo habere & non habere simile est, cum eis uti non ualeas. Aut quid interest omnino carere, uel sic habere ut Phorcides oculum habuisse dicuntur repositũ, cum ipsæ interim nihil prospicientes in sæpes, foueas, & lutũ inciderent, seq; pereuntes negligerent, donec tandẽ ipse oculus etiã à Perseo eis auferretur? Quid itẽ differt cibo carere, aut habere talẽ, qualẽ quis gustare nolit, ut Aegyptius canem, aut Græcus craniũ humanũ? Tam enim alimento indigebit si tale habuerit, quàm si caruerit? Quid igitur prodest ita habere? Nam & tu argentũ habes, cuius usu ob sorditiẽ & paruitatẽ animi abstines. Quare & ueteres nõ ineleganter dixerunt, alios χρήματα, i. pecunias inquiẽtes habere, alios κτήματα, i. possessiones. Illos eñ uti suis bonis, hos uero possidere solũ, nihil interĩ neq; sibi neq; alijs cõmunicantes. Et ueluti res quas rex aut princeps obsignauit, à quoquã tangi non licet, ita nõnullorũ illiberalitas & diffidẽtia opes obsignatas cõtingere nõ pmittit sed indigent ac inopes sunt, & cũ multa desyderẽt, uti tamẽ eis nõ possunt. Quare Crates ad interrogantẽ, quidnã si philosopharetur lucraturus esset, marsupiũ dixit facile apire poteris, & manu exẽpta expedite elargiri, non ita ut nũc facis, obuersans, cũctans, tremẽsq;, ut illi qbus resolutę sũt man⁹. Sed si plenũ fuerit eodẽ modo ipsum aspicies: & uacuũ intuit⁹ nõ dolebis. Et si pecunijs uti statueris, facile poteris: & si nihil habeas, nõ alia desyderabis, sed cõtentus uiues præsentibus, absentia nõ appetẽs, rerũ deniq; euentui acquiesces. Si qs ergo uelit, seu ipse met ab indigẽtia penuriaq; liber fieri, seu aliũ liberari, pecunias sibi ne quærat. Secus eñ similiter faciet Bione teste, ac si qs hydropicũ à siti soluturus, morbũ ipsum nõ curet, sed fontes ac fluuios ei comparet: unde æger humi iacẽs prius bibẽdo rũpetur, quàm sitire desinat. Eodẽ modo homini inexplebili, uanisq; opinionib⁹ & superstitioni dedito, satisfieri nunq̃ poterit. Quare si uolueris filium tuum ab indigentia remouere, noli ipsum ad Ptolemęum mittere ut pecunias acquirat: aliter arrogantiam insuper acquiret, nihil autem proficiet: Verum in Academiam ad Cratetem, qui hominum insatiabiles ac sumptuosos reddere potuit liberales, frugiq; & simplices. Certe clarus ille uir Metrocles, cum Theophrasto & Xenocrati operam daret, licet multa ei ex domo sua mitterentur, timere tamen se aiebat ne fame periret, semperq; inops ac indigus esset: postea uero cum ad Cratetem migrasset, alterum insuper aluisse, quamuis nihil ei mitteretur

Odyss. λ.

*id est, nulla opes.

lego παρὰ τίσι. μηδ' ἑνὸς πιμπλαμένου. * ἔτι μὲν γε ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν, καὶ ἔτι ἀκάλυπτον, ἥλους οὐκ ἔχον. εἶτα χλανίδα, παίδων ἀκολουθίαν, οἰκίαν μεγάλην, εἰς τὸ συνδείπνον ὅπως ἄρτοι καθαροί, ὄψον μὴ τὸ τυχόν. οἶνον ἡδύν. ὑποδοχὰς τὰς ἐπιβαλλούσας, ἵνα πολυτελῶσιν. ἐλευθέριος γὰρ παρ' αὐτοῖς ἡ τοιαύτη ἀναστροφὴ ἐκρίνετο. πρὸς κράτητα δὲ μεταβάντι, οὐδὲν ἦν τούτων. ἀλλ' ἀφελέστερος τὸν τρόπον γενόμενος, ἠρκεῖτο τρίβωνι, καὶ μάζῃ, καὶ λαχανίοις, οὐκ ἐπιποθῶν τὴν προτέραν δίαιταν, οὐδὲ τῇ παρούσῃ δυσχεραίνων. πρὸς ῥῖγος ἡμεῖς μὲν ζητοῦμεν παχύτερον ἱμάτιον: ἐκεῖνος δὲ διπλώσας τὸν τρίβωνα περιῄει τρόπον τινὰ δύο ἱμάτια ἔχων. εἰ ἀλείψασθαι χρείαν ἔχοι, εἰσελθὼν εἰς τὸ βαλανεῖον, τὸν γλοιὸν ἠλείψατο. καὶ βαδίσας ἐνίοτε πρὸς τὴν κάμινον, περιχέας ἂν ἐλάδιον, καθίσας ἠρίστα. καὶ ἐκάθευδε τὸ μὲν θέρος, ἐν τοῖς ἱεροῖς: τὸν δὲ χειμῶνα, ἐν τοῖς βαλανείοις: οὐ σπανίζων ὥσπερ πρὸ τοῦ, οὐδὲ ἐνδεὴς ὤν, ἀλλ' ἀρκούμενος τοῖς παροῦσι, διακόνους οὐκ ἐπιθυμῶν ἔχειν. θαυμαστὸν μὲν γάρ φησιν, εἰ μάνης μὲν διογένους ἄνευ δυνήσεται ζῆν: διογένης δὲ ἄνευ μάνητος οὐ δυνήσεται θαρρεῖν. ὅταν δὲ ποιήσῃς ἀλαζόνα, πολυτελῆ, δεισιδαίμονα, δοξοκόπον, ἄπληστον, χρήματα πολλὰ δίδως, οὐδὲν περανεῖς. τούτου δὲ μένοντος τοῦ αὐτοῦ ὁμοίως, οὐκ ἀρκεῖται, οὐδ' ἱκανεῖται. ἀλλ' ἐπιθυμίας καὶ * ἐπιβουλὰς τοσούτων καὶ τοιούτων ἔχει, ἐξ ὧν ἐν ἐνδείᾳ καὶ σπάνει * ἔσονται. ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. καὶ παῖς μὲν ὤν, ἐπιθυμεῖ ἔφηβος γενέσθαι: ἔφηβος δὲ γενόμενος, ζητεῖ πάλιν τὸ χλαμύδιον ἀποθέσθαι. ὅταν δὲ ἀνδρωθῇ, πάλιν εἰς τὸ γῆρας σπεύδει. νῦν δέ φησιν ἀβίωτος ὁ βίος, στρατεία, λειτουργία, πολιτικὰ πράγματα, σχολάσαι αὐτὸν οὐκ ἔστι. πρεσβύτης γέγονε, πάλιν ἐπιθυμεῖ τὰ ἐν νεότητι. ἡ νεότης μοι φίλον αἰεί, τὸ δὲ γῆρας, βαρύτερον αἴτνης. καὶ μακαρίζει τὸν τοῦ παιδὸς βίον. οἰκέτης ὤν, ἐλεύθερος σπεύδει γενέσθαι. κἂν τούτου * τύχῃ, φησὶ πάντ' ἔχω. γέγονεν ἐλεύθερος, δοῦλον εὐθὺς ἐπιθυμεῖ κτήσασθαι. γέγονε τοῦτ' αὐτόν, ἕτερον προσσπεύδει κτήσασθαι. μία γάρ φησι χελιδὼν, ἔαρ οὐ ποιεῖ. εἶτα δύο, εἶτα ἀγρόν, εἶτ' ἀθηναῖος γενέσθαι, εἶτα ἄρξαι, εἶτα βασιλεῦσαι: εἶτα ὥσπερ ἀλέξανδρος, ἀθάνατος γενέσθαι, εἰ δὲ καὶ τούτου τύχοι, οἶμαι ἵνα ζεὺς γένηται ἐπιθυμήσει. πῶς οὖν ὁ τοιοῦτος οὐκ ἐνδεής; ἢ ποία χρημάτων ὕπαρξις τοιούτων ἐπιθυμιῶν ἀπολύει; οἱ βασιλεῖς αὐτοὶ πολλὰς ἐπάρχοντες, καὶ προσόδους μεγάλας ἔχοντες, οὐδὲν ἧττον σπανίζουσιν. ὅτι καὶ τυμβωρυχεῖν, καὶ ἱεροσυλεῖν, καὶ παρὰ τὸ προσῆκον φυγαδεύειν. ἅμα γὰρ τῇ ἀρχῇ, πολλὰ τὰ ἀναγκαῖα ἀναπεπλάκασι: καὶ ὅτι τῆς ἀρχῆς ἀπεστερῆσθαι προαιροῦνται, ὅτι τὰ καθ' ἑαυτοὺς λιτότερον διάγουσιν. εἶτα * ἀναγκάζονται. πολλὰ γὰρ βούλονται. εἰ δὲ πάντων τις τῶν τοιούτων ὑπεράνω γένοιτο, ἐν πολλῇ ἂν εἴη ἀδείᾳ καὶ ἀσπανιστείᾳ. οὐκ ἀηδῶς γοῦν κράτης: οὐκ οἶσθα φησὶ πήρα, δύναμιν ἡλίκην ἔχει, θέρμων τε χοῖνιξ, καὶ τὸ μηδ' ἑνὸς μέλειν. τὸ ὄντι γὰρ μέγα καὶ ἀξιόλογον, καὶ * πήρας, καὶ θέρμων, καὶ λαχάνων, καὶ ὕδατος μηδ' ἑνὸς φροντίζειν: ἀλλ' εἶναι ἀδούλευτον καὶ ἀκολάκευτον.

al. ἐπιβολάς.
al. ἔσονται.
al. τύχῃ
al. ἀναγκάζονται πολλὰ ἂν βούλ.
al. additur μηδὲ.

Ξενοφῶντος. Ἦ γὰρ οὕτως ὦ σάκα ὑπολαμβάνεις, ὡς ἐγὼ νῦν τοσούτῳ ἥδιον ζῶ, ὅσῳ πλείονα κέκτημαι; οὐκ οἶσθα ἔφη, ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ' ὁτιοῦν ἥδιον νῦν, ἢ ὅτε πένης ἦν; ὅτι δὲ πολλὰ ταῦτ' ἐστί, τοσοῦτον κερδαίνω, πλείω μὲν φυλάττειν δεῖ: πλείω δ' ἄλλοις διανέμειν: πλειόνων δὲ ἐπιμελούμενον, πράγματα ἔχειν. νῦν γὰρ δὴ ἐμέ, πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι: πολλοὶ δὲ πιεῖν: πολλοὶ δὲ ἱμάτια. οἱ δέ, ἰατρῶν δέονται. ἥκει δέ τις ἢ τῶν προβάτων λελυκωμένα φέρων, ἢ τῶν βοῶν κατακεκρημνισμένα, ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν. ὥστ' ἔμοιγε δοκῶ ἔφη ὁ φεραύλας, νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω λυπεῖσθαι, ἢ πρόσθεν, διὰ τὸ ὀλίγα ἔχειν. καὶ ὁ σάκας εἶπεν: ἀλλὰ ναὶ μὰ τὸν δί', ὅταν σῶα ᾖ, πολλὰ ὁρῶν, πολλαπλάσια ἐμοῦ εὐφραίνῃ. καὶ ὁ φεραύλας εἶπεν: οὔτοι ὦ σάκα οὕτως ἡδύ ἐστι τὸ ἔχειν χρήματα, ὥσπερ ἀνιαρὸν τὸ ἀποβάλλειν: * ἵν' ὡς εἰδότι ἐγὼ τἀληθῆ λέγω. τῶν μὲν γὰρ πλουτούντων οὐδεὶς ἀναγκάζεται ὑφ' ἡδονῆς ἀγρυπνεῖν: τῶν δ' ἀποβαλλόντων τι, ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ λύπης. μὰ δί' ἔφη ὁ σάκας, οὐδέ * γε τῶν λαμβανόντων τι νυστάζοντα οὐδένα ἂν ἴδοις ὑφ' ἡδονῆς. ἀληθῆ ἔφη λέγεις. εἰ γάρ τοι τὸ ἔχειν οὕτως, ὥσπερ τὸ λαμβάνειν ἡδὺ ἦν, πολλοὶ ἂν διέφερον εὐδαιμονίᾳ οἱ πλούσιοι τῶν πενήτων. καὶ ἀνάγκη δέ τοι ἐστὶν ἔφη ὦ σάκα, τὸν πολλὰ ἔχοντα, πολλὰ καὶ δαπανᾶν, καὶ εἰς θεούς,

al. γνῶθι δ' ὅτι.
al. ἔτι.

amplius. Apud illos em̃ opus erat calceos habere, idq́ non consutos, ac sine clauis, deinde chlamydem, famulos sequentes, magnam domum, panes ad cõuiuium puros, opsonium non uulgare, uinum suaue, epulasq́ similes, hoc est pretiosas. Nam huiusmodi uictus apud istos liberalis existimabatur: Ad Cratetem uero cum transiuisset, nihil istorũ habebat, sed frugalior & moribus simplicior factus, attrita ueste, maza & olusculis contentus erat, priorem uictum non amplius desyderans, neque præsentem ægrè ferens. Nos quidem contra frigus crassiorem uestem quærimus, ille uero detrita sua ueste duplicata circumibat, ita quodammodo duas uestes gerẽs. Quod si opus haberet ungi, balneum ingressus strigmentis inungebatur: & interdum ad caminum accedẽs, effuso circa ignem oleo assidens prandebat. Per æstatem in templis dormiebat, hyeme uero in balneis: non indigus ut antea nec inops, sed contentus præsentibus, & famulos habere nõ desyderãs. Mirũ enim esset, inquit, si *Manes sine Diogene uitam agere posset: Diogenes aũt sine Manete cũ fiducia & hilaritate uiuere nequiret. At si multũ pecuniæ dederis alicui, quẽ feceris arrogantem, sumptuosum, superstitiosum, uanis opinionibus deditũ, insatiabilẽ, nihil proficies: sed quãdiu similiter affectus fuerit, nunq̃ ei satis fieri poterit: Verũ tot tantaq́ desyderabit, & animo cõcipiet, ut inops ac indigus necessario fit. Malorũ em̃ inexplebilis est animus. Talis homo in pueritia ephebus fieri cupit: ephebus iã fact⁹, denuò quęrit occasionẽ deponẽdæ chlamydis: ubi uirilẽ ætatẽ attigit, rursus ad senectutẽ festinat. Nũc em̃ ait uita minimè uitalis est: militia, sacrorũ rituũ ministeria, negotia ciuilia, nullũ mihi otiũ permittunt. Factus deinde senex, iterũ iuuentutis uitã desyderat: Semp mihi grata iuuẽta fuit, senect⁹ aũt grauior Aetna moles est: & puerilẽ ætatẽ fœlicẽ prædicat. Itẽ si seruus sit, liber fieri cupit: Libertatẽ em̃ nactus, inquit, omnia habebo. Fit liber, statim seruũ sibi cõparare uult: q si cõtigerit ei, mox aliũ insup acquirere cupit. Vna em̃ hirundo, ait, non facit uer. Deinde duos quærit, postea & agrũ, inde Atheniensis fieri, dein magistratũ, tandẽ regnũ appetit, postremo, ut Alexãder, im̃ortalis fieri. Quod si immortalitate potiretur, nimirũ Iupiter quoq; fieri desyderaret. Quomodo igitur talis non inops fuerit? Aut quænam pecuniarũ possessio ab huiusmodi cupiditatibus absoluit? Ipsi reges etiã qui latè imperant, & redditus amplissimos habẽt, nihilominus indigẽt, ita ut monumẽta defunctorũ scrutẽtur, sacrilegia cõmittant, & hoĩes iniquè cogãt exulare. Vnà em̃ cũ imperio multas sibi necessitates cõpararũt, & neq; principatũ deponere uolunt, neq; res suas frugalius administrãt. Cũ igitur multa concupiscant: magna necessitate urgẽtur. At si quis istis omnibus superior euadat, hic planè securus & minimè indigus fuerit. Proinde Crates nõ ineleganter dixit: ignoras quantũ ualeat pera, & lupinorum chœnix, animiq́ securitas. Est enim reuera magnum & memorabile quiddam, uel cum pera, lupinis, oleribus, & aqua nullis angi curis, sed abesse ab omni adulatione & assentatione.

*Nomẽ famuli.

Num em̃ ita Saca existimas, me nunc eò uiuere iucũdius, quò plura possideo? An ignoras me & comedere & bibere & dormire nullo modo mihi iucundius, quã tũc cum eram pauper? Quod aũt hæc sunt permulta mihi, nõ amplius lucrifacio quàm q̃d plura me oportet custodire, plura alijs tribuere: & quò plura curo, eò mihi plura sunt negotia. Nunc enim famuli multi cibum à me petunt, multi potum, multi amictus, alij egent medicis. Venit etiam aliquis qui ferat pecudes à lupis absumptas, aut boues præcipitium passos, aut morbum pecora dicens inuasisse. Itaque mihi uideor magis tristari quod nunc plura possideam, quàm antea, quod pauca haberem. Verum, inquit Saca, cum salua certò esse multa intueris, multò magis lætaris quàm ego. Ad quem respondit Pheraulas: Nequaquam Saca ita iucundum est habere pecunias, ut molestum eas amittere. Noueris autem me uera dicere. Nemo em̃ diues cogitur uigilare propter uoluptatem: sed neminem eorum uides qui aliquid amiserint, præ dolore posse dormire. Medius fidius, inquit Saca: neq; illorũ quenq̃ qui aliq̃d accepint, somnolentũ uideas præ uoluptate. Vera, inq̃t, narras: si em̃ aliq̃d habere ita suaue esset, ut accipere, diuites multò fœlicitate præstarẽt pauperibus: sed necesse est etiam Saca qui multa possidet, eum facere multũ etiam sumptum, & erga

Xenophõtis lib. 8. de pedia Cyri

θεοὺς, καὶ εἰς φίλους, καὶ εἰς ξένους. ὅστις γὰρ ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα, ἰσχυρῶς ἀνιᾶσθαι. μὰ Δί' ἔφη ὁ σάκας, ἀλλ' οὐκ ἐγὼ τούτων εἰμί. ἀλλὰ καὶ εὐδαιμονίαν τοῦτο νομίζω, τὸ πολλὰ ἔχοντα, πολλὰ καὶ δαπανᾶν. τί οὖν ἔφη πρὸς τῶν θεῶν ὁ φειραύλας, οὐχὶ σύ γε αὐτίκα * μᾶλλον εὐδαίμων ἐγένου, κἀμὲ εὐδαίμονα ἐποίησας; λαβὼν γὰρ ἔφη πάντα ταῦτα κέκτησο, καὶ χρῶ ὥσπερ βούλει αὐτοῖς. ἐμὲ δὲ μηδὲν ἄλλο, ἢ ὥσπερ ξένον τρέφε· καὶ ἔτι εὐτελέστερον ἢ ξένον. ἀρκέσει γάρ μοι ὅ, τι ἂν καὶ σὺ ἔχοις, τούτου μετέχειν.

al. μάλα εὐδαιμονῶν.

Πλάτωνος.

Τί ποτ' οὖν ἐστιν ᾧ χρώμεθα χρήμασι, καὶ πρὸς τί εὕρηται ἡ τῶν χρημάτων κτῆσις; ὥσπερ τὰ φάρμακα, πρὸς τὸ τὰς νόσους ἀπαλλάττειν. ἴσως γὰρ ἂν ἡμῖν οὕτω μᾶλλον φανερὸν γένοιτο. ἐπειδὴ ἀναγκαῖον μὲν φαίνεται, ὅσαπερ τυγχάνει χρήματα ὄντα, ταῦτα καὶ χρήσιμα εἶναι. τῶν δὲ χρησίμων γένος τι, ὃ καλοῦμεν χρήματα. λοιπὸν ἂν εἴη σκέψασθαι, τὰ πρὸς τίνα χρείαν χρήσιμα χρῆσθαι χρήματά ἐστιν. πάντα μὲν γὰρ ἴσως χρήσιμα, * ὅσοις περ πρὸς τὴν ἐργασίαν χρώμεθα. ὥσπερ γε πάντα μὲν τὰ ψυχὴν ἔχοντα ζῶα. τῶν δὲ ζώων γένος τι καλοῦμεν ἄνθρωπον. εἰ δή τις ἡμᾶς ἔροιτο, τίνος ἂν ἐκποδὼν ἡμῖν γενομένου, οὐδὲν δεοίμεθα ἰατρικῆς, οὔτε τῶν ταύτης ἐργαλείων, * ἔχοιμ' ἂν εἰπεῖν, ὅτι, εἰ αἱ νόσοι ἀπαλλαγείησαν ἐκ τῶν σωμάτων, καὶ μὴ γίγνοιντο παντάπασιν, ἢ γιγνόμεναι παραχρῆμα ἀπαλλάττοιντο. ἔστιν ἄρα ὡς ἔοικεν ἡ ἰατρικὴ τῶν ἐπιστημῶν ἡ πρὸς τοῦτο χρησίμη, πρὸς τὸ νόσους ἀπαλλάττειν. εἰ δέ τις ἡμᾶς πάλιν ἔροιτο, τίνος ἂν ἡμῖν ἀπαλλαγέντος οὐδὲν δεοίμεθα χρημάτων, ἆρ' ἂν ἔχοιμεν εἰπεῖν; εἰ δὲ μὴ, πάλιν ὧδε σκοπώμεθα· φέρε εἰ οἷός τε εἴη ζῆν ἄνθρωπος ἄνευ σιτίων καὶ ποτῶν, καὶ μὴ πεινῷ μηδὲ διψῷ, ἔσθ' ὅτι ἂν ἢ αὐτῶν τούτων δέοιτο, ἢ ἀργυρείου, ἢ ἑτέρου τινὸς, ἵνα ταῦτα ἐκπορίζηται; οὐκ ἔμοιγε δοκεῖ. οὐκοῦν καὶ τἆλλα κατὰ τὸν αὐτὸν τρόπον, εἰ μὴ δεοίμεθα πρὸς τὴν τοῦ σώματος θεραπείαν, ὧν νῦν ἐνδεεῖς ἐσμὲν, καὶ ἀλέας καὶ ψύχους ἐνίοτε, καὶ τῶν ἄλλων ὅσων τὸ σῶμα ἐνδεὲς γιγνόμενον προσδεῖται, ἄχρηστ' ἂν ἡμῖν εἴη τὰ καλούμενα χρήματα, εἰ * μηδέ γε παντάπασι μηδενὸς δέοιτο τούτων, ὧν ἕνεκεν * νυνὶ βουλόμεθα χρήματα ἡμῖν εἶναι, ἵνα * ἐξικνοίμεθα πρὸς τὰς ἐπιθυμίας καὶ τὰς ἐνδείας τοῦ σώματος, ὧν ἂν ἑκάστοτε δεώμεθα. εἰ δ' ἔστιν ἄρα πρὸς τοῦτο χρήσιμος ἡ τῶν χρημάτων χρῆσις πρὸς τὴν τοῦ σώματος θεραπείαν τῶν ἐνδειῶν. εἴ γ' οὖν ἡμῖν τοῦτο ἐκ μέσου ἀναιρεθείη, οὐδὲν ἂν δεοίμεθα χρημάτων. ἴσως δ' ἂν οὐδ' εἴη παντάπασι χρήματα. φαίνεται ἄρα ἡμῖν ὡς ἔοικε, τὰ πρὸς ταύτην τὴν πραγματείαν χρήσιμα τῶν πραγμάτων, ταῦτα εἶναι χρήματα. συνέφημεν ταῦτα εἶναι χρήματα. οὐ μὴν ἀλλ' ἐτάραττεν αὐτὸν σφόδρα τὸ λογίδιον. τί δαὶ τὰ τοιάδε, * πότερ' ἂν φήσαιμεν οἷόν τ' εἶναι ταὐτὸν πρᾶγμα πρὸς τὴν τοιαύτην ἐργασίαν, τοτὲ μὲν χρήσιμον εἶναι, τοτὲ δὲ ἀχρεῖον; οὐκ ἔγωγ' ἂν φαίην. ἀλλ' ἔτι δεοίμεθα τούτου πρὸς τὴν αὐτὴν ἐργασίαν, καὶ χρήσιμόν μοι δοκεῖ εἶναι· εἰ δὲ μὴ, οὔ. οὐκοῦν εἰ ἄνευ πυρὸς οἷοί τε † ἦμεν ἀνδριάντα χαλκοῦν ἐργάσασθαι, * οὐδὲ ἂν δεοίμεθα πυρὸς πρός γε τὴν τοῦτο ἐργασίαν. εἰ δὲ μὴ δεοίμεθα, οὐδ' ἂν χρήσιμον ἡμῖν εἴη. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν ἄλλων. φαίνεται. οὐκοῦν ὅσων ἄνευ οἷόν τε γίγνεσθαί τι, οὐδὲν ἂν τούτων ἡμῖν * χρήσιμον φαίνοιτο πρός γε τοῦτο. οὐ γάρ. οὐκοῦν εἴποτε φαινοίμεθα οἷοί τε ὄντες ἄνευ ἀργυρείου καὶ χρυσίου, καὶ τῶν ἄλλων τῶν τοιούτων, οἷς μὴ αὐτοῖς χρώμεθα πρὸς τὸ σῶμα, ὥσπερ σιτίοις καὶ ποτοῖς καὶ ἱματίοις καὶ στρώμασι καὶ οἰκίαις, παύειν τὰς τοῦ σώματος ἐνδείας, ὥστε μηκέτι δεῖσθαι, οὐκ ἂν ἡμῖν οὐδὲ * χρήσιμα γένοιτο, πρός γε τοῦτο τἀργύριόν τε καὶ τὸ χρυσίον καὶ τἆλλα τὰ τοιαῦτα. εἴπερ ποτὲ καὶ ἄνευ τούτων οἷόν τε γίγνεσθαι. οὐ γάρ. οὐκ ἂν ἄρα οὐδ' ἂν χρήματα ἡμῖν ταῦτα φανείη, εἰ μηδὲν χρήσιμα. ἀλλὰ ταῦτ' ἂν εἴη, οἷς τὰ χρήσιμα οἷοί τε ἐσμὲν ἐκπορίζεσθαι.

al. ἴσως γε.

al. ἔχομεν.

al. μηδέ γε.

al. ἂν βουλοίμεθα.

al. ἐξαρκοίμεθα.

al. πότερον ἂν φαίημεν.

al. ἦμεν.

* al. οἷοι.

aliàs additur ἐλ.

al. χρήματα φαίνοιτο πρός γε τοῦτο.

al. ἀφελής.

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ, ΟΤΙ ΒΡΑΧΥΣ ΚΑΙ * ΕΥΤΕΛΗΣ ΚΑΙ ΦΡΟΝΤΙΔΩΝ ΑΝΑΜΕΣΤΟΣ.

ΛΟΓΟΣ Εννενηκοστὸς ε.

Ὦ θνη-

deos, & erga amicos, & erga hospites. Qui igitur ualde pecuniis delectatur, certò scito hunc etiam ualde tristari si sumptum faciat. Per Iouem, inquit Saca, ego non sum ex horum numero: sed hanc rem fœlicitati dandam puto, eum facere multum sumptum, qui multa possideat. Quin igitur per Deos immortales, inquit Pheraulas, tum ipse quamprimum fias admodum fœlix, & me unà fœlicem facias. Accipe enim hæc omnia, ac posside, iisq; utere pro uoluntate tua, mecq; aliud nihil quàm ut hospitem ale, & tenuius quoq; quàm hospitem. Satis enim mihi futurum est, si quicquid ipse habeas, eius sim particeps.

Quidnam est ad quod utimur pecuniis? & quorsum inuenta est pecuniarum possessio? quemadmodum pharmaca reperta sunt ad morbos arcendos: Fortassis enim hoc modo res magis elucescet nobis. Siquidem necessarium uidetur χρήματα esse χρήσιμα, id est, pecunias & opes usum aliquem sui opemq; præstare. Sunt autem opes ex utilium genere: proinde inquirendũ in quem usum utiliter usurpentur, ut χρήματα ab utilitate dici mereantur. Nã utilia forte sunt omnia in genere, quibus ad aliquod opus utimur: Vt omnia corpora quæ animã habent, animalia sunt: Animalium uero formam quãdam appellamus hominem. Porrò si quis nos interrogaret quanã re dempta, nihil uel medicina uel eius instrumentis opus habituri simus: responderemus, si morbi à corporibus abirent, & omnino non fierent, aut facti statim recederẽt. Est igitur medicina, ut apparet, scientia in hoc utilis, ut morbi abigantur. Quod si rursus quispiã à nobis quærat, qua re ablata nihil indigeremus pecuniis, esset ne quod responderemus? Si uero nihil sit, rursus ita ratiocinemur: Age si homo sine cibo & potu uiuere posset, ita ut nec sitim nec esuriem sentiret, opus ne quicquam uel iam dictis haberet, uel argento aliáue re ad ea comparandum? Non uidetur mihi. Ergo & reliqua omnia similiter (si nihil indigeremus eis ad corporis curam, quibus nunc egemus, & propter calorem ac frigus aliquando uitandum, & alias ob causas, propter quas corpus indigum alienæ opis efficitur) inutilia nobis forent, licet χρήματα nominentur, si nemo prorsus ulla rerum istarum egeret, quarum gratia pecuniæ optari solent, ut satisfiat desyderiis & necessitatibus corporis, quibus semper indigemus. Si igitur ad hæc utilis est pecuniarum possessio, ad corporis inquam defectus curandos, his nimirum è medio sublatis, non indigeremus pecuniis, imò forte ne χρήματα quidem amplius essent. Videtur. Videntur igitur nobis merito illæ res esse diciq; debere χρήματα, quę ad corporis curationem utiles fuerint. Id quidem inter nos conuenit. Sed non parum turbabat ipsum hæc ratiuncula. Quænam ista? Vtrum affirmari posset eandem rem ad idem opus, aliâs utilem, aliâs inutilem esse. Hoc ego non concederem: Sed si qua re ad opus aliquod egeamus, ea etiam utilis mihi uidetur: sin minus, non. Ergo si absq; igne statuam æream parare liceret, nihil indigeremus igne ad fabricationem eius: quod si non indigeremus, nec utilis etiam esset: Eadem de cæteris est ratio. Apparet. Quamobrem nihil istorum, sine quibus aliqua res fieri possit, ad eam nobis utilis esse uideri debet. Minimè. Itaq; si absq; argento, auro, aliisq; huiusmodi, quibus utimur ad corpus (ut cibo, potione, uestibus, stragulis & domibus) corporis defectibus mederi possemus, ita ut nihil amplius iam dictis rebus indigeremus, ne utilia quidem ad corpus nobis deinceps uideri deberent, aurum inquam & argentum, ac huiusmodi alia, siquidem uel absq; illis uita constaret. Non deberent. Quod si non utilia, ne χρήματα quidem fuerint. Hæc enim duntaxat χρήματα sunt, quibus utilia comparari possunt.

Platonis in Eryxia, aut de diuitiis.

DE VITA QVOD BREVIS ET VILIS SIT, AC PLENA CVRIS,

SERMO XCVI.

Σοφοκλέους. Θνητῶν ἀνδρῶν καὶ παλαίτερον γένος.
ὡς οὐδὲν ἐσμὲν, πλὴν σκιαῖς ἐοικότες
malim ἀναστρεφόμενοι. Βάρος περιοστοῦν γῆς * ἀναστρεφόμενοι.
Ορῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν
εἴδωλ', ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν.
Φιλήμονος. Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπου γύναι.
εὐφραινόμεσθ' ἔλαττον, ἢ λυπούμεθα.
Εὐριπίδου. Τοὺς ζῶντας εὖ δρᾶ. κατθανὼν δὲ πᾶς ἀνὴρ,
γῆ καὶ σκιά, τὸ μηδὲν εἰς οὐδὲν βλέπει.
Φιλήμονος. Οὐκ ἂν δύναιο μὴ γενέσθαι δ' ἑαυτὰ
ἄνθρωπος ὢν ἄνθρωπος. ἄλλος οὖν βοᾷς.
τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἐστὶν κακά.
Διφίλου. Ανθρωπός εἰμι, τοῦτο δ' αὐτὸ τοῦ βίου
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.
Μενάνδρου. Απαντα τὰ ζῷα, ἐστὶ μακαριώτατα,
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὐτὸν οὐδὲν γίνεται.
ἃ δ' ἡ φύσις δέδωκεν αὐτοῦ ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ' αὐτῶν ἕτερα προσποιούμεθα.
λυπούμεθ' ἂν πταρῇ τις, ἂν εἴπῃ κακῶς,
ὀργιζόμεθ'· ἂν ἴδῃ τις ἐνύπνιον, σφόδρα
φοβούμεθ'· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.
ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.
Σωτάδου. Αὐτὸς γὰρ ἐὼν παντογενὴς ὁ πάντα γεννῶν, οὐ κρίνει δικαίως τὰ κατ' ἄνθρωπον ἕκαστον. καὶ γὰρ κατὰ γαῖαν τὰ κακὰ πέφυκεν ἀεί. καὶ τοῖς μεγάλοις κακοῖς * γέγηθ' ὁ κόσμος.
malim γέγηθε. ὅτι πάντες, ὅσοι περισσὸν ἠθέλησαν εὑρεῖν, ἢ μηχανικὸν ποίημα, ἢ σοφὸν μάθημα, οὗτοι κακὸν εἰς τὸ θάνατον τέλος ἐποίησαν, ὑπὸ τοῦ γεννήτορος κόσμου κακῶς παθόντες. σωκράτην ὁ κόσμος πεποίηκε σοφὸν εἶναι, καὶ κακῶς ἀνεῖλε τὸν σωκράτην ὁ κόσμος ἐν τῇ φυλακῇ, κώνειον ὅτι πιὼν τέθνηκε. πουλύποδα φαγὼν ὁ διογένης ὠμὸν τέθνηκεν. αἰσχύλῳ γράφοντι, ἐπιπέπτωκε χελώνη. σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς, πνιγεὶς, τέθνηκε. κύνες οἱ κατὰ θρᾴκην εὐριπίδην ἔτρωγον. τὸν θεῖον ὅμηρον, λιμὸς κατεδαπάνησεν.
Αγαθὸς, εὐφυὴς, καὶ δίκαιος, εὐτυχὴς, ὃς ἐὰν ᾖ, τοῦ φθόνου λαβεῖν δεῖ μερίδα. μῶμον ἔχειν δεῖ. πλουτεῖ τις ἄγαν, ἀλλὰ πάθος περιέλαβεν αὐτόν. εὐσεβής τις ἐστὶ, πενίαν δέδωκεν αὐτῷ. μέγας ἐστὶ τεχνίτης τις, ἀτυχῆ πεποίηκεν αὐτόν, κἂν ἤδη τὸ μέγιστον δίκαιος κριτὴς ὑπάρχει, δεῖ τὸν φύσει νικώμενον, ἄδικον αὐτὸν εἰπεῖν. πλούσιός τις ἐστὶ, τὸ μέγα πτῶμα φοβεῖται. ἰσχυρὸς ὑπάρχει, νόσου πεῖραν εὐλαβεῖται. ἡμέρας μιᾶς ἀλυπία, μέγα ἐστὶ κέρδος. τί γὰρ ἐσμὲν ὅλως, ἢ ποδαπῆς γεγόναμεν ὕλης; στόχασαι κατὰ σεαυτὸν τὸ βιωτικὸν νοήσας, ἐκ τίνος ἐγένου, καὶ τίς εἶ, καὶ τίς πάλιν γίνῃ.
Τοῦ αὐτοῦ. Τυφλόν γε καὶ δύστηνον ἀνθρώπου βίος.
Εὔφρονος. Ω ζεῦ, τί ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχύν,
πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς;
Μιμνέρμου. Ημεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη
ἔαρος, ὅτ' αἶψ' αὐγῇ αὔξεται ἠελίου,
τοῖς ἴκελοι, πηχύιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης

O Mortale miserumq; genus hominum, *Sophoclis.*
Quàm nihil sumus, sed umbris similes
Inutile pondus telluris obuersamur.
Video enim nos nihil aliud esse, præterquam *Eiusdem in*
Simulachra, quotquot uiuimus, aut leuem umbram. *Aiace.*
Talis est ô mulier humana uita, *Philemonis.*
Paucioribus gaudijs fruimur, quàm dolore & molestia.
Nullus uir defunctus beneficium uiuis exhibet. *Euripidis.*
Terra & umbra res nihili, amplius nihil spectant.
Nunquam, ô domine, ullo pacto fieri poterit, *Philemonis.*
Vt qui homo natus es non sis homo. frustra igitur clamas:
Viuentem multis affici malis necessarium est.
Homo sum. Id ipsum autem uitæ *Diphili.*
Maximam dolendi causam fert.
Animalia cuncta fœlicissima sunt, *Menandri.*
Et multò magis homine sapiunt.
Primum intueri licet asinum istum,
Qui indubiè animal est miserum,
Nihil mali tamen ei sua culpa nascitur,
Sed quæ natura ipsi dedit, ea habet.
Nos uero præter necessaria mala
Ipsi per nos alia nobis insuper adijcimus.
Dolemus si quis sternuerit: si maledixerit,
Irascimur: si quis uiderit insomnium, ualde
Terremur: si noctua ululauerit, metuimus.
Aerumnæ, opiniones, ambitiones, leges,
Ista omnia præter naturam & ascititia mala sunt.

Mundus cũ omnia producat & generet, nõ iustè de singulis hominibus iudicat. *Sotadis.* In terra nãq; mala semper sunt, & magnis malis gaudet mundus. Omnes em̃ qui aliquid egregiũ inuenire uoluerũt, siue mechanicũ opus, siue disciplinã sapientẽ, in malum mortis finem inciderunt, à genitore mundo malè affecti. Socratem mundus sapientem fecit, ac eundem in carcere malè sustulit, cicuta em̃ epota mortuus est. Diogenes cum deuorasset crudum Polypum, obijt. Aeschylum scribentem delapsa testudo oppressit. Sophocles acino uuæ deglutito, suffocatus interijt. Euripidem canes Thracij uorarunt. Diuinum Homerum fames absumpsit.

Vnumquẽq; bonum, ingeniosum, iustum, fortunatũ, inuidiæ portionẽ aliquam capere oportet, & reprehensionem incurrere. Prędiues est quispiam, aliquo laborat affectu. Pius est, paupertatem patitur. Bonus est artifex, mundus ipsum reddit infortunatum. Etsi uel maximè iustus iudex aliquis fuerit, oportet tamen ipsum à natura superatum appellari iniustum. Diues est, magnam ruinam metuit. Robustus, morbum experiri timet. Vnius certe diei indolentia magnum lucrum est. Quid enim obsecro sumus tandem? aut ex qua materia nati? Coniecturam ex teipso fac, & uitã tuam considera, unde natus, quis nam sis, & quis futurus denuo.

Cæca & infœlix est hominum uita.
O Iupiter, cur tam breue tempus cum nobis uiuendi dederis, *Euphronis.*
Id nos absq; molestia transigere non finis?
Producit nos tanquam folia floridum tempus *Mimnermi.*
Veris, cum subito splendor solis augetur.
His folijs similes ad breue tempus floribus iuuentutis

τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν,
οὔτ' ἀγαθόν. κῆρες δὲ παρεστήκασι μέλαιναι,
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου:
ἡ δ' ἑτέρη θανάτοιο. μίνυνθα δὲ γίνεται ἥβης
καρπὸς, ὅσον τ' ἐπὶ γῆν κίδναται ἥλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα δὴ τεθνάναι βέλτιον, ἢ βίοτος.
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίνεται, ἄλλοτε τ' οἶκος
τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει.
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς ἀΐδην.
ἄλλος νοῦσον ἔχει θυμοφθόρον. οὐδέ τίς ἐστιν
ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδῷ.

Φιλήμονος. Ὦ τρισμακάρια πάντα καὶ τρισόλβια
τὰ θηρία, οἷς οὐκ ἔστι περὶ τούτων λόγος.
Hæc dictio corrumpit senarium. οὔτ' εἰς ἔλεγχον * αὐτῶν οὐδὲν ἔρχεται.
οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακὸν
ἐπακτόν: ἣν δ' ἂν εἰσενέγκηται φύσιν
ἕκαστον, εὐθὺς καὶ νόμον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον.
δουλεύομεν δόξαισιν εὑρόντες νόμους.
προγόνοισιν ἐγγόνοισιν, οὐκ ἔστ' ἀποτυχεῖν
κακοῦ. πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

Σιμωνίδου. Οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο,
θεῶν δ' ἐξ ἀνάκτων ἐγένοντο υἱεῖς,
ἡμίθεοι ἄπονον, οὐδὲ ἄφθιτον,
οὐδ' ἀκίνδυνον βίον ἐς γῆρας ἐξίκοντο τελέσαντες.

Τοῦ αὐτοῦ. Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
forte ἰὼ, pro ἰαι πάντων, * ὅς ἐστί, καὶ τίθησιν, ὅπῃ θέλει.
νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν.
ἀλλ' ἐφημέριοι δὴ βροτοὶ ζώομεν,
ὅπως ἕκαστον ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας κἀπιθείη τρέφει,
ἄπρηκτον ὁρμαίνοντας. οἱ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς.
νέωτα δ' οὐδεὶς, ὅστις οὐ δοκεῖ βροτῶν,
malim εἶμεν. πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι * φίλος.
φθάνει δὲ τὸν μὲν, γῆρας ἄζηλον λαβὸν,
πρὶν τέρμ' ἵκηται. τοὺς δὲ, δύστηνοι νόσοι
φθείρουσι θνητῶν. τοὺς δ' Ἄρει δεδμημένους,
πέμπει μελαίνης ἀΐδης ὑπὸ χθονός.
οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι,
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλὸς
θνήσκουσιν, εὖτ' ἂν μὴ δυνήσωνται ζώειν.
οἱ δ' ἀγχόνην ἅψαντο δυστήνῳ μόρῳ,
καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ' οὐδέν. ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες, κἀνεπίφραστοι δύαι,

Delectamur, à dijs neq; malum edocti
Neq; bonum. Parcæ autem nigræ nobis astant,
Altera gerens finem molestæ senectutis,
Altera mortis: minimo autem tempore iuuenta
Fruimur, quamdiu supra terram Solis radij sparguntur.
At postquam terminus temporis huius præterijt,
Statim præstat mori, quàm uiuere.
Multis enim malis animus afficitur, & aliquando res domestica
Laborat, & paupertatis tristifica fiunt opera.
Alius desyderat liberos, quos maximè
Cupiens, tellurem subit ad inferos.
Alius morbo tentatur animum corrumpente: non deniq; ullus est
Hominum, cui Iupiter non mala multa largiatur.

O ter beatas & maximè fœlices cunctas — *Philemonis.*
Animantes, quibus nulla est rerum istarum cura,
Nec eas secum perpendere solent,
Nec huiusmodi malis unquam capiuntur
Accersitis: sed quam secum in lucem attulerit naturam
Quodq; animal, eam statim pro lege habet.
Nos homines uero uitam agimus haud uitalem,
Seruiq; sumus opinionum, legibus inuentis.
Vnde parentibus atq; posteris non euitari potest
Malum: sed aliquam semper ansam inuenimus.

Nam ne priores quidem uiri, — *Simonidis.*
Deûm filij dominorum,
Semidei, sine labore tranquillam, nec incorruptam,
Nec sine periculis uitam ad senium usq; transactam egerunt.

O fili, penes se habet Iupiter altitonans finem — *Eiusdem.*
Rerum omnium, quæ fiunt, & pro arbitrio suo disponit.
Nec est in hominum potestate animus,
Sed in diem nos mortales uiuimus,
Ita ut singulis Iupiter destinauerit.
Omnes autem spes, & bona fiducia nutrit
Temere consultantes. Alij diem
Venturam expectant, alij circuitus annorum.
Nouum autem annum nullus non hominum sperat
Diuitijs bonisq; plenum & charum affore.
Sed præuenit alium misera senectus comprehendens
Antequam finis accedat: alios uero tristes ægritudines
Mortalium perdunt: alios Marte domitos
Sub terram Pluto demittit obscuram.
Sunt qui in mari procellis agitati,
Et multis fluctibus purpurei sali,
Moriuntur, ubi non amplius uiuere possunt.
Nonnulli laqueo uitam infœliciter finiunt,
Et sponte sua lumen solis relinquunt.
Sic nihil malorum in uita abest. Sed infinitæ
Mortalium sortes, & ineffabiles calamitates,

καὶ πήματ' οὐδὲν, εἰ δ' εἶμαι πείθοιτο,
οὐκ ἂν κακῶν ἐρῷμεν, οὐδ' ἐπ' ἄλγεσι
κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

Εὐριπίδου. Εἰ δ' ἄτερ πόνων δοκεῖς ἔσεσθαι, μωρὸς εἶ, θνητὸς γεγώς.
Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ τίκτει βροτοῖς.

Σοφοκλέους. Ἄμοχθος γὰρ οὐδείς· ὁ δ' ἥκιστ' ἔχων, μακάρτατος.

Σόλωνος. Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτὸς, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.
Πάντεσι θνατοῖσι δαίμων ἐπέταξεν πόνους ἄλλοισιν ἄλλους.
Οὐ γάρ τις ἐπιχθονίων πάντα γ' εὐδαίμων ἔφυ.
Θνατοῖσι μὴ φῦναι φέριστον, μηδ' ἀελίου
προσιδεῖν φέγγος, ὄλβιος δὲ οὐδεὶς βροτῶν πάντα χρόνον.

Ἡροδότου ἰαμβῶν. Ὡς οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν
ἄνευ κακῶν ζώουσαν. ὃς δ' ἔχει μεῖον,
lego ὅτῳ. * τοῦτο τι μεῖζον τοῦ ἑτέρου δοκεῖ πρήσσειν.

Σιμωνίδου. Ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ.
οἵηπερ φύλλων γενεὴ τοιήδε καὶ ἀνδρῶν.
παῦροι μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν, ἥτε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν, οὐδὲ θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου.
νηπίοις ταύτῃ κεῖται νόος· οὐδὲ ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης, καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

Εὐριπίδου. Χρήμασι γὰρ εὐτυχῶ. ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ.
Γλυκεῖα γάρ μοι φροντὶς οὐδ' ἀμοῦ βίου.

Ἡσιόδου. Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ αἱ δ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.

Εὐριπίδου. Φεῦ φεῦ. βροτείων πημάτων ὅσαι τύχαι,
ὅσαι τε μορφαὶ, τέρμα δ' οὐκ εἴποι τις ἄν.
Οὐκ οἶδ' ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας
ὀρθῶς ἀθρήσαντ' εἰδέναι τὸ δραστέον.
Πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτοῖς,
forte οὐδ'. μορφαῖς δὲ διαφέρουσιν, * ὥστε ἄνευ τύχης
μόλις ποτ' ἐξεύροις ἂν ἀνθρώπου βίον.
Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος,
οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
Ὦ δαῖμον, ὡς οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς
τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.

Σοφοκλέους. Τὰν δ' ἀνθρώπου ζωὰν ποικιλομήτιδες ἆται
πημάτων πάσαις μεταλλάσσουσιν ὥραις.
Ζώοι τις ἀνθρώπων τὸ κατ' ἦμαρ, ὅπως ἥδιστα πορσύνων,

τὸ δ'

Damnaq́ sunt. Quod si mihi audirent,
Mala non diligeremus, neq́ doloribus
Animum applicantes malis discruciaremur.
Si absq́ laboribus & molestijs mortalis natus, te uicturũ putas, stultus es. *Euripidis.*
Multa producit hominibus dies & atra nox.
Nullus absq́ labore uiuit: fœlicissimus aũt ille, cui minimum obtigit. *Sophoclis.*
Nullus hominum beatus est, sed mali
Sunt omnes, quotquot mortalium sol aspicit. *Solonis.*
Omnibus mortalibus labores dæmon imposuit Alijs alios.
Nullus enim in terra degentium per omnia beatus fuit.
Non nasci hominibus optimum est, neq́ solis
Aspicere iubar. fœlix autem nullus mortalis Omni tempore est.
Non facile est inuenire domum *Herodoti ex hemiambis.*
Sine malis uiuentem. Quisquis autem minus habet,
Illi uidetur maius quiddam contigisse quàm alteri.
Vnam sententiam optimè uir * Chius protulit, *Simonidis.* **i. Homerus.*
Quod hominum generatio talis sit, qualis est foliorum.
Hanc pauci homines perceptam auribus
In pectore condunt. Fouet enim spes unumquenq́
Virorum, qualis iuuenum animis innascitur.
Quamdiu uero mortalium aliquis amabilem iuuentæ florem obtinet,
Animo leui præditus multa cogitat irrita.
Nam neq́ senectutem sibi affuturam, neq́ mortem expectat,
Neq́ dum sanus est laboribus uacat.
Hoc modo affecti sunt stulti, nec intelligunt
Quàm breue sit iuuentutis ac uitæ tempus datum
Mortalibus. Tu uero hæc discas, ut ad finem uitæ
Animo tuo bona præbeas & gratificeris.
Pecunijs quidem fœlix sum: Calamitatibus autem, ut uides, infœlix. *Euripidis.*
Nusquam enim mihi dulcis est uitæ cura.
Malis enim plena est tellus, sunt æquora plena. *Hesiodi in operibus.*
Morbi autem hominibus, nunc die, nunc noctu,
Ingruunt temere, mala mortalibus adferentes.
Heu heu, quot humanæ sunt malorum sortes, *Euripidis.*
Et quot formæ: finem uero non facile quis dixerit.
Nescio qua regula adhibita mortalium fortunas oporteat
Rectè inspicientem cognoscere quid opus factu sit.
Multæ sunt multis calamitates hominibus,
Differunt autem formis: & sine fortuna
Vix unquam inuenias hominis ullius uitam.
Non potest ullum tam graue dici uerbum,
Nec affectio, neq́ calamitas diuinitus immissa,
Cuius molem natura hominis non ferat.
O dæmon, quàm nullum est effugium mortalibus
Malorum, quæ illis congenita & diuinitus immissa sunt.
Hominis uitam uariæ uersutæq́ calamitates *Sophoclis.*
Malorum, omni tempore transmutant.
Viuat unusquisq́ præsentis diei uictum quàm iucundissimum instituens,

τὸ δ' ἐς αὔριον ἀεὶ τυφλὸν ἕρπει.
Οὐ θαῦμ' ἔλεξας θνητὸν ὄντα δυστυχεῖν.
Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.

Αἰσχύλου. Τὸ γὰρ βρότειον σπέρμ' ἐφήμερα φρονεῖ.
καὶ πιστὸν οὐδὲν μᾶλλον, ἢ καπνοῦ σκιά.

Ὁμήρου. Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι. ζώειν ἀχνυμένοις.

Τοῦ αὐτοῦ. Οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.
Τί γὰρ δὴ δεῖ θνητῶν ἕνεκα πολεμίζειν
δειλῶν; οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες.
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι, οὐδέ τις ἀλκή.

Μενάνδρου. Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει,
πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων.

Ἀντιφῶντος. Εὐκατηγόρητος πᾶς ὁ βίος θαυμαστῶς ὦ μακάριε, καὶ οὐδὲν ἔχων περιττὸν, οὐδὲ μέγα, καὶ σεμνὸν, ἀλλὰ πάντα μικρὰ καὶ ἀσθενῆ, καὶ ὀλιγοχρόνια, καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις.

Ποσειδίππου. Ποίην τις βιότοιο τάμοι τρίβον. εἰν ἀγορῇ μὲν,
νείκεα καὶ χαλεπαὶ πρήξιες. ἐν δὲ δόμοις,
φροντίδες. ἐν δ' ἀγροῖς, καμάτων ἅλις. ἐν δὲ θαλάσσῃ
τάρβος. ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος:
ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον. οὐκ ἀμέριμνος
ἔσσεαι. οὐ γαμέεις, ζῇς ἔτ' ἐρημότερος.
τέκνα, πόνοι. πήρωσις, ἄπαις βίος. αἱ νεότητες
ἄφρονες. αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τῶν πάντων τόδε λώϊον, ἢ γενέσθαι
μήποτε, ἢ θανεῖν αὐτίκα τικτόμενον.

Δημοκρίτου. Διζημένοισι τἀγαθὰ, μόλις παραγίνεται. τὰ δὲ κακὰ, καὶ μὴ διζημένοισι.

Σιμωνίδης ἐρωτηθεὶς πόσον χρόνον βεβίωκε, χρόνον εἶπεν ὀλίγον, ἔτη δὲ πολλά.

Ἀριστοτέλους. Τί γάρ ἐστιν ἄνθρωπος; ἀσθενείας ὑπόδειγμα, καιροῦ λάφυρον, τύχης παίγνιον, μεταπτώσεως εἰκὼν, φθόνου καὶ συμφορᾶς πλάστιγξ: τὸ δὲ λοιπὸν, φλέγμα καὶ χολή.

Ἡροδότου. Αἵ γάρ τοι συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι, συνταράττουσι: καὶ βραχὺν ἐόντα, μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτως ὁ μὲν θάνατος, μοχθηρᾶς ἐούσης τῆς ζωῆς, καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν. ὁ δὲ θεὸς γλυκὺν πλέξας τὸν αἰῶνα, * δυσξύνετος ἐν αὐτῷ εὑρίσκεται ἐών. (ἄλ. γεύσας.)

Δημοκρίτου. Ἅπαντες ἄνθρωποι συνειδήσει τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης, τὸν τοῦ βίου χρόνον, ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθέοντες φόβου.

Ἀντιφῶντος. Τὸ ζῆν ἔοικε φρουρᾷ ἐφημέρῳ: τό, τε μῆκος τοῦ βίου, ἡμέρᾳ μιᾷ ὡς ἔπος εἰπεῖν, ᾗ ἀναβλέψαντες πρὸς τὸ φῶς, παρεγγυῶμεν τοῖς ἐπιγιγνομένοις ἑτέροις.

Ἡροδότου. Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐχ οἱ ἄνθρωποι τῶν συμφορῶν.

Δημοκρίτου. Γιγνώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν, ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον, πολλῇσί τε κηρσὶ συμπεφυρμένην, καὶ ἀμηχανίῃσιν. ὅκως ἂν πρὸς μετρίης τε κτήσιος ἐπιμελῆται, καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη.

Ἑρμολάου. Ἀτέκμαρτος ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστόν. πλανᾶται συντυχίαις, ἐλπὶς δὲ φρένας παραθαρσύνει. τὸ δὲ μέλλον ἀκριβῶς οἶδεν οὐδείς, οὐδ' ὁ θάνατος ὅποι φέρεται. θεὸς δὲ πάντας ἐν κινδύνοις θνατοὺς κυβερνᾷ. ἀντιπνέει δὲ πολλάκις, ἀτυχίας δεινή τις αὔρα.

Ζήνων ἔλεγεν, οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι, ὡς χρόνου. βραχὺς γὰρ ὄντως ὁ βίος. ἡ δὲ τέχνη μακρὴ, καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰάσασθαι δυναμένη.

Σωκράτης ἔλεγε, νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶν, ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν,

μικρὰ

Tempus autem crastinum semper cæcum accedit.
Nihil mirum dixi, si mortalis homo infœlix est.
Homo spiritus solum est & umbra.
Genus enim humanum in diem sapit, *Aeschyli.*
Et nihilo magis firmum est, quàm umbra fumi.
Sic enim destinarunt dij miseris hominibus, Vt uiuant in mœrore. *Homeri*
Nihil enim est miserius homine, *Eiusdem.*
Inter omnia quæ supra terram spirant ac repunt.
Quorsum attinet mortalium causa bellum gerere
Miserorum? Qui folijs similes, aliâs quidem
Magnanimi existunt fructum telluris edentes:
Ast aliâs pereunt infirmi, nec superest uis ulla.
Aerumnosa prorsus est, & miserrima suapte natura res, *Menandri.*
Multisq; plena curis, uita.

Facile culpabilis est mirum in modum, ô bone uir, cuiuslibet nominis uita, utpote nihil habens eximium, magnum, & uenerandum: sed nihil non paruum, imbecille, temporaneum, multis deniq; molestijs permixtum. *Antiphontis.*

Quod quis insistat genus uiuendi? Nam in foro *Posidippi, al.*
Sunt lites, & actiones molestæ: in ædibus autem, *Cratetis, Cynici*
Curæ: ruri, labores nimij: at in mari
Timor est: in peregrinatione, si quid habes, metuendum,
Si nihil, molestum est. Nuptus es, non sine curis
Eris: non ducis uxorem, eò magis solitariam uitam agis.
Liberi dolores pariunt: orbitas, uita est sine liberis iniucunda, iuuentus
Stolida est, senectus uero infirma.
Ex duobus igitur eligendum est alterutrum, aut nasci
Nunquam, aut statim natum uita defungi.

Bona quærentibus uix obtingunt: mala, etiam non quæsita. *Democriti.*

Simonides interrogatus quantum temporis uixisset: tempus quidem exiguum, respondit, annos uero multos.

Quidnam est homo? Imbecillitatis exemplum, temporis spolium, fortunæ lusus, inconstantiæ imago, inuidiæ & calamitatis trutina: reliquum uero, pituita & bilis. *Aristotelis.*

Nam incidentes calamitates & morbi, uitam perturbant: efficiuntq;, ut cum breuis sit, tamen perlonga uideatur. Ita mors optatissimum est perfugium ærumnosæ uitæ, quam deus dulci gustu aspergens, ob id inuidius fecisse deprehenditur. *Herodoti lib. 7.*

Omnes homines propter conscientiam malè transactæ uitæ, perpetuis perturbationibus & timoribus exagitãtur, fingẽtes interim mendacia de terrore post mortẽ. *Democriti.*

Vita similis est carceri unius diei: & totum uitæ spacium, uni diei æquale propemodum dixerim, per quem intuiti lucem, posteris deinde uitam tradimus. *Antiphontis.*

Calamitates hominibus imperant, & non homines calamitatibus. *Herodoti.*

Cognoscere oportet humanam uitam imbecillem ac temporaneã esse, multisq; aduersis & perplexis negotijs implicitam: ut ei per mediocrem possessionem prospiciatur, & miseria in rebus necessarijs mensuretur. *Democriti.*

Incerta est tota uita, nihil fidum & stabile continens. Errat in fortuitis euentibus, ac spes interea fouet animum. Futurũ autem nullus certò nouit, neq; mors quò inclinet. Deus uero mortales omnes in periculis regit. Ex aduerso autem sępenumero spirat grauis infortunij flatus. *Hermolai.*

Zenon aiebat nullius rei tanta nos penuria laborare, quàm tẽporis. Reuera enim breuis est uita, ars autem longa, & illa præcipuè, quæ morbis animi mederi potest.

Socrates dicebat, se putare q̃d dij semper rideant uana hominũ studia inspiciẽtes.

μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα, οὐκ ἴσως αὐτοῖς τυγχάνει.

Νεοπτόλεμον τὸν τῆς τραγῳδίας ὑποκριτὴν ἤρετό τις· τί θαυμάζει τῶν ὑπ' Αἰσχύλου λεχθέντων, ἢ Σοφοκλέους, ἢ Εὐριπίδου; οὐδὲν μὲν τούτων εἶπεν. ὃ δ' αὐτὸς ἐθεάσατο ἐπὶ μείζονος σκηνῆς Φίλιππον ἐν τοῖς τῆς θυγατρὸς Κλεοπάτρας γάμοις πομπεύσαντα, καὶ τρισκαιδέκατον θεὸν ἐπικληθέντα, τῇ ἑξῆς ἀποσφαγέντα ἐν τῷ θεάτρῳ καὶ ἐρριμμένον.

Ἱπποδάμου Πυθαγορείου, ἐκ τοῦ περὶ πολιτείας.

Πάντα μὲν ὦν τὰ θνατὰ δι' ἀνάγκαν φύσιος ἐν μεταβολαῖς καλινδεῖται, τὰ μέν, ἐκ τῶν χερηόνων ἐπὶ τὰ βελτίονα μετατροπὰν λαμβάνοντα· τὰ δέ, ἐκ τῶν βελτιόνων ἐπὶ τὰ χερήονα. γινόμενα γάρ, αὔξεται τὰ πράγματα· καὶ αὐξηθέντα ἀκμάζει· καὶ ἀκμάζοντα γηράσκει. καὶ τέλος ὕστατα φθείρεται. τὰ μὲν ὑπὸ φύσιος γινόμενα, δι' αὐτᾶς τᾶς φύσιος ἐς τὸ ἄδηλον αὐτᾶς τερματιζόμενα· καὶ πάλιν ἐκ τῶ ἀδήλου, ἐς τὸ θνατὸν ἀποσυνερχόμενα, ἀμοιβᾷ γενέσιος, καὶ ἀνταποδόσει φθορᾶς, κύκλον αὖ ταύτας ἀναποδιζοίσας. τὰ δέ, καὶ ὑπὸ ἀφροσύνας ἀνθρωπίνας, ὕβρει καὶ κόρῳ ζεσάσας, οἶκοί τε καὶ πόλεις ὑπὸ μεγάλων εὐτυχημάτων ἀερθεῖσαι, καὶ βίον βαθὺν πλουτεῦσαι, ἅμα τοῖς μακαριζομένοις ἀγαθοῖς, ἐς τὸν ὄλεθρον ἔβασαν. * οὕτω δεῖ καὶ συμβαίνει πᾶσαν ἁγεμονίαν τρισὶ χρόνοις ὁρίζεσθαι· ἑνὶ μὲν καὶ πρώτῳ, τῷ περιέχοντι τὰν κτᾶσιν· δευτέρῳ δέ, τῷ τὰν ἀπόλαυσιν· τελευταίῳ δέ, τῷ τὰν ἀπόλεσιν. τοὶ μὲν γὰρ πρᾶτοι ἀτυχέες ἐόντες, ἐκτήσαντο. τοὶ δὲ δεύτεροι εὐτυχέες γενόμενοι, διέφθαραν. τὰ μὲν ὦν ὑπὸ θεῶν διοικημένα, ἄφθαρτα δὲ ὄντα, ὑπὸ ἀφθάρτων, τὸν ἀεὶ χρόνον πέφυκε σῴζεσθαι. τὰ δ' ὑπ' ἀνθρώπων θνατὰ ὄντα, ὑπὸ θνατῶν ἀποδέχεται ποικίλαν ἀεὶ μεταβολάν. κόρος μὲν γὰρ καὶ ὕβριος πέρας, ὄλεθρος· ἀπορίας δὲ καὶ στενοχωρίας πέρας, ἀνδραγαθία βίου ἀνθρωπίνου. (τὸ καὶ ἀφ' ἑτέρων αὐτὸν περαίνεσθαι.)

forte ὧδε δὴ.

Inclusa parenthesi sensum nō reddunt.

Ex τῶν Τέλητος.

Εἰ δὲ δεῖ τὸν εὐδαίμονα βίον ἐκ τῶν πλεοναζουσῶν ἡδονῶν συγκρῖναι, οὐδείς φησιν ὁ Κράτης εὐδαίμων γεγονὼς ἂν εἴη. ἀλλ' εἰ θέλει τις ἐκλογίσασθαι ἐν ὅλῳ τῷ βίῳ πάσας τὰς ἡλικίας, εὑρήσει πολλῷ πλείους τὰς ἀλγηδόνας. πρῶτον μὲν τοῦ παντὸς χρόνου ὁ ἥμισυς, ἀδιάφορος, ἐν ᾧ καθεύδομεν. εἶθ' ὁ πρῶτος ὁ ἐπὶ τὴν παιδοποιίαν ἐπίπονος. πεινᾷ τὸ παιδίον, ἡ δὲ τροφὸς κατακοιμίζει· διψᾷ, ἡ δὲ λούει· κοιμηθῆναι θέλει, ἡ δὲ κρόταλον ἔχουσα ψοφεῖ. εἰ δ' ἐκπέφευγε τὴν τιτθήν, παρέλαβε πάλιν ὁ παιδαγωγός, παιδοτρίβης, γραμματοδιδάσκαλος, ἁρμονικός, ζωγράφος. προάγει ἡλικία, προσγίνεται ἀριθμητικός, γεωμέτρης, πωλοδάμνης. ὑπὸ τούτων πάντων μαστιγοῦται, ὄρθρου ἐγείρεται, σχολάσαι οὐκ ἔστιν. ἔφηβος γέγονεν, ἔμπαλιν τὸν κοσμητὴν φοβεῖται, τὸν παιδοτρίβην, τὸν ὁπλομάχον, τὸν γυμνασίαρχον. ὑπὸ πάντων τούτων μαστιγοῦται, παρατηρεῖται, τραχηλίζεται. ἐξ ἐφήβων ἐστί, καὶ ἤδη εἴκοσι ἐτῶν, ἔτι φοβεῖται, καὶ παρατηρεῖ, καὶ γυμνασίαρχον, καὶ στρατηγόν. παρακοιτεῖν ὅπου δεῖ, οὗτοι παρακοιτοῦσι· φυλάττειν καὶ ἀγρυπνεῖν, οὗτοι φυλάττουσιν· εἰς τὰ πλοῖα ἐμβαίνειν, οὗτοι ἐμβαίνουσιν. ἀνὴρ γέγονε καὶ ἀκμάζει, στρατεύεται καὶ πρεσβεύει ὑπὲρ τῆς πόλεως, πολιτεύεται, στρατηγεῖ, χορηγεῖ, ἀγωνοθετεῖ, μακαρίζει ἐκεῖνον τὸν βίον, ὃν παῖς ὢν ἐβίωσε. παρήκμασε, καὶ ἔρχεται εἰς γῆρας, πάλιν παιδοτροφίαν ὑπομένει, καὶ ἀποποθεῖ τὴν νεότητα. καὶ ἡ νεότης μοι φίλον· τὸ δὲ γῆρας βαρύτερον Αἴτνης. οὐχ ὁρῶ οὖν, πῶς εὐδαίμονά τις βίον ἔσται βεβιωκώς, εἴπερ δεῖ τῷ πλεονασμῷ τῶν ἡδονῶν ἐκμετρῆσαι.

Ἡροδότου.

Ἐπεὶ δὲ ἐγένοντο ἐν Ἀβύδῳ μέσῃ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν. καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτῷ ταύτῃ προεξέδρη λίθου λευκοῦ. ὡς δ' ὥρα πάντα τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτάς, καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνταῦθα ὁ Ξέρξης ἑωυτὸν ἐμακάρισε· μετὰ δὲ τοῦτο, ἐδάκρυσε. μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως, οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, οὗτος ὦν ἀνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα, * ἤρετο τάδε. ὦ βασιλεῦ, ὡς πολὺ ἀλλήλων κεχωρισμένα εἰργάσαο νῦν τε, καὶ ὀλίγῳ πρότερον. μακαρίσας γὰρ σεωυτόν, δακρύεις. ὁ δ' εἶπεν· * ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος. εἰ τούτων γε ὄντων τοσούτων, οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται. ὁ δέ, ἀμείβετο, λέγων, ἕτερα τούτου παρὰ τὴν ζωὴν πεπόνθαμεν οἰκτρότερα. ἐν γὰρ οὕτω βραχεῖ βίῳ

al. εἴρετο.

al. ἐσῆλθε.

Cum enim omnes humanæ res paruæ sint, inæquale tamen studium illis impendi.

Neoptolemum histrionem tragœdiarum interrogabat quispiam, quidnam ab Aeschylo, aut Sophocle, aut Euripide dictum admiraretur: cui ille, Nihil quidē istorum se in admirationem trahere: sed quod ipse uidisset Philippum Cleopatræ filiæ suæ nuptias magnificè celebrantem in scena amplissima, cum tertiusdecimus deus appellaretur, postridie in theatro iugulatum & proiectum.

Hippodami Pythagorici ex libro de republica.

Omnia sanè mortalia propter necessitatem naturæ in mutationibus uoluuntur, dum aut à meliori ad deteriorem statum transeunt, aut contrà. Res enim natę augentur: auctæ uigent: uigentes senescunt: & tandem corrumpuntur. Accidit autem corruptio rebus à natura productis, dum per ipsam naturam ad inuisibilem eius terminum rediguntur: à quo rursus ad mortalem statum conueniunt, per mutuas generationis & corruptionis uices, quæ ambitu reciproco talem circulum constituunt. Quædam propter humanā stultitiam, quæ cum luxuria & satietate uixit, interitum sibi accersunt. Quinetiam familiæ & ciuitates magna fœlicitate turgentes, amplisq; opibus abundātes, unà cum bonis suis tantopere laudatis, pessum eunt. Cæterum usu uenit omnem principatū tribus temporibus circumscribi. Vno & primo, quod spacium acquirendi continet: altero, quod fruitionem: & postremo, quod amissionem complectitur. Primi nanq; infœlices sunt, qui congesserunt opes: secundi uero fœlices facti, eas amiserunt postea. Quæ igitur à dijs gubernantur, cum naturæ sint incorruptæ, perpetuò ab incorruptis rebus seruari solent: Quæ autem inter homines mortalia sunt, mutatione semper uaria afficiuntur à mortalibus. Saturitatis enim & petulantiæ finis est, interitus: inopiæ autem & rerum angustiæ, humanæ uitæ probitas.

Quod si fœlix uita ex maiore uoluptatū numero per collationē dicēda est, nullus ut ait Crates fœlix fuerit. Sed si quis omnes uitę ętates per se consyderet, longè plus dolorū inueniet. Primū totius temporis dimidium, quo somnus capitur, indifferēs est: deinde quantūcunq; tēporis circa infantiā insumitur, laboriosum est. Esurit infans, à nutrice sopitur, sitit, lauatur, dormire uult, nutrix quatit crepitaculū. Vbi iā nutricē effugit, assumit ipsum pædagogus, pædotriba, ludimagister, music⁹, pictor. Adultior fit, accedit arithmeticus, geometra, equitādi magister: ab omnibus istis cæditur, diluculo excitatur, nullū otij tēpus habet. Ephebus est factus, rursus moderatorē metuit, pædotribam, hoplomachum, gymnasiarchā, ab istis omnibus flagris afficitur, obseruatur, cruciatur. Ex ephebis excessit, & annos iā natus est uiginti, adhuc metuit & obseruat. Excubare sicubi oportet, illi excubant: custodiendū aut uigilandum est, illi custodiunt: in naues intrandū, ijdem intrant. Virilem deinde ætatē & uigorem assequutus, militat, legationes obit nomine ciuitatis, exercitū ducit, præest choro, certaminibus & præmijs constituendis pręficitur, interim uero laudibus extollit uitam suæ pueritiæ. Declinans tandem atq; senescens, iterum puerilem educationem recipit, & iuuentutē desyderat. O grata mihi iuuentus, senecta uero onus Aetna grauius. Itaq; non uideo quomodo quisquam fœlicem ætatem uiuere possit, si pro uoluptatum abundante numero metienda sit. *Ex Teletis lib.*

Vbi Abydon uenerūt, Xerxi incessit cupido omnē exercitū oculis subijciendi. Nā prominens quædam exedra in hoc ei prius ex candido lapide in loco ędito extructa erat. Paulo post. Et cū intueretur omnē Hellespontum nauibus obductū, omnia littora & Abydenorū plana hominibus referta, ibi se beatum esse iactauit, & post hæc lachrymas fudit: Quod Artabanus animaduertēs eius patruus, qui liberè sentiens dissuaserat bellū Gręcię inferendū, his uerbis interrogauit: Quàm diuersa rex inter se nūc facis & dudū dixisti? qui te beatū esse dixeras, nunc lachrymas fundis. Et ille: Reputantē me, inquit, quā breuis est omnis humana uita, subijt horū miseratio: quorum, cum tot sint, nemo ad centesimū annum superesit. Excipiens Artabanus: Atqui, inquit, alia, quā istud est, uiuēdo miserabiliora patimur. In tam breui uita enim *Herodoti in polymnia.*

οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκεν, οὔτε τούτων, οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις, καὶ οὐχὶ ἅπαξ, τεθνάναι βούλεσθαι μᾶλλον, ἢ ζῆν. αἵτε γὰρ συμφοραὶ συμπίπτουσαι, καὶ αἱ νοῦσοι συνταράττουσαι, καὶ βραχὺν ἐόντα, μακρὸν δοκεῖν εἶναι ποιοῦσι τὸν βίον. οὕτως ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζωῆς, καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν. ὁ δὲ θεὸς γλυκὺν * τάξας τὸν αἰῶνα, φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών. ἐπίσταμαι δὲ τοσοῦτον, ὅτι, εἰ πάντες ἄνθρωποι τὰ οἰκήια κακὰ εἰς μέσον συνενέγκαιεν, ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισιν, ἐγκύψαντες ἂν εἰς τὰ τῶν ἄλλων κακὰ, ἀσπασίως ἕκαστοι αὐτῶν ἀποφοροίατο ὀπίσω, τὰ εἰσηνέγκαντο.

al. γεύσας. & al. σκέψας.

Εἶναι δὲ θνητῶν οὐδένα, οὐδὲ ἔσεσθαι, τῷ τὸ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη: τοῖσι δὲ μεγίστοισιν αὐτῶν, μέγιστα.

Πλάτωνος ἐκ τοῦ ἀξιόχου.

Ποῖον ἔφη μέρος τῆς ἡλικίας ἄμοιρον τῶν ἀνιαρῶν; οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλαίει, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλγηδόνος, ἀλλὰ διὰ ἔνδειαν, ἢ περίψυξιν, ἢ θάλπος, ἢ πληγὴν, ὀδυνᾶται: λαλῆσαι μὲν οὔπω δυνάμενον, ἃ πάσχει: κλαυθμυριζόμενον δὲ, καὶ ταύτην τῆς δυσαρεστήσεως μίαν ἔχον φωνήν. ὁπόταν δὲ εἰς τὴν ἑπταετίαν ἀφίκηται, πολλοὺς πόνους διαντλῆσαν, ἐπέστησαν παιδαγωγοὶ, καὶ * γραμματισταὶ, καὶ παιδοτρίβαι τυραννοῦντες. αὐξανομένῳ δὲ, κριτικοὶ, γεωμέτραι, τακτικοὶ, πλῆθος δεσποτῶν. ἐπειδὰν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, * κοσμητὴς, καὶ φόβος χείρων, ἔπειτα λύκειον, καὶ ἀκαδημία, καὶ γυμνασιαρχία, καὶ ῥάβδοι, καὶ κακῶν ἀμετρία. καὶ πᾶς ὁ τοῦ μειρακίου χρόνος, ὑπὸ σωφρονιστὰς, καὶ τὴν ἐπὶ τοὺς νέους αἵρεσιν, τῆς ἐξ ἀρείου πάγου βουλῆς. ἐπειδὰν δὲ ἀπολυθῇ τούτων, φροντίδες ἄντικρυς ὑποδύονται καὶ διαλογισμοὶ, τίνα τις τοῦ ζῆν ὁδὸν ἐνστήσεται. καὶ τοῖς ὕστερον χαλεποῖς, ἐφάνη τὰ πρῶτα παιδικὰ, καὶ νηπίων ὡς ἀληθῶς φόβητρα. στρατεῖαι γὰρ καὶ τραύματα, καὶ συνεχεῖς ἀγῶνες. εἶτα λαθὸν, ὑπεισῆλθε τὸ γῆρας, εἰς ὃ πᾶν συῤῥεῖ τὸ τῆς φύσεως ἐπίκηρον καὶ δυσαλθές. κἂν μή τις θᾶττον ὡς χρέος ἀποδιδῷ τὸ ζῆν, ὡς ὀβολοστάτις ἡ φύσις ἐπιστᾶσα ἐνεχυράζει, τοῦ μὲν ὄψιν, τοῦ δὲ ἀκοὴν, πολλάκις δὲ ἄμφω. κἂν ἐπιμείνῃ τις, παρέλυσεν, ἐλωβήσατο, παρήρθρωσεν. ἄλλοι πολὺ γήρους ἀκμάζουσι, καὶ τῶν δὶς παῖδες οἱ γέροντες γίγνονται. καὶ διὰ τοῦτο καὶ οἱ θεοὶ τῶν ἀνθρωπείων ἐπιστήμονες, οὓς ἂν περὶ πλείστου ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. ἀγαμήδης γοῦν καὶ τροφώνιος οἱ δειμάμενοι τὸ πυθοῖ τοῦ θεοῦ τέμενος, εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κατακοιμηθέντες, οὐκ ἔτι ἐξανέστησαν. οἵ, τε τῆς ἀργείας ἱερείας υἱεῖς ὁμοίως εὐξαμένης αὐτοῖς τῆς μητρὸς γενέσθαι τι τῆς εὐσεβείας παρὰ τῆς ἥρας γέρας, ἐπειδὴ τοῦ ζεύγους ὑστερήσαντος ὑποδύντες αὐτοὶ, διήνεγκαν εἰς τὸν νεὼν τὴν μητέρα, μετὰ τὴν εὐχὴν, νυκτὶ μετήλλαξαν. μακρὸν ἂν εἴη διεξιέναι τὰ τῶν ποιητῶν, οἳ * στόμασι θεσπεσίοις τὰ περὶ τὸν βίον θεσπιῳδοῦσιν, ὡς καταοδύρονται τὸ ζῆν. ἑνὸς δὲ μόνου μνησθήσομαι τοῦ ἀξιολογωτάτου λέγοντος.

al. γυμνασταί.

al. ὁ φόβος χείρων ἔπι τὸ λύκειον.

al. ποιήμασι.

ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
ζώειν ἀχνυμένοις. καὶ οὐ μὲν γάρ τί που ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς,
Πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
τὸν δὲ Ἀμφιαράου τί φησι;
Τὸν περὶ κῆρι φίλει ζεύς τ᾽ αἰγίοχος, καὶ ἀπόλλων
Παντοίῃ φιλότητ᾽, οὐδ᾽ ἵκετο γήραος οὐδόν. Καὶ ὁ κελεύων
Τὸν φύντα θρηνεῖν, εἰς ὅσ᾽ ἔρχεται κακὰ,

τί σοι φαίνεται; ἀλλὰ παύομαι, μήποτε παρὰ τὴν ὑπόσχεσιν μηκύνω, καὶ ἑτέρων μιμνησκόμενος. ποίαν δέ τις ἑλόμενος ἐπιτήδευσιν, ἢ τέχνην, οὐ μέμφεται, καὶ τοῖς παροῦσι χαλεπαίνει; τὰς χειρωναξικὰς ἐπέλθωμεν καὶ βαναύσους τέχνας πονουμένων ἐκ νυκτὸς εἰς νύκτας, καὶ μόλις ποριζομένων τὰ ἐπιτήδεια, καταδυρομένων δὲ ἑαυτοὺς, καὶ πᾶσαν ἀγρυπνίαν πιμπλάντων ὀλοφυρμῶν τε καὶ * φροντίδων. ἀλλὰ τὸ πλωτικὸν καταλεξώμεθα περαιούμενον διὰ τοσούτων κινδύνων, καθὼς ἀπεφήνατο βίας, μήτε ἐν τοῖς τεθνηκόσιν ὄντα, μήτε ἐν τοῖς βιοῦσιν. ὁ γὰρ ἐπίγειος ἄνθρωπος ὡς ἀμφίβιος, ἑαυτὸν εἰς πέλαγος ἔῤῥιψεν, ἐπὶ τῇ τύχῃ γεγονὼς πᾶς. ἀλλ᾽ ἡ γεωργία γλυκύ. δῆλον: ἀλλ᾽ οὐχ ὅλον, ὡς φασὶν, ἕλκος αἰεὶ λύπης πρόφασιν εὑρισκόμενον, κλαῖον νυνὶ μὲν αὐχμὸν,

al. λυπῶν.

νυν

nullus hominum adeò fœlix extitit, neq; horum, neq; aliorum, cui non crebro, nedum semel, subeat animo moriendi uoluntas potius quàm uiuendi. Nam incidentes calamitates & morbi uitam perturbant: efficiuntq;, ut cum breuis sit, tamen per longa uideatur. Ita mors optatissimum est perfugium ærumnosæ uitæ, quam deus dulci gustu aspergens, ob id inuidius fecisse deprehenditur. Et alibi. Tantum scio, quod si ex omnibus hominibus sua singuli mala in medium conferrent, alter cum altero commutaturus, inspectis aliorũ malis libenter unusquisq; sua sibi rursus acciperet, quæ prius attulerat.

Esse uero mortalium neminem, nec ullum fore, cui semel genito non admixtum sit malum: maximis uero quibusq;, maxima mala contingere.

Quę enim pars, inquit, ætatis, calamitatibus uacat? Nónne statim à principio plorat, ut primum natus est infans, uitamq; à lachrymis auspicatur? Quæ tandem non premit eum molestia? Semper enim uel penuria, uel frigore, uel calore, uel uerberibus urgetur. Antea quoq; quàm loqui possit, quãta patitur? flens scilicet, hancq; solam habẽs anxietatis suæ querelam. Vbi septimũ dehinc expleuerit annũ, multosq; labores exhauserit: iã custodes, gymnastæ, & magistri ludi ei præficiũtur: iam adolescenti critici, geometræ, rei militaris pręceptores: ingẽs planè dominorũ multitudo. Post ista ubi in Ephebos ascript9 est, peior iã metus, Lyceũ academia, gymnasiarcha, uirgę, nullaq; prorsus malorũ mẽsura. Omnis adeò adolescẽtis sub moderatoribus est labor: q ex Areopagi delecti cõsilio præsunt iuuẽtuti. Deinde cũ fuerit istis exolutus, iã curæ palã emergũt, reputatioq; q̃d uiuẽdi potissimũ instituat iter: pręq; sequẽtibus incõmodis priora illa puerilia uidẽtur, & infantiũ reuera territamẽta. expeditiones ẽm & uulnera, ꝑpetuiq; certaminũ labores sequũtur. Hinc iã fallẽs subrepit senectus, in quã confluit qcquid est infirmũ fragileq; naturę. Quod nisi ocyus qs uitã uelut æs alienũ reddiderit, astãs supra caput natura tanq̃ fœnerator reposcit usurã: ab alio quidẽ uisum, auditũ ab alio, ꝑsæpe utrũq;. At si qs diutius cũctetur, debilitat eũ, excruciat, mẽbrisq; destituit. Alij itaq; multa senectute repuerascũt, animoq; bis pueri fiunt senes. Dij ergo propter hoc ipsum (ut qbus notissimæ sint res humanæ) quos plurimi faciũt, eos citius auferũt à uita. Agamedes & Trophonius igitur, cum Pythij Apollinis ædificassent templũ, orãtes dari sibi q̃d optimũ esset, cũ obdormiuissent, nunq̃ deinde surrexerũt. Sic etiã Iunonis Argiuæ sacerdotes, precãte matre eorũ, ut gratiã eis aliquã Iuno pietatis illorũ referret. Cũ ẽm cunctarentur iumenta, succedentes ipsi uehiculo matrẽ ad templũ usq; pertraxerant: post preces ergo nocte decesserunt. Longũ foret aũt poëtarũ dicta recensere, qui diuinioribus poëmatis ea quæ ad uitam pertinent nostram, uelut ex oraculo decantant, quemadmodũ deplorent illam: sed unius solum memoratu dignissimi sat habeo meminisse, qui inquit:

Quàm superi miserum stamen mortalibus æui
Neuere, ut uiui deflenda per omnia durent. Iterumq;:
Ex cunctis hominum generi sors pessima uitę
Stat, quæcunq; supra terram spirantq; meantq;.
De Amphiarao uerò quid dicit?
Iupiter hunc totis animis, hunc magnus Apollo
Diligit, & iusti metas non attigit æui. De illo quoq;, qui ita iubet:
Nascens fleat, qui tanta uitæ intrat mala.

Quid tibi uidetur? Sed cesso, ne commemorando alios, rem cõtra quàm institui longius ducã. Quod aũt uitæ quisquã institutũ, quámue artẽ deliget, ut nõ queratur de ea, atq; pręsentibus offendatur? Opifices, mercenariasq; recenseamus artes ex nocte in noctẽ usq; laborãtes, & uix lucrãtes uitę necessarios sumptus, cõplorãtes seipsos, omnemq; uigiliã suã mœrore lachrymisq; cõplentes: Aut nautã dicamus, ꝑ tãta penetrantẽ pericula, q, quemadmodũ Bias ait, neq; inter mortuos est, neq; inter uiuos. Terrestris ẽm homo, uelut ambigui generis, ipse in mare sese proiecit, totusq; arbitrij factus est fortunæ. Verum dulcis est agricultura. Est sanè. Nónne tota tamen est, quod aiunt, ulcus, semper paratam doloris habens causam, nunc quidẽ siccitatem,

Platonis in Axiocho.

Euripidis.

al. ἐπίκαυσιν. * al. κρυμός. al. ἀλγεινήν. al. ἐμβαλλόμενον. al. ποῦ δὲ οἱ πρώην βασιλεῖς τε, καὶ στρατηγοί;

νυνὶ δ' ἐπομβρίαν, νυνὶ δὲ † ἐπίκλυσιν, νυνὶ δ' ἐρυσίβην, νυνὶ ὁ θάλπος ἄκαιρον, ἢ * κρυμόν. ἀλλ' ἡ πολυτίμητος πολιτεία, πολλὰ γὰρ ὑπερβαίνω, διὰ πόσων ἐλαύνεται δεινῶν; τὴν μὲν χαρὰν ἔχουσα φλεγμονῆς δίκην, παλλομένην καὶ σφυγματώδη: τὴν δὲ ἀποτυχίαν, * ἀλγεινήν, καὶ θανάτων μυρίων χείρω. τίς γὰρ ἂν εὐδαιμονήσειε πρὸς ὄχλον ζῶν, εἰ ποππυσθείη, καὶ κροτηθείη, δήμου παίγνιον, * ἐκβαλλόμενον, συριττόμενον, ζημιούμενον, θνῆσκον, ἐλεούμενον; ἐπεὶ τοι γε ἀξιόχρεω πολιτικὲ, ποῦ τέθνηκε Μιλτιάδης; ποῦ δὲ Θεμιστοκλῆς; ποῦ δὲ Ἐφιάλτης; * ποῦ δὲ πρώην οἱ δέκα στρατηγοί;

ΠΕΡΙ ΛΥΠΗΣ, ΟΤΙ ΛΙΑΝ ΜΟΧΘΗΡΑ ΚΑΙ ΕΠΩΔΥΝΟΣ ΤΟΙΣ ΦΡΟΝΤΙΖΟΥΣΙΝ.

ΛΟΓΟΣ Ενενηκοστός ζ.

Μενάνδρου.

Πολλῶν φύσει τοῖς πᾶσιν αἰτία κακῶν
λύπη. διὰ λύπης καὶ μανία γὰρ γίνεται
πολλοῖσι, καὶ νοσήματ' οὐκ ἰάσιμα.
αὑτούς τ' ἀνῃρήκασι διὰ λύπην τινές.
ἐπὰν τὸ λυποῦν πλεῖον, ἢ τὸ σῶζον ᾖ.

Κλεαινέτου.

Λύπη γὰρ ὀργήν τ' εἰς ἕνα ψυχῆς τόπον
ἐλθόντα, μανία τοῖς ἔχουσι γίνεται.

Εὐριπίδου. Vox apparet corrupta.

Ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτοὺς,
δεῖν δ' αὖ * χρόνων τε καὶ πετρῶν ῥιπτεῖν ἄπο,
οὐκ ἐν σοφοῖσιν ὄντ', εὔχεσθαι δ' ὅμως,
ἄπειρος εἶναι τῆς νόσου πάντας ἀεί.

Φιλήμονος.

Οὕτως ὅταν ἐμπέσῃ τις εἰς τὸν νοῦν φόβος,
κἂν τῷ καθεύδειν οὗτος οὐκ ἐξέρχεται.
Νόσον πολὺ κρεῖττόν ἐστιν, ἢ λύπην φέρειν.

Μενάνδρου.

Οὐκ ἔστι λύπης, ἐάνπερ ὀρθῶς τις σκοπῇ,
ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει.

Εὐριπίδου.

Ἔνεστι πάντων πρῶτον εἰδέναι τουτί,
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.
καὶ οὗτος ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ
ἧττον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει.
Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.
Ἧττον τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν,
ὡς τοῦ γε πάσχειν τοὐπιὸν μεῖζον κακόν.
Φρονῶ δ' ἃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν.
τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ
νοσοῦντα. κέρδος δ' ἐν κακοῖς ἀγνωσία.
Οἰκτεῖρ' ἀκούσας. οἰκτρὰ γὰρ τὰ δυστυχῆ
βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
Ἄνθρωπος ὢν οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν,
οὐδὲ μέχρι τέλους ἔμεινεν εὐτυχῶν.
Λύπη μάλιστά γ' ἡ διαφθείρουσά με.
δεινὴ γὰρ ἡ θεὸς, ἀλλ' ὅμως ἰάσιμος.
Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ἴσως
ἔπραξας. αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ

δὲ hic abundat.

μισῶ. λογισμὸς * γὰρ τοὔργον οὐ νικᾷ ποτέ.

οὐ δεῖ

nunc pluuias, nunc uredinem, nunc rubiginem, nunc uel æstum intempestiuū, uel frigus conquerens? Illa quoq; honorata imprimis reipublicæ cura (multa enim prętereo) per quantas rapitur anxietates? Quæ gaudia quidem habet inflammationis in modū trepida semper, atq; stimulis repleta, repulsas uerò acerbas & millies morte peiores. Quis enim beatus esse possit uulgi uiuens arbitrio? tametsi faueatur ei plaudatorq;: populi scilicet ludicrū, iactatus, exibilatus, damnatus, mortuus, & tum miserādus uisus. Vbi nanq; Axioche tu q in repub. uersaris mortuus est Miltiades, ubi Themisthocles, ubi Ephialtes obijt, ubi item qui nuper reges ducesq; fuerunt?

DE TRISTITIA, QVOD VALDE MOLESTA & dolorifica sit tristantibus.

SERMO XCVII.

Multorum malorum causa omnibus est suapte natura *Menandri.*
Tristitia: Propter hanc etiam insania oboritur
Multis, & ægritudines incurabiles.
Interficiunt etiam aliqui seipsos præ tristitia,
Cum quod infert mœrorem maius est, quàm unde salus speratur.
Tristitia enim & ira, ubi in unum animæ locum *Cleaneti.*
Conuenerunt, furorem sibi obnoxijs pariunt.
Quisquis tristitias ait hominibus obesse *Euripidis.*
Adeò, ut à rupibus & saxis deijci mereantur,
Non est ex sapientium numero. Verum tamen optet
Ne unquam hanc ægritudinem experiatur.
Adeò cum aliquis timor in animum illapsus est, *Philemonis.*
Etiam dormiendo non egreditur.
Morbum ferre multò satius est, quàm tristitiam.
Nulla est, si quis rectè consyderet, quàm tristia, *Menandri.*
Maior ægritudo suapte natura, inter humanas res.
Istud ante omnia discendum est primum, *Euripidis.*
Vt euentus rerum non ægrè aut iracundè feramus.
Huiusmodi uir optimus est, & calamitates ipsum
Minus mordent. Verum hæc dicere quidem
Nouimus, re ipsa autem præstare difficillimum est.
Mœrores enim morbos pariunt hominibus.
Nempe quod futurum est quotidianos metus mouet.
Plus enim inest mali expectando, quàm patiendo.
Intelligo autem quæ patior: & hoc ipsum non leue malum est.
Ignorantia enim uoluptatis aliquid habet
In homine ægrotante, & inscitia lucrum est in rebus aduersis.
Audiens misertus est. Omnes enim calamitates misericordiam cient
Cunctis hominibus, etsi quis externus fuerit.
Homo existens Nullus sine molestia uitam transegit,
Nec ad finem usq; fortuna secunda usus est.
Tristitia potissimum perdor,
Grauis enim dea est, ueruntamen curabilis.
Hæc non rectè quidem, sed animosè forsitan
Fecisti. Laudes autem ego infortunatus
Odi. Mens enim & opinio nunquam uincit rem ipsam.

Οὐ δεῖ λέγειν μακάριον, τὸν χρήματα
ἔχοντα πλεῖστα, τὸν δὲ μὴ λυπούμενον.

Μενάνδρου. Πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν
ὄντων, μέγιστόν ἐστιν ἡ λύπη κακόν.

Σοφοκλέους. Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.
Πῶς ἂν μάχωμαι θνητὸς ὢν τύχῃ,
ὅπου τὸ δεινὸν ἐλπὶς, οὐδὲν ὠφελεῖ;

Πινδάρου. Λῦπαι δὲ φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν.

Αμφιδος. Απολλον, ὡς δυσάρεστον ἐστ' ἀνιώμενος
ἄνθρωπος, ἐφ' ἅπασίν τι δυσχερὲς ἔχει.
Οπου τις ἀλγεῖ, κεῖσε καὶ τὸν νοῦν ἔχει.

Απολλοδώρου. Τοῖς γὰρ λυπουμένοις τε, καὶ μεριμνῶσιν
ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά.

Αλέξιδος. Τῶν μετρίων αἱ μείζονες λῦπαι,
ποιοῦσι τῶν φρενῶν μετάστασιν.

Ποσιδίππου. Οὕτω τι πολύπονον ἐστὶν ἡ λύπη κακόν.
Εργον γε λύπην ἐκφυγεῖν, ἣν δ' ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

Αντιφάνους. Απαν τὸ λυποῦν ἐστιν ἀνθρώπῳ νόσος,
ὀνόματα δ' ἔχουσα πολλά.
Λυπηρὸν ἀνθρώποισι καὶ τὸ ζῆν κακῶς,
ὥσπερ πονηροὶ ζωγράφοι τὰ χρώματα
πρώτιστον ἀφανίζουσιν ἐκ τοῦ σώματος.

Απολλόδωρος ὁ μεγαρείτης ἔλεγε τοὺς πενθοῦντας, ὅτι ἰατροί εἰσιν οἱ ἄνθρωποι τοῦ σώματος, ἀλυπότατα διάξειν. καὶ μὴν εἶπεν, ὅτι οἱ ὑμεῖς αὐτοῦ ἰατροὶ τῶν πάντες ἐπίστανται; καὶ ὅμως ὑπὸ γε ἐπ' αὐτοῖς λύπης, πολλοὶ ἑαυτοὺς διαχρῶνται.

Εὐφράντης ὁ σύρος, τὴν γυναῖκα ἀποβαλὼν ἔλεγεν: ὦ φιλοσοφία, τυραννικά σου τὰ ἐπιτάγματα. λέγεις φίλει: κἂν ἀποβάλῃ τις, λέγεις μὴ λυποῦ.

Σωκράτης ἐρωτηθεὶς, πῶς ἄν τις ἄλυπος διάγοι, τοῦτο ἀδύνατον εἶπεν. οὐ γάρ ἐστι πόλιν ἢ οἰκίαν οἰκοῦντα, καὶ ἀνθρώποις ὁμιλοῦντα, μὴ λυπεῖσθαι.

ΠΕΡΙ ΝΟΣΟΥ ΚΑΙ ΤΗΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΗΝ ΑΝΙΑΡΩΝ ΛΥΣΕΩΣ.

ΛΟΓΟΣ Εννεακαιδέκατος Α.

Ευριπίδου. Ω φίλον ὕπνου θέλγητρον ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες, ἐν δέοντί τε.
ἰδοὺ φίλον τι βοῦ νοσοῦντι δέμνια,
ἀνιαρὸν τὸ κτῆμ': ἀναγκαῖον δ' ὅμως.
αὖθις δ' ἐς ὀρθὸν στῆσον. ἀνακύκλει δέμας,
δυσάρεστον οἱ νοσοῦντες, ἀπορίας ὕπο.

Η κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις;
μάλιστα. δόξαν γὰρ τόδ' ὑγείας ἔχει.
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.

Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
ἰδόντ' ἀκεῖσθαι, μὴ 'πιτακτὰ φάρμακα
διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.

Νόσοι δὲ θνητῶν, αἱ μὲν εἰσ' αὐθαίρετοι;

αἰδ

Non appellandus est fœlix, qui pecunias
Habet plurimas, sed qui non tristatur.
Cum natura cunctis hominibus mala multa *Menandri.*
Hæreant, maximum est tristitia malum.
Aegritudines animi morbos quoq; pariunt. *Sophoclis.*
Quomodo mortalis ego fortunam impugno,
Vbi calamitas nihil spe iuuatur?
Animi perturbationes uel sapientem uirum seduxerunt. *Pindari.*
O Apollo, quàm morosus est tristitia captus *Amphidis.*
Homo, & in omnibus difficilis.
Vbi quis dolet, illuc animum conuertit.
Tristantibus enim & solicitis hominibus *Apollodori.*
Quælibet nox uidetur diu durare.
Tristitiæ plus quàm mediocres *Alexidis.*
Exturbare mentem solent.
Adeo multipes uariumq; malum est tristitia. *Posidippi.*
Difficile est tristitiam effugere, dies autem
Perpetuò secum nouas curas adfert.
Omne tristificum morbus est homini, *Antiphanis.*
Multis autem uarijsq; nominibus appellatur.
Molestum est hominibus infœliciter uiuere.
*Quemadmodum pictori malo colores **Hic uersus & sequens nullum sensum efficiũt.*
Primum abolent ex corpore.

Apollodorus Megarites aiebat illos, qui crederẽt hominem aliud quiddã esse præter corpus, minimum in uita molestiæ percepturos. Tum quidam dixit, filios eius omnes cognoscere, quod alij quàm corpus sint, nihilominus tamen propter molestiam & dolorem proprium multos sese perditum ire.

Euphrantes Syrus amissa uxore dicebat: ô philosophia, tyrannica sunt præcepta tua: amare iubes, & si quis amiserit quod amabat, dolere prohibes.

Socrates interrogatus quomodo quis sine molestia uitam ageret: negauit ullo modo id fieri posse. Non enim licet, dixit, ciuitatem aut domum inhabitanti, & hominibus conuersanti, sine molestijs degere.

DE MORBIS, ET MOLESTIARVM IN EIS SOLVTIONE, SERMO XCVIII.

O Gratum somni lenimen, auxilium morbi, *Euripidis in Oreste.*
Quàm suauiter ac tempestiuè mihi aduenisti.
En quàm iuuat lectus ægrotantem,
Res alioqui molesta, sed necessaria.
Rursum te erige, corpus reuolue.
Morosi sunt ægri perplexitatis causa.
Num libet in solo fulcire pedes?
Maximè. hoc enim opinionem quandam sanitatis parit.
Est autem uel opinari laudandum, etsi uerum absit.
Ad morbi naturam medicum quoq; oportet
Respicientem mederi, non imperata pharmaca
Exhibendo, nisi morbo conueniant.
Morbi mortalium alij sponte & nostra culpa fiunt,

ἀιδὲ ἐκ θεῶν πάρεισιν, ἀλλὰ τοὺς νόμους
ὅμως αὐτάς. ἀλλά σοι λέξαι θέλω,
εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶ θεοί.

Φιλήμονος. Πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακὸν,
τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
δεῖν τὸν κακῶς ἔχοντα, πῶς ἔχει, λέγειν.

Ἐκ τῆς ἡλιοδώρου ἰταλικῶν θεαμάτων. Ἰταλίης δ' ὀπόλλον ὑπερτέχοντα κολώνην,
γαυρέλην, χώρη τὶς ὁδιτάων ἐπὶ λαιὰ
κέκλεται, ἀργήεσσα χιονόεις. ἐκ δέ οἱ ὕδωρ
ἀΐσσει μάλα πικρὸν, ἀναπνεῦσαι, πίειν τε.
κεῖνο πολυστάφυλοι περιναίεται ἀνδράσιν ὕδωρ,
ὅσσαιν ἄλκαρ ἔχουσιν. ὁ μὲν, λοετροῖο χατίζων
αὐτὸς, ὄφρα κε μοῦνον ἐν ὕδατι γυῖα καθήρῃ,
ὀφθαλμοὺς βλεφάροισι λίην αραρόσι καλύψας
δύεται, ὥς μή οἱ τι παραδράμῃ ἕρκεος ἄστυ
addo ἅπερ. ὑγρὸν ἐπὶ γλήνης. τὸ γὰρ ἄλγεος * ἐστι.
Vox est corrupta. ὃς δὲ † κρυπμηρὰ νεφέλῃ * λελυσμένος ὄσσε,
ἀχάλλῃ ὀδύναις, κοροειδέα δ' ἀμφὶ χιτῶνα
* forsan κεκαυμένος. † οἴδος παλίεσσι περιβεβριθῇ † πελανοῖσι,
Etiā hec dictio κεῖνο καιριόν ἐστι, καὶ ἀσφαλὲς ὄμμα δῦναι,
nō est integra. ἀμπετὲς, ἀκλήϊστον, ἄφαρ δ' ἀπὸ πᾶσα τελέθει
† malim πετάλοισι θυμοδακὴς ὀδύνη, ῥεῖα δ' ἔκβεται ὕδατι νοῦσος.

Διογένης πρός τινα τῶν συνήθων τὸ σῶμα βεβλαμμένον καὶ πονούμενον, εὖ ἔφη φίλος ὅτι πολιεῖς, ἵνα μὴ πονῇς.

Δημοσθένους. Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν, ἕως μὲν ἂν ἐρρωμένος ᾖ τὶς, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν· ἐπὰν δὲ ἀρρώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ.

Ἀγάθωνος. Ἴναχος ποταμός ἐστι τῆς ἀργείας χώρας, γεννᾶται δ' ἐν αὐτῷ βοτάνη κύουρα καλουμένη, πηγάνῳ παρόμοιος, ἣν αἱ γυναῖκες, ὅταν ἀκινδύνως ἐκτρῶσαι θέλωσιν, ἐν οἴνῳ βεβρεγμένην τοῖς * ὀφθαλμοῖς ἐπιτιθέασιν.
malim ὀμφαλοῖς.

Χρυσέρμου. Ἐν εὐφράτῃ ποταμῷ τῆς παρθίας, γεννᾶται λίθος, ἀετίτης καλούμενος, ὃν αἱ μαῖαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασι, καὶ παραχρῆμα τίκτουσιν ἄτερ ἀλγηδόνος. εὑρίσκεται δ' ἐν αὐτῷ καὶ βοτάνη ἄξαλλα, μεθερμηνευομένη θερμόν· ταύτην οἱ τεταρταΐζοντες, ὅταν ἐπὶ τοῦ στήθους τιθῶσιν, ἀπαλλάσσονται παραχρῆμα.

Νικίου. Ἐν ὄρει δριμύλῳ καλουμένῳ τῆς παρθίας, γεννᾶται λίθος σαρδόνυχι παρόμοιος. ποιεῖ δ' ἄριστα πρὸς ἀμβλυωπίας, εἰς ὕδωρ θερμὸν βαλλόμενος.

Ἐκ τῆς ἀριστοτέ. Ἐν τραπεζοῦντι τῇ ἐν τῷ πόντῳ, γίνεται ἀπὸ † τοῦ ξύλου μέλι βαρύοσμον. καὶ φασὶ τοὺς μὲν ὑγιαίνοντας ἐξιστάναι, τοὺς δ' * ἐπιλήπτους τελέως ἀπαλλάσσειν.
al. † πύξου.
* al. ἐκπλήκτους.

Καλλισθένης. Ἄραρ ποταμός ἐστι τῆς κελτικῆς, παρὰ τῷ ῥοδανῷ ἡρμόσθαι, τὴν προσηγορίαν εἰληφὼς. καὶ συμφέρεται γὰρ εἰς τοῦτον κατὰ τὴν χώραν τῶν ἀλλοβρόγων. γεννᾶται δ' ἐν αὐτῷ μέγας ἰχθὺς, κλουπαία καλούμενος ὑπὸ τῶν ἐγχωρίων. οὗτος αὐξομένης μὲν τῆς σελήνης λευκός ἐστι· μειουμένης δὲ, μέλας γίνεται παντελῶς. ὑπεραυξήσας δὲ, ὑπὸ τῶν ἰδίων ἀκανθῶν ἀναιρεῖται. εὑρίσκεται δ' ἐν τῇ κεφαλῇ αὐτοῦ, λίθος χόνδρῳ παρόμοιος ἁλὸς, ὃς κάλλιστα ποιεῖ πρὸς τεταρταίας νόσους, τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος προσδεσμευόμενος, τῆς σελήνης μειουμένης.

Ἀρχελάου. Λυκόρμας τῆς αἰτωλίας ποταμὸς, μετωνομάσθη δ' εὔηνος. γεννᾶται δ' ἐν αὐτῷ, βοτάνη ζαρίζα προσαγορευομένη, λόγχῃ παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα.

Θρασύλλου. Ἐν νείλῳ ποταμῷ τῆς αἰγύπτου πρότερον δὲ * οὕτω καλουμένῳ, μέλας γίνεται λίθος κυάμῳ πα-
Vox corrupta uidetur.

Alij diuinitus immittuntur, quibus lege
Medemur. Sed hoc tibi dicere uolo,
Si dij turpe quicquam faciunt, iam non sunt dij.

Philemonis.

Multò molestius ipsa ægritudine malum est,
Quod singulis, à quibus inuisitur,
Aegrotus quomodo se habeat dicere cogitur.

*Ex Heliodori spectaculis Italicis. * γαῦρον.*

Si quis non procul prætereat Italiæ collem
*Amœnum, regio quædam ad læuam uiatoribus
Inclinat, splendida, niuosa, unde aqua
Amarissima, tum odore, tum potu, profluit.
Hanc aquam accolæ locupletes uineis
Vsurpant medicandis oculis. Aegrotus enim indigens lauacro,
Sese, ut membra solum in aqua purget,
Oculos palpebris bene iunctis operiens
Immergit, ita ut nullus ei præterfluat intra septum
Humor in pupillam: hinc enim dolor nasceretur.
Quisquis autem obscura nubecula tectos habens oculos
Aegrè dolores fert, aut cui circa tunicam corneam
Crassis membranis oculi tument,
Illi tutum & salubre est oculos immergere
Apertos, non conniuentes. Sic enim statim liberatur omni
Animum crucia nte dolore, & facile morbus cedit aquæ.

*Diogenes ad familiarem quendam oblæsum membris & è stipe uictitantem: Bene est amice, dixit, quod uictum oras ne labores. **Locus in Græco corruptus est*

Demosthenis. Quemadmodum in corporibus, dum ualida sunt, nihil sentitur ex putridis humoribus hinc inde sparsis: ubi uero infirmitas aliqua contigerit, omnia mouentur, siue ruptum quid, siue distortum, aut aliquid aliud in corpore putredine affectum fuerit &c.

Agathonis. Inachus fluuius est Argiuæ regionis, in quo herba nomine Cyura nascitur, rutæ similis. Hanc mulieres, cum sine periculo abortire uolunt, in uino maceratam umbilicis imponunt.

Chrysermi. In Euphrate fluuio Parthię lapis gignitur dictus Aëtites, quem obstetrices mulieribus in difficultate partus uentri imponunt, unde statim sine dolore pariunt. In eodem herba Axalla inuenitur, quod Parthorum lingua calidum significat: hanc quartanarij pectoribus imponunt, & statim liberantur.

Niciæ. In Thraciæ monte, quem Drimylum uocant, lapis sardonychi similis nascitur, qui saluberrimus est ad obtusam oculorum aciem, in aquam calidam demersus.

Ex Aristotelis mirabilibus narrationibus. In Trapezunte Ponti fit ex buxo mel grauis odoris, quo sanos quidem aiunt alienari mente, comitiali autem laborantes omnino sanari.

Callisthenis. Araris Galliæ fluuius est, dictus παρὰ τῷ ῥοδανῷ ἐρμίσθαι, i. quia Rhodano coniungitur. In hunc enim delabitur in Allobrogum regione. Nascitur autem in ipso magnus quidam piscis Clupea nominatus ab incolis, qui crescente luna albus est, decrescente totus nigrescit: & corpore nimium aucto à proprijs spinis interimitur. In huius piscis capite lapis reperitur similis grumo salis, qui optimè facit ad quartanas, sinistro lateri corporis alligatus decrescente luna.

Archelai. Lycormas Aetoliæ fluuius, qui postea alio nomine dictus est Euenus, radicem producit quæ Zarisa nominatur, hastæ similem, & obtusæ oculorum aciei utilissimam.

Thrasylli. In Nilo Aegypti fluuio, qui Aegyptus olim dictus fuit, niger lapis fabæ cõsimilis

μῳ παρόμοιος, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι. ποιεῖ δ' ἄριστα πρὸς τοὺς δαιμονιζομένους. ἅμα γὰρ αὐτὸν προσπελάσαι ταῖς ῥισίν, ἐξέρχεται τὸ δαιμόνιον.

Τιμαγόρου. Κάϊκος ποταμός ἐστι τῆς Μυσίας, φύεται δ' ἐν αὐτῷ βοτάνη ἁλιφάρμακος καλουμένη, ἣν οἱ ἰατροὶ τοῖς αἱμορραγοῦσιν ἐπιτιθέασι, καὶ τῶν φλεβῶν μεσολαβοῦσι τὴν ἔκρυσιν.

Κτησίας Κνίδιος. Ὄρος ἐστὶ τῆς Μυσίας Τεύθρας καλούμενον, γεννᾶται δ' ἐν αὐτῷ λίθος ἀντιπαθὴς προσονομαζόμενος, ὃς κάλλιστα ποιεῖ πρὸς ἀλφοὺς καὶ λέπρας, δι' οἴνου τριβόμενος, καὶ τοῖς πάσχουσιν ἐπιτιθέμενος.

Σωστράτου. Ἐν Τίγριδι ποταμῷ τῆς Ἀρμενίας, γεννᾶται βοτάνη κριθῇ παρόμοιος ἐγγίᾳ. ταύτην οἱ ἐγχώριοι θερμαίνοντες ἐν ἐλαίῳ καὶ ἀλειφόμενοι, οὐδέποτε νοσοῦσι μέχρι τῆς ἀνάγκης τοῦ θανάτου.

Κλειτοφῶντος. Ἐν Ἰνδῷ ποταμῷ τῆς Ἰνδίας, φύεται βοτάνη καρπύκη καλουμένη, βουγλώσσῳ παρεμφερής. ποιεῖ δ' ἄριστα πρὸς ἰκτέρους, διὰ ὕδατος χλιαροῦ διδομένη.

Πορφυρίου. Ἡ δὲ ἰτέα αὐτή, τὸν καρπὸν ἐκβάλλει πρὶν ἐκθρέψαι. διὸ ὠλεσίκαρπον αὐτὴν ὁ ποιητὴς ὀνομάζει. ἔστι μέντοι ἱστόρηται, ὡς μετὰ οἴνου δοθεὶς ὁ ταύτης καρπός, ἀγόνους ποιεῖ τοὺς πίνοντας, καὶ κατασβέννυσι τὸ σπέρμα, καὶ μαραίνει τὴν γόνιμον ὁρμήν.

Τρωΐλου. Τὸ τῆς ἰκτίδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζώων· ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν. φασὶ δὲ καὶ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις, καὶ δίδοσθαι ἀποξυόμενον.

Ἐν ταὐτῷ. Φασὶ τὸν γαλεώτην, ὅταν ἐκδύῃ τὸ δέρμα καθάπερ ὁ ὄφις, ἀποστραφέντα καταπίνειν. τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιλήπτοις.

Ἐν ταὐτῷ. Φασὶ τὴν φώκην ἐξεμεῖν τὴν πυτίαν, ὅταν ἁλίσκηται. εἶναι δὲ φαρμακώδη, καὶ τοῖς ἐπιληπτικοῖς χρήσιμον.

Ἐν Ἄργει φασὶ γίνεσθαι ἀκρίδος τι γένος, ἣν καλεῖσθαι σκορπιομάχον. ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ. ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου, τὸ ἐπιφαγεῖν αὐτήν.

Ἀλκμαίωνος. Λέγει δὲ τὰς νόσους συμπίπτειν * ὡς μὲν ὑφ' οὗ, δι' ὑπερβολὴν θερμότητος, ἢ ξηρότητος· ὡς δὲ ἐξ οὗ, διὰ πλῆθος τροφῆς, ἢ ἔνδειαν· ὡς δὲ ἐν οἷς, αἷμα, ἢ μυελόν, ἢ ἐγκέφαλον. γίνεσθαι δέ ποτε καὶ ὑπὸ τῶν ἔξωθεν αἰτιῶν, ὑδάτων ποιῶν, ἢ χώρας, ἢ κόπων, ἢ ἀνάγκης, ἢ τῶν τούτοις παραπλησίων.

malim ὡς, & sic in sequentibus.

Ἐρασιστράτου. Πλῆθος καὶ διαφθορά, ταὐτοπέτου αἴτια.

Πλάτωνος. Ἐὰν μέν σοι ἐθέλῃς, ἀπνευστὶ ἔχοντι πολὺν χρόνον, παύσεται ἡ λύγξ. εἰ δὲ μή, ὕδατι ἀνακογχυλίασον. εἰ δ' ἄρα πάνυ ἰσχυρά ἐστι, † λαβόντι τοιοῦτον, οἵῳ * κνήσαις ἂν τὴν ῥῖνα, πτάρε. καὶ ἐὰν πτάρῃς ἅπαξ ἢ δίς, κἂν πάνυ ἰσχυρὰ ἐστί, παύσεται.

† al. ἀναλαβόντι. * al. κινήσαις.

ΠΕΡΙ ΥΓΕΙΑΣ, ΚΑΙ ΤΗΣ ΠΕΡΙ ΤΗΝ ΔΙΑΜΟΝΗΝ ΑΥΤΗΣ ΠΡΟΝΟΙΑΣ.

ΛΟΓΟΣ Ενενηκοστὸς β΄.

Πυθαγόρου.

Οὐδ' ὑγιείας τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσει.
εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.

Ἀλκμαίωνος. Ἀλκμαίων ἔφη τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων ὑγροῦ, ξηροῦ, θερμοῦ, πικροῦ, γλυκέος, τῶν λοιπῶν. τὴν δ' ἐν αὐτοῖς μοναρχίαν, νόσου * κατασκευαστικὴν εἶναι.

* al. παρασκευαστικήν.

Πλουτάρχου. Ἡ ὑγεία ταῖς ἡδοναῖς, ὥσπερ ἡ γαλήνη ταῖς ἀλκυόσιν, ἀσφαλῆ καὶ καλὴν γένεσιν καὶ λοχείαν ἐνδίδωσι. κομψῶς γοῦν ἔοικεν ὁ Πρόδικος εἰπεῖν, ὅτι τῶν ἡδυσμάτων ἄριστόν ἐστι τὸ πῦρ. ἀληθέστερον γὰρ ἄν τις εἴποι τὴν ὑγείαν, ἥδυσμα θειότατον εἶναι καὶ προσηνέστατον. ἑφθὰ μὲν γοῦν καὶ ὀπτὰ καὶ πεπτὰ βρώματα, νοσοῦσιν ἢ κραιπαλῶσιν, ἢ ναυτιῶσιν, οὐδεμίαν ἡδονὴν οὐδὲ χάριν ἐνδίδωσι· καθαρὰ δὲ καὶ ἀκραιφνὴς ὄρεξις ὑγιαίνοντι σώματι πᾶν ἡδὺ ποιεῖ, καὶ ἁρπάλιον,

nascitur, quem canes intuiti non latrant. Optime facit ad uexatos dæmonio. Aiunt enim quamprimum naribus appositus fuerit, dæmonium egredi.

Caicus Mysiæ flumen est, in quo herba Elipharmacus nuncupata crescit, quam medici imponunt ad sanguinis eruptionem, & sanguinē uenis effluentē eadē sistūt. *Timagoræ.*

Mons est Mysiæ nomine Teuthras, in quo lapis antipathes cognominatus prouenit, q cōmodissimus est ad uitiligines ac lepras, in uino trit⁹, & ęgrotis impositus. *Ctesiæ Cnidij.*

In Tigride Armeniæ fluuio, herba nascitur agresti hordeo similis, hac in oleo calefacta inuncti incolæ, nunquam ægrotant usq; ad mortis necessitatem. *Sostrati.*

In Indo fluuio Indiæ herba Carpuca nomine crescit, buglosso herbę similis, quę ad morbum regium insigniter facit si ex aqua tepida propinetur. *Clitophontis.*

Salix etiam fructū amittit priusquā absoluat, propterea Homerus ipsam ὠλεσίκαρπον, id est frugiperdam cognominauit. Veruntamen proditum est, quod salicis fructus cum uino propinatus, sterilitatem inferat, & genituram extinguat, ac libidinis impetum marcore afficiat. *Porphyrij.*

Genitale membrum mustelæ negant esse simile naturæ reliquorum animalium: sed undequaq; solidum instar ossis. Et urinæ stillicidij optimum esse remediū aiunt, si scobs eius exhibeatur. *Trophili.*

Stellio traditur, ut primum senectutem exuit sicut serpens, conuersus eam uorare: Quoniam obseruetur à medicis, utpote ad comitialem utilis. *In eodem.*

Phoca ubi capta est coagulum euomere dicitur: q̃d medicamentosum esse aiunt, & in comitiali salubre. *Ibidem.*

In Argo referunt locustæ quoddam genus nasci, quod scorpiomachus. i. scorpionem impugnans appelletur. Vt primum enim scorpium uiderit, ei resistere. Vtilem quoq; dicunt esse aduersus ictum scorpij, si comedatur statim.

Morbos accidere dicit, alios ob efficientem causam, propter excessum caloris aut siccitatis: alios materialem ob causam, abundante aut deficiente alimento: alios ueluti in aliquibus uasis, ut in sanguine, medulla, aut cerebro. Aliquando autem ab externis causis eos nasci, propter aliquas aquas, regionem, lassitudinem, necessitatem, aut his similia. *Alcmeonis.*

Summæ causæ in humorum aut multitudine aut corruptione sunt. *Erasistrati.*

Si aliquandiu spiritū retinere uolueris, singultus desinet: sin minus, os aqua colluito, quod gargarismū uocant. Quod si omnino ualidus fuerit, sume aliquid quo nares interius perfrices, & sternutes, quod ubi semel aut bis feceris, licet ualde uehemens fuerit, abibit. *Platonis in symposio.*

DE SANITATE, ET ADHIBENDA CVRA ad eius durationem.

SERMO XCIX.

Non etiam negligenda fuerit sanitas corporis. *Pythagoræ.*
Sed modus in potu, cibo, & exercitijs
Habeatur. Modum uoco, quantum nihil molestiæ tibi sit exhibiturum.
Assuescas autem uictu puro, nec delicato, uti.

Alcmæon asserebat cōtinentem sanitatis causam in æqualitate facultatum inesse, nempe humidi, sicci, calidi, amari, dulcis, & reliquorum. Vna autem ex ipsis præpollente, morbum fieri.

At bona ualetudo uoluptatibus haud aliter, quàm cœli tranquillitas alcedinibus præbet, ut tuto commodeq; generent incubentq;. Eleganter enim Prodicus uisus est dixisse, optimum condimentum esse ignem. Nam uerissime quis dixerit, sanitatem maxime diuinum longeq; blandissimum esse condimentum. Siquidē cibi elixi, assi, coctiq;, his qui morbo laborant, aut crapula grauantur, quiue stomacho nauseant, nullā adferre neq; uoluptatē, neq; iucunditatem: at pura, synceraq; stomachi appetentia, corpori sano quidlibet etiā reddit suaue, & accōmodum, atq; ἐπαινον, ut *Plutarchi in suis salubribus præceptis.*

παλαιόν, ὡς ὅμηρος ἔφη, καὶ πρόσφορον.

Ἐκ τῶν ἀριστοξένου Πυθαγορείων.

Περὶ δὲ γεννήσεως παίδων, τάδε ἔλεγε. καθόλου μὲν φυλάττεσθαι τὸ καλούμενον πρόωρες. οὔτε γὰρ τῶν φυτῶν, οὔτε τῶν ζώων εὔκαρπα τὰ πρόωρα γίνεσθαι. ἀλλὰ χρόνον τινὰ προπαρασκευάζεσθαι τῆς καρποφορίας, ἵν' ἐξισχύσαντα καὶ τετελειωμένα τὰ σώματα, παρέχειν τά τε σπέρματα καὶ τοὺς καρποὺς δύνωνται. πολλὰ δὲ εἶναι, (ἐν τοῖς) ἐν οἷς ἡ ὀψιμαθία ἐστὶ βελτίων, οἷον καὶ τὸ περὶ ἀφροδισιάζειν πρᾶγμα. δέον οὖν ἐστὶ παῖδας οὕτως ἄγεσθαι διὰ τῶν * ἀσωμάτων ἀχόλους, ὥστε μὴ μόνον μὴ ζητεῖν, ἀλλ' εἰ δυνατὸν μηδὲ εἶναι τὴν τοιαύτην συνουσίαν *, ἐντὸς τῶν εἴκοσιν ἐτῶν. ὅταν δὲ καὶ εἰς τοῦτο ἀφίκηται, σπανίοις εἶναι χρηστέον τοῖς ἀφροδισίοις. τοῦτο γὰρ πρός τε τὴν τῶν γεννώντων, καὶ γεννησομένων εὐεξίαν πολὺ συμβάλλεσθαι. ἔλεγε δὲ, μήτε τρυφῆς, μήτε μέθης πλήρη ταῖς γυναιξὶν εἰς τὸ γεννᾶν ὁμιλεῖν. οὐ γὰρ (οἱ παῖς) ἐκ φαύλης καὶ ἀσυμφώνου καὶ ταραχώδους κράσεως εὔρυθμα καὶ καλά, ἀλλ' ὅλως δὲ ἀγαθὰ τὴν ἀρχὴν γίνεται.

malim σωμάτων.

addo ἐτῶν, aut simile.

Πλάτωνος.

φαίην ἂν δεῖν καὶ τὰς φερούσας ἐν γαστρὶ πασῶν τῶν γυναικῶν μάλιστα θεραπεύειν ἐκεῖνον τὸν ἐνιαυτόν, ὅπως μήθ' ἡδοναῖς τισι πολλαῖς ἅμα καὶ λαιμάργοις προσχρήσεται ἡ κύουσα, μήτ' αὖ λύπαις: τὸ δὲ λεῖον καὶ εὐμενὲς, πρᾶόν τε τιμῶσα διασώζει τὸν τότε χρόνον.

Πλουτάρχου.

Τὰ εὐτελῆ κρατεῖ τὴν ὄρεξιν ἐντὸς τῶν φυσικῶν μέτρων. ὀψοποιῶν δὲ τέχναι, καὶ δημιουργῶν, καὶ τὰ πανοῦργα ταῦτα ὀψάρια καὶ ὑποτρίμματα κατὰ τὸν κωμικὸν, ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθησιν εἰς τοὔμπροσθεν, καὶ παραλλάττει τὸ συμφέρον.

Δεῖ θαρροῦντας μάχεσθαι πρὸς τὰς ὀρέξεις ἐκφερομένας καὶ ἐπιπηδώσας ταῖς ἀπολαύσεσιν, ὡς ἐλαφρὸν καὶ παιδικὸν ἐχούσας τὸ μεμψίμοιρον, εἶτα παυομένας ἀρθείσης τῆς τραπέζης, καὶ μηδὲν ἐγκαλούσας, μηδὲ ἀδικουμένας, ἀλλὰ τοὐναντίον καθαρὰς, καὶ ἱλαρὰς, καὶ οὐ βαρείας, οὐδὲ ναυτιώδεις περιμενούσας τὴν αὔριον.

Λέγεται δὲ καὶ ἀλέξανδρος εἰπεῖν τοὺς ἐθάδας ὀψοποιοὺς ἀποπεμψάμενος, ὅτι ἔχει βελτίονας ἄγειν ἀεὶ σὺν ἑαυτῷ: πρὸς μὲν τὸ ἄριστον, τὴν νυκτοπορίαν: πρὸς δὲ τὸ δεῖπνον, τὴν ὀλιγαριστίαν.

Διὸ μὴ δεῖ σκοπεῖν τὸν ἰχθὺν εἰ πρόσφατος, μηδὲ τὸν ἄρτον, εἰ καθαρός: μηδὲ τὸ βαλανεῖον, εἰ θερμόν, μηδὲ τὴν ἑταίραν εἰ εὔμορφος. ἀλλ' ἑαυτὸν, εἰ μὴ ναυτιώδης, μηδὲ θολερὸς μηδὲ ἕωλος, μηδὲ τεταραγμένος. εἰ δὲ μὴ, καθάπερ εἰς οἰκίαν πενθοῦσαν ἐμβαλόντες, ἐπίκωμοι μεθύοντες, οὐ φιλοφροσύνην παρέχουσιν οὐδὲ ἡδονὴν, ἀλλὰ κλαυθμοὺς, καὶ ὀδυρμοὺς ἐποίησαν: οὕτως καὶ ἀφροδίσια καὶ ὄψα καὶ βαλανεῖα καὶ οἶνος, ἐν σώματι κακῶς, καὶ παρὰ φύσιν ἔχοντι μιγνύμενα, τοῖς μὴ καθεστῶσι * καὶ διαφθορῶσι, φλέγμα καὶ χολὴν κινεῖ, καὶ ταράττει καὶ προσεξίστησιν.

al. μηδὲ διεφθορόσι

Ἡ μὲν ἀκριβὴς σφόδρα καὶ δι' ὄνυχος λεγομένη δίαιτα, τό, τε σῶμα κομιδῇ παρέχεται ψοφοδεὲς καὶ σφαλερόν, αὐτῆς τε τῆς ψυχῆς τὸ γαῦρον κολούει, πάντα πράγματα, καὶ πᾶσαν οὐχ ἧττον ἐν ἡδοναῖς καὶ πόνοις διατριβὴν ὑφορωμένης, καὶ πρὸς μηδὲν ἰταμῶς καὶ θαρραλέως βαδιζούσης. δεῖ δὲ ὥσπερ ἱστίον τὸ σῶμα μήτε συστέλλειν εὐδίας οὔσης καὶ πιέζειν σφόδρα, μήτε ἀνειμένως χρῆσθαι τε καὶ καταφρονεῖν ἐν ὑποψίᾳ γενόμενον, ἀλλ' ἐνδιδόναι, καὶ ποιεῖν ἐλαφρόν.

Ὅθεν οὐ πρὸς τροφὴν μόνον, οὐδὲ γυμνάσια, δεῖ φυλάττειν τὸ σῶμα, μὴ παρὰ τὸ εἰωθὸς ἅπτεται τούτων ὀκνηρῶς καὶ ἀπροθύμως, ἢ πάλιν διψῶδές ἐστι καὶ πεινατικὸν ὡς οὐ πέφυκεν: ἀλλὰ καὶ τῶν ὕπνων τὸ μὴ συνεχὲς μηδὲ λεῖον, ἀλλ' ἀνωμαλίας ἔχον καὶ * σπασμοὺς, δεῖ εὐλαβεῖσθαι, καὶ τῶν ἐνυπνίων τὴν ἀτοπίαν. αἱ γὰρ ὅσαι μὴ νόμιμοι μηδὲ συνήθεις αἱ φαντασίαι, πλῆθος ἢ πάχος ὑγρῶν, ἢ πνεύματος ταραχὴν ἐντὸς κατηγοροῦσιν. ἤδη δὲ καὶ τὰ τῆς ψυχῆς κινήματα τὸ σῶμα μηνύει πρὸς νόσον ἐπισφαλῶς ἔχειν. ἄλογοι γὰρ ἴσχουσιν ἀθυμίαι, καὶ φόβοι πολλάκις ἀπ' οὐδενὸς φοβεροῦ, τὰς ἐλπίδας ἄφνω κατασβεννύουσαι. γίνονται δὲ καὶ ταῖς ὀργαῖς ἐπίχολοι καὶ ὀξεῖς, καὶ μικρόλυποι, καὶ δακρυρροοῦσι, καὶ ἀδημονοῦσιν, ὅταν ἀτμοὶ πονηροὶ, καὶ ἀναθυμιάσεις * πυκναὶ συνεστῶσαι ταῖς τῆς ψυχῆς, ὡς φησι πλάτων, ἀνακραθῶσι περιόδοις.

al. σπασμούς.

al. πικραί.

Ὅθεν

inquit Homerus, id est, quod rapere libeat.

De prolis autem generatione hæc dicebat, In uniuersum quidem cauendam esse præcocem Venerem. Nam neq; in plantarum, nec in animalium genere, quæ præcocia sunt, fœcunda fieri: sed certo tempore ad fructificandi facultatem præparari, quo corpora ipsorum roborata & perfecta, semina & fructus proferre ualeant. Multas autem res esse, quas serius didicisse præstaret, quale & opus Venereũ est. Quamobrem oportere pueros ita corporibus exerceri, & occupari, ut nõ modo Venerem non quærant, sed si fieri possit intra uigesimum annum prorsus ipsam ignorent: & illa ætate etiam rara Venere utendum esse. Hoc enim tum ad parentum tum generandæ prolis bonam habitudinem, multum conducere. Præterea iubebat ne quis plenus delicijs aut ebrietate, operam procreationi liberorum daret. Quoniam ex praua, inconcinna, & turbulenta mixtione non modo non egregia & concinna soboles, sed ne à principio quidem ullo pacto bona fieret. *Grauidas etiam præ cæteris mulieribus illum annum præcipuè obseruare iusserim, ita ut mulier prægnans neq; multis simul & gulosis uoluptatibus utatur, neq; rursus tristitijs: sed æquabilem, placidam & lenem uiuendi rationem colens totum id tempus seruet. *Ex Aristoxeni Pythagorici scriptus.* **Platonis.*

Nã cibi uiliores appetentiã intra naturæ modũ cohibent. Cæterũ artes istorũ qui opsoniorũ sunt opifices atq; architecti, & operosæ istæ cupediæ, ac ingeniosa cõdimenta, semp, ut inqt Comicus, uoluptatis fines lõgius promouẽt, ac uitiãt utilitatẽ. *Plutarchi in salubribus præceptis.*

Quin magis forti animo esse oportet aduersus appetentiam erumpentem, & ad fruendum his quæ cupit, exilientem, ut quæ nihil habeat præter leues ac pueriles querimonias & ploratus, deinde mox quiescat sublata mensa, nihilq; incuset, aut lædat, sed contrà pura, hilaris, minimeq; grauis aut fastidiosa duret in crastinum.

Fertur autem & Alexander dixisse, posteaquam solitos opsoniorum artifices abiecisset, se longè cõmodiores secum posse ducere, nempe nocturnam profectionem ad condiendum prandium, ad cœnam uerò prandij tenuitatem.

Proinde non oportebit expendere, num recens sit piscis, num purus panis, num caleat balneũ, num formosum scortum: sed seipsum quis consideret, fastidiosus ne sit, aut parũ tranquill⁹, aut marcidus, aut perturbatus. Quod ni fiat, haud secus ac si comessatores ebrij in ædes irrumpãt luctu funestas, nihil hilaritatis neq; uoluptatis sint allaturi, quin eiulatum potius excitaturi: Sic etiam Venus, opsonia, balnea, uinum, siquidem in corpore malè præterq; naturam affecto misceantur, his etiam humoribus, qui nondum certum uitium aut corruptionem acceperunt, phlegma bilemq; mouent, exagitant, magis ac magis excitant.

Igitur exacta quidem illa & uehementer ad unguẽ, ut dici solet, obseruata uitæ ratio, simul & corpus formidolosum reddit, ac periculis obnoxiũ, & animi frangit uigorem & alacritatẽ, dũ omnia negotia refugit, dũq; non audet, nec in uoluptatibus nec in laboribus uersari, dũ omnẽ rerũ administrationẽ suspectam habet, neq; quicquã confidenter & intrepidè aggreditur. Verũ oportebit corpus non aliter q̃ nautę uelũ, neq; contrahere sereno cœlo, neq; uehemẽter premere, neq; rursum laxatis uti linteis, & negligenter ac supinè agere, quũ suspicio sit tempestatis, sed obsequi conueniet, ac leue corpus reddere.

Vnde non in cibis solum & exercitationibus cõueniet obseruare corpus, nũ præter solitũ illis grauatim & illibenter utatur: aut cõtra, nũ siticulosius, magisue fameli cum sit quàm cõsueuerit, sed etiã illud obseruandũ erit, si quando somnus nec perpetuus fuerit, nec placidus, sed inęqualis & interruptus. Quin insup insomniorũ etiã absurditatẽ conueniet annotare. Nã si nefaria & insueta uisa occurrerint, aut crassis humoribus plenum corpus, aut spiritus intus turbatos declarant. Quin & animi affectiones indicãt, corpus ad morbũ esse propensum. Nã sæpe occupat quosdã tristitia nullã ob causam idoneã obo rta, aut metus repente spes extinguens, idq; cũ nihil appareat cur sit metuendũ. Redduntur aũt & iracundi, sic ut facile cõmoueantur, & ob rẽ quantũlibet leuẽ indoleãt, lachrymãturq; ac mœrẽt, quoties mali uapores & exhalatiões amaræ, cõdensatæ, animi cir cuitus, ut inqt Plato, prępediũt occupãtq;.

θεν ἄριστα λέγεται τροφῆς ἀκορίην, καὶ πόνων ἀοκνίην, καὶ σπέρματος ὁσίως συντήρησιν ὑγιεινότατα εἶναι. καὶ γὰρ ἡ παρὰ τὰς συνουσίας ἀκρασία, τοῦ μάλιστα τὴν δύναμιν ἐκλύειν, ὑφ' ἧς ἡ τροφὴ διαπονεῖται, πλείονα περιττώματα ποιεῖται καὶ πλῆθος.

Πυθαγόρας. Σαρκὸς φωνὴ, μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν.

Γαληνοῦ χαρακτηριάζοντα εἰς Ἱπποκράτην.

Τὰ τῆς τέχνης στοιχεῖα σαφῶς ἀρέσκειν αὐτῷ λέγει, τὰ ὅσα ἐναργῆ. συνέστηκεν οὖν ὅ, τε ἄνθρωπος, καὶ τὰ σύμπαντα ζῶα, ἐκ στερεῶν, ὑγρῶν, καὶ πνευμάτων. οὐκ ἀμοιρεῖ δὲ οὐδ' ἡ τῶν φυτῶν φύσις, τῆς τούτων τριγενείας: ἀλλὰ ζῇ τε, καὶ αὔξεται, καὶ γεννᾷ, καὶ φύεται τῇ τούτων συστάσει. τὴν μὲν οὖν τῶν στερεῶν σύστασιν, ὀστοῖς ἀνατίθησι καὶ νεύροις, καὶ χόνδροις, ἤδη δὲ καὶ ὑμέσι, καὶ ἀρτηρίαις, καὶ φλεψί. καὶ γὰρ ταῦτα τοῦ στερεοῦ γένους ἐν τισὶν εἶναι λέγει. τῆς δὲ τούτων συμπηγίας καὶ διαπλάσεως, ἑπόμενος τῷ εὐλόγῳ, τὴν κεφαλὴν εἶναι
lego ἀκμῶν. ἀρχὴν συνιδεῖν. ἀνατέθεικε δὲ τῇ τῶν στερεῶν φύσει, τό τε περὶ * ἀκμαῖν, καὶ τὰ περὶ ἄρθρων,
lego φυσῶν. καὶ τὰ τούτοις ὅμοια. τῷ δὲ πνεύματι, τὸ περὶ * φύσεων ἰδίως ἐπιγραφόμενον σύγγραμμα. τοῖς δ' ὑγροῖς, τὸ περὶ χυμῶν, καὶ τὸ περὶ ἀνθρώπου φύσεως: ἤδη δὲ καὶ σποράδην ἐν ἄλ-
lego ἴα. λοις. * ἔτι δὲ ταῦτα, αἷμα καὶ φλέγμα, χολὴ διττὴ, ξανθὴ καὶ μέλαινα. εἶναι δὲ τὸ μὲν αἷμα, τὴν φύσιν ὑγρὸν καὶ θερμὸν, καὶ τὴν χρόαν ἐρυθρὸν, τὴν δὲ ποιότητα, γλυκύ. τὸ δὲ φλέγμα, ψυχρὸν καὶ ὑγρὸν, καὶ λευκὸν, καὶ μᾶλλον ἁλμυρόν: τὴν δὲ ξανθὴν χολὴν, θερμήν τε καὶ ξη-
malim φυσώδη. ρὰν, καὶ ὠχρὰν, καὶ πικράν. τὴν δὲ ἑτέραν, ψυχρὰν καὶ ξηρὰν καὶ μέλαιναν καὶ * φυκώδη. ἀρέσκει δὲ αὐτῷ καὶ τὰς ἡλικίας διαιρεῖν εἰς δ΄, καὶ τὰς ὥρας τοῦ ἔτους ὁμοίως. πλεονάζειν δὲ τῶν εἰρημένων χυμῶν ἕκαστον, ἐν τῇ ἡλικίᾳ καὶ τῇ ὥρᾳ τῇ οἰκείᾳ ἑκάστου. καὶ ἐν μὲν τῇ τῶν παίδων ἡλικίᾳ, πλεονάζειν τὸ αἷμα καὶ τῇ ὥρᾳ τοῦ ἔαρος. ἐν δὲ τῇ τῶν ἀκμαζόντων, τὴν ξανθὴν χολὴν, καὶ ὥρᾳ θέρους. ἐν δὲ τῇ τῶν παρηβώντων τὴν μέλαιναν καὶ φθινοπώρῳ. ἐν δὲ τῇ τῶν γερόντων, τὸ φλέγμα καὶ χειμῶνος. ἐοικέναι γὰρ τὰς τῶν χυμῶν φύσεις ταῖς τῶν ὡρῶν. τὸ γοῦν ἔαρ, θερμόν τε καὶ ὑγρὸν, ὡς τὸ αἷμα. καὶ τὸ θέρος, θερμόν τε καὶ ξηρόν. τὸ δὲ μετόπωρον, ψυχρόν τε καὶ ξηρόν. ὁ δὲ χειμὼν, ψυχρὸς καὶ ὑγρός: ἀναλόγως τοῖς χυμοῖς. κατὰ ταὐτὰ δὲ καὶ τὴν ἡμέραν διαιρεῖ, καὶ τῷ ἀριθμῷ καὶ τῇ φύσει, ὡς ἐν μικρᾷ τῇ ἀναλογίᾳ. καθόλου γε τὰς τῶν ἀνδρῶν φύσεις, πρὸς τὰς τῶν γυναικῶν διαφέρειν. εἶναι γὰρ τὰς μὲν, ἤδη τὸ θερμότερον καὶ ξηρότερον: τὰς δὲ, ἤδη τὸ ψυχρότερον καὶ ὑγρότερον. ἐν ἑκάστου δὲ τούτων γένει, καὶ πρὸς ἀλλήλους ἔχειν μικροτέραν διαφοράν, παρά τε τὰς τῶν χωρίων θέσεις, καὶ τὰς τῶν ἀέρων ἰδιότητας, καὶ τὰς τῶν διαιτημάτων ἀγωγάς. παρέχειν δὲ καὶ τῶν χυμῶν ἕκαστον ἐν τῇ φύσει τοῦ ἀνθρώπου χρείαν ἐξαίρετον. καὶ τὸ μὲν αἷμα, τρέφειν καὶ θερμαίνειν καὶ ὑγιαίνειν, καὶ εὐχροίας εἶναι ποιητικόν. τὴν δὲ ξανθὴν χολὴν, συνέχειν τὸ σῶμα, καὶ τοὺς πόρους μὴ ἐᾶν ἐκλύεσθαι, καὶ μυωπίζειν τὴν αἴσθησιν, καὶ συντελεῖν τῇ πέψει, καὶ τὰς ὁδοὺς τῶν ἐκκρίσεων παρέχειν εὐπετεῖς. τὴν δὲ μέλαιναν, ἕδραν, καὶ οἱονεὶ βάθρον τῶν ἄλλων χυμῶν. τὸ δὲ φλέγμα, νεύροις, ὑμέσι, καὶ χόνδροις, καὶ ἄρθροις, καὶ γλώττῃ πρὸς τὸ εὔδρομον τῆς κινήσεως. δοκεῖ δὲ αὐτῷ καὶ τὸ σπέρμα πρὸς ζωογονίαν τό, τε τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικὸς ἐπίσης συντελεῖν, καὶ ἀπὸ πάντων τῶν μελῶν φέρεσθαι τοῦ σώματος. καὶ τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς τῆς μήτρας, τὰ δὲ θήλεα, ἐν τοῖς ἀριστεροῖς γεννᾶσθαι. ἰσχύειν δὲ καὶ τὰ δεξιὰ ὡς πρὸς τὰ ἀριστερὰ, καὶ τὰ ὑπερκείμενα, ὡς πρὸς τὰ ὑποκείμενα. δοκεῖ δ' αὐτῷ καὶ τὰς αἰτίας τῶν νοσημάτων ἃς μὲν ἐκ πληγῶν βιαίων, ἃς δὲ ἐκ τοῦ περιέχοντος εἶναι: τὰς δὲ πλείστας ἐκ τῶν ὑγρῶν τῶν εἰρημένων κατὰ πλῆθος, καὶ ἔλλειψιν, καὶ μεταβολὴν τὴν κατὰ ποιότητα, ἢ τὴν ἐκ τόπου εἰς τόπον. ἀρέσκει δὲ αὐτῷ καὶ τὰ βοηθήματα εἰσφέρειν, ἐκ τῶν ἐναντίων ἱσταμένων ταῖς αἰτίαις. τῶν δὲ νοσημάτων, ἃ μὲν εἶναι ὀξέα φύσει: ἃ δὲ, χρόνια: ἃ δὲ ἐνδυναστά. γίνεσθαι δὲ ὡς πολὺ, ἀπὸ χολῆς καὶ αἵματος, καὶ ἡλικίας ἀκμαζούσης, καὶ θέρους καὶ ἔαρος, τὰ ὀξέα: τὰ δὲ χρόνια, ἀπὸ φλέγματος καὶ μελαίνης χολῆς, καὶ ἐν πρεσβύταις καὶ χειμῶνι: τὰ δ' ἐνδυναστὰ, ὁπόσα μεμιγμένας ἔχει
lego πεισθῶσι. τὰς αἰτίας. ἤδη δὲ καὶ τίνα αὐτῶν σωτήρια, καὶ τίνα θανατικὰ * προγινώσκειν. βούλονται δὲ καὶ τὴν πρόγνωσιν, καὶ τὴν πρόρρησιν ἀναγκαίαν τε εἶναι πρὸς τὴν τέχνην, καὶ διαφέρειν ἀλλήλων. ὅπου μὲν γὰρ προγνῶναι χρὴ μόνον τὸν ἰατρόν: ὅπου δὲ καὶ προειπεῖν

ἀσφα-

Vnde optimè dicitur, nō satiari cibo, nō refugere laborē, seminis substantiā conseruare, hæc tria saluberrima esse. Nā incontinētia circa Venerē, dum uires maximè resoluit, per quas alimentum elaboratur, magis excrementa & plenitudinem auget.

Corpus requirit, ne famem, ne sitim, ne frigus patiatur. *Pythagoræ.*

Galeni breuis denotatio dogmatum Hippocratis.

Artis elementa ea sibi omnino placere dicit, quę manifesta sunt. Constat igitur tū homo, tum animalia cuncta ex solidis, humidis, & spiritibus. Etenim ne stirpium quidem natura triplici isto elementorum ordine caret: sed uiuit, augetur, & progignit per istorum constitutionem. Itaq; solidorum essentiam ossibus, neruis, & cartilaginibus assignat: deinde membranis quoq;, arterijs, & uenis. Nam hæc in genere solidorum alicubi numerat. Illorum uero compactionis & formationis probabiles sequutus rationes, caput originem facit. Disseruit autem de solidorum natura in libris de fracturis & articulis, ac alijs similibus: de spiritu in commentario de flatibus peculiariter inscripto: de humidis in libro de humoribus, & altero de humana natura scripsit, & alibi sparsim. Sunt autem illi humores, sanguis, pituita, & utraq; bilis, scilicet flaua & atra. Ex his sanguinem ait natura calidum & humidum esse, colore rubrum, qualitate dulcem. Pituitam uero, frigidam, & humidam, & albam, magisq; salsam: at bilem flauam, calidam & siccam, luteam, & amaram: deniq; alteram, frigidam & siccam, nigram & flatuosam esse. Aetates etiam ei quadrifariam distinguere placet, anniq; partes similiter. Abundare autem inquit unumquemq; ex prædictis humoribus, ætate & anni parte sibi conueniente. Videlicet ætate puerili abundare sanguinem, ac tempore ueris: Vigente autem, bilem flauam, & ęstatis tempore. Postea declinante, nigram, itemq; autumno. Demum in senectute, pituitam, nec nō hyeme. Naturas enim humorum, temporibus anni respondere. Ita uer calidum & humidum est ueluti sanguis: æstas, calida & sicca: autumnus, frigidus & siccus: postremo hyems, frigida & humida, simili ratione qua humores. Eodem modo diem quoque numero naturaq; partium diuidit, ut quæ supradictis parua quadam proportione consentiant. In uniuersum autem uiriles temperaturas à muliebribus differre autor est: mares enim ad calidius & siccius temperamentum inclinare: fœminas contra ad frigidius ac humidius. Et rursus aliud, sed minus discrimen, in utroque sexu seorsim reperiri, propter situs regionum, & aëris proprietates, ac uictus rationes. Ad hæc singulos humores in hominis corpore peculiarem usum exhibere: Sanguinem alere, calfacere, sanitatem bonumq; colorem efficere: bilem flauam, continere corpus, non permittere latentes meatus dissolui, incitare & acuere sensum, concoctioni prodesse, excrementorum ductus faciles & apertos efficere: Atram uero bilem, sedem ac ueluti fundamentum esse reliquis humoribus: postremo pituitam, neruis, membranis, cartilaginibus, articulis & linguæ ad motus facilitatem prodesse. Item genitale semen tum uiri tum mulieris, ex æquo ei conferre uidetur ad uitam fœtui præstandam, idq; ab omnibus corporis partibus abire. Et mares in dextro uteri latere, fœminas in sinistro generari. Præpollere autē dextras partes læuis, & superiores inferioribus. Morborum causas censet aut ictibus uiolentis, aut ab aëre ambiente nasci: plurimas uero ex prædictis humoribus, cum aut abundant, aut deficiunt, aut qualitate mutantur, aut ex loco in locum transeunt. Præterea usum remediorum huiusmodi, quæ causis contraria sint, approbat. Morborum alios acutos facit, alios diuturnos, & alios medios. Fieri autem ait acutos ut plurimum à bile & sanguine, ætate uigente, æstiuo aut uerno tempore; diuturnos uero, à phlegmate & atra bile, idq; in senibus & hyeme: medios autem, causis mixtis prouenire. Item qui morbi salubres, qui contra letales sint prænosse docet. Asserit quoque prænotionem & prædictionem necessariò ad artem pertinere, ac inter se differre: aliquando enim prænosse duntaxat oportere medicum, aliquando etiam prædicere

ἀσφαλές. διαιρεῖται δὲ τὴν πρόγνωσιν, εἴς τε τὰ προγεγονότα, καὶ τὰ ἐνεστῶτα τῶν συμπτωμάτων, (ὁπόσα ἔχει πόσην ἀδηλότητα) καὶ εἰς τὰ μέλλοντα. ἀρέσκει δ' αὐτοῦ καὶ τὰς κρισίμους ἡμέρας ἐπεγνωκέναι. γίνονται γὰρ ὡς τὸ πολύ, τὰς μὲν περιττὰς κριτικὰς τῶν ὀξέων νοσημάτων: τὰς δὲ ἀρτίους, τῶν χρονίων. καὶ τὰς μὲν θέρους καὶ ἐπὶ νέων, καὶ τῶν δεξιῶν μορῶν, καὶ τῶν ὑπερκειμένων τὰς περιττάς τὰς δὲ ἀρτίους, ἐπὶ τῶν ἐναντίων. ἤδη δὲ καὶ τοὺς πρωτοπαθοῦντας τόπους εἰδέναι παραινεῖ, ἐκ τῆς τούτων ἐπιγνώσεως οὐ μικρὰν συμβαλλομένης μοῖραν, εἰς σημείωσίν τε καὶ θεραπείαν.

Ἀντύλλου περὶ τῆς καθ' ἡμέραν διαφορᾶς τῶν ἀέρων.

Ἡμέραν λαμβάνομεν σὺν τῇ νυκτί. ἀναλογίαν δ' αὐτὴν ἔφαμεν ἔχειν τινὰ πρὸς τὸν ἐνιαυτὸν, καθάπερ Ἱπποκράτης ἐν τῇ δευτέρᾳ τῶν ἐπιδημιῶν ἐπεσημήνατο. ἔστι δὲ ὁ μὲν ὄρθρος, ὑγρὸς καὶ θερμὸς ἔαρι ἐοικώς. διόπερ, οἵ τε ὕπνοι εὐκρινεῖς, καὶ τὰ σώματα ἀνεῖται, καὶ τὰ τῶν ὑγιαινόντων, καὶ τὰ τῶν νοσούντων. ὥστε καὶ τοῖς πυρέσσουσιν, εὐφορώτατον εἶναι τόνδε τὸν καιρόν. ἀναθυμιάσεις δὲ ἄνεισι περὶ τὸν ὄρθρον, καὶ αὖραι ποταμῶν ἀποπνέουσιν ὑγραί, καὶ δρόσος ἐπιπίπτει, ἄνθη ἀναβαίνει, καὶ πάντα τὰ ἐκ τῆς γῆς φυόμενα ἀνίησιν, ἔαρι τῆς καταστάσεως τῆς ὀρθρινῆς ἐοικυίας. τὰ δὲ μέσα τῆς ἡμέρας, θέρει παρείκασται. τὰ δὲ κατὰ τὴν δείλην, φθινοπώρῳ. διόπερ βαρέων καὶ δυσαρεστημάτων αἴτια, * νοσερᾶς οὔσης τῆς δείλης, ἀνάλογον φθινοπώρῳ. τῆς δὲ νυκτὸς τὰ μὲν πρῶτα, καὶ τὰ περὶ τὴν ἑσπέραν ὅμοια τῇ δείλῃ. ἐντεῦθεν οὔτε ὕπνον ἐπιτρέπομεν τοῖς κάμνουσι περὶ τὴν δὲ τὴν ὥραν, οὔτε ποτὸν προσφέρομεν, οὔτε ἄλλο προσάγομεν βοήθημα, εἰ μή τι ἕτερον προκαλοῖτο ὑφορώμενοι τὸν καιρὸν τοῦτον, ὥσπερ καὶ τὸν δειλινόν. τὰ δὲ μέσα τῆς νυκτὸς, χειμῶνι εἴκασται. πλεῖστον γάρ τοι ὁ ἥλιος καθάπερ καὶ ἐν χειμῶνι ἀφέστηκεν ἡμῶν. αἵ τε οὖν ὀδύναι τοῖς νοσοῦσιν ἰσχυρότεραι τῆς νυκτὸς εἰκότως, διὰ τὴν ψύξιν πυκνουμένης τῆς ἐπιφανείας, καὶ ἀπολαμβανομένης τῆς κατὰ τὸ ἄδηλον διαπνοῆς. καὶ τὰ ῥεύματα δὲ, καὶ τὰ τῶν ὀφθαλμιώντων, καὶ τὰ τῶν δυσεντερικῶν καὶ κοιλιακῶν, καὶ τὰ αἱματικὰ, ἀπὸ τῆς αὐτῆς προφάσεως ἐπιγίνεται. παντὸς τοῦ εἰωθότος * ἀπεῖναι κατὰ τὸ ἀφανὲς, εἰς ἕνα τόπον συνωθουμένου τὸν ῥευματιζόμενον. τὰ δὲ τελευταῖα τῆς νυκτὸς διὰ τὴν πρὸς τὸν ὄρθρον γειτνίασιν, τῆς αὐτῆς ἐκείνῳ κράσεως μεταλαμβάνει.

Εἰσὶ κατὰ θερμότητα καὶ ψύξιν διαφοραὶ τῶν ἀέρων, ὁ μὲν οὖν θερμὸς, παρέοικε τῇ θερινῇ ὥρᾳ: ὁ δὲ ψυχρὸς, τῇ χειμερινῇ. πρὸς δὲ κἀκεῖνο ἑκάτερος ἔχει: ὁ μὲν ψυχρὸς εὐσαρκίας τε καὶ εὐτροφίας, καὶ πιμελῆς γεννητικός: μεγάλα δὲ καὶ τὰ σώματα ἀπεργάζεται. τοιούτους δέ ἐστιν ἰδεῖν, καὶ τοὺς τὰ ἀρκτικώτερα κλίματα κατοικοῦντας. πρὸς δὲ τὰ νοσήματα τὰ μὲν ὀξέα, οὐ πάνυ τι ἐπιτήδειος: πρὸς δέ τινα τῶν χρονίων, οἷον φθίσεις, καὶ καχεξίας, καὶ παρέσεις, ἐπιληψίας τε καὶ ἀποπληξίας, καὶ πρὸς τὰ ἀρθριτικὰ ἄθετος. ὁ δὲ θερμὸς ἀὴρ, σωμάτων δαπανητικὸς, ἰσχναίνων, καὶ καταρινῶν τὰ συγκρίματα, εὐτονίαν δὲ μᾶλλον καὶ εὐκινησίαν, ἤπερ ὁ ψυχρὸς παρασκευάζει τοῖς ὑγιαίνουσιν. ἐν δὲ ταῖς νόσοις, ῥᾳδίως ἐξελέγχει τὴν δύναμιν. καὶ νεύροις μὲν καὶ θώραξι, ἀγαθός: τοῖς δὲ ἄλλοις μέρεσιν, οὐ πάνυ χρήσιμος.

Ἔστι δὲ καὶ κατὰ παχύτητα καὶ λεπτότητα, διαφορὰ τῶν ἀέρων. ὁ μὲν οὖν παχὺς ἀχρεῖος ἂν, ὅσον ἐφ' ἑαυτοῦ πλὴν πρὸς τὸ τηρῆσαι δύναμιν σκορπιζομένην ἐπιτήδειος. ὁ δὲ λεπτὸς, ὑγιεινὸς σφόδρα ἐστίν. καὶ παρὰ φῶς καὶ σκότος, διαφορὰ τῶν ἀέρων. οἷος δὲ ἑκάτερος, κατανοῆσαι ῥᾷδιον, ἀπὸ τῶν ἔμπροσθεν ἡμῖν περὶ νυκτὸς καὶ ἡμέρας εἰρημένων. δόξει μὲν οὖν τισιν ἀλλότρια εἶναι τοῦ περὶ βοηθημάτων τόπου τὰ εἰρημένα. ἐπεὶ, οὐκ ἐφ' ἡμῖν ἐστὶ ποιῆσαί τι αὐτῶν. οὐ μὴν ἀλλοτρίωταί γε ἡ παράληψίς τε καὶ χρῆσις καὶ ἀπαγόρευσις, ἐφ' ἡμῖν οὖσαι. τὰ μὲν οὖν πλεῖστα συνίστησιν αὐτῶν ἐν καιρῷ ἕκαστον γινόμενα βοηθήματα: ὅσα δὲ τοιαῦτα μὴ δύναται συστῆναι τὴν κακίαν αὐτῶν * ἐμφανίζουσαι, ἔκκλισιν τὴν ἀπ' αὐτῶν ἐν βοηθήματος χώρᾳ τάττειν.

Τοῦ αὐτοῦ περὶ τῆς ἐν ἑκάστῃ τῶν ἐτησίων ὡρῶν διαφορᾶς.

Ἐν ἑκάστῃ τῶν ὡρῶν, τρεῖς διαφοραί. τῶν μὲν, πρώτων ὄντων ἑκάστης: τῶν δὲ ὑστάτων: τῶν δὲ, μέσων. τὰ μὲν μέσα, τὴν εἰλικρινεστάτην τῆς ὥρας ἔχει κρᾶσιν; τὰ δὲ πρῶτα καὶ ὕστατα

Margin notes: lego νοτερᾶς. — forsan ἀπιέναι. — forte ἐμποδίζουσαι.

tutum esse. Prænotionem diuidit in symptomata præterita, & præsentia (quæ aliquid obscurum aut incertum habent) & futura. Ad hæc decretorios dies cognosci iubet: Nam acutas ęgritudines magna ex parte diebus imparibus, diuturnas cõtra paribus iudicari. Item æstate, in iuuenibus, partibus dextris, & superioribus impares dies criticos esse: in contrarijs, pares. Quin etiam locos primariò affectos inuestigare præcipit: istis em̃ cognitis nõ parũ adiuuari medicũ & ad signa discernendum prædicendumq;, & ad morbum curandũ.

Antylli de discrimine aëris secundum diei partes.

Diem unà cũ sequente nocte accipimus: & habere ipsum aliquid proportionis diximus ad anni partes, quemadmodũ Hippocrates in secundo epidemiorum libro insinuauit. Quippe diluculum instar ueris humidũ calidumq; est: quare somni hoc tempore synceri sunt, & corpora tum sanorũ tum ægrotantium reficiuntur, ita ut febrientes etiam tempus matutinum facillimè ferant. Mane uapores efferuntur, & humidæ fluuiorum auræ spirant, ros defluit, flores emergunt, & quicquid ex tellure nascitur, prodit, unde matutinam aëris constitutionem uernæ simillimam esse colligitur. Meridies autem æstatem refert: Vesper autumnum: proinde grauitates & inquietudines affert uespertinus aër, cum insalubris sit, uelut autumnalis. Noctis autem prima & crepusculo uicina pars, similis permanet uespertinæ constitutioni. quamobrẽ ęgris somnum eo tempore non permittimus, neq; potum prębemus, nec ullũ remedium adhibemus, nisi qua peculiaris causa urgeat, suspectũ id tempus habentes, sicuti uespertinum. Porrò media nox hyemem repręsentat: tunc enim sol, uti hyeme, remotissimus à nobis est. Itaq; dolores ægrotantium uehementiores meritò tũc fiunt, utpote cute propter frigus densata, & intercepta transpiratione insensili. Fluxiones igitur lipporum, torminosorũ, cœliacorũ, & omnes sanguineę, eandem ob causam exacerbantur. quoniam omne quod antea per insensiles meatus euaporabat, unum in locum fluxione tentatum eo tempore colligitur. Cæterum ultima noctis pars ob uicinitatem diluculi, temperamenti eius fit particeps.

Aëris differentia caloris & frigoris ratione habetur. Calidus aër æstiuo tempori similis est: frigidus hyberno. Habet insuper uterq; peculiares effectus. Frigidus em̃ corpulentiam, bonam nutritionem & pinguitudinem gignit, & corpora auget. huiusmodi est uidere incolas regionum magis septentrionalium. Morbis acutis nõ admodum cõmodus est: diuturnos aũt, ut tabem, malam habitudinem, resolutiones, comitialem & apoplexiam, & articulorum morbos, incõmodo afficit. Cęterum calidus aër, corpus absumit, attenuans & atterẽs habitum, * neruosum aũt uigorem & agilitatem in sanis plus promouet quàm frigidus aër: at in morbis facile tentat uires: neruis & pectori conducit, reliquis uero partibus non admodum utilis est. Differt etiam aër, prout alter altero crassior aut tenuior est. Crassus igitur cũ per se inutilis fit, hoc saltem boni habet quod uires colligit, & dispergi non finit. Tenuis aũt planè salubris est. Lucis itẽ & tenebrarũ ratione discrimen aëris accedit, quod quale sit, ex illis quę supra de die & nocte diximus, facile intelligitur. Sed uidebitur forte nonnullis ea quæ hactenus dicta sunt, ab instituto remediorum aliena esse, cum nõ sit penes nos aliquid ex ipsis facere. Non tamen alienus à nobis est ipsorum usus, assumptio, & declinatio, quæ nostri sunt arbitrij. Etenim eorum plurima tempestiuè usurpata, remediorum uicem præstant: quæ uero propter malitiam suam prodesse non possunt, illorum euitatio inter auxilia recenseri debet.

Eiusdem Antylli de differentijs in ipso aëre.

** τονικὸν ἤ.*

Eiusdem de differentijs quæ habentur in singulis anni partibus.

Vnaquæque pars anni differentias tres habet. Nam cum singulæ in tres portiones subdiuidantur, uidelicet primam, mediam, & ultimam: Media quidem portio syncerissimam sui temperiem obtinet: prima uero & postrema, temporibus

τῇ γειτνιάσει τῶν ὡρῶν ἀφομοιοῦνται. αὐτίκα τοῦ ἔαρος, τὰ μὲν πρῶτα μᾶλλον ὑγρὰ, καὶ ἧσσον θερμά. τὰ δὲ μέσα, θερμὰ καὶ ὑγρὰ ἐπίσης. τὰ δὲ τελευταῖα, ἧσσον ὑγρὰ καὶ μᾶλλον θερμά. τοῦ δὲ θέρους, τὰ μὲν πρῶτα θερμότερα: ἡ δὲ ἀπόληξις, ξηρὰ μὲν, οὐ πάνυ δὲ ψυχρά: τὰ δὲ μέσα, ξηρὰ καὶ θερμὰ ἐπίσης: τὰ δὲ ὕστατα, ξηρότερα μᾶλλον, ἔλασσον δὲ θερμά. φθινοπώρου δὲ, ἡ μὲν ἀρχὴ, ξηροτέρα, καὶ οὐ πάνυ ψυχρά: ἡ δὲ μεσότης, ἐπίσης ξηρὰ καὶ ψυχρά: τὰ δὲ ὕστατα, ψυχρότερα μὲν, ἔλασσον δὲ ξηρά. ἀνάλογον δὲ καὶ χειμῶνος, τὰ μὲν πρῶτα, ψυχρὰ μᾶλλον: τὰ δὲ ὕστατα, ὑγρὰ μᾶλλον: τὰ δὲ μέσα ἐπίσης ὑγρὰ καὶ ψυχρά.

Τοῦ αὐτοῦ περὶ τόπων καὶ τῶν ἐν αὐτοῖς ἀέρων.

Οἱ ὑψηλοὶ τῶν τόπων, ὑγιεινότεροι, τοῦ ἀέρος ἐν αὐτοῖς οὐ μένοντος, ἀλλὰ περιχεομένου, καὶ ὑπὸ τῶν ἀνέμων συνεχὲς * ἀπωθουμένου. εὔπνοοι τε δὴ καὶ διαθέουσι πάσαις ἐπιτήδειοι ταῖς περὶ θώρακα, καὶ κεφαλὴν πεπονθυίαις, καὶ τοῖς αἰσθητηρίοις πᾶσιν: οἱ δὲ ταπεινοὶ, τοῖς μὲν πεπηρωμένοις, ἀνάρμοστοι, διαφορουμένοις δὲ, ἢ καὶ συγκοπτομένοις, ἐπιτήδειοι: καὶ γέρουσι δὲ ἁρμόζουσι μᾶλλον τῶν ὑψηλῶν. οἱ δὲ παραθαλάττιοι τόποι, τοῖς τε ὑδρωπικοῖς * ὑπὸ ῥεύματος τινος στόμαχον ἐνοχλουμένοις ἁρμόδιοι. καὶ ὅπου † διαμύξαι, ἢ θάλψαι, ἢ ἀναστομῶσαι *. ἀγαθοὶ δὲ καὶ νεφρικοῖς, ἢ ἀρθριτικοῖς πᾶσιν. ἐπιτήδειοι δὲ καὶ εἰς ὄρεξιν κεκακωμένοις. οἱ δὲ μεσόγαιοι, ψυχρότεροι τῶν παραθαλαττίων. καὶ πρὸς μὲν τὰ ὀξέα νοσήματα, ἐάν γε μὴ ἑλώδεις ὦσι, μηδὲ κοῖλοι, κρείττους τῶν παραθαλαττίων. πρὸς δὲ τὰ χρόνια, χείρους. οἱ δὲ ἑλώδεις, κακοὶ μὲν ἀεί: θέρους δὲ, καὶ λοιμώδεις. οἱ δὲ πετρώδεις, θέρους μὲν, πνιγώδεις: χειμῶνος δὲ, χαλεπῶς ψυχροί: οὐ φαῦλοι δὲ πρὸς ὑγείαν. οἱ δὲ παραποτάμιοι, ψυχροὶ καὶ ἀνώμαλοι, ἀτροφίαις μόναις ἐπιτήδειοι ταῖς δι᾽ * ὑγρότητα συνισταμέναις. χείρους δὲ τούτων, οἱ τελματώδεις. οὐ γὰρ μόνον φαῦλον τὸν ἀέρα κατασκευάζουσιν, ἀλλὰ καὶ τοὺς καρποὺς κακίους, στόμαχόν τε λυμαίνονται, καὶ τὰ σπλάγχνα σκληροῦσι, καὶ κακοσιτίας, καὶ κακοχυμίας, καὶ ὕδρωπας ἀποτελοῦσι. κακοὶ δὲ καὶ οἱ πρὸς μετάλλοις τισὶν ὑφεστῶτες. ξηροὶ γὰρ καὶ πνιγώδεις. οἱ δὲ βαθύγαιοι, δυσχυμότεροι ὄντες, ταῖς ξηροτέραις ἁρμόζουσι διαθέσεσιν. οἱ δὲ ἀργιλλώδεις, διαλυτικοὶ τοῦ στομάχου, ἔκλυτον ἔχοντες τὴν ἀναθυμίασιν. οἱ δὲ * πυρόγαιοι, ξηραντικώτεροι τούτων. οἱ δὲ μελάγγαιοι, πάντες ἄριστοι.

malim ἀπωθούμενος.
addo καὶ.
forte διαψύξαι.
* addo καὶ.
malim ξηρότητα.
forte πυῤῥόγαιοι.

Ξενοφῶντος ἐν πρώτῳ ἀπομνημονευμάτων.

Ἀλλὰ μὴν καὶ τοῦ σώματος, αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας, οὐκ ἐπῄνει. τὸ μὲν οὖν ὑπερεσθίοντα, ὑπερπονεῖν ἀπεδοκίμαζε: τὸ δὲ ὅσα ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν.

Σωκράτης παρῄνει, φυλάττεσθαι τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει: καὶ τῶν πομάτων, ὅσα πίνειν μὴ διψῶντας.

Γοργίας ἐρωτηθεὶς, ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν: οὐδὲν οὐδέποτε, ἔφη, πρὸς ἡδονὴν, οὔτε φαγὼν, οὔτε δράσας.

Ἱπποκράτους. Σιτία, ποτὰ, ὕπνοι, ἀφροδίσια, πάντα μέτρια.

Πλάτωνος. Ταὐτὸν τοίνυν ἐστὶν, ὦ Χαρμίδη, τὸ ταύτης τῆς ἐπῳδῆς. ἔμαθον δὲ αὐτὴν ἐγὼ ἐκεῖ ἐπὶ στρατείας, παρά τινος τῶν Θρᾳκῶν τῶν Ζαμόλξιδος ἰατρῶν, οἳ λέγονται καὶ ἀπαθανατίζειν. ἔλεγε δὲ ὁ Θρᾷξ οὗτος, ὅτι ταῦτα μὲν δὴ οἱ Ἕλληνες ἰατροὶ, ἃ νῦν δὴ ἐγὼ ἔλεγον, καλῶς λέγοιεν. ἀλλὰ Ζάμολξις ἔφη, λέγει ὁ ἡμέτερος βασιλεὺς θεὸς ὢν, ὅτι ὥσπερ ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐ δεῖ ἐπιχειρεῖν ἰᾶσθαι, οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ σῶμα ἄνευ ψυχῆς. ἀλλὰ τοῦτο καὶ αἴτιον εἴη τοῦ διαφεύγειν τοὺς παρὰ τοῖς Ἕλλησιν ἰατροὺς τὰ πολλὰ νοσήματα, ὅτι * τοῦ ὅλου ἀμελοῖεν, οὗ δέοι τὴν ἐπιμέλειαν ποιεῖσθαι, οὗ μὴ καλῶς ἔχοντος, ἀδύνατον εἴη τὸ μέρος εὖ ἔχειν. πάντα γὰρ ἔφη ἐκ τῆς ψυχῆς ὡρμῆσθαι, καὶ τἀγαθὰ καὶ τὰ κακὰ τῷ σώματι, καὶ παντὶ τῷ ἀνθρώπῳ, κἀκεῖθεν ἐπιῤῥεῖν ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα. δεῖν οὖν ἐκεῖνο καὶ πρῶτον καὶ μάλιστα θεραπεύειν, εἰ μέλλει, καὶ τὰ τῆς κεφαλῆς, καὶ τὰ τοῦ * ἄλλου σώματος καλῶς ἔχειν. θεραπεύεσθαι δὲ τὴν ψυχὴν ἔφη ὦ μακάριε ἐπῳδαῖς τισι. τὰς δ᾽ ἐπῳδὰς ταύτας, τοὺς λόγους εἶναι τοὺς καλούς. ἐκ δὲ τῶν τοιούτων λόγων ἐν ταῖς ψυχαῖς σωφροσύνην

al. τὸ ὅλον ἀγνοοῖεν
al. ὅλου

ἐγγί-

sibi uicinis similiores fiunt. Nam ueris prima pars magis humida, minusq́ calida est: media uero calida & humida ex æquo: postrema calidior quàm humidior est. Item æstatis principium plus calet: finis, siccus est quidem, sed non admodum frigidus: medium spacium caloris & siccitatis æquilibrium seruat: ultima pars, ut dixi, siccior est quàm calidior. Cæterum autumni siccius est initium & non adeò frigidum: medium tempus æqualem siccitati frigiditatem obtinet: ultimum plus frigoris, minus siccitatis habet. Eadem est ratio de hyeme: ab initio plus frigoris, in fine humoris amplius continet, in medietate humidum frigido æquipollet.

Eiusdem de locis, & differentia aëris secundum ipsos.

Loci æditi salubriores sunt, cum idem aër in ipsis non maneat, sed undique circumfundatur, & à uentis subinde repellatur. Itaque bene perspirabiles sunt, & commodi omnibus circa thoracem obortis affectibus, & capiti laboranti, cunctisq́ sensuum organis. Humiles contra prædictis incommodi sunt: illis uero quorum corpus digeritur, exhauritur, & dissoluitur, utiles: & senibus quoque magis quàm altiores loci conueniunt. Porrò maritimi, tum hydropicis, tum quauis fluxione infestatis, salutares sunt: item ubi siccare, calfacere, aut meatus aperire oportuerit. Omnibus etiam, quibus nerui aut articuli laborant, prosunt: & illis quibus appetitus corruptus fuerit. Mediterranei uero loci maritimis frigidiores sunt: & ad morbos acutos utiliores, nisi palustres aut caui fuerint: in diuturnis uero, deteriores. Certe palustres ut semper mali, ita æstate pestilentes sunt. Petrosi, æstate nimio calore fumant: hyeme uehemens frigus inducunt, non mali tamen ad sanitatem habentur. Iuxta fluuios siti, frigidi sunt & inæquales: extenuationi solum propter siccitatem ortę conuenientes. His peiores sunt lacunosi. Non solum enim aërem malum, sed fructus quoq; deteriores efficiunt, stomachum lædunt, uiscera indurant, malos habitus, prauos humores, & hydropes inducũt. Mali sunt etiam loci, qui propè fodinas aliquas metallorum fuerint: utpote aridi & fumidi. Qui solum profundum & fertile habent, succos meliores alunt, & affectibus siccioribus congruunt. Argillosi, stomachum resoluunt, cum uapores emittant languidos. Istis amplius reficcant, qui terram habent rufam: at qui nigram, omnes optimi sunt.

Præterea corpus nec ipse contemnebat: & si qui id negligerent, eos non commendabat. Itaq; plus quàm oporteat se cibo onerare, & plus quàm deceat laborare, hæc reprobabat. Tantum uero laborare, quantum animus libenter suscipiat, illud approbabat. Hanc enim exercitationem & ad sanitatem satis esse aiebat, animiq́ diligentiæ non esse impedimento. *Xenophõtis lib. 1. de factis & dictis Socratis.*

Socrates monebat ut cauerent sibi homines à cibis, qui non esurientes ad edendum: & à potibus, qui non sitientes ad bibendum alliciunt.

Gorgias interrogatus quonam usus genere uictus in tantam senectutem progressus esset: Nihil unquam uoluptatis gratia se aut comedisse aut fecisse dixit.

Cibi, potus, somni, Venus, omnia moderata sint. *Hippocratis.*

Talis est inquam ô Charmides incantationis quoq; huius potentia, quam didici ibidem in exercitu à quodam medicorũ Thracum Zamolxidis sectatorũ, qui & immortalitatem afferre dicũtur. Adiecit præterea Thracius ille medicus, etiam Græcorum medicos quę supra narrata sunt prædicare. Cæterum Zamolxis, ait, rex noster ac deus tradit: quemadmodum oculos sine capite curare nõ decet, neq; sine reliquo corpore caput: ita neq; sine anima corpus: Eaq́ causa est cur medicos Græcos morbi corporum multi lateant, quia totũ ipsum ignorant, q̃d in primis curare oportet: quo malè affecto impossibile est partem aliquam bene ualere. Omnia nanq; uel bona, uel mala, ab anima in corpus, & hominem totum manant, indeq́ similiter, ut ex capite in oculos, effluunt. Illam igitur primũ & maximè curari iubet, si modo caput, & uniuersum corpus bene ualere debeat. Animę uero medelas esse docet incantationes quasdam: Eas præclaris rationibus contineri, quibus animæ temperantia *Platonis in Charmide.*

ἐγγίγνεσθαι, ὡς ἐγγιγνομένης, καὶ παρούσης, ῥᾴδιον ἤδη εἶναι τὴν ὑγίειαν, καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι πορίζειν.

Τοῦ αὐτοῦ νόμων ζ. Ὅτι τὰ σώματα πάντα ὑπὸ τῶν σεισμῶν τε καὶ κινήσεων κινούμενα, ἄκοπα ὀνίναται πάντως, ὅσα τε ὑπὸ ἑαυτῶν, ἢ καὶ ἐν αἰώραις, ἢ καὶ κατὰ θάλατταν, ἢ καὶ ἐφ᾽ ἵππων ὀχουμένων, καὶ ὑπ᾽ ἄλλων ὁπωσοῦν δὴ φερομένων τῶν σωμάτων κινεῖται. καὶ διὰ ταῦτα τὰς τῶν σίτων τροφὰς καὶ ποτῶν κατακρατοῦντα, ὑγίειαν, καὶ κάλλος, καὶ τὴν ἄλλην ῥώμην ἡμῖν, δυνατά ἐστι παραδιδόναι.

Ξενοφῶντος. Ἡ γὰρ κατὰ μικρὸν ὑπάλλαξις, ὥσπερ ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς. διδάσκει δὲ καὶ ὁ θεὸς ἀπάγων ἡμᾶς κατὰ μικρὸν, ἔκ τε τοῦ χειμῶνος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ θάλπη: καὶ ἐκ τοῦ θάλπους, εἰς τὸν ἰσχυρὸν χειμῶνα, ὃν χρὴ μιμουμένους, εἰς ὃ δεῖ ἐλθεῖν προεθισμένους ἡμᾶς ἀφικνεῖσθαι.

Πλάτωνος. Κατὰ δὲ ταὐτὰ ταῦτα καὶ τὰ μέρη θεραπευτέον, τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. τοῦ γὰρ σώματος ὑπὸ τῶν εἰσιόντων καιομένου τε ἐντὸς καὶ ψυχομένου, καὶ πάλιν ὑπὸ τῶν ἔξωθεν ξηραινομένου καὶ ὑγραινομένου, καὶ τὰ τούτοις ἀκόλουθα πάσχοντος, ὑπ᾽ ἀμφοτέρων τῶν κινήσεων, ὅταν μέν τις ἡσυχίαν ἄγον τὸ σῶμα παραδιδῷ ταῖς κινήσεσι, κρατηθὲν διώλετο.

al. ἥν. ἐὰν δὲ * τήν τε τροφὸν καὶ τιθήνην τοῦ παντὸς προσείπομεν, μιμῆταί τις, καὶ τὸ σῶμα, μάλιστα μὲν μηδέποτε ἡσυχίαν ἄγειν ἐᾷ: κινεῖ δὲ καὶ σεισμοὺς ἀεί τινας ἐμποιῶν αὐτῷ διὰ παν-

al. ἀμύνεται. τὸς, τὰς ἐντὸς καὶ ἐκτὸς * ἂν κινεῖται κατὰ φύσιν κινήσεις, καὶ μετρίως σείων, τά τε περὶ τὸ σῶμα πλανώμενα παθήματα, καὶ μέρη κατὰ ξυγγενείας εἰς τάξιν κατακοσμῇ πρὸς ἄλληλα, κατὰ τὸν πρόσθεν λόγον, ὃν περὶ τοῦ παντὸς ἐλέγομεν, οὐκ ἐχθρὸν παρὰ ἐχθρὸν τιθέμενον ἐάσει πολέμους ἐντίκτειν τῷ σώματι καὶ νόσους, ἀλλὰ φίλον παρὰ φίλον τεθὲν ὑγίειαν ἀπεργαζόμενον παρέξει. τῶν δ᾽ αὖ κινήσεων, ἡ ἐν αὐτῷ ὑφ᾽ ἑαυτοῦ ἀρίστη κίνησις, μάλιστα γὰρ τῇ διανοητικῇ τῇ τοῦ παντὸς κινήσει ξυγγενής. ἡ δὲ ὑπ᾽ ἄλλου χείρων. χειρίστη δὲ ἡ κειμένου τοῦ σώματος καὶ ἄγοντος ἡσυχίαν, δι᾽ ἑτέρων αὐτὸ κατὰ μέρη κινοῦσα. διὸ δὴ τῶν καθάρσεων καὶ συστάσεων τοῦ σώματος, ἡ μὲν διὰ τῶν γυμνασίων, ἀρίστη. δευτέρα δὲ, ἡ διὰ τῶν αἰωρήσεων, κατά τε τοὺς πλοῦς, καὶ ὅπῃπερ ἂν ὀχήσεις ἄκοποι γίνωνται. τρίτον δὲ εἶδος κινήσεως, σφόδρα ποτὲ ἀναγκαζομένῳ, χρήσιμον: ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν ἔχοντι προσδεκτέον, τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν.

Ἀντύλλου. Εἴδη τῶν βοηθημάτων κατὰ γένη τέσσαρα. τὰ μὲν ποιούμενα, τὴν ὠφέλειαν ἔχοντα ἐν τῇ τοῦ κάμνοντος ἐνεργείᾳ. τὰ δὲ προσφερόμενα ἐν τροφῆς καὶ ποτοῦ μέρει, λαμβανόμενα. τὰ δὲ κενούμενα, ὅσα ἐξάγοντά τι τοῦ σώματος βοηθεῖ. ἔσται δὲ καὶ περὶ τῶν κενουμένων τοῖς δυσκολοῦσι, πολλή τις ἀκριβολογία, τί δήποτε ἢ οὐχὶ κενοῦντα ἀλλὰ κενούμενα ὀνόμασται. τὰ δ᾽, ἐστὶν ἔξωθεν προσπίπτοντα τῶν βοηθημάτων.

Τοῦ αὐτοῦ. Τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων, τὰ μέν ἐστι λεπτομερῆ: τὰ δὲ, παχυμερῆ. λεπτομερῆ μὲν, ἀήρ τε καὶ ὅσα ἀέρος εἴδη: παχυμερῆ δὲ, τὰ συνεστῶτα. τῶν δὲ παχυμερῶν, τὰ μὲν γεώδη: τὰ δὲ, ὑδατώδη. γεώδη μὲν, καταπλάσματα καὶ μαλάγματα: ὑδατώδη δὲ, λουτρὰ καὶ καταντλήσεις, καὶ ἐμβροχαί.

Τοῦ αὐτοῦ. Ἀέρων διαφοραὶ, πλείους. αἱ μὲν γὰρ παρὰ τὰς ὥρας τὰς ἐτησίους: αἱ δὲ, παρὰ τὰς μηνιαίους παραλλαγάς: αἱ δὲ, παρὰ τὰς μεταβολὰς τὰς ἡμερησίους τε καὶ νυκτερινάς: αἱ δὲ παρὰ παχύτητα καὶ λεπτότητα: αἱ δὲ, παρὰ κίνησιν ἢ στάσιν: αἱ δὲ, παρὰ κίνησιν καὶ ἐπιμιξίαν γεωδῶν ἀναθυμιάσεων. εἰσὶ δὲ

malim προκειμένας. καὶ ἄλλαι μικρότεραι διαφοραὶ, δυνάμεναι τὴν ἀναφορὰν ἐπὶ τὰς * ἐγκειμένας λαμβάνειν.

Τοῦ αὐτοῦ, περὶ τῆς κατὰ μῆνα τῶν ἀέρων διαφορᾶς.

Videtur abundare. Ἐργάζεται δὲ διαφορὰς ἐν τῷ ἀέρι, παραπλησίως * (τῷ ἀέρι) καὶ ἡ σελήνη περιιοῦσα τὸν τῶν ζῳδίων κύκλον. ἐργάζεται δὲ καὶ αὐτὴ τέσσαρας ὥρας μηνιαίους, ἀναλογούσας ταῖς ἐτησίοις, ἑβδομαδικῷ δὲ ἀριθμῷ περικυκλουμένας. ἡ μὲν οὖν πρώτη τοῦ μηνὸς ἑβδομὰς, ἀρχὴν μὲν ἀπὸ νουμηνίας ἔχει, πρόεισι δὲ μέχρι διχοτόμου. ἔστι δὲ ἐοικυῖα ἔαρι. ὑγρὰ γὰρ καὶ θερμή. ἐντεῦθεν καὶ τὸ περιέχον ἐν τῷ καιρῷ τούτῳ, ὑγρότερον: καὶ ὄμβροι τηνικαῦτα ὡς ἐπίπαν καταῤῥήγνυνται, καὶ οὗτοί γε ὑγροὶ καὶ γονιμώτατοι παραπλησίως τοῖς ἐαρινοῖς.

ἡ δὲ

tribuatur: qua inserta atque præsente, facile esse sanitatē capiti, totique corpori tradere.

Corporibus omnibus motus agitatioque non laboriosa prodest, siue à seipsis, siue in uehiculis, seu naue, siue equis, siue quomodocunque aliter moueantur. Et horum motuum beneficio ciborum potusque alimentum superantia, sanitatem, pulchritudinem, & uires nobis præbere possunt. *Platonis lib. 7. de legibus.*

Nam mutatio quæ fit paulatim, efficit ut omnis natura mutationes ferat. Docet præterea deus ipse, qui paulatim nos deducit ex hyeme ad uehementeis æstus tolerandos, ex æstu in hyemem uehementem: quem imitantes, ad quod eundum est, assuefacti antea ire nos debemus. *Xenophōtis lib. 6 de pædia Cyri*

Similiter quoque partes curare debemus totius speciem imitati. Cum enim corpus ab ingredientibus incendatur intus, frigidúmue fiat, & iterum ab extremis aridum madidúmue reddatur, & quæ deinceps hæc sequuntur perpetiatur, quando quis ocium agens corpus motionibus his committit, superatum ab his dissoluitur. At si quis in curando corpore illam imitetur naturam, quam altricem uniuersi uocauimus, ita ut nunquam torpere permittat, sed moueat semper, iugique agitatione internis externisque motibus secūdum naturam ubique resistat, & moderata quadam commotione aberrantes passiones corporis partesque, cognationis ratione seruata, uicissim in ordinem redigat & exornet, secundum sermonem illum superiorē quem de uniuerso habuimus, nequaquam sinet inimicum inimico admotum prælia in corpore morbosque ciere, sed efficiet potius ut amicum adhærens amico sanitatē corporis tueatur. Omnium uero motuum optimus ille est, qui in se met ex seipso fit. Nam & mentis & totius ipsius motioni cognatissimus est: Qui uero ab alio fit, deterior. Deterrimus autem motus, quando iacens & quietem agens corpus, ab aliis secundum partes mouetur. Quapropter purgationum cōstitutionumque omnium corporis, quæ exercitatione gymnastica fit, saluberrima est. Proximè ad hanc accedit uectio facilis, siue naui, seu quouis alio uehiculo peragatur. Tertia commotionis species tunc demum, cum summa cogit necessitas, utilis: aliter uero nullo modo sanæ mentis homini suscipienda: Medicorum illa purgatio est, quæ pharmacis, id est solutiuis alui medelis fieri solet. *Platonis in Timæo.*

Auxiliorum genera quatuor sunt. Primum facienda, quę utilitatē in ęgrotantis actione sitam habent. Alterū sumenda, quæ pro cibo aut potu capiuntur. Tertium euacuanda, quæ aliquid educendo è corpore iuuant. Debet autem diligens consyderatio super euacuandis adhiberi ab illis quibus uacat, & quare uacuanda potius quàm uacuantia nominentur, inquiri. Postremum genus auxiliorum forinsecus accedentia constituunt. Auxiliorū forinsecus accendentium, quædā tenuiū partium, quædam crassarum sunt. Tenuia sunt, aër, & eius species: crassa uero, quorum corpus compactum est. Rursus illorum quæ crassis constat particulis, alia terrenæ, alia naturæ sunt aquosæ. Terrenæ, ut cataplasmata & malagmata: aquosæ, ut balnea, perfusiones, irrigationes. *Antylli.*

* Aëris multæ sunt differentiæ: quæ uel ab anni partibus eueniūt: uel mutationibus mensis & lunæ: uel diei noctisque diuersis portionibus: uel ab ipsius aëris crassitie seu tenuitate: uel motu aut quiete: uel motione ac mixtione uaporum ex terra. Sunt & aliæ minores differentiæ, quæ ad prædictas referri possunt. *Eiusdem.*

Eiusdem de differentia aëris iuxta partes mensium.

Luna quoque dum zodiacum circulum ambit certas in aëre differentias similiter efficit. Quatuor enim partes menstruas consimiles annuis producit, quarum singulæ septenarij numeri ambitu perficiuntur. Prima quidem septimana mensis, à nouilunio incipiens usque ad diuiduam lunam progreditur, & quemadmodum uer calida humidaque est. Quamobrem illo tempore humidior est aër, & imbres ut plurimū copiosi erūpunt, ijque humidi ac fœcūdissimi;

ἡ δὲ δευτέρα ἑβδομὰς, ἄρχεται μὲν ἀπὸ διχοτόμου, πρόεισι δὲ ἄχρι πανσελήνου, θέρει δὲ παραπλήσιος. διὰ τοῦτο, ὅτι καρποὺς πέσσει μάλιστα. ἡ τρίτη μὲν μετὰ πανσέληνον ἑβδομὰς, ἕως διχοτόμου, φθινούσης τῆς σελήνης ξηρὰ καὶ φθινοπώρῳ παραπλήσιος. ἡ δὲ τελευταία, χειμῶνι ἔοικεν. ὅσα οὖν αἱ τοῦ ἐνιαυτοῦ ὧραι ὑποφέρουσι, τοσαῦτα καὶ παρὰ τῶν μηνιαίων ἐγγίνεται ἀπαντᾶν. ἐκεῖνο μέντοι προσδιαληπτέον, ὅτι ὁ μὲν ἥλιος κατὰ τὴν αὐτοῦ δύναμιν θερμαίνει τὰ σώματα: ἡ δὲ σελήνη μᾶλλον ὑγραίνει. παρὰ ταύτην οὖν τὴν αἰτίαν, τούς τε ἐγκεφάλους
Malim αἰθεριοκοιτούντων. δροσωδεστέρους ἀποτελεῖ, καὶ τὰ κρέα σήπει: καὶ τὰ σώματα τῶν * αἰθριοκοιτούντων, ὑγρότερα καὶ ἀμβλύτερα ἀπεργάζεται, καὶ καρηβαρίας, καὶ ἐπιληψίας ἀνακινεῖ κατὰ τὴν ὁμοίαν αἰτίαν.

ΠΕΡΙ ΙΑΤΡΩΝ, ΚΑΙ ΙΑΤΡΙΚΗΣ, ΛΟΓΟΣ ἑκατοστός.

Ὁμήρου. Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
ἰούς τ' ἐκτάμνειν, ἐπί τ' ἤπια φάρμακα πάσσειν.

Εὐριπίδου. Μέλλοντ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον,
ἰάσατ' ἤδη μᾶλλον, ἢ τεμὼν χρόα.

Μνησιμάχου. Οἷα δὴ φιλοῦσιν οἱ ἰατροὶ λέγειν,
τὰ φαῦλα μείζω, καὶ τὰ δείν' ὑπὲρ φόβον
πυργοῦντες αὐτοί.

Φιλήμονος. Ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι,
ἑτέρῳ, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.

Citantur hec eadem serm. 101. * Τεκμήριον δὲ, τοὺς ἰατροὺς οἶδ' ἐγὼ
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας. εἶτ' ἐὰν πταίσωσί τι
αὐτοὺς ποιοῦντας πάνθ', ὅσ' οὐκ εἴων τότε
ἑτέρους. τό, τ' ἀλγεῖν καὶ θεωρεῖν οὐκ ἴσον.

Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς ἂν εὖ σκοπῇς
τοὺς αὑτοῦ βούλεθ' ὑγιαίνειν φίλους.
οὔτε στρατιώτης τὴν πόλιν ὁρᾶν, ἄνευ κακοῦ.

Τίς ἐστιν οὗτος; ἰατρός. ὡς κακῶς ἔχει
ἅπας ἰατρὸς, ἂν κακῶς μηδεὶς ἔχῃ.
μόνῳ δ' ἰατρῷ τοῦτο καὶ συνηγόρῳ
ἔξεστιν, ἀποκτείνειν μὲν, ἀποθνήσκειν δὲ μή.

Δημοσθένους. Καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγέντι, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε. καὶ γὰρ ἐκεῖνα οὔτε ἰσχὺν ἐντίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ.

Τῶν δ' ἐλευθερίων τεχνῶν ἰατρική, τὸ μὲν γλαφυρὸν καὶ περιττὸν καὶ ἐπιπρεπὲς, οὐδεμιᾶς ἐνδεέστερον ἔχει: θεωρητικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι τῇ συνηθείᾳ, καὶ τῇ ὑγιείᾳ.

Τρόφιλος ἰατρὸς ἐρωτηθεὶς τίς ἂν γένοιτο τέλειος ἰατρὸς, ὁ τὰ δυνατὰ ἔφη καὶ τὰ μὴ δυνατὰ δυνάμενος διαγινώσκειν.

ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ, ΛΟΓΟΣ ρα΄.

Ὁμήρου. Ἥβης τερπλῶσαι καὶ γήραος οὐδὸν ἱκέσθαι.
ὄλβον ἐπικλῶσαι γαμέοντί τε γινομένῳ τε.
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισι,
υἱέας δ' αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.

Βακχυλίδου. Ὄλβιος ᾧ τινι θεὸς μοῖράν τε καλῶν ἔπορε,
σύν τ' ἐπιζήλῳ τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν.

οὐ γάρ

ut etiam uerni. Altera uero septimana, incipiens à diuidua, ad plenilunium extenditur, æstatiq; similis est: quare fruges maximè maturat. Tertia deinde rursus ad diuiduam decrescētem lunam producta, autumni: postrema hyemis naturam refert. Quæcunq; igitur quaternas anni partes sequi solent, eadem omnia pro diuersis in mense partibus usu uenire putandum est. Sed hoc etiam nō prætereundum, solem sua facultate calorem corporibus augere, lunam uero magis humefacere: Quocirca cerebrum humidius reddit, carnes putrefacit, & corpora sub dio dormientium humidiora obtusioraq; efficit, deniq; capitis grauitatem & comitialem, simile ob causam excitat.

DE MEDICIS, ET MEDICINA, SERMO C.

VIr medicus enim aliorum instar multorum est — *Homeri*
In excidendis telis, & benigna pharmaca inspergendo.

Medicus ægritudini futurum tempus producens — *Euripidis.*
Melius ita medetur, quàm si corpus secaret.

Sicut medici solent dicere — *Mnimnermi.*
Leues affectus, multò maiores esse, & graues plus q̃ timendū sit exaggerant,
Seipsos ut extollant.

Homini facile est alij consulere, — *Philemonis.*
Ipsum uero præstare, difficilis res est.
Quod in medicis apparere uideo,
Qui de continentia apud ægrotos perquàm bene
Omnes loquuntur: deinde ubi morbo afficiuntur,
Ipsos facientes uidere est, quæ pridem prohibebant
Alijs: Tum & ægrotus & speculator similes sunt.

Nam neq; medicus ullus, si diligenter circumspicias,
Amicos suos bene ualere cupit:
Neq; miles ciuitatem sine malo aliquo uidere.

Quisnam hic est? Medicus. O quàm malè habet
Quiuis medicus, si nemo malè habuerit.
Soli medico & aduocato
Occidere licet impune.

Missa facite huiusmodi lucra, alimentis similia quæ medici ægrotantibus (exhibent. — *Demosthenis.*
Nam illa nec uires augent, neq; mori sinunt.

Medicina inter artes liberales elegantiæ, ornatus, & iocunditatis, nulla minus complectitur. Magnam uero cōtemplationem de salute & sanitate sui studiosis exhibet. — *Plutarchi ex salubribus præceptis.*

Trophilus medicus interrogatus, quis perfectus medicus fieret, dixit: ille qui possibilia & impossibilia discernere potest.

DE FOELICITATE, SERMO CI.

IN adolescentia delectari, & ad senectæ limen peruenire, — *Homeri.*
Fœlicitatem destinare nuptias contrahenti, & nascenti.
Vt ipse quidem prosperè domi senescat,
Filij uero prudentes, & in bello præstantissimi euadant.

Fœlix est, cui Deus bonorum partem dedit, — *Bacchylidis.*
Et cum secunda fortuna diuitem uitam agere.

οὐ γάρ τις ἐπιχθονίων πάντ' εὐδαίμων ἔφυ.

Καρκίνου. Ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς.
ἔχων γὰρ ἄμφω ταῦτα, μακάριος θ' ἅμα
κεκλημένος ζῆν, κἀγαθὸς δυνήσεται.

Καλλιμάχου. Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν.

Σοφοκλέους. Εὐδαίμονες, οἷσι κακῶν ἄγευστος αἰών.

Πινδάρου. Εὐδαίμων δραπέτας, οὐκ ἔστιν ὄλβιος.

Μενάνδρου. Μακάριος, ὅστις οὐσίαν καὶ νοῦν ἔχει.
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.

Θεόγνιδος. Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν,
ἥδιστον δὲ τυχεῖν, ὧν τις ἕκαστος ἐρᾷ.

Σκολιόν. Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τρίτον δὲ πλουτεῖν ἀδόλως. ἔπειτα
τέταρτον, ἡβᾶν μετὰ τῶν φίλων.

Σοφοκλέους. Ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους.

Θεόγνιδος. Εὐδαίμων εἴην, καὶ θεοῖς φίλος ἀθανάτοισι
Κύρν', ἀρετῆς δ' ἄλλης οὐδεμιᾶς ἔραμαι.

Σωτάδου. Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος, φθονεῖται. ὁ μέσος δὲ βίος κεκραμένος, δίκαιός ἐστιν. αὐτάρκεια γὰρ πρὸς πᾶσιν, ἡδονὴ δικαία.

Θεόγνιδος. Εἴη μοι πλουτοῦντι κακῶν ἀπάτερθε μεριμνῶν,
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.
οὐκ ἔραμαι πλουτεῖν, οὐδ' εὔχομαι. ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.

Σοφοκλέους. Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι:
λῷστον δὲ ζῆν ἄνοσον: ἥδιστον δ' ὅτῳ
πάρεστι λῆψις, ὧν ἐρᾷ καθ' ἡμέραν.

Δημοκρίτου. Εὐτυχὴς, ὁ ἐπὶ μετρίοισι χρήμασιν, εὐθυμεόμενος: δυστυχὴς δὲ, ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.

Σωκράτης ἐρωτηθεὶς, τί εὐδαιμονία, ἡδονὴ ἀμεταμέλητος ἔφη.

Σωκράτης ἐρωτηθεὶς τίνες εὐδαίμονες, εἶπεν: οἷς καὶ φρένες ἀγαθαὶ, καὶ λόγος πρόσεστιν.

Διογένους. Εὐδαιμονία γάρ μία ἐστὶ, τὸ εὐφραίνεσθαι ἀληθινῶς καὶ μηδέποτε λυπεῖσθαι, ἐν ὁποίῳ δ' ἂν τόπῳ ὑπάρχῃ τις.

Τοῦ αὐτοῦ. Εὐδαιμονίαν δὲ ταύτην εἶναι φαμὲν ἀληθινήν, τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι διατρίβειν.

Χρυσίππου. Ὁ δ' ἐπ' ἄκρον φησὶ προκόπτων, ἅπαντα πάντως ἀποδίδωσι τὰ καθήκοντα, καὶ οὐδὲν παραλείπει. τὸν δὲ τούτου βίον, οὐκ εἶναί πω φησὶν εὐδαίμονα, ἀλλ' ἐπιγίνεσθαι αὐτῷ τὴν εὐδαιμονίαν, ὅταν αἱ μέσαι πράξεις αὗται προσλάβωσι τὸ βέβαιον καὶ ἑκτικόν, καὶ ἰδίαν πῆξιν τινὰ λάβωσιν.

Ἰαμβλίχου. Εὐδαίμων ἐστὶν, ὁ θεῷ κατὰ τὸ δυνατὸν ὅμοιος, τέλειος, ἁπλοῦς, καθαρός, * ἐξηρτημένος ἀπὸ τῆς ἀνθρωπίνης ζωῆς.

malim ἐξηρτημένος uel ἀπηρτημένος

Πλάτωνος. Ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις φορεῖται, ἐξ ὧν ἢ εὖ, ἢ κακῶς πραξάντων, πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν.

Δημοκρίτου. Τὸν εὐθυμεῖσθαι μέλλοντα, χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίῃ, μήτε ξυνῇ, μηδὲ ὅσ' ἂν πρήσσῃ ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν. ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης, καὶ ἐς τὸ πλέον ὑφηγεομένης τῷ δοκεῖν κατατίθεσθαι, καὶ μὴ πλείω προσάπτεσθαι τῶν δυνατῶν. ἡ γὰρ εὐογκίη, ἀσφαλέστερον τῆς μεγαλογκίης.

† Ἱπποδάμου Θουρίου ἐκ τοῦ περὶ εὐδαιμονίας. † Τῶν ζώων τὰ μὲν, ἐντὶ δεκτικὰ τᾶς εὐδαιμονίας: τὰ δὲ, ἄδεκτα, καὶ δεκτικὰ μὲν, ὅσα λόγον ἔχει

Nullus enim mortalium ubiq; beatus est.

Exercenda uirtus est, & bona fortuna diuinitus petenda. *Carcini.*
Nam qui hæc ambo habet, beati simul
Et boni uiri nomine fruens, uitam degere poterit.

Neq; prosperitas sine uirtute promouere potest homines. *Callimachi.*

Fortunati sunt, quorum uita nihil mali gustauit. *Sophoclis.*

Fortunatus profugus, non fœlix est. *Pindari.*

Beatus, qui simul opes ac mentem possidet. *Menandri.*
Hic enim opibus recte utitur, ubi opus est.

Pulcherrima res est iustitia: optima, sanitas: *Theognidis.*
Suauissima autem, desyderata consequi.

Optima quidem est sanitas uiro mortali: *Scleriæ.*
Deinde bonum ingenium:
Tertio diuitiæ sine dolo partæ:
Postremo, uigens ætas inter amicos.

In Iouis tantum hortis beata fœlicitas colitur. *Sophoclis.*

Vtinam fortunatus fiam, dijsq; charus immortalibus *Theognidis.*
O Cyrne, aliam uero uirtutem nullam desidero.

Pauperē misericordia, diuitē inuidia sequitur: uita a&t media & temperata, iusta est. Frugalitas enim & suis rebus contenta uirtus, uoluptatem omnibus iustā parit. *Sotadis.*

O si liceret mihi diuitias sine curis improbis possidenti, *Theognidis.*
Vitam absq; damno & omni malo agere.
Non cupio diuitias, nec opto: Sed liceat mihi
Ex paucis rebus sine omni malo uiuere.

Pulcherrimum, esse iustum. *Sophoclis.*
Optimum, sine morbo uiuere. suauissimum uero, cum quis
Ea potest accipere, quæ desiderat indies.

Fortunatus est, qui cum exiguis pecunijs hilaris fuerit: infortunatus autem, qui inter magnas opes tristatur. *Democriti.*

Socra. interrogatus qd esset fœlicitas: Voluptas, dixit, q̄ pœnitudo nulla sequit.

Socrates, interrogantibus quinam essent fœlices, respondit: Illi qui mentem bonam, & rationem possident.

Vnica fœlicitas est, qua fit ut reuera lætemur, nec unquam tristemur, quocunq; in loco ac tempore. *Diogenis.*

Cæterum hanc ueram fœlicitatem esse dicimus, quæ facit ut mens & anima in perpetua tranquillitate hilaritateq; collocentur. *Eiusdem.*

Qui iam, inquit, ad summū proficit, omnia planè præstat quæ factu decora sunt, & nihil omittit. Istius autem uitam, nondum fœlicem esse ait, sed fœlicitatem ei post modum accedere, cum actiones istæ mediæ, constantiam & habitum, & peculiarem quandam confirmationem nactæ fuerint. *Chrysippi.*

Fœlix est, qui Deo, quatenus fieri potest, similis fuerit, perfectus, simplex, purus, & separatus ab humana uita. *Iamblichi.*

Optimè constituta est illius hominis uita, qui in seipso omnia quę ad fœlicitatem pertinent, sita habet, aut qui huic proximus est: non autem ab alijs temere pendet, ex quorum siue bonis siue malis actionibus, tum ipse tum res suæ suspensæ in errore uersari cogantur. *Platonis.*

Tranquillum futurum nōn multa agere oportet, neq; priuatim, neq; publicè: nec omnia quę adfuerint supra facultatem & naturam suam sibi sumere: Sed tantam sui curam habere, ut quamuis prę sentem fortunam, & quicquid opinio desyderat suppeditaturam, declinet, ac non plura assumat, quàm quibus ferendo est. Molis enim commoditas, tutior est quàm eius magnitudo. *Democriti.*

Animaliū quædam fœlicitatem capere possunt, alia non. Sunt igitur eius capacia, *Hippodami Thurij ex libro de fœlicitate.*

ἔχει. ἁ μὲν γὰρ εὐδαιμονία, οὐκ ἄτερθεν ἀρετᾶς. ἁ δὲ ἀρετὰ ἐγγίνεται, τῷ λόγον ἔχοντι πρῶτον. ἄδεκτα δὲ, (ὄψιος ἔργον. ἢ τᾶς ὄψιος ἀρετάν. οὔτε τῷ λόγῳ ἄμοιρον. ἢ τὸ τῷ λόγῳ ἔχοντος ἔργον. ἢ τὰν τῶ λόγον ἔχοντος ἀρετάν. ὁ δ' εὐδαιμονία καὶ ἀρετὰ τῶ λόγον ἔχοντι κτώμενος ἔργον. τῶ δ' ὡς τέκνα τίς ἐντι.) τῶν δὴ λόγον ἐχόντων ζώων, τὰ μὲν ἐντι αὐτοτελέα, ὅσα δι' αὐτὰ τέλεά ἐντι, καὶ οὐδενὸς ἐπιδεῆ τῶν ἔξωθεν, οὔτε ποτὶ τὸ ἦμεν, οὔτε ποτὶ τὸ καλῶς ἦμεν. τοιοῦτος δέ κα εἴη ὁ θεός. οὐκ αὐτοτελέα δὲ, ὅσα μὴ δι' αὑτὰ τέλεά ἐστι, ποτιδέεται δὲ τᾶς ἔξωθεν αἰτίας. τοιοῦτος δέ κα εἴη ὁ ἄνθρωπος. τῶν δ' οὐκ αὐτοτελέων, τὰ μὲν ἐστὶ τέλεα, τὰ δ' οὐ τέλεα. καὶ τέλεα μὲν, ὅσα καὶ παρὰ τὴν αὑτῶν αἰτίαν, καὶ παρὰ τὰς ἔξωθεν αἰτίας γίνονται. καὶ παρὰ μὲν τὴν αὑτῶν, τῷ καὶ φύσιν ἀγαθὰν καὶ προαίρεσιν ποτιγεγακεῖν. παρὰ δὲ τὰς ἔξωθεν, τῷ εὐνομίαν καὶ ἐπιστάτας ἀγαθὼς λαβεῖν. οὐ τέλεα δὲ, τὰ ἤτοι μηδ' ἑτέρω τούτων κοινωνάσαντα, ἢ τινὸς αὐτῶν, ἢ τὸ καθόλου φαῦλα ὑπάρχοντα κατὰ τόν γε τρόπον τᾶς ψυχᾶς. τοιοῦτος δὲ καὶ εἴη θάτερος ἄνθρωπος. τῶν δὲ τελείων ἀνθρώπων διτταὶ διαφοραί: τοὶ μὲν, γὰρ * ἐντι αὐτῶν κατὰ τὰν φύσιν τέλειοι: τοὶ δὲ, κατὰ τὸν βίον. καὶ κατὰ τὰν φύσιν μὲν μόνοι τοὶ ἀγαθοί. οὗτοι δέ κ' εἶεν, τοὶ ἔχοντες τὰν ἀρετάν. * ἁ γὰρ ἀρετὰ τᾶς ἑκάστου φύσιος καὶ ἀκρότας, καὶ τελειότας ἐντί. ἁ μὲν τῶ ὀφθαλμῶ, τᾶς τῶ ὀφθαλμῶ φύσιος, ἀκρότας καὶ τελειότας. ἁ δὲ τῶ ἀνθρώπω, τᾶς τῶ ἀνθρώπω φύσιος καὶ ἀκρότας καὶ τελειότας.

Inclusa parenthesi non assequor: quid huc faciat.

pro ἐὰν αὐτ.

Vide infra in Euryphami verbis in hoc sermone.

κατὰ τὸν βίον δὲ τέλειοι, τοὶ μὴ μόνον ἀγαθοὶ ὄντες, ἀλλὰ καὶ εὐδαίμονες. ἁ μὲν γὰρ εὐδαιμονία, τελειότας ἐντὶ βίω ἀνθρωπίνω. ὁ δὲ βίος ὁ ἀνθρώπινος, σύσταμα τῶν πράξεων. ἁ δ' εὐδαιμονία, συμπληροῦσα τὰς πράξιας. συμπληροῖ δὲ τὰς πράξιας, ἀρετὰ καὶ τύχα. τὰ μὲν ἀρετά, κατὰ τὰν χρῆσιν: τὰ δ' εὐτυχία, κατὰ τὰν κατόρθωσιν. ὁ μὲν ὦν θεὸς οὔτε μαθὼν παρά τινος τὰν ἀρετάν, ἀγαθὸς ἐγένετο, ἐπισυναρξαμένας αὐτῷ τᾶς τύχας εὐδαίμων. φύσει γὰρ ἦν ἀγαθὸς, καὶ φύσει εὐδαίμων, καὶ ἀεὶ ἦν, καὶ ἐσεῖται, καὶ οὐδέποκα ὑπολείψει τοιοῦτος ἐών, ἄφθαρτος ἐὼν, καὶ φύσει ἀγαθός. ὁ δὲ ἄνθρωπος, οὔτε τᾷ φύσει εὐδαίμων, ἀλλὰ μαθήσιος, καὶ προνοίας ποτιδέεται, ποτὶ μὲν τὸ γενέσθαι ἀγαθός, τᾶς ἀρετᾶς: ποτὶ δὲ τὸ γενέσθαι εὐδαίμων, τᾶς εὐτυχίας. καὶ διάπερ ἐκ δύο τούτων, ἁ ἀνθρωπίνα εὐδαιμονία, συγκεφαλαιοῦται, ἐπαίνω τε καὶ μακαρισμῶ. ἐπαίνω μὲν, τῶ διὰ ἀρετᾶς: μακαρισμῶ δὲ τῶ διὰ εὐτυχίας. τὰν μὲν ὦν ἀρετὰν ἔχει, διὰ τὰν θείαν μοῖραν, τὰν δὲ εὐτυχίαν, διὰ τὰν θνατάν. ἐξήρτηται δὲ τὰ μὲν θνατὰ, ἐκ τῶν θεῶν: καὶ τὰ ὧδε γᾶς τῶν οὐρανίων: τὰ δὲ χέρονα, ἐκ τῶν βελτιόνων. καὶ διάπερ ὁ μὲν ἑπόμενος τοῖς θεοῖς ἀγαθός, εὐδαιμονεῖ: ὁ δὲ ἑπόμενος τοῖς θνατοῖς, κακοδαιμονεῖ. τῷ μὲν γὰρ τὰν φρόνασιν ἔχοντι, ἀγαθὸν εὐτυχία, καὶ χρήσιμον. καὶ ἀγαθὸν μὲν, διὰ τὰν γνῶσιν τᾶς χρήσιος. ὠφέλιμον δὲ, διὰ τὸ συνεργεῖν ταῖς πράξεσι. καλὸν οὖν ὅκα εὐτυχία παρῇ τῷ νῷ, ὥσπερ οὐρίῳ ἀνέμῳ θέοντα, ποτὶ τὰν ἀρετὰν ἀποβλέποντα ποιεῖσθαι τὰς πράξιας: ὥσπερ καὶ τὸν κυβερνάταν ποτὶ τὰς τῶν ἄστρων κινήσιας. οὕτω γὰρ οὐ μόνον ἀκολουθήσει τῷ θεῷ, ἀλλὰ καὶ συντάξει τὸ ἀνθρώπινον ἀγαθὸν ποτὶ τὸ θεῖον. καὶ μὰν καὶ τοῦτό γε φανερόν, ὅτι ἐκ διαθέσιος καὶ πράξιος βίος διάφορος γίνεται. ἀνάγκα δὲ τὴν μὲν διάθεσιν, ἢ σπουδαίαν ἢ φαύλαν ἦμεν. τὰν δὲ πρᾶξιν, ἢ εὐδαίμονα, ἢ κακοδαίμονα. καὶ σπουδαίαν μὲν τὰν ἀρετᾶς μετειληφυῖαν: φαύλαν δὲ, τὰν κακίας. τὰς δὲ πράξιας, εὐδαίμονας μὲν ἐν τᾷ εὐτυχίᾳ: συμπεραίνονται γὰρ ποτὶ τὸν λόγον. κακοδαίμονας δ' ἐν τᾷ * εὐτυχίᾳ. ἀποτευκτικὸν γὰρ τῶ συμπεράσματος. διόπερ οὐ μόνον μαθεῖν δεῖ τὰν ἀρετάν, ἀλλὰ καὶ κτήσασθαι, καὶ χρήσασθαι αὐτᾷ: ἤτοι * εὐφαλακίαν, ἢ εἰς συναύξασιν, ἢ † καὶ μέγιστον, εἰς ἐπανόρθωσιν οἴκων καὶ πολίων. οὐ γὰρ μόνον τὴν κτᾶσιν ἔχειν δεῖ τῶν καλῶν, ἀλλὰ καὶ τὰν ὄνασιν. ταῦτα δὲ πάντα ἐσεῖται, αἴκα πόλιος εὐνομουμένας τύχῃ ὁ ἄνθρωπος. καὶ ταῦτα μὲν ἐγὼ φαμὶ ἦμεν, τὸ ὀνομαζόμενον * ἀμελείας κέρας. ἐν εὐνομίᾳ γὰρ τὰ πάντα ἐντί: καὶ ἄνευ ταύτας, οὔτε γενᾶται τὸ μέγιστον τᾶς ἀνθρωπίνας φύσιος ἀγαθόν, οὔτε γεναθὲν καὶ αὐξαθὲν, δύναιτο καὶ διαμένειν. καὶ γὰρ τὰν ἀρετὰν καὶ τὰν φορὰν ποτὶ τὰν ἀρετάν, αὐτὰ ἀμπέχει, τῷ καὶ φύσιας ἀγαθὰς γενᾶσθαι κατ' αὐτάν: καὶ ἤθεα δὲ καὶ ἐπιτηδεύματα, καὶ νόμως εἶμεν τὼς ἀρίστως: ἔτι δὲ λόγως ὀρθογνώμονας, καὶ εὐσέβειαν δὲ καὶ ὁσιότατα, ποτὶ τὰν τιμιότατα. ὥστε τῷ μέλλοντι εὐδαιμονήσειν, καὶ ὀρθόπλοον ἕξειν τὸν αὐτῶ βίον, εὐνομίας ὑπαρχούσας, καὶ διαπρᾶξαι δεῖ καὶ ἐπελθεῖν αὐτόν,

lego ἀτυχίᾳ.

lego ἐς φυλακάν, vel ἀσφάλειαν.

† malim τό.

lego ἀμαλθείας.

εὐνο

quæcunq; rationem habent. Fœlicitas enim sine uirtute nõ consistit. Virtus autem nascitur in eo quod rationem habet primariò. Non capiunt autem uirtutem.

(Hic in Græco quædam sequuntur obscura.)

Porrò ratione præditorum animalium quædam per se perfecta sunt, & nullam aliunde opem requirunt, nec ut sint, nec ut bene sint: Talis sanè Deus fuerit. Non sunt autem per se perfecta, quæ opis externæ indigent: qualis est homo. Rursus ex numero illorum quæ non per se perficiuntur, quædam perfecta, alia imperfecta sunt. Perfecta quidem, quę partim causas proprias, partim externas habent. Proprias, ut quæ bonum ingenium & uoluntatem secum adferant: externas, eò quod bonam legum constitutionem, & præfectos bonos accipiunt. Imperfecta uero, uel neutrum istorum, uel alterutrum duntaxat habent, uel omnino prauum animæ affectum: Quales etiam homines nonnulli reperiuntur. At perfectorum hominum discrimina duo sunt. Nam aliqui ipsorum natura perfecti sunt: alij genere uitæ. Natura perfecti, qui boni tantum sunt, id est uirtutem possidentes. Virtus enim uniuscunq; naturæ excellentia & perfectio est. Oculi quidem uirtus, eiusdem partis naturæ præstantia perfectioq; est: hominis autem, humanæ naturę excellentia est, nec non perfectio. Cæterum genere uitæ perfecti sunt, qui non solum boni, sed fœlices etiam fuerint. Fœlicitas nanq; perfectio est humanæ uitæ: Vita autem humana ex multis actionibus consistit: at fœlicitas actiones absoluit. Nam omnis actio uirtute aut fortuna duce fit. Virtus consideratur in ipso usu: fortuna, in successu. Atqui Deus nec ab alio uirtutem edoctus, bonus euasit: neq; fortuna duce, fœlix. Natura enim bonus est, & natura fœlix: talisq; semper & fuit, & erit, nec unquam talis esse desinet, cum incorruptibilis, naturaq; bonus existat. At homo, non est natura fœlix, sed disciplina & cura indiget: nempe ut bonus fiat, uirtute: ut fœlix euadat, fortuna eget. Quocirca ex his duobus humana fœlicitas conficitur, laude & beatione. Hæc ex fortuna, illa ex uirtute prouenit. Virtutem igitur habent homines, propter diuinitatis commercium: fortunæ uero prosperitatem, mortali ratione. Separantur autem mortalia à dijs. Et iccirco bonus uir, qui deos sequitur, fœlix est: qui mortalia, infœlix. Nam prudentia prædito bona est prospera fortuna & utilis. Bona quidem, propter utendi notionem: utilis uero, quoniam actionibus confert. Egregium itaq; est, ubi fortunæ prosperitas prudentiæ ac menti coniungitur, ueluti secundis uentis currentem, & ad uirtutem respicientem, ita actiones designare: sicut cum gubernator syderum intuens motus, nauigat. Sic enim nõ modo Deum sequetur, uerũmetiam bonum humanum ad imitationem diuini instituet. Atqui & hoc manifestum est, quod uitæ diuersitas ex animi affectu & ipsa actione oriatur. Cæterum affectus necessario aut bonus aut prauus fuerit: Actio autem, fœlix aut infœlix. Affectus bonus est, qui uirtutis particeps fit: prauus, qui malitiæ. Actiones autem, fœlices quidem in prosperitate consistunt, ut quæ pro animi sententia eueniant: Infœlices contra, in improsperitate: frustrantur enim euentu. Quamobrem non solum discere uirtutem oportet, sed etiam acquirere, utiq; ipsa, siue custodiendi siue promouẽdi nos gratia, siue quod maximum est, propter familiarum & ciuitatum emendationem. Rerum enim bonarum non solum possessionem, sed fructum quoq; habere conuenit. Hæc aũt omnia contingent, si quis ciuitatẽ bonis legibus constitutã nanciscatur. Et hæc omnia ego Amalthææ cornu nominatum esse dixerim. Nihil enim non inest bonæ legum constitutioni, sine qua maximum humanæ naturæ bonum neq; gignitur, neq; natum & auctum durare potest. Hæc ipsa enim uirtutem, & progressum qui ad uirtutem fit, complectitur. Quippe tum bona ingenia eius beneficio producũtur, tum mores, studia, legesq; fiunt optimæ: item rationes rectæ & æquæ, pietas, sanctimonia, & reuerentia. Itaque illi qui fœlix futurus, & uitam suam bene prosperèq; uicturus est, ipsam in bona legum

εὐνομίαν καταλιπόντα. ἅμα δὲ καὶ ἀνάγκαν ἐπιμεμφθῆμεν ὁ λόγος τοῖσιν ἔμπροσθεν εἰρημένοις. ὁ γὰρ ἄνθρωπος, κοινωνίας μέρος ἐντί. καὶ σὺν τούτοις ὁλόκλαρος γίνεται κατὰ τὸν αὐτὸν λόγον, σὺν τῷ μὴ μόνον κοινωνεῖν, ἀλλὰ καὶ καλῶς κοινωνεῖν. ἃ μὲν γὰρ ἐν πλείοσιν, ἀλλ' οὐκ ἐν ἑνὶ πέφυκε γίγνεσθαι. ἃ δὲ, ἐν ἑνὶ μὲν, οὐ μὰν ἔτι ἐν πλείοσιν: ἃ δὲ καὶ ἐν πλείοσι, καὶ ἐν ἑνί, καὶ διὰ τοῦτο ἐν ἑνί, ὅτι καὶ ἐν πλείοσιν. ἁρμονία μὲν γὰρ καὶ συμφωνία καὶ ἀριθμὸς, ἐν πλείοσιν ἐγγίνεσθαι πέφυκεν. οὐδὲν γὰρ αὔταρκες, ὃ ῥούτων τῶν μορίων ποιεῖ τὸ ὅλον. ὀξυνοΐα δὲ καὶ ὀξυδορκία, καὶ ποδῶν ὠκύτας, ἐν ἑνὶ μόνον. εὐδαιμονία δὲ καὶ ἀρετὰ ψυχῆς, καὶ ἐν ἑνὶ καὶ ἐν πλείοσι, καὶ ἐν τῷ ὅλῳ, καὶ ἐν τῷ παντί. καὶ διὰ τοῦτο ἐν τῷ ἑνί, ὅτι καὶ ἐν πλείοσι: καὶ ἐν τοῖς πλείοσιν, ὅτι καὶ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ παντί. ἅτε γὰρ τᾶς ὅλας φύσιος διακόσμασις, καὶ τὸ καθ' ἓν ἕκαστον, διακεκόσμακεν. * αἱ καθ' ἕκαστον δὲ διακόσμασις, τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλήρωκε. τοῦτο * βοᾷ ἀκολουθεῖ, διὰ τὸ τᾷ φύσει πρᾶτον εἶμεν τὸ ὅλον τῶ μερέος, ἀλλ' οὐ τὸ μέρος τῶ ὅλω. αἴτε γὰρ μὴ ἦ ὁ κόσμος, οὐδ' ἂν ὁ ἅλιος ἦν, οὐδ' ἁ σελάνα, οὐδ' οἱ πλανᾶτες ἀστέρες, οὐδ' οἱ ἀπλανέες. ὄντος δέ γε τῶ κόσμω, καὶ τούτων ἕκαστόν ἐντι. ἴδοι δέ κα τοῦτο αὖτις, καὶ ἐπ' αὐτᾶς τᾶς τῶν ζώων φύσιος. αἴκα γὰρ μὴ ἦ ζῷον, οὐδ' ὀφθαλμὸς, οὐδ' ἂν στόμα, οὐδ' ἂν ἀκοά. ὄντος δέ κα ζώω, καὶ τούτων ἕκαστόν ἐντι. ὡς δὲ ἔχει τὸ ὅλον ποτὶ τὸ μέρος, οὕτω καὶ ἁ τῶ ὅλω ἀρετά, ποτὶ τὰν τῶ μέρεος. μὴ ὑπαρχούσας γὰρ ἁρμονίας, καὶ ἐπόψιος θείας περὶ τὸν κόσμον, οὐκ ἂν ἐδύνατο συνεῖμεν ἔτι καλῶς ἔχοντα τὰ ἐγκεκοσμαμένα. μὴ ὑπαρχούσας δ' * εὐνοίας περὶ τὰς πόλιας, οὐκ ἂν δύναιτό τις ἀγαθὸς ἢ εὐδαίμων πολίτας ἦμεν. μὴ ὑπαρχούσας δ' ὑγιείας περὶ τὸ ζῷον, οὐκ ἂν δύναιτο πούς ἢ χεὶρ σθεναρά τε καὶ ὑγιέα ἦμεν. ἔστι γὰρ ἁ μὲν ἁρμονία, ἀρετὰ κόσμω: ἁ δ' εὐδαιμονία, ἀρετὰ πόλιος: ἁ δ' ὑγίεια καὶ ἡ ἰσχὺς, ἀρετὰ σώματος. καὶ ἕκαστον δὲ τῶν ἐν αὐτοῖς μερέων, συντέτακται ποτὶ τὸ ὅλον καὶ τὸ πᾶν. ὀφθαλμοί τε γὰρ ὁρῶντι, ὑπὲρ τῶ παντὸς σώματος: καὶ τἆλλα δὲ μόριά τε καὶ μέρεα, ὑπὲρ τῶ ὅλω καὶ τῶ παντὸς συντέτακται.

lego ἁ.

Βοᾷ dictio expungenda uidetur.

malim εὐνομίας.

Εὐρυφάμου πυθαγορείου, περὶ Βίω.

Βίος ἀνθρώπω τέλειος, θεῶ μὲν λείπεται, τῷ μὴ αὐτοτελὴς ἦμεν: ἀλόγων δὲ ζώων καθυπερέχει, τῷ ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρος ἦμεν. οὔτε γὰρ ὁ θεὸς τᾶς ἔξωθεν αἰτίας ποτιδεὴς ἐντί. φύσει γὰρ ἀγαθὸς ἐὼν καὶ φύσει εὐδαίμων ἐξ ἑαυτῶ τέλειός ἐντι. οὔτε τῶν ἀλόγων ζώων οὐδὲν *. λόγω γὰρ ἄμοιρα ὄντα, καὶ τᾶν κατὰ τὰς πράξιας ἐπιστήμας, ἄμοιρά ἐντι. ἀνθρώπω δὲ φύσις, τὰ μὲν, ἐκ τᾶς ἰδίας προαιρέσιος: τὰ δὲ, καὶ τᾶς ἐκ τῶ θείω γινομένας ἐπικουρήσιος, ποτιδεής ἐντι. τῶ μὲν γὰρ λόγω τυπωτικὸς ἦμεν, καὶ καλῶν καὶ αἰσχρῶν νοατικὸς, καὶ τῶ ὀρθῶς ἀπὸ γᾶς ἀνακεκλίσθαι, καὶ εἰς τὸν οὐρανὸν ἀποβλέπεν, καὶ θεῶν τῶν ἀνωτάτων νοατικὸς ἦμεν, ταῦτα δὲ, καὶ τᾶς ἐκ τῶν θεῶν ἐπικουρήσιος τέτευχε. τῷ δὲ βούλασιν ἔχεν καὶ προαίρεσιν καὶ ἀρχὰν ἐν ἑαυτῷ τοιαύταν, καθ' ἃν κύριος αὐτός ἐντι, καὶ ἀρετὰν ἐπιταδεῦσαι, καὶ κακίαν ζαλῶσαι, καὶ θεοῖς ἀκολουθῆσαι, καὶ ἀπὸ θεῶν ἀποτραπῆμεν: ταῦτα δὲ, καὶ καθ' αὐτὸν κινέεσθαι δυνατός ἐντι. διὸ καὶ ψόγων καὶ ἐπαίνων, καὶ τιμᾶς καὶ ἀτιμίας, τὰ μὲν, ἐκ τᾶς τῶν θεῶν, τὰ δὲ, καὶ τᾶς ἐκ τῶν ἀνθρώπων τυγχάνοντι * τοι, ἤτοι ἀρετὰν, ἢ κακίαν ζαλώσαντες. ἔχει γὰρ οὕτως ὁ σύμπας λόγος. τὸ θεῖον ἄνθρωπον πολυτελέστατον ζῷον ἐς τὸν κόσμον ἐσῴκισεν, ἀντίτιμον μὲν τᾶς ἰδίας φύσιος, ὀφθαλμὸν δὲ τᾶς τῶν ὄντων διακοσμάσιος. διὸ καὶ ὀνόματα μὲν ἔθηκε τοῖς πράγμασι, χαρακτὴρ αὐτῶν γενόμενος. ἀνεῦρε δὲ καὶ γράμματα θησαυροὺς τᾶς μνάμας παρασκευασάμενος. ἐμιμάσατο δὲ, καὶ τὰν τῶ παντὸς διακόσμασιν, δίκαις τε καὶ νόμοις κοινωνίαν πόλεων συναρμοξάμενος. οὐθὲν γὰρ οὕτω κοσμοπρεπὲς, καὶ θεῶν ἄξιον ἔργον ἀνθρώποις πέπρακται, ὡς πόλιος εὐνομουμένας συνάρμογα, καὶ νόμων καὶ πολιτείας διακόσμασις. εἷς μὲν ἕκαστος ἄνθρωπος αὐτὸς καθ' αὑτὸν οὐδεὶς ἐὼν, * οὔτε ποτὶ τὸ ζῆν ὁμοφροσύνᾳ ξυνᾷ καὶ ξυναρμογᾷ πολιτείας, καὶ αὐτὸς καθ' αὑτὸν ἱκανὸς γέγονε, καὶ ποτὶ τὸ ὅλον καὶ τὸ τέλειον σύστημα τᾶς κοινωνίας εὐάρμοστος. ἀνθρώπω μὲν ὁ βίος λύρας ἐξακριβωμένας καὶ κατὰ πᾶν * ἐπιτελέος ἐάσας ἐοικὼς ἐντί. λύρα τε μὲν πᾶσα χρῄζει τριῶν τούτων τυχεῖν: ἐξαρτύσιος, συναρμογᾶς, ἐπαφᾶς τινος μουσικᾶς. ἐξάρτυσις μὲν οὖν ἐντι, ἁ τῶν οἰκείων μερέων τῶ σώματος παρασκευὰ πάντων, λέγω δὲ τᾶν χορδᾶν, καὶ τῶν ὀργάνων τῶν ποτ' εὐφωνίαν καὶ πλαγὰν

ἐπισυνερ

Videtur aliquid deesse.

lego αὐτάν.

lego μετὰ τᾶς ἐν ὁμοφρο.

Vide supra sermone 83. in Callicratide uerbis

constitutione transigat oportet. Quinetiam præter iam dicta rei necessitas ita fieri iubet. Homo enim pars quædam est communionis: atque cum illis perfectus fit, quibus cum non modo communicat, sed etiam bene communicat. Nam sunt quæ in pluribus simul, non autem in uno fieri queant: alia in uno duntaxat, nō item in pluribus. Nonnulla tum in pluribus, tum in uno, ac ideò in uno, quoniam & in pluribus consistunt. Harmonia enim concentus, & numerus, in pluribus essentiam suam habent: quippe nulla eorum pars est, quæ totum absoluere possit. Fœlicitas autem & uirtus animæ, in uno & in pluribus extare potest, itemque in toto, & in omni: Et ideò in uno, quia pluribus etiam inest: & in pluribus, quoniam in toto & omni quoque existit. Totius nanque naturæ perfectio, singula etiam perfecit: & rursus perfectio singulorum, ipsum totum & omne absoluit. Hoc ita consequitur, quoniam totum natura præcedit partem, non autem contra pars totum. Nam si nō fuerit mundus, neque sol erit, neque luna, nec erraticæ stellæ, neque fixæ. Mundo autem existente, illarum quoque partium singulæ erunt. Itidem se res habet in animalium natura. Videlicet si non sit animal, non oculus, non os, nec aures erunt. At si existat animal, statim & ista singula consistent. Porrò quemadmodum se totum ad partes habet, ita uirtus etiam totius ad uirtutem partis. Nam nisi harmonia & prouidentia diuina mundus regeretur, non possent amplius in bono statu permanere, quæ in mundo continentur. Similiter si bona legum constitutio in ciuitatibus non uigeret, nullus ciuium bonus aut fœlix esse posset. Item nisi animal sanitate frueretur, non posset manus aut pes ualidus & sanus esse. Nam harmonia mundi uirtus est, fœlicitas ciuitatis, sanitas & robur corporis. Singulæ autē in ipsis partes, ad ipsum totum & uniuersum referuntur. Oculi eñ pro toto corpore uisum exercent: itemque reliquæ partes & particulæ, propter totum & omne constitutæ sunt.

Euryphami Pythagorici de uita.

Vita hominis perfecta, inferior quidem est Deo, quod non per se sit perfecta: brutis autem animalibus præstat, utpote uirtutis & fœlicitatis particeps. Nam neque Deus, ulla causa extrinseca indiget, ut qui natura bonus existens & natura fœlix, perfectus sit. Nec ullum animal brutum (uirtutis aut fœlicitatis capax est.) Cum enim rationem non habeant, scientiæ actionum quoque expertia sunt. At hominis natura auxilio eget, quod partim ex propria uoluntate, partim à numine ei accedit. Quatenus enim rationes imaginatur, honesta & turpia cogitat, à terra erectus est, & in cœlum respicit, & summos deos contemplatur, diuina ope fruitur. Quatenus autem uoluntatem & propositum, & tale principium intra se habet, per quod libere potest studere uirtuti, & malitiam sequi, & * deos colere, & ab ijsdem auerti, proprio motu utitur. Quamobrem qui uirtutem aut uitium sequuti sunt, uituperantur uel laudantur, & honore uel ignominia afficiuntur, partim diuinam, partim humanam ob causam. Sic enim omnino se res habet. Deus hominem preciosissimum animal in mundum collocauit, suæ quidem naturæ æqualem, inspectorem uero rerum ordinationis futurum. Quamobrem nomina rebus imposuit, * designator earum factus: Literas etiam inuenit, memoriæ thesaurum instituens: & uniuersitatis constitutionem imitatus est, iure ac legibus ciuitatum communionem concinnans. Nullum enim tam egregium in mundo, & dijs dignum opus ab hominibus factum est, quàm ciuitatis bona legitimaque institutio, ac legum & reipublicæ adornatio. Nam unusquisque homo cum ipse nihil sit per seipsum, statim ubi in communi concordia & concinnitate reipub. uiuit, tum ipse secundum se sufficiens fit, tum ad totū perfectumque cōmunionis cœtū accōmodus. Quippe humana uita lyræ perfectæ & numeris omnibus absolutæ, similis est. Quæuis enim lyra tribus his opus habet, instructione, concinnatione, & contrectatione aliqua numerosa. Instructio quidem est, omnium propriarum corporis partium apparatus, chordarum inquam, & instrumentorum ad soni suauitatē & modulationem

Notata parenthesi de nostro adiecimus.

*[illegible]

*[illegible]

lego ἁ ἀπ' ἀλλάλων

ὑποσυνεργούντων. συναρμογὰ δέ, * ἁ ἀπό τ' ἀλλάλως σύγκρασις τῶν φθόγγων. ἐπαφὰ δὲ μωσικά, ἁ κατὰ συναρμογὰν κίνησις ἤδη τούτων. οὕτως οὖν καὶ βίος ἀνθρώπων χρῄζει τριῶν τούτων τυχεῖν. ἐξάρτυσις μέν, ἁ τῶν τῶ βίω μερέων ἐντὶ συμπλάρωσις. βίω δὲ μέρεα, τά τε σώματος ἀγαθά, καὶ τὰ τῶν χρημάτων, καὶ τὰ τᾶς δόξας, καὶ τὰ τῶν φίλων. συναρμογὰ δέ, ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύνταξις. ἐπαφὰ δὲ μωσικά, ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύγκρασις, ὀρθοπλοευμένας τᾶς ἀρετᾶς, καὶ μηθενὶ ἔξωθεν ἀντιπίπτοντος ἐχούσας αὐτῇ. οὐ γὰρ ἐν τῷ ἀποτυγχάνεσθαι τᾶς προαιρέσιος τῶν ἑκουσίων σκοπῶν πέπτωκε τὸ εὐδαιμονεῖν, ἀλλ' ἐν τῷ κατατυγχάνεσθαι: οὐδ' ἐν τῷ ἀδορυφόρατον ἦμεν, καὶ ἀνυπηρέτατον τὰν ἀρετάν: ἀλλ' ἐν τῷ συμπληροῦσθαι ταῖς οἰκείαις δυνάμεσι ποτὶ τὰς πράξιας. οὐ γὰρ αὐτοτελὴς ἐντὶ ὁ ἄνθρωπος, ἀλλ' ἀτελής, τέλειος δὲ γινόμενος, ἁ μέν, παρ' αὐτόν: ἁ δὲ καὶ παρὰ τὰν ἔξωθεν αἰτίαν. καὶ τέλειος, ἤτοι κατὰ τὰν φύσιν, ἢ κατὰ τὸν βίον. καὶ κατὰ μὲν τὴν φύσιν, αἴκα ἀγαθὸς γένηται. ἁ γὰρ ἑκάστω ἀρετά, ἀκρότας καὶ τελειότας ἐντὶ τᾶς ἑκάστω φύσιος. οἷον ἁ

Vide supra in Hippodami Thurij uerbis, in hoc sermone.

μὲν τῶν ὀφθαλμῶν * φύσις ἀκρότας καὶ τελειότας, τᾶς τῶν ὀφθαλμῶν. ἁ δὲ τῶν ὠάτων, τᾶς τῶν ὠάτων. οὕτω δὲ τῶ ἀνθρώπω ἁ ἀρετά, ἀκρότας ἐντὶ καὶ τελειότας τᾶς ἀνθρώπω φύσιος. τέλειος δὲ κατὰ τὸν βίον, αἴκα εὐδαίμων γένηται. ἁ γὰρ εὐδαιμονία, τελειότας καὶ συμπλάρωσις ἐντὶ τῶν ἀνθρωπίνων ἀγαθῶν. διὸ πάλιν ἀρετὰ καὶ εὐτυχία, μέρεα γίγνονται τῶ ὑπ' αὐτῷ βίω. τᾶς * μὲν ἀρετᾶς, ὡς ψυχᾶς κειμένας: τᾶς δ' εὐτυχίας, ὡς σώματος. τὸ δὲ συναμφοτέρων αὐτῶν, ὡς ζώω. τὸ μὲν γὰρ χρῆσθαι καλῶς αὐτὸν ἐστὶ τοῖς κατὰ φύσιν ἀγαθοῖς: τὸ δὲ τὰν χρᾶσιν ἐμπαρέχειν. καὶ χρῆσθαι μὲν ἀρετᾷ: χρᾶσιν δὲ παρέχειν εὐτυχίᾳ. καὶ ἁ μέν, τὰν προαίρεσιν καὶ τὸν λόγον ὀρθὸν παρέχεσθαι: ἁ δέ, τὰς ἐνεργείας καὶ τὰς πράξιας. τὸ μὲν γὰρ βουλεύεσθαι τὰ καλά, καὶ ὑποστᾶμεν τὰ δεινά, τᾶς ἀρετᾶς οἰκεῖον ἐντί: τὸ δ' ὀρθοπλοῆσαι, τᾶς προαιρέσιος: καὶ ἐπὶ τέλος ἐλθεῖν τὰς πράξιας, τᾶς εὐτυχίας. ἐνίκασε γὰρ ὁ στραταγός, καὶ σὺν τ' ἀρετᾷ, καὶ σὺν τᾷ εὐτυχίᾳ. καὶ εὐπλόησεν ὁ κυβερνάτας, καὶ σὺν τᾷ τέχνᾳ, καὶ σὺν τοῖς οὐρίοις πνεύμασιν. καὶ εἶδεν ὁ ὀφθαλμὸς καλῶς, καὶ σὺν τᾷ ὀξυδορκίᾳ, καὶ σὺν τῷ φάει. καὶ ἄριστος ὁ βίος ὁ τῶν ἀνθρώπων ἐγένετο, καὶ διὰ τὰν ἀρετὰν αὐτάν, καὶ διὰ τὰν εὐτυχίαν.

Ex τῆς Διδύμου ἐπιτομῆς.

Τὴν δ' εὐδαιμονίαν, ἐκ τῶν καλῶν γίνεσθαι καὶ προηγουμένων πράξεων. διὸ καὶ δι' ὅλων εἶναι καλήν, καθάπερ καὶ τὴν ἐν τοῖς ἄλλοις ἐνέργειαν δι' ὅλων ἔντεχνον. οὐ γὰρ ἐκβιβάζειν τὴν παράληψιν τῶν ὀλιγῶν ἀρχῶν τῆς εἰλικρινείας τοῦ καλοῦ τὴν εὐδαιμονίαν. ὡς οὐδὲ τὴν τῆς ἰατρικῆς ἔντεχνον δι' ὅλων ἐνέργειαν, τὴν τῶν ὀργάνων χρῆσιν. πᾶσαν μὲν γὰρ πρᾶξιν, ἐνέργειαν εἶναί τινα ψυχῆς. ἐπεὶ δ' ὁ πράττων συγχρῆταί τισι πρὸς τὴν τελειότητα τῆς προθέσεως, * μέρη ταῦτα χρὴ νομίζειν τῆς ἐνεργείας: καίτοι γε ἐπιζητούσης ἑκατέρας τῶν εἰρημένων ἑκατέρου, οὐ μὴν ὡς μέρος, ὡς δὲ ποιητικὸν τῆς τέχνης. τὰ γὰρ ὧν ἄνευ πράττειν ὁτιοῦν ἀδύνατον, μέρη τῆς ἐνεργείας λέγειν, οὐκ ὀρθόν. τὸ μὲν γὰρ μέρος ἐπινοεῖσθαι, κατὰ τὸ συμπληρωτικὸν τοῦ ὅλου: τὰ δ' ὧν οὐκ ἄνευ, κατὰ τὸ ποιητικόν, τῷ φέρειν καὶ συνεργεῖν εἰς τὸ τέλος.

addo εἰ.

Πλάτωνος.

Ἆρ' οὖν ἡ κλεινία ἤδη ἐστὶν ἱκανὸν πρὸς εὐδαίμονα ποιῆσαί τινα, τό, τε κεκτῆσθαι τὰ ἀγαθά, καὶ τὸ χρῆσθαι αὐτοῖς; ἔμοι γε δοκεῖ. πότερον, ἦν δ' ἐγώ, ἐὰν ὀρθῶς χρῆταί τις, ἢ ἐὰν μή; ἐὰν ὀρθῶς. καλῶς γε, ἦν δ' ἐγώ, λέγεις. πλέον γάρ που οἶμαι θάτερόν ἐστιν, ἄν τις χρῆται μὴ ὀρθῶς ὁτῳοῦν πράγματι: ἢ ἐὰν ἐᾷ, τὸ μὲν γὰρ κακόν: τὸ δ' οὔτε κακόν, οὔτ' ἀγαθόν.

Τοῦ αὐτοῦ νόμων ὀγδόῳ.

Τοῖς δ' εὐδαιμόνως ζῶσιν, ὑπάρχειν ἀνάγκη πρῶτον, τὸ μήτε ἀδικεῖν ἄλλους, μήτε ὑφ' ἑτέρων αὐτοὺς ἀδικεῖσθαι. τούτοιν δέ, τὸ μέν, οὐ πάνυ χαλεπόν. τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν, παγχάλεπον. καὶ οὐκ ἔστιν αὐτοτελέως σχεῖν ἄλλως, ἢ τελέως γενόμενον ἀγαθόν.

ΠΕΡΙ

inseruientium. Concinnatio, temperatio sonorũ est inuicem sibi respondens. Contrectatio autem Musica, concinnus istorũ motus. Sic & hominis uita tribus huiusmodi indiget. Nam eius instructio, uitæ partium plena comparatio est: sunt autem uitę partes, corporis bona, & pecuniarum, & gloriæ, & amicorum. Cõcinnatio autem, istarum partium ordinatio est, secundum uirtutem & leges facta. Deniq; contrectatio earum concinna, in bona & legitima temperatione consistit, uirtute fœliciter procedente, ac nihil foris obuium & aduersum sibi habente. Quoniam fœlicitas non constat si ab instituto operum sponte sibi propositorum arceatur, sed si eis potiatur: Neq; si uirtus seruitio & ministerio careat, sed potius si facultatibus suis ad actiones perficiatur. Non enim per se perfectus est homo, sed imperfectus: perficitur autem partim à se: partim externa causa. Et perfectus euadit, aut secundum naturam, aut secundum uitam. Secundum naturam quidem, si bonus fiat. Nam cuiuslibet rei uirtus, excellẽtia & perfectio est suæ cuiq; naturæ. Videlicet oculorum uirtus, præstantia & perfectio est naturæ oculorum: aurium uirtus, naturam aurium perficit. Sic etiam hominis uirtus, humanæ naturæ præstantia perfectioq; est. Secundum uitam uero perfectus est, si fœlix fuerit. Quippe fœlicitas, perfectio & summa est humanorum bonorum. Proinde rursum uirtus & prosperitas, partes fiunt illius uitæ, quæ in fœlicitate uiuitur, uirtute ueluti anima eius existente, bona fortuna autem ueluti corpore, quibus coniunctis tanquam unum animal fit. Alterius officium est bonis secundum naturam bene uti, alterius uero usum sui exhibere. Nempe uirtutis est, uti: fœlicitatis, usum præbere. Item illius est, animi propositum & rationem rectam præstare: huius autem, actiones & opera promouere. Siquidem honesta deliberare, & sustinere aduersa, uirtutis proprium est: bene proficere, rationalis uoluntatis: finem autem actionum consequi, prosperitatis. Superat enim imperator uirtute simul & fortuna duce. Fœliciter nauigat gubernator, & artis & secundi uẽti beneficio. Oculus acutè uidet, tum uisus uigoris opera tum lumine. Itidem humana uita euadit optima, uirtutis pariter & prosperitatis causa.

Fœlicitatem ex optimis & honestis actionibus fieri: iccirco eam undequaq; pulchram esse, quemadmodum alia quædam opera per omnes sui partes artificiosa sunt. Assumptionem enim præcipuarum causarum non dimouere fœlicitatem à pulchritudinis syncetitate: ut neq; medicinæ actioni per omnia artificiosæ instrumentorum usus gloriam imminuit. Nam actionem omnem, animę quoddam opus esse. Etsi uero agens utitur quibusdam ad instituti sui perfectionem, non statim ea partes operis existimare conuenit: quamuis utrumque ex prædictis huiusmodi requirat, non tamen ut partem, sed ut causam efficientem artis. Nam ea sine quibus agi quippiam non potest, partes operis non rectè nominantur. Pars enim consideratur, quatenus ad rem totam absoluendam facit: Ea uero sine quibus aliquid fieri nequit, secundum efficientem causam accipiuntur, ut quæ conducant & promoueant ad finem. *Ex epitome Didymi.*

Num possessio ususq; bonorum, ô Clinia, inquam, ad beatè uiuendum sufficit? Mihi quidẽ uidetur, inquit. Vtrum ita dicis, si modo quis rectè utatur, àn etiam si non rectè? Si rectè, inquit. Probè, inquam. Plus est enim puto, cum quis re quapiam abutitur, quàm cum omnino nõ attingit. Illud siquidem malum est: hoc nec bonum, nec malum. Nónne ita dicendum? *Platonis in Euthydemo.*

Fœliciter autem uiuentibus hoc necessario inesse in primis oportet, ut nec ipsi alijs, nec alij ipsis iniuriam inferant: quorum alterum non est admodum difficile: Alterum uerò, ut nulla possis iniuria lædi, difficillimum: nec perfectè id quisquam aliter assequi potest, quàm ut perfectè bonus efficiatur. *Eiusdem lib. 8. Legum.*

Ομήρου. ΔΥσμορον, ὅν ῥα πατὴρ κρονίδης ἐπὶ γήραος οὐδῷ
al. ἄσῃ. * δύνῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ᾽ ἐπιδόντα,
υἷας τ᾽ ὀλλυμένους, ἑλκυσθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
al. ποτὶ γαίῃ. βαλλόμενα * προτὶ ἄσυ ἐν αἰνῇ δηϊοτῆτι.

Μενάνδρου. Γέροντα δυστυχοῦντα τῶν ἑαυτοῦ κακῶν
ἐπαγόμενον λήθην, ἀνέμνησας πάλιν,
ἔπειτ᾽ ἀτυχεῖν τ᾽ ἤγειρας.

Σοφοκλέους. Τῷ γὰρ κακῶς πράσσοντι μυρία, μία
νὺξ ἐστὶν εὖ παθόντα δ᾽ ὕστερα θανεῖν.

Εὐριπίδου. Κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ
αἱ μεταβολαὶ λυπηρόν. ᾧ δ᾽ αἰεὶ κακῶς,
ἐστ᾽, οὐδὲν ἀλγεῖ συγγενῶς δύστηνος ὤν.

Εὔπιστον ἀτυχῶν ἐστὶν ἄνθρωπος φύσει.
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν,
ὃ τοῖς λογισμοῖς τοῖς ἰδίοις σφάλλων ἀεί.

Αμφίδος. Εν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις
ἅπαξ τούτοις πλησιάζων ἥδεται.

Ως μοι δέχεται κακὸν ἐκ κακοῦ ἀεί.

Εὐριπίδου. Επ᾽ ἄκραν ἥκομεν κακῶν γραμμὴν, αἰεὶ
τὸ μέν γε ζῇ· τὸ δὲ, μεθίσταται κακὸν,
τὸ δ᾽ οὐκ ἔφυσεν αὐτῆς ἐξ ἀρχῆς νέον.

forte ναυτία. Νῦν δ᾽ αἰεὶ πέπτω. τὸ δ᾽ ἀέξεται ἄλλο * νοσερὸς
πῆμα, κακοῦ δ᾽ οὔπω γίνεται ἡσυχία.

Φιλίδου. Η μὲν δὴ πολέεσσι περιφύρησαι χαλεποῖσι
θυμὲ, γαλήνῃ ἐν δ᾽ ἐπιμίσγεαι οὐδ᾽ ὅσον ὅσσον,
ἀμφὶ δέ τοι νέαι αἰεὶ ἀνίαι τετρήχασιν.

Μενάνδρου. Εξωθέν εἰσιν οἱ δοκοῦντες εὐτυχεῖν,
τὰ δ᾽ ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι.

Φιλίδου. Τῷ οὔ μοι πολέων γαίης ὕπερ, οὐδὲ θαλάσσης
ἐκ Διὸς οὐρανίων ἐχόμεθ᾽ ἂν ἐτέων.

malim ἔτλην. οὐδ᾽ ἀπόμοιρα * μελέων κακῶν φορέει· ἀλλὰ φέρουσιν
ἔμπεδα, καὶ τὸ σὺν ἄλλα προσαυξάνεται.

Διφίλου. Ωσπερ κυαθίζουσ᾽ ἡμῖν ἐνίοτ᾽ ἡ τύχη
ἓν ἀγαθὸν ἐπιχέασα, τρί᾽ ἐπαντλεῖ κακά.

Γαΐου. Τὸ μὲν ἀδικεῖσθαι, καὶ παντὶ σύνδεινόν ἐστι. τὸ δὲ καὶ τῶν πάντων τι παθεῖν, ὃ μηδὲ εἰ-
Negatio abūdat πεῖν ὁ πεπονθὼς δύναται σαφῶς, δυστυχίας ὑπερβολὴν * οὐκ ἔχει.

Ορα δὴ τὸ περὶ κατηγορίας δύσκολον: ἐν ᾧ καὶ τὸ εἰπεῖν ἀδύνατον, αἰσχρὸν γάρ: καὶ τὸ σιωπῆ-
σαι χαλεπώτερον. πῶς γὰρ ἂν δύναιτό τις ἄνευ λόγου δηλῶσαι τὰ πεπραγμένα;

Αντιφῶντος. Ω γὰρ ὁ θεὸς μὴ παντελῶς βούλεται ἀγαθὰ διδόναι ἀνδρὶ, χρημάτων πλοῦτον παρασχὼν, τοῦ κα-
λῶς φρονεῖν πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος, ἀμφοτέρων ἀπεστέρησεν.

Δημοκρίτου. Απορίη ξυνὴ, τῆς ἑκάστου χαλεπωτέρη. οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίας.

Νόσος οἴκου καὶ βίου γίνεται, ὅκως περ καὶ σκήνεος.

Γαΐου. Εοικε δὲ ὁ βάσκανος δαίμων φιλοτιμότατος εἶναι πρὸς τὰς παραδόξους συμφοράς.
ἐστὶ καί σοι παιδοφόνος πατὴρ, τὴν μὲν χεῖρα, μιαρώτατος: τὴν δὲ ψυχὴν, καθαρώτατος,
μανίᾳ διακονησάμενος τὴν συμφοράν.

Ηράκλει

DE INFOELICITATE,

SERMO CII.

INfœlicem, quem pater Saturnius in senectutis limine *Homeri Iliad. 5.*
Misera calamitate perdidit multa mala intuitum
Et filios pereuntes, & filias per uim abstractas:
Et thalamos uastatos, & liberos infantes
Ad terram proiectos in graui conflictu.

Misero seni, qui malorum suorum *Menandri.*
Obliuisci incipiebat, memoriam refricasti,
Ac denuo infœlicem fieri effecisti.

Infinitis oppresso malis, una *Sophoclis.*
Nox aduenit, quę dum melior aspirat fortuna, mori iubet.

Viro, qui fœlix aliquando uocatus fuit, *Euripidis.*
Molesta est mutatio: cui uero semper sinistra
Fortuna fuerit, nihil dolet, cum ei familiaris sit calamitas.

Homo semper infœlix natura credulus est.
Proximum enim plus se sapere putat
Ille, quem suæ rationes semper fallunt.

Quibus in locis calamitosus aliquis fuit, *Amphidis.*
Ad istos accedere nequaquam gaudet.

Quàm semper aliud malum post aliud mihi nascitur.

Malorum ultimam lineam attigimus. Semper *Euripidis.*
Malum aliquod uiget, alterum uero præterit,
Et quod nouum secuturum est deinceps, nondum apparet.

Nunc uero semper concoquo. Interim aliud nouum mihi crescit
Damnum, cum à priori malo nondum me expediuerim.

Permultis equidem semper immersus es malis *Philetæ.*
Anime mi: tranquillitatem uero ne tantillam quidem experiris.
Semper autem noui dolores circa te exasperantur.

Qui fœlices uidentur, externam solum personam habent, *Menandri.*
Intus autem cæteris hominibus similes sunt.

Philetæ.
**Hic duo uersus obscuri sunt in Græco.*

Nec mihi parca malorum finem adfert: sed manet
Constanter, & præsentibus accrescunt alia.

Fortuna nobis tanquam cyathos exiccantibus *Diphili.*
Si unum bonum infundat, tria mala affundit.

Iniuriam pati cuilibet graue est. Huiusmodi uero aliquid pati, quod ne dici quidem clarè ab homine affecto possit, infœlicitas nimia est. *Gaij.*

Vide accusationis difficultatem, in qua & efferri crimen non potest, & taceri grauius est. Nam quomodo quis perpetrata facinora sine uerbis significauerit?

Si cui Deus bona non perfectè largiri uoluerit, illum pecuniarum copia exhibita mentis & prudentiæ inopem facit: & sic altero adempto utrisque priuat. *Antiphontis.*

Inopia publica grauior est quàm singulorũ. Nulla enim subsidij spes relinquitur. *Democriti.*

Quemadmodum corpori, sic & familiæ uitæque morbus accidit.

Inuidus dęmon maxime uidetur hoc studere, ut inopinatas calamitates inducat. *Gaij.*
Est hic tibi prolis suæ occisor pater: manu quidem sceleстissimus: anima uero purissimus, ut qui per furorem calamitosum istud malum admiserit.

Ἡράκλειτος ἔφη, ὡς ἦθος ἀνθρώπῳ δαίμων.

Ξενοκράτης ἔλεγεν, ὡς τὸ κακοπρόσωπον αἶσχος προσώπου, καὶ μοχθηρίᾳ τινὶ τὸ δύσμορφον· οὕτω δαίμονος κακία, τοὺς πονηροὺς κακοδαίμονας ὀνομάζομεν.

Πλάτωνος. Ἀλλὰ μὴν ὦ σώκρατες οὐδέν γε σε δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν. τὰ γὰρ ἐχθὲς καὶ πρώην γεγονότα, ταῦτα ἱκανά σε ἐξελέγξαι ἐστὶ, καὶ ἀποδεῖξαι, ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι, εὐδαίμονές εἰσι. τὰ ποῖα ταῦτα; ἀρχέλαον δήπου τοῦτον τὸν περδίκκου, ὁρᾷς ἄρχοντα μακεδονίας; εἰ δὲ μὴ, ἀλλ᾽ ἀκούω γε. εὐδαίμων οὖν σοι δοκεῖ εἶναι, ἢ ἄθλιος; οὐκ οἶδα ὦ πῶλε. οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί. τί δαὶ συγγενόμενος ἂν γνοίης, ἄλλως δ᾽ αὐτόθεν οὐ γινώσκεις, ὅτι εὐδαιμονεῖ; μὰ δί᾽, οὐ δῆτα. δῆλον δὴ ὦ σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γινώσκειν φήσεις εὐδαίμονα ὄντα. καὶ ἀληθῆ γε ἐρῶ. οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης. τί δὲ ἐν τούτῳ πᾶσα ἡ εὐδαιμονία ἐστίν; ὥς γε ἐγὼ λέγω ὦ πῶλε. τὸν μὲν γὰρ καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα, εὐδαίμονας εἶναί φημι· τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. ἄθλιος ἄρα οὗτός ἐστιν ὁ ἀρχέλαος κατὰ τὸν σὸν λόγον; εἴπερ γε ὦ φίλε ἄδικος.

Κατά γε τὴν ἐμὴν δόξαν ὦ πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως γε ἄθλιος. ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην, μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν. ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην, καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

ΟΤΙ ΑΒΕΒΑΙΟΣ Η ΤΩΝ ΑΝΘΡΩΠΩΝ εὐπραξία, μεταπιπτούσης ῥᾳδίως τύχης.

ΛΟΓΟΣ ργ´.

Εὐριπίδου. Ὁρᾶς τυράννους διὰ μακρῶν ἠσκημένους
ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί᾽ ἡμέρα
τὸν μὲν, καθεῖλεν ὑψοθέντα δ᾽ ἦρ᾽ ἄνω.
ὑπόπτερος δ᾽ ὁ πλοῦτος. οἷς γὰρ ἦν ποτε,
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.

Διονυσίου τυράννου. Θνητῶν δὲ μηδεὶς μηδὲν ὄλβιόν ποτε
κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ᾽ ἴδῃ.
ἐν ἀσφαλεῖ γὰρ τὸν θανόντ᾽ ἐπαινέσαι.

Σοφοκλέους. Οὐ χρή ποτ᾽ εὖ πράσσοντος ὀλβίσαι τύχας
ἀνδρὸς, πρὶν αὐτῷ παντελῶς ἤδη βίος
διεκπερανθῇ καὶ τελευτήσῃ βίον.
ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ
malim π. * πάν πλοῦτον ὅλον βαρυδαίμονος κακοῦ δόσις,
ὅταν μεταπέσῃ, καὶ θεοῖς δοκῇ τάδε.

Ἀλέξιδος. Τοιοῦτο τὸ ζῆν ἐστὶν, ὥσπερ οἱ κύβοι.
lego ἰ ταὐτ. * οὔτ᾽ αὔτ᾽ ἀεὶ πίπτουσιν· οὐδὲ τῷ βίῳ
ταυτὸν διαμένει σχῆμα, μεταβολὰς δ᾽ ἔχει.

Διφίλου. Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθος.
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.

Εὐριπίδου. Οὐκ ἄγαμαι ταῦτ᾽ ἀνδρὸς ἀριστέως.
ἀγάμεμνον ἀτρεῦ. δεῖ δέ σε χαίρειν,
κἂν μὴ σὺ θέλῃς, τὰ θεῶν οὕτω νενόμισται,
οὐκ ἐπὶ πᾶσιν ἔφυς ἀγαθοῖς,
καὶ λυπεῖσθαι. θνητὸς γὰρ ἔφυς.

Σιμωνίδου. Πάμπαν δ᾽ ἄμωμος οὔτις οὐδ᾽ ἀκήριος.

Εὐριπίδου. Οὐ χρή ποτ᾽ ὀρθαῖς ἐν τύχαις βεβηκότα
ἕξειν τὸν αὐτὸν δαίμον᾽ ἀεὶ δοκεῖν.

Heraclitus dixit ingenium homini dæmonem esse.

Xenocrates dicebat, quemadmodum à faciei formæq; uitio aliquem uocamus informem: ita ob fortunę malitiā homines improbos uocari à nobis infortunatos.

Atqui, ô Socrates, nihil opus est antiquis exemplis ad te confutandū. Siquidem recentibus atq; adeò hesternis manifestè plærosq; iniustos esse fœlices comprobari possit. Quænam ista? Archelaum Perdiccæ filium Macedoniæ imperare uides? Etsi non uideo, saltem audio. Fœlix ne igitur tibi, an infœlix uidetur? Nescio equidem Pole: nunquam enim illi sum conuersatus. Quid autem? Si eius consuetudinem habuisses, iam cognosceres? Aliunde uero fœlicitatem eius non deprehendis? Nō per Iouem. Constat igitur, ô Socrates, similiter te dicturum ignorare, utrū magnus Persarum rex sit fœlix. Et uera quidem dicam. Ignoro enim quo pacto uel eruditione uel iustitia sit instructus. Nunquid in hoc tota beatitudo consistit? Certe meo iudicio. assero enim honestum bonumq; uirum & mulierem esse fœlicem: iniustum uero & turpem, esse miserum. Miser ergo iuxta tuum sermonem est Archelaus. Nimirum, si iniustus. *Platonis in Gorgia.*

Secundum uero sententiam meam ô Pole, qui iniuriatur iniustusq; est, omnino est ante alios miser, miserior tamē si iniuriarum pœnas nunquam luat: minus uero miser, si luat, suppliciumq; iustum à dijs hominibusq; reportet. *Ibidem.*

QVOD INCONSTANS SIT HOMINVM PROsperitas, cum fortuna facile mutetur in statum deteriorem.

SERMO CIII.

Vides tyrannos longo tempore confirmatos *Euripidis.*
Quàm exiguæ res offendant, & una dies
Aliquem diu in sublimi constitutum deiecit:
Illos item quibus aliquando diuitiæ celeriter auctæ fuerant,
A spe sua supinos cadere uideo.

Nullus unquam hominem mortalem beatum *Dionysij Tyranni.*
Iudicet, antequam bene defunctum uiderit,
Mortuum enim laudare tutum est.

Nunquam oportet fœlicem existimare sortem fortunati *Sophoclis.*
Viri, priusquam ei uita omnino
Transacta & finita fuerit.
Etenim exiguo breuiq; tempore aufert
Diuitias omnes miseræ calamitatis alicuius sors,
Vbi se fortuna transmutat, dijsq; ita uidetur.

Vita res est tesserarum aleæ similis, *Alexidis.*
Non eadem semper cadunt: neq; uitæ
Manet eadem species, sed uariat.

Nulla perturbatio præter expectationem euenit hominibus. *Diphili.*
Fortunam enim habemus indies mutabilem.

Non miror hæc in uiro principe *Euripidis.*
Agamemnon Atrida. Gaudere tibi necessum est,
Etiam inuito (sic dij statuerunt,
Nec ad omnia bona genitus es)
Et tristari, utpote mortali nato.

Nullus planè sine uitio aut calamitate uiuit. *Simonidis.*

Nunquam oportet illum cui secunda fortuna spirat, *Euripidis.*
Eandem sortem semper se habiturum existimare.

ὁ γὰρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν,
κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
θνητῶν δὲ θνητὸς ὄλβος. οἱ δ' ὑπέρφρονες,
καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι,
ἔλεγχον ἔλαβον τὴν τύχην ἐν τῷ παθεῖν.

Σιμωνίδου. Ἄνθρωπος ἐὼν μήποτε φάσῃς, ὅ, τι γίνεται,
μήδ' ἄνδρα ἰδὼν ὅσσον χρόνον ἔσσεται.
ὠκεῖα γάρ, οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

Μενάνδρου. Εὕροις δ' οὐθὲν τῶν ἁπάντων ὦ Δημέα
ἀγαθόν, ἐν ᾧ τι μὴ πρόσεστι καὶ κακόν.

Εὐριπίδου. Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·
οὐδ' εὐτυχεῖ τὸ πάμπαν, οὔτε δυστυχεῖ.
εὐδαιμονεῖ τε κ᾽αὖθις οὐκ εὐδαιμονεῖ.
τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες,
οὐ ζῶμεν ὡς ἥδιστα, μὴ λυπούμενοι;

Ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς;
θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ
βένθους ἅλιον ἰθύνουσι. τύχας δὲ θνητῶν
τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
μεθίστησι· τὸ δὲ μεῖον, αὔξων.

Ὦ δύσποτμ' οὐδεὶς οἶδεν ἄνθρωπος γεγώς,
οὔτ' εὐτυχοῦς ἀριθμόν, οὔτε δυστυχοῦς.

Χρὴ δ' οὔποτ' εἰπεῖν ὄλβιον οὐδένα βροτῶν,
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω.

Πᾶσι γὰρ ἀνθρώποισιν οὐχ ἡμῖν μόνον,
ἢ καὶ παραυτίκ', ἢ χρόνῳ δαίμων βίον
ἔσφηλε. κοὐδεὶς διατελοῦς εὐδαιμονεῖ.

Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
οἱ μὲν γὰρ εὖ πράσσουσι· τοῖς δὲ συμφορὰς
σκληρὰς πάρεστιν εὐσεβοῦσιν εἰς θεούς,
καὶ πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον,
malim οὐ. * οὐ τῷ δικαίῳ ζῶσιν αἰσχύνης ἄτερ.

Ὁ μὲν ὄλβιος ἦν, τὸ δ' ἀπέκρυψεν θεός.
ἐκάνων τῶν ποτε λαμπρῶν, νεύει βίοτος,
νεύει δὲ τύχα κατὰ πνεῦμ' ἀνέμων.

Ἄνασσα πολλοῖς ἐστὶν ἀνθρώποις κακά·
τοῖς δ' ἄρτι λήγει· τοῖς δέ, κίνδυνος μολεῖν.
lego ἕρπει. κύκλος γὰρ * ἔλπει, καρπίμοις τε γῆς φυτοῖς,
θνητῶν τε γενεᾷ. τῶν μέν, αὔξεται βίος·
τῶν δέ, φθίνει τε καὶ θερίζεται πάλιν.

Οὐ τὸν κρατοῦντα χρὴ κρατεῖν ἃ μὴ χρεών,
οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί.
κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν, οὐκ εἴμ' ἔτι.
τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.

Σοφοκλέους. Μήπω μέγαν εἴπῃς πρὶν τελευτήσαντ' ἴδῃς.

Μοσχίωνος. Σμικρός, δόξῃ, πρόσθεν, καὶ γένει μέγας,

Hæc enim dea, si modo sic uocanda est,
Si semper eisdem diu conuersetur, tædio afficitur.
Mortalium opes mortales sunt. Superbi autem,
Et qui ex præsente statu futurum tanquam certum augurantur,
Ab ipsa fortuna patientes demum arguuntur.
Homo existens nunquam dixeris quid futurum sit, Simonidis.
Neq; intuitus uirum, quamdiu sit uicturus.
Fit enim citius, quàm uolucris muscæ,
Status mutatio præsentis.
Nullum inter omnia reperies ô Demea Menandri.
Bonum, cui non etiam aliquid insit mali.
Talis miserorum est hominum uita: Euripidis.
Nec omnino fortunata, nec planè infortunata est:
Et nunc fœliciter, nunc infœliciter agit.
Cur igitur, cum incerta sit fœlicitas nostra,
Non uiuimus quàm iucundissimè ac sine tristitia?
Vbi nam certitudo est uitæ mortalium?
Citarum quidem nauium uenti cursum
Marinum per profunditatem dirigunt. At mortalium fortunam
Magnam, ad nihilum tandem longum tempus
Redigit: minorem uero auget.
O here, nullus qui mortalis natus est nouit
Aut fortunati, aut infortunati numerum successus.
Nunquam beatum appellaueris quenquam hominum, Eiusdem in Andromache.
Priusquam uideris defunctus extremum
Quomodo transigens diem è uita migrauerit.
Omnibus enim hominibus, non solum nobis,
Aut statim in præsentia, aut paulo post fortuna uitam
Offendit: & nullus perpetua fœlicitate fruitur.
Papæ, quàm inæquales sunt mortalium fortunæ.
Alij enim prosperè agunt: alijs calamitates
Duræ adhærent, quamuis pij sint erga deos:
Et uitam omnem diligenter & prouidè
Cum iustitia agant sine dedecore.
Hic erat diues, sed abstulit ei Deus opes.
Et illorum quondam insignium declinat uita,
Declinat & fortuna, iuxta flatum uentorum.
O regina multis hominibus adsunt mala:
Alijs iam primum desinunt, alijs periculum est ne aduenlant.
Circuit enim in orbem, & fructificatio terræ,
Et genus humanum. Aliorum augetur uita,
Aliorum uero decrescit, iterumq; demetitur.
Præstantiorem non oportet præter fas dominari,
Neq; fortunatos putare semper tales se futuros.
Nam & ego olim fortunatus eram, nunc uero non sum amplius.
Sed opes omnes una mihi dies abstulit.
Nondum appellato magnum, antequam defunctum uideris. Sophoclis.
Qui uir magnus antea fuerat, intellectu, gloria, & genere, Moschionis.

ἄργους δυνάστης, λιτὸς, ἐκ τυραννικῶν
δόμων, προσαιτῶν θάλλον ἀναγκασμένος
ἔσχεν εἰς γῆν ὄμμα συμπαθὲς φέρων·
καὶ πᾶσι δ᾽ αἰνῶ, ὡς τὰ λαμπρὰ τῆς τύχης
τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει·
ὃν πᾶς μὲν ἀστῶν ἠλίκον εἰσιδών·
ἅπας δὲ χώρα καὶ προσήγορον φάτιν
ὤρεξε, κἄνθους τ᾽ ἐξέτηξε δακρύοις,
τύχαις συναλγῶν· τἀξίωμα γὰρ νοσοῦν
τὸ πρόσθε, πολλοῖς οἶκτον εὐπορεῖ βροτῶν.

Ἀρχιλόχου. Τοῖς θεοῖς τίθει τὰ πάντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσι, μελαίνῃ κειμένους ἐπὶ χθονί.
πολλάκις δ᾽ ἀνατρέπουσι, καὶ μάλ᾽ εὖ βεβηκότας
ὑπτίους κλίνουσ᾽· ἔπειτα πολλὰ γίνεται κακά.
lego χρήμῃ πλαν. καὶ βίου * χρήμῃ πλανᾶται, καὶ νόου παρήορος.

Θεοδέκτου. Πολυαστρὴς μὲν οὖν γόνον καθ᾽ Ἑλλάδα
φήμη πλανᾶται καὶ διέγνωσται πάλαι,
τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας.

Ἀλέξιδος. Κἂν εὐτυχῇ τις, ὡς ἔοικε προσδοκᾶν
ἀεί τι δεῖ, καὶ μή τι πιστεύειν τύχῃ.

Μενάνδρου. Ὁ δ᾽ ἠδικηκὼς ὅστις ἐστὶν οὗτός ποτε
τὴν ὑμετέραν πενίαν, κακοδαίμων ἐστ᾽ ἔτι
τοῦτ᾽ ἠδικηκὼς, οὗ τυχὼν μεταλήψεται.
εἰ καὶ σφόδρ᾽ εὐπορεῖ γὰρ, ἀβεβαίως τρυφᾷ.
τὸ τῆς τύχης γὰρ ῥεῦμα, μεταπίπτει ταχύ.

Κλειτομάχου. Τοῖς εὖ παθοῦσιν ἀντιπνεύσασ᾽ ἡ τύχη,
πάντα συγχεῖ. πάντα ναυαγεῖν ποιεῖ,
τὰ τῇ φρονήσει καὶ τοῖς λογισμοῖς ὀρθῶς
ἐκπεπονῆσθαι δοκοῦντα, πρὸς τὸ καλῶς ζῆν.

Βάτωνος. Ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ,
τέρας ἐστὶν, εἴ τις εὐτύχηκε διὰ βίου.

Εὐριπίδου. Πάλαι σκοποῦμαι τὰς τύχας τῶν βροτῶν,
ὡς εὖ μεταλλάσσουσιν. ὃς γὰρ ἂν σφαλῇ,
εἰς ὀρθὸν ἔστη· χ᾽ ὁ πρὶν εὐτυχῶν, πίτνει.
ὥστ᾽ οὔτις ἀνδρῶν εἰς ἅπαντ᾽ εὐδαιμονεῖ.
οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
Φεῦ, οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ᾽ εὐδοξία,
al. πράσσοντα. οὔτ᾽ αὖ καλῶς * πράξαντα, μὴ πράξειν κακῶς.

Ἡσιόδου. Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.

Σοφοκλέους. Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.
Λόγος μὲν ἔστ᾽ ἀρχαῖος ἀνθρώπων φανεὶς,
ὡς οὐκ ἂν αἰῶν᾽ ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνῃ τις, οὔτ᾽ εἰ χρηστὸς, οὔτ᾽ εἴ τῳ κακός.
lego ἵνα. Ὅμως δ᾽ * ἓν ἐστὶ τοῖσιν εὖ σκοπουμένοις,
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.
Τίς δή ποτ᾽ ὄλβον ἢ μέγαν θείη βροτόν,

ἢ σμι

Princeps Argi, nunc inops ex regia
Familia natus, supplex germen ferre coactus,
In regionem hanc uenit miserabili uultu,
Omnibus ostendens, quod fortunæ splendor
Possessionem hominibus instabilem tradit.
Quem nullus non ciuis inspectum misericordia prosequutus est:
Quiuis autem manum, & colloquij officium
Ei communicauit, & oculos macerauit lachrymis,
Condolens ob eius fortunam. Dignitas enim si lædatur
Pristina, multos homines ad misericordiam mouet.

Omnia dijs ascribe. Nam illi sæpius ex malis *Archilochi.*
Viros erigunt nigra iacentes in terra.
Sæpius autem euertunt, & bene ac firmiter stantes
Supinos sternunt, deinde multa mala obtingunt.
Et inops uictus oberrat, & mente uacuus.

Vulgata ô senex per Græciam *Theodectis.*
Fama circumfertur, & olim exploratum est,
Quod hominum fortuna sit instabilis.

Etsi quis fortunatus fuerit, semper tamen, ut par est, expectare *Alexidis.*
Aliquid aliud oportet: & nihil credere fortunæ.

Qui iniurius fuit, quisquis ille tandem sit, *Menandri.*
In paupertatem uestram, miser est quod
Hanc rem iniuria affecerit, cuius forte particeps erit.
Quamuis enim prædiues sit, instabilem luxum exercet.
Nam fortunæ fluxus huc illuc cito transfertur.

Fortuna spirans aduersa prospere agentibus, *Clitomachi.*
Omnia confundit: omnibus naufragium infert,
Quæ à prudentia & rationibus recte
Instituta uidebantur ad bene uiuendum.

Homo existens iacturam aliquam fecisti. At hoc in uita *Bathonis,*
Miraculum est, si quis per omnem uitam fortunatus fuerit.

Iamdudum apud me fortunas hominum consydero, *Euripidis.*
Quomodo inuicem permutentur. Nam qui lapsus fuerit,
Rursum erigitur: & qui prius fortunatè uiuebat, cadit.
Itaque nullus hominum per omnia fœlix est.
Nihil inter humanas res sibi simile, constansque est.

Papæ, quàm nihil fidum aut certum est: neque gloria, *Eiusdem in Hecuba.*
Neque illum qui fortunatus fuit, infortunio non captum iri.

Ipsa dies quandoque parens, quandoque nouerca est. *Hesiodi in operibus.*

Nanque dies deprimit, rursumque extollit *Sophoclis in Aiace.*
Cunctas res hominum. Moderatos autem
Dij amant, malos uero prosequuntur odio.

Antiquitus hic sermo inter homines celebratus est,
Non posse uitam hominum dignosci, antequam
Defunctus sit aliquis, bonáne aut mala contigerit cuipiam.

Veruntamen conuenit, si bene consideres,
Timere fortunatum, ne quando incidat infortunium.

Quis unquam opes hominis magnas esse dixerit,

ἢ σμικρόν, ἢ τὸν μηδαμοῦ τιμώμενον;
οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.

Εὐριπίδου. Ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγώ,
τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.

Πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις
ἔδωκεν ἡμῖν, μεταβολάς τε τῆς τύχης.

Διφίλου. Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.
βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.

Νικοστράτου. Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
νὴ τὴν Ἀθηνᾶν συντόμως γε φίλτατε
Εὐριπίδη τὸν βίον ἔθηκας εἰς στίχον.

Ἀπολλοδώρου. Οὐκ οἶδ' ὅτῳ πέποιθας ἀργυρίῳ πάτερ.
ὁ καιρὸς ὁ τυχὼν, τοῖς μὲν οὐ κεκτημένοις,
ἔδωκε· τῶν κεκτημένων δ' ἀφείλετο.

Τὰ μεγάλα δῶρα, τῆς τύχης ἔχει φόβον.
καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ.
οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει,
ὃ περιέτρεψεν, ἢ χρόνος τις, ἢ φθόνος,
ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ.
ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα.
Τῷ μὴ τελέαν ἐν ταπεινῷ τῆς ψυχῆς
μορίῳ φορεῖσθαι, μήτ' ἐν ὑψηλῷ πάλιν.
κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου,
εὐπερικάλυπτον ἔχει τὴν δυσπραξίαν.
ὄγκου δὲ μεγάλου, πτῶμα γίνεται μέγα.
πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται·
σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη.

Ἰσοκράτους. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς· οὔτε δυστυχῶν, περίλυπος.

Ἡροδότου. Ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πρηγμάτων· περιφερόμενος δὲ, οὐκ ἐᾷ αἰεὶ τοὺς αὐτοὺς εὐτυχεῖν.

Πᾶν ἐστὶν ἄνθρωπος συμφορή.

Οὐδεὶς. Εἰ δέ τις ὑπέλαβε βεβαίως ἔχειν τὸν πλοῦτον, καὶ οὐδέποτε περιλείψειν αὐτὸν, οὗτος ἔοικε τύχης καὶ παραδόξων πραγμάτων καταπεφρονηκέναι, καὶ οὐκ εἰδέναι ὅτι πεπλανημένον τὸ εὖ πράττειν, καὶ οὐκ ἀεὶ παρὰ τοῖς αὐτοῖς.

Βίων ἔφη· τὰ χρήματα τοῖς πολλοῖς ἡ τύχη οὐ δεδώρηται· ἀλλὰ δεδάνεικεν.

Σωκράτους. Ταυτόν ἐστιν, ἐπ' εὐτυχίᾳ μέγα φρονεῖν, καὶ ἐπὶ ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν.

Δημοκρίτου. Οὐκ ἔστιν οὕτως ἀσφαλὴς πλούτου πυλὼν, ὃν οὐκ ἀνοίγει τύχης καιρός.

Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθεὶς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, οὐχ ἕστηκε γὰρ εἶπε.

Αἴσωπος ἐρωτηθεὶς, τί οἱ θεοὶ πράττουσιν, ἔφη· τὰ μὲν, οἰκοδομεῖν· τὰ δὲ, καταβάλλειν.

Φαβωρίνου. Ἄνθρωπος ὢν μηδέποτε φῇς, ὅ, τι γίνεται αὔριον· μηδ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσον χρόνον ἔσεται. ἀλλὰ μηδὲ οἶκον. ὥσπερ ἀμέλει ὁ ποιητὴς διεξέρχεται, τὴν τῶν Σκοπαδῶν ἀθρόαν ἀπώλειαν. ἤδη δὲ καὶ πόλεις παρὰ προσδόκησιν, ἀνάστατοι γεγόνασιν ἀφνίδιον· αἱ μὲν, ὑπὸ πυρός· αἱ δ' ὑπὸ σεισμοῦ· αἱ δὲ, τῆς θαλάττης ἐπελθούσης. ποῦ μοι Ἑλίκη; κατεπόθη. ποῦ Βοῦρα; καὶ αὐτὴ κατεπόθη. δύο πόλεις Ἑλληνίδες ἀπώλοντο ὥσπερ πλέουσαι.

Ἡροδότου. Κροῖσος δὲ ἀπερχθεὶς, εἶπεν· ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη, οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδὲν, ὥστε οὔτε ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας; ὁ δὲ Σόλων εἶπεν. ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες, ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι. ἐν γὰρ τῷ μακρῷ χρόνῳ, πολλὰ μὲν ἐστὶν ἰδεῖν, τὰ μή τις ἐθέλει· πολλὰ δὲ καὶ παθεῖν.

δι. ἐπειρωτᾷς.

ἐς γὰρ

Vel paruas: aut obscurum aliquem, (uel gloriosum uirum?) *Notata parenthesi non sunt in Græco.*
Nunquam enim istorum quicquam stabile permanet.
Equidem uideo plærisq; hominibus *Euripidis.*
A præcedente prosperitate contumeliam gigni.
Multas sane dæmon uitæ mutationes
Nobis dedit, & fortunæ uicissitudines.
Firmum nihil est in mortali uita. *Diphili.*
Nullus enim uiuit eo modo, quem instituit.
Nullus hominum fœlix est per omnia. *Nicostrati.*
Breuiter sane per Mineruam, charissime
Euripides, uitam humanam uno uersu comprehendisti.
Nescio quali argento confidas pater. *Apollodori.*
Nam quoduis tempus nihil possidentibus
Largitur istud: possidentes autem eo priuat.
Magna fortunæ dona non sine metu sunt:
Et splendor eximius periculo non uacat.
Deniq; nihil altum inter homines tutum est:
Vt quod euerti soleat uel tempore, uel inuidia,
Postquam aliquis culmen prosperitatis attigit.
Mediocritas uerò tutior est ubiq;.
Quia nec omnino in humili animæ
Parte uersatur, nec rursus in sublimi.
Quamuis enim ceciderit quispiam per minus interuallum,
Faciliorem obtectu calamitatem habet.
At magnæ molis magna ruina cadit.
Inuidia enim ad splendidissima quæq; enititur:
Et illos deiicit, quos extulit fortuna.

Existimato nullam rerum mortalium firmam esse. Sic enim neq; propter lætam fortunam nimio gaudio: neq; propter aduersam nimio dolore capieris. *Isocratis.*

Est ueluti circulus quidam rerum humanarum, qui sua rotatione non permittit eosdem semper agere fortunatè. *Herodoti.*

Homo nihil omnino quàm ipsa calamitas est. *Eiusdem lib. 1.*

Quod si quis diuitias esse firmas opinatur, & nunquam se deserendum ab ipsis: hic fortunam & inopinatos casus contemnere uidetur, ac ignorare quàm dubia res prosperitas sit, nec iisdem semper adhærens. *Vthei.*

Bion dixit: fortuna diuitibus pecunias non donauit, sed mutuo dedit. *Bion.*

Idem est in secunda fortuna altum sapere, & in lubrica uia cursu certare. *Socratis.*

Nulla est adeò munita diuitiarum porta, quàm fortunæ occasio non aperiat. *Democriti.*

Apelles pictor interrogatus cur sedentem fortunam pinxisset, dixit: quia non consistit.

Aesopus quærenti, quid dii facerent: dixit, eos alia struere, alia diruere.

Homo cum sis, nunquam dixeris quid cras futurum sit: neq; homine fœlice uiso, quamdiu talis mansurus sit: neq; si familiam fœlicem uideris. Vide quomodo Homerus subitam Scopadum internecionem recenset: Et multæ iam ciuitates præter expectationem repente euersæ sunt: aliæ ab igne, aliæ terræmotu: quædam accessu maris. Vbi nunc Helice? Absorpta est. Vbi Bara? Et hæc absorpta est. Duæ ciuitates Græcæ tanquam nauigantes perierunt. *Phauorini.*

Crœsus autem turbatus, inquit: Hospes Atheniensis adeóne tibi pro nulla contemnitur nostra fœlicitas, ut ne priuatis quidem uiris nos æquiparandos ducas? Cui ille: Me Crœse gnarum omne numen inuidum esse & turbulentum, de rebus humanis, interrogas. In diuturno enim tempore multa uidentur quæ nemo uelit uidere: & tolerantur multa quæ nolit quispiam tolerare. Proponamus *Herodoti lib. 1.*

Paulo post. ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι. τουτέων τῶν ἁπασέων ἡμερέων τῶν εἰς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσίων καὶ ἑξακισχιλίων καὶ δισμυρίων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὅμοιον ἐσάγει πρῆγμα, οὕτω ὦ Κροῖσε, πᾶν ἐστὶν ἄνθρωπος συμφορή. ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μὲν μέγα φαίνεαι, καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων: ἐκεῖνο δὲ, τὸ εἰρεό με, οὔκω σε λέγω, πρὶν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. οὐ γάρ τι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐφ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστιν, εἰ μή οἱ τύχη ἐπίσποιτο, ἔχοντα πάντα καλὰ τελευτῆσαι εὖ τὸν βίον. πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων, ἀνόλβιοί εἰσι: πολλοὶ δὲ μετρίως ἔχοντες βίου, εὐτυχέες. ὁ μὲν δὴ μέγα πλούσιος ἄνολβος δὲ, δυοῖσι προέχει τοῦ εὐτυχέος μούνοισιν. οὗτος δὲ τοῦ πλουσίου καὶ ἀνόλβου, πολλοῖσιν. ὁ μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην προσπεσοῦσαν, ἐνεῖκαι δυνατώτερος. ὁ δὲ, τοῖσδε προέχει ἐκείνου. ἄτην μὲν καὶ ἐπιθυμίην, οὐχ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι: ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει. ἄπηρος δέ ἐστιν, ἄνουσος, ἀπαθὴς *, εὔπαις, εὐειδής. εἰ δὲ πρὸς τούτοισιν ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι. πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχεῖν, μηδὲ καλέειν κω ὄλβιον, ἀλλ' εὐτυχέα. τὰ πάντα μέν νυν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστιν. ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα: ἀλλ' ἄλλο μὲν ἔχει, ἑτέρου δὲ ἐπιδέεται: ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, αὕτη ἀρίστη. ὣς δὲ καὶ ἀνθρώπου σῶμα, ἓν οὐδὲν αὔταρκές ἐστι. τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστιν. ὃς δ' ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ ὄνομα τοῦτο ὦ βασιλεῦ, δίκαιός ἐστι φέρεσθαι. σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν, κῇ ἀποβήσεται. πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς, προρρίζους ἀνέτρεψε.

al. additur κακῶν

ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΑΞΙΑΝ ΕΥΤΥΧΟΥΝΤΩΝ.
ΛΟΓΟΣ ϟδ΄.

Εὐριπίδου.

Τιμή σ' ἐπαίρει τῶν τέλας μᾶλλον φρονεῖν.
θνήσκοιμ' ἄν. οὐ γὰρ ἄξιον λεύσσειν φάος,
κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους.
Πολλοῖς παρέστην, κἀφθόνησα δὴ βροτῶν,
ὅς τις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ,
λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών.
τὸ δ' ἦν ἄρ' οὐκ ἀκουστὸν, οὐδ' ἀνασχετὸν,
σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων.
Ὅταν κακοὶ πράξωσιν οἱ ξένοι καλῶς,
ἔτ' αὖ κρατοῦντες, κοὐ νομίζοντες δίκην
δώσειν, ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ.
Ἡ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ,
γλώσσῃ * κατάρχων δήμων, οὐδὲν ὢν τὸ πρίν.

al. κατέχων δῆμον

Φεῦ φεῦ. κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ' ὡς ἀεὶ πράξοντες εὖ.
Πολλοὶ γεγῶτες ἄνδρες, οὐκ ἔχουσ' ὅπως
δείξωσιν αὑτοὺς τὴν κακῶν ἐξουσίαν.

Μενάνδρου.

Εἴ τις προσελθών μοι θεῶν λέγοι, Κράτων,
ἐπὰν ἀποθάνῃς, αὖθις ἐξ ἀρχῆς ἔσει:
ἔσει δ' ὅ τι ἂν βούλῃ, κύων, πρόβατον, τράγος,
ἄνθρωπος, ἵππος. δὶς βιῶναι γάρ σε δεῖ.
εἱμαρμένον τοῦτ' ἐστίν. ὅ, τι βούλει δ' ἑλοῦ.
ἅπαντα μᾶλλον, εὐθὺς εἰπεῖν ἂν δοκῶ,

πόει

enim homini terminum uitæ ad septuaginta annos &c. Et paulo post. Horum dierum omnium, qui sunt ad septuaginta annos, numero uiginti sex milia, ducenti quinquaginta, nullus prorsus qualem alius rem affert. Ita igitur Crœse omnino calamitosus est homo. Verũ tu mihi uideris & diuitijs ualde pollere, & permultorum hominũ esse rex: sed quod me interrogasti nondũ te appello, prius quàm bene uita defunctũ te audiero. Neq; enĩ beatior est, qui magnis opibus præditus est, eo q diurnum uictũ habet: nisi eidẽ omnibus bonis prædito, fortuna concesserit bene uita defungi. Etenim complures homines sunt perquam locupletes, minimẽ tamen beati: cõplures item mediocrẽ habentes uictũ, fortunati. Quorũ is qui diuitijs affluit, sed non beatus est, duabus tantummodo rebus antecellit fortunatũ: at hic illum pluribus. Ille ad cupiditates implendas, & ad grandẽ, quę fortẽ incidit, offensam superandam ualidior est: hic etsi illo inferior est in his duobus, quæ fortuna ei auertit: tamẽ excellit quod illorũ inexpertus est, quod prospera fruitur ualetudine, quod malorũ expers, quod bonorũ liberorũ parens, quod formosus est. Qui si præter hæc diem quoq; suũ rectẽ obierit, is est, quẽ quæris, dignus qui uocetur beatus: prius tamen quàm ad obitũ peruenerit, nequaquã beatus appellandus, sed fortunatus: quæ omnia consequi quamdiu sis homo impossibile est. Sicut nec una regio cuncta sibi ipsi suppeditat: sed aliud habens, alio indiget: quæ tamẽ habet plurima, ea est optima. Quemadmodũ & hominis corpus unũ aliquod nõ est consummatũ, qui aliud habet, alio uacat. Quisquis aũt horũ plurima perpetuò habuerit, dehinc placido animo ẽ uita excesserit, hic apud me nomine hoc ueluti rex donari meretur. Omnis rei oportet inspicere exitum, quò sit euasura: quoniam multos Deus, quibus fortunas suppeditauerat, radicitus euertit.

DE ILLIS QVI FORTVNATI SVNT INDIGNE, SERMO CIIII.

Honor te effert ut altius sapias tuis propinquis. *Euripidis.*
Emoriar. Indignum est enim aspicere lucem
Videndo malos immeritò & iniustẽ honoratos.
Multis adfui, & æmulatus sum hominem, eiq; indignatus,
Qui bonus existens similis fieret malis,
In certamen inanium descendens uerborum,
Hoc uero nequaquam audiri potest, neq; tolerari,
Tacere audientem opprobria à peioribus.
Quando mali ô hospes fortunatẽ agunt,
Nimis dominantes, nec pœnam putantes
Luituros se, nihil non perpetrant indulgentes uoluptati.
Valde molestum est melioribus,
Quando uir malus dignitatem obtinet, *Eiusdem in Supplicibus.*
Lingua populum regens, cum prius nihil fuerit.
Papæ, quàm homines mali, ubi fortunam nacti sunt *Ibidem.*
Prosperam, contumeliosi fiunt, tanquam semper fortunatẽ uicturi sint.
Multi uiri nati * honesto loco, non possunt ** Honesto loco, hęc uerba non sunt in Græco.*
Seipsos palàm ostendere propter malorum potestatem.
Si quis potens deus me accedens diceret, *Menandri.*
Postquam mortuus fueris denuò reuiuisces,
Eris autem quod uoles, canis, ouis, hircus,
Homo, equus. Omnino enim uita tibi transigenda est,
Sic fata iubent: tu quod mauis elige.
Quiduis potius, statim dicturus mihi uideor,

πλὴν με, πλὴν ἄνθρωπον. ἀδίκως εὐτυχεῖ,
κακῶς τε πράττει τοῦτο τὸ ζῷον μόνον.
ὁ κράτιστος ἵππος, ἐπιμελεστέραν ἔχει
ἑτέρου θεραπείαν. ἀγαθὸς ἂν γένῃ κύων,
ἐντιμότερος εἶ τοῦ κακοῦ κυνὸς πολύ.
ἀλεκτρυὼν γενναῖος ἐν ἑτέρᾳ τροφῇ
ἐστίν· ὁ δ' ἀγεννὴς, καὶ δέδιε τὸν κρείττονα.
ἄνθρωπος ἐὰν ᾖ χρηστὸς, εὐγενὴς, σφόδρα
γενναῖος, οὐδὲν ὄφελος ἐν τῷ νῦν γένει.
πράττει δ' ὁ κόλαξ ἄριστα πάντων, δεύτερα
ὁ συκοφάντης· ὁ κακοήθης τρίτα λέγει.
ὄνον γενέσθαι κρεῖττον, ἢ τοὺς χείρονας
ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανεστέρους.

Θεόγνιδος. Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο. καὶ τιμῆς τις κακὸς ὢν ἔλαχεν.
Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλὸν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐὼν,
οὔτε φίλοις. ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται·
αἰχμητὴς γὰρ ἀνὴρ, γῆν τε καὶ ἄστυ σαοῖ.

Σοφοκλέους. Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν ἄπο
βλαστόντας, εἶτα τούσδε μὲν πράσσειν καλῶς·
τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα
γεγῶτας, εἶτα δυστυχεῖς πεφυκέναι.
οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι
πράσσειν. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα·
τοὺς δ' ὄντας ἀδίκους τῶνδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν.
κοὐδεὶς ἂν οὕτως εὐτυχεῖ κακὸς γεγώς.

Δημοσθένους. Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.

Ἐκ τοῦ Ἀρίστωνος. Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν. εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται ταῦτα πάντα.

Ἔοικεν ὁ βίος θεάτρῳ· διὸ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν * αὐτοῖς κατέχουσι τόπον. (malim αὐτῷ uel [illegible].)

ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΑΞΙΑΝ ΔΥΣΤΥΧΟΥΝΤΩΝ, ΛΟΓΟΣ ρζ'.

Μενάνδρου. Οὐθέν με λυπεῖ μᾶλλον, ἢ χρηστὸς τρόπος,
εἰς χαλεπὸν ὅταν ᾖ συγκεκλεισμένος βίον.
Οἰκτρότατόν ἐστι πεῖραν ἐν γήραος ὁδῷ
ἀδίκου τύχης, δίκαιος εἰληφὼς τρόπος.
Ὡς μεταβολαῖς χαίρουσα παντοίαις τύχη
σὺν ἐστ' ἄναδος τοῦθ', ὅταν οὗτος ἀνὴρ
δίκαιος ἀδίκως περιπέσῃ συμπτώμασιν.

Ἀλέξιδος. Οὐκ ἔσθ' ὅπως ἔχουσιν αἱ τύχαι φρένας.
οὐδεὶς γὰρ ἂν τοιοῦτος ἀτυχεῖ ποτέ.

Εὐριπίδου. Τὴν δ' εὐγένειαν τῆς τύχης νικωμένην
νῦν δὴ μάλιστ' ἐσεῖδον. εἰ δὲ γὰρ πατρὸς

Fac me, quàm hominem. Indigna prosperitate,
Et rursus improsperitate immerita solus animalium homo afficitur.
Optimus equus, diligentiori cura
Quàm alius colitur. Canis si bonus fueris,
In pretio longe maiori habeberis, quàm malus canis.
Gallinaceus generosus peculiaribus alimentis
Nutritur: ignauus uero etiam timet præstantiorem.
At homo licet probus, nobilis, & ualde
Generosus sit, nihil id ei prodest in hoc sæculo.
Adulator autem omnium optimè uiuit, deinde
Sycophanta: tertio loco fraudulentus loquitur.
Asinum fieri prestat, quàm deteriores
Se splendidius uiuentes intueri.

Et sapiens aberrauit, & insipientis opinio sæpe *Theognidis.*
Scopum attigit: & malus aliquis honorem nactus est.
Deus multis inutilibus uiris largitur opes
Bonas, quæ nec ipsis utilitatem ullam
Nec amicis ferent: Virtutis autem ingens gloria nunquam peribit.
Vir enim pugnando fortis agros & ciuitatem defendit.

Intolerabile est homines impios & malis parentibus *Sophoclis.*
Ortos, fortunatè uiuere:
Bonos autem & generosa stirpe
Natos, aduersam sibi fortunam experiri.
Non oportebat deos hac in re ita de hominibus
Statuere. Conueniret enim pios quidem homines
Manifestum aliquod lucrum à dijs consequi,
Iniustos uero hominum contrà,
Pœnam malorum ultricem euidenter luere:
Et hoc modo nullus improbus prosperitate frueretur.

Fœliciter agere præter dignitatem, malè sapiendi ansam præbet stolidis. *Demosthenis.*

Mira uis est melioris fortunæ in occultandis & obumbrandis hominum peccatis: at si quid acciderit sinistrè, tum ista omnia prorsus detegentur. *Ex Aristonis scriptis.*

Similis est uita theatro: Quocirca sæpius pessimi quiꝗ honoratissimum inter homines locum obtinent.

DE ILLIS QVI INDIGNE MISERI SVNT, SERMO CV.

NIhil tam ægrè fero, quàm bonum ingenium *Menandri.*
Vbi in uitam difficilem conclusum est.

Miserrima res est, cum in senectutis limine aliquis
Præditus bonis moribus iniquam fortunam experitur.

O uarijs gaudens mutationibus fortuna,
Hoc tibi dedecori est, cum ille uir
Iustus iniustis casibus obruitur.

Fieri non potest ut fortuna mentem habeat. *Alexidis.*
Aliter nullus unquam huiusmodi hominum fortunatus foret.

Nobilitatem à fortuna uinci *Euripidis.*
Nunc præcipuè uidi. Isti enim parente

ἐσθλοῦ γεγῶτες, δυστυχοῦσ' ἀναξίως.

Μενάνδρου. Πολλοὺς δ' ἀνάγκη γὰρ πονηροὺς οἶδ' ἐγὼ,
ὅταν ἀτυχήσωσι γεγονότας, οὐ φύσει ὄντας τοιούτους.

Εὐσεβίου. Πολλοὶ τῶν ἀνθρώπων, ἐπειδὰν δοκῶσι παρ' ἀξίαν πράσσειν, δυσαναχετοῦντες, ἔπειτα διανολογιζόμενοι πρὸς ἑαυτοὺς καὶ τοὺς πλησιάζοντας, τοιάδε διαλέγονται. ὁ μὲν, γαμέτης καὶ οἴκων τῶν εὐδαιμόνων· ἐγὼ δὲ ἄγαμος. καὶ ὁ μὲν, οἰκίαν ἔχει μεγάλην, καὶ οἰκοδομεῖ μεγαλοπρεπῶς, καὶ ἀγροὺς κέκτηται πολλούς· ἐγὼ δὲ, ἀνέστιος, καὶ ἀκτήμων. καὶ τῷ μὲν πάρα πολλὰ χρήματα· ἐμὲ δὲ ἀχρηματία πᾶσα ἔχει. πρὸς οὓς χρὴ παραμυθούμενον τάδε λέγειν· ὡς οὐ χρὴ ἐπ' ἄλλων εὐτυχίᾳ ἄχθεσθαι, ἀλλὰ ἥδεσθαι διὰ τὸ ὁμογενές. εἰδέναι δὲ ὅτι καὶ αὐτοὶ * πολλῶν, εἴτε τὰ ἑαυτῶν ἐγκύψαντες, καὶ τὰ ἐκείνοις παρόντα, εὑρήσουσιν ἑαυτοὺς ἄμεινον πράσσοντας. καὶ ὅτι οὐδεὶς ὑπὸ τῆς τῶν πέλας εὐτυχίας, τῆς ὀφειλομένης ἑαυτῷ εὐπραγίας ἀποστερεῖται.

Sensus videtur imperfectus.

Ἡροδότου. Ξεῖνε, ὅ, τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ. οὐδὲ γὰρ πιστὰ λέγουσι, θέλει πείθεσθαι οὐδείς. ταῦτα δὲ Περσέων συχνοὶ ἐπιστάμενοι, ἑπόμεθα, ἀναγκαίῃ ἐνδεδεμένοι. ἐχθίστη δὲ ὀδύνη ἐστὶ, τῶν ἐν ἀνθρώποις αὕτη· πολλὰ φρονέοντα, μηδενὸς κρατέειν.

ΟΤΙ ΔΕΙ ΓΕΝΝΑΙΩΣ ΦΕΡΕΙΝ ΤΑ ΠΡΟΣΠΙΠΤΟΝΤΑ ὄντας ἀνθρώπους, καὶ κατ' ἀρετὴν ζῆν ὀφείλοντας.

ΛΟΓΟΣ ρϛ.

Φιλήμονος. Εἰ τὰ δάκρυ' ἡμῖν, τῶν κακῶν ἦν φάρμακον,
ἀεὶ θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει.
ἐάν τε κλαίῃς, ἐάν τε μὴ, πορεύεται.
τί δὴ ποιεῖς πλέον; οὐδέν. ἡ λύπη δ' ἔχει,
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν, τὸ δάκρυον.

Τοῦ αὐτοῦ. Ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὅσον βολὴν
ἤδη τοῖς παροῦσιν, ἐν δὲ τῇ λύπῃ φρονῶ.
τοῦτό με τηροῦν ἐστὶ κἄνθρωπον ποιοῦν.

Εὐριπίδου. Μὴ οὖν θέλε λυπεῖν σαυτόν. εἰδὼς πολλάκις
ὅτι τὸ λυποῦν, ὕστερον χαρὰν ἄγει.

Χαιρήμονος. καὶ τὸ κακὸν, ἀγαθοῦ γίνεται παραίτιον.

Μενάνδρου. Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός.

Διφίλου. Παρὰ τύχης ἄνοιαν ἀνδρείως φέρειν.
Εἰ πάντες ἀποθανούμεθ', οἷς μὴ γίνεται
ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα.
Ὦ μακάρι' ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο,
ἵν' αὐτὰ τἀναγκαῖα δυστυχῇς μόνον.

Φιλιππίδου. πλείω δὲ διὰ τὴν ἀμαθίαν μὴ προσλάβῃς.
Ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι δέσποτα,
Εὐριπίδου μνήσθητι, καὶ ῥᾷον ἔσῃ.
οὐκ ἔστιν ὅς τις πάντ' ἀνὴρ εὐδαιμονεῖ.

Εὐριπίδου. ἐὰν δ' ὑπολάβῃς καὶ σὺ, τῶν πολλῶν ἕνα.
Ἔφυ μὲν οὐδεὶς, ὅστις οὐκ ἀεὶ πονεῖ,
θάπτει τε τέκνα, χ' ἄτερα κτᾶται πάλιν,

lego ἄν. αὐτός τε θνήσκει, καὶ τάδ' ἄχθονται βροτοὶ
εἰς γῆν φέροντες. * τὴν ἀναγκαίως ἔχει

Honesto nati, immeritò infortunati sunt.

Ego multos noui malos propter necessitatem *Menandri.*
Factos in aduersa fortuna, cum non suapte natura huiusmodi essent.

Multi homines cum fortunam sibi iniuriam esse putant, ęgrè ferentes, ac insuper quiritantes, apud se & alios qui accedunt, huiusmodi uerbis utuntur. Iste uxorem ducit, idq́ ex familia fortunata: ego interim innuptus ago. Iste domũ permagnam habet, ædificat splendidè, & agros multos possidet: ego sine domo, sine possessionibus uiuo. Isti pecunia abundant, me omnimoda pecuniarum inopia premit. Tales homines hunc in modum dicendo solari oportet: Non esse dolendum ob aliorum fœlicitatem, sed gaudẽdum, ut qui generis & naturæ sint eiusdẽ. Et quod agnoscere debeant sibi quoq́ multa esse commoda, ita ut si sua inspexerint penitius, & rursus ea quæ alijs adsunt, melius secum agi deprehensuri sint: Et quod nullus ob alterius prosperitatem, sibi debita fœlicitate priuetur. *Eusebij.*

O hospes, id quod à Deo prędefinitum est, auerti per hominẽ nequit. Nam ne uera quidem dicentibus parere uult quisquam. Hæc scientes plurimi Persarum, sequimur, necessitate uincti. Grauissimus autem dolor est inter homines, si quis permulta sciens nihil obtineat. *Herodoti.*

QVOD EVENTVS RERVM FORTITER FERENDI sint hominibus, & secundum uirtutẽ uitam instituere debentibus.

SERMO CVI.

SI lachrymæ nostræ malis mederentur, *Philemonis.*
Et lugens semper dolere desineret,
Vel aurum lachrymis commutaremus.
Verum ipsæ res non auscultant, neq́ respiciunt lachrymas:
Et siue lugeas, siue non, pergunt.
Quid igitur proficis? Nihil: sed tristitia hærentes sibi habet
Lachrymas, ueluti arbor ista fructum suum.

Vehementer equidem doleo *Eiusdem.*
Præsentem ob statum, in ipsa tamen tristitia sapio, & mihi tempero.
Hoc est quod me seruat, & hominem facit.

Noli teipsum afficere dolore, sciens quod sæpe *Euripidis.*
Res molesta, aliquando postea gaudium adfert:
Et malum causam boni producit.

Nullus sapiens propter parua tristatur. *Cheremonis.*

Conare amentiam fortunæ animo forti sustinere. *Menandri.*

Si omnes morerentur, quibus non obtingunt *Diphili.*
Ea quæ cupiunt, omnibus sanè moriendum esset.

O bone uir disce infortunatus esse, mortalis cum sis,
Vt solum, ubi necessitas cogit, infortunatè agas:
Non autem plura propter imperitiam infortunia tibi asciscas.

Vbi quid infortunij here tibi acciderit, *Philippidæ.*
Euripidis memento, & facilius feres.
Mortalium fœlix ubiq́ nullus est,
Existimes uero te quoq́ unum è multis esse.

Nemo natus est, qui non semper laboret *Euripidis.*
In sepeliendis liberis, & rursus alijs acquirendis:
Dolent tamen homines quod moriantur, & ægrè
Ipsos sepeliunt. Sed necessarium est

Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν.
καὶ τὸν μὲν, εἶναι· τὸν δὲ, μή. τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;

In Hercule furẽte ita legitur, Τῶν συμφορῶν γὰρ ὅστις οὐκ ἐπίσταται. * Hic uersus omnino deest. † lego μᾶλλον.

Τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται
* θνητὸς πεφυκὼς, ὃν τρόπον χρεὼν φέρειν:
οὐδ' ἀνδρὸς ἂν δύναιθ' ὑποστῆναι βέλος.

Ὅστις δὲ πρὸς τὸ πίπτον εὐλόγως φέρει
τὸν δαίμον', οὗτος † ἧσσόν ἐστιν ὄλβιος.

Μεταβαλλομένου δαίμονος, ἀνέχου. πλεῖ κατὰ πνεῦμα, πλεῖ τὸν δαίμονα.

Θνητὸς γὰρ ὢν, καὶ θνητὰ πείσεσθαι δόκει
θεῶν βίον ζῆν * ἄξιος ἄνθρωπος ὤν. — lego ἀξιοῖς.

Θάρσει τέκνον, καὶ μὴ χαλεπῶς μετάβαλλε δέμας.
ῥᾷον δὲ νόσον μεθ' ἡσυχίας καὶ γενναίου
λήματος οἴσεις. μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.

Πάντων τὸ θανεῖν. τὸ δὲ κοινὸν ἄχος
μετρίως * ἀλγεῖν σοφία μελετᾷ. — lego ἄχθος.

Ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.

Μοχθεῖν ἀνάγκη, τὰς δὲ δαιμόνων τύχας
ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος σοφός.

Τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών.
μέλει γὰρ αὐτοῖς οὐδέν. ἀλλ' * ὁ τυγχάνων
τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς. — Potius ὁ ἐντυγχάνων. sed crasis est facienda.

Ἔχεις μὲν ἀλγεινὰ, οἶδα. πειρᾶσθαι δὲ χρὴ,
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

Πάντων ἄριστον, μὴ βιάζεσθαι θεούς:
στέργειν δὲ μοῖραν. τῶν ἀμηχάνων δ' ἔρως,
πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν.

Τὰ τυγχάνοντα δ' ὅς τις εὖ φέρει βροτῶν,
σοφὸν νομίζω, σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.

Πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν.
τὰς γὰρ παρούσας οὐχὶ σῴζοντες τύχας,
ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ.

Βακχυλίδου. Εἷς ὅρος, μία βροτοῖσίν ἐστιν εὐτυχίας ὁδὸς,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον.
εἰς δὲ, μυρία μὲν ἀμφιπολεῖ φρενί, τὸ δὲ
παρόμαρτι νύκτα, μελλόντων χάριν
ἅπτεται κέαρ, ἄκαρπον ἔχει πόνον.

Πυθαγόρου. Ὅσσα δὲ δαιμονίαισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
ὧν ἂν μοῖραν ἔλῃς ταύτην φέρε, μηδ' ἀγανάκτει.

Ἀντιφάνης. Ἀνδρὸς διαφέρει τοῦτ' ἀνήρ. ὁ μὲν κακῶς
πράττων, τὸ λυποῦν ἤγαγ' εἰς παράστασιν,
ὁ δ' * ἐμφρόνως δεξάμενος, ἤνεγκε κακῶς. — malim εὐφρόνως.

Τὰς τύχας φέρειν δεῖ ἠπίως τὸν εὐγενῆ.
τὸ μὲν ἀτυχῆσαι, παντὸς εἶναί μοι δοκεῖ.
ἀνδρὸς δ' ἐνεγκεῖν ἀτυχίαν ὀρθῷ τρόπῳ.

Μενάνδρου. Ἐνεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως.
τοῦτ' ἐστὶν ἀνδρὸς, νοῦν ἔχοντος, οὐκ ἄνω
ἀνασπάσας τὶς τὰς ὀφρῦς, * εἰ μὴ λαλεῖ, — malim εἶ μα.

Vitam demeti, ueluti grauidas spicas:
Et alium uiuere, alium non. Quorsum attinet ista
Lugere, quæ secundum naturam transigenda sunt?
Quisquis autem ignorat, calamitates
Quomodo tolerare oporteat, cum sit mortalis: Eiusdem in Hercule furente.
Ille etiam uiri telum sustinere non posset.
Quisquis in euentu rerum sapienter ac modestè fert
Fortunam, hic fœlicior est.
Fortunæ mutationẽ sustine. Nauiga secundum *fluuiũ. Nauiga secũdum *πνεῦμα.
Mortalis existens mortalia quoq; te passurum expectes. (fortunam.
Diuinam agere uitam cupis cum homo sis.
Bono animo sis fili: & noli corpus anxiè iactare.
Facilius enim morbum quietus & forti
Animo præditus feres: Laborum autem hominibus necessitas incumbit.
Moriendum est omnibus. Communem uero dolorem
Moderatè dolere sapientia meditatur.
Oportet hominem placidum infortunia bene tolerare.
Necessarij sunt labores: dæmonum autem fortunas
Qui optimè tulerit, uir sapiens est.
Rebus ipsis indignari non oportet.
Nihil enim eis curæ est. Vtens uero rebus,
Si eas rectè instituerit, prospere agit.
Habes quidem negotia tristia fateor. Conandum est tamen
Vt quæ necessaria sunt in uita facillimè feras.
Omnium optimum est, non uiolentum esse in deos,
Sed suam amplecti sortem. Cupido autem rerum impossibilium
Effecit, ut multi præsentibus etiam frustrarentur.
Rerum euentus quisquis mortalium bene fert,
Illum sapientem & moderatum uirum iudico.
Passus es eadem, quæ multi alij homines.
Nam qui præsentem fortunam non seruant,
Dum temere petunt maiora, pereunt.
Vnus terminus, una mortalibus fœlicitatis est uia, Bacchylidis.
Si quis animum habens inscium, ita possit transigere uitam.
Quibus uero infinitæ curæ circa mentem uersantur, quæ
Etiam noctu sequentes metu futurorum
Cor turbant, inutilis labor insumitur.
Quicquid dolorum hominibus dæmoniæ fortunæ producunt, Pythagoræ.
Eorum tu sortem acceptam feras, nec indigneris.
Hoc uir à uiro differt: unus infœliciter Antiphanis.
Agens, molestiam omnem animi fiducia uincit.
Alter uero ineptè quod contigit accipiens, ægrè fert.
Homo placidus leniter ferat fortunæ euentus.
Infortunatus esse quidem nullus non posse uidetur.
Humanum autem infortunium ferre, bonis præditi moribus solum est.
Calamitatem & damnum decenter feras, Menandri.
Hoc uiri prudentis est: non eius, qui
Sursum retractis superciliis hei mihi dicat:

ἀλλ' ὃς τὰ αὐτοῦ πράγματ' ἐγκρατῶς φέρει.
Ἀεὶ τὸ λυποῦν ἀπόδιωκε τοῦ βίου.
μικρόν τι τοῦ βίου καὶ στενὸν ζῶμεν χρόνον.

Φιλήμονος. Μείζω τὰ κακὰ ποιοῦσι πολλοὶ δ' ἑκάστοτε,
αὐτοὶ δι' αὑτοὺς, ἢ πέφυκε τῇ φύσει.
οἷον τέθνηκεν υἱὸς, ἢ μήτηρ τινὶ,
ἢ νὴ Δί' ἄλλων τῶν ἀναγκαίων γέ τις,
εἰ μὲν λάβοι τοῦτ' ἀπέθανεν, ἄνθρωπος γὰρ ἦν,
τοσοῦτον γέγονε τὸ κακὸν, ἁλίκον περ ἦν.
ἐὰν δ' ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ὄψομαι,
ἀπόλωλεν, ἐν ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ,
πρὸς τοῖς κακοῖς οὗτος, ἕτερα συλλέγει κακά.
ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν,
τὸ κακὸν ἀφαιρεῖται, ἀγαθὸν δὲ λαμβάνει.

Διφίλου. Οὕτως ἄνανδρος γέγονας. οὐκ ἀτυχία
τοῦτ' ἐστὶν ὃ ποιεῖς νῦν γὰρ, ἀλλ' ἀνανδρία,
τὸ μὴ δύνασθαι καρτερεῖν λυπούμενον.

Ἀπολλοδώρου. Χαλεπὸν τύχης * τι πρᾶγμα. χαλεπὸν, ἀλλὰ δεῖ
malim ἦ. αὐτὴν φέρειν κατὰ τρόπον, ὥσπερ φορτίον.

Μενάνδρου. Τὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ
ἄνθρωπον ὄντα. παραμένει γὰρ οὐδὲ ἕν.

Φιλήμονος. Ἀγνώς τις ἐστ' ἄνθρωπος, δυσδαίμων ἴσως.
τέθνηκέ τις: μὴ δεινὸν ἔστω τοῦτό σοι.
κεκύηκέ τις: μὴ δεινόν. οὐ κεκύηκέ τις.
ἠτύχηκέ τις. βιήσει τις. οἰμώζει τις.
ἡ φύσις φέρει δ' ἅπαντα ταῦτα. φεῦγε τὰς λύπας.

Μενάνδρου. Πολλὰ δύσκολα ἐν τοῖς πᾶσιν εὕροις ἄν,
ἀλλ' εἰ πλείονα τὰ συμφέροντ' ἔνεστι, τοῦτο δεῖ σκοπεῖν.

Εὐριπίδου. Ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν
κἀν τοῖς δεινοῖσι, μὴ τεθυμῶσθαι θεοῖς.

Μενάνδρου. Τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ. τἀγαθὰ δ' οὐκέτι βλέπεις.
εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων Σιμύλε
ἀγαθὸν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν.

malim τάγ'. Ὧν δὲ μὴ ἄπιστος τρόπος, * τό γ' ἐκ θεοῦ τύχης
φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.
Καὶ μὴ θεομάχει, μηδὲ προσάγου τῷ πράγματι
χειμῶνας ἑτέρους, τοὺς δ' ἀναγκαίους φέρε.

Φιλήμονος. Ἄνθρωπος * εἰ δίπουθεν οὐκ ἔστ' οὐδὲ εἷς,
malim ἄρ. ᾧ μὴ κακόν τι γέγονεν, ἢ γενήσεται.
ὁ ποιῶν δ' ἐλάχιστον τὸ γεγενημένον,
ἀμφότερον οὗτος, εὐτυχεῖ τε καὶ φρονεῖ.

Σοφοκλέους. Στέργειν δὲ τἀμπεσόντα, καὶ θέσθαι πρέπει
σοφὸν κυβερνήτην, ἀλλὰ μὴ στένειν τύχην.

Ἀλέξιδος. Σοφοῦ γὰρ ἀνδρὸς καὶ τὰς τύχας εὖ φέρειν.

Σοφοκλέους. Αἰσχρὰ μὲν, ὦ γυναῖκες, οὐδ' ἂν εἷς φύγοι
βροτῶν ποθ', ᾧ κε Ζεὺς ἐφορμήσῃ κακά.
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.

Sed illius, qui res suas continenter modesteq; fert.
Tristia semper à uita repelle.
Exiguum enim & angustum ætatis tempus uiuitur.
Multi domine sua sibi mala augent *Philemonis.*
Ipsi sua culpa, & maiora faciunt quàm facta sint per naturam.
Verbi gratia, obijt alicui filius, aut mater,
Aut quiuis alius ex necessarijs.
Quod si apud se cogitarit: mortuus est, homo enim erat,
Non amplius fit malum, quàm à natura productum est.
At si exclamet: Vita mihi non uitalis est, non amplius uidebo,
Perijt: hæc secum qui reputat,
Præter mala præsentia insuper alia colligit.
Qui uero omnia apud se ratione considerat,
Is malum adimit, & bonum capit.
Tam ignauus euasisti. Non enim animi fortitudo *Diphili.*
Est quod nunc facis, sed ignauia, & pusillanimitas,
Dolorem sustinere non posse, nec tristitiæ tuæ moderari.
Graue omnino molestumq; est fortunæ negocium, sed oportet *Apollodori.*
Animo & moribus ipsam, ueluti onus quoddam, ferre.
Futuros euentus expectare oportet unumquenq; *Menandri.*
Hominem. Nihil enim stabile permanet.
Obscurus est aliquis: hoc nihil prohibet fœlicitatem tuam. *Philemonis.*
Obijt aliquis: noli id ægrè ferre.
Siue peperit aliqua, nihil est molestum: siue non peperit.
Calamitosus fuit aliquis, hic tussit, ille plorat.
Natura nihil non istorum fert, fuge mœrores.
Multa ubiq; grauia reperies: *Menandri.*
Sed an plura insint utilia, istud considerandum est.
Viros iustos & sapientes decet, *Euripidis.*
Etiam in aduersa fortuna non indignari dijs.
Difficilia & quæ molesta tibi fuerunt *Menandri.*
In teipso uides: bona uero non item intueris.
Nihil autem usquam reperies ô Simyle
Boni, cui non aliquid mali sit ammixtum.
Ea quæ causam non in moribus nostris, sed in fortuna habent,
Fortiter ferenda sunt uiro nobili.
Ne dijs pugnes, nec asciscas huic rei
Tempestates alias, sed eas fer, quæ necessariæ sunt.
Nullum est inuenire hominem, *Philemonis.*
Qui non aliquid mali expertus aut experturus sit.
Ille uero, qui quod accidit quàm fieri potest minimum reddit.
Et fortunatus est pariter, & sapit.
Suscipiendi rerum euentus ac disponendi sunt *Sophoclis.*
A sapiente gubernatore, non autem lugenda fortuna est.
Sapientis uiri est fortunam boni consulere. *Alexidis.*
Dedecora quidem, ô mulieres, nullus effugerit *Sophoclis.*
Mortalium unquam, cui Iupiter immiserit mala.
Verum necesse est morbos diuinitus missos tolerare.

Τίν' ἡμῖν ἥκεις τοῦ θεοῦ φήμην φέρων;
ἐσθλήν. λέγων γὰρ καὶ τὰ δύσφορ' εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.

Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

Θάρσει γύναι. τὰ πολλὰ τῶν δεινῶν, ὄναρ
πνεύσαντα νυκτὸς, ἡμέρας μαλάσσεται.

Ἀλγεινὰ Πρόκνη. δῆλον· ἀλλ' ὅμως χρεὼν
τὰ θεῖα θνητοὺς ὄντας, εὐπετῶς φέρειν.

Σωτάδου. Μῦθός τις περιφέρεται γυναικός· ὅτι ἡ λύπη παρ' οἷς ἂν τρέφεται καὶ αὔξεται, παρ' ἐκείνοις ἀεὶ ὡς καὶ μένει. ὁ δὲ Κλεάνθης, ἔλεγε τὴν λύπην, ψυχῆς παράλυσιν. ὁ δὲ φρόνιμος ἐρεῖ.
lego ... τολμήσεις μοι * μῦθος. ἐπεὶ μάλα πολλὰ πέπονθα;
μετὰ καὶ τόδε, τοῖσι γενέσθω.

Ῥούφου ἐκ τῶν ἐπιστολῶν περὶ φιλίας. Ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις, καὶ ἦν, καὶ ἐστὶ, καὶ ἔσται, καὶ οὐχ οἷόν τε ἄλλως γίγνεσθαι τὰ γιγνόμενα, ἢ ὡς νῦν ἔχει. καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ μεταβολῆς, οὐ μόνον οἱ ἄνθρωποι μετειλήφασιν, καὶ τἄλλα ζῶα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα. καὶ νὴ δί' αὐτὰ τὰ τέσσαρα στοιχεῖα, ἄνω καὶ κάτω τρέπεται, καὶ μεταβάλλει. καὶ γῆ τε ὕδωρ γίνεται· καὶ ὕδωρ ἀήρ. οὗτος δὲ πάλιν εἰς ἕτερα μεταβάλλει. καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω. ἐὰν πρὸς
forte ... ταῦτα τις ἐπιχειρῇ * ῥέπειν τὸν νοῦν, καὶ πείθειν ἑαυτὸν ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα, πάνυ μετρίως καὶ μουσικῶς διαβιώσεται τὸν βίον.

Θουκυδίδου. Ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς, γνώμῃ μὲν ἥκιστα λυποῦνται· ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν, κράτιστοί εἰσι.

Αἰλιανοῦ. Ξενοφῶντι θύοντι, ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι. κἀκεῖνος, ἀπέθετο μὲν τὸν στέφανον· διετέλει δὲ θύων. ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τὸν ἕτερον λόγον, ὅτι νικῶν τέθνηκεν, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον.

Ἀῤῥιανοῦ. Πάντα ὑπακούει τῷ κόσμῳ, καὶ ὑπηρετεῖ, γῆ καὶ θάλασσα καὶ ἥλιος, καὶ τὰ λοιπὰ ἄστρα, καὶ τὰ γῆς φυτὰ, καὶ ζῶα. ὑπακούει δὲ αὐτῷ καὶ τὸ ἡμέτερον σῶμα, καὶ νοσοῦν καὶ ὑγιαῖνον, ὅταν ἐκεῖνος θέλῃ, καὶ νεάζον καὶ γηρῶν, καὶ τὰς ἄλλας διερχόμενον μεταβολάς. οὐκοῦν εὔλογον, καὶ ὃ ἐφ' ἡμῖν ἐστὶ, τουτέστι, τὴν κρίσιν, μὴ ἀντιτείνειν μόνην πρὸς αὐτόν. καὶ γὰρ ἰσχυρός ἐστι· καὶ κρείσσων, καὶ ἄμεινον ὑπὲρ ἡμῶν βεβούλευται, μετὰ τῶν ὅλων καὶ ἡμᾶς συνδιοικῶν. πρὸς δὲ τούτοις καὶ ἡ ἀντίπραξις μετὰ τοῦ ἀλόγου, καὶ πλέον οὐδὲν ποιοῦσα, πλὴν τὸ διακενῆς σπᾶσθαι, καὶ περιπίπτειν ὀδύναις, καὶ λύπαις ποιεῖ.

Δημοκρίτου. Λύπην ἀδέσποτον ψυχῆς ναρκώσης, λογισμῷ ἔκκρουε.

Μέγα τὸ ἐν συμφορῇσι φρονεῖν ἃ δεῖ.

Μεγαλοψυχίη, τὸ φέρειν πράως πλημμέλειαν.

Πενίην ἐπιεικέως φέρειν, σωφρονέοντος.

Διογένης περιπεσὼν ἔν τισι συμπτώμασιν ἔλεγεν· εὖγε ὦ τύχη, ὅτι μου ἀῤῥένως περιέστηκας. ἐν δὲ τοῖς τοιούτοις καιροῖς, καὶ τερετίζων ἀνεφώνει.

Χίλων λυπουμένου τινὸς ἐπὶ τοῖς αὐτοῦ κακοῖς, εἶπεν· εἰ τὰ πάντων κατανοήσεις, ἧττον ἐπὶ τῶν σεαυτοῦ δυσφορήσεις.

Πιττακὸς, συνετῶν μὲν ἀνδρῶν εἶπεν ἔργον, ἵνα μὴ γένηται κωλῦσαι· ἀνδρείων δὲ, γενόμενα φέρειν ἐγκρατῶς.

Σωκράτης διαλεγόμενος, καί τινος προσαγγείλαντος, ὅτι ὁ υἱὸς αὐτοῦ τέθνηκε, συμπεράνας τὴν διάλεξιν, ἀπίωμεν ἔφη σωφρονίσκῳ τὰ νενομισμένα πληρώσοντες.

Θεοβούλου. Τὰς τῆς τύχης μεταβολὰς, γενναίως πειρῶ φέρειν· καὶ μήτε εὐτυχῶν ὑπερήφανος ἔσο, μήτε
malim ... ἀκρατῶν ταπεινός. ἀλλὰ γίνου * ταπεινὸς ἐφ' ἑκατέρας τῆς τύχης.

Θαβουρίνου. Ἀνὴρ ἐν μεγαλοψυχίᾳ ἀληθινῇ, καὶ φιλοσοφίᾳ τεθραμμένος, περὶ τῶν ξυμφορῶν τὴν * ἐπιθυ-
malim ... μίαν ἐν τῇ γνώμῃ ἀπόθετον ἔχει. τὸ δὲ ἐπὶ τοῖς δεινοῖς τῆς ἐξ ἑτέρου παρηγορίας χρῄζειν,

τὸν

Quam nobis Dei famam ferens ades?
Bonam. Aio enim etiam ualde molesta, si ad bonum
Exitum dirigantur, omnia fieri fausta.
Melius ominare: ne malo malum applicans
Remedium, calamitatem reddas maiorem.
Bono animo sis mulier: multa grauia in somnis
Vigentia noctu, die molliuntur.
Tristia sunt hæc ô Procne. Sunt planè, ueruntamen oportet
Mortales facili animo ferre deorum fata.

Mulieris cuiusdam sententia, celebratur, dolorem libenter apud illos manere, à quibus alitur & augetur. Porrò Cleanthes dolorem animæ resolutionem uocabat: Vir autem prudens ita dicet: *Sotadis.*

*Est mihi confidens animus: cum plurima quondam
Sim perpessus & hoc alijs accedat. ** Verba Vlyssis in Odyssea.*

Talis natura mundi fuit, est, eritque deinceps: Nec aliter nascentia possunt nasci, quàm ut nunc fit. Et huius rerum conuersionis mutationisque nō solū homines, sed etiam aliæ in terra animantes, ipsaque diuina corpora participant. Certe quatuor elementa sursum ac deorsum aguntur, & commutantur: terra in aquam transit, aqua in aërem: rursus aër in alia uertitur: Et contrà idem mutationis modus superne fit deorsum. Si quis ad istorum contemplationem animum appellere conetur, ac sibi persuadere, ut quæ necessaria sunt sponte suscipiat, hic uitam prorsus moderate concinneque transiget. *Rufi ex Epicteti dictis de amicitia.*

Nā qui in calamitatibus animo quidem minimè tristantur: re aūt & operibus maximè obsistunt, optimi sunt, siue priuati homines, siue ciuitates fuerint. *Thucydidis.*

Xenophonti sacrificanti nuncius quidam ex Mantinea superuenit, filium eius Gryllum obijsse referens. Tum ille remouit coronam sacrificare pergens. At cum nuncius addidisset uincendo mortuum esse, rursus Xenophon capiti suo coronam imposuit. *Aeliani.*

Omnia obediūt & inseruiūt mūdo, mare, terra, sol, & reliqua sydera, stirpes terrę, & animantes. Nostrum quoque corpus ei paret, in morbo aut sanitate degens cum ipse uoluerit, item in iuuenta aut senio uiuens, aliasque mutationes trāsiens. Quambrem conuenit ut id etiam quod penes nos est, iudicium nostrum inquam, non solum ei renitatur. Nā ualidus est, & nobis præstantior, & melius nobis consulit cum uniuersitate rerum nos quoque simul gubernās. Ad hæc repugnatio præter id quod temeraria est, & nihil quàm inutiles anxietates promouet, doloribus etiam tristitiaque conficit. *Arriani.*

Dolorem *immorigerum animæ torpentis, ratione expellas. *Democriti.* ** ἀνίκητον.*

Magna res est in calamitatibus, ut par est, sapere.

Magnanimitas est leniter ferre frustrationem.

Paupertatem æqui boníque consulere, prudentis & moderati ingenij est.

Diogenes cum in casus quosdam aduersos incidisset, dicebat: Bene factum ô fortuna, quod tā uiriliter mihi prefueris. Idē in huiusmodi casibus alta uoce cātillabat.

Chilon cum quidam propter sua mala doleret, dixit: Si aliorum omnium mala perpenderis, minus ægre feres tua.

Pittacus prudentium uirorum officiū esse dixit, ne quid mali fiat cauere: fortium autem, id quod factum est moderatè ferre.

Quidam Socrati cum alio quodam colloquenti filium eius mortuum esse nunciauit: ille uero colloquio iā absoluto: Abeamus dixit, Sophronisci funus curaturi.

Fortunę mutationes fortiter sustinere conator: & neque bona fortuna affluens superbias, neque pauper animum deijcias, sed in utraque fortuna moderatus esto. *Theobuli.*

Vir in magnanimitate uera & philosophia educatus, anteq̄ calamitates ingruant animi tranquillitatē intra se conditā habet. At in reb⁹ aduersis aliena cōsolatione *Phauorini.*

τὸν καιρὸν τῆς εὐθυμίας ὑπερβαίνει.

Διονυσίου Ἁλικαρνασσέως.

Ἡ ξανθίππη ἔφη, μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν, ἐν πάσαις ὅμοιον τὸ σωκράτους πρόσωπον, καὶ προϊόντος ἐκ τῆς οἰκίας, καὶ ἐπανιόντος, θεάσασθαι. ἥρμοστο γὰρ ἀναλόγως πρὸς πάντα ἐπιεικῶς. τοι γάρ τι οὐδὲν πώποτε ἐλύπησεν αὐτόν.

Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου.

Ὅταν κλαίοντα ἴδῃς ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότος τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος τοῦ ἀνθρώπου, ἀλλ᾽ εὐθὺς πρόχειρον ἔστω: ὅτι τοῦτον θλίβει, οὐ τὸ συμβεβηκός, ἄλλον γὰρ οὐ θλίβει: ἀλλὰ τὰ δόγματα. μέχρι μέν τοι λόγου, μὴ ὄκνει συμπεριφέρεσθαι αὐτοῖς, κἂν οὕτω τύχῃ, συστενάξαι: λίαν δὲ πρόσεχε, μὴ καὶ ἔσωθεν στενάξῃς.

Τοῦ αὐτοῦ.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτό, ἀλλ᾽ ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν. ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη. οὐκοῦν καὶ τοῦτο ἀπεδόθη. ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ᾽ ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες.

Ἀρριανοῦ Ἐπικτητείου, ἐκ τοῦ περὶ προνοίας

Ἀλλὰ γίνεταί τινα ἀηδῆ καὶ χαλεπὰ ἐν τῷ βίῳ. καὶ τί οἴει, ὅτι ὁ ἡρακλῆς ἂν ἀπέβη τοιοῦτος; εἰ μὴ λέων οὗτος ἐγένετο, καὶ ὕδρα, καὶ ἔλαφος, καὶ σῦς: καὶ ἄδικοί τινες ἄνθρωποι, καὶ θηριώδεις, οὓς ἐκεῖνος ἐξήλαυνε καὶ ἐκάθαιρε. καὶ σὺ τούτων αἰσθανόμενος, βλέψον εἰς τὰς δυνάμεις καὶ ἀφορμάς, δι᾽ ὧν κοσμήσεις σαυτόν. οὔ. ἀλλὰ κάθησθε: τὰ μέν, μὴ συμβῇ τρέμοντες: περὶ δὲ τῶν συμβαινόντων, ὀδυρόμενοι, εἶτα τοῖς θεοῖς ἐγκαλεῖτε. τί γάρ ἐστιν ἄλλο ἀκόλουθον τῇ τοιαύτῃ ἀγεννείᾳ, ἢ ἀσέβεια. καί τοι ὅ γε θεὸς οὐ μόνον ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ᾽ ἃς οἴσομεν πᾶν τὸ ἀποβαῖνον, μὴ ταπεινούμενοι, μηδὲ συγκλώμενοι: ἀλλ᾽ ὃ ἦν ἀγαθοῦ βασιλέως, καὶ ταῖς ἀληθείαις πατρός, ἀκώλυτον τοῦτο ἔδωκε, καὶ ὅλον αὐτὸ ἐφ᾽ ἡμῖν ἐποίησεν.

Ἱππάρχου Πυθαγορείου, ἐκ τοῦ περὶ εὐθυμίας

Ὡς πρὸς τὸν ξύμπαντα αἰῶνα ἐξετάζοντι, βραχύτατον ἔχοντες οἱ ἄνθρωποι τὸν τᾶς ζωᾶς χρόνον, κάλλιστον ἐν τῷ βίῳ, οἱονεί τινα παρεπιδημίαν ποιησοῦνται, ἐπ᾽ εὐθυμίᾳ καταβιώσαντες. ταῦτα δὲ ἕξοντι μάλιστα πάντων ἀκριβῶς ἐπιστάμενοι, καὶ ἐπεγνωκότες ἑαυτούς, ὅτι ἐντὶ θνατοὶ καὶ σάρκινοι, εὐαδίκητον καὶ φθαρτὸν κεκτημένοι σῶμα, καὶ πάντων χαλεπωτάτων αὐτοῖς ἐπικρεμαμένων, μέχρις ἐσχάτας ἀναπνοᾶς. καὶ πρῶτόν γε * ἐρευνῶμεν ἐπὶ τὰ συμβαίνοντα περὶ τὸ σῶμα, πλευρίτιδες, περιπλευμονίαι, φρενίτιδες, ποδάγραι, στραγγουρίαι, δυσεντερίαι, ληθαργίαι, ἐπιληψίαι, σηπεδόνες, ἄλλα μυρία. περὶ δὲ τὰν ψυχάν, πολλῷ μέζονα καὶ χαλεπώτερα. πάντα γὰρ τὰ κατὰ τὸν βίον ἄθεσμα, κακά, παράνομα, καὶ ἀσεβήματα, ἐκ τῶν κατὰ τὰν ψυχὰν παθημάτων ἐντί. διὰ γὰρ τὰς παρὰ φύσιν ἀμέτρους ἐπιθυμίας, πολλοὶ εἰς ἀκατασχέτους ὁρμὰς ἐξώκειλαν. καὶ οὔτε τᾶς ἐκ τῶν θυγατέρων, οὔτε τᾶς ἐκ τῶν ματέρων ἀνοσιωτάτας ἡδονὰς ἀπέσχοντο, ἀλλὰ καὶ ἐπὶ πατροκτονίᾳ παρεγένοντο, καὶ πολλοὶ τὰ ἴδια τέκνα κατέσφαξαν. τί δέ, τὰ ἀπὸ τῶν ἐκτὸς ἐπηρτημένα, κατὰ τὰς ἐπομβρίας, καὶ αὐχμούς, ὑπερβολὰς καυμάτων, ὑπερβολὰς ψύχεος, ὥστε πολλάκις ἐκ τᾶς κατὰ τὸν ἀέρα ἀνωμαλίας, λοιμόν τε καὶ λιμὸν γίνεσθαι, καὶ ποικιλίαν παντοδαπῶν συμπτωμάτων, καὶ ὅλας πόλεις ἐρημοῦσθαι; πολλῶν οὖν τοιούτων ἐπικρεμαμένων, μήτε ταῖς κατὰ τὸ σῶμα εὐημερίαις περιέχοντες, σεμνυνόμενοι ἐπαιρώμεθα, ἅτινες ὀλίγῳ πυρετῷ ἐπιγενομένῳ, σὺν θεῶν τρόπῳ, συντόμως μαραίνονται: μήτε ταῖς ἐκτὸς νομιζομέναις εὐτυχίαις, καὶ αὗται πολλάκις τάχιον ἀπόλλυσθαι ἢ γίνεσθαι πεφύκασι. πάντα γὰρ ταῦτα, ἄστατά τε καὶ ἀβέβαια * εὕρε τὸν τρόπον, ἐν πολλαῖς καὶ ποικίλαις μεταβολαῖς γινόμενα παρειλήφαμεν. καὶ οὐδὲν αὐτῶν μόνιμον, οὐδὲ ἀκίνητον, οὐδὲ βέβαιον, οὐδὲ ἀδιαίρετον. διὸ ταῦτα μὲν ἐνθυμηθέντες, νομίζοντες † εἰ τὰ παρέοντα καὶ διδόμενα, * καὶ τὸν ἐλάχιστον χρόνον διαμεῖναι δύναιτο, ἐν εὐθυμίᾳ διάξομεν γενναίως φέροντες τὰ προσπίπτοντα. νῦν δὲ πολλοὶ πάντα τὰ ὑπὸ φύσιος καὶ τύχας παρεόντα, καὶ διδόμενα αὐτοῖς ἐπὶ τὸ βέλτιον προαναπλάσαντες, καὶ οὐχ οἷά ἐστι λογισάμενοι, ἀλλ᾽ οἷα ἐπ᾽ ἄκρον ἐπιτυγχανόμενα δύναται γενέσθαι, ἄφνω στερόμενοι, πολλοῖς, καὶ μεγάλοισι, καὶ ἀθέσμοις, καὶ ἀνοήτοις κακοῖς καταφορτίζοντι τὰν ψυχάν: καὶ οὕτω συμβαίνει αὐτοῖς, πικρότατον ἔχειν τὸν βίον καὶ χαλεπώτατον. ταῦτα δὲ γίνεται, ἐπί

τε ἀπο-

malim συμβαίνοντα.

Haec vox abundare videtur.

malim εἰ.

lego μή & post aliqua verba desunt.

opus habere, animi tranquillitatis *modum excedit. *κανών.

Xanthippe dixit, cũ infinitæ mutationes & rempub. & ipsos occupassent, in omnibus simẽ se uidisse Socratis uultũ, & exeuntis domo, & denuò redeuntis. Ad omnia eñ moderatus & concinnus erat: quamobrẽ nihil unquã ipsum tristitia affecit. *Dionysij Halicarnassei.*

Cum uideris aliquem flentem in luctu, uel propter absentem filium, uel propter amissas pecunias, caue ne tua phantasia te simul in errorem abripiat, tanq̃ ille malo quopiã laboret: sed statim & in promptu cogites, quod nõ crucietur ob euentũ rei, alij eñ non cruciantur: sed ob suas opiniones. Veruntamẽ uerbis tenus ne dubites eis cõsentire tanquã similiter affectus: & si opus uideatur, etiã suspirare apud ipsos: diligenter tamen aduerte, ne etiam intus & in animo suspires. *Ex Epicteti enchiridio cap. 14.*

Nunquam ulla de re dicas quod amiseris eam, sed quod reddideris. Filius obijt? redditus est. Ablatus est mihi ager? Et hic redditus est. Sed malus est qui abstulit. Quid est quod cures per quem is qui dederat repetierit? Quamdiu uero cõceditur, curam eius habeto tanq̃ alienæ possessionis, quemadmodũ prætereũtes diuersorij. *Ibidem cap. 10.*

Sed fiunt, inquis, ingrata quædam & molesta in uita. An uero putas quod tam clarus euasisset Hercules, nisi leo ille Cleonęus fuisset, & hydra, & ceruus, & aper, & iniusti quidã immanesq́ homines, quos ipse expulit, interfecit, purgauitq́ regiones? Hæc tu animaduertens inspice facultates & commoditates, quibus teipsum ornes. Sed ô ignaui, hæc negligentes sedetis, alia ne contingant metuentes: alia, quę iã contigerunt, deplorantes, deinde deos incusatis. Quid eñ aliud huiusmodi illiberalitatẽ sequeretur, quàm impietas? Atqui Deus non solũ nobis dedit istas facultates, quarũ beneficio quẽlibet euentũ sustineremus, non deiecto neq; confracto animo: sed quod boni regis erat & reuera patris, liberum id dedit, & omnino nostræ uoluntatis arbitrio subiecit. *Arriani Epicteti lib. 1. cap. 6.*

Homines q breuissimũ uitæ tempus habent, si totius mũdi æuo cõparetur, optimã in uita ueluti peregrinationẽ transigent, si uixerint in tranquillitate. Hoc aũt assequentur, si imprimis diligẽter scientiã & cognitionẽ sui habuerint: nẽpe q̃d mortales sint, ex carne constẽt, corpus offensu facile & corruptibile gerant, deniq; grauissima quæq; ad ultimũ usq; spiritum expectare cogãtur. Primũ eñ lugenda sunt, quæ circa corpus eueniunt, morbi costales, pulmonarij, phrenitides, podagrę, stillicidia urinæ, tormina, ueterni, comitiales, putredines, & infinita alia. Circa animã uero longẽ maiora & difficiliora contingunt. Siquidẽ omnia quæ per uitã cõmittuntur nefanda mala, illegitima, & impietates, ex animi affectibus oriuntur. Nam propter immoderatas contra naturã cupiditates, multi in affectus effrenatos inciderunt: & nec à filiabus nec à matribus suis impijssima uoluptate capienda sibi temperauerũt: quinetiam parricidæ facti sunt, & multi eorum suos liberos iugularunt. Quid illa re censeam, quæ foris impendent nobis, per imbres, squalores, æstus immodicos, & nimia frigora, ita ut frequenter propter inęqualẽ aëris intemperiẽ pestis & fames, & alij multi diuersiq; casus fiant, & integræ ciuitates desolẽtur? Cũ igitur huiusmodi multa nobis immineant, neq; corporis dotibus gloriantes efferri debemus, ut quæ uel exigua febricula deûm uoluntate immissa, statim emarcescant: nec externa prosperitate putata: & hæc enim ut plurimũ citius perire quàm oriri solet. Quippe hæc omnia incertam ac instabilem obtinere naturam, & in multis uarijsq́ mutationibus gigni exploratum habemus: & nihil ipsorum permanere, nec immobile, aut firmum, aut continuum esse. Quapropter si hæc cogitemus, & res præsentes, quæ nobis datæ sunt, ne minimum quidem temporis spatium durare posse animo uoluamus, tranquillè uiuemus quosuis euentus fortiter sustinentes. Nunc uero multi omnia quæ natura fortunáue ipsis contulit, quàm optima fore animo secum præsumentes, & non qualia sunt reputantes, sed qualia in præstantissimo sui statu fieri possent, subito illis priuati animam onerant multis magnisq́, & illegitimis ac temerarijs malis: Atque ita usu uenit ipsis ut uitam acerbissimam tristissimamq́ agant. Contingunt autem talia, amissis pecunijs, uel amicis *Hipparchi Pythagorici ex libro de animæ tranquillitate.*

τὰς ἀποβολαῖς χρημάτων, ἢ φίλων θανόντων, ἢ τέκνων, ἢ τινῶν ἄλλων τῶν νομιζομένων τιμιωτάτων ἡμῖν, εἶτα κλαίοντες καὶ ὀδυρόμενοι, λέγοντι αὐτοὺς μόνους ἀτυχεστάτους καὶ κακοδαίμονας, οὐ μεμναμένοι ὅτι καὶ ταῦτα καὶ ἄλλοις πολλοῖς ἐγένοντο, καὶ νῦν γίνονται· οὔτε δυνάμενοι κατανοῆσαι, τόν τε τῶν παριόντων βίον, καὶ τὸν τῶν * παρεξεστηκότων, ἐν ὅσαις συμφοραῖς καὶ κακῶν τρικυμίαις, καὶ νῦν ἐντὶ πολλοί, καὶ πρὸ τοῦ ἐγένοντο. ὑπολογιζόμενοι οὖν, ὅτι πολλοὶ ἀποβαλόντες χρήματα, ὕστερον διὰ τὰν τῶν χρημάτων γενομέναν ἀπώλειαν, αὐτοὶ περιεσώθησαν, ἢ λῃσταῖς διαιτώμενοι μέλλοντες περιπίπτειν, ἢ τυράννῳ· πολλοὶ δὲ φιλάσαντές τινας, καὶ καθ' ὑπερβολὰν εὐνοήσαντες, ἐν τῷ μετέπειτα χρόνῳ μεγάλως ἐμίσησαν· ἃ δὲ πάντα ἀναλογιζόμενοι ἐκ τᾶς παραδεδομένας ἁμῖν ἱστορίας, καὶ μαθόντες ὅτι καὶ ὑπὸ τέκνων καὶ φίλων μάλιστα φιληθέντων, πολλοὶ ἀπώλοντο. καὶ ἀντιπαραβάλλοντες τὸν αὑτῶν βίον, πρὸς τὸν τῶν πρασσομένων φαυλότερον, καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες, καὶ μὴ μόνοις συμβαίνοντα, εὐθυμότερον διάξομεν. οὐδὲ γὰρ θέμις ἄνθρωπον ὄντα, τὰ ἀλλοτρίων συμπτώματα δύσφορα νομίζειν, ἀλλὰ καὶ τὰ * ἴδια. κἀδὲ ἀιδόντας, ὅτι πολλαὶ κῆρες περὶ πάντα τὸν βίον πεφύκαντι. οἱ δὲ κλαίοντες καὶ κατοδυρόμενοι, πρὸς τῷ μὴ δ' ἥντινοῦν ὠφέλειαν τῷ ἀπολλυμένῳ ἢ τῷ ἀποιχομένῳ περαίνεσθαι, ὃν μείζονα παθήματα τὰν ψυχὰν ἐλαύνοντι, γέμουσαν πολλῶν φαύλων φυσημάτων οὖσαν. προσήκει οὖν ἐκνίπτοντας καὶ ἀνακαθαίροντας, ἐκπορρύπτεσθαι πάσαις μηχαναῖς, τὰς ἐγκατεσκιρρωμένας κηλῖδας, τῷ τῆς φιλοσοφίας λόγῳ. ποιώμεθα δὲ τοῦτο, ἀντεχόμενοι φρονήσιος καὶ σωφροσύνας, καὶ μεταποιούμενοι τοῖς παροῦσι, καὶ μὴ πολλῶν ὀρεγόμενοι. οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ παρασκευαζόμενοι, ὡς οὐκ ἔστι ζῆν μετὰ τὸν τᾶς ζωᾶς χρόνον. * ἄξεστι γενέσθαι, χρησώμεθα παρουσίᾳ τῶ ἀγαθῶ, ἐκ δὲ τᾶς φιλοσοφίας καλῶν καὶ σεμνῶν, καὶ τῶν ἐκ τῶ φαύλων ἀπολυθησόμεθα ἀπληστίας.

potius περιεστηκότων.

lego ἴδια κακὰ ἰδόντας.

Locus uidetur mutilus.

Ex τῶ Τέλητος περὶ περιστάσεων.

Η τύχη ὥσπερ ποιήτριά τις οὖσα, παντοδαπὰ ποιεῖ πρόσωπα· ναυαγοῦ, πτωχοῦ, φυγάδος, ἐνδόξου, ἀδόξου. δεῖ οὖν τὸν ἀγαθὸν ἄνδρα, πᾶν ὅ,τι αὐτὰ περιθῇ, καλῶς ἀγωνίζεσθαι. ναυαγὸς γέγονας, εὖ τὸ ναυαγόν. πένης ἐξ εὐπόρου, εὖ τὸ πένητα· ἀρκούμενος ἐν μικροῖσι, καὶ ἀρκούμενος ἐν μεγάλοισιν· ἀρκούμενος καὶ ἐσθῆτι τῇ τυχούσῃ καὶ διαίτῃ, καὶ διακονίᾳ, ὥσπερ ὁ Λαέρτης

γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε παρτίθει.

καὶ ἐκοιμᾶτο χαμαὶ ἐπὶ στιβάδος.

φύλλων δὲ κεκλιμένων, χθαμαλαὶ βεβλήατο εὐναί.

ἀρκεῖ γὰρ ταῦτα καὶ εἰς τὸ προσηνῶς καὶ εἰς τὸ ὑγιεινῶς, ἐὰν μή τις τρυφᾶν βούληται. οὐ γὰρ ἐν γαστρὸς βορᾷ τὸ χρηστόν ἐστιν, οὐδέ γε ἐν χλανίδος κατασκευῇ, οὐδ' ἐν στρωμνῆς μαλακότητι. οὐκ ἀηδῶς γὰρ Εὐριπίδης, τροφῇ δέ τι

πολλῶν ἐδεστῶν μηχανὰς θηρεύομεν.

καὶ οὐ μόνον ἐδεσμάτων, ἀλλὰ καὶ ὀσφραντῶν, καὶ ἀκουστῶν. οὐ δεῖ δὲ τρυφᾶν οὐδὲ τῶν πραγμάτων μὴ φερόντων. ἀλλ' ὥσπερ οἱ ναυτικοὶ πρὸς τοὺς ἀνέμους καὶ πρὸς τὴν περίστασιν ὁρῶντες * ἐκποιεῖ χρῆσαι, οὐκ ἐκποιεῖ παῦσαι. καὶ ὥσπερ ἐπὶ στρατείας, ὁ μὲν ἵππον ἔχων ἱππεὺς ἀγωνίζεται· ὁ δὲ ὅπλα ὁπλίτης· ὁ δὲ μηδὲν ἔχων ψιλός. καὶ ὥσπερ ἐκεῖσε ὅταν ἐπίκεωνται οἱ πολέμιοι, καὶ βάλλωσιν εἰς τὰ ὅπλα, ἀναχωρεῖ ψιλὸς ὤν, οὕτως αὖ δεῦρο ἐπίκειται ἐνίοτε πόλεμος, χρεία, ἀρρωστία, * ἀναχωρεῖ εἰς μονοσιτίαν, εἰς αὐτοδιακονίαν, εἰς τρίβωνα, ἔσχατον εἰς ᾅδου.

Locus est corruptus.

lego [illegible]

Τοῦ αὐτοῦ περὶ ἀπαθείας.

Μὴ καθ' ὃν τρόπον ἀπύρηνος ῥοὰ λέγεται, καὶ ἀτράχηλοι καὶ ἄπλευροι ἄνθρωποι, οὕτω καὶ ἄλυποι καὶ ἄφοβοι ἄνθρωποι λέγονται; βούλει οὖν αὐτοῖς παραδείγμασι χρησάμενοι, ὃν τρόπον ἀπύρηνος ῥοὰ λέγεται, καὶ ἄπλευροι καὶ ἀτράχηλοι ἄνθρωποι, οὕτω καὶ ἀναμάρτητοι καὶ ἄφθονοι λέγονται; καὶ ὃν τρόπον ἐκεῖ ἄπλευρος οὐ κατὰ στέρησιν πλευρῶν, ἀλλὰ τοιούτων πλευρῶν λέγεται· οὕτω καὶ ὁ ἄφρων καὶ ὁ ἄνους, οὐ κατὰ στέρησιν φρενῶν καὶ νοῦ, ἀλλὰ τοιούτων φρενῶν καὶ τοιούτου νοῦ. καὶ ὥσπερ τὸν ἄπλευρον ἔχειν μὲν φαμὲν πλευράς, μοχθηρὰς δέ· οὕτω καὶ τὸν ἄνουν ἔχειν μὲν νοῦν, μοχθηρὸν δέ. καὶ τὸν ἄφρονα ἔχειν μὲν φρένας, μοχθηρὰς δέ. ἢ παντάπασι τὸ πιστεῦσαι ταῦτα γελοῖον; ἀλλ' ὥσπερ ἀναμάρτητος ὁ ἐκτὸς ἁμαρτίας, καὶ ἄφθονος ὁ ἀβάσκανος καὶ ἀπερίεργος καὶ ἀμεμψίμοιρος ἐκτὸς ἑκατέρων τούτων, οὕτω καὶ ἄλυπος καὶ ἄφοβος, ἐκτὸς λύ-

mortuis, aut liberis, aut alterius rei pretiosæ existimatę facta iactura. Deinde flentes ac lugentes, se solos infortunatos & infœlices esse putant, nec meminerũt, quod similes casus & alijs multis acciderint, & adhuc accidant: nec animo perspicere possunt uel aliquot nostri seculi hominum uitam, uel iam defunctorum, in quantis calamitatibus & malorum tempestatibus illi quidem adhuc sint, illi uero quondam fuerint. Considerantes igitur quod multi pecunijs amissis, ipsi deinde seruati sint propter pecuniæ iacturam, cum aliter in periculum à latronibus aut à tyranno patiendi aliquid uenturi fuissent: Item quod multi cum amore & maxima beneuolentia prosequuti quosdam essent, eosdem paulò post uehemẽter odio habuerint: hæc inquam omnia postquã cognouerimus ex historia nobis tradita, & intellexerimus quod multi à liberis & amicis dilectissimis perditi sint, uitamq; adeò nostram cum infœlicioribus contulerimus, & euentus omnes humanos nec nobis solum contingentes reputauerimus, tranquillius degemus. Non enim æquum est hominem aliena mala leuia putare: sed tam alia quàm sua contemplando, omnem humanã uitam multis aduersitatibus obnoxiam esse cogitandum est. Qui autẽ flent ac lugent, præter id quod rem pereuntem aut discedentem nihil planè iuuant, in maiores perturbationes animam suam impellunt, in medio multorum prauorum* affectuum constitutam. Quamobrem conuenit ut abluentes ac repurgantes modis omnibus, næuos illos in philosophiæ corpore iam induratos abstergamus. Hoc aũt faciemus, si prudentiã & temperantiã colamus, pręsentibus utamur, & nõ multa desideremus. *Quid est quod homines multa sibi conquirant, cum post istud uitę tempus denuò uiuere non liceat? Vtamur igitur bonorum præsentia, quæ per philosophiam decora & honorifica sunt, & insatiabili malorum cupidine liberabimur.

*φαυλισμάτων. *Hæc sententia in Græco corrupta uidetur.

Fortuna ceu poëtria quædam multas inducit personas, naufragi, mendici, exulis, gloriosi, obscuri. Itaq; decet uirum bonum, rectè agere, quamcunq; ei fors dederit, personam. Naufragus es factus, bene repręsentato naufragum: pauper ex diuite, bene agito pauperem. Exhibeto te concinnum tam in paruis, quàm in magnis, contentus quolibet uestitu, uictu, & ministerio, quemadmodum Laërtes

Ex Teletis libro de casibus.

Cum uetula ancilla, quæ illi potumq; cibumq; præbebat,
Et humi dormiebat in herbaceo toro:
Ex folijs iacentibus humilis lectus erat.

Hęc enim sufficiunt tum ad suauiter uiuendum tum salubriter: nisi quis deliciari uelit. Nam bonitas in uentris edacitate nõ est sita, neq; chlamydis apparatu, neq; mollitie straguli. Euripides igitur non ineleganter dixit: Quid est quod alimenti gratia Varios esculentorum modos inquiramus? At non solum edendi, sed odorandi etiam audiendiq; uoluptates persequimur. Non decet autem deliciari, præsertim si rerum natura id non ferat: sed quemadmodum nauigantes uentos & aëris tempestatem respicientes, *utendum ne sit nauigatione, an cessandum, cõsultant: Et sicut in militia qui equum habet, eques pugnat: qui arma, armatus: qui nihil, nudus: itẽ ut isthic cum hostes urgent, & tela conjciunt in arma, tu si nudus es recedis: Ita etiã uitæ nostræ certamen interdum imminet, paupertas, imbecillitas. Recipe igitur te ad epulas solitarias, tibi ipsi ministres, pallium sumas, postremo inferos adeas.

*Locus in Græco obscurus.

An quemadmodum apyrena mala punica dicuntur, item homines ἀπράγμονες & ἄπλευροι, ita etiam indolentes ac intrepidi? Vis ne igitur ut ad similitudinem istorum quæ iam diximus, impeccabiles quoque & ab * inuidia alieni nominentur? Et ueluti ἄπλευρον non simpliciter costis, sed talibus costis seu lateribus carentem significat, ita uecors & amens accipiatur non pro homine qui cordis & mentis nihil habeat, sed qui tali corde & tali mente careat. Et sicut ἄπλευρον, latera quidem habere dicimus, sed praua: similiter amentem, fatemur habere mentem, sed malam. An potius ista credi ridiculum est? sed quemadmodum innocens uocatur, qui ab omni noxa purus est, & ἄφθονος, ἀπράγμων ἀμεμψίμοιρος, q nihil omnino inuidiæ, curiositatis, aut querimoniæ alit: sic & indolẽs ac intrepidus dicẽdus est, qui extra dolorẽ metumq;

Eiusdem de imã perturbatione. *ἄφθονοι.

πης καὶ φόβου. οὕτω γὰρ καὶ εὐδαίμων ἔσται, ὁ ἐκτὸς τοῦ πάθους καὶ ταραχῆς ὤν. ὅστις δὲ
lego ἢ. ἐν ὀδύνῃ καὶ λύπῃ ὢν, καὶ φόβῳ ἐστὶ, πῶς ἂν ἐκεῖνος εὐαρεστοίη τῷ βίῳ; * εἰ μὴ εὐαρεστῶν,
πῶς ἂν εἴη εὐδαίμων; ἢ εἰ λύπη ἄψεται, πῶς οὐ καὶ φόβος, καὶ ἄγνοια, καὶ ὀργὴ, καὶ ἔλεος;
ὧν γὰρ ὑπαρξάντων ἄνθρωποι λυποῦνται, τούτων ἐν προσδοκίᾳ γινόμενοι, φοβοῦνται, καὶ
ἀγωνιῶσι, καὶ τοὺς ἀναξίως δοκοῦντας περιπίπτειν, τούτους ἐλεοῦσι· καὶ τοῖς κατὰ προαίρεσιν
ὑποβάλλουσιν, ὀργίζονται καὶ θυμοῦνται, καὶ ὑφορῶνται· καὶ οὓς μισοῦσι, τούτους ὁρῶντες
εὖ πράττοντας, ζηλοτυποῦσι καὶ φθονοῦσι· καὶ ἀκούσαντες ἔχοντάς τι κακὸν, ἐπιχαίρουσιν.
εἰ οὖν ἐν λύπῃ ἔσται, πῶς ἐκτός τινος ἔσται πάθους; ἢ μηδενὸς ἐκτὸς ὢν, πῶς ἀπαθὴς ἔσται, ὅπερ
addo μὴ. δεῖ τὸν μακάριον εἶναι; ὥστε οὖν, μήτε ἐπὶ φίλου, μήτε ἐπὶ τέκνου τελευτῇ λυπηθῆναι *, ὅπερ
μηδὲ ἐπὶ τῇ αὑτοῦ. ἢ οὐκ ἄνανδροί σοι δοκοῦσιν εἶναι, οἱ τὸν ἑαυτῶν θάνατον ἀγεννῶς καὶ μὴ εὐ-
lego ὑψηλά. θαρσῶς προσδεχόμενοι; ἢ οὐ δεῖ τὸν εὔψυχον καὶ ἀνδρεῖον, * εὐτυχῶς τὴν ἑαυτοῦ τελευ-
τὴν φέρειν, ὥσπερ σωκράτης, μὴ δυσφοροῦντα μηδὲ δυσκολαίνοντα; ἢ δυσχερέστερόν τι κεῖ-
lego μᾶλλον. ται τὴν ἄλλου τελευτὴν ἢ ἑαυτοῦ; ἢ οὐχ ὁμοίως αὐτὸν ἀγαπᾷ καὶ στέργει; καὶ τὸν φίλον * μάλα,
ἢ τὰ τέκνα, ἢ ἑαυτόν; καὶ ταύτην ἐπαινοῦσιν ἐντελλομένην. ἐπεὶ καὶ ταυτασὶ τὰς λακωνι-
κὰς γυναῖκας, πᾶς τις ἐπαινεῖ ὡς εὐψύχους. ἀκούσασά τις τὸν ἑαυτῆς υἱὸν σεσωσμένον καὶ
πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ. κακὰ φάμα τοι κακκέχυται. τὺ ὦν ἢ ταύταν
ἀπότειψαι· ἢ μὴ δ' ἁμὶν φάνευ. οὐχ ὡς ἂν ἀττικὴ γυνὴ ἀκούσασα σεσωσμένον, ἔγραψεν ἄν·
εὖ τέκνον, ὅτι σαυτόν μοι ἔσωσας. ἀλλ' ἐκ τῶν ἐναντίων· κακὰ φάμα τοι κακκέχυται. τὺ ὦν, ἢ
ταύταν ἀπότριψαι, ἢ μὴ δ' ἁμὶν φάνευ. τοῦτο δέ ἐστιν, ἄπαγξαι. καὶ ἄλλη πάλιν ἀπαγγεί-
λαντος αὐτῇ τοῦ κήρυκος, ὁ υἱὸς ἐν τῇ παρατάξει τετελεύτηκε, ποῖός τίς φησι γενόμενος; ἀνὴρ ἀ-
γαθὸς ὦ μᾶτερ. εὖγε ὦ τέκνον φησί. τούτου γὰρ ἕνεκά σε φησὶν ἐγέννησα, ἵνα χρήσιμος καὶ βοηθὸς
ᾖσθα τῇ σπάρτῃ. οὐκ ἔκλαιε καὶ ἐδυσπάθει· ἀλλὰ καὶ ἀκούσασα ὅτι εὐψύχως, ἐπῄνεσε. καὶ ἐκεί-
νη δὲ πάλιν ἡ λάκαινα, ὡς γενική. φευγόντων γὰρ αὐτῆς τῶν υἱῶν ἐκ τῆς μάχης, καὶ παραγενομένων
πρὸς αὐτὴν, ποῖ φησιν οἱ καταπεφευγότες, ἢ δεῦρο καταδυσόμενοι ὅθεν ἐξέδυτε; ἀνασυραμέ-
νη καὶ δείξασα αὐτοῖς. ὅρα εἰ καὶ τῶν παρ' ἡμῖν τις γυναικῶν τοῦτ' ἂν ποιήσειεν, ἀλλ' οὐκ ἀσμένη
ὄψεται σεσωσμένους. ἐκεῖναι δ' οὔ. ἀλλὰ ἀποθανόντας εὐτυχῶς, ἥδιον. καὶ ἐπιγράφουσι λακεδαιμό-
νιοι, οὔτε τὸ ζῆν θέμενοι καλὸν, οὔτε τὸ θνήσκειν· ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερα ἐκτελέσαι.
πῶς δὲ οὐκ ἀλόγιστον καὶ ἄλλως μάταιον, τοῦ τελευτήσαντος τοῦ φίλου, καθῆσθαι κλαίοντα καὶ λυ-
πούμενον, καὶ ἑαυτὸν προσκαταφθείροντα; δέον ἵνα καί τι μᾶλλον φιλόσοφος δόξῃ παρὰ τοῖς ἐκπλήκ-
forte δεῖν. τοις, * πρὸ τοῦ τελευτῆσαι τὸν φίλον, οὐ δύνασθαι κλαίειν, ἐνθυμούμενον ὅτι αὐτῷ ὁ φίλος θνη-
τὸς ἐγένετο καὶ ἄνθρωπος. οὐ γὰρ ὀρθῶς φησι βουλευομένους ὁ στίλπων· τὸ, διὰ τοὺς ἀπογενομέ-
νους, τῶν ζώντων ὀλιγωρεῖν. γεωργὸς οὐ ποιεῖ τοῦτο. οὐδὲ ἂν τῶν δένδρων ξηρόν τι γένηται, καὶ
τὰ ἄλλα προσεκκόπτει· ἀλλὰ τῶν λοιπῶν ἐπιμελόμενος, πειρᾶται τὴν τοῦ ἐκλελοιπότος χρείαν
ἀναπληροῦν. οὐδ' ἡμεῖς ἐπὶ τῶν ἡμετέρων μερῶν· γελοῖον γὰρ ἔσται. ἢ ἐὰν τὸν ἕτερόν τις ὀφθαλ-
μὸν ἀποβάλλῃ, δεήσει καὶ τὸν ἕτερον προσεκκόψαι; καὶ ὁ εἷς πούς κυλλὸς, καὶ τὸν ἕτερον ἀνάπη-
ρον ποιεῖν· καὶ ἕνα ὀδόντα, καὶ τοὺς ἄλλους προσεκλέξαι. ἀλλ' ἐπὶ μὲν τούτων εἴ τις οὕτως οἴοιτο,
μαργίτης. τοῦ δὲ υἱοῦ τελευτήσαντος ἢ τῆς γυναικὸς, αὐτοῦ τε ὀλιγωρεῖν ζῶντος, καὶ τὰ ὑπάρ-
Videtur aliquid desyderari. χοντα προσκαταφθείρειν *. καὶ εἰ μὲν τῶν γνωρίμων τινὸς υἱὸς, ἢ γυνὴ ἀπέθανε, παρεκάλε-
σεν ἄν, οἰόμενος δεῖν ἀνδρωδῶς καὶ θαρσαλέως, καὶ μὴ βαρέως φέρειν. αὐτὸς δὲ τοῖς αὐ-
τοῖς περιπεσὼν συμπτώμασιν, οὕτως οἴει δεῖν δυσφορεῖν, ἀλλ' οὐ πράως; καὶ εἴπερ ἕτερον
malim ἀνοίᾳ. παρακαλεῖν μέτριον ἐν στενοχωρίᾳ καὶ * ἀπειρίᾳ μὴ δυσκολαίνειν, μηδὲ ἀβίωτον τὸν βίον
νομίζειν· ἀλλὰ τῷ δοκοῦντι κακῷ, τὸ δοκοῦν ἀγαθὸν ἀντιτιθέναι καὶ ἐξισοῦν. ἀπογέγονεν ὁ φί-
λος. καὶ γὰρ γέγονε. σὺ δὲ ὅτι μὲν ἀπογέγονεν, ἀκληρεῖν οἴει· ὅτι δὲ ἐγένετο, οὐκ εὐκληρεῖν.
καὶ εἰ μὲν μηκέτι παρέξεται χρείας ἀπογενόμενος, ἄθλιον· ὅτι δὲ παρείχετο γενόμενος, οὐ
μακάριον. ναὶ. ἀλλ' οὐκέτι ἔσται. οὐδὲ γὰρ ἦν μυριοστὸν ἔτος· οὐδ' ἐπὶ τῶν τρωϊκῶν. οὐδὲ
γὰρ κατὰ τοὺς προπάππους σου. σὺ δὲ ἐπὶ μὲν τούτων, οὐκ ἄχθῃ. ὅτι δὲ ὡς ὕστερον οὐκ ἔσται,
δυσχεραίνεις. χρειῶν γὰρ ἐστέρημαι. καὶ γὰρ ὑπουργιῶν, ἃς αὐτὸς ἐλειτούργει ζῶντι τῷ
Haec sentētia est obscura. τέκνῳ, καὶ τῷ φίλῳ, καὶ κακοπαθῶν καὶ κινδυνεύων. * ἄδηλον γάρ φησιν ὁ σωκράτης οὐ
μόνον

positus sit. Ita enim fœlix demũ fuerit, qui extra affectionẽ & perturbationẽ situs est. Quisq́ aũt dolore, tristitia & metu capitur, quomodo uitę usu delectari posset? Cui non acquiescens, quomodo fœlix fuerit? Quod si dolore qs tangitur, quo pacto metum, ignorantiã, irã, & misericordiã effugiet? Eadem enĩ propter quæ homines dolent, cum expectantur, timorẽ & anxietatẽ eis inijciunt. Si qui indignis casibus premi uideantur, misericordia mouentur. Illis uero qui de industria huiusmodi casus moliuntur, succensent, indignantur, & suspectos habent. Sibi exosos prospere agẽtes si uiderint, æmulatione inuidiaq́ laborant: Eosdem si quo malo affectos audiuerint, gaudent. Si quis igitur dolori sit obnoxius, quomodo extra perturbationẽ ullam erit? Aut si nullius expers sit, quomodo imperturbabilis, qualẽ esse fœlicem futurum oportet? Quamobrem nec amici nec liberorũ obitus deplorãdus est, imò ne suus quidem. An non tibi minimè uiriles uidẽtur, qui mortẽ suã non generosè, nec animo confidente expectant? Nónne animosum ac fortẽ decet uitæ finem magnanimiter sustinere, ita ut Socrates fecit, non ægre ferre nec indignari? Num uero alterius mors grauior existimãda tibi est quàm propria? An aliquis seipsum nõ æquè diligit amatq́ ac alios? Aut amicũ, liberósue magis quã se? Atq laudãt uel imperari mortẽ. Nã Laconicas istas mulieres nemo nõ uti magnanimas laude prosequitur. Quædã enĩ audito filiũ suũ saluũ esse, & euasisse ab hostibus, scripsit ad eũ. Mala fama de te uulgat, aut igitur eã deleas: aut ampli⁹ nobis in conspectũ ne uenias. Hęc nõ sic affecta fuit ut Attica mulier aliqua, quę nimirũ superstitẽ sibi esse filiũ audiens, ita scripsisset: Bene factũ mi fili, q̃d te mihi seruaueris: Sed cõtrario sensu, aut infamiam delere filiũ iubet, aut posthac sibi nõ apparere: hoc est laqueo uitã finire. Itẽ alia mulier præcone ei nunciãte: Filius tibi in acie obijt: quõ, inquit se gerens? Vt decet uirũ fortẽ ô mater. Tum illa: Bene actum ô fili: hãc enĩ ob causam te peperi, ut opẽ & auxiliũ ferres Spartæ. Non plorauit, nec indignitatem rei cõquesta est: sed insup audito filium obijsse fortiter, factũ laudauit. Sed hęc etiam Lacęna uide quàm fortis animi fuerit: quæ cum eius filij qui ex pugna fugerant, ad ipsam uenissent: ueste sublata & nudum corpus ostendens, quò fugitis, dixit, an redituri in uterũ unde egressi estis? Vide num aliqua ex nostris mulieribus hoc faceret, & nõ libentius saluos domum redijsse uideret. At non ita Lacænæ: sed gloriosè defunctos eis uidere gratius fuit. Fertur autem de Lacedæmonijs, quod neq́ uitã simpliciter, neq́ mortem inter honesta censeant: sed utriusq́ functionem cum laude actam. Cæterum quomodo non absurdũ & alioquin etiam uanissimũ fuerit, amico mortuo sedere flentem, & tristantem, ac se unà perdere? cum oporteret, ut sapientior apud homines stupidos uidereris, ante mortem amici cogitare illum esse mortalem natum & hominem, ne posses deinde lugere. Non rectè enim illos sibi consulere ait Stilpon, qui uiuos negligunt propter defunctos. Atqui non idẽ facit agricola: nec si arbor aliqua aruerit, reliquas insup excindit: sed curã gerẽs cæterarũ, damnũ ex unius interitu factũ resarcire conatur. Nec nos in corporis nostri partibus idẽ facimus. ridiculũ enĩ foret, si uno oculo amisso, alter etiã excindẽdus esset: & uno pede oblæso, alter quoq́ mutilandus: & uno dente perdito, reliqui simul extrahẽdi. Verũ si quis ita sentiret in hisce casibus, stultus haberetur: filio aũt mortuo uel uxore, si qs seipsum uiuentẽ negligat, & quæ ei supersunt unà pdat, (nõ idẽ iudicium est in re simili.) Atq familiarẽ filio eius mortuo aut uxore, hortareris fortiter, & nõ ęgrè casus humanos ferre: tu uero in ijsdem eadẽ nõ leniter, sed grauissimè fers. Et cũ scias aliũ moderationẽ docere in angustijs et perplexitate, ac monere ne grauiter afficiatur, neq́ uitã nõ amplius uitalẽ reputet, sed existimato malo bonũ existimatũ opponat & cõferat: obijt amicus: at idẽ uixit: teipsum q̃d obijt infortunatũ: q̃d uixerit aũt, fortunatũ esse nõ putas: Et miserũ te iudicas, q̃d defunctus nõ amplius utilis tibi futurus sit: propter usus aũt, quos uiuẽs tibi pstitit, nõ opinaris te fœlicẽ. Verũ est, inquies, at ille nõ amplius erit. At nec ante myriadẽ annorũ fuit, neq́ belli Troiani tẽpore, sed ne cũ proauis quidẽ tuis. Tu uero ob ista nõ doles: q̃d aũt in posterũ nõ futur⁹ sit, ægrè fers. Priuatus sum usibus, & officijs, quę ille uiuẽti filio, uel amico exhibebat, nullũ laborem neq́ pericula uitãs.

Inclusa parenthesi de nostro addidimus.

μόνον τῷ καλλίων εἶ, περὶ ταύτῃ πλείω, ἀλλὰ καὶ τῷ τέκνα, καὶ φίλους εἰ περὶ τοσούτους πλείω. ἔπειτα δὲ καὶ ἀποδημοῦντος αὐτοῦ χρειῶν στερηθήσῃ· καὶ στρατευομένου ὑπὲρ τῆς πατρίδος, καὶ πρεσβεύοντος, καὶ ἱερεύοντος.

Πλάτωνος. Καὶ τοὺς ὀδυρμοὺς ἄρα ἐξαιρήσομεν, καὶ τοὺς οἴκτους τοὺς τῶν ἐλλογίμων ἀνδρῶν. ἀνάγκη ἔφη, εἴπερ καὶ τὰ πρότερα. σκόπει, ἦν δ' ἐγώ, εἰ ὀρθῶς ἐξαιρήσομεν, ἢ οὔ. φαμὲν δὲ δή, ὅτι ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ, οὗπερ καὶ ἑταῖρός ἐστι, τὸ τεθνάναι οὐ δεινὸν ἡγήσεται. φαμὲν γάρ. οὐκ ἄρα ὑπέρ γ' ἐκείνου ὡς δεινόν τι πεπονθότος ὀδύροιτ' ἄν. οὐ δῆτα. ἀλλὰ μὴν καὶ τόδε λέγομεν, ὡς ὁ τοιοῦτος μάλιστα αὐτὸς αὑτῷ αὐτάρκης πρὸς τὸ εὖ ζῆν, καὶ διαφερόντως τῶν ἄλλων ἥκιστα ἑτέρου προσδεῖται. ἀληθῆ ἔφη. ἥκιστα ἄρ' αὐτῷ δεινὸν στερηθῆναι υἱέος, ἢ ἀδελφοῦ ἢ χρημάτων, ἢ ἄλλου του τῶν τοιούτων. ἥκιστα μέντοι. ἥκιστα ἄρα καὶ ὀδύρεσθαι, φέρειν δὲ ὡς πρᾳότατα, ὅταν τις αὐτὸν τοιαύτη ξυμφορὰ καταλάβῃ. πολύ γε. ὀρθῶς ἄρ' ἐξαιροῖμεν τοὺς θρήνους τῶν ὀνομαστῶν ἀνδρῶν, γυναιξὶ δὲ ἀποδιδοῖμεν· καὶ οὐδὲ ταύταις σπουδαίαις, καὶ ὅσοι κακοὶ τῶν ἀνδρῶν.

ΟΤΙ ΔΕΙ ΤΑΣ ΜΕΝ ΕΥΤΥΧΙΑΣ ΠΡΟΦΑΙΝΕΙΝ, ΤΑΣ δὲ ἀτυχίας κρύπτειν, καὶ ὀρθῶς κεχρῆσθαι τοῖς παροῦσι.

ΛΟΓΟΣ ρη.

Πινδάρου. Ἀλλοτρίοισι μὴ προφαίνειν,
τίς φέρεται μόχθος ἄμμιν.
malim καλῶν. τοῦτό γέ τοι ἐρέω. * κακῶν μὲν ὦν
μοῖράν τι τερπνῶν, ἐν μέσον χρὴ
παντὶ λαῷ δεικνύναι.
Locus est corruptus. εἰ δέ τις ἀνθρώποις * ἀθεόσδοτος. ἀτλακκότα
πρὸς τύχῃ, ταύταν σκότει
κρύπτειν ἔοικεν.

Σοφοκλέους. Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα.
σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πλέον.

Διφίλου. Ὡς δεινὸν ἡνίκ' ἄν τις ὢν ἐν φροντίσιν,
εἰκῆ θεατὴν τὸν τυχόντα λαμβάνει.

Εὐριπίδου. Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὐτοῦ τύχας
εἰς πάντας, ἀμαθές· τὸ δ' ἐπικρύπτεσθαι, σοφόν.
Λύπη μὲν ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινι.
εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς
κρύπτοντα, καὶ μὴ πᾶσι κηρύσσειν τάδε.
γέλως γὰρ ἐχθροῖς γίνεται τὰ τοιάδε.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.

Σωκράτους. Ταὐτόν ἐστιν ἐν γυμνικῷ ἀγῶνι ἡττηθέντα ὕβρεως δίκην τῷ ἀνταγωνιστῇ λαχεῖν: καὶ ἐν τῷ ζῆν νικώμενον ὑπὸ τῆς τύχης, ἐγκαλεῖν αὐτῇ, ἐφ' οἷς δικαίοις εἰς τὸν ἀγῶνα τοῦ ζῆν συγκαταβεβήκαμεν.

Πλάτωνος. Λέγει που ὁ νόμος, ὅτι κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς, καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων. οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι, οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς, ὅ, τι δεῖ ἐν αὐτοῖς ὅτι τάχιστα παραγίγνεσθαι ἡμῖν, τούτῳ ἐμποδὼν γιγνόμενον τὸ λυπεῖσθαι. τίνι ἦ δ' ὃς λέγεις; τὸ βουλεύεσθαι, ἦν δ' ἐγώ, περὶ τὸ γεγονός. καὶ ὥσπερ ἐν πτώσει κύβων, πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὑτοῦ πράγματα, ὅπῃ ὁ λόγος ἐρεῖ, βέλτιστ' ἂν ἔχειν. ἀλλὰ μὴ προσπταίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν. ἀλλ' ἀεὶ ἐθίζειν τὴν ψυχὴν, ὅτι τάχιστα γίγνεσθαι πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ

πεσόν

(Hic uerba aliquot in Græco uidentur esse corrupta.)

At etiam peregrinante ipso utilitatis nihil ab eo caperes, & militante pro patria, & legationem obeunte, & sacrificia celebrante.

Ergo lamentationes commiserationesque magnorum uirorũ auferimus. Necesse est, si quidem superiora sublata sint. Contemplare igitur, rectène, an contra id faciamus. Dicimúsne moderatum uirum, moderato uiro amico suo orbatum, non malum quid illi mortem existimaturum? Dicimus quidem. Non igitur in morte illius, tanquam grauia passus, lamentabitur. Non. Enimuero & hoc asserimus, hominem huiusmodi seipso ad bene uiuendũ cõtentum esse, minimeque omniũ alio indigere. Vera narras. Minimè igitur molestè feret liberis, aut fratrib⁹, aut diuitijs, reliquisque huiusmodi priuari. Minimè certè. Itaque neque lamentabitur, sed moderatissimè feret, cum in aliquam huiusmodi sortem inciderit. Certè. Meritò igitur clarorum uirorũ ploratus è medio tolleremus, relinqueremus autem mulieribus, neque his quidẽ inter mulieres aliquid egregium sapientibus, ac uiris insuper duntaxat muliebribus, & ignauis, ut dedignentur apud nos illi, quos ad regionis custodiam educamus, similia istis facere. *Platonis lib. 3. de Repub. non longe ab initio.*

BONAM FORTVNAM PROFERENDAM ESSE, malam uero cælandam: & rebus præsentibus rectè utendum.

SERMO CVII.

ALienis aperire noli, *Pindari.*
Quidnam laboris nos exerceat.
Hoc te admonitum uolo. Bonarum quidem rerum
Sortem & iucundarum, coràm oportet
Toti populo declarare.
At si qua diuinitus grauior contigerit
Hominibus fortuna,
Eam abscondere conuenit.

Ne multis euulges præsentem fortunam. *Sophoclis.*
Nam si taceatur, lugeri poterit amplius.

Palàm enim sortem suam testari *Euripidis.*
Apud omnes, imperiti hominis est: cælare uero, sapientis.
Dolorificum est quidem in turpe damnum aliquod incidere.
At si fiat, comprimendum est scitè
Abscondendo, nec omnibus enunciandum.
Huiusmodi enim gaudium hostibus, & risum mouent.

Sapientes sua cælant mala.

Idem est in gymnico certamine uictum contumeliæ actionem aduersario intentare: & in uita uictum à fortuna, eam accusare quasi uiolantem leges, quarum conditione in uiuendi certamen descenderimus. *Socratis.*

Lex utique dictat, optimũ esse in aduersis, quàm maximè fieri potest, quietem agere, neque conqueri: quod incertum sit, bonúmne id sit, an malum, quod accidit, tum quod nihil dolor ad sequentia conferat, neque ulla humanarum rerum magni pendenda sit, eique quod subitò præsidio esse potest, dolor impedimento sit. Cui inquis? Consultare inquam circa ea quæ acciderunt, in primis oportet, & tanquam in talorum iactu, prout cecidit, quomodocunque ratio melius rem habere dicat, negocia disponere. Neque uerò, si quid aduersi inciderit, prosternere nos debemus, atque ut pueri solent cum offendunt in lapidem, procidẽtes circa id quod læsit, eiulando moram trahere: sed animum assuefacere ut ad sanandum præstò adsit, & quicquid *Platonis lib. 10. de Republica.*

al. abest ἰατρικῇ. ποιοῦν τι καὶ νοσοῦσαν, * ἰατρικῇ, θρηνῳδίαν ἀφανίζοντα. ὀρθότατα γοῦν τις, ἔφη, πρὸς τὰς
al. λογισμῷ. τύχας οὕτω προσφέροιτο. οὐκοῦν φαμὲν τὸ μὲν βέλτιστον, τούτῳ τῷ * λογισμῷ ἐθέλειν ἕπεσθαι.
δῆλον δή. τὸ δὲ, πρὸς τὰς ἀναμνήσεις τε τοῦ πάθους καὶ πρὸς ὀδυρμοὺς ἄγον, καὶ ἀπλήστως ἔχον αὐτῶν, ἆρ' οὐκ ἀλόγιστόν τε φήσομεν εἶναι, καὶ ἀργὸν, καὶ δειλίας φίλον; φήσομεν μὲν οὖν. οὐκοῦν τὸ μὲν πολλὴν μίμησιν καὶ ποικίλην ἔχει, τὸ ἀγανακτικόν. τὸ δὲ φρόνιμόν τε καὶ ἡσύχιον ἦθος, παραπλήσιον ὂν ἀεὶ αὐτὸ ἑαυτῷ, οὔτε ῥᾴδιον μιμήσασθαι, οὔτε μιμουμένου εὐπετὲς καταμαθεῖν.

ΠΕΡΙ ΕΛΠΙΔΟΣ, ΛΟΓΟΣ ἑκατοστὸς ι.

Λίνου. Ἔλπεσθαι χρὴ πάντ', ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον.
ῥᾴδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.
Ἀπολλοδώρου. Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ,
ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.
Μενάνδρου. Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.
Ἄνθρωπος ἀτυχῶν, σῴζεθ' ὑπὸ τῆς ἐλπίδος.
Εὐριπίδου. Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα,
κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.
Ἡσιόδου. Μούνη δ' αὐτόθι ἐλπὶς, ἐν ἀρρήκτοισι δόμοισιν
ἔνδον ἔμιμνε, πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη. πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο.
Εὐριπίδου. Κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ ξυμφοραί.
καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει.
οἵ τ' εὐτυχοῦντες διὰ τέλους οὐκ εὐτυχεῖς.
al. ἐξίσταται. * μεθίστανται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα.
οὗτος δ' ἀνὴρ ἄριστος, ὅστις ἐλπίσι
πέποιθεν ἀεί: τὸ δ' ἀπορεῖν, ἀνδρὸς κακοῦ.
Μενάνδρου. Ὦ ζῆν πολυτίμηθ' οἷον ἔσθ' ἐλπὶς κακόν.
Οὕτω τι πρᾶγμ' οὐδέν ἐστιν ἐπίπονον τὸ προσδοκᾶν.
Ἀρχιλόχου. Χρημάτων ἄελπτον οὐδέν ἐστιν, οὐδ' ἀπώμοτον,
οὐδὲ θαυμάσιον. ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσημβρίας ἔθηκε νύκτ', ἀποκρύψας φάος
ἡλίου λάμποντος: λυγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ, οὐκ ἄπιστα πάντα κἀπίελπτα γίγνεται
ἀνδράσι, μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω,
μὴ δ' ἵνα δελφῖσι θῆρες ἀνταμείψονται νομὸν
ἐνάλιον, καί σφι θαλάσσης ἠχέεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἡδὺ ἦν ὄρος.
Θεόγνιδος. Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖα:
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.
Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστι.
Εὐριπίδου. Ἐλπὶς * βροτοῖς κάκιστον, ἣ πολλὰς πόλεις
al. γὰρ θεὰ. συνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς.
Σοφοκλέους. Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.
Θεοκρίτου. Θαρσεῖν χρὴ φίλε Βάττε, τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
χ' ὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.
Εὐριπίδου. Ἄελπτον οὐδὲν, πάντα δ' ἐλπίζειν χρεών.
Ἐκ τῶν τοῦ Βίωνος βουκολικῶν Αὐτὰρ ἐγὼν βαίην, καὶ ἐμὰν ὁδὸν, ἐν τὸ κάταντες

πλέω,

ęgrotat, dimissis lamentationibus corrigat. Opportunum hoc quidem est aduersus fortunæ ictus remedium. Quod sanè optimum est, rationi huic libenter obtemperat. Constat. Quod uerò ad perturbationis recordationem luctumque rapit, in eisque diutius detinet, irrationale est, languidum, formidolosum. Ita dicendum.

DE SPE, SERMO CVIII.

Speranda sunt omnia: nihil non enim sperari potest. *Lini.*
Omnia Deo factu facilia sunt, & nihil impossibile.
Nunquam oportet animum despondere hominẽ infortunatũ *Apollodori.*
O uiri: meliora uero semper expectare.
Sapientibus uita spe confirmanda est. *Menandri.*
Homo infortunatus à spe seruatur.
Neque bona aspirante fortuna totam laxes habenam, *Euripidis.*
Et in malo successu bonam spem concipias.
Sola autem spes illic in domo firmissima *Hesiodi in operibus.*
Intus remansit, dolij sub labris, neque foras
Euolauit: prius enim operculum iniecit dolio.
Fatigantur enim & mortalium calamitates. *Euripidis in Herc ule furente.*
Et uentorum flatus non semper ualidi sunt.
Et fortunati non perpetuo fauentem habent fortunam.
Discedunt enim inuicem omnia à priori statu.
Optimus autem ille uir est, qui spe
Semper fretus fuerit: desperare uero mali uiri est.
O Iupiter colendissime, quantum malum spes est. *Menandri.*
Adeò molesta res est expectare.
Nulla res non speranda, uel abiuranda est, *Archilochi.*
Vel admiratione digna. Iupiter enim deûm pater
Ex meridie noctem fecit, abscondita luce,
Cum sol splenderet: tristis autem timor homines inuasit.
Hoc argumento nihil non credi & sperari debet
Hominibus. Nullus posthac nostrum admiretur, si uideat
Delphinos cum feris mutare pascua
Marina: & maris argutos fluctus bestijs
Gratiores continente fieri: delphinis autem placere montem.
Spes & periculum inter homines similia sunt. *Theognidis.*
Sunt enim utrique difficiles dæmones.
Sola spes inter homines bonum est numen.
Spes enim est res pessima mortalibus, quæ multas ciuitates *Euripidis in Supplicibus.*
Commisit, nimis efferens animos.
Spes enim alit homines plurimos. *Sophoclis.*
Bono animo amice Batte uiuendum est, forte cras melius se res habebit. *Theocriti.*
Spes est inter uiuos: extra spem uero sunt defuncti,
Et Iupiter aliâs serenat, aliâs pluit.
Nihil insperatum: omnia uero speranda sunt. *Euripidis.*
At ego bene procedens, meumque iter, in loco decliui *Ex Bionis bucolicis.*

τήνω, ποτὶ ψάμαθόν τε καὶ ἠϊόνα ψιθυρίσδω,
λισσόμενος γαλάτειαν ἀπηνέα, τὰς δὲ γλυκείας
malim ἀπολείψω. ἐλπίδας ὑστατίῳ μέχρι γήραος οὐκ * ἀπολείψειν.

Δημοκρίτου. Ἐλπίδες αἱ τῶν ὀρθὰ φρονεόντων, ἐφικταί. αἱ δὲ τῶν ἀξυνέτων, ἀδύνατοι.

Διογένης ἐρωτηθεὶς, τί τῶν κατὰ τὸν βίον ἀκρότατον, ἔφη ἐλπίς.

Σωκράτους. Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοὶ, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.

Ἐπικτήτου. Οὔτε ναῦν ἐκ μιᾶς ἀγκύρας, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ἁρμοστέον.

Καὶ τοῖς σκέλεσι καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν.

Θαλῆς ἐρωτηθεὶς, τί κοινότατον; ἀπεκρίνατο, ἐλπίς. καὶ γὰρ οἷς ἄλλο μηδὲν, αὕτη πάρεστιν.

Ἀλλὰ πάντα μὲν ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ.

Σωκράτους. Οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἐλπὶς ἀγαθὴ χωρὶς πόνου, γεννᾷ τι χρήσιμον.

ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΕΛΠΙΔΑΣ,
ΛΟΓΟΣ ρθʹ.

Εὐριπίδου. Τίνας δοκεῖς ὦ τέκνον τὰς ἐλπίδας;
οὐκ ἡ τύχη σε. τῆς τύχης δ' οὐχ εἷς τρόπος.

Πατροκλέους. Καὶ νῦν τί δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη,
εἰς ὧδε μικρὸν τεῦχος ἤθροισεν τύχη.
τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην
δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους;
καὶ πάντα συννοοῦμεν ἐκπράξειν χερὶ,
πρόσω βλέποντες; τὴν δὲ πλησίον τύχην,
οὐκ ἴσμεν οὐδ' ὁρῶμεν ἀθλίου μόρου.

Εὐριπίδου. Πολλ' ἐλπίδες ψεύδουσιν αἱ ἄλογοι βροτούς.

Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς
φανεῖσα μᾶλλον, ἢ τὸ προσδοκώμενον.

al. Πολλὰ δ' ἀέλπτως. * Πολλ' ἄελπτα κραίνουσι θεοί,
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη.
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

Θάρσει. τάχ' ἂν γένοιτο. πολλὰ τοῖς θεοῖς
κἀκ τῶν ἀέλπτων δύσπορ' ἀνθρώποις τελεῖ.

Ἑκάβη. τὸ θεῖον ὡς ἄελπτον ἔρχεται
θνητοῖσιν, ἕλκει δ' οὔποτ' ἐκ ταυτοῦ τύχας.

Ὁρᾷς δ' ἀέλπτων μυρίων ἀναστροφάς.
πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον.
πολλοὶ δὲ λόγχας πολεμίων ἀμείνονες,
ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην.

Μενάνδρου. Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι.
πάντα δὲ τὰ μὴ προσδοκώμενα, ἔκστασιν φέρει.

Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια.

Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς, ἔτις αὐτὸν ἠνία, ἐν Κορίνθῳ διατρίβοντα, ἔλεγεν· ὡς μακάριοι οἱ ἐκ παίδων δυστυχεῖς.

Ὁμήρου. Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

Θεογνίδος. Πολλάκι παρ δόξαν τε καὶ ἐλπίδα γίνεται εὖ ῥεῖν
ἔργ' ἀνδρῶν· βουλαῖς δ' οὐκ ἔπισπε τὸ τέλος.

Τοῦ αὐτοῦ. Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου.

ἀλλ'

Isto, apud arenam & littus cantillo,
Duram obsecrans Galateam: dulcem uero
Spem ad extremam usq; senectutem non relinquam.

Spes rectè sapientium uoti compos fieri potest: insipientiū uero, impossibilis est. *Democriti.*

Diogenes interrogatus quidnam in uita extremum esset: Spes, dixit.

Spes mala, sicut malus uiæ dux, ad peccata ducit. *Socratis.*

Neq; nauim una solum anchora, neq; uitam una spe muniri oportet. *Epicteti.*

Vt crura, sic spem quoq; non amplius extendere conuenit, quàm fieri commodè potest.

Thales interrogatus, quid maximè commune esset: Spes, respondit:
Hanc enim etiam illi habent, qui aliud nihil.

Atqui hominem natum expectare oportet omnia.

Neq; mulier sine uiro, neq; bona spes absq; labore, utile quicquam parit. *Socratis.*

DE INSPERATIS EVENTIBVS, SERMO CIX.

TV uolucres ô fili spes persequeris, *Euripidis.*
Non fortuna te. Non unus autem fortunæ modus est.

Et nunc ista tam grauia multaq; uerba *Patrocli.*
In adeo breue uas fortuna collegit.
Quid tandem mortales multa temere minamur,
Dum alter aduersus alterum uehemens est dicendo:
Et omnia manu nos effecturos animo concipimus
Longè prospicientes: uicinam autem fortunam
Infœlicis fati non scimus, neq; uidemus.

Spes temerariæ plærumq; fallunt homines. *Euripidis.*

Ex rebus insperatis gratia maior hominibus
Apparet, potius quàm expectatis.

Multa præter spem faciunt dij, *Eiusdem in fine Medeæ, Andro. & Alcestid.*
Et sperata finem non attigerunt.
Insperatorum autem exitum Deus inuenit.

Bono sis animo. Fortassis ita fiet. Multa dijs
Facilia sunt, etiam quæ desperant homines.

O Hecuba, quàm insperatum accedit numen
Mortalibus, & fortunas nunquam eodem modo secum trahit.

Viden' quàm infinitæ res insperatæ contingant?
Multi tempestates effugêre marinas.
Multi suis hostibus in pugna præstantiores,
Postea uicti ab illis, meliorem fortunam nacti sunt.

Nemini dum uiuit dicere licet, hoc uel illud non patiar. *Menandri.*
Cæterum omnia non expectata reddunt attonitos.

Pindarus spes dicebat esse uigilantium somnia.

Dionysius amisso imperio in Corintho agens, si quis ipsi molestus esset, dicebat: Quàm beati sunt, qui à puero infœlices fuere.

Multa cadunt inter calicem supremaq; labra. *Homeri.*

Sæpe fit ut præter opinionem ac spem fine potiantur *Theognidis.*
Opera hominum: consilijs uero non obtigit finis.

Rebus omnibus imminent pericula, neq; nouit aliquis *Eiusdem.*
Quorsum euasurus sit in principio negotij.

ἀλλ' ὁ μὲν εὐδαιμονεῖν πειρώμενος, οὐ προνοήσας,
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
al. καλῶς, ego malim καλῶς. — τῷ δὲ † καλὸν ποιοῦντι, θεὸς * κατὰ πάντα τίθησι
συντυχίην † ἀγαθὴν, * ἔκλυσιν ἀφροσύνης.

* al. περὶ
† al. ἀγαθὴν.
* al. ἔκλυσιν.

ΟΤΙ ΟΥ ΧΡΗ ΕΠΙΧΑΙΡΕΙΝ ΤΟΙΣ ΑΤΥΧΟΥΣΙΝ.

ΛΟΓΟΣ ΕΚΑΤΟΣΤΟΣ ΔΕΚΑΤΟΣ.

Μενάνδρου. Ταῖς ἀτυχίαις μὴ ἐπίχαιρε τῶν πέλας.
πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον.
Οὐκ ἐμὸν ἀνοίγειν λανθάνουσαν ἀτυχίαν
ἐστ', ἀλλὰ κατακαλύπτειν φημὶ δεῖν.

Εὐριπίδου. Μὴ σκυθρωπὸς ἴσθ' ἄγαν πρὸς τοὺς κακῶς
πράσσοντας ἄνθρωπος γεγώς.
Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων
οὔπω πόθ' ὕβρισ' αὐτὸς ὀρρωδῶν παθεῖν.
Εἰ δ' ἐγὼ πράσσω κακῶς,
μηδὲν τὸ δ' αὔχει. καὶ σύ τοι πράξειας ἄν.
Εἰ μὴ γὰρ ὢν ἄνθρωπος ἀνθρώπου τύχαις
ἐπεγγελάσω, οὐ φανήσομαι φρονῶν.

Σοφοκλέους. Πρότερα δεινὰ μοι τὴν αἵρεσιν λάβοις,
Φίλους ἀνιᾶν αὐτὸς ἡδονὰς ἔχειν;
lego ξυνῶν. — ἢ κοινὸς ὢν κοινοῖσι λυπεῖσθαι * ξυνόν;

Ἰσοκράτους. Μηδενὶ συμφορὰν ὀνειδίσῃς. κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον.

Δημοκρίτου. Οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν· ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.

Χίλωνος. Ἀτυχοῦντι μὴ ἐπιγέλα. κοινὴ γὰρ ἡ τύχη.

Τῷ δυσπραγοῦντι δ' ἐπισφάχειν πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης.

forte ἀεὶ γέλων vel ἐγέλασαν. — Οὐδὲν ἐφ' ἅπαξ προσκυνοῦται, καὶ νυκτὶ δὲ χαίρουσιν ὁμοιοπαθῶς, * ἐγέλας τὰ πρόσωπα βιαζόμενοι.

Φιλήμονος. Λυπουμένῳ δ' ὅταν τις ἀκολουθεῖν λέγῃ
malim οἰμώζειν. — χαίρει. ἐξ ἀνάγκης οὗτος * οἰμώζειν λέγει.

Δημοσθένους. Ἐγὼ δὲ ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει παντελῶς ἀνόητον ἡγοῦμαι. ἣν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν εἰ τοιαύτη διαμενεῖ μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ;

Ἡροδότου. Ἄμασις Πολυκράτει ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα. ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσιν, ἐπισταμένῳ τὸ θεῖον, ὡς ἐστι φθονερόν. καί κως βούλομαι καὶ αὐτὸς, καὶ τῶν ἂν κήδωμαι, τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα, ἐναλλὰξ πρήσσων, ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας, ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα.

ΟΤΙ ΡΑΟΝ ΑΛΛΟΝ ΠΑΡΑΙΝΕΙΝ, Η ΕΑΥΤΟΝ,

ΛΟΓΟΣ ΕΚΑΤΟΣΤΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Sed alius dum conatur fieri clarus & assequi laudem, non prospiciens,
In magnum & difficile incommodum cadit:
Alij malè ac temere agenti, deus ubiq; indulget
Prosperum euentum, quo insipientiæ malum soluitur.

NON ESSE GAVDENDVM OB ALIENAS CALAMITATES.

SERMO CX.

NE gaudeas ob infortunia proximorum. *Menandri.*
Fortunæ enim reluctari difficile est.
Non meum est latentem calamitatem
Aperire, sed occultandam esse aio.
Ne nimium seuerus & grauis esto erga infœliciter *Euripidis.*
Agentes, cum homo sis.
Calamitatibus enim hominum infortunatorum
Nunquam insultaui, metuens ne quid etiam ipse patiar.
Quamuis autem ego sim infortunatus, *Eiusdem in Andromache.*
Ne propter id glorieris: Nam tu quoq; talis fieri potes.
Nisi, cum homo sim, humanis fortunis
Me accommodem, desipere uidebor.
Dic mihi primum, utrum malles *Sophoclis.*
Amicos molestando uoluptates habere solus:
Aut unà cum ipsis communi dolore affici?

Nemini calamitatem obieceris. Communis enim fortuna est, & quid futurum sit non liquet. *Isocratis.*

Quibus infortunia proximorũ uoluptati sunt, illi non intelligunt fortunę casus omnibus esse communes: & propriam gaudendi causam non habent. *Democriti.*

Infortunatum ne irriseris. Communis enim est fortuna. *Chilonis.*

*Infœliciter agenti quiuis condolere & unà suspirare promptus esto. Est autem suspirium, morsus doloris. *Huic sententiæ in Græco aliquid deesse uidetur.*

Ad iecur usq; non peruenit affectus, sed noctī similes gaudent, faciem ad risum cogentes.

Si quis tristantem aliquem secutus ei dixerit, *Philemonis.*
*Salue: necessariò lugere ipsum iubet. * χαῖρε, i gaude.

Ego illum planè stolidum iudico, qui cum homo sit, homini fortunam exprobrat. Quomodo enim conuenit de fortuna gloriari, uel eam obijcere alteri, illum qui ipse nesciat, an sibi constans uel ad uesperũ permansura sit, quamuis in præsentia se quàm optimè & fœlicissimè uitam agere putet. *Demosthenis.*

Amasis Polycrati ita inquit: Mihi quidem fœliciter agi cum uiro amico meo & hospite, audire uoluptati est: tamen tuæ magnæ prosperitates mihi non placent, qui intelligo quàm inuidum numen sit. Quod ad me attinet, malim tum meas ipsius, tum eorum qui mihi curæ sunt, res nunc prosperè ire, nunc contrà, & per uarias fortunæ uices æuum traducere, quàm in omnibus mihi prosperè cedere. Nullius eñ unquã mentionẽ audiui, qui ubiq; successus ex animi sententia habuerit, & tandẽ malè finiẽs nõ funditus sit euersus. *Herodoti lib. 3. historiarum.*

QVOD FACILIVS SIT ALIVM ADMONERE, QVAM SEIPSVM, SERMO CXI.

Εὐριπίδου. * Χαλᾶ μὲν οὐχί. δεῖ δὲ δυστυχοῦντί πως,
forte χαλᾷ. τερπνόν τὸ λέξαι, κἀποκλαύσασθαι πάλιν.
Συνάλγησον, ὡς ὁ κάμνων δακρύων μεταδοὺς
ἔχει κουφότητα μόχθων.
lego ἀμουσία τις. * Ἀμουσία τοι, μηδ' ἐπ' οἰκτροῖσι δάκρυ στάζειν.
al. φίλοις φρ. Σὺν τοῖς * φίλοισιν, ἡδὺ μὲν πράσσειν καλῶς.
al. ὃ μὴ γένοιτο δ', ἄν, τι τυγχάνοι κακόν. * εἰ δ' ἄρα συμβαίνοι τι δυσχερέστερον,
εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.
Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς,
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.
ὅς τις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνήρ,
lego μόνος παρ. * μέθῃ ἧς ταράσσει καὶ γαληνίζει φρένα
malim παραυτίκ' ἐσθλός. * παρ' αὐτὰ δ' ἐσθλός, ὕστερον στένει διπλᾶ.
Κουφοτέρως τότε φῶτα διαθλίβουσιν ἀνίαι,
Καλλιμάχου. ἐκ δὲ τεσσαράκοντα μοῖραν ἀφεῖλε μίαν.
Carmen est imperfectum. * ἢ ὅτ' ἂν ἄνδρα συνέμπορον, ἢ ὅτε κουφαῖς
ἄλγεα μὰψ αὔραις ἔσχατον ὀξερύη.
Σοφοκλέους. Ἀλλ' ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην,
ἀρήξατ' ἀσπαλθόντες εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.
Μενάνδρου. Ἀδίκησεν, καὶ μνήσθητε τοῖς εἰρημένοις
ἡμῶν ὑπό τινος ἢ πεπονθόσι κακῶς,
ἔστι καταφυγὴ πᾶσιν, οἱ χρηστοὶ φίλοι.
καὶ γὰρ ἐποδύρασθαί τι μὴ γελώμενον,
καὶ συναγανακτοῦνθ' ὁπότ' ἂν οἰκείως ὁρᾷ
ἕκαστος αὐτῶν, τὸν παρόντα παύεται
οὕτω μάλιστα τὸν χρόνον τῶν δυσφορῶν.
Φιλήμονος. Τίποτ' οὖν ἄρα δεῖ τι βούλεταί με ἰδεῖν;
ἢ καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα,
τὸν ἰατρὸν ἂν ἴδωσιν οὐκ ἀλγοῦσ' ἔτι,
οὕτως ἐπάν τις τυγχάνῃ λυπούμενος,
ἧττον ὀδυνᾶται, φίλον ἐὰν παρόντ' ἴδῃ.
Μενάνδρου. Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις.
Σοφοκλέους. Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή,
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.
Μενάνδρου. Μέγιστόν ἐστιν ἄρα τοῖς ἐπταικόσι,
τὸ παρόντας ἐγγὺς εὖ συναλγοῦντας βλέπειν.
addo τό. Τῷ μὲν * σῶμα διατεθειμένῳ κακῶς,
χρεί' ἐστὶν ἰατροῦ: δεῖ δὲ τὴν ψυχήν, φίλου.
Λύπην γὰρ εὔνους οἶδε θεραπεύειν φίλος.
Σωτίωνος ἐκ τῶν περὶ ὀργῆς. Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον.
νεαρωθείς, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.
καλῶς δὲ καὶ τοῦτ' εἴρηται.
λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλου:
ἔγαν δὲ μωραίνοντι νουθετήματα.
Τοῖς μὲν νοσοῦσιν, ἰατρούς: τοῖς δ' ἀτυχοῦσι, φίλους δεῖ παραινεῖν.
Φιλίππου ὀλυνθιακῷ. Οὐ χαλεπόν ἐστι δεῖ κακῶς διακειμένῳ,
εἰπεῖν τιν' ἰδιώτῃ μὴ κακῶς ἔχειν.

ἀνύ-

NOn quidem uacat. Sed nescio quomodo homini infœlici
Iucundum est narrare sua mala, & ea denuò deplorare. — *Euripidis.*
Condoleto. Nam æger lachrymis fusis,
Ab ærumnis leuatur.
Rusticitas quædam est ne in miserabili quidē fortuna lachrymas fundere.
Cum amicis prospere agere iucundum est:
Si quid autem, quod absit, mali contingat,
Viri beneuoli faciem coràm intueri iuuat.
Nullum est aliud hominibus remedium doloris,
Quàm boni & amici uiri adhortatio.
Si quis autem hac ægritudine laborans,
Solus perturbat & iterum componit animum,
In præsentia gaudens duplo postea dolore afficitur.
Leuius tunc hominem dolores affligunt, — *Callimachi.*
Et una pars ex multis aufertur,
Cum quis aut comiti suo, aut surdis
Auris dolores postremò quamuis temere narrauit.
Sed ô amici: huius enim gratia ueni, — *Sophoclis.*
Opem ingressi ferte, si quam potestis.
Tales enim amici sermonibus uincuntur.
Dercippe ac Mnesippe, quicunq; nostrum audiuerunt — *Menandri.*
Aut affecti sunt malè ab aliquo,
Omnibus confugium patet ad benignos amicos.
Nam cum absq; ludibrio casus suos lugere potest,
Et alium sibi condolentem familiariter uidet,
Vnusquisq; præsenti maximè,
Quò minus ægrè ferat, leuatur tempore.
Quid rei est, quod me uidere uult? — *Philemonis.*
An sicut ægrotantes in magno dolore,
Vbi uiderint medicum, non amplius dolent:
Ita cum quis tristitia laborat,
Minus habet mœroris præsentem intuitus amicum?
Suaue quid est amici sermo tristantibus. — *Menandri.*
Inest etiam uerbis quædam uoluptas, — *Sophoclis.*
Cum obliuionem inducunt malorum.
Plurimum potest apud infortunatos, — *Menandri.*
Præsentes sibi uidere qui condoleant.
Cui corpus malè affectum est,
Is opus habet medico: cui autem anima, amico.
Tristitiæ mederi nouit beneuolus amicus.
Nam consolatio maximum est remedium tristitiæ: — *Sotionis ex libro de ira.*
Luctum dispellens, iramq;, obliuio cunctis
Nascitur inde malis. Sed hoc etiam scitè dictum est.
Tristanti quidem gratus & iucundus amici sermo est,
Nimis autem desipienti, admonitionem & consilium præstat.
Medicos ægrotis, amicos infortunatis consulere oportet.
Non difficile est alicui malè affecto — *Philippi in Olynthiaco.*
Illum qui bene appetit cibum dicere, ne doleas:

πύκτην τ' ἐπιτιμᾶν, οὐδὲν ἔργον μαχομένῳ.
αὐτὸν δὲ μάχεσθαι, οὐκ ἔστι ῥᾴδιον.
ἕτερόν τι τὸ λέγειν ἐστὶ τοῦ πεπονθέναι.

Φιλήμων. Τοὺς ἰατροὺς οἶδ' ἐγὼ
Hi uersus etiã suprà citantur sermone 100. ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας, εἶτ' ἐπὰν πταίσωσί τι,
αὐτοὺς ποιοῦντας πάνθ' ὅσ' οὐκ εἴων τότε.
al. ἕτερον, τό, τ' ἀλ. * ἀλγεῖν, καὶ θεωρεῖν ἐστ' ἴσως.

Εὐριπίδης. Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας
πάντες διαιρεῖν, ἢ τύχας τὰς οἴκοθεν.
μηδέποτε πεῖραν τοῖς θεοῖς εὔχου λαβεῖν
φαίδιμε τούτου μηδενός, μὴ δ' εἰδέναι.
ὡς ἔστιν ἑτέρῳ ῥᾴδιον παραινέσαι.
ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.

Σοφοκλῆς. Τοὺς δ' αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ
τοιούσδ' ἴδοις ἄν, οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι.
ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρίν,
μάστιγ' ἐρείσῃ τοῦ βίου πάλιν τρέπειν,
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.

Εὐριπίδης. Οἶδ'· ἀλλὰ κάμπτειν τῷ χρόνῳ λύπας χρεών.
Χρ. Ἶσον δ' εἰπεῖν ῥᾷον, ἢ φέρειν κακά.
Οἴμοι. τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς;
τίς ἂν κλύων τῶνδ' οὐκ ἂν ἐκβάλοι δάκρυ;

Μοσχίων. Ἦν ἄρα πρανὸς αἶνος ἀνθρώπων ὅδε·
ὡς τὸν πέλας μὲν νουθετεῖν, βραχὺς πόνος,
αὐτὸν δ' ἐνεγκεῖν ὕβριν ἠδικημένον,
πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος.

ΕΠΑΙΝΟΣ ΓΗΡΩΣ, ΛΟΓΟΣ ριβ'.

Εὐριπίδης. Ω τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεις πρόσεστιν. ἀλλ' ἡ μπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
Ω παῖ, νέων τοι δρᾶν μὲν εὔτονοι χέρες.
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.
Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
ἀκόλαστα δ' ἤθη, λαμπρὰ συγγελᾶν μόνον,
μίσει. βραχεῖα τέρψις ἡδονῆς κακῆς.
Παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.
Τὸ γῆρας ὦ παῖ τῶν νεωτέρων φρενῶν
σοφώτερον πέφυκε, κἀσφαλέστερον.
ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.

Ἀλέξιδος. Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν,
τρόπον τιν' ἐστί. τὸν γὰρ οἶνον τὸν νέον,
πολλή γ' ἀνάγκη, καὶ τὸν ἄνδρ', ἐκζέσαι

Et pugilem increpari ab illo qui nullum certamen subeat.
Ipsum uero pugnare non est facile.
Adeò inter se differunt dictum & factum.
Medicos equidem scio *Philemonis.*
De abstinentia apud ægrotos quàm optimè
Omnes differere: si quid autem ipsis acciderit,
Ea tunc facere omnia, quæ prius alijs prohibebant.
Tum similis res est dolere & contemplari.
Omnes in discernendis & leuandis calamitatibus *Euripidis.*
Proximorum plus sapiunt, quàm domesticis fortunis:
Optandum est tibi à dijs ut nunquam periculum facias
O Phædime ullius huiusmodi rei, neq; cognoscas,
Quod facilius sit alterum admonere.
Monere facilius est, quàm sustinere patiendo.
Maximos & prudentissimos homines, *Sophoclis.*
Huic similes esse uidere licet,
Bene consulendo alicui infortunato:
Vbi uero fortuna uiri prius agentis prosperè
Consuetam eius uitam retrorsum egerit flagello,
Multa & prudenter dicta tunc inutilia sunt.
Scio: sed oportet dolores tempore flecti.
Oportet quidem: sed facilius est hoc dicere, quàm tolerare mala.
Hei mihi, quis est qui dolere nesciat ob mala?
Quis audiens ista non fundat lachrymas?
Celebre istud hominum dictum est, *Moschionis.*
Quod alium admonere labor sit modicus:
Iniuriam uero sibi ipsi illatam sustinere,
Omnium esse maximum inter homines onus.

LAVS SENECTVTIS, SERMO CXII.

O Fili: non omnia mala senectuti *Euripidis in Phœnissis.*
Adsunt Eteocles: Sed experientia senum
Plus sapientiæ demonstrare potest, quàm iuuenes.
O fili: manus quidem iuueniles ad agendum robustæ sunt:
Seniorum autem sententiæ præstant.
Tempus enim multam & uariam doctrinam parit.
Colloquia uero senilia diligas.
At mores lasciuos, qui solum ridendo splendent,
Oderis: non diu durat malæ uoluptatis delectatio.
Vetus hoc dictum est: opera quidem iuniorum,
Consilia autem seniorum uim habere.
Senectus ô fili iuuenilibus animis
Sapientior est, atq; tutior,
Et experientia uincit imperitiam.
Homo simillimus uino natura *Alexidis.*
Est quodammodo. Vinum enim nouum
Omnino necesse est, item uirum deferbere

πρώτιστον, ἀφυβρίσαντ', ἀκινήσαντα δὲ
σκληρὸν γενέσθαι, καὶ καταστῆναι πάλιν,
ἡ δ' αὖθ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

Σοφοκλέους. Γῆρας διδάσκει πάντα, καὶ χρόνου τριβή.

Κράτητος ἐξ ἀντιφάνους. Ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα,
malim οὗ. * ᾧ μὴ τυχόντι, θάνατος ἔσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν: ἂν δ' ἔλθῃ ποτέ,
ἀνιώμεθ'. οὕτως ἐσμὲν ἀχάριστοι φύσει.
τὸ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

Αἰσχύλου. Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.

Εὐριπίδου. Γηράσκει δ' ὁ γέρων καιρὸς ἐλαφρότερον,
κοῦροι τὸν φιλέουσι: νέοι δέ μιν, οἷα τοκῆα,
χειρὸς ἐπ' οἰκείην ἄχρις ἄγουσι θύρην.

Τηρεῖν μὲν ἐσθλοὺς οἱ γέροντες δυνάμεθα,
ἡμᾶς δ' ἀναλαβεῖν ὃν ἔχουσιν οἱ νέοι.

Ἱπποθόου. Γαυρολόγοι πολιοὶ * τὰς γήρας ἄνθεα θνατοῖς.

forte τ γήρως. Γῆρας λεόντων, κρεῖσσον ἀκμαίων νεβρῶν.

Σοφοκλέους. Σοφόν γέ τοι τι πρὸς τὸ βουλεύειν ἔχει,
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ μαθόν.

Καί περ γέρων ὤν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὠ νοῦς ὁμαρτεῖν, καὶ τὸ βουλεύειν ἃ δεῖ.

Ἐκ τῶν φαβωρίνου. Οὐδὲ γὰρ τοῦτο ἐάσω ἄρρητον, ὅτι καὶ Πλάτωνι καὶ Πυθαγόρᾳ δοκεῖ τὸ γῆρας οὐκ ἐπ' ἐξόδῳ τοῦ βίου εἶναι, ἀλλ' ἐπ' ἀρχῇ μακαρίας ζωῆς.

Πλουτάρχου. Νέοις δὲ ζηλωτοὶ οἱ γέροντες, κατὰ Σιμωνίδην.
ἄθαλος ἵππῳ πῶλος ὡς ἅμα τρέχων.
καθάπερ φησὶν ὁ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου, μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι.

Δημοκρίτου. Ἰσχὺς καὶ εὐμορφίη, νεότητος ἀγαθά: γήρας δὲ, σωφροσύνης ἄνθος.

Πλάτωνος. Τέλος δ' ἐπειδὰν τῶν περὶ τὸν μυελὸν τριγώνων, οἱ συναρμοσθέντες μηκέτι ἀντέχωσι
al. ναῦς. δεσμοί, τῷ πόνῳ διϊστάμενοι, μεθιᾶσι τοὺς τῆς ψυχῆς αὖ δεσμούς. ἡ δὲ, * λυθεῖσα κατὰ φύσιν μεθ' ἡδονῆς ἐξέπτατο. πᾶν γὰρ, τὸ μὲν παρὰ φύσιν, ἀλγεινόν. τὸ δὲ ᾗ πέφυκε γιγνόμενον, ἡδύ. καὶ θάνατος δὴ κατὰ ταῦτα, ὁ μὲν κατὰ νόσους καὶ ὑπὸ τραυμάτων γιγνόμενος, ἀλγεινὸς καὶ βίαιος: ὁ δὲ μετὰ γήρως ἰὼν ἐπὶ τέλος κατὰ φύσιν, ἀπονώτατος τῶν θανάτων, καὶ μᾶλλον μεθ' ἡδονῆς γιγνόμενος, ἢ λύπης.

Δημοκρίτου. Ὁ γέρων νέος ἐγένετο: ὁ δὲ νέος ἄδηλον, εἰ ἐς γῆρας ἀφίξεται. τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος, εἰ καὶ ἀδήλου, κρεῖσσον.

Ἐκ τῶν φαβωρίνου. Ἡδονῆς γὰρ ὁ μὲν ἑκὼν εἰργόμενος, σοφός: ὁ δὲ μὴ δεόμενος, μακάριος. τὸ δὲ γῆρας πρὸς ἀμφότερα ἐπιτήδειον. καὶ γὰρ φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται, καὶ τῶν ἡδέων ἀμελεστέρους.

Ἄξιον δέ ἐστιν εἰς τὸν περὶ τῆς ἡδονῆς λόγον προσελθόντα, μηδὲ ἐκείνην ἀμνημόνευτον ἐᾶσαι, τὴν παρὰ πᾶσι τοῖς νῦν ἔχουσιν εὐδοκιμοῦσαν, ἣν ἡδονὴν ὀνομάζουσι, καὶ χαρὰν, καὶ τέρψιν. περιγίνεται δὲ ἐκ τῶν καλῶν μαθημάτων, καὶ τῶν ἐνδόξων κατορθωμάτων. ἀμφοτέρων δὲ τούτων
lego ὑπάρχει. ὑπάρχει τῷ γέροντι πρὸς ἑαυτὸν ἀναμιμνήσκεσθαι, καὶ καθάπερ κτήμασι * τέρπεσθαι, λογιζόμε-
malim τ ἄπαν. νον, ὅτι ἡ τύχη ἡ πάντων κυρία * τούτων, ταῦτα ἄκυρός ἐστιν ἀφελέσθαι.

Ὁ Βοιώτιος ἐντυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη, ἐπάρας τὸ σκέλος ἀπεμάταισε, καὶ παρῆλθεν, ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν, ὥστε καὶ πολυχρηματίας ἅμα παύει τὸ γῆρας, καὶ πολυπραγμοσύνης.

Σκέψασθε

Primum, deinde ab iniurijs & malis repurgatum
Confirmari & rursus componi,
Et omnibus deinceps suauem fieri.

Senectus omnia docet, moraque temporis. *Sophoclis.*

Exprobrasti mihi senectam ceu magnum malum, *Cratetis ex Antiphane.*
Quam qui non assecutus fuerit morte mulctatur,
Quam omnes desyderamus. At si quando uenerit,
Aegrè ferimus: adeò ingrati naturæ sumus.
Nullus enim tam diligit uitam, quàm qui senescit.

Senectus enim iustior est iuuenta, *Aeschyli.*
Multò leuius senex ille senescit,
Quem adolescentes amant: & iuuenes ipsum, ueluti patrem,
Manibus deducunt ad proprium usque limen.

Nos senes alios obseruare possumus,
Et uicissim aliquid eorum accipere, ijsque frui, quæ iuuenes habent.

Cani non loquaces senectæ flores sunt inter homines. *Hippothol.*

Leonum senectus melior est uigentibus hinnulis.

Sapiens est consilijs *Sophoclis.*
Senectus, ut quæ multa uiderit atque didicerit.

Quamuis senex: solent enim senilem ætatem
Mens etiam, & opportuna consilia sequi.

Nam hoc etiam non tacebo, quod Platoni & Pythagoræ uideatur, senectutem non tam esse iuxta finem uitæ, quàm iuxta principium bene beateque uiuendi. *Ex Phauorini scriptis.*

Iuuenes decet ut æmulentur seniores, iuxta Simonidem, *Plutarchi.*
Vt lactens pullus cursum comitatur equai.
Et ut Plato inquit de mero aquæ miscendo, deū furentē ab alio deo sobrio tēperari.

Robur & forma corporis bona sunt: senectus autem flos est temperantiæ, & prudentiæ. *Democriti.*

Finis uerò tunc obuenit, quando triangulorū illorū ex quibus medulla conficitur, olim coaptata uincula, nihil amplius nectunt, sed defatigatione iam relaxata nexus animæ deferunt. Anima uerò clàm secundum naturā cum uoluptate protinus euolat. Quicquid enim contra naturam fit, molestum: quod autem pro rei natura, iucundum. Similiter & mors, quam morbi & uulnera intulerunt, uiolenta est atque molesta: quę uerò senio paulatim ad finem deducente naturaliter surrepit, inter omnia mortis genera leuissima est, & cum uoluptate potius quàm dolore contingit. *Platonis in Timæo.*

Senex fuit iuuenis aliquando: An uero iuuenis futurus sit olim senex, incertum est. Perfectum igitur bonum futuro, præsertim incerto, præstantius est. *Democriti.*

Qui sponte à uoluptate recedit, sapiens est: qui uero ipsam prorsus non desyderat, beatus. Senectus autem istorum utrique idonea est. Nam & prudentiores homines, & iucundorum negligentiores reddit. *Ex Phauorini scriptis.*

Porrò conuenit postquam in mentionem de iucundis incidimus, ne illam quidem silentio præterire, quam uocant uoluptatem, & gaudium, & oblectationem. Oritur autem ex disciplinis egregijs, & insigni successu clarisque facinoribus. Horū utriusque apud se reminisci occasio senibus est, & tanquam peculijs delectari, cogitantibus quod fortuna omnium aliorum domina, hæc solum auferre non possit.

Bœotius cum iam natus annos plus quàm septuaginta thesaurum reperisset, sublato crure ipsum contempsit, & præteriuit, ut qui nō amplius usui sibi futurus esset. Ita senectus animum & tranquillum reddit, & multæ pecuniæ studium ac impensas adimit.

Αἰσχίνου. Σκέψασθε δεῖ καλῶς (οἶμαι ὁ νομοθέτης) ὅτι οἱ πρεσβύτεροι τότε μὲν τῷ φρονεῖν ἀκμάζουσιν· ἡ δὲ τόλμα, ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν, διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων.

Ἰωάννου. Μέτειμι δὲ ἤδη τὴν * ἑαυτοῦ γνώμην, ἡγούμενος τοὺς μὲν πρεσβύτας διά τε τὸν χρόνον
malim ἑαυτοῦ. αὐτὸν, καὶ διὰ τὴν τῶν κατὰ τὸν βίον ἔργων ἱστορίαν καθαρεύειν ἁμαρτημάτων· τοὺς δὲ αὖ νέους ἐμποδίζεσθαι πρὸς τἀγαθά, διά τε ῥώμην σώματος, ᾗ πιστεύοντες αἴρονταί πως ἤδη πολέμους καὶ πλεονεξίαν· διά τε ἀμελετησίαν τῶν ξυμφερόντων. καὶ δὴ παρίσταταί μοι μάρτυς τῶν λεγομένων, Ἀθηναῖος Σόλων, νομοθετήσας μήτε ἄρχειν τὸν σφόδρα νέον, μήτε ξυμβουλεύειν, εἰ καὶ ἄριστα δοκοίη γνώμης ἔχειν. τὸ μέν τοι τῶν ἐπιθυμιῶν ἐστερῆσθαι τοὺς γέροντας, μηδὲν ὑπ' αὐτῶν ἔτι παρενοχλουμένους, μέγιστον δὴ τοῦτο καὶ πρεπωδέστατον ἡγοῦμαι δεδόσθαι τοῖς ἀνθρώποις δῶρον ὑπὸ τῶν θεῶν, καὶ κατά τινα τῆς αὐτῶν ἐκείνων φύσεως ὁμοιοῦσθαι. οἱ μὲν γὰρ, οὐ σῖτον ἔδουσιν, οὐδὲ πίνουσιν αἴθοπα οἶνον· οἱ δὲ, τοῦ περιττοῦ καὶ ἐνοχλοῦντος ἀπεχόμενοι, κατ' οὐδὲν τῆς χρήσεως αὐτοῦ δέονται, τῆς μὲν ἐνδείας ἐκπεφευγότες τὸ λυπηρόν· τοῦ δὲ αὐτάρκους αὐτοῖς προσάγοντος ἡδονήν. καὶ γὰρ τὸ πεπαῦσθαι τῆς κατὰ τὰ ἀφροδίσια ὁρμῆς τε καὶ ὀρέξεως, ὦ Ζεῦ, μέγα ὄφελος φαίην ἂν, καὶ μανίας καὶ λύπης ἀπόρρευσιν· ὁπότε τῆς μὲν ψυχῆς τὸ ἀλόγιστον δὴ καὶ ἐπιθυμητικὸν εὐθὺ διαφυγὸν πονηροὺς δεσπότας· τὸ δὲ λογιστικὸν ἀπολαύει, διὰ τῆς ὄψεως τῆς κατὰ τὸ κάλλος ἡδονῆς. καὶ γὰρ θαυμάσεται τὸν τούτου κύριον ὁ γέρων, καὶ προσιόντα καθάπερ υἱὸν ἀσπάσεται, καὶ παιδεύσει κατὰ τὸν Σωκράτους
malim ἂν ἐκεῖ δι ἄλλω. νόμον, ὥσπερ * ὁ Ἀλκιβιάδης ἐκεῖνος· τῶν δὲ περιττῶν καὶ ἀκολάστων, οὐδὲ μεμνήσεται. καὶ ὅλως ὦ φίλε σκόπησον ἤδη πάντων πραγμάτων αὐτὸ δὴ τοῦτο, ὡς ἄρα τὸ μὴ ἐθέλειν μετὰ σπουδῆς ὁτινοσοῦν τυγχάνειν, δι' ἁμαρτίας ἑπομένης λύπην ἐπάγει· τὸ δὲ ἀπόνως καὶ ἀνενδεῶς διακεῖσθαι, μίμησίν τινα ἐμποιεῖ τῆς θείας σωφροσύνης. τουτὶ δὲ ἔτι σοι σαφέστερον ἐξηγήσομαι, πρὸς τὰ ἐγκλήματα τοῦ γήρως, ἃ πεποίησαι μικρῷ πρόσθεν, ἀποκρινόμενος. καὶ γὰρ ἧττον ἐσθίων, ἢ πίνων ὁ πρεσβύτης, ἀφροδισίων τε ἀπεχόμενος, ὥσπερ τις ἱεροφάντης ἀλύπως διάκειται καὶ ἀνενδεῶς, τὸ πρὸς σωτηρίαν χρήσιμον προσαγόμενος, ἀπολείπων σοι τῷ νέῳ δι' ἀμαθίαν καὶ ἄγνοιαν τὰ νομιζόμενα περισπούδαστα. μακάριζε τὸν τῶν μὲν ἀνθρωπείων κακῶν ἀπηλλαγμένον, ἄγοντα δὲ σχολὴν ἤδη τοῖς κατὰ ἀλήθειαν καλοῖς καὶ ἀγαθοῖς. ὁπότε δὲ πτωχὸν δὴ λέγοις καὶ ἀνάπηρον, καὶ παρειμένον τὸν γέροντα, μέμνησο ὡς ταῦτα δὴ τὰ παθήματα, οὐ μόνον γήρως ἔργα, μυριάκις δὲ ἔκ τινος τύχης ἐπιπαραγίνεται καὶ τοῖς νέοις. ταῦτα δὲ τὸν μὲν ἐν ἀκμῇ τῆς ἡλικίας διάγοντα, βαρέως οἶμαι φέρειν· τὸν δὲ πρεσβύτην ἐν δυσμαῖς ὄντα τοῦ βίου καὶ δυστυχοῦντα ἧττόν τις ἡγήσεται βλάπτεσθαι τῷ φρονεῖν. ἀλλὰ μὴν ταυτὶ τὰ δοκοῦντά σοι δεινά πως εἶναι καὶ ἄφυκτα, κουφίζουσι μὲν καὶ φίλων καὶ οἰκείων ἐπικουρίαι· μάλιστα δὲ ὁ κατὰ φιλοσοφίαν λόγος, ὃν δεῖ πιστεύειν τοῖς μετιοῦσιν αὐτὸν, χειραγωγόν τε εἶναι καὶ φύλακα, καὶ πλοῦτον, καὶ φῶς. καταγελάσας δὲ μικρῷ πρόσθεν τοῦ εἰρημένου περὶ τῆς τῶν γε-
Videtur aliquid deesse. ρόντων δυσμορφίας. * οὐ γὰρ ἤδη κάλλει κριθησόμενον τὸ γῆρας πρὸς τὴν νεότητα παρήγετο, οὐδ' ὥσπερ ὑπό τινων ἐμπόρων ἢ ἐραστῶν, μορφαί τινων ἐδοκιμάζοντο τῶνδε. ὅμως ἵνα μὴ δοκοίην τὰ πρόδηλα ταῦτα ὑπολείπειν, ὑπομνήσω σε· ὅτι τὸ μὲν νέον, ὥρα τις καὶ ἀκμὴ κατακοσμεῖν ἔοικεν, τό, τε τοῦ σώματος ἄνθος λήγει, ἅμα τῷ χρόνῳ. τὸ δὲ ἀληθὲς κάλλος, ὅπερ ἐκ θείας κοινωνίας ἔχει τὴν ἀπόρροιαν, καὶ ἦλθεν ἐπί τινας· τοῦτο δὲ, οὔτε πόνος ἢ λιμὸς, ἢ ἀμέλειά τις, ἀλλὰ μὴν οὐδὲ ὁ πολὺς χρόνος δύναται ἀμαυρῶσαι, συγγινόμενον δὲ ὁτῳοῦν καὶ συντραφὲν, οὐκ ὤφθη πώποτε θᾶττον ἀπαλλαγὲν τῆς ἐκείνου ψυχῆς. ὥσπερ δὲ ἔν τινι ἀγαθῇ γῇ, φυτὸν ἀειθαλὲς ὂν ἀνίησι τοὺς καρποὺς καὶ φυλάττει πολυχρονίους, οὕτω δὲ καὶ παιδὸς ἀψάμενον ὑπὸ τῆς ὥρας, νεανίσκῳ τε συμπαρομαρτεῖ, καὶ γηράσκοντος, οὐκ ἀπολείπεται. αὐτίκα ἔστιν ἰδεῖν τοὺς πλείστους γέροντας, οὐ μόνον σεμνότητι κατὰ τὸ σχῆμα, καὶ βαδίσματι πράῳ κοσ-
ἀλλὰ μόνον μουμένους, οὐδὲ φωνῇ * καθάπερ που Ὅμηρος εἶπεν ἤδη τῶν γερόντων, ἡδείᾳ, καὶ τῇ τῶν τεττίγων λειριοέσσῃ χρωμένους· ἀλλὰ δὴ καὶ τὸ εὐπρεπὲς παραμένει αὐτοῖς. ὥστε καὶ κατὰ ἀγορὰν, καί που ἐν θεάτροις ὀφθέντες, οἷα δὴ ἐν ἀγέλῃ βοῶν καὶ ἵππων, οἱ δοκοῦντες ἄρχειν τῆς ἀγέλης, τὸ εὐπρεπὲς παρέχουσι δῆλον τοῖς ἁπάντων ὀφθαλμοῖς. μάλιστα δὲ ἐν τοῖς ἱεροῖς θυόντων ἐστεφανωμένοι, περιβλεπτότεροι τῶν ἱερῶν γίνονται. ὅ, τι νόμος αὐτοὺς

Diligenter consyderandũ est (ut legislatori uidetur) q̃d seniores prudentia quidẽ uigent: audacia uero iam ipsos destituere incipit, propter experientiam rerum. *Aeschinis.*

Ad meam sententiam explicandã me confero, existimans senes propter longum tempus, & rerũ per uitã actarũ experientiam, erroribus non obnoxios esse: iuuenibus aũt impedimento esse ad bona, tũ uires corporis, quibus illi freti temere bellum capessunt, & maiora appetunt: tum inconsyderationẽ rerũ utiliũ. Atqui fuerit mihi testis illorũ, quę dixi, Solon Atheniensis, qui lege sanxit ne quis admodum iuuenis ad magistratum aut consultationes admitteretur, quamuis prudentissimus esse uisus. Cæterũ quod à cupiditatibus senes immunes sunt, & nihil amplius ab eis turbantur, hoc maximũ & pulcherrimum à dijs donum hominibus esse datum reor, per quod diuinæ naturæ quodammodo similes fiant. Nam dij, Non comedunt fruges, non potant feruida uina: Senes autem à superfluis & molestis abstinentes, ipsorum usu nihil egent, indigentię molestijs liberati, & frugalis animi rebusq́ue suis contenti uoluptate fruentes. Etenim ab impetu & appetitu in Venerem ruente seiunctum esse, dij boni quanta utilitas, & furoris molestiæq́ue amissio dicenda est: quo tempore bruta & cupiditatibus obnoxia pars animæ sopita improbos dominos effugit: rationalis uero pars oculis animę pulchritudinis uoluptate fruitur. Hac enim pręditũ admirabitur senex, & accedentẽ ueluti filium amplectetur, & secundum Socratis legem instituet, ut Alcibiadem ille: inutilium aũt & lasciuarum rerum mentionem omnino faciet nullam. In summa ô amice, in quauis re istud considera, quod cupiditas aliquid serio assequendi, si frustratio sequatur, tristitiam inducat animi: uero affectus, qui sine labore dolore ac indigentia fuerit, diuinæ moderationis imitationem quandam exprimit. Sed clarius hoc tibi exponam, responsurus ad ea, quibus tu senectutem paulò antè accusasti. Minus etenim edens aut bibens uir senex, & abstinens Venere, tanquam sacerdos quidam nullius rei gratia dolens aut indigus uitam agit, salutifera sibi usurpans: ea uero quæ propter inscitiam & ignorantiam magni facienda putantur, tibi iuueni relinquens. Quin igitur beatum prędices illũ, qui ab hominũ malis liber est, ueris aũt pulchris bonisq́ue uacat. Cum uero mendicum appellas, oblæsum artubus, & resolutũ senem, memineris hæc incõmoda non à senectute solum, sed etiã uobis iuuenibus ab aliqua fortuna multoties inferri. Sed hæc eadem ægrius ab illo, cuius ætas uiget, ferri opinor: senem uero, cuius uita iam ad occasum uergit, minus affici & lædi infortunijs prudens aliquis existimauerit. Quinetiam ista, quæ tibi adeo molesta uidentur ac ineuitabilia, amicorum & familiarium auxilijs leuãtur, maximè aũt philosophiæ ratione, quam sui studiosis ducẽ, custodẽ, diuitias, & lucẽ esse credendũ est. Porrò cum tu paulò ante senilem deformitatem irriseris, (nunc tibi respondebo.) non enim de pulchritudine corporis certatura senectus iuuentuti introducta est, nec ut formæ utriusq; tanquam à mercatoribus quibusdam aut amatoribus examinentur: Ne tamen hæc manifesta omittere uidear, admonitum te uolo, quod iuuentus quidem pulchritudine quadam & uigore splendet: sed flos ille corporis tempore aboletur. Vera autem pulchritudo, quæ defluxionem suam diuinitus communicatam habens aliquibus se insinuauit: hæc inquam nullo morbo, non fame, aut neglectu aliquo, neq; longitudine temporis obliterari potest: Sed quo cum nata & aucta fuerit, illius animam nunquam reliquisse uisa est. Ac ut in bona aliqua tellure consita stirps semper uegeta fructus parit, & diu seruat: sic pulchritudo puerili ætati insita, adolescentem quoque comitatur, & senem non deserit. Quippe senes plærosq; uidere est, non modo grauitate uultus, & incessu leni ornatos, nec solũ uoce, ut Homerus alicubi de senibus dicit, suaui & instar cicadarum florida utentes: uerum & decus quoddam eis adest. Itaque siue in foro siue in theatris uideantur, quemadmodum existimati duces inter boum & equorum armenta, decoram grauitatem quandam omnium oculis conspicuam exhibent. Imprimis autem ubi coronati sacra faciunt, oculos hominum in se conuertunt, sic ut ipsi magis quàm sacrificia spectentur. Quinetiam lex

Iunci.

Homerus.

Notata parenthesi non sunt in Græco.

ἱκανοὺς χειροτονεῖ τῇ ἀθλωᾷ, ὥς φησι Ξενοφῶν ὁ φιλόσοφος, θαλλοφόρους. μέτειμι δὲ ἐκ τοῦ παρόντος λόγου, καίτοι πλεῖον ἴσως τοῦ προσήκοντος ἐνδιατρίψας αὐτῷ, ἤδη τὸν εἰρημένον ὑπὸ σοῦ τελευταῖόν τε καὶ ὥσπερ ἀνανταγώνιστον. ἐδόκει γάρ πως οὗτος ἐνίους τῶν παρόντων ταράττειν ἅμα τε καὶ λυπεῖν. ἐπειδὴ καὶ προσηκάμενος τοῦ παντὸς ἀγῶνος καὶ τῆς χλεύης, τὸν περὶ τοῦ θανάτου φόβον ἤλπισας ἐκπλήξειν οὐδὲν ἧττον κἀμὲ τὸν ἀντιλέγοντά σοι. ἀλλὰ μὴν τὸ κοινὸν τοῦ θανάτου τέλος, καὶ ὅτι οὐδεὶς ἐπ' αὐτῷ νόμος ἢ χρόνος ὑπὸ τῶν θεῶν γέγραπται, ἴσον οἶμαι ποιεῖ τὸ πρᾶγμα τοῖς νέοις καὶ τοῖς γέρουσιν. ἀλλ' ὁ μὲν γέρων προλαβὼν τἀγαθὰ, καὶ πλείονι χρόνῳ διατρίψας ἐν αὐτοῖς, μένει μὲν καὶ τῷ παρόντι βίῳ προσέχων

Locus non est integer. — malim τελευτήσας

τῆς τελευτῆς μεμνημένος, ὧν τε εἶδεν, ὧν τε μετέσχε καθ' ἡδονήν. * ὁ δὲ, ἤδη τοῖς θαῤῥεῖν ὡς ἐπ' αὐτὰ ἀφιγμένος, οὐδ' ἐν ἀκμῇ τῆς ἡλικίας, * τελευτήσαντας. ἀνάγκη γὰρ τελευτᾶν καὶ νέους, ἄπειρός τε τῶν ἡδέων, καὶ ἀπλήρωτος ἐν τοῖς ὁμοίοις ἐστί. δοκεῖ δέ μοι ἑκάτερος αὐτῶν ἐοικέναι τοῖς ἀγωνιζομένοις δρόμον, ἢ τοῖς πλέουσι. καὶ ὁ μὲν διελθὼν τὸ μέγα πέλαγος, ὅπερ ἂν λέγοι τὸν βίον, κατάρας ἐπί τινα λιμένα τοῦ κυβερνήτου κελεύσαντος, ἀπέβη τῆς νεὼς, ἤ που διαγωνισάμενος ἐν τῷ σταδίῳ, καὶ τοῦ στεφάνου τυχὼν, ἀπετάττετο τοῖς ἀγῶσιν. ὁ δ' ἕτερος ἐν μέσῳ τῷ πόρῳ τῆς θαλάττης, διεφθάρη, μὴ ἐλθὼν τὸν προκείμενον αὐτῷ πλοῦν, ὑπὲρ οὗ πολλάκις ηὔξατο· ἤ που τρέχων ἐν τῷ σταδίῳ, καταπεσὼν, ἀστεφάνωτος ἐξεκομίσθη.

Ἀρχύτα Πυθαγορείου· ἐκ τοῦ περὶ ἀνδρὸς ἀγαθοῦ, καὶ εὐδαίμονος.

Παραπλησίως δὲ καὶ γῆρας ἔχει ποτὶ νεότατα. καὶ γὰρ ἁ μὲν νεότας, ἐγχειρητικῶς, τὸ δὲ γῆρας προνοατικῶς· καὶ μηδέποκα ἀφύλακτον αὐτὸ ἀφιέμεν διανοίας, ἀλλὰ καὶ τί πράσσει, καὶ τί πέπρακται ἐπισκοπεῖ. ἵνα τὰ μὲν μέλλοντα τοῖς παρεόντεσσι σταθμευόμενος: τὰ δ' ἐνεστακότα τοῖς παρῳχημένοις, αὐτὸς αὑτὸν διορθοῦν δύνηται: ποτὶ μὲν τὸν παροιχόμενον, τὰν μνάμαν ἐφαρμόζων: ποτὶ δὲ τὸν παρεόντα, τὰν αἴσθησιν: ποτὶ δὲ τὸν μέλλοντα τὰν πρόνοιαν. ἐστὶ γὰρ ἀεὶ μνάμα μὲν ἁμῖν τῶ παρεληλυθότος χρόνω: πρόνοια δὲ τῶ μέλλοντος: αἴσθασις δὲ, τῶ παρεόντος. διὸ δὴ δεῖ τὸν ὀρθῶς καὶ καλῶς βιοτεύειν μέλλοντα, μὴ μόνον αἰσθατικὸν καὶ μναμονικὸν, ἀλλὰ καὶ προνοατικὸν ἦμεν.

Θεμιστίου. Καίτοι περί γε τῶν γερόντων ὁ Σοφοκλῆς εἴρηκε χαριέντως.

σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.

Occasionem sumit ex uerbo εὐνάζει.

* καταγωγῇ γὰρ ἔοικεν ὁ γεροντικὸς θάνατος. ἐκβολὴ δὲ καὶ ναυάγιόν ἐστιν ὁ τῶν νέων. ἐκπίπτει γὰρ ἡ ψυχὴ βίᾳ συντριβομένου τοῦ σώματος.

Παρμενίδου. Γῆρας γίγνεσθαι, παρὰ τὴν τοῦ θερμοῦ ὑπόλειψιν.

Πλάτωνος. Ὡς εὖ ἴσθι, ὅτι ἔμοιγε ὅσον αἱ ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. μὴ οὖν ἄλλως ποίει, ἀλλὰ τοῖσδέ τε τοῖς νεανίσκοις ξύνισθι· καὶ δεῦρο παρ' ἡμᾶς φοίτα, ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους. καὶ μὴν, ἦν δ' ἐγὼ, ὦ Κέφαλε. χαίρω γε διαλεγόμενος τοῖς σφόδρα πρεσβύταις. δοκεῖ γάρ μοι χρῆναι παρ' αὐτῶν πυνθάνεσθαι ὥσπερ τινὰ ὁδὸν προεληλυθότων, ἣν καὶ ἡμᾶς ἴσως δεήσει πορεύεσθαι, ὁποία τίς ἐστι, τραχεῖα καὶ χαλεπὴ, ἢ ῥᾳδία καὶ εὔπορος. καὶ δὴ καὶ σοῦ ἡδέως ἂν πυθοίμην, ὅ, τι σοι φαίνεται τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας, ὃ δὴ ἐπὶ γήραος οὐδῷ φασιν εἶναι οἱ ποιηταί· πότερον χαλεπὸν τοῦ βίου, ἢ πῶς σὺ αὐτὸ ἐξαγγέλλεις. ἐγώ σοι, ἔφη, νὴ τὸν Δία ἐρῶ ὦ Σώκρατες οἷόν γέ μοι φαίνεται. πολλάκις γὰρ συνερχόμεθά τινες εἰς ταυτὸ, παραπλησίαν ἡλικίαν ἔχοντες, διασῴζοντες τὴν παλαιὰν παροιμίαν. οἱ οὖν πλεῖστοι ἡμῶν ὀλοφύρονται ξυνιόντες, τὰς ἐν τῇ νεότητι ἡδονὰς ποθοῦντες, καὶ ἀναμιμνησκόμενοι περί τε τὰ ἀφροδίσια, καὶ περὶ πότους τε καὶ εὐωχίας, καὶ ἄλλα ἄττα, ἃ τῶν τοιούτων ἔχεται, καὶ ἀγανακτοῦσιν ὡς μεγάλων τινῶν ἀπεστερημένοι, καὶ τότε μὲν εὖ ζῶντες, νῦν δὲ οὐδὲ ζῶντες. ἔνιοι δὲ καὶ τὰς τῶν οἰκείων προπηλακίσεις τοῦ γήρως ὀδύρονται, καὶ ἐπὶ τούτῳ δὴ τὸ γῆρας ὑμνοῦσιν, ὅσων κακῶν σφίσιν αἴτιον. ἐμοὶ δὲ δοκοῦσιν ὦ Σώκρατες οὗτοι, οὐ τὸ αἴτιον αἰτιᾶσθαι. εἰ γὰρ ἦν τοῦτ' αἴτιον, κἂν ἐγὼ ταυτὰ ταῦτα ἐπεπόνθειν ἕνεκά γε γήρως, καὶ οἱ ἄλλοι πάντες ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. νῦν δὲ ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσι καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· πῶς ἔφη ὦ Σοφόκλεις ἔχεις πρὸς τὰ ἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίνεσθαι; καὶ ὅς, εὐφήμει ἔφη,

eos iubet, Xenophonte philosopho teste, in Mineruę honorem olearum gestare ramos. Sed relicto hoc sermone, cui forte plus satis immoratus sum, ad illa quæ abs te ultimo loco, ceu quibus contradici nõ posset, dicta sunt, transeo: Videbantur enĩ ea præsentium nonnullos turbare simul & afficere molestia. Quin & tu ipse, qui actionem totam & senectutis subsannationem in te recepisti, mortis metum non minus etiam mihi, qui tibi contradico, quàm alijs, terrori futurũ existimasti. Verum enimuero cõmunis exitus mortis, & nulla lex de ipsa, neq; certum tempus à dijs præscriptum, æqualẽ opinor & iuuenibus eam reddunt & senibus. At senex quidẽ ubi iam antea fructũ ex bonis cepit, & diutius cũ eis moratus est, facilius sustinet finẽ in præsentia superuenientem, memor illorum quæ superiori tempore uidit, & cum uoluptate eis fruitus est. Contrà iuuenis illorũ quæ se consecuturũ sperabat spe frustratus, in ipso ætatis flore extinguitur (nã & iuuenibus moriendi necessitas incumbit) multa suauia non expertus, & animi desiderijs nondum satiatus. Cæterũ utriq; mihi similes uidentur cursu certantibus, aut nauigio uectis. Senex enim emensus magnum pelagus, quod uitam esse dico, iussu gubernatoris ad aliquẽ portũ appellens à naui discedit: aut peracto alicubi in stadio certamine, & coronam nactus, certaminibus ualedicit. At iuuenis in medio mari, non assecutus propositum nauigationis terminum, pro quo uota toties fecerat, interijt: aut alicubi dum in stadio curreret, collapsus, sine corona elatus est.

Archytæ Pythagorici, ex libro de uiro bono & fœlice.

Similiter & senectus ad iuuentutem se habet. Hæc aggrediendo quippiã præualet: illa prouidendo: Nunquã seipsum sine mentis custodia relinquit, sed quid agat aut quid egerit, considerat: ut futura præsentium, præsentia aũt præteritorum collatione trutinans, ipsa sese rectè dirigere possit: ad præteritũ tempus memoriã accommodãs: ad præsens, sensum: ad futurũ uero prouidentiã. Sẽper enĩ memoria nobis adest præteriti temporis, prouidẽtia futuri: præsentis aũt sensus. Propterea hominẽ bene beateq; uicturũ, nõ sensu solũ & memoria, sed etiã prouidentia ualere oportet.

Atqui Sophocles de senibus eleganter dixit: *Themistij.*

Vetusta paruo corpora momento lapsa quiescunt.

Mors enim senilis diuersorio similis est: iuuenilis autem, tanquam eiectio & naufragium est. Elabitur enim anima uiolenter contrito corpore.

Senectutem ob caloris defectum fieri. *Parmenidis.*

Profecto quanto magis me corporis uoluptates deficiunt, tantò cupiditas confabulandi, & uoluptas quam ex ea re capio, augetur. Hoc igitur age, & unà cum istis iuuenibus huc ad nos ueni, tanquam ad amicos apprime familiares. Atqui inquam ego ô Cephale, ualde quidem delector senilibus sermonibus. Videtur enĩ mihi audire ab his oportere, ceu q uiam aliquam iam perfecerint quæ & nobis fortasse peragenda erit: quàm aspera & difficilis, uel quàm facilis sit & peruia. Atq; ex te libenter audirem, quidnã hac de re sentias, cũ huc ætatis perueneris, quod in limine senectutis esse poëtæ aiunt: utrũ difficultatem uitæ, uel quomodo ipsum enuncies. Ego tibi per Iouem, inquit, dicam ô Socrates, quod mihi uidetur. Sępe conuenimus plæriq; fermè æquales, antiquum illud seruantes prouerbium. Plurimi ergo nostrum in eo cœtu lamentantur, uoluptatũ quibus in iuuẽtute frui licuit, desiderio affecti, & rem uenerem & conuiuia cæteraq; generis eiusdem recordati, grauiterq; ferũt, tanquã maximis priuati rebus: & tunc quidem se bene uixisse affirmant, nũc aũt ne uiuere quidem. Nonnulli etiam domesticorũ conuitia contumeliasq; deplorant, & in hoc senectutem maximè accusant, tanquam maximorum sibi causam malorũ. Mihi aũt huiusmodi homines haud iure senectutẽ ut horũ causam culpare uidentur. Nam si hęc causa esset, & ego eadem essem passus propter senectutem, & reliqui omnes qui ad id ætatis deuenerunt. Verum ego etiam multos non ita affectos inueni, & cum Sophocle nonnunq̃ fui poëta, qui cum à quodam quónam pacto in uenereis se haberet interrogaretur, & an posset mulieribus admisceri, rectè respondit: Bona

Platonis libro i. de republica.

ἔφη, ὦ ἄνθρωπε. ἀσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών. εὖ οὖν μοι καὶ τότε ἐκεῖνος ἔδοξεν εἰπεῖν, καὶ νῦν οὐχ ἧττον. παντάπασι γὰρ τῶν γε τοιούτων ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίνεται καὶ ἐλευθερία. ἐπειδὰν γὰρ αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι, καὶ χαλάσωσι, παντάπασι τὸ τοῦ Σοφοκλέους γίνεται, δεσποτῶν πάνυ πολλῶν ἐστὶ καὶ μαινομένων ἀπηλλάχθαι. ἀλλὰ καὶ τούτων πέρι, καὶ τῶν γε πρὸς τοὺς οἰκείους, μία τις αἰτία ἐστὶν, οὐ τὸ γῆρας ὦ Σώκρατες, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἐὰν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον· εἰ δὲ μή, καὶ γῆρας ὦ Σώκρατες καὶ νεότης, χαλεπὴ τῷ τοιούτῳ συμβαίνει.

ΨΟΓΟΣ ΓΗΡΩΣ, ΛΟΓΟΣ ριγʹ.

Μιμνέρμου. Τὸ πρὶν ἐὸν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
οὐδὲ πατὴρ παισὶ τίμιος, οὔτε φίλος.

Εὐριπίδου. Φεῦ φεῦ. τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους,
γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον.
μακρὸς γὰρ αἰὼν, συμφορὰς πολλὰς ἔχει.
Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ.
Φεῦ, φεῦ. παλαιὸς αἶνος ὡς καλῶς ἔχει,
γέροντες οὐδέν ἐσμεν ἄλλο, πλὴν ὄχλος.
καὶ σχῆμ', ὀνείρων δ' ἕρπομεν μιμήματα.
νοῦς δ' οὐκ ἔτ' ἔστιν. οἰόμεσθα δ' εὖ φρονεῖν.
Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς.
Δ. ιέσων. μακρὸς γὰρ αἰὼν, μυρίους τίκτει * πόνους.
Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις,
καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν·
λαβὼν δὲ πεῖραν μεταμέλειαν λαμβάνει.
ὡς οὐδ' ἐν ἐστὶ χεῖρον ἐν τῷ γήρᾳ βαρύ.
Τί δ' ἄλλο, φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.

Μενάνδρου. Ὀχληρὸν ὁ χρόνος ὁ πολύς. τὸ γῆρας βαρύ.
ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πόλλ' ἔχεις
τοῖς ζῶσι, καὶ λυπηρά. πάντες εἰς σὲ δὲ
ἐλθεῖν ὅμως εὐχόμεθα, καὶ σπουδάζομεν.
Οὐκ ἂν γένοιτ' ἐρῶντος ἀθλιώτερον
οὐδὲν γέροντος, πλὴν ἕτερος γέρων ἐρῶν.
ὃς γὰρ ἀπολαύειν βούλεθ', ὧν ἀπολείπεται
διὰ τὸν χρόνον, πῶς οὗτος οὐκ ἔστ' ἄθλιος;

Θεόγνιδος. Οὔτι γε μὴν πενίης θυμοφθόρου μελεδαίνω,
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Τοῦ αὐτοῦ. Ὤ μοι ἐγὼν, ἥβης καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισομένης.

Φερεκράτους. Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ,
καὶ πανταχῇ λυπηρὸν, οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ', οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν,
ἀλλ' ἦ μ' ἐπῆρας ὄντα τηλικουτονί,

πολλά

uerba quæso ô amice, libentissimè hæc tanq̃ furiosum agrestemq́ dominũ aufugi. Perbellè igitur & tunc respondisse illi mihi uisus est, & nunc non minus. Omnino enim ab huiusmodi rebus in senectute multa pax inest & libertas. Quando enim deferbuerunt iam cessaueruntq́ libidines, omnino hoc Sophocleum accidit: nam à multis dominis & his insanientibus liberamur. Sed & horum ô Socrates, & eorum quæ aduersus familiares dicuntur, una quædam causa est, non senectus, sed mores hominum. Nam si modesti & faciles sint, haud nimis senectus his laboriosa contingit. Sin contra: & senectus, & iuuentus, ô Socrates, his difficilis.

VITVPERIVM SENECTVTIS, SERMO CXIII.

Qui pulcherrimus erat olim, ubi forma præterijt, *Mimermni.*
Ne pater quidem filijs gratus aut amicus est.
Eheu quàm habet multas senectus ægritudines. *Euripidis.*
Non potest autem fieri ut senex diu uiuat.
Aetas enim longa plurimas adfert calamitates.
O quàm difficilis senectus est hominibus. *Eiusdem in Bacchis.*
Papæ: quàm bene uetus hoc dictum celebratur:
Nos senes aliud nihil quàm turba sumus,
Et figura tantum, somniorumq́ simulachra serpimus.
Mens autem non est amplius: putamus uerò nos rectè sapere.
Quisquis mortalium cupit infaustam
Assequi senectutem: non bene rem secum æstimat.
Nam ætas longa parit ægritudines infinitas.
O senectus qualem uoluptatis spem de te præbes:
Et omnes homines ad te cupiunt peruenire.
At qui expertus fuerit, pœnitentia ducitur.
*Quibus nullum est in senectute grauius malum. ** Sensus non perficitur.*
Quid aliud est uir senex, quàm uox & umbra?
Molesta res est tempus longum. Grauis ô senectus es. *Menandri.*
Nihil enim boni, multa uero habes difficilia,
Et dolorifica hominibus. Nihilominus tamen
Omnes ad te studemus & optamus peruenire.
Nihil miserius esse potest amante
Sene, nisi alius senex amans.
Nam qui frui cupit rebus, à quibus arcetur
Propter tempus, quomodo ille non miser est?
Nihil equidem curo anxiam paupertatem, *Theognidis.*
Nec uiros inimicos, qui mihi malè dicunt.
Sed pubertatem amabilem lugeo, quæ me deficit,
Et fleo propter accedens graue mihi senium.
Hei mihi, pulchra iuuenta & perniciosa senectus, *Bisantini.*
Hæc quidem accedens, illa uero abiens.
O senectus quàm es onerosa hominibus, *Pherecratis.*
Et ubiq́ molesta, non una solum in re.
Nam quando nihil ultra possumus, neq́ ualemus,
Tunc primum nos rectè sapere doces.
Temere instigasti me, qui tantæ sum ætatis,

al. ἐννοεῖν. * πολλάκις ἐμαυτὸν ἐγκυλίσαι πράγμασιν.
ἐγὼ γὰρ ὦ ἄνδρες ἡνίκ' ἦν νεώτερος,
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδέν. ἀλλὰ πάντα μοι
κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ,
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.

Ἀντιφάνους. Σφόδρα τι δεῖν ὁ βίος ἡμῶν οἴνῳ προσφερής,
ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίνεται.

Πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον,
ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν.
πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα.

Ὦ γῆρας, ὡς ἅπασι τοῖς ζῶσιν σὺ
ψέγειν, ἀφορμὰς παραδίδως τοῦ πράγματος.

Φιλήμονος. Σύρα, Σύρα. τί ἐστι; πῶς ἡμῖν ἔχεις;
ἐπὰν γέροντ' ἴδῃς ἢ γραῦν τινά:
ἴσθι δ' εὐθὺς ὅτι κακῶς ἔχει.

Ἀλέξιδος. Ἤδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει.

Μενάνδρου. Πικρόν ἐστι θρέμμα γέρων ἐν οἰκίᾳ μένων.

Ἡρώδου. Ἐπὴν τὸν ἑξηκοστὸν ἥλιον κάμψῃς,
ὦ Γρύλλε, Γρύλλε, θνῆσκε καὶ τέφρη γίνου.
ὡς τυφλὸς ὁ ὑπὲρ κεῖνο τοῦ βίου καμπτήρ.

malim ἀπημ. Ἤδη γὰρ * αὕτη τῆς ζωῆς ἀπήμβλυται.

Ἀντιφάνους. Ὦ γῆρας, ὡς ἅπασιν ἀνθρώποισιν εἶ
ποθεινόν, ὡς εὔδαιμον. εἶθ' ὅταν παρῇς,
ἀχθηρόν, ὡς μοχθηρόν, ἣν λέγῃ τί σε
οὐδείς: κακῶς δὲ πᾶς τις, ὃς σοφῶς λέγει.

Οὐδεὶς τὰ πατρῷά πω γέρων κατεδήδοκεν,
ἀλλ' οὐδὲ κατεμάγευσεν, οὐδ' ἐλύσατο
πορνίδιον, οὐδὲ θυροκόπων ὦφλε δίκην.
οὕτω τὸ γῆρας σωφρονοῦν οὐκ εὐτυχεῖ.

Μνησικράτους. Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται. ἢν δ' ἐπότ' ἔλθῃ,
μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

Σοφοκλέους. Οὐδὲν γὰρ ἄλγος, οἷον ἡ πολλὴ ζόη.
πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά,
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

Κράτητος. Ὁ γάρ χρόνος μ' ἔκαμψε τέκτων * οὐ σοφός,
al. ἡ. ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

Διφίλου. Πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος ὦ ξένε.
χαίρει μεταπλάττων πάντας εἰς τὰ χείρονα.

Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον ὁ Ζεύς,
γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

Μιμνέρμου. Ἀλλ' ὀλιγοχρόνιον γίνεται, ὥσπερ ὄναρ,
ἥβη τιμήεσσα, τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅτ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

Εὐριπίδου. Ὦ γῆρας οἷον τοῖς ἔχουσιν εἶ κακόν.
Ἀνειμένον τὸ χρῶμα προὔβη τῶν γυίων,

Vt multis negotijs me impediam.
Ego enim ô uiri cum iunior essem,
Putabam quidem, sed nihil sapiebam. Verum omnia mihi
Negotia de quibus deliberabam in manibus erant.
Nunc demum uero mihi mentem senectus inserit.
Vita nostra persimilis est uino: *Antiphanis.*
Cum superest modicum, acescit.
Ad senectutem enim ueluti officinam
Omnia hominum accedunt mala;
Senectus est uelut ara quædam malorum.
Ad ipsam enim omnia confugisse uidere est.
O senium, quàm omnibus qui quærunt te
Culpare, occasionem & ansam instituti sui præbes.
Syra, Syra. Hem, quid est? Quomodo nobis uales? *Philemonis.*
Vbi senem uideris aut anum aliquam,
Statim scias quòd malè se habeat.
Iam enim uita mea uesperam inducit. *Alexidis.*
Molestum animal est senex domi manens. *Menandri.*
Vbi sexagesimum solem reflexisti, *Herodoti ad*
O Grylle Grylle, moritor, cinisq; fias. *Herodis.*
Cæcum est quicquid inde sequitur temporis.
Iam enim uitæ uigor obtusus erat.
O senecta, quàm cunctis hominibus es *Antiphanis.*
Optata, quàm beata: deinde cum accesseris,
Molesta, & grauis: nec ullus benedicit
Tibi: sed contra, quisquis sapit, maledicit.
Nullus in senectute patrimonium suum abliguriuit,
Nec aliter stultè consumpsit, neq; redemit
Meretriculam, nec ob fores effractas mulctatus est.
Ita senectus cum temperantia sua non est fortunata.
Senectus absens optatur ab omnibus; si quando autem uenerit *Menecratis.*
Incusatur, & futura semper melior est.
Nulla est tanta dolendi causa, quàm uitæ longitudo. *Sophoclis.*
Nihil non mali senectæ longæ inhæret,
Mens uana, opera inutilia, curæ superuacuæ.
Flexit me tempus, sapiens quidem artifex, *Cratetis.*
Sed omnia reddens infirmiora.
Canus artifex tempus est ô hospes: *Diphili.*
Gaudetq; omnes in deteriorem transformare statum.
Tithono Iupiter malum immortale dedit
Senectam, quæ uel tristi morte magis est timenda.
Sed breue tempus durat, instar somnij, *Mimnermi.*
Iuuentus pretiosa. difficilis autem deformisq;
Senectus statim imminet capiti,
Odiosa simul & contempta, quæ uirum reddit obscurum:
Lædit autem oculos mentemq; circumfusa.
O senectus, quantum es habentibus te malum. *Euripidis.*
Remissa quædam res est senile genus,

καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.

Ἀλλ' ἢ τὸ γῆρας τὴν κύπριν χαίρειν ἐᾷ,
ἥ τ' Ἀφροδίτη τοῖς ἐρῶσιν ἄχθεται.

Ἰσοκράτους. Ἀλλ' οὕτω τὸ γῆρας ἐστὶ δυσάρεστον καὶ μεμψίμοιρον, καὶ μικρολόγον, ὥστε πολλάκις ἤδη τήν τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἣν οὐδεὶς ἄλλος καταπεφρόνηκε.

Δημοκρίτου. Γῆρας, ὁλόκληρός ἐστι πήρωσις, πάντ' ἔχει, καὶ πᾶσιν ἐνδεεῖ.

Μητροδώρου. Οὐ μακαριεῖς τὸν γέροντα, καθ' ὅσον γηράσκων τελευτᾷ, ἀλλ' εἰ τοῖς ἀγαθοῖς συμπεπλήρωται. ἕνεκα γὰρ χρόνου, πάντες ἐσμὲν ἄδωροι.

Ἐρατοσθένης τῆς ἡλικίας ἔφη, τὸ μὲν, ἀκμάζον, ἔαρ εἶναι· τὸ δὲ μετὰ τὴν ἀκμὴν, θέρος καὶ

π. φθινόπωρον. * μετόπωρον· χειμῶνα δὲ τὸ γῆρας.

Φαβωρίνου. Πολύς τοι μόχθος, ἐν μακρῷ χρόνῳ.

Δημοκρίτου. Αὐξανομένου τοῦ σώματος, συναύξονται φρένες· γηράσκοντος δὲ, συγγηράσκουσι, καὶ ἐς τὰ πράγματα πάντα, ἀμβλύνονται.

Κάτων γέροντι πονηρευομένῳ ἔφη· τί ἄνθρωπε τῷ γήρᾳ κακὰ πολλὰ ἔχοντι, τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης;

Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητὴς, ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑώρακε μόλις πορευόμενον, καὶ ἠρώτα· τί ποιεῖς; ἔφη· κατὰ σχολὴν ἀποθνήσκω.

Πατροκλῆς τὸ γῆρας τοῦ βίου ἔλεγε χειμῶνα.

Ἰούγκου. Ἐπειδὴ γὰρ ὁρῶ σε, τὰς μὲν ἤδη τῆς νεότητος καὶ ἀκμῆς ἡδονὰς καὶ ἀπολαύσεις, αἳ πᾶσιν ἔργοις ἕπονται, συνελόντι δὲ εἰπεῖν, τὴν ἀνθρώπειον εὐδαιμονίαν παραλιπόντα, καὶ παραμεμψάμενον καθάπερ ἤδη νέους κωμαζόμενον συνεισδρομούσης, ἱστάμενον ἤδη τῷ γήρᾳ, καὶ αὐτὸν ἑαυτοῦ βραδύτερόν τε καὶ δυσκινητότερον γεγονότα, καὶ ἀεὶ γιγνόμενον, τῇ τε ψυχῇ καὶ τῷ σώματι, ἐθέλω παρὰ σοῦ μαθεῖν, ἥντινα γνώμην ἔχεις περί τε τῶν γεγηρακότων, καὶ περὶ αὐτοῦ δὴ τοῦ γήρως. ἐμοὶ γὰρ δύσκολος ὁ ἐν αὐτῷ βίος καταφαίνεται, διὰ τὴν τῶν αἰσθήσεων πήρωσιν, κατ' ὀλίγον ἀποσβεννυμένων. διόπερ οὐδὲ μὲν οὐδὲν ἔτι παρακολουθεῖν φασι τοῖς γεγηρακόσιν· ἐπίπονα δὲ ἅπαντα εἶναι καὶ χαλεπὰ, αὐτῷ τε τῷ πάσχοντι τὴν μεταβολήν. περαιτέρω τούτων ἐνοχλεῖν τὸν περὶ τοῦ θανάτου φόβον ἀεὶ ἑπόμενον αὐτῷ, καθάπερ ἐπιβουλεύοντα συνοδοιπόρον ἢ σύνοικον, καὶ τοῦτον δὲ ἔκ τινος ὡμολογημένης καὶ φυσικῆς ἀνάγκης. τῶν γὰρ πρώτων ὅρων τοῦ βίου, κατὰ τὴν προϊοῦσαν ἡλικίαν, ὑφ' ἑκάστου ῥᾳδίως ἀπολειπομένων, ὁπότε παῖς μὲν ὁ παῖς οὐκέτι ἐστι, τὸ δὲ μειράκιον ἀνὴρ γίνεται, μετὰ δὲ τὸν ἄνδρα γῆρας πρόσεισιν· ἀνάγκη που μετ' αὐτὸ μηδενὸς ἑτέρου καταλειπομένου, διάλυσίν τε καὶ χωρισμὸν ἐπιγίγνεσθαι τῇ ψυχῇ καὶ τῷ σώματι, ὃ δὴ καλεῖται θάνατος. πολλὰ δὲ καὶ ἄλλα ἐν τῷ ζῆν πρεσβύτῃ ἀηδεῖ χαλεπὰ παρομαρτεῖ καὶ ἐπίπονα. τοτὲ μὲν, συνεχεῖς νόσοι, καὶ δίαιτα πάντως νοσώδης, εἰ καὶ μηδὲν παρέχει ἰατροῦ δεόμενον, ἐκεῖνον δὴ τὸν λεγόμενον εὐδαίμονα εἶναι, καταναλίσκει. κεῖται γάρ που γήρᾳ παρειμένος, ἄσιτος καὶ ἄποτος καὶ ἀνέραστος, οὐδενὸς μὲν ξὺν ἡδονῇ μετέχων· τοῦ δὲ λυποῦντος ἀκριβῶς αἰσθανόμενος. ἔτι δὲ θαρρήσει προελθεῖν εἰς τὴν ἀγορὰν, γέλωτα τοῖς ὁρῶσι παρασκευάζει, βλέπων τε οὐκ ἀκριβὲς, καὶ βοώντων οὐκ ἀκροώμενος· καὶ πειρώμενος ἑαυτὸν διακομίζειν καταπίπτων, ἐφαλλόμενος, θλίβειν λεγόμενος, καὶ ἀφανίζειν τὸν κοινὸν τῆς πόλεως ἀέρα. οὔτε γὰρ εἰς τὸν ἀριθμὸν τῶν φυλετῶν ἐν ἐκκλησίᾳ παρὰ μὲν τέθειται, οὔτε μὴν ἀρχῆς οἷός τέ ἐστι προΐστασθαι, διά τε τὰ προειρημένα ἐμπόδια, κυφός τε ὢν καὶ ῥικνὸς, καὶ ἄμορφος καὶ ἀδύνατος· τῇ τε ψυχῇ, κατὰ τὴν παροιμίαν, παῖς πάλιν γεγονώς. ἐν δὲ πολέμῳ, τί χρὴ καὶ λέγειν, ὡς ἀστράτευτός τε καὶ γυμνὸς ἀπολείπεται, οὐ πεζὸς, οὐχ ἱππεὺς τεταγμένος, οὐδ' αὖ νεὼς ἐρέτης τις, ἢ ἐπιβάτης· ὅτι δὴ καὶ τὸ καθίζεσθαι αὐτῷ, μᾶλλον δὲ καὶ τὸ κεῖσθαι, πόνον ἔχει, συμπεπλεγμένου αὐτῷ τοῦ θανάτου, καὶ ἤδη αὐτὸν ἄγοντος εἴσω τῶν ἑαυτοῦ θυρῶν. εἰ δὲ καὶ πενία πως ἀηδεῖ γεγηρακότι ξυμπέσοι, αὐτὸς ἂν ἐκεῖνος εὔξαιτο ἀπαλλαγῆναι τέλεον τοῦ βίου, διὰ τὸ ἄπορον ἤδη πᾶσιν, οὐχ ἡγεμόνος ὁδοῦ τυγχάνων, οὐ τροφέως, οὐκ ἐσθῆτα τὴν αὐτάρκη πορισάμενος:

ὥστε

Et rursus uix moderari potest quin præceps in iracundiam sit.

Sed aut senectus Venerem ualere iubet,
Aut Venus ægrè fert amatores huiusmodi.

Senectus adeò morosa & querula est, & pro minimis rebus anxia, ut iã sæpius meã ipse naturam culpauerim, quam aliorũ nemo hactenus cõtempsit. *Isocratis.*

Senium omnimoda imperfectio est, omnia habet, & omnibus indiget. *Democriti.*

Non beatus existimãdus est senex, quia senescens moriatur: sed si absolutum habeat bonorum numerum. Nihil enim ætati per se tribuendum est. *Metrodori.*

Eratosthenes uigentem ætatem ueri comparabat: declinantem, æstati & autumno, senectam hyemi.

Longo tempore multum laboris accrescit. *Phauorini.*

Augescente corpore simul & mens augetur: & illo senescente, unà senescit, ac in omnibus rebus obtusior fit. *Democriti.*

Cato ad senem quendã improbæ uitæ dixit: Quid est quod senectuti multa mala habenti tuæ etiam improbitatis dedecus adijcias?

Alexis poëta Comicus, cum quidã ipsum senem ægrè incedentẽ intuitus, quid ageret interrogasset: paulatim se per otium mori respondit.

Patrocles senectam uitæ hyemem appellabat.

Quandoquidem uideo iuuentutis ac uigoris uoluptates & fructus, quæcunque tandem opera sequentes: & ut paucis dicam, fœlicitatem humanam te reliquisse ac præterijsse, tanquam naui plenis uelis præteruectum, & nunc in senectute constitutum, atq; teipso tardiorem minusq; agilem factum esse, ac semper fieri, tum animo tum corpore: abs te discere uolo quidnam de illis qui consenuerunt, & de ipsa senectute sentias. Mihi nanq; perdifficilis eius uita uidetur, propter sensuum priuationem, qui paulatim extinguuntur. Proinde nihil amplius iucundi senibus adesse dicunt: sed omnia laboriosa & grauia contingere: atq; illi, qui hanc ætatis mutationem sustinet, supra alia metum mortis semper adhærentem molestum esse, ut qui tanquam itineris comes, aut cõtubernalis insidiator nunquam ab eo discedat, cum certa quadam & naturali necessitate mortem imminere constet. Nam primi uitæ limites, per quos ab una ætate ad alteram transitur, facile relinquuntur, cum scilicet puer non amplius puer futurus est, & adolescens inter uiros censetur: à uirili autem ætate senectus accedit: post quam cum aliud nihil supersit, dissolutio & seiunctio animæ à corpore fiat necesse est, quod mors uocatur. Sed alia quoq; multa, grauia laboriosaq; senilem uitam sequuntur. Etenim continui morbi, & omnino ualetudinaria uictus ratio, etiamsi nihil sit quod medicum requirat, fœlicitatem dictam absumunt. Iacet enim senex resolutus ætate, cibi potusq; abstinens, inamabilis, nulla re cum iucunditate fruens: molestias uero nimis percipiens. Si quando autem in forum progredi ausus fuerit, risum uidentibus mouet, uidens obtusè, clamantes non audiens: & dum eundo sustinere se conatur concidens, de latere in latus titubando transiliens, quinetiam communem ciuitatis aërem lædere ac inficere dicitur. Nec si in concione sit inter tribules refertur: neq; magistratum gerere potest, tum propter impedimenta iam dicta, tum quia gibbosus, rugosus, deformis & inualidus est: Animo autem, ut prouerbium habet, repuerascit. In militia uero quid opus est referre, quàm sine omni munere & nudus relinquatur? Non pedes, non eques constituitur, neque remex aut miles in naui. Nam uel sedere solum, imò iacere etiam, non sine labore potest, cum coniuncta ei mors sit, & iamiam ipsum intra fores suas ducat. Quod si etiam paupertas uiro seni adfuerit, nimirum ipse ultro prorsus à uita discedere optabit propter penuriam rerũ omnium, cum nõ habeat uiæ ducem, non altorem, nõ uestem sufficientem indutus sit, *Iunci.* *Bis pueri senes.*

ὥστε γῆς δυσπορῶν τροφῆς, ἔστι δὲ ὅτε καὶ ὕδατος, οὐκ ἔχων τὸν ἀρυσόμενον. εἰ δὲ ὁρῶντες αὐτόν, οἱ καὶ φίλοι καὶ οἰκεῖοι λέγοιντο, ἐπαχθὲς εἶναι νομίζουσι, καὶ θέαμα ἀλγεινόν τε, καὶ λυπηρόν, καὶ πολυχρόνιον· τὰ δὲ ἄλλα εἰπεῖν, Ἰλιὰς κακῶν. τῷ δὲ νέῳ, πολλὰ μὲν πλεονεκτήματα, ἅπερ τῇ ψυχῇ καὶ τῷ σώματι ἐδωρήσατο ὁ θεὸς ἀεὶ αὐξόμενα, μέγεθός τε καὶ ἀλκήν, καὶ κάλλος, καὶ χάριν ἐπανθοῦσαν, νοῦν τε ἤδη βέβαιον, καὶ φρόνησιν, καὶ λόγον τῶν περὶ τὴν ψυχὴν ἀγαθῶν ἄγγελον· πολλὰ δὲ ἐκ τῶν ἐπιτηδευμάτων καὶ τεχνῶν ἐκαρπώσατο. εἰ δὲ ἔλθοι τι αὐτῷ δυστύχημα νόσου νομιζούσης, ἢ πενίας, ἢ ἀδοξίας, οἷός τέ ἐστι διαφέρειν ἕκαστα· καὶ ὥσπερ ἀγαθὸς ἀθλητής, νικᾷ τὸ προσπῖπτον. ἀλλ' οὐ γὰρ νεότητα βουλόμενος μακαρίσαι, τούσδε τοὺς λόγους ἐποιησάμην. δῆλα γάρ ἐστιν οἶμαι καὶ τυφλῷ τὰ συνόντα αὐτῇ καλά τε καὶ ἀγαθά. καὶ μάλα οὐκ ἀπὸ σκοποῦ τινος δοκῶ μοι εἰρηκέναι, ἅ τινα τῷ γεγηρακότι ἐνοχλεῖν ἔφην παρόντα τε καὶ ἀφιστάμενα αὐτοῦ, καὶ ὁπόσα κοσμεῖν ἔοικε καὶ ὠφελεῖν νέον.

Πλάτωνος. / al. τεθειμένα.

Τὸ δ' ἐφεξῆς διέλθωμεν, ὃ * προὐθέμεθα. ἔφαμεν γὰρ δὴ ἐξ ἀκμαζόντων δεῖν τὰ ἔκγονα γίγνεσθαι. ἀληθῆ. ἆρ' οὖν σοι ξυνδοκεῖ μέτριος χρόνος ἀκμῆς, τὰ εἴκοσι ἔτη γυναικί, ἀνδρὶ δὲ τὰ τριάκοντα; τὰ ποῖα αὐτῶν ἔφη; γυναικὶ μέν, ἦν δ' ἐγώ, ἀρξαμένῃ ἀπὸ εἰκοσιέτιδος, μέχρι τεσσαρακονταέτιδος, τίκτειν τῇ πόλει· ἀνδρὶ δέ, ἐπειδὰν τὴν ὀξυτάτην δρόμου ἀκμὴν παρῇ, τὸ ἀπὸ τούτου γεννᾶν τῇ πόλει, μέχρι πέντε καὶ πεντηκονταέτους. ἀμφοτέρων γοῦν ἔφη αὕτη ἀκμή, σώματός τε καὶ φρονήσεως.

ΟΤΙ ΤΟ ΓΗΡΑΣ, ΑΝΕΠΑΧΘΕΣ ΚΑΙ ΠΟΛΛΗΣ ΑΙΔΟΥΣ ΑΞΙΟΝ Η ΣΥΝΕΣΙΣ ΑΠΕΡΓΑΖΕΤΑΙ.

ΛΟΓΟΣ ριδ'.

Ἀναξανδρίδου.

Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον.
Οὔτοι τὸ γῆράς ἐστιν ὡς οἴει πάτερ,
τῶν φορτίων μέγιστον· ἀλλ' ὃς ἂν φέρῃ,
ἀγνωμόνως αὔτ', οὗτός ἐστιν αἴτιος.
* ὁ δ' εὐκόλως ἐνίοτε κοιμίζειν ποιεῖ, (malim ὃ δ'.)
μεταλαμβάνων ἐπιδέξι' αὐτοῦ τὸν τρόπον,
λύπην ἀφαιρῶν, ἡδονήν τε προστιθείς.
λύπην δὲ * ποιῶν, εἴ τις δυσκόλως ἔχει. (malim ποιεῖ.)

Σοφοκλέους. / Videtur aliquid deesse.

* Οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς
θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.
προμάθεια γὰρ κέρδος ἀνθρώποις μέγα.

Ἀναξιμένους.

Τοῖς γὰρ ἀστείως πρεσβύταις, ὅσον αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὔξονται· καὶ τοσούτῳ βεβαιότερον αὐτοῖς παρέχει τὸ λέγειν τι χρήσιμον τοῖς ἄλλοις, καὶ παρ' ἑτέρων αὐτοὺς ἀκούειν. ὥστε τὰς μὲν ἀπὸ τῶν βρωτῶν καὶ ποτῶν καὶ ἀφροδισίων ἡδονὰς γινομένας ἰδεῖν ἐστιν, οὐχ οὕτως εἰς τὸ παραχρῆμα εὐφραινούσας, ὡς ὕστερον λυπούσας· ἡ δὲ περὶ τοὺς λόγους ἡδονὴ καὶ μάθησις, ἅμα τε παραυτίκα εὐφραίνει, καὶ πρὸς τὸν ἄλλον βίον τοὺς μανθάνοντας ἡδίους παρασκευάζει.

Ξενοφῶν περὶ Ἀγησιλάου φησί· ποίας γὰρ νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας;

Σωκράτους.

Ὁ μὲν χειμών, σκέπης· τὸ δὲ γῆρας, ἀλυπίας δεῖται.

Μουσωνίου. / malim ἐννοήσειας.

Αὖθις δέ, ἐπεὶ πρεσβύτης τις ἐπύθετο· τί ἂν εἴη γήρως ἐφόδιον ἄριστον· ταὐτὸν εἶπεν, ὅπερ καὶ νεότητος, τὸ ζῆν ὁδῷ τῇ κατὰ φύσιν. τοῦτο δὲ μάλιστ' ἂν οὕτω μάθοις ὁποῖόν τί ἐστιν, εἰ * ἐννοήσειας τὴν τοῦ ἀνθρώπου φύσιν, ὡς οὐ πρὸς ἡδονὴν γέγονεν. οὐδὲ γὰρ ἵππος, οὐδὲ κύων, οὐδὲ βοῦς, ἅπερ ἀτιμότερα πολὺ ἀνθρώπου ἐστίν, οὐ πρὸς ἡδονὴν γέγονεν. οὐδὲ γὰρ νομισθείη ἂν τυγχάνειν τοῦ ἑαυτοῦ τέλους ἵππος, ἐσθίων μὲν καὶ πίνων καὶ ὀχεύων ἀνέδην, πράττων δὲ μηδέν, ὧν ἵππῳ προσήκει. οὐδέ γε κύων, ἡδόμενος μὲν ὥσπερ ὁ ἵππος ἁπάσας ἡδονάς, πράττων δὲ μηδέν, ἀφ' ὧν ἀγαθοὶ νομίζονται εἶναι κύνες. οὐδὲ μὴν ἄλλο ζῷον ὁτιοῦν, ἔργου μὲν τοῦ προσήκοντος

inops alimentorum ex terra, nonnunquam & aquæ, cum nemo sit qui ei hauriat. Ili uero qui ipsum aspiciunt, quamuis amici & familiares nominentur, existimant ipsum esse molestum spectaculum, dolore tristitiaq; plenum, & nimis diuturnum: deniq; per omnia Iliadem malorum. Iuueni autem multas res potiores tum in anima tum corpore contulit Deus, quæ semper augentur, magnitudinem, robur, formam, gratiam refulgentem, mentem confirmatam, prudentiam, & orationē animi bonorum nunciam. Multa ex artibus & scientijs lucratur. Quod si infortunium aliquod ei inferat morbus, aut paupertas, aut ignominia, singula pferre potest: & tanquam bonus athleta quemlibet casum superat. Atqui non ut fœlicitatem iuuentæ prædicarem hæc uerba facere uolui. Nam quæ pulchra & bona habet, uel cæco manifesta sunt. Non aūt abs re mihi recensuisse uideor, tū ea quę senibus sua præsentia, tum quę propter absentiam molesta sunt: & quæ res iuuentutē ornent & adiuuent.

Sed age deinceps, quod maximè intēdimus, percurramus. Diximus planè ex robustissimis oportere filios procreari. Diximus. An non tibi quoq; uidetur moderatum adulti roboris tempus esse, mulieri quidem annos uiginti, uiro autē triginta? Quis horum modus? Vt uidelicet mulier à uigesimo ætatis anno incipiens, usq; ad quadragesimum pariat: uir aūt postquā acutissimum sui cursus uigorem transiuerit, annos scilicet triginta, inde usq; ad annos quinq; & quinquaginta procreet. Profectò in ijs ætatibus uigor animi corporisq; existit. *Platonis libro 5. de republica.*

QVOD SENECTVTIS MOLESTIAM PRVDENTIA tollat, ipsamq; multa reuerentia dignam efficiat,

SERMO CXIIII.

Anaxandridæ.

Boni uiri senectus facilis est in colloquio.
Non est senectus, ut existimas ô pater
Onus maximum: sed qui tulerit
Eam imprudenter, ipsemet in causa est.
Ille uero facilem ipsam & tranquillam reddit,
Qui mores eius commodè tractat,
Molestiam tollens, & uoluptatem adijciens.
Contrà qui ægrè fert ipsam, is dolorem sibi parit.

Sophoclis.

Non est * grauis sapientium senectus, quorum mens
Diuina luce nutrita est.
Prouidentia enim magnum mortalibus lucrum est.

** Grauis non habetur in Græco.*

Anaximenis.

Senibus enim elegantioribus quantū corporeæ uoluptates marcescunt, tantum rursus eruditionis desyderium augetur: & tantò firmius docere possunt alios, quid eis factu audituue sit utile. Siquidem uoluptates, quas cibi, potus, & Venerea pariunt, non tam in præsentia exhilarare, quàm postea molestare uidentur: Voluptas autem & disciplina circa literas, tum in præsenti tempore oblectat, tum ad reliquam uitam sui studiosos suauiter præparat.

Xenophon de Agesilao dicit: Qua eñ iuuentute illius senecta nō præstātior est?

Socratis.

Hyems operimenta, senectus autem indolentiam requirit.

Musonij.

Rursus aūt cū senex quidā interrogaret, quodnā senectutis optimū esset uiaticū: Idem, dixit, quod etiā iuuentutis, nempe iuxta uiā & rationē naturæ uiuere. Quid autem hoc sibi uelit, maximè intelliges, si hominis naturam consideraueris, quod non ad uoluptatem facta sit. Nam nec equus, aut canis, aut bos, quæ animalia multò ignobiliora sunt homine, ad uoluptatem nata sunt. Non enim existimaretur finem suū consequi equus, qui solū ederet, biberet, coituq; impudenter uteretur, nihil aūt ageret istorū quæ ad officiū equi pertinēt. Neq; canis probaretur, q ut iam de equo dictū est, uoluptatibus quidē indulgeret omnibus, nihil aūt eorū ageret quorum gratia canes boni esse putantur: Non deniq; aliud ullum animal, si officio suo

αὐτῶν στερόμενον, ἡδονῶν δὲ ἐμπιπλάμενον. οὐδὲν οὖν οὕτω ζῆν λέγοιτο κατὰ φύσιν· ἀλλ' ὅ,τι ἂν μάλιστα τὴν ἀρετὴν ἐμφανίζῃ, δι' ὧν πράττει κατὰ τὴν ἑαυτοῦ φύσιν. ἄγει γὰρ ἡ ἑκάστου φύσις ἕκαστον, πρὸς τὴν ἀρετὴν τὴν ἐκείνου. ὥστε καὶ τὸν ἄνθρωπον εἰκός, οὐχ ὅταν ἐν ἡδονῇ βιοῖ, τότε κατὰ φύσιν βιοῦν· ἀλλ' ὅταν ἐν ἀρετῇ. τότε γὰρ καὶ ἐπαινεῖσθαι δικαίως ὑπάρχοι ἂν αὐτῷ, καὶ μέγα φρονεῖν ἐφ' αὑτῷ, εὔελπιν καὶ θαρραλέον εἶναι, οἷς εὐφροσύνην τε καὶ χαρὰν βεβαίαν ἕπεσθαι ἀναγκαῖον. καθόλου δὲ ἄνθρωπος, μίμημα μὲν θεοῦ, μόνον τῶν ἐπιγείων ἐστίν· ἐκείνῳ δὲ παραπλησίας ἔχει τὰς ἀρετάς. ἐπεὶ μηδ' ἐν θεοῖς μηδὲν ὑπονοῆσαι κρεῖττον ἔχομεν φρονήσεως, καὶ δικαιοσύνης, ἔτι δὲ ἀνδρείας, καὶ σωφροσύνης.

ὥσπερ οὖν ὁ θεός, διὰ τὴν παρουσίαν τούτων τῶν ἀρετῶν, ἀήττητος μὲν ἡδονῆς, ἀήττητος δὲ πλεονεξίας· κρείττων δὲ ἐπιθυμίας, κρείττων δὲ φθόνου καὶ ζηλοτυπίας· μεγαλόφρων δέ, καὶ εὐεργετικός, καὶ φιλάνθρωπος· τοιοῦτον γὰρ ἐπινοοῦμεν τὸν θεόν· οὕτω καὶ τὸ ἐκείνου μίμημα τὸν ἄνθρωπον ἡγητέον, ὅταν ἔχῃ κατὰ φύσιν, ὁμοίως ἔχειν, καὶ οὕτως ἔχοντα, εἶναι ζηλωτόν. ὧν δὲ ζηλωτός, εὐθὺς ἂν εἴη καὶ εὐδαίμων. οὐ γὰρ ἄλλους γέ τινας, ἢ τοὺς εὐδαίμονας ζηλοῦμεν. καὶ μὴν οὐκ ἀδύνατον γενέσθαι τοιοῦτον ἄνθρωπον. οὐ γὰρ ἑτέρωθέν ποθεν ταύτας ἐπινοῆσαι τὰς ἀρετὰς ἔχομεν, ἢ ἀπ' αὐτῆς τῆς ἀνθρωπείας φύσεως, ἐντυχόντες ἀνθρώποις τοιοῖσδέ τισιν, οἵους ὄντας αὐτούς, θείους καὶ θεοειδεῖς ὠνομάζομεν. εἰ μὲν οὖν τις τύχοι πρότερον ἔτι νέος ὤν, παιδείας ὀρθῆς ἐπιμέλειαν πεποιημένος, καὶ τὰ μὲν ὅσα μαθημάτων ἔχεται

malim ὤν.

καλῶν, μεμαθηκὼς οὐκ ἐνδεῶς· τὰ δὲ ἀσκητὰ ἠσκηκὼς ἱκανῶς, * οὕτως ἂν ἐν γήρᾳ ταῖς ἐνούσαις ἑαυτῷ χρώμενος ἀφορμαῖς, ζώη κατὰ φύσιν· καὶ ἀλύπως μὲν φέροι τὴν στέρησιν τῶν ἡδονῶν τῶν ἤδη νεότητος· ἀλύπως δ' ἔχοι τῇ παρούσῃ τοῦ σώματος ἀδυναμίᾳ· δυσκολαίνοι δ' οὐκ ἂν οὔτε καταφρονούμενος ὑπὸ τῶν πλησίον, οὔτ' ἀμελούμενος ὑπὸ τῶν οἰκείων καὶ φίλων, ἅτε πρὸς ταῦτα πάντα ἀλεξιφάρμακον ἔχων καλὸν ἤδη τῇ διανοίᾳ τῇ ἑαυτοῦ, τὴν παιδείαν τὴν ὑπάρχουσαν. εἰ δέ τις εἴη παιδείας μὲν ἐνδεέστερον μετεσχηκώς, προθυμίαν δὲ παρέχοιτο πρὸς τὰ κρείττω, καὶ πείθεσθαι δύναιτο τοῖς εὖ λεγομένοις, οὗτος ἂν εὖ ποιοίη ζητῶν λόγων ἀκούειν ὑποθετικῶν, παρὰ τῶν πεποιημένων ἔργον, εἰδέναι, τίνα μὲν βλαβερά, τίνα δὲ ὠφέλιμα ἀνθρώποις· καὶ τίνα ἀεὶ τρόπον, τὰ μέν, ἐκφύγοι· τὰ δέ, κτῷτο· καὶ πῶς ἂν τὰ μὴ ὄντα μὲν

malim ἢ.

κακά, δοκοῦντα δέ, προσιόντα πρᾴως δέχοιτο. τούτων * μὲν ἀκούων καὶ πειθόμενος (ὡς τό γε ἀκούειν ἀπαθῶς ἀκερδέστατον) διάγοι τ' ἂν τὸ γῆρας καλῶς τά τε ἄλλα, καὶ τὸν τοῦ θανάτου φόβον ἐξαιρεθείη ἄν, ὃς μάλιστα θορυβεῖ τε καὶ πιέζει τοὺς γέροντας, ὥσπερ ἐπιλελησμένους, ὅτι παντὶ θνητῷ θάνατος ὀφείλεται. καὶ τό γε ἀθλιώτατον ποιοῦν τὸν βίον τοῖς γέρουσιν, αὐτὸ τοῦτό ἐστιν, ὁ τοῦ θανάτου φόβος. ὥσπερ ἀμέλει καὶ ὁ ῥήτωρ Ἰσοκράτης ἀνωμολογήσατο. φασὶ γὰρ ἐκεῖνον, ἐρωτήσαντός τινος, ὅπως διάγει, εἰπεῖν, ὅτι οὕτως, ὥσπερ ἐκεῖνον, τὸν ἐνενήκοντα μὲν γεγονότα ἔτη, κακῶν δὲ ἔσχατον νομίζοντα εἶναι τὸν θάνατον. καί τοι πῶς ἐκείνῳ τι παιδείας μετῆν, ἢ γνώσεως τῶν ἀγαθῶν ἢ κακῶν, ὃς ὑπελάμβανεν εἶναι κακόν, τὸ ἐξ ἀνάγκης ἑπόμενον βίῳ τῷ ἀρίστῳ, εἴ γε ἄριστος βίος, ὁ τοῦ ἀγαθοῦ ἀνδρός. πέρας δὲ καὶ τούτου, θάνατος. ὃ δ' οὖν εἶπον, εἰ τοῦτο περιποιήσαιτό τις ἐν γήρᾳ, τὸ προσδέχεσθαι τὸν θάνατον

lego ἢ.

ἀφόβως καὶ θαρραλέως, οὐ μικρὸν ἂν μέρος * τὸ ζῆν ἀλύπως καὶ κατὰ φύσιν εἴη πεποιημένος. κτήσαιτο δ' ἂν τοῦτο, συνὼν τοῖς οὐκ ὀνόμασι μόνον, ἀλλ' ἀληθῶς φιλοσόφοις, ἄν γε καὶ πείθεσθαι θέλῃ αὐτοῖς. ἐγὼ μὲν οὖν φημι γήρως ἐφόδιον εἶναι κράτιστον, ὃ δὴ καὶ ἀρχόμενος τοῦ λόγου εἶπον, τὸ ζῆν κατὰ φύσιν, ἃ χρὴ πράττοντα καὶ διανοούμενον. οὕτω γοῦν ἂν καὶ εὐθυμότατος εἴη ὁ γέρων, καὶ ἐπαινετώτατος. ταῦτα δὲ ἔχων, εὐπότμως καὶ ἐντίμως βιῴη ἄν. εἰ δέ τις οἴεται μέγιστον εἶναι παραμύθιον τοῖς γέρουσι τὸν πλοῦτον, καὶ τοῦτον αὐτοῖς παρέχειν ἀλύπως βιοῦν, κακῶς οἴεται. πλοῦτος γοῦν ἡδονὰς μὲν οἷός τε παρέχειν ἀνθρώποις ἐστί, τὰς ἀπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων, καὶ ἄλλων ὁμοίων· οὔτε δὲ εὐθυμίαν, οὔτε ἀλυπίαν, οὐδαμοῦ τοῖς κεκτημένοις παράσχοι ἄν. μαρτυροῦσι δὲ πολλοὶ τῶν πλουσίων, λυπούμενοι καὶ ἀθυμοῦντες, καὶ ἀθλίους νομίζοντες εἶναι αὑτούς. διόπερ οὐδὲ ἐπικούρημα γήρως καλὸν ὁ πλοῦτος εἴη ἄν.

Κικέρων ἐκ τοῦ περὶ γήρως.

Σὺ δὲ ἄκουε λόγον οὐκ ἐμόν, οὐδὲ νεώτερον, ἐχθές που καὶ πρῴην εὑρεθέντα, καὶ μόλις εὐδοκιμήσαντα· παλαιῶν δὲ ἀνδρῶν σοφῶν τεθαυμασμένον. διδάσκει γὰρ ἡμᾶς, ὅτι πάντα

δὲ

prętermisso uoluptatibus operam det, laudari meretur. Nullum igitur hoc pacto secundum naturam uiuere dici posset: uerum illud quod maximè uirtutem eorũ exhibuerit, per quæ secũdum naturam suam agit. Etenim cuiusq; natura unumquodq; ad suam uirtutem ducit. Quamobrem etiam homo secundum naturã uiuere uideri debet, nõ cum in uoluptate, sed cum in uirtute uitam degit. Sic demum enim & laudari iure poterit, & magnificè de seipso sentire, bonaq; spe & animi fiducia confirmari, ad quæ honesta lætitia & stabile gaudium necessario sequuntur. Sed homo in uniuersum solus omnium in terra degentiũ Dei imago est: & similes ei uirtutes habet. Nam ne inter deos quidẽ præstantius aliquid excogitari potest, quàm prudentia, iustitia, fortitudo & tẽperantia. Quemadmodũ igitur Deus propter istarũ uirtutum præsentiã, à uoluptate & auaritia uinci nequit, superatq; omnem cupiditatem, inuidiam, & æmulationẽ: magnanimus, beneficus, & hominũ amans est. talẽ enim Deũ esse animo concipimus. Sic & imaginẽ eius, uidelicet hominẽ similiter se habere existimandũ est, cũ secundũ naturã uiuit, & sic se habentem, desyderabilẽ, & ęmulatione dignũ esse: Qualis cũ sit, statim & fœlix fuerit. Non enim alios quàm fœlices ęmulamur. Atqui talẽ fieri hominẽ impossibile non est. Nec enim alia de re uirtutes istas animo concipere possumus, quàm de ipsa humana natura, si in huiusmodi aliquos homines incidamus, quales modo diuinos & dijs similes nominabã. Ergo si quis iam antea in iuuentute rectè institutionis studiũ adhibuerit, & bonas disciplinas sufficienter didicerit, & morũ exercitia satis exercuerit: is demũ in senectute natiuis animi sui motibus utens, secundũ naturã uiuere poterit, & absq; dolore priuationem iuueniliũ uoluptatũ feret, & ob præsentem corporis imbecillitatẽ non tristabitur: sed nec ab alijs se contemni, aut à familiaribus & amicis negligi ægrè feret, ut qui aduersus hæc omnia optimũ habeat remediũ in animo suo, institutionẽ uidelicet qua imbutus est. At si quis nõ satis quidẽ institutus fuerit, animo tamẽ ad meliora prompto feratur, & rectè dictis obedire possit: is bene sibi consuluerit, si det operam honestis admonitionibus & cõsilijs audiendis ab illis, qui huic rei maximè student, ut cognoscant, quænã uel noxia, uel utilia sint hominibus: atq; si discat quomodo semp illa declinet, hæc uero cõquirat: Et quomodo illas res, quæ cũ malæ nõ sint esse tamen uidentur, accedẽtes benignè suscipiat. Hæc eñ audiens ijsq; obtemperans (nã audire nisi obedias inutilissimũ est) optimè senectuti prospiciet cũ aliàs, tũ mortis metu liberabitur, q maximè turbat premitq; senes, tanquã oblitos mortalibus omnibus mortẽ deberi. Certe id q̃d miserrimã senũ uitam facit hoc ipsum est, mortis inquã metus: Quod & Isocrates orator cõfessus est. Traditur eñ ille, cũ interrogasset quidã, quomodo uiueret, dixisse: Ita ut ille qui iam nonagenarius mortẽ malorum extremũ censet. Quomodo quæso quicquã ille disciplinę aut cognitionis ueri maliue habebat, qui malũ id esse iudicabat, quod uel optimã uitã necessario sequitur. Nempe boni uiri optima uita est, quæ & ipsa morte clauditur. Si quis igitur in senectute hoc sibi, quod dixi, cõparauerit, uidelicet ut mortẽ intrepido fidentiq; animo suscipiat, ille non exiguã partẽ indolenter & secundũ naturã uiuendi acquisiuerit. Id aũt acquiret si philosophis cõuersetur, qui non solo nomine, sed reuera tales sunt, modo ipsis obedire uoluerit. Optimũ igitur senectæ uiaticũ hoc esse assero, quod & ab initio sermonis dixi, uiuere secundũ naturã, agendo simul, & meditãdo ea quæ decet. Sic enim senex uitã & iucundissimã & maximè laudabilẽ degets quæ si habeat, nihil impedit quin beatè & honorificè uiuat. At si quis putat plurimum ex diuitijs senibus accedere solatij, earumq; beneficio tristitiam & dolorem amoueri, non rectè putat. Nam diuitiæ possunt quidem uoluptates hominibus largiri, quæ cibos, potus, & Venerem sequuntur: animi uero hilaritatem, & indolentiam possidenti nunquam exhibuerint. Huius rei testes sunt permulti diuites, qui tristitia & animi mœrore laborant, seq; ipsos miseros esse iudicant. Quocirca diuitiæ non possunt egregiũ esse senectutis subsidium.

Audi iã sermonẽ nõ meũ, neq; nouũ, heri fortè aut nudiustertius inuentũ, & uix approbatũ: sed ab antiquis & sapientibus uiris in admiratione habitum. Docet eñ *Iunci ex libro de senectute.*

lego ἀνευρεθείη. δὴ σχεδὸν τὰ ἐν * οἷς πράγματα, τέλος οὐκ ἂν εὑρεθείη βέβαιον ἔχοντα, πρὸς τὸ ἀγαθὸν, ἢ τὸ χεῖρον. ἐπειδὴ ἥπερ χρῆσις μεταβάλλειν αὐτὰ ἔοικεν, ὡς εἶναι ποτὲ μὲν καλὰ καὶ ἀγαθὰ,
malim τὰ αὐτά. προστάτου καὶ καθηγεμόνος ἀγαθοῦ τυχόντα: ποτὲ δ' αὖ * ἑαυτὰ τὴν ἐναντίαν ἔχειν δύναμιν ὑπ' ἀνδρὸς κακοῦ παρειλημμένα. (καὶ τὰ μὲν ἄλλα) ὡς πλοῦτόν τε καὶ δόξαν, καὶ στρατηγίαν, καὶ πολιτείαν, καὶ δύναμιν σώματος, καὶ κάλλος, καὶ ἰσχὺν λόγου, καὶ πάντα ὁπόσα εἰς τὸ καλὸν καὶ τὸ φαῦλον τελευτᾷ, καλῶς ἢ πονηρῶς δρώμενα. ἐπ' αὐτὴν δὲ πειράσομαι τὴν προκειμένην ὑπόθεσιν τραπέσθαι, διά τινος συντόμου καὶ εὐθείας ὁδοῦ. καὶ γὰρ νεότης, ὦ οὗτος, καὶ γῆρας, ἄμφω μὲν καλὰ ἐστὸν καὶ περιπόθητα καὶ εὐκτά. ἄμφω δὲ χαλεπὰ καὶ αἰσχρὰ καὶ δύσ-
lego νέον. κολα δειχθείη ἂν, ὑπὸ τῶν οὐ δεόντως αὐτοῖς χρωμένων. αὐτίκα * τὸν ἀμαθῆ τε καὶ θρασὺν, ἕτοιμον πρὸς τὸ ἀδικεῖν, δύστροπόν τε καὶ πλούσιον πλάττωμεν τῷ λόγῳ: συνέστω δὲ τούτῳ κατὰ τὴν αὐτοῦ εἰκόνα, πρεσβύτης πονηρὸς τὸν τρόπον καὶ ἀναίσχυντος, καὶ εἰς οὐδὲν ὑπομένων ἐλαττοῦσθαι τοῦ νέου ἐν τοῖς ἁμαρτήμασι. τί οὖν, ἢ νεότητα διὰ ταῦτα μέμψαιτ' ἄν τις, ἢ γῆρας αἰτιάσαιτο, οὐχὶ δὲ τὸν νέον, αὐτὸ δὲ τοῦτο καὶ τὸν γέροντα, εἰ ἀδικοῖεν, ὑπευθύνους εἶναι δόξειε; καὶ δὴ καθάπερ ἐπὶ σκηνῆς, ἢ τινὸς ἀγορᾶς, ἐν ᾗ δεικνύουσιν οἱ θαυματοποιοὶ τὰ θαύματα, ἡκέτω τις ἡμῖν ἑτέρα εἰκὼν, τῶν προειρημένων μορφὴν ἔχουσα, διὰ τὴν προσοῦσαν ἡλικίαν ἑκατέροις: τοὺς δὲ τρόπους, καὶ τὰ ἤθη, καὶ τὰ ἔργα, κατὰ τὸ ἐναντίον τῶν προειρημένων. ἀγαθὸς μὲν ὁ νέος ἔστω, καὶ περὶ τὸ ποιεῖν τἀγαθὸν, προθυμότατος. ἐνάρετος δὲ ὁ πρεσβύτης καὶ δυνατὸς ἐπιτελεῖν, ὁπόσα λέγεται καὶ ἔστιν ἐν ἀνθρώποις πλεονεκτήματα. ἐπὶ τοῖς δὲ οὖν ἀμφοῖν περιβλέπτοιν οὖσιν, τῷ γήρᾳ καὶ τῇ νεότητι, τὰς αἰτίας τῆς ἀρετῆς τοῖν ἀνδροῖν ἀναθήσομεν; οὐχὶ δὲ ἑκατέρῳ τὰ προσόντα δι' ἑαυτὸν ἐπαινεῖν πεισθησόμεθα; καί με ὑπόμενον λέγοντα, ἅπερ δή ποτε ἤκουσα ἀνδρὸς φιλοσόφου διδάσκοντος ἡμᾶς αὐτὰ ταῦτα. ἔλεγε δὲ, περί τε ψυχῆς ἀνθρώπου καὶ σώματος: ὅτι χρὴ, τὰ μὲν θεῖα καὶ μεγάλα, καὶ οἷς ἐφέστηκε δαίμων τις, ἢ θεὸς, ἢ τύχη, ταῦτα δὲ καὶ ἀκόντων ἡμῶν κρατεῖ. τὰ δὲ ὥσπερ κοινὰ ἤδη καὶ συνήθη τισὶν ἁμαρτήματα οἱ χρόνοι προσάγουσιν, ἑκοῦσιν ἑκοῦσι. φράσω δέ τι σαφέστερον ἅπερ εἶπον. ἔχει δὲ ὧδε. τῆς ψυχῆς τὸ μὲν εἰλικρινὲς καὶ καθαρὸν, ὃ δὴ θεῖον ἐστὶ καὶ εἶναι δοκεῖ, τοῦτο μὲν ἔφη γεννωμένοις ἡμῖν συνεκπέμπεσθαι, μηδενὸς αὐτῷ κοινωνοῦντος τῶν ταραττόντων τε καὶ ἀφανιζόντων τὴν ἐν αὐτῷ φρόνησιν. ἔπειτα δὲ τρεφομένου καὶ αὐξομένου τοῦ σώματος, παρακολουθεῖν τινας ἡδονὰς καὶ ἐπιθυμίας τῷ ζώῳ πολεμούσας, αἷς σύμμαχός τε καὶ συνέριθος ἡ νεότης γίνεται, ὑφ' ἧς βαδίζουσαι καὶ κατακρύπτεσθαι δοκοῦσαι, μονονουχὶ μάστιξι καὶ κέντροις, ὥσπερ ἐπὶ σκηνῆς αἱ τῶν τραγῳδῶν εὐμενίδες, τὸν νέον ἐλαύνουσιν, αἱ μὲν, ἐπί τινας ἔρωτας, οὐ νενομισμένους, οὐδὲ θεοῖς φίλους. ἄλλαι δὲ, ἐξοργίζουσί τε καὶ ἀνεγείρουσιν αὐτὸν, ἐπὶ μανίαν, καὶ θυμὸν ἀλόγιστόν τινα, πάντα τὰ δεινὰ κελεύουσαι δρᾶν, ἅπερ οἶμαι καλλωπίζουσί τε καὶ ἐπισκιάζουσιν ἑτέροις ὀνόμασιν. εἰ μὲν θυγατρὸς ἐρῴη τις, ἢ μητρὸς, τὸν ἔρωτα συνήγορον παραλαμβάνουσαι: εἰ δὲ ἀλλοτρίου μέν τινος, οὐκ ἐξὸν δὲ, ὅμως τὰ τῶν Βοιωτῶν, ἢ τὰ τῶν ἰώνων νόμιμα σημαίνουσιν ὑπὸ κάλλους καὶ ἡδονῆς περιαστράπτεσθαι λέγουσαι τὸν ἄνδρα. καὶ ὅτι νέῳ δέ τι πάντα ἐπέοικεν. αἱ δὲ, θάρσος ἐμποιοῦσαι καὶ ἀλογιστίαν, ἀνδρείαν ταῦτα ἐκάλεσαν. μέτριαι δέ πως ἐνομίσθησαν, αἱ φιλοίνους τε καὶ ὀψοφάγους, καὶ αὖ φιλαργύρους ποιοῦσαι. καὶ δὴ σκοπήσατε ὦ παρόντες, ὅτι αὗται αἱ μυρίαι σειρῆνες αἱ τὸν πλεῖστον ἀπάγουσαι λεὼν ὥσπερ αἰχμάλωτον, οὐ θαῤῥοῦσι προσελθεῖν γέροντι. ἀλλὰ δὴ σὺν τῷ σώματι λήγοντι καὶ μαραινομένῳ, τά τε αἴτια τῶν ἁμαρτημάτων ὑπέξεισιν: ἥ τε ψυχὴ αὐτοῦ μελετᾷ ἤδη, ὥσπερ καθ' ἑαυτὴν γιγνομένη, τὰ μὲν ἀνθρώπεια κακὰ, φεύγειν: συνεῖναι δὲ σωφροσύνῃ. τεκμήρια δὲ τῶν εἰρημένων καὶ πίστεις ἐποιεῖτο, τά τε ἔργα παραλαμβάνων, καὶ παλαιὰ ἐξηγούμενος, δι' ὧν ἔπαθε, τὸ μὲν νέον ἅπαν, σκιρτᾶν τε καὶ περιφλεγμαίνειν τἀκρατὲς ἑαυτοῦ, καὶ παράπτεσθαι. τὸ δὲ πρεσβύτερον καὶ κατηρτυμένον, δίκαιόν τε εἶναι καὶ εἰλικρινὲς, οὐ παρέχον τοῖς λυποῦσιν ἀφορμὰς, ὅμοιον εἶναι θεῷ. ἐμνημόνευε δὲ τραπεὶς ἐπὶ τὴν ἑλληνικὴν ἱστορίαν τοῦ πυλίου νέστορος, ὃν διὰ γνώμην καὶ γῆρας τῶν ξυμπάντων ἡρώων, προετίμησεν ἀγαμέμνων, ὁ τοῦ πολέμου στρατηγός: οὐδ' ἡμέρας μόνον, ἀλλὰ καὶ νύκτωρ
a. παραγγελλόμενος ἐπὶ τὴν ἐκείνου ναῦν, ὁπότε συμβούλου δέοιτο, θέλων αὐτῷ συνεῖναι

κατὰ

nos quod omnes propè hominum res, certū & constantē finem ad bonum aut malum habere non inueniantur. Siquidem usus & administratio ipsas immutare uidetur, ut aliâs honestæ bonæq; fiant, ubi dominū & præsidē bonū nactæ fuerint: aliâs contrariā facultatē habeant, si à malo uiro administrētur. Huiusmodi sunt diuitiæ, gloria, gubernatio rei militaris & reipublicæ, uires corporis, pulchritudo, facūdia, omnia deniq; quæ in bonū & malū finem exeunt, prout bene maléue usurpantur. Sed breui & recta uia ad institutū nostrum aggrediar. Etenim iuuētus ô bone uir & senectus, utraq; ætas bona, studioq; digna & optanda est. Vtraq; tamen praua, turpis & molesta esse cōuinci potest propter abutentes. Fingamus age nobis iuuenem imperitum, audacē, ad iniurias inferendas promptū, robustum, ac diuitē: Huic addatur pro sua persona, senex moribus prauis, & impudens, & qui iuuene nusquam inferior esse uelit in uitijs. Quid igitur? An quæso propter hæc uitia ipsas ætates accusabimus: non aūt potius ipsum iuuenem, & similiter senem, si quid iniustè faciāt, culpam mereri iudicabimus? Sed iam ueluti in scena aut foro, ubi prestigiatores sua miracula exhibent, alia persona nobis accedat, quæ uultū quidē superioribus eundem habeat quod ad utriusq; ætatem: mores autem, ingenium, & opera superioribus contraria: Iuuenis quidem bonus sit, & agendo bona promptissimus: senex autem uirtutis studiosus, & qui præstare possit omnia, quæ inter homines præcipua tum celebrantur, tum existunt. In duobus igitur istis claris hominibus, ætatine iuuenili aut senili, uirtutis eorum causam acceptam feremus? Et nō potius utrumq;, quicquid habet boni, id per se habere credemus? Agedum obsecro aures mihi præbe ea dicenti, quæ olim à philosopho quodam hæc eadem nos docente audiui. Loquebatur autem de hominis anima & corpore, nempe quod diuinæ quidem res & magnæ, & quibus dæmon aliquis præest, aut deus, aut fortuna, uel inuitis nobis obtineant & procedant: Communia uero iam, & familiaria quibusdam peccata temporis mora uolentibus uoluntaria producat. Sed clarius explicabo ea quæ dixit, uidelicet hoc modo. Animæ synceram puramq; partem quæ diuina tum est, tum esse uidetur, nascentibus nobis inseri aiebat, nulla re perturbante admixta, nec eius prudentiam obscurante. Deinde dum alitur augescitq; corpus, uoluptates quasdam & malitias animali repugnantes consequi, quibus ipsa iuuentus socia fieret & auxiliaris, sub cuius uelamento pergentes, seq; latere putantes, tantum non flagellis & stimulis, uti in scena Tragœdorum furiæ, iuuenem impellerent, aliæ in amores aliquos illegitimos, & dijs exosos: aliæ ad iram, insaniam, & furorem irrationalem excitarent, iniqua omnia perpetrare iubentes, quæ nimirum honestioribus nomenclaturis ornarent & obtegerent: Nempe si quis filiam aut matrem amet, Cupidinem sibi patronum assumentes: aut si aliud quid alienum & illicitum, Bœotorum & Ionum leges, quæ uirum pulchritudine & uoluptate fulgurare confirmant, proferentes: Et quod decora omnia sint iuuenili ætati: Aliæ audaciam & temeritatem in aliquo creantes, fortitudinem id uocant: Moderatæ autem existimantur, quæ uino aut opsonijs deditos, & auaros efficiunt. Agite quotquot adestis, uidete, quod infinitæ istæ Sirenes, quæ maximam hominum turbam ueluti captiuam abducunt, senem accedere non audeant: Verum unà cum corpore declinante & marcescente, peccatorum quoque causæ paulatim recedunt. Et anima senis, tanquam sui iuris facta, iam meditatur, humana mala refugere, ac temperantiam exercere: Argumentis autem & rationibus ad probandum ea quæ dicta sunt, utebatur, tum res nuper gestas, tum ueterum exempla proponens, quibus conuincebat iuueniles animos affectibus exilire, & incontinentiam eorū effrenem esse, ac erroneam: Seniles uero, & maturos, iustos syncerosq; esse, & cum nullis perturbationibus locum dent, deo assimilari. Itaq; ad Græcorū historiā cōuersus Nestoris Pylij mentionem faciebat, quem Agamemnon belli dux prudentiæ & senectutis ergò præ omnibus reliquis heroibus honorauit: nō interdiu solū, sed etiā noctu nauim eius frequentans, quoties opus consultore habebat, ut cū eo tempore

κατὰ τοὺς κινδύνους, Ἀχιλλέως μηνίοντος. οὐ γὰρ τὸν νέον καὶ ἄτρεστον Αἴαντα, οὐδὲ μὴν Διομήδη τὸν περιφανέστατον διὰ τὸ ἐπικείμενον αὐτοῦ τοῖς ὅπλοις θεῖον πῦρ, ἀλλ' οὐδὲ μὴν Μενέλεων τὸν ἀδελφόν, ὡς ἐκεῖνον δὴ τὸν ὑπερβαλλόμενον γενεὰς ἀνθρώπων, τὰς ἤδη ζωῇ νενομισμένας * πάντα ἐδόκει αὐτῷ περὶ τὰ κατὰ τοὺς πολέμους βοηθήματα εἶναι. καὶ τοῦτο δὲ ἔλεγε, τὸν Θεμιστοκλέα τὸν Ἀθηναῖον νέον μὲν ὄντα ὁ πατὴρ ἀπεκήρυξεν, οὐκ ἐθέλων υἱὸν ἔχειν, διὰ τὰς ἐν τῇ νεότητι ἁμαρτάδας· πλησίον δὲ τοῦ γήρως γιγνόμενον, αὐτὸν ἐκεῖνον οἱ Ἀθηναῖοι στρατηγὸν εἵλοντο ἐν τῷ περσικῷ πολέμῳ, καὶ συμβουλεύοντί τε καὶ διακρίνοντι ἤδη τὸ σαφέστερον τὰ τοῦ Ἀπόλλωνος μαντεῖα εἵποντο, ἐκλιπόντες τὴν πόλιν ἐρήμην, καὶ προθύμως ἀνέβαινον εἰς τὰς ναῦς, ἡγουμένου Θεμιστοκλέους, καὶ διόπερ ἐσώζοντο. τί γάρ με δεῖ τοῦ Ἀλκιβιάδου λέγειν νεότητα, καὶ τὸ γῆρας τοῦ Νικίου. ὧν ὁ μέν, ἤδη Σικελίαν ἦγεν αὐτούς, καὶ ἐδυστύχουν· ὁ δέ, συνεβούλευσε σωφρονεῖν; εἰ γὰρ ἐθελήσαιμι τούτων γε πέρι καὶ τῶν ὁμοίων γίγνεσθαι, ἐπιλείψει με ὁ σύμπας χρόνος.

Videtur aliquid deesse.

ΠΕΡΙ ΘΑΝΑΤΟΥ, ΚΑΙ ΩΣ ΕΙΗ ΑΦΥΚΤΟΣ.

ΛΟΓΟΣ ριή.

Αἰσχύλου.

Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ.
οὔτ' ἄν τι θύων, οὔτ' ἐπισπένδων νάοις.
οὐ βωμός ἐστιν, οὐδὲ παιωνίζεται.
μόνου δὲ πειθὼ δαιμόνων ἀποστατεῖ.

Ὁμήρου.

Ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,
κτητοὶ τε τρίποδες, καὶ ἵππων ξανθὰ κάρηνα,
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λεϊστή,
οὔθ' ἑλετή. ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

Φιλήτου.

Ἀτραπὸν εἰς ἀΐδεω ἀνύσω,
τὴν οὔπω τὶς ἐναντίον ἦλθεν ὁδίτης.

Σιμωνίδου.

Τοῦτό κεν εἰς ἀΐδαν, κοινὰ διανήχεται ἀχώ,
σιγᾷ δ' ἐν νεκύεσσι, τὸ δὲ σκότος, ὄσσε κατέῤῥει.
Πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα χάρυβδιν,
αἱ μεγάλαι ἀρεταί, καὶ ὁ πλοῦτος.
Ὁ δ' αὖ θάνατος ἔφικε καὶ τὸν φυγόμαχον.
Πᾶς ἀναλύεται τὸ σῶμα, πνεύματος φυγόντος.

Εὐριπίδου.

Κατθανεῖν δ' ὀφείλεται
καὶ περὶ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων.

Μενάνδρου.

Ἀθανασία δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς
τὰ ταντάλου τάλαντα ἱκανὰ λεγόμενα.
ἀλλ' ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί.

Σοφοκλέους.

Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.
Ὅστις δὲ θνητῶν θάνατον ὀῤῥωδεῖ λίαν,
μωρὸς πέφυκε, τῇ τύχῃ μέλει τάδε.
ὅταν γὰρ ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ,
οὐδ' ἂν πρὸς αὐλὰς ζηνὸς ἐκφύγοι μολών.

Ἀνακρέοντος.

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι. κάρα δὲ λευκόν.
χαρίεσσα δ' οὐκ ἔθ' ἥβη πάρα. γηραλέοι δ' ὀδόντες.
γλυκεροῦ δ' οὐκ ἔτι πολλὸς βιότου χρόνος λέλειπται.
διὰ ταῦτ' ἀνασταλύζω θαμά, τάρταρον
δεδοικώς. ἀΐδεω γάρ ἐστι δεινὸς μυχός.
ἀργαλέη δ' ἐς αὐτὸν κάθοδος.

periculorum, indignante adhuc Achille, conferret. Nõ enim adeò coluit iuuenem illum & inuulnerabilem Aiacem, neq; Diomedem diuino igne in armis eius relucente spectabilem, imò ne Menelaũ quidem fratrem, quàm Nestorem illum hominum ætates uitæ spacio destinatas ter excedentem, in quo omnia gerendi belli auxilia ei sita esse uidebantur. Hoc etiam narrabat, quod Themistoclem Atheniensem adhuc iuuenem pater abdicasset, nolẽs eum amplius filium habere propter iuuenilia delicta: eundem uero iam propemodum senem Athenienses Persici belli ducem sibi delegissent, quem consulentem & Apollinis oracula clarius interpretantem, urbe solitaria relicta sequebantur: & promptè naues conscendebant præeunte Themistocle, ideoq; seruabantur. Quid est quod Alcibiadis iuuentam, & Niciæ senectutem, quorum ille nauibus ad Siciliam ductus infortunij causa fuit: hic uerò temperantiæ consultor, pluribus recenseam? Nam si in his & similibus immorari uellem, nullum mihi tempus satis longum foret.

DE MORTE, ET QVOD INEVITABILIS SIT. SERMO CXV.

Mors enim sola deûm non amat munera. *Aeschyli.*
Nec ullus ei sacrificat, aut libat in templis.
Nullam habet aram, non celebratur hymnis.
Sed ab ea dæmonum sola, aliena est suadela.
Obnoxij prædæ sunt boues, & pinguia pecora, *Homeri Iliad. 9.*
Et tripodes acquiri possunt, & equorum flauicoma capita:
At hominis anima, ut redeat, neq; per prædam,
Nec aliter capi potest, ubi semel emigrauerit è uallo dentium.
Iter feci ad inferos, *Philetæ.*
Per quod nullus retrorsum uiator redijt.
Nihil ad inferos quàm sonus transit inanis. *Simonidis.*
Silentium inter umbras est, & oculis offunduntur tenebræ.
Omnia perueniunt ad unam uoraginem diram,
Et magnæ uirtutes & diuitiæ.
Mors etiam profugum assequitur.
Corpus resoluitur cum spiritus emigrauit.
Mors autem imminet *Euripidis.*
Etiam illi, qui domi desidet extra pericula.
Immortalitas comparari non potest, ne si collegeris quidem *Menandri.*
Infinita talenta, quot habuisse Tantalus fertur.
Sed morieris, eaq; relinques alteri.
Antiqua momento cadunt exiguo corpora. *Sophoclis.*
Quisquis uero mortalium nimis mortem extimescit,
Is stultus est, fortuna hæc curat.
Nam ubi tempus aduenerit moriendi,
Ne ad Iouis quidem uestibula perueniens effugerit aliquis.
Cana iam nobis tempora sunt, albetq; caput, *Anacreontis.*
Et non amplius gratiosa iuuentus adest: sed dentes produnt senium.
Nec amplius longum uitæ suauis tempus superest.
Quamobrem sæpe suspiro, tartarum
Metuens, terribilis enim Plutonis est spelunca:
Et descensus ad ipsam horrendus.

καὶ γὰρ ἕτοιμον καταβῆναι, μὴ ἀναβιῶναι.

Εὐριπίδου. Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται,
τὴν αὔριον μέλλουσαν, εἰ βιώσεται.

Διφίλου. Θνητὸς πεφυκὼς, μὴ δυλαβοῦ τεθνηκέναι.

Ἀριστοφάνους. Τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον, λῆρος πολύς.
πᾶσιν γὰρ ἡμῖν τοῦτ᾽ ὀφείλεται παθεῖν.

Ποσειδίππου. Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν,
τῆς ἀθανασίας κρεῖττον οὐδὲν εὔχεται.

Πλάτωνος. Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος.

Πορφυρίου. Ὃ ἔδησεν ἡ φύσις, τοῦτο φύσις λύει· καὶ ὃ ἔδησεν ἡ ψυχὴ, τοῦτο αὐτὴ λύει. ἔδησε δὲ, φύσις μὲν σῶμα ἐν ψυχῇ· ψυχὴ δὲ αὐτὴν ἐν σώματι. φύσις μὲν ἄρα, λύει σῶμα ἐκ ψυχῆς· ψυχὴ δὲ αὑτὴν λύει ἀπὸ σώματος.

Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου. Ταράσσει τοὺς ἀνθρώπους, οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. † θάνατος, οὐ φοβερόν. ἐπεὶ καὶ Σωκράτει ἂν * ἦν. ἀλλὰ τὸ δόξαι τὸν θάνατον εἶναι φοβερόν. ὅταν οὖν ἐμποδιζώμεθα καὶ ταραττώμεθα, μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ᾽ ἑαυτούς· τοῦτο δ᾽ ἐστὶ, τὰ † φαῦλα δόγματα.

† al. οἷον θάνατος οὐδὲν δεινόν. * al. ἐφαίνετο. † al. ἑαυτ. al. ἀναλέξῃ.

καθάπερ ἐν πλῷ τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον καὶ κοχλίδιον * ἀναλέξασθαι καὶ βολβάριον· τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήποτε ὁ κυβερνήτης καλέσῃ, κἂν καλέσῃ πάντα ἀφεῖναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς ὡς τὰ πρόβατα. οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ὁδοῦ πάρεργον, ἀντὶ βολβοῦ καὶ κοχλίου, γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει. ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα πάντα μηδὲ ἐπιστρεφόμενος. ἂν δὲ ᾖς γέρων, μὴ δὲ ἀποχώρει τοῦ πλοίου μακρὰν, μήποτε καλοῦντος ἐλλίπῃς.

Ἄφυκτόν ἐστι τὸ τῆς πεπρωμένης κακόν.

Ἀριστίλλους. Γοργίας ὁ Λεοντῖνος, ἐπὶ τέρματι ὢν τοῦ βίου, ὑπ᾽ ἀσθενείας καταληφθεὶς, κατ᾽ ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. εἰ δέ τις αὐτὸν τῶν ἐπιτηδείων ἤρετο, τί πράττοι, ὁ Γοργίας ἀπεκρίνατο· ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ.

Σωκράτους. Χρὴ ψυχὴν λιπεῖν, μὴ δ᾽ ἀνιάζειν δακρύοις καὶ θρήνοις. τὸ δὲ χρεὼν, ἀνδρὸς ἀγαθοῦ φέρειν.

Οὐχ ὁ θάνατος δεινὸν, ἀλλ᾽ ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά.

Τοῦ ἀποθανεῖν ὁμοίως ἐπικεκλωσμένου πᾶσιν, οὐ τὸ βραδέως, ἀλλὰ τὸ εὐφανῶς ἀποθανεῖν μακάριον.

Ἀρίμνηστος ἐρωτηθεὶς τί μέγιστον ἀγαθὸν ἀνθρώπῳ, εἶπε· τὸ καλῶς ἀποθανεῖν.

Ὅτι παραπλήσια τοῖς μετοικιζομένοις πάσχομεν. καὶ γὰρ οἱ μὲν ἑκόντων εὐδαιμονοῦντες, ταχέως ἐξίασιν· οἱ δὲ μὴ βουλόμενοι, πρὸς βίαν.

Γοργίας ὁ ῥήτωρ ἤδη γηραιὸς ὑπάρχων, ἐρωτηθεὶς εἰ ἡδέως ἀποθνήσκοι, μάλιστα εἶπεν. ὥσπερ γὰρ ἐκ σαπροῦ καὶ ῥέοντος οἰκιδίου ἀσμένως ἀπαλλάττομαι.

Ἐπικούρου. Ὁ θάνατος, οὐδὲν πρὸς ἡμᾶς. τὸ γὰρ διαλυθὲν, ἀναισθητεῖ. τὸ δὲ ἀναισθητοῦν, οὐδὲν πρὸς ἡμᾶς.

Ἑρμάχου. Εὐκαταφρόνητος ὁ θάνατος. ἄπρακτον γὰρ τὸ ποιεῖν, τοῦ πάσχοντος ἀνῃρημένου.

Πορφυρίου. Ὁ θάνατος διπλοῦς. ὁ μὲν οὖν συνεγνωσμένος, λυομένου τοῦ σώματος ἀπὸ τῆς ψυχῆς· ὁ δὲ τῶν φιλοσόφων, λυομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. καὶ οὐ πάντως ὁ ἕτερος τῷ ἑτέρῳ ἕπεται.

Πρὸς μὲν τὰ ἄλλα, δυνατὸν ἀσφάλειαν ποιήσασθαι· χάριν δὲ θανάτου, πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

ΕΓ ΑΥ

Nam qui semel descendit, redire non potest.

Cunctis mortalibus mors debetur. *Euripidis.*
Et nullus hominum certò nouit,
An uicturus sit diem crastinum.

Cum sis natus mortalis, mori ne timeas. *Diphili.*

Metuere mortem magna stultitia est. *Aristophanis.*
Omnibus enim nobis hanc pati fatale est.

Inter ea quæ homo diuinitus sibi dari optat, *Posidippi.*
Nihil optat quod immortalitate melius sit.

Hoc igitur mors nominatur, solutio & separatio animæ à corpore. *Platonis.*

Quod natura ligauit, id soluit natura: & quod anima ligauit, id ipsa rursum soluit. Ligauit autẽ natura corpus in anima: anima seipsam in corpore. Natura igitur corpus ab anima soluit: anima uero seipsam soluit à corpore. *Porphyrij.*

Perturbant homines non res ipsæ, sed rerum opiniones: ut mors nihil terribile, alioqui & Socrati uisa foret: Sed ipsa opinio solum de morte terrorem incutit. Igitur cum impedimur, perturbamur, aut dolemus, nunquam alium, sed nos ipsos, hoc est opiniones nostras accusemus. *Ex Epicteti Enchiridio.*

Quemadmodum in nauigatione, ubi in portum est uentũ, si exeas aquatũ, incidit ut obiter in uia cochleas aut bulbulos colligas: animum tamẽ ad nauigiũ intentũ habere conuenit, & sæpe respicere an gubernator uocet: etsi uocet, omnia illa abijcere, ne uinctus eò conijciaris instar pecudũ: sic in uita, si pro bulbulo aut cochleola uxorcula nobis, aut filiolus præbeatur, nihil prohibebit eis uti: Si autem gubernator uocet, curre ad nauigium, relinquens hęc, neq; respiciens. Si autem sis senex, nunquam procul à nauigio discede, ne forte uocatus desis (ineq; id uinctus conijciaris. Qui enim uolens non sequitur, necessitate id patietur.) *Ibidem.* *Inclusa parenthesi ex Politiani sententia adiecimus.*

Ineuitabile est malum fatale.

Gorgias Leontinus iam uicinus morti, uiribus deficiẽs, sensim in somnũ delapsus iacebat. Et si quis ipsum ex familiaribus interrogaret, quid ageret, respondebat: Iam somnus incipit me fratri suo tradere. *Aristotelis.*

Relinquenda est anima, nec lachrymis & fletibus turbanda. Fatum enim ferre boni uiri est. *Socratis.*

Mors non est terribilis, sed uiolenta affectio circa mortem horrenda est. *Aeschinis.*

Cũ omnib⁹ ex ęquo mors sit fatalis, nõ tardè sed gloriosè mori fœlicitas est.

Arimnestus interrogat⁹ q̃d maximũ homini bonũ esset: bñ mori, respõdit.

Simile quid nobis accidit & illis quibus exilij causa uertendum est solum. Fœlices enim ex eis sunt, qui statim ultrò exeũt: qui autem id facere nolunt, per uim pelluntur.

Gorgias orator iam senex interrogatus an libenter moreretur: maximè dixit: nam tanquam ex putri & diffluente domuncula non inuitus discedo.

Mors nihil ad nos. Nam quod dissolutum est, sensu priuatur. Quod autem sensus expers est, id nihil ad nos. *Epicuri.*

Mors facile contẽni potest. Causa eñ efficiens irrita fit, qñ patiẽs interijt. *Hermachi.*

Duplex est mors: altera uulgo cognita, cum corpus ab anima soluitur: altera philosophorum, cum anima soluitur à corpore: & non necessario altera sequitur alteram. *Porphyrij.*

Aduersus alia quidem, munimenta parari possunt: quod uero mortem attinet, omnes homines ciuitatem immunitam habitamus. *Metrodori.*

Εὐριπίδου. Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες, καὶ μακρὸν χρόνον βίου.
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδ' εἷς βούλεται
θνήσκειν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ.
Πᾶς ἀνὴρ κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
Πᾶσιν γὰρ οἰκτρὸν, ἡ φίλη ψυχὴ βροτοῖς.
Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον, ἢ θανεῖν τοῖς σώφροσιν.
Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν.
τὸ νέρθεν οὐδέν. μαίνεται δ' ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖσσον, ἢ καλῶς θανεῖν.
Ὦ λαμπρὸς αἰθὴρ, ἡμέρας θ' ἁγνὸν φάος,
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσι καλῶς,
καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ.
Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.
Ὁμήρου. Βουλοίμην * κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ
al. κ' ἐπάρουρος. ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
Σοφοκλέους. Τὸ ζῆν γὰρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας.
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.
Ἀντιφάνους. Ἀλλ' ἡνίκα μὲν ᾖ πρόσω τὸ κατθανεῖν,
ᾅδης ποθεῖται τοῖς δεδυστυχηκόσιν.
ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου,
τὸ ζῆν ποθοῦμεν. οὐ γὰρ ἔστ' αὐτοῦ κόρος.
Ἀπολλοδώρου. Ὅτι μειράκιον ἦν, τοὺς νεκροὺς ἠλέουν,
νυνὶ δ' ὅταν γέροντος ἐκφορὰν ἴδω,
κλαίω. πρὸς ἐμὲ γάρ ἐστι τοῦτο κἂν ὁδῷ.
Ἀλέξιδος. Τὸν γὰρ ὕστατον τρέχων δίαυλον τοῦ βίου, ζῆν βούλομαι.

Φαβωρίνου. Θεόδωρος μὲν γὰρ ὁ κυθηραῖος, οὐδεμίαν ἱκανὴν πρόφασιν ἔφασκεν εἶναι περὶ σοφῷ, πρὸς τὴν τοῦ βίου κατάλυσιν. καὶ τό, τι ἀκόλουθον οὕτως ἑώρα. τὸ γὰρ κατασκευάζοντα τῶν ἀνθρωπείων συμπτωμάτων, ὑπ' αὐτῶν ἐκ τοῦ βίου γίγνεσθαι, πῶς οὐχ ὑπεναντίον περὶ μόνον μὲν τὸ καλὸν ἀγαθὸν, μόνον δὲ αἰσχρὸν τὸ κακὸν εἰρηκότι.

Σπευσίππῳ παραλυθέντι τὰ σκέλη, Διογένης ἐξαγαγεῖν αὐτὸν παρῄνει τοῦ βίου. ὁ δὲ, οὐ τοῖς σκέλεσιν ἔφη ζῶμεν, ἀλλὰ τῷ νῷ.

Ἀρίστωνος. Πολλοὶ σοφοὶ γηραιοὶ φιλοζωοῦσι. ὥσπερ γὰρ οἱ ὀψὲ γήμαντες φιλοζωοῦσιν, ἵν' ἐκθρέψωσι τὰ τέκνα, καὶ οὕτω ὀψὲ ἀρετῆς ἐπήβολοι γενόμενοι, ἱμείρονται αὐτὴν ἐκθρέψαι.

ΕΠΑΙΝΟΣ ΘΑΝΑΤΟΥ, ΛΟΓΟΣ ριζ΄.

Εὐριπίδου. Λέγουσιν, ὥς σοι τέρψιν ἐμβαλῶ φρενί.
al. κρεῖσσον ἢ φῦναι βροτοῖς. τὸ μὴ γενέσθαι, * τῷ θανεῖν ἴσον λέγω.
Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον:
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου.
φύντα δ' ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι,
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.
Νεοπτολέμου. Ὦ θάνατ' εἴθ' εἴης αὐτάγρετος, ὅφρ' ἂν ἑλοίμην
πρώτιστον. καὶ κ' ἐχθρὸς ἐὼν, πολὺ φίλτατος εἴης.
Εὐριπίδου. Εἴτ' οὖν ἡ κάτω χθονὸς, ἔτι γε μέντοι μηδέν. οὐ γὰρ ἴσμεν
πλὴν εὖ μέμνησθε, οἱ θανόμενοι βροτῶν,

FRustra senes mortem optant
Culpantes senectam, & longum tempus uitæ.
Vbi uerò propius mors accesserit, nullus uult
Mori, sed ætas non amplius eis grauis est. — *Euripidis in Alceside.*

Vnusquisque, etsi fuerit seruus, lucis aspectu gaudet.

Mortalibus enim cunctis anima chara misericordiam mouet. — *Eiusdem in Oreste.*

Vbique suauius est uiuere quàm mori prudentibus.

Lux ista hominibus aspectu suauissima est.
Apud inferos nihil est: insanit autem qui optat
Mori. malè uiuere præstat quàm bene mori.

O splendidus æther, & pura lux diei,
Quàm suauis aspectus uester est, tum fortunatis,
Tum infortunatis, quorum ego unus sum.

Nihil enim pretiosius est anima.

Malim in agris habitans seruire apud alium
Pauperem uirum, cui non multus suppeteret uictus,
Quàm omnibus umbris mortuorum imperare. — *Homeri Odyss. x*

Est enim uita ô puer donum longè suauissimum:
Non enim licet eosdem bis mori. — *Sophoclis.*

Quando procul adhuc mors abest,
Orcus desideratur ab infortunatis.
Cum uero obrepit ultima uitæ unda,
Viuere cupimus: nulla enim uiuendi saturitas est. — *Lycophronis.*

Cum iuuenis essem immatura morte defunctorum misericordia ducebar:
Nunc uerò cum uideo senis efferi funus,
Fleo: Nam eadem uia mihi quoque imminet. — *Apollodori.*

Vltimum enim uitæ cursum transigens uiuere cupio. — *Alexidis.*

Theodorus etenim Cytheræus nullã satis magnã causam sapienti esse dicebat ad uitam finiendam, quod hac ratione probabat. Istum enim qui casus humanos contemnit, uitam propter eos relinquere, quomodo non contrarium fuerit illi, qui nihil bonum quàm honestum, & solum turpe malum asseruit? — *Phauorini.*

Speusippum cruribus resolutum Diogenes hortabatur ut seipsum uita priuaret. Cui ille: Non cruribus, dixit, uiuimus, sed mente.

Multi sapientes senes, cupidi sunt uitæ. Nam qui serò nuptias contraxerunt, diuturnam uitam cupiunt ut liberos educent: Et illi cum serò tandẽ uirtute potiti sint, ipsam enutrire desiderant. — *Aristonis.*

LAVS MORTIS, SER. CXVII.

AVdi, ut animo tuo gaudium injiciam,
Non nasci * & mori rem similem puto. — *Euripidis.* *al. præstat, quàm nasci homines.*

Optimum est hominibus omnino non nasci,
Nec intueri radios feruidi solis.
Genitum uero quàm primum ad orci migrare portas,
Et iacere copiosa obrutum tellure. — *Theognidis.*

O Mors utinam te capere nostri arbitrij esset, ut te mihi sumerem
Omnium primo: quantumuis enim inimica gratissima mihi fores. — *Neoptolemi.*

Si quid est infra tellurem,
Opto autem nihil esse. Nam si habituri sumus
Illic etiam curas morituri nos homines, — *Euripidis.*

alio al. οὐκ οἶδα πῶ * τις πρέπεται, τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται.

Σοφοκλέους. Ἀλλ᾽ ἔσθ᾽ ὁ θάνατος λοίσθιος ἰατρὸς νόσων.

Μενάνδρου. Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.

Λεωνίδου. Εὔθυμος ὢν ἔρχοιτο τὴν ἐπ᾽ ἄϊδος
ἀταρπὸν ἑρπῶν. οὐ γὰρ ἐστὶ δύσβατος,
οὐδὲ σκολιωός, οὐδ᾽ ἐνὸς πλέως πλάνης,
ἰθεῖα δὲ μάλιστα, καὶ κατακλινής
ἅπασα, κἀκμεμυκότων ὁδεύεται.

Εὐριπίδου. Ἅλις ὦ βιοτά. πέραινε, πρὶν τινα συντυχίαν
ἢ κτεάτεσσιν ἐμοῖς, ἢ σώματι τῷδε γενέσθαι.

Σωτάδου. Πάντων λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.

Αἰσχύλου. Ὦ θάνατε παιάν, μή μ᾽ ἀτιμάσῃς μολεῖν.
μόνος εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρός,
alium. ἄλγος δ᾽ οὐδὲν * ἅπτεται νεκροῖς.

Σοφοκλέους. Τὸ δ᾽ ἦν ἄρ᾽ οὐδὲν ἄλλο, πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίνεται.

Ἀστυδάμαντος Χαῖρ᾽: εἰ τὸ χαίρειν ἐστί που κάτω χθονός.
δοκῶ δέ. ποῦ γὰρ μὴ ἐστὶ λυπεῖσθαι βίῳ,
ἔστιν τὸ χαίρειν τῶν κακῶν λελασμένον.

Εὐριπίδου. Τίς δ᾽ οἶδεν εἰ ζῆν τοῦθ᾽, ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ᾽ ὀλωλότες
οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

Ἀναξαγόρας, δύο ἔλεγε διδασκαλίας εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

Δημοκρίτου. Ἔνιοι θνητῆς φύσιος διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης, τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου.

Ἰουλίου. Φέρτερον οὐκ ἔλαχε μοῖραν ἐπ᾽ ἀκλέα βιότοιο
εὑρέμεναι. ἀγαθὸν δὲ θανεῖν τῷδε πολιόργον.

Σοφοκλέους. Ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένους,
τὸν ζῶντα θρηνεῖν εἰς ὅσ᾽ ἔρχεται κακά.
τὸν δ᾽ αὖ θανόντα, καὶ πόνων πεπαυμένον,
χαίροντας, εὐφημοῦντας, ἐκπέμπειν δόμων.

Πλουτάρχου. Τροφώνιος καὶ ἀγαμήδης, ποιήσαντες ἐν Δελφοῖς ναὸν, ᾔτουν παρὰ τοῦ Ἀπόλλωνος τὸν μισθόν. ὁ δὲ, αὐτοῖς ἔφη δώσειν, τῇ ἑβδόμῃ ἡμέρᾳ καὶ ταύτῃ ἀπέθανον. ἔτι δὲ κλέοβις καὶ Βίτων, κυδήναντες τῆς μητρὸς αὐτῶν εὐξαμένης τῇ Ἥρᾳ, δοῦναι τοῖς παισὶν ὅπερ ἂν εἴη κάλλιστον, ὅτι ἑαυτοὺς ὑποζεύξαντες τὴν μητέρα εἰς τὸ ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα καταστρέψαι, εἰς οὓς καὶ τοιόνδε τις ἐπίγραμμα πεποίηκεν.

Οἱ δὲ Βίτων κλέοβίς τ᾽ ἰδίοις σώμασιν οἰκείοισιν
ζεύγλαν ζευξάμενοι, μητέρα τὴν ἀγέτην
Ἥρας εἰς ἱερόν. λαοὶ δέ μιν ἐζήλωσαν
εὐτεκνίας παίδων, ἡ δὲ χαρεῖσα θεᾷ
εὔξατο, παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,
οὕνεκ᾽ ἐτίμησαν μητέρα τὴν σφετέρην.
αὐτοῦ δ᾽ εὐνηθέντε, λίπον βίον ἐν νεότητι,
ὡς τόδ᾽ ἄριστον ἐὸν καὶ μακαριστότατον.

Nescio quo quis se uertat. Mors enim
Maximum existimatur malorum esse remedium.

Vltimus morborum medicus mors est. *Sophoclis.*

Dilectus dijs in iuuentute moritur. *Menandri.*

Bono animo perge, ad inferos ducentem *Leonide.*
Viam incedens. Non enim difficilis est,
Nec tortuosa, nec ullis erroribus plena.
Sed est rectissima, & decliuis
Tota, ac uel à cæcis conficitur.

Iam satis ô uita durasti: desine tandem priusquam nouus aliquis casus *Euripidis.*
Aut meis opibus, aut corpori meo accidat.

Mors omnium mortalium portus est. *Sotadis.*

O mors, ne quæso patiar repulsam quo minus ad te ueniam. *Aeschyli.*
Tu sola malis incurabilibus mederis:
Et nullus dolor sequitur mortuos.

Hoc nihil aliud est, quàm ut moriar. *Sophoclis.*
Mortuis enim nullus accedit labor.

Vale, & gaude: si quid apud inferos gaudij est: *Astydamantis.*
Vt esse puto. Vbi enim nulla uitam tristitia turbat,
Ibi gaudium est malorum obliuione fœlix.

Quis nouit an uiuere sit, quod nos uocamus mori: *Euripidis.*
Mors autem uita? Veruntamen homines
Aegrotant uiuentes: defuncti autem
Nihil ægrotant, nec mala experiuntur.

Anaxagoras aiebat duas esse mortis doctrinas: alteram, tempus antequam nati sumus: alteram, somnum.

Homines aliqui naturæ mortalis dissolutionem ignorantes, conscij uero sibi uitæ infœliciter actæ, omne dum uiuunt tempus miserè turbantur ac metuunt, mendacia confingentes de tempore mortem sequuturo. *Democriti.*

Satius est gloriosam mortem, quàm ingloriam uitam *Iulij.*
Adipisci. Et bona mors est tali homini.

Oportet nos ratiocinantes *Sophoclis: al. Euripidis in Themistocle.*
Plorare natum, ut maxima ingressum mala:
At mortuum, uitæq; subductum malis
Efferre lætos, gratulantesq; ædibus.

Trophonius & Agamedes cum Delphicum templum cõstruxissent, mercedem ab Apolline petebant: quam ille se daturum ipsis cum promisisset septimo post die, eodem mortui sunt. Præterea Cleobis & Biton, cum ipsorum mater Cydippe Iunonem rogasset, ut optimam rem filijs donaret, eò quod iugum ipsimet subijssent, matremq; ad templum perduxissent, uitam statim finiuerunt, de quibus hoc epigramma compositum est à quodam. *Plutarchi.*

Biton & Cleobis proprijs corporibus
Subeuntes iugum, matrem perduxerunt
Iunonis in templum. Populi uero beatam prædicarunt eam
Ob filiorum præstantiam. Ipsa uero gauisa deam
Orauit, ut filij consequerentur optimæ fortunæ sortem,
Eò quod matrem suam adeò coluissent.
Illic igitur sopiti uitam in iuuenta reliquerunt,
Tanquam id optimum sit & beatissimum.

Ex τῶν ἐθῶν τοῦ νικολάου.

Καυσιανοὶ τοὺς μὲν γινομένους θρηνοῦσι· τοὺς δὲ τελευτήσαντας, μακαρίζουσιν.

Δημοσθένους.

Τίς γὰρ οὐκ οἶδε τῶν ἁπάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν, ὕπεστί τις ἢ πλείων, ἢ ἐλάττων φθόνος: τοὺς τεθνεῶτας δὲ, οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἀτιμάσει.

Ἑρμοῦ.

Locus apparet corruptus. forte ἀριθμῶ.

Περὶ δὲ τοῦ θανάτου νῦν λεκτέον, τοὺς γὰρ πολλοὺς ὁ θάνατος φοβεῖ, ὡς κακὸν μέγιστον, ἀγνοίᾳ τοῦ πράγματος. θάνατος γὰρ γίγνεται, διάλυσις καμόντος σώματος. * καὶ γὰρ ἀριθμοῦ πληρωθέντος τῶν ἁρμῶν τοῦ σώματος. * ἀριθμὸς γάρ ἐστιν, ἡ ἁρμογὴ τοῦ σώματος. ἀποθνήσκει δὲ τὸ σῶμα, ὅταν μηκέτι δύναται φέρειν τὸν ἄνθρωπον. καὶ τοῦτό ἐστι θάνατος, διάλυσις σώματος καὶ ἀφανισμὸς αἰσθήσεως σωματικῆς.

Θεμιστίου.

Sensus non integer uidetur.

forte ἀνεθῆναι.

lego ἕνιοι.

Ταῦτα τοῦ τίμωνος εἰπόντος, ὑπολαβὼν ὁ πατροκλεὺς, ὁ μὲν λόγος, εἶπεν, οὐχ ἧττον ἰσχυρὸς, ἢ παλαιός. ἔχει δὲ ἀπορείας. εἰ γὰρ ἡ δόξα τῆς ἀφθαρσίας παμπάλαιός ἐστι, πῶς αὖ πάλιν τὸ τοῦ θανάτου δέος, πάντων πρεσβύτατον ἐστὶ τῶν φόβων; εἰ μὴ νὴ Δία καὶ πάντας ἡμῖν τοὺς τοὺς ἄλλους ἐγγεγέννηκεν; οὐ γὰρ νεαρὸν οὐδὲ πρόσφατόν ἐστι, τὸ κλαίεσθαι τὸν τεθνηκότα. καὶ ταῦτα δὴ τὰ θρηνώδη καὶ δύσφημα τῶν ὀνομάτων ἐπιλέγεσθαι, τὸν ἄθλιον, καὶ τὸν οἰκτρόν. ἀλλ' οὕτω μὲν, ἔφη ὁ τίμων, λογιζόμενοι, καὶ τὰ ἄφθαρτα δόξουσι διανοεῖσθαι * φθειρομένοις. ὅτι μὲν οὖν τὸ μεταλλαχέναι καὶ μεθίστασθαι καὶ οἴχεσθαι τὸν τεθνηκότα, δυσχεροῦς οὐδενὸς ἁπλῶς, ἀμείνονος δέ τινος ἢ μεταβολῆς ὑπόνοιαν δίδωσιν, οὐκ ἄδηλόν ἐστι: ποῦ δὲ αὕτη γίγνεται τοῖς μεταλλάττουσιν ἡ μεταβολὴ, καὶ πότερον εἰς χεῖρον ἢ βέλτιον, ἐκ τῶν ἄλλων ὀνομάτων σκοπῶμεν. αὐτὸ τοίνυν τὸ τοῦ θανάτου πρῶτον, οὐχ ὑπὸ γῆν ἔοικεν, οὐδὲ κάτω μεγνύναι χωροῦν τὸ μεταλλαχός: ἀλλ' ἄνω φερόμενον εἰς θεόν. ὃ δὴ καὶ λόγον ἔχει, καθάπερ εἰ κάμψεώς τινος ἀνέσεως, οἷον ἐξάπτειν καὶ * ἀναθεῖναι τὴν ψυχὴν ἀναπνέοντος τοῦ σώματος, ἀναπνέουσαν αὐτὴν καὶ ἀναψύχουσαν. ὅρα δὲ τὸ ἀντικείμενον θανάτῳ τὴν γένεσιν, ὡς τοὐναντίον δηλοῖ, ῥοπήν τινα κάτω καὶ νεῦσιν ἐπὶ γῆν, ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν ἀναθέοντος, * οἳ καὶ γενέθλιον τὴν ἡμέραν καλοῦσιν, ὡς ἄθλων καὶ πόνων μεγάλων ἀρχὴν γενομένην. μᾶλλον δὲ ἴσως ἀφ' ἑτέρας τὸ αὐτὸ συζυγίας κατοψόμεθα καὶ σαφέστερον. ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα, καὶ τὴν τελευτὴν, ἀπόλυσιν καλοῦσιν. αὖ δὲ ἔρυμα σώματος. τοῦτο γὰρ δεσμὰς ὀνομάζουσιν, ὡς δεδεμένης ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν. οὐδὲν γὰρ ἐν ᾧ πέφυκεν εἶναι κατέχεται βίᾳ, καὶ τῷ δεδέσθαι τήν τε βίαν ταύτην παραγαγόντες, ὠνόμασαν βίον: ὥσπερ οἶμαι τὴν ἑσπέραν ὅμηρος, ἕσπερον. ὅθεν ἀντίφωνον τοῦ βίου ὄνομα γέγονε, τὸ ἀναπαύεσθαι τὸν θνήσκοντα, μεγάλης καὶ παρὰ φύσιν ἀνάγκης ἀπαλλαττόμενον.

Ἐν ταὐτῷ.

potius πάσχει.

lego ἕως καὶ τῶν.

Οὕτω κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ κατακόσμησιν, ὀλωλέναι τὴν ψυχὴν λέγομεν ἐκεῖ γενομένην, ἐνταῦθα δὲ ἀγνοεῖν, πλὴν ὅταν ἐν τῷ τελευτᾶν ἤδη γένηται. τὸ δὲ πάσχειν πάθος, οἷον οἱ * τελεταῖς μεγάλαις κατοργιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι καὶ τὸ ἔργον τῷ ἔργῳ, τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε. πλάναι τὰ πρῶτα, καὶ περιδρομαὶ κοπώδεις, καὶ διὰ σκότους τινὸς ὕποπτοι πορεῖαι καὶ ἀτέλεστοι. εἶτα πρὸ τοῦ τέλους αὐτοῦ τὰ δεινὰ πάντα, φρίκη, καὶ τρόμος, καὶ ἱδρὼς, καὶ θάμβος. ἐκ δὲ τούτου, φῶς τι θαυμάσιον ἀπήντησεν, ἢ τόποι καθαροὶ, καὶ λειμῶνες ἐδέξαντο, φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν, καὶ φαντασμάτων ἁγίων ἔχοντες: ἐν αἷς ὁ παντελὴς ἤδη καὶ μεμυημένος ἐλεύθερος γεγονὼς καὶ ἄφετος, περιιὼν ἐστεφανωμένος ὀργιάζει: καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσι, τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ἀκάθαρτον ἐφορῶν ὄχλον, ἐν βορβόρῳ πολλῷ καὶ ὁμίχλῃ πατούμενον ὑφ' ἑαυτοῦ καὶ συνελαυνόμενον: φόβῳ δὲ θανάτου τοῖς κακοῖς, ἀπιστίᾳ τῶν ἐκεῖ ἀγαθῶν, ἐμμένοντα. ἐπεὶ τό γε παρὰ φύσιν, τὴν πρὸς τὸ σῶμα τῇ ψυχῇ συμπλοκὴν εἶναι καὶ σύνερξιν, ἐκεῖθεν ἂν συνίδοις. πόθεν; ἔφη ὁ πατροκλεύς. ὅτι τῶν περὶ ἡμᾶς παθῶν ὁ ὕπνος ἥδιστόν ἐστι. πρῶτα μὲν γὰρ αἴσθησιν ἀλγηδόνος πᾶσι σβέννυσι διὰ τὴν ἡδονὴν, πολλῷ τῶν οἰκείων κεραννυμένης: ἔπειτα τῶν ἄλλων ἐπιθυμιῶν κρατεῖ, κἂν ὦσι σφοδρόταται. καὶ γὰρ πρὸς ἡδονὴν οἱ φιλομουσότατοι δυσαναχετοῦσιν, ἐπιόντος αὐτοῖς τοῦ καθεύδειν, καὶ περιβολὰς ἐρωμένων περιϊένται καταδαρθάνοντες. καὶ τί δεῖ ταῦτα λέγειν; * ὅτι οὐ καὶ τὴν ἀπὸ τοῦ μανθάνειν καὶ διαλέγεσθαι καὶ φιλοσοφεῖν ἡδονὴν καταλαμβάνων ὁ ὕπνος, ἀποκλείει τῆς ψυχῆς

ὥσπερ

Causiani nascentes lugent: mortuos autem beatos reputant.

Quis enim omnium ignorat, quod nulli non uiuentes, alij magis, alij minus, ob noxij sint inuidiæ: mortuos uerò ne hostis quidem ullus ignominia affecerit? *Demosthenis.*

Porrò nunc de morte dicendum est. Multos enim mors ceu maximum malum perterret, ob ignorantiam rei. Fit enim mors per dissolutionem ægroti corporis, & oblæsionem compaginum eius. Est autem compago, articulatio corporis. Moritur autem corpus cum non amplius ferre potest hominem. Et hoc ipsum mors est, corporis dissolutio, & corporei sensus abolitio. *Mercurij.*

His à Timone dictis Patrocleus respondens in hæc uerba loquutus est. Sermo quidem tuus non minus probabilis est quàm antiquus. Sed est quod dubitetur. Nã si immortalitatis opinio peruetusta est, quomodo fit, ut mortis met⁹ antiquissimus sit inter omnes timores? aut potius omnes alios metus propter hunc ipsum timeamus? Non enim nouum nec recens est lugere mortuum, & lugubria ista inauspicataq́ꝫ nomina proferre, ô miserum, & infœlicem. Tum Timon: Quod si hoc modo, aiebat, contemplari libuerit, immortalitas nobis appáritura uidetur. Quod enim hæc uocabula, quibus hominem defunctũ discedere, migrare, uel obijsse dicimus, nihil simpliciter graue, sed mutationem solum & transitum insinuent, non est obscurum: Vbi autem ista mutatio ẽ uitą migrantibus & quorsum, & an deteriorem in statum aut meliorem contingat, ex alijs nominibus consideremus. Primum igitur uidetur ipsum τοῦ θανάτου, id est mortis nomen, hominem ẽ uita migrantem nõ ad locum aliquem sub terram referre, sed extollere ἄνω εἰς θεὸν hoc est sursum ad diuinam sedem. Sic enim probabile est, *animam ueluti à uinculo corporis, quod expirauit, solutam, tum demum uerè respirantem seq́ꝫ recreantẽ, deo sociari & ab eo pendere. Deinde morti oppositam τὴν γένεσιν, id est generationẽ, contemplare, quomodo contrarium quid indicet, nempe inclinationem quandam deorsum, & νεῦσιν ἐπὶ γῆν, id est, nutationem in terrã, cum rursum descendit illa pars, quæ moriente homine ascendit, unde genethlium, hoc est natalitium, diem uocant, ὡς ἀρχὴν γενομένην ἄθλων, id est, eò quod principium sit certaminum & laborum multorum. Sed potius ab altera parte & manifestius hoc idem perspiciemus. Morientem enim solui dicunt, & mortem uocant solutionem   *Et corpus Græci δέμας nominant, tanquam anima ab eo hoc in loco præter naturam δεδεμένη, id est, ligata sit. Nihil enim ubi naturaliter uersari solet, ui aut uinculis ibi retineri opus habet. Hinc & uocabulo à ui deducto uitam nominarunt, Græci aũt βίον παρὰ τὴν βίαν, sicut ὕπνον Homerus ἰσόμορον uocat. Quamobrem contrario uiolentiæ sensu defunctum quiescere uulgò dicunt, ut qui ab ingenti & præter naturam necessitate liberatus sit. *Themistij.* **Hic sequuntur quædam in Græco obscura: nos ex coniectura uertimus.* **Hic aliquid deest in Græco.*

Ita perijsse dicimus animã, ubi mutata est & ad uniuersi ordinẽ reuersa: q̃d in corpore uiuens fore nescit, antequã moriatur. Mortis aũt affectũ subire, simile est initiationi in magnis aliquibus sacris. Quocirca ut ipsa uocabula, sic etiã res inter se consimiles sunt. τελευτᾶν enĩ mori est: τελεταὶ sacra, τελεῖσθαι initiari. Primũ errores uitã occupãt, & discursus fatigãtes, ac ueluti p tenebras itinera suspecta & inutilia fiũt. Dein ante finẽ uitę nihil nõ graue superuenit, horror, tremor, sudor, ac stupor. Post mortẽ uero, mirabilis quædã lux occurrit, aut loci puri & amœna prata defunctos excipiũt, in q̃bus uoces, choreæ, & uenerabiles de reb⁹ sacris narrationes resonãt: illic homo iã perfectus, initiatus, sui iuris factus, & liber, coronatus obambulãs sacra celebrat: & cõuersatur uiris sanctis purisq́ꝫ, profanã in terra & impurã turbã inspiciens, quæ in profũdo cœno & caligine à seipsa cõculcatur & cõpellitur: mortis aũt metu & dubitatione de meliori defunctorũ statu in terrestribus malis permanet. Nã q̃d anima præter naturã corpori iũgatur & coërceatur in eo, hinc intelliges. Vnde? inq̃t Patrocleus. Ex eo q̃d somnus affectuũ nostrorũ suauissim⁹ est. Primũ enĩ doloris sensum in omnibus extinguit propter uoluptatẽ pergratam nobis & familiarẽ: deinde alias cupiditates superat, etsi uehementissimæ fuerint. Etenim qui studiosissimi sunt Musicæ non possunt sibi moderari, cum dormiẽdi cupidine capiuntur: & amantiũ amplexus sopore soluuntur. Sed quid opus est alia recẽsere? cũ & illã uoluptatẽ, quam disciplina, colloquium, & philosophia pariunt, somnus occupans ab anima ceu à *Ibidem.*

ὥσπερ ἀπὸ ῥεύματος λείου καὶ βαθέος ὑποφερομένης. ἡδονὴ δ' ἥδε πᾶσα μὲν ἴσως οὐκ ἂν ἔχει καὶ φύσιν ἀλγηδόνος ἀπαλλαγήν· αὕτη δὲ καὶ παντάπασιν. οὐδενὸς γὰρ ἔξωθεν οἰκείου καὶ κινητικοῦ προσιόντος ἡδόμεθα καταδαρθάνοντες, ἀλλ' ἐπίπονόν τινα καὶ κοπώδη καὶ σκληρὰν ἔοικεν ἐξαίρων ὕπνος διάθεσιν ἥδιστον εἶναι. αὕτη δ' ἐστὶν οὐχ ἑτέρα τῆς πρὸς τὸ σῶμα τὴν ψυχὴν συνδούσης. χωρίζεται γὰρ ἐν τῷ καθεύδειν ἀνατρέχουσα, καὶ συλλεγομένη πρὸς ἑαυτὴν ἐκ τοῦ διατετάσθαι πρὸς τὸ σῶμα, καὶ διεσπάρθαι ταῖς αἰσθήσεσι. καί τοι λέγουσί τινες, ὡς καταμίγνυσι μᾶλλον ὁ ὕπνος πρὸς τὸ σῶμα τὴν ψυχὴν, οὐκ ὀρθῶς λέγοντες. ἀντιμαρτυρεῖ γὰρ τῇ ἀναισθησίᾳ καὶ ψυχρότητι, καὶ βάρει, καὶ ὠχρότητι, τὸ σῶμα κατηγοροῦν τῆς ψυχῆς, ἔκλειψιν μὲν, ὅταν τελευτήσῃ· μετάστασιν δὲ, ὅταν καθεύδῃ. καὶ τοῦτό ἐστι τὸ τὴν ἡδονὴν ποιοῦν, ἀνάπαυλαν καὶ ἀνάπαυσιν τῆς ψυχῆς, ὥσπερ ἄχθος καταπιθεμένης, καὶ πάλιν ἀναλαμβανούσης καὶ ἀποδυομένης. φεύγειν γοῦν ἔοικε κομιδῇ τὸ σῶμα θνήσκουσα· δραπετεύειν δὲ καταδαρθάνουσα. διὸ θνήσκουσι μὲν ἔνιοι μετὰ πόνων, καθεύδουσι δὲ μετὰ ἡδονῆς ἅπαντες. ὅπου μὲν γὰρ ἀπέῤῥηγνυται παντάπασιν ὁ δεσμός· ὅπου δ' ἐνδίδωσι καὶ χαλᾶται, καὶ γίγνεται μαλακώτερος. οἷον ὀμμάτων, ἀφαιμάτων, αἰσθήσεων παραλυομένων, καὶ περιϊεμένων τῶν περὶ τὸ σῶμα τῆς ψυχῆς ἐν πᾶσιν. εἶτα πῶς εἶπεν ὁ πατροκλεὺς, οὐ δυσφοροῦμεν οὐδὲ ἀλγοῦμεν ἐγρηγορότες; πῶς δὲ ἔφη ὁ τίμων, κειρομένων μὲν αἰσθάνεται κουφότητος ἡ κεφαλὴ καὶ ῥαστώνης· κομώντων δὲ βαρύτητος αἴσθησιν οὐ πάνυ παρέχειν; καὶ λυθέντες μὲν ἐκ δεσμῶν, ἥδονται· δεδεμένοι δὲ οὐκ ἀλγοῦσι. καὶ φῶς ἀποσυνεχθὲν ἐξαίφνης συμποσίου, θόρυβον καὶ χρότον ὑφ' ἡδονῆς ἐποίησε· πρότερον δὲ τὸ ἀλαμπὲς ἐδόκει μὴ ἐνοχλεῖν, μηδὲ λυπεῖν τὴν ὄψιν. ἓν γοῦν αἴτιον ὤφελε τούτων ἁπάντων, ὅτι τὸ παρὰ φύσιν, τὸ κατὰ μικρὸν συνήθειαν καὶ συντροφὸν ἐποίει τῇ αἰσθήσει, ὥστε μὴ πάνυ δυσχεραίνειν πάσχουσαν. ἀπαλλαγείσης δὲ καὶ μεταβαλούσης εἰς τὴν φύσιν *. φαίνεται γὰρ εὐθὺς τῷ οἰκείῳ τὸ ἀλλότριον, καὶ τῷ ἡδομένῳ τὸ λυποῦν ὅτι περιῆν, καὶ βαροῦν. οὕτω δὴ καὶ τὴν ψυχὴν, τῇ πρὸς τὰ θνητὰ πάθη καὶ μέρη κοινωνίᾳ, τὸ παρὰ φύσιν καὶ ἀλλότριον, οὐ πάνυ δοκεῖ πιέζειν ὑπὸ * μικρᾶς συνηθείας· αἰσθάνεται δὲ, ῥαστώνης καὶ κουφότητος μεθ' ἡδονῆς ἀφιεμένη τῶν διὰ τοῦ σώματος ἐνεργειῶν· ἐκείναις γοῦν ἐνοχλεῖται, καὶ περὶ ἐκείνας ἐκπονεῖται, καὶ ἀπ' ἐκείνων σχολῆς δεῖται, καὶ ἀναπαύσεως. ἃ δὲ αὐτὴ καθ' αὑτὴν ἐνεργεῖ, κατὰ φύσιν, τὸ σκοπεῖν ἀεί τι καὶ λογίζεσθαι, καὶ μνημονεύειν καὶ θεωρεῖν, πρὸς ταῦτα ἄτρυτός ἐστι καὶ ἀκόρεστος. καὶ γοῦν ὁ κόρος, κόπος ἐν ἡδοναῖς ἔοικεν εἶναι, τῷ μετὰ σώματός τι τὴν ψυχὴν πάσχειν. ἐπεί πρός γε τὰς αὐτῆς ἡδονὰς οὐ κατηγοροῦσι. συμπεπλεγμένη δὲ ὥσπερ εἴρηται τῷ σώματι, ταὐτὰ τῷ ὀδυσσεῖ πέπονθεν. ὡς γοῦν ἐκεῖνος τῷ ἐρινεῷ προσφὺς εἴχετο, καὶ περιεπέπτυκτο, οὐ ποθῶν οὐδὲ ἀγαπῶν ἐκεῖνον, ἀλλὰ δεδιὼς ὑποκειμένην τὴν χάρυβδιν. οὕτως ἔοικεν ἡ ψυχὴ ἔχεσθαι καὶ περιπεπλέχθαι δι' εὔνοιαν οὐδεμίαν αὐτοῦ καὶ χάριν· ἀλλ' ὀρρωδοῦσα τοῦ θανάτου τὴν ἀδηλότητα.

κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι,

κατὰ τὸν σοφὸν ἡσίοδον, οὐ σαρκίνοις τισὶ δεσμοῖς πρὸς τὸ σῶμα τὴν ψυχὴν κατατείναντες, ἀλλ' ἕνα δεσμὸν αὐτῇ καὶ μίαν μηχανὴν μηχανησάμενοι, καὶ περιβαλόντες τὴν ἀδηλότητα καὶ ἀπιστίαν τῶν μετὰ τὴν τελευτήν. ἐπεὶ τήν γε πεισθεῖσαν ὅσα ἀνθρώπους περιμένει τελευτήσαντας, καθ' ἡράκλειτον, οὐδὲν ἂν κατάσχοι.

Πλάτωνος. Δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι. ἢ γὰρ οἷον μηδὲν εἶναι, μηδὲ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα· ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου ἐνθένδε, εἰς ἄλλον τόπον. καὶ εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδὲ ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν, ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον εἰπεῖν, ὁπόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ· οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινὰ, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας, πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω. καὶ γὰρ οὐδὲν πλέον ὁ πᾶς χρόνος φαίνεται οὕτω

δὲ

Videtur aliquid deesse.

forte μακρᾶς.

fluuio quodam leni & profundo subducta, excludat. Cęterũ omnis fortè uoluptas uim & naturam habet, à dolore liberãdi: hæc autem præ cæteris peculiariter. Cum enim nihil foris iucundum & mouens animum superueniat, oblectamur tamen in somnis: Nempe laboriosum quendam, durum & fatigantem somnus affectum nobis adimendo suauissimus esse uidetur. Est autem affectus ille non alius, quàm qui corpori animam astringit. Separatur enim inter dormiendum recurrens, & se colligens ad seipsam, cum antea per corpus distenta, & in sensus sparsa fuisset. Cęterum non me latet aliquos contrariũ asserere, quod somnus animã corpori magis immisceat, non rectè dicentes. Conuincuntur enim ex insensilitate, frigiditate, grauitate, & pallore, quibus affectũ corpus, uel defectũ animæ, in morte: uel mutationẽ loci, in somno, testatur. Et hoc est quod uoluptatẽ excitat, requies inquã & otium animę tanquam onus deponentis, seq; recreantis, & in secessum abdentis. Moriens enim omnino effugere uidetur corpus: sopita uero fugitiua fieri. Quamobrem aliqui cũ dolore moriuntur: omnes aũt cũ uoluptate dormiunt. Illic enim uinculũ omnino abrũpitur: hic uero remissius tantũ, laxius, & mollius fit, utpote oculis, *& reliquis animæ sensibus circa corpus resolutis, & remissis. Quomodo igitur, Patrocleus aiebat, non ęgrè afficimur, neq; dolemus uigilantes? Quin tu mihi dic, Timon inquit, quomodo caput tonsum leuitatem & facilitatem percipit: comatum autem, grauitatis sensum non euidenter exhibet? Et qui uinculis soluti sunt, gaudent: uincti uero non dolent. Et lumen illatum subito in conuiuium, clamorem applausumq; prę gaudio excitat: prius autem aëris obscuritas nõ molesta, nec tristifica uidebatur oculis. Nempe istorum omnium una causa reddi debet, quod res præter naturam paulatim consuetudine & familiaritate sua, ita afficit sensum, ut patiens aliquid non admodum ęgrè ferat. Vbi uero deinde priori affectu liberatus, & naturę restitutus fuerit, (maximè gaudet ac oblectatur.) Statim enim re nobis commoda & oblectante fruentes, graue ac molestum fuisse, quod præcessit, deprehendimus. Sic & animam id quod præter naturam & alienum est per communionem ad mortales affectus & partes, non admodum premere uidetur propter longam consuetudinem: iucundam uero quietem & leuitatem cum uoluptate persentiscit, cum iam soluta est corporeis actionibus. Ab istis enim turbatur, circa eas laborat, egetq; otio & quiete ab ipsis: Ea uero quæ ipsa per se agit secundum naturam, ut semper aliquid considerare, reputare, meminisse, & contemplari, nullam ipsi lassitudinem neq; satietatem pariunt. Etenim satietas, lassitudo circa uoluptates oborta esse uidetur, quam anima simul cum corpore patitur: *easdem uoluptates non diu probando. Dum uero copulata est corpori, ut diximus, tale quid ei accidit, quale Vlyssi. Nam ut ille ad caprificum hærebat, & amplectebatur, non desiderio nec amore eius, sed metu subiacentis Charybdis: Sic anima corpori inhærere uidetur idq; amplecti, non ob gratiam aut beneuolentiam eius, sed mortis incertitudinem pertimescens. Habent enim dij uitam mortalibus absconditam, ut sapiens Hesiodus canit. Itaq; non carneis quibusdam uinculis animam corpori astrictam reddiderunt: sed unicum ei uinculum unamq; machinam moliti sunt, incertam dubiamq; illorum quæ mortem sequutura sunt opinionem inferentes. Nam si anima liquido cognosceret quæ defunctos homines manerent, iuxta Heraclitum, nulla utiq; ui retineretur.

In Græco hic additur ἀρμάτων.

Inclusa parenthesi nos adiecimus.

**Locus in Græco obscurior apparet.*

Duorum enim alterũ mors est. Nam aut tanquam nihil omnino fit, sensum nullum ullius rei retinet is qui decessit è uita: aut quemadmodum dicitur, permutatio quædam & transmigratio animæ ab hoc in alium locum. Siue ergo nullus remanet sensus, sed tanquam somnus quidam est, in quo quis somnium cernit nullum, admirabile lucrum erit in morte. Reor equidem, si quem oporteat ad eam noctem quam tanta transigit quiete, ut ne insomnium quidem ullum uideret, alias noctes diesq; uitæ totius conferre, atq; dicere quot ipse noctes atq; dies in uita melius dulciusq; peregerit: reor inquam nedum priuatum aliquem, sed nec magnum quidem regem, aliquas numerare posse. Si ergo tale quiddam est mors, lucrum equidem esse dico. Etenim nihil plus hoc pacto totum tempus, quàm nox una

Platonis in Apologia Socratis.

δεῖ εἶν, ἢ μία νύξ. εἰ δ' αὖ, οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστὶ τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἂν ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς ᾅδου ἀπαλλαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστὰς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, μίνως τε καὶ ῥαδάμανθυς, καὶ αἰακὸς, καὶ τριπτόλεμος, καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ ὀρφεῖ συγγενέσθαι, καὶ μουσαίῳ, καὶ ἡσιόδῳ, καὶ ὁμήρῳ; τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ, τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον, ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστίν.

Τοῦ αὐτοῦ. Βαβαὶ ὦ σιμμία. ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι, ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτι γε μηδ' ὑμᾶς δύναμαι πείθειν. ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερον νῦν διάκειμαι, ἢ ἐν τῷ πρόσθεν βίῳ: καὶ ὡς ἔοικε τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν: οἳ ἐπειδὰν αἴσθωνται, ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι, γεγηθότες, ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι οὗπέρ εἰσι θεράποντες. οἱ δὲ ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου, καὶ τῶν κύκνων καταψεύδονται, καὶ φασὶν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει, ὅταν πεινῇ, ἢ ῥιγοῖ, ἤ τινα ἄλλην λύπην λυπῆται, οὔτε αὐτὴ ἥ τε ἀηδὼν, καὶ χελιδὼν, καὶ ὁ ἔποψ, ὃν δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν. ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν, οὔτε οἱ κύκνοι. ἀλλ' ἅτε οἶμαι τοῦ ἀπόλλωνος ὄντες, μαντικοί τέ εἰσι, καὶ προειδότες τὰ ἐν ᾅδου ἀγαθὰ, ᾄδουσι, καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως, ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν κύκνων, καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου * αὐτοῦ, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι.

al. non habetur αὐτ.

Ἀκήκοα δὲ ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν ἄγετε καὶ καρτερεῖτε.

Ἡροδότου. Τραυσοὶ δὲ, τὰ μὲν ἄλλα πάντα, κατὰ ταὐτὰ τοῖσιν ἄλλοισι Θρηξὶν ἐπιτελέουσι, κατὰ δὲ τὸν γινόμενον σφίσι καὶ ἀπογινόμενον, ποιεῦσι τοιάδε: τὸν μὲν γινόμενον, περιϊζόμενοι οἱ προσήκοντες, ὀλοφύρονται, ὅσα μιν δεῖ, ἐπεί τ' ἐγένετο ἀναπλῆσαι, κακὰ ἀνηγεόμενοι τὰ ἀνθρωπήϊα πάντα πάθεα. τὸν δ' ἀπογινόμενον, παίζοντές τε καὶ ἡδόμενοι, γῇ κρύπτουσιν, ἐπιλέγοντες, ὅσων κακῶν ἐξαπαλλαχθεὶς, ἐστὶν ἐν πάσῃ εὐδαιμονίῃ.

Πλάτωνος. Ὅτι τὸ κοινὸν δὴ τοῦτο, καὶ πρὸς πάντων θρυλλούμενον, παρεπιδημία τίς ἐστιν ὁ βίος. καὶ ὅτι δεῖ ἐπιεικῶς διαγαγόντας, εὐθύμους μονονουχὶ παιανίζοντας, εἰς τὸ χρεὼν ἀπιέναι.

al. περί. Ὅτι ὁ θάνατος οὔτε † πρὸς τοὺς ζῶντάς ἐστιν, οὔτε * πρὸς τοὺς μετηλλαχότας. πῶς φὴς ὦ
al. περί. σώκρατες; ὅτι πρὸς μὲν τοὺς ζῶντας, οὐκ ἔστιν: οἱ δὲ ἀποθανόντες οὐκ εἰσίν.

ΣΥΓΚΡΙΣΙΣ ΖΩΗΣ ΚΑΙ ΘΑΝΑΤΟΥ.

ΛΟΓΟΣ ρνη.

Εὐριπίδου. Οὐ ταὐτὸν ὦ παῖ τῷ βλέπειν τὸ κατθανεῖν.
Τὸ μὲν γὰρ οὐδὲν, τῷ δ' ἔνεισιν ἐλπίδες.

Σιμωνίδου. Βιοτῆς μὲν γὰρ χρόνος ἐστὶ βραχύς: κρυφθεὶς δὲ
ὑπὸ γῆς, κεῖται θνητὸς τὸν ἅπαντα χρόνον.

Ἀντιφάνους. Οὐδεὶς πώποτε ὦ δέσποτ' ἀπέθαν', ἀποθανεῖν πρόθυμος ὤν.
τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους
ἄκοντας ὁ χάρων, ἐπὶ τὸ πορθμεῖόν τ' ἄγει.
σιτιζομένους, καὶ πάντ' ἔχοντας ἀφθόνως.
ὁ δὲ λοιμός ἐστιν ἀθανασίας φάρμακον.

Μενάνδρου. Ὡς ἡδὺ τὸ ζῆν, εἰ μεθ' ὧν κρίνει τις ἄν.
τοῦτ' ἐστὶ τὸ ζῆν: οὐχ ἑαυτῷ ζῆν μόνον.
ἡδύ τ' ἀποθνήσκειν, ὅταν ζῆν μὴ παρέσται ὡς βούλεται.

esse uidetur. Sin aūt mors est tanquam transmigratio quædam hinc in alium locū, ac uera sunt quæ dicuntur, uidelicet in alio seorsum à nobis loco omnes defunctos esse, quidnam melius quàm hoc esse potest ô iudices? Si quis enim illuc profectus liber ab ijs qui se profitentur iudices esse, ueros reperit iudices qui iudicare illic perhibentur, Minoëm, Rhadamanthum, Aeacum, Triptolemum, aliosq́, quotcunq́ semidei iustè uixerūt, nunquid eiusmodi transmigratio paruipendēda censebitur? Rursus Orpheum, Musæum, Hesiodum, & Homerū conuenire, quanti quis nostrum redimeret?

Nam & in alijs rebus qui illic agunt, nobis sunt beatiores, & in eo insuper, quod reliquum iam tempus permanent immortales, si quidem uera sunt quę dicuntur. *Paulo post.*

Papæ ô Simmia quàm difficile alijs persuaderem hanc me fortunā haudquaquā aduersam existimare, quando ne uobis quidem persuadere possum. Quippe cū metuatis ne difficilior mœstiorq́ sim in præsentia, quàm in superiori fuerim uita. Atq́ ut apparet, deterior cygnis ad diuinandum uobis esse uideor. Illi quidem quando se breui præsentiunt morituros, tunc magis admodum dulciusq́ canūt, quàm antea consueuerint, congratulantes quod ad deū sint, cuius erant famuli, iam migraturi. Homines uero cū ipsi mortem expauescant, cygnos quoq́ falsò criminantur, quod lugentes mortem ob dolorem cantum emittant. Profecto haud animaduertūt nullam esse auē, quæ cantet quando esuriat, aut rigeat, aut quouis alio afficiatur incommodo. Non ipsa philomena, nec hirundo, nec upupa, quas ferunt per querimoniā cantare lugentes. At mihi, neq́ hæ aues præ dolore uidētur canere, neq́ cygni. Sed quia Phœbo sacri sunt, ut arbitror, diuinatione præditi præsagiūt alterius uitæ bona: ideoq́ cantant alacrius gestiuntq́ ea die, quàm superiori tempore. Equidem & ego arbitror me cygnorum esse conseruum, eidemq́ deo sacrum, neq́ deterius uaticinium ab eodem domino habere quàm illos, neq́ ignauius è uita decedere. *Platonis in Phœdone.*

Quinetiam audiui bene ominando moriendum esse, quiescite igitur, & sustinete. *Eiusdem in Cratylo.*

Traufi uero in cæteris quidem omnibus idem quod Thraces: uerū circa natalitia suorum atq́ obitus hoc factitāt: Edito puero, propinqui eum circumsidentes cum ploratione prosequuntur, recensentes quascunq́ necesse est illi, quod uitam ingressus sit, perpeti humanas calamitates. Hominem fato functū, per lusum atq́ lætitiam terræ demandant, referentes quot malis liberatus in omni sit fœlicitate. *Herodoti in Terpsichorè.*

Nam iuxta communem illam & omnibus celebratam sententiam, uita peregrinatio quædam est: & ea decenter modesteq́ transacta oportet alacriter & tantum non Pæanem canentes ad fatalem locum discedere. *Platonis in Axiocho.*

Siquidem mors neq́ circa uiuos, neq́ circa defunctos est. Quomodo dicis ô Socrates? Quoniam circa uiuos quidem non est: defuncti uero, non existunt. *Ibidem.*

COMPARATIO VITAE ET MORTIS, SERMO CXVIII.

Non idem est ô fili uiuere ac mori.
Hoc enim nihil est: illud uero spem fouet. *Euripidis in Troianis.*

Tempus enim est breue uiuendi: Qui uero semel conditus fuerit
Sub terra, iacet mortalis per omne æuum. *Simonidis.*

Nullus unquam ô domine mortuus est, mori cupiens & promptus. *Antiphanis.*
Sed cupidos uiuendi crure detrahit
Charon uel inuitos, & ad locum sacrum perducit
Epulantes, & omnia habentes abundè.
Pestis autem remedium est contra immortalitatem.

Quàm iucundum est uiuere, si quis cum illis uixerit quos probat. *Menandri.*
Istud est uiuere, non sibi uiuere soli.
Et mori iucundum est, cui non uiuere licet ut libet.

Τοῦτον εὐτυχέστατον λέγω, ὅστις θεωρήσας ἀλύπως παρμένων
τὰ σεμνὰ ταῦτ' ἀπῆλθεν, ὅθεν ἦλθεν ταχύ:
τὸν ἥλιον τὸν κοινὸν ἄστρα, ὕδωρ,
νέφη, πῦρ. ταῦτα ἔτη κἂν ἑκατὸν βιώσεται,
melius ἴσα. * ὄψει παρόντα. κἂν ἐνιαυτοὺς σφόδρ' ὀλίγους,
σεμνότερα τούτων ἕτερα οὐκ ὄψει ποτέ.
πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον,
ὅν φημι, τοῦτον ἐπιδημίαν ἀνθρώπῳ.
ὄχλος, ἀγορά, κλέπται, κυβεῖαι, διατριβαί.
ἂν πρῶτος ἀπέλθῃς, καταλύσεις βελτίονα
ἐφόδι' ἔχων. ἀπῆλθεν ἐχθρὸς οὐδενί.
ὁ προσδιατρίβων δὲ, κοπιάσας ἀπώλεσε:
κακῶς τε γηρῶν, ἐνδεής του γίνεται.
ῥεμβόμενος, ἐχθροὺς εὗρ', ἐπεβουλεύθη ποθέν.
οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν εἰς χρόνον.

Σοφοκλέους. Θανεῖν ἄριστόν ἐστιν, ἢ ζῆν ἀθλίως.
τὸ μὴ γὰρ εἶναι κρεῖσσον, ἢ τὸ ζῆν κακῶς.

Εὐριπίδου. Καί τοι ποτ' ᾖ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν
τυφλὸν προηγητῆρος ἐξηρτημένον,
ἃ δαιμόνων, ταῖς συμφοραῖς ἐλοιδόρουν:
ὡς δειλὸς εἴη θάνατον ἐκ πολλῶν ἔχων.
καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως
πέπτωχ' ὁ τλήμων. ὦ φιλόζωοι βροτοί,
οἱ τὴν ἐπερχομένην ἡμέραν ἰδεῖν,
πόθον ἔχοντες, μυρίων ἄχθος κακῶν.
οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου.
τὸ ζῆν γὰρ ἴσμεν. τοῦ θανεῖν δ' ἀπειρία,
πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.

Ἀπολλοδώρου. Ἀπραγμόνως ζῆν, ἡδύ. μακάριος βίος,
καὶ σεμνὸς, ἂν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων.
ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ
εἶναι πίθηκον, ὦ ταλαιπώρου βίου.

Οὐ πανταχοῦ φεύξ εἰμι. τοῦ ζῆν ἦν ὁρῶ
κρεῖσσον τὸ μὴ ζῆν, χρησόμεθα τῷ κρείττονι.

Εὐριπίδου. Ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας,
malim βλέπειν quod ἀντὶ τοῦ ζῆν accipitur. ζῆν φημι μᾶλλον, τοῦ * βλέπτειν τοὺς μὴ καλῶς.
* Βίου πονηροῦ, θάνατος εὐκλεέστερος.
* Αἰσχύλου. Ζωῆς πονηρᾶς, θάνατος εὐπορώτερος.
τὸ μὴ γενέσθαι δ' οὐκ ἐστὶ μᾶλλον ἢ πεφυκέναι.

Καὶ μὴν, πόθεν πλούτων ἂν ὠνομάζετο,
εἰ μὴ τὰ βέλτιστ' ἔλαχεν; ἐν δέ σοι φράσω,
ὅσῳ τὰ κάτω κρείττον' ἐστὶν, ὧν ὁ Ζεὺς ἔχει.
malim πλέον. ὅταν γὰρ ἰσὰς τοῦ ταλάντου τὸ * ῥέον,
κάτω βαδίζει: τὸ δὲ κενὸν, πρὸς τὸν Δία.
οὐ γὰρ ἄν ποτε οὕτως ἐστεφανωμένοι,
lego κατακεχρισμένοι. προὐκείμεθα, οὐδ' ἂν * κατακεχρεμένοι,
εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει.
διὰ ταῦτα γάρ τοι καὶ καλοῦνται μακάριοι.

πᾶς

Istũ ego fortunatissimũ esse dico, qui sine molestia contẽplatus ô Parmeno
Res illas uenerandas, mox rursum illuc abijt, unde uenerat:
Contemplatus inquam solem commune sydus, aquam,
Nubes, ignem. Hæc enim et si uixerit annos centum
Præsentia uidebit: et si paucos admodum annos,
Nihil aliud istis uidebit augustius.
Nundinas esse quasdam putato tempus hominum
Istud, de quo loquor, solennes & populosas.
In quibus magna est turba, mercatus, fures, aleæ, colloquia.
Si primus abieris, diuertes melius,
Viaticum habens: nulli infensus abijsti.
Qui uero immoratur, fessus tandem perijt,
Et miserè consenescens, aliqua re fit indigus,
Vexatur, hostes reperit, insidijs alicunde impetitur.
Ac demum, cum in hoc sæculum uenerit, infœlici morte defungitur.

Multò satius est mori, quàm uitam agere miseram. *Sophoclis.*
Præstat enim non esse, quàm uiuere malè.

Equidem olim si quem uidebam per ciuitatem *Euripidis.*
Cæcum, ab itineris duce hærentem:
Ah dæmonum tristi conuitia dicebam fortunæ,
Quod ille miser esset procul à morte seiunctus.
Nunc autem contra sententiam priorem meam
Lapsus infœlix ego sum. O uitæ cupidi mortales,
Qui posteram intueri lucem
Semper cupitis, plurimorum onus malorum.
Adeò uitam homines amant.
Scimus quidem uiuere, præ inscitia uerò moriendi
Nullus non relinquere metuit hoc solis iubar.

Tranquillè uiuere iucundum. Beata est uita *Apollodori.*
Et ueneranda, si fuerit cum alijs quoque tranquillis.
Inter feras autem & simias uersantem oportet
Esse simiam, ô miseram uitam.

Non ubique sum Phryx, si uideam quod non uiuere
Melius quàm uiuere sit, utemur eo quod melius est.

Ego illos qui bene mortui sunt, *Euripidis.*
Potius uiuere dixerim, quàm illos qui inhonestè uiuunt.

Mors gloriosior est, quàm uita mala. *Aeschyli.*

Mors fœlicior est, quàm uita mala.
Satius est autem non nasci, quàm natum esse.

Vnde quæso nomen haberet *Pluto, **Pluto deus inferorum. πλοῦτος diuitiæ.*
Ni diues optimarum esset rerum, sed unum tibi dicam,
Quantum hæc inferiora præstent illis quæ Iupiter habet.
Nam si trutines, plena stateræ lanx
Deorsum uergit: inanis autem ad cœlum.
Nunquam enim sic coronis redimiti,
Proponeremur in funeribus, nec ungentis delibuti,
Nisi statim ut descendimus bibere nos oporteret.
Propterea enim beati etiam uocantur.

πᾶς γὰρ λέγει τις, ὁ μακαρίτης οἴχεται.
κατέδαρθεν εὐδαίμων, ὅτ᾽ οὐκ ἀνιάσεται.
καὶ θύομεν αὐτοῖσι τοῖς ἐναγίσμασιν,
ὥσπερ θεοῖσι, καὶ χοάς γε χέομεν,
αἰτούμεθ᾽ αὐτοὺς δεῦρ᾽ ἀνιέναι τἀγαθά.

Μενάνδρου. Τί δ᾽ ἂν ἔχοι νεκρὸς ἀγαθὸν,
ὅπου γ᾽ οἱ ζῶντες ἔχομεν οὐδὲ ἕν;

Εὐριπίδου. Θανὼν δ᾽ ἂν εἴη μᾶλλον εὐτυχέστερος,
ἢ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

Σοφοκλέους. Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
ἢ δειλός ἐστιν, ἢ δυστάλγητος φρένας.

Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρήζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ᾽ ἦμαρ ἡμέρα τέρπειν ἔχει,
προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
ἀλλ᾽ ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ᾽ ἀκήκοας λόγον.

Αἰσχύλου. Τί γὰρ καλὸν ζῆν βίον, ὃς λύπας φέρει;

Εὐριπίδου. Οὐκοῦν τὸ μὴ ζῆν, κρεῖσσόν ἐστ᾽ ἢ ζῆν κακῶς.

Τοὺς ζῶντας εὖ δρᾶν. κατθανὼν δὲ πᾶς ἀνὴρ,
γῆ καὶ σκιά, τὸ μηδὲν, εἰς οὐδὲν ῥέπει.

Διογένης, εἰπόντος τινὸς, χαλεπόν ἐστι τὸ ζῆν: οὐκ εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν.

Ἐπικτήτου. Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι. τοῦ γὰρ ζῆν κακῶς, τὸ τεθνάναι κρεῖσσον.

Πύῤῥων ἔλεγε μηδὲν διαφέρειν ζῆν, ἢ τεθνάναι. καί τις ἔφη πρὸς αὐτόν· τί οὖν σὺ οὐκ ἀποθνήσκεις; ὁ δὲ, ὅτι, εἶπεν, οὐδὲν διαφέρει.

Ἐπικτήτου. Θαυμαστὴ ἡ φύσις, καὶ ὥς φησι Ξενοφῶν, φιλόζωος. τὸ γοῦν σῶμα τὸ πάντων ἀηδέστατον καὶ ῥυπαρώτατον, στέργομεν καὶ θεραπεύομεν. εἰ γὰρ ἔδει πέντε μόναις ἡμέραις θεραπεῦσαι τὸ τοῦ γείτονος σῶμα, οὐκ ἂν ὑπεμείναμεν. ὅρα γὰρ οἷόν ἐστιν, ἕωθεν ἀναστάντα, τρίβειν τοὺς ὀδόντας τοὺς ἀλλοτρίους: καί τι τῶν ἀναγκαίων ποιήσαντα, ἀπονίζειν ἐκεῖνα τὰ μέρη. τῷ ὄντι θαυμαστόν ἐστι φιλεῖν πρᾶγμα, ᾧ τοσαῦτα λειτουργοῦμεν καθ᾽ ἑκάστην ἡμέραν. νάττω τουτονὶ τὸν θύλακον: εἶτα κενῶ. τί τούτου βαρύτερον; ἀλλὰ θεῷ δεῖ με ὑπηρετεῖν. διὰ τοῦτο μένω, καὶ ἀνέχομαι λούων τὸ δύστηνον τοῦτο σωμάτιον, χορτάζων, σκέπων. ὅτε δὲ νεώτερος ἦν, καὶ ἄλλο τι προσέταττέ μοι, καὶ ὅμως ἠνειχόμην αὐτοῦ. διατί οὖν οὐκ ἀνέχεσθε, ὅταν ἡ δοῦσα ἡμῖν φύσις τὸ σῶμα ἀφαιρῇ; φιλῶ * φησὶν αὐτό. οὐκοῦν ὃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸ τὸ φιλεῖν ἡ φύσις σοι δέδωκεν. ἡ δὲ αὐτὴ λέγει, ἄφες αὐτὸ ἤδη, καὶ μηκέτι πρᾶγμα ἔχε.

lego φιλεῖ.

malim Ἐὰν γέρων μή τι λυπῇ. * Ἐὰν νέος πλουτῇ τὸν βίον, ἐγκαλεῖ τοῖς θεοῖς, ὅτι δέον αὐτὸν ἤδη ἀναπεπαῦσθαι, πρᾶγμα ἔχει. καὶ οὐδὲν ἧττον ὅταν προσίῃ ὁ θάνατος, ζῆν βούλεται, καὶ πέμπει παρὰ τὸν ἰατρόν: καὶ δεῖται αὐτοῦ μηδὲν ἀπολιπεῖν προθυμίας καὶ ἐπιμελείας. θαυμαστοί, ἔφη, ἄνθρωποι, μήτε ζῆν θέλοντες, μήτε ἀποθνήσκειν.

Τοῦ πλείονος βίου, φαυλοτέρου ὄντος, τὸν ἐλάσσω ἀμείνονα ὄντα, παντὶ πάντως προαιρετέον.

Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ, ὑμῖν δὲ βιωσομένοις. ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ, πλὴν ἢ τῷ θεῷ.

Ἀπολλωνίου. Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι: δυστυχοῦντι δὲ, μακρός.

ἰωνικόν. Ὃς δὲ εἰδείη ἀληθῶς ἐὸν, καὶ ἂν ἐπίσης ἀφελέσθαι τε καὶ διδάξαι τὰ ὄντα, νεανίσκους τε καὶ γέροντας, καὶ τὴν ἄλλην ἡλικίαν, ὥστε μοι εἰρήσεται. πάντα μὲν ὅσα γίγνεται καθ᾽ ἥντινοῦν αἰτίαν, ἀν-

ἀγκα

Nam singulis ita loqui moris est: beatus mortem obijt:
Obdormiuit fœlix: non enim amplius tristabitur.
Et sacrificamus ipsis libamina in exequijs,
Quemadmodum dijs, & inferias fundimus,
Ac petimus ab eis ut bona huc mittantur ad nos.

Quidnam boni mortuus haberet, *Menandri.*
Cum nos uiuentes nihil habeamus?

Mortuus autem fœlicior fuerit, *Euripidis.*
Quàm uiuus. Vita enim non bona, magnus labor est.

Quisquis calamitosus uitam desiderat, *Sophoclis.*
Aut malus & inuidus est, aut animus ei in doloribus occalluit.

Turpe est illum hominem longam sibi cupere uitam,
Qui nunquam interquiescit à malis.
Quid enim ipsa dies delectare potest, quotidie
Aliquid addens, & procrastinans mortem?
Non emerim ne uerbulo quidem hominem,
Quem uanæ spes fouent.
Nam aut honestè uiuere, aut honestè mori
Generosum oportet. Rem omnem audiuisti.

Quid iuuat uiuere uitam, quæ tristitiam parit? *Aeschyli.*

Ergo non uiuere satius est, quàm uiuere malè. *Euripidis.*

Viuos oportet beneficijs demereri. Omnis enim mortuus
Terra est, & umbra, res nihili, nullius momenti.

Dioge. cũ dixisset quidã, molesta res est uiuere: Nõ, dixit, sed male uiuere.

Magis necessarium est mederi animæ, quàm corpori. Mori enim melius est, quàm malè uiuere. *Epicteti.*

Pyrrhon aiebat nihil interesse inter uitam ac mortem. Et cum quidam ad eum diceret: Cur igitur tu non moreris? Quia nihil interest, respondit.

Mirabilis est natura, & ut Xenophon inquit, uitæ cupida. Corpus igitur istud omnium iniucundissimum & sordidissimum amamus & colimus. At si oporteret quinq; dies solum uicini corpus curare, non sustineremus. Vide enim qualis res sit, diluculo surgentem alienos dentes fricare: & post aliquod opus necessarium partes illas abluere. Reuera mirum est amari corpus istud, cui tot indies ministeria sunt exhibenda. Hanc peram farcio, & rursus euacuo: quid isto molestius? Sed oportet me Deo inseruire. Quamobrem maneo, & sustineo lauare miserum istud corpusculum, pascere, uestire. Cum uero iunior essem, etiam aliud quidpiam mihi imperabat, & sustinebam tamen ipsum. Cur igitur non sustinetis, cum natura corpus uobis aufert, quod prius dederat? Amo, inquis, ipsum. Atqui, ut nunc dicebam, amorem etiam eius natura tibi dedit: Sed eadem inquit, dimitte nunc ipsum, & non amplius occupator. *Epicteti.*

Si quis senex nõ moriatur, deos incusat, quod negotium ei facessant, hoc tẽpore, quo ipsum iam quiescere conueniret. Et nihilominus cum mors accesserit, uitã desiderat, medicum accersit & orat ne quid in medendo promptitudinis ac diligentiæ prætermittat. O mirabiles homines, dixit, qui nec uiuere, neq; mori uolunt.

Lõgiori uitæ sed deteriori, breuior sed melior ab omnib' omnino præferẽda est.

Sed nunc abeundi tempus est, mihi morituro, uobis uicturis. Vtri uero nostrum ad meliorem statum adeant, omnibus incertum est, præterquam Deo. *Platonis in Apologia Socratis.*

Homini fortunato breuis est uita, infortunato longa. *Apollonij Tianei.*

Sermo uerus, q iuuenes ac senes & reliquã ætatẽ ex æquo iuuet, deq; rebus ipsis instituat, nunc à me proferetur hũc in modũ. Omnia quæcunq; ob causam nascẽtur,

ἀνάγκη λυθῆναι. τὸ γὰρ ἀΐδιον καὶ ἄφθαρτον, μόνῳ τῷ θείῳ προσήκει· τὸ δὲ ὑπὸ τεχνίτου συστὰν
ἔκ τινος ὕλης, προσδέχεται φθοράν. ὁπότε καὶ φυτοῖς ἅπασι καὶ λίθοις καὶ σιδήρῳ, μεταβο-
malim δὲ. λὴν ἴσμεν ξυμβαίνουσαν ὁμοίαν θανάτῳ· δένδροις * δὲ καὶ τοῖς ἐξ αὐτῶν ξύλοις, σηπεδόνα·
λίθοις δὲ, διάλυσιν· σιδήρῳ δὲ, ἰόν. φασὶ δὲ καὶ τὸν κόσμον αὐτὸν, διότι ἐγένετο, κατὰ γνώ-
μην μέν τοι τοῦ ποιήσαντος θεοῦ, λελύσθαι ποτὲ ἐκ μέρους, καὶ αὖθις λυθήσεσθαι, εἴς τε πῦρ καὶ
ὕδωρ. ἀνθρώπῳ δὲ καὶ τοῖς ἄλλοις ζώοις ἡμέροις τε καὶ ἀγρίοις, ἐξιέναι τοῦ βίου πᾶσιν ἀ-
νάγκη. καὶ σοὶ μὲν ἴσως, μᾶλλον δὲ ἄλλῳ τινὶ τῶν ἀμυήτων φιλοσοφίας, δόξει τὸ πρᾶγμα
χαλεπὸν εἶναι, διὰ τὰ προειρημένα. σὺ δὲ ἴσθι ἐξεταζόμενον, αἱρετώτερον φανεῖται τῆς πο[illegible]
δάσου ζωῆς. ἐνταῦθα μὲν γὰρ ἐνοχλεῖ τοῖς ἀνθρώποις, οὐ βραχὺς πόνος, οὐδὲ λύπη καὶ τα-
lego [illegible] vel ἡ [illegible]ρία. λαιπωρία ξύντομος. ἀλλ᾽ οὐδὲ τῶν προσηκόντων εἰς σώματος ἐπιμέλειαν * εὐφορία πάρε-
στιν, οὐδὲ ὑγίεια συνεχής. οὐδὲ μὴν αἱ θαυμαζόμεναι παρά τισιν ἡδοναὶ, καθ᾽ ἑαυτὰς εἰλικρι-
νεῖς τε καὶ ῥᾴδιαι γίνονται, τοῦ μὲν ἀνιῶντος προκαταρχομένου, καὶ ὥσπερ ἐπιγεννῶντος αὐ-
τάς· τοῦ δὲ οἰκείου βραχεῖαν καὶ ὀλιγοχρόνιον ἔχοντος τὴν τέρψιν. πόλεμοι δὲ καὶ μάχαι, καὶ πρά-
potius μακρὸν. ξεις ἐπίπονοι, * μακρὰν ἂν εἴη λέγειν, ὁποῖά ἐστιν, εἴ τις ἐθέλοι μαρτύρια ποιήσασθαι τὰ ἔργα
ἐπὶ τοῖς λόγοις. οὐδὲ γὰρ ἐπὶ θανάτοις οἰκείων καὶ φίλων, ὁποῖα δρῶσι πατέρες ἢ μητέρες,
καιρὸς ἐντελέστερος ὁ παρὼν ἐξηγήσασθαι. ἀλλ᾽ οὐδὲ τὰς ἐπὶ τὸ πλουτεῖν μεταβολὰς οὐδὲ κιν-
δύνους ὑπομένουσιν ἑκάστων διὰ γῆς καὶ θαλάττης. ἐπὶ πᾶσι γὰρ ὁ δαίμων τέτακται, με-
ταποιεῖν τἀγαθὰ καὶ διώκειν, ἀντεισάγων αὐτοῖς τὰς συμφοράς. ὁ δὲ θάνατος, ἄδηλον μὲν,
εἰ φύσιν ἔχει τῆς ἀληθοῦς ζωῆς, τοῦ ζῆν ὑπό τινων ἀποτεθνηκέναι λεγομένου. ὅσα μέν τοι ἀγαθὰ
Locus nō est integer. παρέχει, δεξάμενος ἡμᾶς ἀσφαλῶς τε καὶ πιστῶς. * ἀκούεται μὲν γὰρ ἐνοχλοῦντα ταῖς ψυχαῖς
σώματα, μυρίων ὄντα κακῶν αἴτια, ἐπεισάγει διάλυσιν ἀποδιδοὺς αὐτὰ τοῖς στοιχείοις, καὶ προστι-
θεὶς ἅπερ ἐξ αὐτῶν ὥσπερ ἐδανείσατο. τὰς δὲ ψυχὰς ἄγει ἐπὶ τὸν ἀειδῆ τόπον, ἔνθα δι-
κασταί τε καὶ ἀψευδεῖς θεοὶ, τῶν τε δικαίων καὶ τῶν ἀδίκων κάθηνται κρίνοντες, κατὰ μίαν
πεπτομένας εἰς τὸν προλελυθότα δῆμον. αἵτε ἀπαλλαττόμεναι τῶν δικαστηρίων τυχοῦσαι
νίκης, ἐπὶ πεδία ἠλύσια καὶ τὰς ἐκεῖσε εὐπαθείας ἐκπέμπονται· καὶ εἰσὶ φίλαι τε καὶ κοινω-
νοὶ δαιμόνων τε καὶ ἡρώων, οὓς τέως ἀκοῇ παραλαμβάνουσαι ἐθαύμαζον, στρατηγῶν τε καὶ
βασιλέων οὐκ ἀπολείπονται. τὰς δὲ χαλεπὰς καὶ ἀδίκους, μεταβολὴ καταλαμβάνει, καὶ
οὐκέτι ἀφικνοῦνται εἰς τὸ φῶς.

Πλάτων. Ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις, δεινὸς ὁ βίος. οὐ γάρ τοι θαυμάζοιμ᾽ ἂν, εἰ Εὐριπίδης ἀ-
ληθῆ ἐν τοῖς δὲ λέγει, λέγων· τίς δ᾽ οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν· τὸ κατθανεῖν δὲ ζῆν·
al. ἔγωγ᾽ ἤδη. καὶ ἡμεῖς δὲ τῷ ὄντι ἴσως τέθναμεν. * ἤδη γάρ του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡ-
μεῖς τέθναμεν. καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα· τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσὶ,
τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω καὶ κάτω. καὶ τοῦτο ἄρα τις μυθολογῶν
κομψὸς ἀνὴρ, ἴσως σικελικός τις ἢ ἰταλικὸς παράγων τῷ ὀνόματι, διὰ τὸ πιθανόν τε καὶ πιστι-
al. ἀμυήτων. κὸν, ὠνόμασε πίθον. τοὺς δὲ ἀνοήτους, ἀμυήτους. τῶν δὲ * ἀνοήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυ-
μίαι εἰσὶ, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανὸν, ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπει-
κάσας. τοὐναντίον δὴ οὗτός σοι ὦ Καλλίκλεις ἐνδείκνυται, ὡς τῶν ἐν ᾅδου τὸ ἀειδὲς δὴ λέ-
γων, οὗτοι ἀθλιώτατοι εἶεν οἱ ἀμύητοι καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ, ἑτέρῳ τοι-
ούτῳ τετρημένῳ κοσκίνῳ, τὸ δὲ κόσκινον ἄρα λέγει, ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι.
τὴν δὲ ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων, ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν,
δι᾽ ἀπιστίαν τε καὶ λήθην.

Συκοφάντης. Ἐμοὶ δὲ δοκεῖ ὦ ἑταῖρε, ὅτι ὁ θάνατος αἰσχρὸν, ὅτι τι καλὸν εἶναι. ὅρος δὲ ζωῆς, οὐχ εἷς πάντων,
ἀνισάριθμον ἐκ τῶν φθορῶν τὸ μὴ ὅμοιον τῆς γενέσεως τῇ ἰσχύϊ ἢ ἀρρωστίᾳ. τῇ δὲ προφάσει, ποτὲ μὲν
αἰσχρὰν οὖσαν, ἐφέλκεσθαι θάνατον· ὅπου δὲ, καλὴν καὶ πρεπώδη.

Πλάτων. Ὅτι τῆς συγκρίσεως ἅπαξ διαλυθείσης, καὶ τῆς ψυχῆς εἰς τὸν οἰκεῖον ἱδρυθείσης τόπον, τὸ
ὑπολειφθὲν σῶμα γεῶδες ὂν καὶ ἄλογον, οὐκ ἔστιν ὁ ἄνθρωπος. ἡμεῖς γάρ ἐσμεν ψυχὴ, ζῷον
* forte ἀμυχιαῖα id est ἐπιπόλαια. ἀθάνατον, ἐν θνητῷ καθειργμένον φρουρίῳ. τὸ δὲ σκῆνος τουτὶ, πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις, ᾧ τὰ μὲν ἡδέα, * ἀμυγιαῖα καὶ πτηνὰ, καὶ πλείοσιν ὀδύναις ἀνακεκραμένα·

τὰ δὲ

dissolui oportet. Imortalis eñi & incorruptibilis natura solis diuinis cõuenit. Quicquid autem ab artifice ex aliqua materia compositũ est, corruptionẽ subit. Siquidẽ & plantis omnibus, & lapidibus, & ferro, mutationem contingere scimus morti similem: arboribus quidem & lignis earũ, putredinem: lapidibus, dissolutionem: ferro aũt, ferruginẽ. Quinetiam mundum aiunt, quoniã genitus est, quamuis per uoluntatem creatoris Dei, aliquando ex parte solutũ esse, & rursus in ignẽ & aquam dissolutum iri. Homini quoq;, & omnibus alijs mansuetis ferisq; animalibus, è uita migrare omnino necessarium est. Quod si tibi fortè, aut potius alteri cuipiam philosophiæ ignaro, hæc res propter ea quæ prædiximus, difficilis & dura uidebitur: scitote quod si penitius examinetur, eligenda magis apparitura sit, quàm uita tantopere desyderata. Nam inter uiuendũ nõ exiguus labor, nec breuis tristitia & ærumna homines fatigat. Nec eñi ea quæ ad corporis curam pertinent satis bene uel copiosè possident, nec sanitate continua fruuntur. Sed neq; uoluptates, quæ nonnullos in admirationem trahunt, per se faciles ac syncere cõtingunt, cum semp aliquid triste præcedat, à quo ueluti generãtur: quicquid uero suaue & familiare nobis contineẽt, id omne perbreuem fugacemq; delectationem habeat. Bella aũt, cõflictus, & reliqua opa laboriosa, qualia sint, si quis ex ipsis rebus orationi testimonia adhiberi uellet, hic recensere nimis prolixũ foret. At nec ea, quæ parentes propter mortem familiarium aut dilectorũ sibi faciunt, in præsentia explicare conuenit. Porrò neq; casus & mutationes, quæ ditescendi gratia fiunt, nec omnia pericula terra mariq; subeunda tolerari possunt. Imminet enim ubiq; dæmon, ut quæ bona sunt peruertat & persequatur, illorum aũt loco calamitates inducat. Cæterũ de morte dubium est, an rationem & naturam ueræ uitæ contineat, cum uitam aliqui mortem appellent. Quanta uero bona exhibeat nos excipiens constanter ac certò inde patet, quod molesta animis corpora, & multorum malorũ causas, ipsa dissoluit elementis suis ea reponens, ac restituens, quæ prius ab ipsis ueluti mutuata fuerat. Animas aũt ad* opacum locũ deducit, ubi iudices ac ueraces dij, de iustis iniustisq; sententiam ferentes sedent, & singulas in illorum, qui prius aduenerant, numerũ referũt. Tum animę, quæ à iudicijs absoluuntur uictoriam nactæ, ad campos Elysios, & uoluptates illic uigentes mittuntur: ac fiunt amicæ & sociæ dæmonum heroumq;, quorum olim famam solum admirabantur, & imperatoribus ac regibus semper adhærent. Malas uero & improbas infœlix mutatio suscipit, nec amplius luce fruuntur.

*ἀειδῆ Græce, alludit ad ἅδην, id est inferos.

Quinetiã ut tu dicis grauis est uita. Neq; admirarer, si ea de re uerũ hoc Euripidis dictũ fuerit: Quis nouit utrũ uiuere quidẽ mori sit: mori aũt uiuere? Et nũc forte re-uera mortui sumus. Audiui iã à sapiente quodã nos nũc mortuos esse, corpusq; nostrũ sepulchrũ esse nobis: partẽq; animę in qua cupiditates sunt, pinde se habere ac si psuadendo uicissimq; dissuadendo, sursum deorsumq; agitet. Itaq; elegãs quidã uir Siculus fortè uel Ital⁹ in his cõfabulatus animi partẽ propter suasionẽ credulitatẽq; lubricã alludens nomini, πίθον, id est doliũ appellauit: Demẽtes uero prophanos atq; damnatos. Horũ aũt animi partẽ libidini obnoxiã, ceu futilẽ ob incontinentiã inexplebilẽ perforatũ esse doliũ inquit. Quare hic uir contrariũ tibi ostendit: eorum qui apud obscuros sunt inferos, eos esse miserrimos, qui tanquã omnino prophani dãnati sunt, & aquã in uas perforatũ alio perforato uase inferre cogũtur. Esse aũt hoc aliud uas, siue cribellũ, ut dicebat is q me docuit, dementiũ animũ: quẽ ideò pforato uasi assimilauit, qd ob inuidã affectionẽ obliuionẽq;, nequeat infusũ aliqd cõtinere. *Platonis in Gorgia.*

Mihi aũt mors ipsa neq; turpis, nec honesta esse uidetur. Terminus aũt uitæ non omnibus idem est, cũ firmitas aut imbecillitas uiriũ à prima natiuitate dissimilis inæqualem annorum ætatem efficiat. Causa uero aliquando turpis, aliquando honesta & decora mortem promouet. *Xenophontis.*

Soluta semel hac cõpage, animoq; rurs⁹ in propriũ restituto locũ, relictũ istud corpus terrenũ, & rationis exps, amplius nõ est homo. Nos eñi aĩa sum⁹, animal imortale, mortali inclusũ munimẽto. Hoc aũt tabernaculũ nõ sine malo nobis circumdedit natura, cuius læta quidẽ abstrusa sunt & uolucria pluribusq; dolorib⁹ admixta: *Platonis in Axiocho.*

τὰ δὲ ἀλγεινὰ, ἀκραιφνῆ καὶ πολυχρόνια, καὶ τῶν ἡδέων ἄμοιρα. νόσους δὲ καὶ φλεγμονὰς τῶν αἰσθητηρίων, ἔτι δὲ τὰς ἐντὸς κακότητας, οἷς ἀναγκαστῶς, ἅτε παρεσπαρμένη τοῖς πόροις ἡ ψυχὴ συναλγοῦσα τὸν οὐράνιον ποθεῖ καὶ σύμφυλον αἰθέρα, καὶ διψᾷ τῆς ἐκεῖ διαίτης καὶ χορείας ὀριγνωμένη, ὥστε ἡ τοῦ ζῆν ἀπαλλαγὴ, κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή.

Ἐν γὰρ βίῳ καθάπερ ἐν θεάτρῳ ἄχρι τούτου δεῖ παραμένειν, ἄχρις οὗ τὴν τῶν ἔργων θέαν ἐπιτερπῆ αὐτῷ συμβαίνει.

ΠΕΡΙ ΠΕΝΘΟΥΣ ΛΟΓΟΣ ριθ'.

Βακχυλίδου. Αἰαῖ τέκνον ἀμέτερον, μεῖζον ἢ πενθεῖν
al. ἀφωνήτοισιν. ἐφάνη κακὸν * ἀφθέγκτοισιν ἴσον.
Αἰσχύλου. Οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι.
Σόλωνος. Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι. ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.
Εὐριπίδου. Ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσι,
θρήνων τ' ὀδυρμοί, μοῦσά θ' ἣ λύπας ἔχει.
Ὁμήρου. Τοῦτό νυ καὶ γέρας οἷον ὀϊζυροῖσι βροτοῖσι,
κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.
Πάτροκλον κλαίωμεν. τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Εὐριπίδου. Ἔστι καὶ παρὰ δάκρυσι κείμενον ἡδὺ βροτοῖς,
ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ.
Ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ
θνητοῖς ὀδυρμοί, δακρύων τ' ἐπιῤῥοαί.
ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν,
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.
Καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει,
ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.
Σοφοκλέους. Ὡς ἄρ' ὦ τέκνον κενὴν
ἐτερπόμην σοῦ τέρψιν εὐλογουμένου,
ὡς ζῶντος. ἡ δ' ἄρ' ἐν σκότῳ λαθοῦσά με
ἔσαιν' ἐρινὺς ἡδοναῖς ἐψευσμένον.
Θανόντι κείνῳ συνθανεῖν μ' ἔρως ἔχει.
forte ἴσ'. * ἥξεις. ἐπεί σου μηδὲν εἰς τὸ μόρσιμον.
Φιλήμονος. Τί δὴ ποιεῖς πλέον; οὐδέν. ἡ λύπη δ' ἔχει,
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν, τὸ δάκρυον.

Δημοσθένους. Ἀλλ' ἔχει τινὰ τοῖς ἀδικουμένοις ῥᾳστώνην, τὸ λέγειν ἃ πάσχουσιν, ὥσπερ τοῖς ἀλγοῦσι τὸ στένειν.

Ὀβρίμου. Ἔστι δὲ ἀνθρώποις καὶ θρήνων χάρις, καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις.

Πλάτωνος. Δακρύειν μὲν τὸν τετελευτηκότα ἐπιτάττειν, ἢ μὴ, ἄμορφον. θρηνεῖν δὲ καὶ ἔξω τῆς οἰκίας φωνὴν διαγγέλλειν, ἀπαγορεύειν· καὶ τὸν νεκρὸν εἰς τὸ φανερὸν προσάγειν τῶν ὁδῶν, κωλύειν· καὶ ἐν ταῖς ὁδοῖς πορευόμενον φθέγγεσθαι, καὶ πρὸ ἡμέρας ἔξω τῆς πόλεως εἶναι.

ΠΕΡΙ

tristia uero improuisa, diuturna, prorsusq; uacua gaudiorum. Valetudines nempe, sentientium membrorum ulcera, morbi interni: Quibus necessariò (quoniam per corporis meatus sparsa est) condolens anima cœlestẽ, & cognatum desiderat æthera, sititq; cupidè supernæ illius consuetudinem gaudiaq; uitæ. Discessus itaq; è uita mali cuiusdam est in bonum commutatio.

Cæterũ in uita tanquam in theatro tamdiu permanendum est, quàmdiu rerum & operum huius uitæ iucundum fuerit spectaculum.

DE LVCTV, SERMO CXIX.

O Proles nostra, maior quàm lugeri possit *Bacchylidis.*
Calamitas apparuit, tantum non ineffabilis.
Non enim aliud maius hoc malo patiar. *Aeschyli.*
Nec mihi sine luctu mors eueniat: sed amicis *Solonis.*
Mortuus relinquam dolores & suspiria.
Quàm gratæ sunt lachrymæ malè affectis, *Euripidis.*
Et luctuum lamentationes, & flebilis Musica.
Hic sanè solus est miseris mortalibus honor, *Homeri.*
Tonderi comam, & effundere lachrymas genis. *Odyß. δ.*
Patroclum defleamus. hic enim honos est defunctorum.
Inest & lachrymis uoluptas quædam mortalibus, *Euripidis.*
Cum quis amicum misericordia motus deplorat.
Est etiam in malis aliquid uoluptatis
Hominibus, nempe luctus, & lachrymarum defluxiones.
Hæc enim leuant animi dolores,
Et nimios pectoris labores soluunt.
Hoc à natura ingenitum est hominibus:
Etsi quis iure mortem obierit, nihilominus tamen cupit
Vnusquisq; amicos sibi astrictos deflere.
O quàm inane fili mi *Sophoclis.*
Gaudium me delectabat, propter te laudatum
Veluti uiuentem. Latens autem in tenebris me
Mulcebat Erinnys uoluptatibus falsum.
Cupio me mortis illius præbere socium.
Minimè. Nihil enim pertinet ad tuum fatum.
Quid quæso proficis? Nihil. Sed tristitia profert *Philemonis.*
Lachrymas, ueluti arbor ista fructum.

Sentiunt se leuari qui iniurijs affecti sunt, ex narratione illorum quæ patiuntur, quemadmodum dolentes per suspiria leuantur. *Demosthenis.*

Hominibus etiam luctuum aliqua est gratia: Et hoc solatium natura nobis in aduersis casibus dedit. *Obrimi.*

Lachrymis mortuos decorare aut non, turpe legũlatori cogere est: plangere uero & extra domum uociferari, prohibendum est. Cadauer etiam manifestè per uias urbis frequẽtiores efferre, & palàm eiulare, aut ante diem extra urbem se afflictare, non liceat. *Platonis legum lib. 12.*

Εὐριπίδου. Ἀνθρώπων δὲ μαίνονται φρένες,
δαπάνας ὅταν θανοῦσι πέμπωσι κενάς.

Μενάνδρου. Οὐ πώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν,
εἰς τὸν ἴσον δ' ὄγκον τῶν σφόδρ' ἔρχετ' εὐτελεῖ.

Μοσχίωνος. Ἐάσατ' ἤδη γῇ καλυφθῆναι νεκρούς·
ὅθεν δ' ἕκαστον εἰς τὸ σῶμ' ἀφίκετο,
ἐνταῦθ' ἀπελθεῖν, πνεῦμα μὲν, πρὸς αἰθέρα,
τὸ σῶμα δ' εἰς γῆν. οὔτι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτό, πλὴν ἐνοικῆσαι βίον·
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.

Εὐριπίδου. Τὸ ζῆν ἀφέντες, τὸ κατὰ γῆς τιμῶσί σου,
κενόν γ'. ὅταν γὰρ ζῇ τις εὐτυχεῖ κρεῖον.

Ὁμήρου. Ὄφρα ἑ ταρχύσωσι κασίγνητοί τε ἔται τε,
τύμβῳ τε, στήλῃ τε. τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Ἀλλὰ χρὴ τὸν μέν, καταθάπτειν ὅς κε θάνῃσι
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας.
Ἀνδρῶν γὰρ ἐπιφανῶν, πᾶσα γῆ τάφος.

malim ἐκ κώνει. Σωκράτης, ἐπεὶ τὸ κώνειον ἔμελλε πίνειν, τῶν ἀμφὶ * τὸν Κρίτ' ἐρομένων αὐτόν, τίνα τρόπον ταφῆναι θέλει· ὅπως ἂν ὑμῖν, ἀπεκρίνατο, ᾖ ῥᾷστον.

Vox est corrupta. Ἔλεγεν ὁ Διογένης, ὅτι ἂν μὲν κύνες αὐτὸν σπαράξωσιν, ὑρκανία ἔσται ἡ ταφή. ἂν δὲ γῦπες, * ἐπήτιον. ἂν δὲ μηδ' εἰς προσέλθῃ, ὁ χρόνος καλλίων τῇ ταφῇ διὰ τῶν πολυτελεστάτων, ἡλίου καὶ ὄμβρου.

Ἐκ τῆς Νικολάου ἐθῶν συναγωγῆς.

Κίοι τοὺς ἀποθανόντας κατακαύσαντες, καὶ ὀστολογήσαντες ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον, καὶ κόσκινον λαβόντες, ἀναπλέουσιν εἰς πέλαγος, καὶ πρὸς τὸν ἄνεμον διασκεδάζουσιν, ἄχρις ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται.

Ταῦροι σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου, ἢ μέρος, ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον, πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος.

Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ἦν.

Id. Id. Κόλχοι τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ κρεμῶσιν * ἀπὸ δένδρων.

Φρύγες οὐ κατορύττουσι τοὺς ἱερεῖς τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεις τιθέασιν ὀρθούς.

Γαύνβοι Λίβυες, ὅταν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα, κατορύττουσι· τὴν δὲ κεφαλὴν ἀποκόψαντες, καὶ χρυσώσαντες ἀνατιθέασιν ἐν ἱερῷ.

Ἰνδοὶ συγκατακαίουσιν ὅταν τελευτήσωσι, τῶν γυναικῶν τὴν προσφιλεστάτην. αὐτῶν δὲ ἐκείνων ἀγὼν μέγιστος γίνεται, σπουδαζόντων νικῆσαι ἑκάστην τῶν φίλων.

Τὸ αὐτὸ καὶ Ἡρόδοτος ἐν πέμπτῃ ἱστοριῶν, παρὰ σκυθῶν τῶν ὑπὲρ θρηκῶν κρηστονίων γίνεσθαι λέγει.

Ἡροδότου. Πέρσαι καὶ αἰγύπτιοι, οὐχ ὅσιον ἡγοῦνται τοὺς νεκροὺς καίειν. Πέρσαι γὰρ θεὸν νομίζουσιν εἶναι τὸ πῦρ. διό, οὐ δίκαιον εἶναι λέγουσι θεῷ νέμειν νεκρὸν ἀνθρώπου. αἰγυπτίοισι δὲ νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον. πάντα δὲ αὐτὸ κατεσθίειν τά, ἅπερ λάβῃ, πλησθέντα δὲ αὐτὸ τῆς βορᾶς, συναποθνήσκειν τῷ κατεσθιομένῳ. οὔκων θηρίοισι οὐδαμῶς σφισι νόμος ἐστὶ τὸν νέκυν διδόναι. καὶ διὰ ταῦτα, ταριχεύουσιν, ἵνα μὴ κείμενος ὑπὸ εὐλέων καταβρωθῇ.

Πλάτωνος. Οὔσης γὰρ ταφῆς, τῆς μέν, ὑπερβεβλημένης· τῆς δέ, ἐλλειπούσης· τῆς δέ, μετρίας· τὴν μίαν ἑλόμενος

μοι alias abest. σὺ τὴν μέσην ταύτην προσέταξας, καὶ ἐπῄνεσας ἁπλῶς. ἐγὼ δέ, εἰ μὲν γυνή * μοι διαφέρουσα εἴη πλέον, καὶ θάπτειν αὐτὴν διακελεύοιτο ἐν τῷ ποιήματι, τὸν ὑπερβάλλοντα ἂν τάφον ἐπαινοίην.

φαίη

DE SEPVLTVRA, SERMO CXX.

Mentes hominum insaniunt, *Euripidis.*
Cum sumptus inutiles pro mortuis expendunt.
Nunquam æmulatus sum cadauer sumptuosum, *Menandri.*
Nam spatij non amplius occupat quàm ualde pauper.

Sinite iam terra mortuos operiri: *Moschionis,*
Et unumquodq;, unde in corpus uenit, *al. Menandri.*
Illuc redire: spiritum quidem ad æthera,
Corpus uero in terram. Non enim possidemus
Ipsum proprium, sed quamdiu hanc uitam incolimus,
Deinde restituendum est suæ parenti.

Relicta uita, id quod sub terra est colunt, *Euripidis.*
Res uana. Dum uiuit enim quispiam fœlix est ô Creon.

Vt funus ei adornent fratres socijq;, *Homeri.*
Tumulo & cippo. hic enim honos defunctorum est.

Sed illum qui mortuus fuerit sepelire oportet *Iliad. τ.*
Immitem habentes animum, non supra diem unum lachrymantes.

Insignium enim uirorum uniuersa terra sepulchrum est.

Socrates cicutam bibiturus, à quibusdam interrogatus quomodo sepeliri uellet: Eo modo, dixit, quo uobis facillimum fuerit.

Diogenes dicebat, si canes cadauer suum lacerarent, Hircanam sepulturam fore: sin uultures, *Iberam. At si nullum animal accederet, ipsum tempus pulcherrimam sibi fore sepulturam, corpore à pretiosissimis rebus sole inq; & imbribus absumpto. *Vox est in Græco corrupta: sed autores alij Indos, alij Iberos cadauera uulturibus lacerinanda proposuisse scribunt.

Ex collectaneis Nicolai de moribus gentium.

*Chij combustis cadaueribus, & ossibus collectis, in mortario ea contundunt, deinde nauigio imponentes in altum nauigant, eaq; per cribrum ad uentorum flatus dispergunt, donec omnino dissipentur & aboleantur. *Κίοι.

Tauri gens Scythica cum regibus extinctis gratissimos eorum amicos unà sepeliunt. Si uero amicus aliquis regi interierit, pro illius dignitate & merito rex auriculam uel totam, uel eius partem amputat.

Sindi totidem pisces inijciunt sepulchris, quot hostes sepeliendus necauerit.

Colchi defunctos non sepeliunt, sed ex arboribus suspendunt.

Phryges non defodiunt mortuos sacerdotes, sed supra lapides decem cubitorum erectos eos statuunt.

Panebi Libyes regis extincti corpus obruunt terra: caput autem abscissum & inauratum in delubro collocant.

Indi cum moriuntur charissimam ex uxoribus unà concremant. Fit autem inter uxores maximũ certamen, dum singulas ut uincant acri studio amici promouent.

Idem Herodotus historiarum libro quinto à Scythis qui supra Chrestonæos incolunt fieri tradit.

Persæ & Aegyptij nefas esse putant mortuos cõburere. Nam Persæ ignem Deum existimant. Quare non iustum esse dicunt humanum cadauer offerre Deo. Aegyptij uero persuasum habent ignem animatam quandam esse belluam, quæ, quæcunq; nanciscitur, deuorat atq; consumit: at cum est expleta, ipsam & quæ ab ea uorata sunt, unà emori: & propterea nec cremare, nec belluis offerre corpora, ut aliæ plerçq; nationes, Aegyptij statuerunt, sed ea cõdire, ne à uermibus cõsumi possent. *Herodoti lib. 3. historiarum.*

Cum sepulchrorum alia excedant, alia deficiant, alia mediũ teneãt, mediocria tu simpliciter laudasti, fieriq; sola iussisti. Ego autem si uxor mihi ditissima esset, iuberetq; ut eam magnificè sepelirem, in poëmate excedens sepulchrum laudarem: pau *Platonis de legibus lib. 4.*

φειδωλὸς δ' αὖ τις καὶ πένης ἀνὴρ, τὸν κατασκευᾶ. μέτριον δὲ οὐσίας κεκτημένος, καὶ μέτριος αὐτὸς ὢν, τὸν αὐτὸν αὖ ἐπαινέσει.

Ξενοφῶντος. Τὸ δ' ἐμὸν σῶμα ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργύρῳ, μήτε ἐν ἄλλῳ μηδενί. ἀλλ' ὡς τάχιστα τῇ γῇ ἀπόδοτε. τί γὰρ τούτου μακαριώτερον, ἢ τὸ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλὰ, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος * ἀνθρώπου. (al. ἀνθρώπους.)

ΠΑΡΗΓΟΡΙΚΑ, ΛΟΓΟΣ ρκά.

Ὁμήρου. Ἴσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα.
Γαστέρι δ' οὔπως ἐστὶ νέκυν πενθῆσαι.
al. ἦ. Μέλλει * μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν.
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε.
al. ἦ. τλητὸν * τοι μοῖραι θυμὸν θέσαν ἀνθρώποισι.
Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
Σιμωνίδου. Τοῦ μὲν θανόντος, οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρας μιᾶς.
Μενάνδρου. Ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν ξένε.
al. κοινῶ. τὰ κοινὰ † κοινῶς δεῖ φέρειν * συμπτώματα.
* al. συμβάματα. Γίγνωσκε τἀνθρώπεια, μηδ' ὑπὲρ μέτρον
Εὐριπίδου. ἄλγει. κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.
Πέπονθεν, οἷα καὶ σὺ, καὶ πάντες μένει.
Θεόγνιδος. Τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθὼς,
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.
μηδὲ σύγ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
al. ἔχε, μηδ' ἄχθ. * ἄχθει, μηδ' αἴσχεα, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε, θεῶν δ' εἱμαρμένα δῶρα
al. ἐν ἄρ. * ἂν οὐ ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.
Φιλήτα. Ἐκ θυμοῦ κλαῦσαι μέγα μέτρια, καί τι προσηνὲς
εἰπεῖν, μεμνῆσθαί τ' οὐκ ἔτ' ἐόντος ὅμως.
Φιλήτα. Οὐ κλαίω ξείνων σε φιλαίτατε. πολλὰ γὰρ ἔγνως
lego ἔνειμε. καλὰ. κακῶν δ' αὖ σοι μοῖραν * νέμοι θεός.
Εὐφορίωνος. Καὶ τόκα μέτρια μέν τις ἐπὶ φθιμένῳ ἀκάχοιτο,
μέτρια καὶ κλαύσειεν. ἐπεὶ καὶ πάμπαν ἀδάκρυ
μοῖραι ἐπεκλώσαντο.
Ὁμήρου. Αἶψα δὲ κόρος κρυεροῖο γόοιο.
ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
al. δὲ τ. ζώειν ἀχνυμένους. αὐτοὶ * δ' ἀκηδέες εἰσίν.
Στησιχόρου. Ἀτελέστατα * γὰρ ἀμήχανα τοὺς θανόντας κλαίειν.
malim καὶ. Τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι,
Εὐριπίδου. καὶ τ' ἐκχυθέντα συλλέγεις ἀλγήματα;
Σοφοκλέους. Ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ,

per autem uir atq; auarus, deficiens: Qui uero mediocres diuitias possidet, & ipse quoq; moderatus sit, medium laudabit.

Meum uerò corpus, ô mihi charissimi filij, cum moriar neq; in auro condite, neq; in argento, neq; in alia re prorsus ulla, sed illud terræ reddite quamprimum. Quid enim hac re beatius quàm terræ misceri, quæ pulchra omnia, bona omnia & gignit & nutrit? Ego uero & aliâs me humanũ pręstiti, & nũc iucundè mihi uideor eius rei particeps fieri, quæ benefica est in homines. *Xenophontis de pedia Cyri libros.*

CONSOLATORIA, SERMO CXXI.

Sustineas, neq; nimis in animo tuo lugeas. *Homeri.*
Nihil enim proficies, utcunq; grauiter ob filium dolens,
Nec excitabis eum prius, quàm & alia tibi calamitas accidat.
Non licet (inani) deflere mortuum uentre.
Perditurus est aliquis olim etiam chariorem sibi multò, *Iliad. ω.*
Siue fratrem germanum, seu filium quoq;.
Veruntamen luctum doloremq; remittit.
Patientem nanq; hominibus fata dedere animum.
Nam & Niobe pulchricoma memor cibi fuit, *Ibidem.*
Cui duodecim liberi in ædibus obierunt,
Sex filiæ, ac totidem filij pubescentes.
De homine defuncto non cogitabimus, *Simonidis.*
Si quid sapiamus, amplius uno die.
Ferenda est fortuna humaniter ô hospes, *Menandri.*
Communes euentus ferre communiter oportet.
Agnosce res humanas, neq; supra modum *Euripidis.*
Dole. non sola enim malè affligeris.
Hoc ei accidit, quod etiam tibi, & omnibus euenturum est.
Sustineas anime in malis, quamuis intolerabilia passus. *Theognidis.*
Timidorum sanè cor magis est præceps, ac impatiens.
Neq; uanis negotijs dolorem tib augens
Odio aut molestia afficiaris: neq; amicos tristitia,
Neq; inimicos gaudio perfundas. Deorum enim fatalia dona sunt,
Quæ mortalis homo non facile effugerit.
Ex animo lugeas omnino mediocriter, & aliquid iucundi *Phileta.*
Dicas, nihilosecius memor defuncti.
Non lugeo te chrissime hospes. multa enim percepisti *Philea.*
Bona. nunc uero malorum tibi sortem Deus dedit.
Et tum quispiam moderatè defuncti nomine tristetur, *Euphorionis.*
Et moderatè lugeat. Nam omnino à lachrymis alienum
Parcæ læserunt.
Statim oboritur saties tristifici luctus. *Homeri Odyss. δ*
Sic enim constituerunt dij miseris hominibus, *Eiusdem Iliad. ω.*
Vt uiuant mœsti: at ipsi extra omnem curam sunt.
Lugere mortuos res est infinita & inops consilij. *Stesichori.*
Quin tu defunctos obijsse sinis, *Euripidis.*
Et† effusos dolores colligis? †uel euitatos.i.transactos. Colligis.i.reprimis.
Quod si liceret lugendo mederi malis, *Sophoclis.*

καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧττον κτῆμα τοῦ κλαίειν ἂν ἦν.
νῦν δ᾽, ὦ γεραιὲ, ταῦτ᾽ ἀνηνύτως ἔχει,
τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν.
καὶ μοὶ γὰρ ἂν πατήρ τι δακρύων χάριν
ἀνῆκτ᾽ ἂν εἰς φῶς.

Τιμοκλέους. Ὦ τᾶν ἄκουσον, ἄν τι σοι δοκῶ λέγειν,
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει.
καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
ταύτας. ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ᾽ ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον εἰ βούλει σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὁ μὲν γὰρ πένης,
πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον, ἤδη τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν, Ἀλκμαίωνα ἐσκέψατο.
ὀφθαλμιᾷ τις, ἴσιφον ἴδεν τυφλόν.
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικε.
χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθε τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζον᾽ ἢ πέπονθέ τις
ἀτυχήματ᾽ ἄλλοις γεγονότ᾽ ἐννοούμενος,
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

Εὐριπίδου. Παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν.

Φιλιππίδου. Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος.

Μενάνδρου. Πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
χρόνος ἐστὶν, οὗτος καὶ σὲ νῦν ἰάσεται.

Ὁμήρου. Τέκνον ἐμὸν τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων,
σὴν ἔδεαι κραδίην;

Πυθαγόρου. Φείδεο τῆς ζωῆς, μή μιν κατὰ θυμοβορήσῃς.

Διφίλου. Λύπης δὲ πάσης γίνετ᾽ ἰατρὸς χρόνος.

[illegible] Ἀλλ᾽ ὅτ᾽ ἤδη χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν

Φιλήτα. ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει.
Καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο
κήδεα δειλαίων εἷλεν ἀπὸ πραπίδων.

Ἀντιφάνους. Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους.
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
ἣν πᾶσιν ἐλθεῖν ἐστ᾽ ἀναγκαίως ἔχον,
προεληλύθασιν. εἶτα χ᾽ ἡμεῖς ὕστερον
εἰς ταὐτὸ καταγώγιον αὐτοῖς ἥξομεν,
κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.

Εὐριπίδου. Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ.
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκρανται, κατθανεῖν τ᾽ ὀφείλεται.
Τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.
κοινὸν δ᾽ ἔχοντες αὐτὸ κοινὰ πάσχομεν

Et mortuum lachrymis reuocare,
Aurum sanè uilius foret fletu.
Nunc autem ô senex, fieri nequaquam potest,
Vt qui sepulchro conditus est in lucem reducatur.
Nam & mihi pater, si quid lachrymæ proficerent,
In lucem rediјsset.

Audi amice, si quid tibi dicere uidear. *Timoclis.*
Homo natura laboriosum est animal,
Et multum uita molestiæ adfert secum.
Inuenit igitur curarum solatia
Ista. Mens enim oblita suorum,
Et alienis demulsa malis,
Cum uoluptate prudentior etiam euadit.
Nam Tragœdos, si libet, primum consydera,
Quàm sint utiles omnibus. Pauper enim aliquis
Pauperiorem se cognoscens Telephum
Fuisse, facilius ita paupertatem fert.
Qui morbum aliquem furiosum patitur, Alcmæonem contemplatur.
Lippiens alius, Isyphum cæcum uidet.
Si forte filia obiјt, Niobe leuat dolorem.
Qui claudicat, Philoctetem inspicit.
Infortunatus quispiam senex Oeneum cognoscit.
Siquidem omnes suis maiores
Calamitates aliјs accidisse consyderans,
Sua ipsius infortunia minus luget.

Casus ueteres non deplorandi sunt nouis lachrymis. *Euripidis.*

Tempus te sanabit, qui communis est medicus. *Philippidæ.*

Medicus omnium necessariorum malorum *Menandri.*
Tempus est, quod tibi quoq; nunc medebitur.

Fili mi, quàm diu luctu tristitiaq; *Homeri Iliad. ω.*
Cor tuum exedes?

Parce tuæ uitæ, ne ipsam animi affectibus edas. *Pythagoræ.*

Tempus omni mœstitiæ medetur. *Diphili, al. Iphicli.*

Cum tempus aderit, quod à Ioue ut dolores concoquas *Philetæ.*
Destinatum est, & solum luctus remedia continet.
Nam qui miserabili fletu satur fuerit,
Ille miseras curas expectorat.

Lugendi sunt moderatè coniuncti nobis olim amici. *Antiphanis.*
Non enim mortui sunt, sed eandem uiam
Quam ingredi omnibus necessarium est,
Præiuerunt: nos etiam in posterum
In idem cum ipsis diuersorium ueniemus,
Communem unà reliquam acturi uitam.

Desine tristari pro defunctis. *Euripidis.*
Nam cunctis hominibus hoc à diјs
Suffragiј datum est, & mortis imposita necessitas.

Omnibus hominibus obeunda mors est.
Cum igitur sit communis, patimur etiam communia

πάντες. τὸ γὰρ χρεὼν μεῖζον, ἢ τὸ μὴ χρεών.

Ἀρχιλόχου. Κήδεα μὲν στονόεντα Περίκλεες, οὔτε τις ἀστῶν
μεμφόμενος θαλίης τέρψεται, οὐδὲ πόλις.
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
al. ἔκλυσε', οἰδαλέους. * ἔκλασεν. ὑδαλέους δ' ἀμφ' ὀδύνῃ ἔχομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν
ὦ φίλ' ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον. ἄλλοτε δ' ἄλλος ἔχει τόδε. νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν.
lego ἑτέρους. ἐξαῦτις δ' * ἑτάρους ἐπαμείψεται. ἀλλὰ τάχιστα
τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι.

Πολυαίνου. Ἐπὶ τοῖς ἀποθνήσκουσι, μὴ λυποῦ. ἀναγκαῖον γάρ. ἀλλ' ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσιν.

Ἄμασις πρός τινα τὸν υἱὸν ἀποβαλόντα, εἶπεν· εἰ ὅτε μηδέπω ἦν οὐκ ἐλύπου, μηδὲ νῦν λυπηθῇς, ὅτι οὐκ ἔτ' ἐστίν.

Δίωνος ἐκ τοῦ χαρίδου. Τὰ δὲ καθ' ἡμᾶς οὕτω γέγονεν, ὡς ἔδοξε τοῖς θεοῖς. χρὴ δὲ * μὴ γιγνομένων χαλεπὸν ἡγεῖσθαι, μηδὲ δυσχερῶς φέρειν, ὥσπερ ἐν δεινοῖς οὖσι. παραινοῦσι δὲ, ἄλλοι τε σοφοί, καὶ οὐχ ἥκιστα Ὅμηρος, lego μηδὲν τ. μηδαμῆ ἀπόβλητα εἶναι ἀνθρώποις τὰ θεῶν δῶρα. καλῶς ὀνομάζων τὰ δῶρα, τὰ ἔργα τῶν θεῶν. ὡς ἅπαντα ἀγαθὰ ὄντα, καὶ ἐπ' ἀγαθῷ γινόμενα.

Ἀπολλωνίου. Οὐ θρηνητέον οἵων ἐστερήθημεν· ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιοτὴν ἐβιώσαμεν.

Ὑπερίδου. Χαλεπὸν μὲν ἴσως ἐστὶ, τοὺς ἐν τοῖς τοιούτοις ὄντας πάθεσι παραμυθεῖσθαι. τὰ γὰρ πένθη, οὔτε λόγῳ, οὔτε νόμῳ κοιμίζεται. ἀλλ' ἡ φύσις ἑκάστου καὶ φιλία πρὸς τὸν τελευτήσαντα, ὁρισμὸν ἔχει τοῦ λυπεῖσθαι. ὅμως δὲ χρὴ θαῤῥεῖν, καὶ τῆς λύπης * παραινεῖν, εἰς τὸ ἐνδεχόμενον· (lego παραιρεῖν, vel παραιρεῖσθαι.) καὶ μεμνῆσθαι, μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆς ἀρετῆς ἧς καταλελοίπασιν. οὐ γὰρ θρήνων ἄξια πεπόνθασιν, ἀλλ' ἐπαίνων μεγάλων πεποιήκασιν. εἰ δὲ γήρως θνητοῦ μὴ μετέσχον, ἀλλ' εὐδοξίαν ἀκήρατον εἰλήφασιν, εὐδαίμονές τε γεγόνασι κατὰ πάντα. ὅσοι μὲν γὰρ αὐτῶν ἄπαιδες τετελευτήκασιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι, παῖδες αὐτῶν ἀθάνατοι ἔσονται. ὅσοι δὲ παῖδας καταλελοίπασιν, ἡ τῆς πατρίδος εὔνοια, ἐπίτροπος αὐτοῖς τῶν παίδων καταστήσεται. πρὸς δὲ τούτοις, εἰ μὲν ἐστὶ τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων, καὶ λύπης, καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον. εἰ δ' ἔστιν αἴσθησις ἐν ᾅδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβάνομεν, εἰκὸς τοὺς ταῖς τιμαῖς τῶν θεῶν καταλυομέναις βοηθήσαντας, πλείστης εὐδαιμονίας ὑπὸ τοῦ δαιμονίου τυγχάνειν.

Διονυσίου ἁλικαρνασέως. Τοῖς δὲ ἀνθισταμένοις καὶ μὴ καταπίπτουσι, κουφότερα γίνεται τὰ κακά.

Σωκράτους. Πεττείᾳ τινὶ ἔοικεν ὁ βίος· καὶ δεῖ, ὥσπερ ψῆφον τινὰ τίθεσθαι τὸ συμβαῖνον. οὐ γὰρ ἔστιν ἄνωθεν βαλεῖν, οὐδὲ θέσθαι τὴν ψῆφον.

Ξενοφῶντος. Ἀλλ' ὅτι ἐπὶ θανάτῳ προσήκει, τοσοῦτον πένθος εὑρέσθαι, ἐπιστάμενος, ὅτι οὐδὲ ἀνθρωπίνης χρὴ νομίζειν, ἀρχὴν μὲν, γενέσθαι· τέλος δὲ, θάνατον. ἀπέθανε δὲ, ὅπερ ἂν καὶ ὁ μὴ θέλων ἔπαθε. τὸ δὲ καλῶς, ἑκόντος τε ἔργον, καὶ ἃ χρὴ παιδευθέντος. μακάριος οὖν δὴ Γρύλλος, καὶ ὅστις, οὐ τὸ μήκιστον ἑλόμενος τοῦ βίου· τὸ δὲ μετὰ ἀρετῆς, καὶ εἰ βραχὺν ἔδωκεν αἰῶνα ὁ θεός.

Πλάτωνος. Ἀνὴρ, ἦν δ' ἐγὼ, ἐπιεικὴς, τοιᾶσδε τύχης μεταλαχὼν, υἱὸν ἀπολέσας, ἤ τι ἄλλο, ὧν περὶ πλείστου ποιεῖται, ἐλέγομέν που καὶ τότε, ὅτι ῥᾷστα οἴσει τῶν ἄλλων. πάνυ γε. νῦν δὲ τόδε ἐπισκεψώμεθα, πότερον οὐδὲν ἀχθεσθήσεται, ἢ τοῦτο μὲν ἀδύνατον, μετριάσει δέ πως πρὸς λύπην. οὕτω μᾶλλον ἔφη τό γε ἀληθές. τόδε νῦν μοι περὶ αὐτοῦ εἰπὲ, πότερον αὐτὸν μᾶλλον οἴει τῇ λύπῃ μαχεῖσθαί τε καὶ ἀντιτείνειν, ὅταν ὁρᾶται ὑπὸ τῶν ὁμοίων, ἢ ὅταν ἐν ἐρημίᾳ μόνος αὐτὸς καθ' αὑτὸν γίγνηται; πολύ που ἔφη διοίσει, ὅταν ὁρᾶται. μονωθεὶς δέ γε οἶμαι, πολλὰ μὲν τολμήσει φθέγξασθαι, ἃ εἴ τις αὐτοῦ ἀκούοι, αἰσχύνοιτ' ἄν· πολλὰ δὲ ποιήσει, ἃ οὐκ ἂν δέξαιτό τινα ἰδεῖν δρῶντα. οὕτως ἔχει ἔφη. οὐκοῦν τὸ μὲν ἀντιτείνειν διακελευόμενον, λό-

γος καὶ

Omnes. Fati enim maior uis est, quàm ubi fatum abest.

Aerumnis luctuosis ô Pericles, neq; ciuis aliquis, — *Archilochi.*
Neq; ciuitas laborans & conquerens, epulis delectabitur.
Illos enim fluctus tumultuosi maris
Fregit. Nos autem tumidos præ doloribus habemus
Pulmones. Verum dij maximis malis
O amice duram patientiam addiderunt
Remedium: quod aliâs alius habet. Nunc quidem ad nos
Versum est, & cruentum ulcus suspirijs gemimus,
Ast aliâs uicissim alios afficiet. Sed age statim
Patientes estote muliebri luctu depulso.

Propter morientes ne tristeris: est enim necessarium. Sed propter turpiter è uita discedentes. — *Polyæni.*

Amasis ad quendam filio priuatum dixit: Si nõ tristatus es cum nondum esset, ne nunc quidem dolere debes, cum non amplius est.

Res nostræ ita euenerunt ut Deo uisum est. Nihil autem eorum quæ fiunt graue existimandum, aut ægrè ferendum est, tanquam indignum. Siquidem cum alij sapientes, tum Homerus in primis nos monet, hominibus non esse spernenda deorum dona. Nam dona uocat impropriè ipsa deorum opera, ut quæ omnia bona sint, & boni alicuius gratia fiant. — *Dionis ex Charide.*

Non oportet ea deflere, quibus priuati sumus: sed meminisse quod optimam uitam cum amicis egerimus. — *Apollonij.*

Res est forsan difficilis illos consolari, qui huiusmodi affectibus laborant. Luctus enim neq; ratione neq; lege sopiuntur. Verũ natura cuiusq; & amicitia erga defunctum, lugendi terminum continet. Animo tamen erigi oportet, ac tristitiam, quoad fieri potest, minuere: atq; meminisse non solum funeris defunctorum, sed etiam uirtutis quam reliquerunt. Nõ enim lachrymis digna passi sunt, sed magnis laudibus celebranda facta ædiderunt. Quod si mortalem senectam non attigerunt, tamen synceram planè & æternam gloriam consequuti sunt, & per omnia fœlices euaserunt. Nam quotquot ipsorum fine liberis decesserunt, Græciæ laudes ueluti liberos immortales habebunt. Illis uero qui prolem reliquerũt, patriæ beneuolentia instar tutoris erit erga liberos. Ad hæc si mori & natũ non esse similia sunt, immunes post hac erunt à morbis, dolore, alijsq; humanæ uitæ casibus. Sin etiam à morte sensus aliquis est, & numinis prouidentia, ut arbitrantur, nimirum illi qui deorum honores ope sua promouerunt, maximam diuinitus beatitudinem assequentur. — *Hyperide.*

Illis qui resistunt, & non collabuntur, leuiora fiunt mala. — *Dionysij Halicarnassei.*

Aleæ ludo similis est uita: & quicquid euenit, ueluti quandam tesseram disponere oportet. Non enim denuo iacere licet, neq; tesseram aliter ponere. — *Socratis.*

Non decet tanto luctu prosequi mortem, cum scias quod humanæ uitæ principium generatio, finis autem mors existimanda sit. Mortuus enim est, quod cuiuis etiamsi inuito contingit. Bene autem mori, hominis uoluntarij & ut conuenit instituti, opus est. Beatus igitur Gryllus est, & quicunq; non longissimã, sed uirtuti coniunctam uitam eligit: etsi breue tempus ætatis Deus ei concesserit. — *Xenophontis.*

Vir probus menteq; præditus tali, si filium amiserit, aut aliquid aliud sibi charissimum, facilius quàm cæteri feret, ut diximus. Planè. Nunc autem et id cõsideremus, utrum omnino non dolebit: Vel hoc quidem impossibile, dolorem uero quodammodo moderabitur. Hoc certè est uerius. Hoc mihi de ipso in præsentia dicas, utrũ hunc censeas dolori magis repugnaturum, quando à similibus spectatur hominibus, uel quando solus est, aliorum consortio destitutus? Permultum interest, si in aliorũ cõspectu sit. Porrò cũ solus erit, multa dicet, quæ emittere corã alijs erubesceret: Multa faciet, quæ conspici ab alijs nunquam uellet. Est ita. Quod obstare iubet, — *Platonis lib. 10. de Repub.*

γος καὶ νόμος φησί· τὸ δ᾽ ἕλκον ἐπὶ τὰς λύπας, αὐτὸ τὸ πάθος. ἀληθῆ. ἐναντίας δὲ δὴ ἀγωγῆς γιγνομένης ἐν τῷ ἀνθρώπῳ, περὶ τὸ αὐτὸ ἅμα δύο * ἔφαμεν δὴ ἀναγκαῖον εἶναι. πῶς δ᾽ οὔ; οὐκοῦν τὸ μὲν ἕτερον, τῷ νόμῳ ἕτοιμον πείθεσθαι, ᾗ ὁ νόμος ἐξηγεῖται. πῶς; λέγει πού ὁ νόμος, ὅτι κάλλιστον ὅτι μάλιστα ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς, καὶ μὴ ἀγανακτεῖν, ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων. οὔτε εἰς τὸ πρόσθεν οὐδὲν προβαῖνον τῷ χαλεπῶς φέροντι· οὔτε τι τῶν ἀνθρωπίνων ἄξιον ὂν μεγάλης σπουδῆς, ὅ, τε δεῖ ἐν αὐτοῖς ὅτι τάχιστα παραγίνεσθαι ἡμῖν, τούτῳ ἐμποδὼν γινόμενον τὸ λυπεῖσθαι. τίνι ἦδ᾽ ὅς, λέγεις; τῷ βουλεύεσθαι, ἦν δ᾽ ἐγώ, περὶ τὸ γεγονός, καὶ ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὐτοῦ πράγματα, * ὅπου ὁ νοῦς αἱρεῖ βέλτιστ᾽ ἂν ἔχειν. ἀλλὰ μὴ προσπταίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος ἐν τῷ βοᾶν διατρίβειν. ἀλλ᾽ ἀεὶ ἐθίζειν τὴν ψυχὴν, ὅτι τάχιστα γίγνεσθαι πρὸς τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν, * ἰατρικῇ θρηνῳδίαν ἀφανίζοντα. ὀρθότατα γ᾽ ἂν οὖν ἄν τις ἔφη πρὸς τὰς τύχας οὕτω προσφέροιτο. οὐκοῦν φαμὲν, τὸ μὲν βέλτιστον, τούτῳ τῷ * λογισμῷ ἐθέλει ἕπεσθαι; δῆλον δή. τὸ δὲ πρὸς τὰς ἀναμνήσεις τε τοῦ πάθους, καὶ πρὸς τοὺς ὀδυρμοὺς ἄγον, καὶ ἀπλήστως ἔχον αὐτῶν, ἆρ᾽ οὐκ ἀλόγιστόν τε φήσομεν εἶναι, καὶ ἀργὸν καὶ δειλίας φίλον; φήσομεν μὲν οὖν.

al. φαμὲν αὐτῷ εἶναι.
al. ὅπῃ ὁ λόγος αἱρεῖ.
al. nō legitur ἰατρικῇ.
al. λογιστικῷ.

ΟΤΙ ΟΥ ΧΡΗ ΠΑΡΟΙΝΕΙΝ ΕΙΣ ΤΟΥΣ ΤΕΤΕΛΕΥΤΗΚΟΤΑΣ, ΛΟΓΟΣ ρκβʹ.

Ὁμήρου. Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
Οὐχ ὁσίη φθιμένοισιν ἐπ᾽ ἀνδράσιν εὐχετάασθαι.
Ἀρχιλόχου. Κενὸν θανόντος ἀνδρὸς αἰκίζειν σκιάν.
ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές.
οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ᾽ ἀνδράσιν.
Εὐριπίδου. Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος
ἔχει. τί γὰρ τοῦδ᾽ ἐστὶ μεῖζον ἐν βροτοῖς;
τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
ὀδύναισι δώσει; τίς δ᾽ ἀτιμάζων νέκυς,
εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;
Αἰσχύλου. Καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν.
τὸ γοῦν κακουργεῖν ἀμφιδεξίως ἔχει.
καὶ μήτε χαίρειν μήτε λυπεῖσθαι βροτούς.
ἡμῶν γε μέντοι νέμεσις ἔσθ᾽ ὑπερτέρα,
καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.
Διοδώρου. Πρὸς τὸν τελευτήσαντ᾽ ἕκαστος, κἂν σφόδρα
ἂν ἐχθρὸς ᾖ τις, γίνεται φίλος τότε.
Εὐριπίδου. Τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
τιμὰς διδόντα, χθόνιον εὐσεβεῖν θεόν.
Ἀρχιλόχου. Τοῖς μὲν τεθνεῶσιν, ἔλεος ὑπερκὴς θεός·
τοῖς ζῶσι δ᾽ ἕτερον ἀνοσιώτατον, φθόνος.
Σοφοκλέους. * Μὴ δὲ τῷ τεθνηκότι
lego μὴ. τὸν ζῶντ᾽ ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον.
Μιμνέρμου. Δεινοὶ γὰρ ἄνδρες πάντες ἄνδρα μὲν εὐκλεᾶ
ζῶντι φθονῆσαι, κατθανόντα δ᾽ αἰνέσαι.
Σοφοκλέους. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφάς,
μήτ᾽ αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.
Τί κέρδος οὐκ ἔτ᾽ ὄντας αἰκίζειν νεκρούς;

τί τὴν

ratio est & lex: quod autem ad dolores rapit, perturbatio. Verà loqueris. Cum homo circa idem simul contrarijs motibus agitetur, necessario duo quędam illa esse dicimus. Proculdubio. Alterum quidem legi obtemperare paratum est, utcunq; iniunxerit. Quo pacto? Lex utiq; dictat optimum esse in aduersis, quàm maximè fieri potest, quietem agere, neq; conqueri: quod incertũ sit, bonúmne id sit, an malum, quod accidit: tum quod nihil dolor ad sequẽtia conferat, neq; ulla humanarum rerum magnipendenda sit, eiq; quod subito præsidio esse potest, dolor impedimento sit. Cui inquis? Consultare inquam circa ea quæ acciderunt, in primis oportet, & tanquam in tesserarum iactu, prout cecidit, quomodocunq; ratio melius rem habere dicat, negotia disponere. Neq; uero si quid aduersi inciderit, prosternere nos debemus, atque ut pueri solent cum offendunt in lapidem procidentes circa id quod læsit, eiulando moram trahere: sed animum adsuefacere ut ad sanandum præsto adsit, & quicquid ægrotat, dimissis lamentationibus corrigat. Opportunũ hoc quidem est aduersus fortunæ ictus remedium. Quod sanè optimum est, rationi huic libenter obtemperat. Constat. Quod uerò ad perturbationis recordationem luctumq; rapit, in eisq; diutius detinet, irrationale est, languidum, formidolosum. Ita dicendum.

IN DEFVNCTOS NON EXERCENDAM ESSE CONTVMELIAM, SER. CXXII.

IN surdam tellurem contumelias agit iracundus. *Homeri.*
Nefas est super uiris defunctis gloriari. *Eiusdẽ Odyss.*
Temerarium est umbram hominis mortui affligere. *Archilochi.*
Viuos castigare decet, non mortuos.
Malum est enim uiris defunctis conuiciari.
Mors enim hominibus contentionum finem *Euripidis.*
Habet. Quid enim inter mortales morte maius esse potest?
Quis durum saxum hasta uulnerans
Dolore afficiet? Et quis in mortuos contumelius dolorem eis cieat,
Cum nullam affectionem sentiant?
Vita functos si libet beneficijs prosequere. *Aeschyli.*
Nam iniuriam illis inferre facile quidem factu est.
(Neq; gaudio neq; dolore mortales afficiantur.) *Versus parenthesi inclusus nõ quadrat huc.*
Verum Nemesis superior nobis est,
Et ipsa iustitia mortuum uindicat.
Homini mortuo unusquisq;, licet admodum *Diodori.*
Inimicus antea fuerit, conciliatur.
Decet ut qui uiuunt, mortuis *Euripidis in Phœnissis.*
Honores tribuendo, infernale numen colant.
Mortuos Misericordia benignum numen sequitur: *Archilochi.*
Viuentes autem aliud iniustissimum, nempe Inuidia.
Oportet aũt mortuo Viuentem inseruire & auxiliari, utpote moriturũ (& ipsum. *Sophoclis.*
Insigni cuipiam uiro proni sumus omnes *Mimnermi.*
Inuidere uiuo, mortuum autem laudare.
O Menelaë, qui sermonem habuisti sapientem, uide *Sophoclis.*
Ne tu ipse iniurius fias mortuis.
Quid iuuat mortuos qui non amplius sunt, affligere?

τί τὴν ἄνανδον γαῖαν ὑβρίζειν πλέον;
ἐπὰν γὰρ ἡ κρίνουσα, καὶ τὰ ἥδιω·
καὶ τἀνιαρά, φροῦδος αἴσθησις φθαρῇ,
τὸ σῶμα κωφοῦ τάξιν εἴληφε πέτρου.

Χίλωνος. Τὸν τετελευτηκότα μὴ κακολόγει, ἀλλὰ μακάριζε.

Πλάτωνος. Ἀνελεύθερον δὲ οὐ δοκεῖ καὶ φιλοχρήματον νεκρὸν συλᾶν, καὶ γυναικείας καὶ σμικρᾶς διανοίας, τὸ πολέμιον νομίζειν τὸ σῶμα τοῦ τεθνεῶτος ἀποπταμένου τοῦ ἐχθροῦ, λελοιπότος δὲ ᾧ ἐπολέμει; ἢ οἴει τι διάφορον δρᾶν τοὺς τοῦτο ποιοῦντας τῶν κυνῶν, αἳ τοῖς λίθοις οἷς ἂν βληθῶσι χαλεπαίνουσι, τοῦ βάλλοντος οὐχ ἁπτόμεναι; οὐδὲ σμικρὸν ἔφη. ἐατέον ἄρα τὰς νεκροσυλίας, καὶ τὰς τῶν ἀναιρέσεων διακωλύσεις.

Τοῦ αὐτοῦ. Εἰς τινὰ γὰρ οὖν μοι καιρὸν φαινόμεθα τοὺς ἔμπροσθεν λόγους διεξελθεῖν, ὡς ἄρα αἱ τῶν τελευτησάντων ψυχαί, δύναμιν ἔχουσί τινα τελευτήσασαι, ᾗ τῶν κατ' ἀνθρώπους πραγμάτων ἐπιμελοῦνται. ταῦτα δέ, ἀληθεῖς μέν, μακροὶ δέ εἰσι περιέχοντες λόγοι. πιστεύοντα ταῖς ἄλλαις φήμαις χρεὼν περὶ τὰ τοιαῦτα, οὕτω πολλαῖσι καὶ σφόδρα παλαιαῖς οὔσαις: πιστεύειν δ' αὖ τοῖς νομοθετοῦσι ταῦθ' οὕτως ἔχειν, ἄν περ μὴ παντάπασιν ἄφρονες φαίνωνται. ταύτῃ δὲ εἰ ταῦτ' ἐστὶ κατὰ φύσιν, πρῶτον μὲν τοὺς ἄνω θεοὺς φοβείσθων, οἳ τῶν ὀρφανῶν τῆς ἐρημίας αἰσθήσεις ἔχουσιν: εἶτα τὰς τῶν κεκμηκότων ψυχάς, αἷς ἐστιν ἐν τῇ φύσει, τῶν αὑτῶν ἐκγόνων κήδεσθαι διαφερόντως, καὶ τιμῶσί τι αὐτοὺς εὐμενεῖς εἶναι, καὶ ἀτιμάζουσι δυσμενεῖς.

ΟΤΙ ΤΩΝ ΠΛΕΙΣΤΩΝ ΜΕΤΑ ΘΑΝΑΤΟΝ Η ΜΝΗΜΗ ΔΙΑΡΡΕΙ ΤΑΧΕΩΣ.

ΛΟΓΟΣ ρκγ´.

Εὐριπίδου. Τύμβος γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.
Θανόντων δὲ καὶ λόγοι φίλοι ἐκποδόντα.

Σοφοκλέους. Φεῦ, τοῦ θανόντος, ὡς ταχεῖα τοῖς βροτοῖς
χάρις διαρρεῖ, καὶ προδοῦσ' ἁλίσκεται.

Ἀρχιλόχου. Οὔ τις αἰδοῖος μετ' ἀστῶν καὶ περίφημος θανὼν
γίγνεται. χάριν δὲ μᾶλλον τοῦ ζοοῦ διώκομεν
ζωοί, κάκιστα δὲ τῷ θανόντι γίγνεται.

Στησιχόρου. Θανόντος ἀνδρός, πᾶσ' ὄλυτ' ἀνθρώπων χάρις.

Εὐριπίδου. Ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος,
καὶ μνημονεύων οὐδὲν ὧν ἐχρῆν φίλον.
forte σπάνιον legendum. * δαίνειν δ' ἄρ' ἦν θανοῦσιν ἀσφαλὲς φίλοι,
κἂν ὁμόθεν ὦσι. τὸ γὰρ ἔχειν, πλέον κρατεῖ.
Τῆς δυσσεβείας οὐδ' ἐν ὀφθαλμοῖς χάρις
ἀπόλωλ', ὅταν τὶς ἐκ δόμων ἔλθῃ.

ΓΝΩΜΑΙ ΘΕΟΚΤΙΣΤΟΥ, ΠΡΟΣ ΤΟΥΣ μαλακῶς καὶ ὑπτιωτέρως διακειμένους, μάλιστα τὴν ὠφέλειαν παρέχουσαι, κατὰ στοιχεῖον.

ΑΝιαρὸν μέν: πῶς γὰρ οὔ; τὸ μὴ ὀνειδίζειν ἀτυχίας ἐλέῳ καὶ συμφορᾷ διὰ τὸ ἀνθρώπινον ἀδοκήτως περιπεσόντας: ἀλλ' ὀνειδίζειν καὶ δριμυτέραν τὴν ὀδύνην ἐργάζεσθαι, ὑπέκκαυμα τοῦ πάθους καὶ τῆς δίκης, * διὰ τὸ ὁμογενὲς καθεστῶτας. (malim ἀ.)

(lego ξηρά.) Βέλτιον εἶναι * ξηροῦ ἢ ὄγκου βαίνειν μετὰ περιλήψεως, διὰ τὸ ἀβέβαιον καὶ ἀστάθμητον τοῦ βίου.

Aut mutam terram contumelijs afficere?
Postquam enim qui iucunda discernit
Et molesta, sensus iam interierit,
Corpus in posterum instar est surdæ petræ.

Defunctum non maledictis afficias, sed beatum prædices. *Chilonis.*

An nō illiberale quiddam, cogitationisq́ue auaræ, muliebris, ac uilis esse ui detur cadauer expoliare, hostemq́ue putare mortui corpus, cū aduersarius ipse abierit, eo quo pugnabat relicto? Num censes eos, qui hoc agunt, differre à ca nibus aduersus iactos lapides irascentibus, eo qui iacit dimisso? Nihilo equi dem differre arbitror. Quare à rapinis huiusmodi abstinendum est, uictoriæ nanq́ue obsunt. *Platonis lib. 5. de Republica.*

Opportunè uidemur in superioribus narrasse defunctorum animas uim quandam habere, qua de rebus humanis curam habent. Id uerum quidē, sed longa oratione approbatur. Quamobrē & alijs tritis antiquisq́ue de hac re sermonibus, & legūlatoribus sic se habere ista sancientibus credere debent: nisi omnino dementes sint. Cum uerò hæc ita natura sint, primum deos maximè superos timeant, qui de puerorum desolatione procurant: deinde etiam mortuorum manes, quibus natura inest ut pręcipua illorū cura teneantur, qui ab eis geniti sunt, adeo ut honorantibus eos propitij, contēnentibus infensi sint. *Eiusdem lib. 11. de legibus.*

MEMORIAM PLVRIMORVM A MORTE statim euanescere.

SERMO CXXIII.

NVllus enim hominum fidus est amicus tumulo. *Euripidis.*
Mortuos etiam grati sermones deserunt.
Papæ quàm citò apud homines mortui *Sophoclis.*
Gratia diffluit, & deserta apparet.
Nullus inter ciues à morte honorabilis aut clarus *Archilochi.*
Fit. sed potius uiuentis gratiam aucupamur
Viui. Pessimè autem erga mortuum agitur.
Cum defunctus est quispiam, omnis hominum gratia perit. *Stesichori.*
Quàm agrestis hic uir est, & hospitibus inhospitalis, *Euripidis.*
Et nulla in re, ubi oportebat, amici memor.
Rari planè sunt amici post funus constantes,
Etsi prius coniunctissimi. Nam in præsentia habere præpollet.
Gratia pietatis, quæ coràm fieri solebat,
Interit, cum quis domo effertur.

SENTENTIAE QVAEDAM THEOCTISTI PERquàm utiles, ad eos qui molli & supino sunt animo, iuxta literarum Græcarum seriem.

MOlesta res est infortunia, quæ propter miseriam & calamitatem humanæ naturę inopinatò ingruunt, nō leuare: sed exprobrare, & doloris acrimoniam augere, ueluti fomentum perturbationis & pœnæ erga congenerem naturam existentes.

Præstat super nouacula ingredi, quàm uti fastu cum pręsumptione. Inconstans enim & instabilis uita est.

Τὴν ὥσπερ ἐπαμησάμενοι ἄνθρωποι, ἤδη τὸ ἀσελγέστερον περιΐασι τῆς μοχθηρίας, κατέχειν ἑαυτοῖς, καὶ τοῖς ἐχθροῖς γέλωτα ὦφλησαν· ὡς καὶ οἱ ἐπιγλιχόμενοι ὀφλισκάνουσιν.

Δεινὴ πέφυκεν ἡ συνήθεια κόρον ἀπογεννῆσαι, καὶ φύσιν ἐκ παραλλήλου μεταποιῆσαι.

Εὖ πράττουσι τοῖς φίλοις, οἱ πολλοὶ ἥδονται· δυσπραγοῦσι δὲ, δυσαρίθμητοι συμπάσχουσι, καὶ τὸ κακὸν παρηγοροῦντες.

Ζωὴν ἀμείψασθαι χείριστος τὴν κρατίστην, ἐπὶ πονηροτέραν.

forte ἀνθιστάμενος nisi statim post κενοσπουδία legatur.

* Ἠλιθιότης οὐχ ἧττον ἢ κενοσπουδίας, τὸ ἀποκλύειν τὸ ἀνακεχωρηκὸς τοῦ θυμοειδοῦς ἐν τοῖς περιπάτοις.

Θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιμελείᾳ ἀρετὴν ἐκτήσατο.

Ἰατροῖς δεῖ τοὺς ἀναφέροντας καὶ μὴ, μή πως οἱ μὲν, πρὸς τὴν αὐτὴν νόσον· οἱ δὲ, τῇ ἤδη θανάτῳ βαδίσωσι.

Κράτιστον μὴ μᾶλλον ὑπ' ἀγχινοίας, ἢ ἀρετῆς ἐγκαλλωπίζεσθαι.

Λίαν τῶν βεβηκότων ἀνδρῶν, τῶν ἀκλινὲς τὸ τῆς ψυχῆς ὄρθιον ἐν τοῖς δεινοῖς διαφυλαττόντων.

Μέγιστον μὲν, τὸ ἀνάλαστον· γενναῖον δὲ, τὸ καὶ μετὰ τὸ ὑπὸ τῆς ἁμαρτίας ἀχθῆναι, ἐν τῷ παραχρῆμα ἀνενεγκεῖν.

Ναῦν δὲ ἑνὸς ἀγκύρας, καὶ ἐκ μιᾶς ἐλπίδος, πρὸς τὸν λιμένα τῆς ἀπαθείας, οὐ καθορμίζομεν.

Σχέον χρὴ πάντα τρόπον τῶν γλαφυρῶν θεαμάτων τυγχάνειν, καὶ μετέωρον σκιατροφίας, μή πως ὑφ' ἡδονῆς ἀρθέντα, ἐπίσημον ἔχειν τῇ πονηρίᾳ.

Οὐ χαλεπὸν τοσοῦτον αὐτοῖς πληρώμασι καταδῦναι ναῦν, ὅσον ὑπέραντλον αὐτὸν τοῖς πάθεσιν ἀπειρηκότα περὶ βυθῷ τῆς ἀπωλείας καταβαπτίσαι.

Γαῦ ὁ τιμῆς τε καὶ τιμωρίας κατὰ τὸ ἴσον ἀφίστησιν, οὕτω ἀρετή.

Ῥᾳστώνης τὴν ἀκμὴν παραιρεῖσθαι κακίας ὑποπιμπλώσης, καὶ διωλύγιον τὸν ὄλισθον παρασκευαζούσης.

Σαινόντων παρασίτων ἐπ' ἀρρήτοις καὶ ἀνωνύμοις αἰσχρουργίαις, καὶ ὡς τὸ πολὺ καταγοητευόντων, μὴ περιστρέφεσθαι.

Locus nō est integer.

* Τὸ μὲν διασπᾶσθαι τὰς τῶν φίλων συνουσίας εἰς δυσμένειαν ἀπαραλλάκτως φυλάξασθαι οὐ ῥᾴδιον περιπολλοῦσαν ἰδεῖν. ἐπηλυγαζόντων τὸ ἀμύνασθαι. τὸ δὲ τὰς τῶν διαφόρων.

Ὑψιτενεῖν, μὴ ὑπερφρονεῖν, τῶν σωτηρίων ὁδῶν ἐπιλαμβανόμενον.

Φεύγειν δεῖ πάντα τρόπον τὰς σκολιὰς, καὶ πρανεῖς· τὰς δὲ ἀποτόμους καὶ ὀρθίους τρίβους [illegible]άζεσθαι.

Χαλεπὰ τὰ καλά· τὰ δὲ κακὰ, οὐ χαλεπά.

forte [illegible]

Ψυχὴν ὅτι μάλιστα τῆς τοῦ σώματος βδελυρίας χωρίζειν· ὅτι πᾶσα ἀνάγκη τὴν τούτων συμπάθειαν * ἀρχικονομεῖσθαι.

Ὥρας χρὴ ἀποδιαμαχέστως ἠρνηκέναι. τὸ γὰρ προδοῦναι αὐτὰς, κινδυνεύει, μὴ οὐχὶ ἐπ' ἔσχατον κακόν· ἅπερ ἂν κατὰ τὸ ἐναντίον χωρῆσαι.

ΤΕΛΟΣ.

Homines improbitate magis magisq; lasciuiente, ueluti terra cōgesta sese obruunt, & inimicis ridiculi fiunt: itemq; ipsorum posteri.

Magna uis consuetudinis est ad amoliendum satietatem, & naturam uicissim immutandum.

Amicis fœliciter agentibus plurimi congratulantur: infortunatis autem pauci condolent, malo malum solantes.

Vitam optimam mutare pessima, ærumnosum est.

Stultitiæ non minus est quàm inanis studij, internam animorum & strenuam alacritatem dissoluere ociosis deambulationibus.

Nullus adhuc unquam audacia, sed labore, generositate, & modestia uirtutem acquisiuit.

Mederi oportet tum recipientibus se à morbo, tum non recipientibus: his ne moriantur, illis ne in eundem morbum recidant.

Non tam ingenij solertia, quàm uirtute gloriari decet.

Virorum constantium est animi statum in periculis rectum & immobilem conseruare.

Optimum quidem fuerit prorsus non delinquere: Sed etiam postquam quis peccato succubuit, statim resipiscere, generositatis indicium est.

Vt nauis una anchora non stabilitur, sic unica spe ad portum tranquillitatis non appellimus.

Ab instructis ornatu nimio spectaculis omni modo abesse oportet, ac educationē umbratilē euitare, ne uoluptate elato improbitatis nota tibi inuratur.

Non tam ægrè ferendum est nauim cum omnibus quæ uehit submergi, quàm seipsum perturbationibus obrutum, & iam desperatum, in altum perniciei gurgitem demergere.

Quicquid æquo interuallo ab honore & pœna distat, nondū uirtus est.

Otij malitia replentis, & lapsum ingentē afferentis, infringēdę sunt uires.

Parasitos nefandis & indignis dictu uitijs adblandiētes, & ut plurimum fascinantes, nihil moraberis, neq; commoueberis.

*Vereri oportet amicorum conuentus in simultatem exeuntes. *Hæc sententia in Græco corrupte legitur.

In altum tendere oportet, non autē superbire, salubres uias occupantem.

Obliquæ & decliues uiæ modis omnibus fugiendæ sunt; abruptæ autem & rectà sursum ferentes complectendæ.

Difficilia quæ pulchra sunt; mala uero, non difficilia.

Anima à corporis inquinatione summo studio separanda est. Nam ualde necessarium est mutuum ipsorum contagium destrui.

Occasiones *cautè deligendę sunt. Nam si transgrediaris ipsas, extremè aliquando periclitaberis: nec non si citra nimium constiteris. *ἀνεγκλήτως.

FINIS.

ΤΟΥ ΚΥΡΟΥ ΘΕΟΔΩΡΟΥ ΠΡΟΔΡΟΜΟΥ ΕΠΙ ΑΠΟΔΗΜΩ ΤΗ ΦΙΛΙΑ.

ΠΕΡΙΟΧΗ.

Φιλία [illegible] τοῦ κόσμου ἐπὶ βίου ἀνθρωπίνου ἐκβληθεῖσα, [illegible] αὐτοῦ [illegible].

ΞΕΝΟΣ. καὶ ΦΙΛΙΑ.

Φιλία δέσποινα πάντιμον κάρα. Ξε.
ποῖ σοι πόθεν; καὶ ταῦτα μετὰ δακρύων
συγνή, κατηφής, τὴν κόμην ἀνειλημένη,
κύπτουσα πρὸς γῆν, ἠγριωμένη τὴν χρόαν,
χιτώνιον τριβῶνος ἠμφιεσμένη,
ἀτημελὲς τὸ ζῶσμα, καὶ τὸ βλαυτίον,
καὶ τὴν κακίστην ἀλλαγὴν ἠλλαγμένη.
ὁ δὲ στολισμὸς ὁ πρίν, ἡ δὲ πορφύρα,
ἡ δ' εὐπρέπεια, καὶ τὸ τοῦ χείλους ῥόδον,
ὁ δὲ πλόκαμος, ἡ δὲ τῆς ζώνης χάρις,
αἱ δ' ἀρβυλίδες, ἡ δὲ λοιπὴ σεμνότης,
ᾤχοντο πάντα πρὸς τὸ μηδὲν ἀθρόα,
καὶ νῦν γυναιξὶν ἐμφερὴς θρηνητρίαις,
συγνὴ βαδίζεις. ἀλλὰ ποῖ δὲ καὶ πόθεν;
Φι. γῆθεν πρὸς αὐτὸν τὸν Θεὸν καὶ πατέρα.
Ξε. ἔρημος οὖν ὁ κόσμος ἐστὶ φιλίας;
Φι. ἔρημος, ὃς τοσοῦτον ἐξύβριζέ με.
Ξε. ὕβριζε; Φι. καὶ θύραθεν ἐξέρριψέ με.
Ξε. θύραθεν; Φι. ὥστε καὶ νομισθῆναι ξένην.
Ξε. ἔστ' ἐξέκρουσε; Φι. καὶ μεμαστιγωμένη.
Ξε. μελαγχολᾶν τὸν κόσμον ἀντικρὺς λέγεις
οὕτω μανικῶς ἐμπαροινήσαντά σοι.
Φι. τί δ' αὖ τὰ λοιπὰ τῶν ἐμῶν παθῶν μάθῃς;
νῦν μὲν κατ' ἀμφοῖν συγκαχοῦντος ταῖν γνάθοιν,
νῦν δ' ἐμβοροῦντος λὰξ κατ' αὐτῆς γαστρός.
ἐῶ τὰ λοιπὰ καὶ τὰ μείζονα ξένη,
ἃ γὰρ μαθὼν, ἀλγήσεις ἂν τὴν καρδίαν.
Ξε. μὴ μὰ πρὸς αὐτοῦ τοῦ πατρός σου φιλία,
μηδὲν σιγήσῃς, ἀλλά μοι τὸ πᾶν φράσε.
Φι. ἐνθοῦ καθιζήσαντες ἀμφὶ τὴν πίτυν,
(ὁρᾷς τὸ δένδρον ὡς καλόν τι καὶ μέγα,)
τὸ πᾶν ἐπεξέλθωμεν ἤδη τοῦ λόγου.
Ξε. ἰδοὺ καθιζήκαμεν, ἄρξαι τοῦ λέγειν.
Φι. ἐγὼ τὰ πρῶτα τῷ Θεῷ τῇ τριάδι
ἀεὶ συνῆμι καθαρῶς ἑνωμένη,
ἐν τοῖς ἀσωμάτοις δὲ δευτέραις νόοις

καὶ ταῖς τρισὶ τριάσι ταῖς ἄνω μόναις,
οἷον Χερουβὶμ καὶ Σεραφὶμ καὶ θρόνοις,
καὶ ταῖς περιλοίποις ἀΰλοις στρατιαρχίαις.
ἐγὼ μὲν αὐταῖς, καὶ πρὸς αὐτὰς τὴν σχέσιν,
καὶ πρὸς τὸν Θεὸν, καὶ πρὸς ἀλλήλας νέμω.
καὶ τὰς τοσαύτας τῶν ἄνω μυριάδας,
εἰς ἓν συνάπτω, καὶ μίαν σειρὰν πλέκω.
ἑωσφόρος μόνος με πρὶν ἀπεστράφη,
κἀκ τῶν ἀφ᾽ ὕψους αὐτίκα κατεστράφη.
οὕτως μὲν οὕτως ἡ νοουμένη κτίσις
ἐμοὶ κρατεῖται, καὶ μένει φρουρουμένη.
Τὴν γὰρ θνητὴν καὶ κατ᾽ αἴσθησιν φύσιν,
τὸ κοσμικὸν πλήρωμα τὴν κάτω κτίσιν,
τίς ἀμφιβάλλει μὴ κρατεῖσθαι φιλίᾳ;
ὁ φλυάφος γὰρ Ἐμπεδοκλῆς ἐρρέτω,
τὸ νεῖκος εἰπὼν δημιουργὸν τῶν κάτω.
τί γὰρ νοήσει, καὶ συναισθάνεται τίνος
ἄνθρωπος ὁ γνοὺς ὡς τὸ πῦρ φύσει καίει,
ἀλλ᾽ εἰς πυρὸς κρατῆρας ἐμπεσὼν μέσους;
Ἢ τίς τὸν εὐρὺν οὐρανὸν καὶ τὸν μέγαν,
ἄκαμπτον ὄντα τὸ πρὶν εὐθυωρίαν,
ἀρχὴ πείθεσθαι τοῖς λόγοις τοῦ φαμένου
ἔκαμψεν εἰς τὴν σφαῖραν, εἰ μὴ φιλίας
οἷον γὰρ εἰπεῖν, ὡς καλοῦ καὶ κοσμίου
ἐρῶν ἑαυτοῦ πρὸς κύκλον συνεστράφη,
ἑαυτὸν αὐτὸ περιφιλιῶν πανταχόθεν,
καὶ πάντα πᾶσι συμπεριστρέφων μέρη.
Ἐγὼ τὰ κύκλα τῶν ἀπείρων ἀστέρων,
ἁπλῶς ἁπάντων, ἀπλανῶν, πλανωμένων
ἔταξα δ᾽ ὁμοῦ, καὶ συνῆψα πανσόφως.
ἐγὼ φιλιῶ περὶ σεληναίῳ κύκλῳ
τὸν ἡλιακὸν δίσκον, ὃς τὸ φῶς βρύει,
καὶ φιλιῶ τοσοῦτον ὡς καὶ λαμπάδας
κιχρᾶν ἐκείνῳ τοῦτον εἰς νύκτωρ σέλας.
Ἐγὼ τὸ πᾶν πλήρωμα τοῦ παντὸς βίου
πλοκῇ ξυνιστὸς φύσεων ἐναντίων
κοινῶς ἐνίζω, κἂν διΐσταται φύσει.
Ξηρὸν τὸ πῦρ, ὑγρὸν δὲ χύσις ἀέρος,
καὶ γειτονοῦσι ταῦτα, καὶ μέσον μάχη.
ἀλλ᾽ ἐμβαλοῦσα τοῖν δυοῖν ἐναντίοιν
κοινὸν τὸ θερμὸν, τὴν μάχην ἀνατρέπω.
Θερμὸν μὲν ἀὴρ, ἀλλ᾽ ὕδωρ ψυχρὸν φύσει,
ἐγχιθυρεῖ δὲ, καὶ κατ᾽ ἀλλήλων πνέει,
ἀλλ᾽ ὑμῖν νεύουσα τούτοις ὑγρότην
forte ξυνῆψα, & in fine uersus ἔφερα. ἄμφω * ξυνάπτω, καὶ πρὸς εἰρήνην φέρω.
Ὕδωρ μὲν ὑγρὸν, ἡ δὲ γῆ τοὐναντίον,
μέση δ᾽ ἐν ἀμφοῖν ἐμπεσοῦσα ψυχρότης
φίλον αὐτοῖς ἐμβραβεύει τὸν βίον.

ταῦτα

πάντα τὰ στοιχεῖα τοῦ παντὸς βίου.
τὰς τέσσαρας δὲ τοῦ γίγαντος ἡλίου
τροπὰς, τίνος φαίνομεν; οὐχὶ φιλίας;
χειμὼν γὰρ εὐθὺς οὐ τέτραπται πρὸς θέρος
τῶν ποιοτήτων σφῶν ἐναντιουμένων,
ἀλλ' εἰς ἔαρ μετῆλθεν, εἶτα πρὸς θέρος.
καὶ τοῦ θέρους ἡ κρᾶσις, οὐκ εἰς τὸ κρύος,
ἀλλ' εἰς μέσον τι, τὴν ὀπωρινὴν φθίσιν.
κἀντεῦθεν ὥσπερ ἐξ ἁπαλῶν παρθένων
τῶν συμπλεκουσῶν τὰς κρόκας καὶ τοὺς μίτους
(ὥρας δὲ ταύτας γνῶθί μοι τὰς παρθένους)
καλὴ τελεῖται τῶν ἐτῶν ἰσουργία.
Ἐγὼ συνιστῶ τὸν βροτήσιον βίον.
Εὐρωστία καὶ κάλλος ἄμφω φιλίας,
ἄμφω φιλίας ἔργα. πῶς, ζητεῖς μαθεῖν.
ἂν ἡ τετρακτὺς τῶν χυμῶν σχῇ φιλίαν,
καλῶς ἔχει τὸ σῶμα, καὶ μακρὰν νόσοι.
εἰ τῶν μελῶν δ' εὔρυθμός ἐστιν ἡ θέσις,
ἔχει δὲ καὶ σύστοιχον ἀλληλουχίαν,
ἐνδύνεται δὲ καὶ χρόαν εὐχρουστέραν,
κάλλος καλεῖται παρὰ τοῖς παλαιτέροις.
ἡ γοῦν ὑγεία καὶ τὸ κάλλος φιλίας.
Ἐγὼ πολίζω τὰς πόλεις ἡ φιλία.
κἂν αἱ πόλεις λέγοι τις αὐτὰς τὰς πόλεις,
κἂν αὐτὸ μᾶλλον τῶν πολιτῶν τὸ στῖφος.
πλίνθοι γοῦν ὀπταὶ καὶ λίθων ξεστῶν βάρη
ἐμοὶ ξυνῆλθον εἰς ἑνὸς τοίχου κτίσιν·
δυὰς δὲ τοίχων ἀμφὶ γωνίαν μίαν,
καὶ γωνίαι τέσσαρες εἰς πλήρη δόμον.
Ἐγὼ συνιστῶ τὰς παρ' ἀνθρώποις τέχνας,
καὶ τῷ σκυτεῖ μὲν φιλιῶ τὸν κναφέα,
τῷ χαλινοεργάτῃ δὲ, τὸν στρατηλάτην,
καὶ τῷ γεωργῷ τὸν βάναυσον συνδέω,
καὶ τεχνίτην ἅπαντα παντὶ τεχνίτῃ.
χρήζει γὰρ ὄντως ἁλιεὺς πᾶς γειτόνου.
διδοὺς γὰρ ἰχθὺν, ἄρτον ἀντιλαμβάνει.
καὶ γείτων πᾶς αὖθις ἀσπαλιέως.
διδοὺς γὰρ ἄρτον, ἰχθὺν ἀντιλαμβάνει,
καὶ παντὸς ἅπας ἐνδεὴς ὁ τεχνίτης.
κἀντεῦθεν εὖ πάσχουσιν αἱ πόλεις πᾶσαι.
Ἐγὼ γάμου σύμπαντος ἡ νυμφοστόλος.
ἐγὼ τὸ θῆλυ πρὸς τὸν ἄρρενα τρέπω.
ἐγὼ τὸν ἄνδρα πρὸς τὸ θῆλυ συντρέπω.
τί γὰρ μύραιναν τὴν θαλασσίαν ὄφιν
τὸ πόντιον πέπεικεν ἐκλιπεῖν βάθος,
ἀναδραμεῖν δὲ τῆς θαλάσσης τὴν ῥάχιν,
ὑπερδραμεῖν δὲ καὶ τὸ χερσαῖον πέδον;
τίς τοῦ σιδήρου τὴν ἄπειστον οὐσίαν

δ' ὅλην καθιστᾷ τῆς μαγνήτιδος λίθος;
οὐδέν τοι πάντως ἄλλο φιλίας δίχα.
ἐμοὶ τὸ πᾶν ζῇ, καὶ κρατεῖται, καὶ μένει.
εἴπω τὸ μεῖζον, καὶ σιγάτω πᾶς λόγος.
ἐγὼ Θεὸν τὸν ὄντα τὸν παντεργάτην,
